ΙΩΑΝΝΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ

ΑΠΑΝΤΑ ΤΑ ΕΡΓΑ

18Α

ΥΠΟΜΝΗΜΑ

ΕΙΣ ΤΗΝ Α' ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ

(ΛΟΓΟΙ ΚΒ΄–ΜΔ΄)

ΚΕΙΜΕΝΟΝ – ΜΕΤΑΦΡΑΣΙΣ – ΣΧΟΛΙΑ


Ὑπό
ΙΩΑΝΝΟΥ ΠΕΛΙΤΗ
Θεολόγου

Ἐπόπται

ΠΑΝ. Κ. ΧΡΗΣΤΟΥ, Καθηγητής Πανεπιστημίου
ΘΕΟΔ. Ν. ΖΗΣΗΣ, Καθηγητής Πανεπιστημίου

Ἐπιμεληταὶ

ΒΑΣ. Δ. ΦΑΝΟΥΡΓΑΚΗΣ, Δρ. Θεολογίας
ΕΛΕΥΘ. Γ. ΜΕΡΕΤΑΚΗΣ, π. Θεολογίας



ΕΠΕ

ΠΑΤΕΡΙΚΑΙ ΕΚΔΟΣΕΙΣ «ΓΡΗΓΟΡΙΟΣ Ο ΠΑΛΑΜΑΣ»
ΘΕΣΣΑΛΟΝΙΚΗ 1980

ΙΩΑΝΝΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ

18Α

ΥΠΟΜΝΗΜΑ

ΕΙΣ ΤΗΝ Α' ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ

(ΛΟΓΟΙ ΚΒ΄–ΜΔ΄)

ΚΕΙΜΕΝΟΝ — ΜΕΤΑΦΡΑΣΙΣ

ΛΟΓΟΣ ΚΒ΄
Α΄ Κορ. 9, 13-24

«Οὐκ οἴδατε ὅτι οἱ τὰ ἱερὰ ἐργαζόμενοι ἐκ τοῦ ἱεροῦ ἐσθίουσιν; οἱ τῷ θυσιαστηρίῳ προσεδρεύοντες, τῷ θυσιαστηρίῳ συμμερίζονται; Οὕτω καὶ ὁ Κύριος διέταξε τοῖς τὸ εὐαγγέλιον καταγγέλουσιν, ἐκ τοῦ εὐαγγελίου ζῆν».

1. Πολλὴν ποιεῖται σπουδήν, ὥστε δεῖξαι μὴ κεκωλυμένον τὸ λαμβάνειν. Διόπερ τοσαῦτα εἰπὼν ἔμπροσθεν, οὐκ ἠρκέσθη, ἀλλὰ καὶ ἐπὶ τὸν νόμον χωρεῖ, οἰκειότερον τοῦ προτέρου παρέχων ὑπόδειγμα. Οὐδὲ γὰρ ἦν ἴσον τοὺς βοῦς παραγαγεῖν εἰς μέσον, καὶ ῥητῶς περὶ ἱερέων νόμον ἐπὶ τούτῳ κείμενον ἀναγνῶναι. Σκόπει δέ μοι κἂν τούτῳ τὴν Παύλου σύνεσιν, πῶς μέμνηται τοῦ πράγματος μεγαλοπρεπῶς. Οὐδὲ γὰρ εἶπεν, οἱ τὰ ἱερὰ ἐργαζόμενοι ἐκ τῶν προσφερόντων λαμβάνουσιν· ἀλλὰ τί; «ἐκ τοῦ ἱεροῦ ἐσθίουσιν»· ἵνα μήτε οἱ λαμβάνοντες ὀνειδίζωνται, μήτε οἱ παρέχοντες ἐπαίρωνται. Διὸ καὶ τὸ ἑξῆς οὕτω τέθεικεν. Οὐδὲ γὰρ οὐδὲ ἐνταῦθα εἶπεν, οἱ τῷ θυσιαστηρίῳ προσεδρεύοντες ἀπὸ τῶν θυόντων λαμβάνουσιν, ἀλλά, «τῷ θυσιαστηρίῳ συμμερίζονται». Τὰ γὰρ προσενεχθέντα οὐκέτι λοιπὸν τῶν προσενεγκάντων ἦν, ἀλλὰ τοῦ ἱεροῦ καὶ τοῦ θυσιαστηρίου.

ΛΟΓΟΣ ΚΒ΄
Α΄ Κορ. 9, 13 - 24

«Δὲν γνωρίζετε ὅτι ἐκεῖνοι πού τολμοῦν τὰ τῆς λατρείας εἰς τὸν ναὸν τρέφονται ἀπὸ τὸν ναόν; Ὅτι ἐκεῖνοι πού ὑπηρετοῦν εἰς τὸ θυσιαστήριον λαμβάνουν ἓν μέρος ἀπὸ ὅσα προσφέρονται εἰς τὸ θυσιαστήριον; Ἔτσι καὶ ὁ Κύριος διέταξεν: ἐκεῖνοι πού κηρύττουν τὸ εὐαγγέλιον νὰ ζοῦν ἀπὸ τὸ εὐαγγέλιον».

1. Πολλὴν φροντίδα καταβάλλει διὰ ν' ἀποδείξῃ ὅτι τὸ νὰ λαμβάνῃ κανεὶς ἀπὸ τὸ κήρυγμα δὲν ἐμποδίζεται ἀπὸ τίποτε. Διὰ τοῦτο, ἐνῷ προηγουμένως εἶπε τόσα, προχωρεῖ καὶ εἰς τὸν νόμον, δίδων περισσότερον ταιριαστὸν παράδειγμα ἀπὸ τὸ προηγούμενον. Διότι δὲν εἶναι τὸ ἴδιον νὰ λάβῃ τὸ παράδειγμα ἀπὸ τοὺς βοῦς, καὶ ν' ἀναγνώσῃ νόμον, ὁ ὁποῖος ἐθεσπίσθη εἰδικῶς διὰ τοὺς ἱερεῖς καὶ ὁμιλεῖ ρητῶς δι' αὐτούς. Πρόσεχε δὲ σὲ παρακαλῶ καὶ εἰς τὴν περίπτωσιν αὐτὴν τὴν σύνεσιν τοῦ Παύλου, πῶς ἀναφέρει τὸ πρᾶγμα μὲ μεγαλοπρέπειαν. Διότι δὲν εἶπεν ὅτι, ἐκεῖνοι πού τελοῦν τὰ τῆς λατρείας λαμβάνουν ἀπὸ τοὺς προσφέροντας, ἀλλὰ τί; «Τρέφονται ἀπὸ τὰν ναόν»· ὥστε οὔτε αὐτοὶ πού λαμβάνουν νὰ κατηγοροῦνται, οὔτε αὐτοὶ πού δίδουν νὰ ὑπερηφανεύωνται. Διὰ τοῦτο καὶ τὰ ἑπόμενα ἀπὸ αὐτὸ ἔτσι τὰ ὥρισε. Διότι οὔτε ἐδῶ λέγει, αὐτοὶ πού ὑπηρετοῦν εἰς τὸ θυσιαστήριον λαμβάνουν ἀπὸ αὐτοὺς πού προσφέρουν εἰς τὸν ναόν, ἀλλά, «ἀπὸ ὅσα προσφέρονται εἰς τὸ θυσιαστήριον λαμβάνουν ἓν μέρος». Διότι αὐτὰ πού ἔχουν προσφερθῆ δὲν ἀνήκουν πλέον εἰς αὐτοὺς πού τὰ προσέφεραν, ἀλλ' εἰς τὸ ἱερὸν καὶ τὸ θυσιαστήριον.

Καὶ οὐκ εἶπεν, ὅτι τὰ ἱερὰ λαμβάνουσιν, ἀλλ' «ἐκ τοῦ ἱεροῦ ἐσθίουσι», δεικνὺς πάλιν τὴν συμμετρίαν, καὶ ὅτι οὐ χρηματίζεσθαι δεῖ οὐδὲ πλουτεῖν. Εἰ δὲ λέγοι, ὅτι τῷ θυσιαστηρίῳ συμμερίζονται, οὐ τὴν ἐξίσης διανομὴν λέγει, ἀλλὰ τὴν ἐξ ὀφειλῆς διδομένην αὐτοῖς παραμυθίαν. Καίτοι τὰ τῶν ἀποστόλων πολλῷ μείζονα ἦν. Ἐκεῖ μὲν γὰρ τιμὴ ἦν ἡ ἱερωσύνη· ἐνταῦθα δὲ κίνδυνοι καὶ σφαγαὶ καὶ φόνοι. Διόπερ τῶν ἄλλων παραδειγμάτων ἁπάντων πολὺ μεῖζον ἦν τὸ λέγειν. «Εἰ ἡμεῖς ὑμῖν τὰ πνευματικὰ ἐσπείραμεν». Ὅταν γὰρ εἴπῃ, «ἐσπείραμεν», τοὺς χειμῶνας, τοὺς κινδύνους, τὰς ἐπιβουλάς, τὰ ἄφατα κακὰ ἐνδείκνυται, ἅπερ ὑπέμενον κηρύττοντες. Ἀλλ' ὅμως καὶ τοσαύτης οὔσης τῆς ὑπεροχῆς, οὐκ ἠθέλησεν οὔτε τὰ τῆς παλαιᾶς ταπεινῶσαι, οὔτε τὰ ἑαυτοῦ ἐπᾶραι· ἀλλὰ καὶ τὰ ἑαυτοῦ συστέλλει, οὐκ ἀπὸ τῶν κινδύνων, ἀλλ' ἀπὸ τοῦ μεγέθους τῆς δωρεᾶς διδοὺς τὴν ὑπεροχήν· οὐ γὰρ εἶπεν, εἰ ἐκινδυνεύσαμεν, εἰ παρεβουλευσάμεθα, ἀλλ', «Εἰ ἡμεῖς ὑμῖν τὰ πνευματικὰ ἐσπείραμεν»· καὶ τὰ τῶν ἱερέων, ὡς οἷόν τέ ἐστιν, ἐπαίρει λέγων, «οἱ τὰ ἱερὰ ἐργαζόμενοι», καί, «οἱ τῷ θυσιαστηρίῳ προσεδρεύοντες», τὴν διηνεκῆ δουλείαν αὐτῶν καὶ τὴν καρτερίαν διὰ τούτων ἐνδείξασθαι βουλόμενος.

Καὶ εἰπὼν τοὺς ἱερέας τοὺς παρὰ Ἰουδαίοις, τούς τε Λευΐτας, τούς τε ἀρχιερέας, ἑκάτερα τὰ τάγματα ἐδήλωσε, καὶ τὰ καταδεέστερα καὶ τὰ ὑπερέχοντα· τὰ μὲν διὰ τοῦ λέγειν, «οἱ τὰ ἱερὰ ἐργαζόμενοι», τὰ δὲ διὰ τοῦ εἰπεῖν, «οἱ τῷ θυσιαστηρίῳ προσεδρεύοντες». Οὐδὲ γὰρ πᾶσιν ἓν ἐπιτεταγμένον ἔργον ἦν· ἀλλ' οἱ μὲν τὰ παχύτερα, οἱ δὲ τα ὑψηλότερα ἦσαν ἐγκεχειρισμένοι. Πάντας τοίνυν τούτους πε-

1. Ματθ. 10, 10.

Καὶ δὲν εἶπεν ὅτι λαμβάνουν τὰ προσφερόμενα, ἀλλὰ «τρέφονται ἀπὸ τὰ εἰς τὸν ναὸν προσφερόμενα», διὰ νὰ δείξῃ πάλιν ὅτι πρέπει νὰ ὑπάρχῃ μέτρον καὶ ὅτι δὲν πρέπει ν' ἀποκτᾷ κανεὶς κέρδος, οὔτε νὰ πλουτίζῃ. Ὅταν δὲ λέγῃ, ὅτι λαμβάνουν ἓν μέρος ἀπὸ τὰ προσφερόμενα, δὲν ἐννοεῖ νὰ διανέμωνται τὰ ὑπάρχοντα ἐξ ἴσου, ἀλλ' ὅτι πρέπει νὰ δίδεται ἡ παρηγορία ποὺ ὀφείλεται εἰς τοὺς ἱερεῖς διὰ τὰς ἀνάγκας των. Ἂν καὶ ἡ προσφορὰ τῶν ἀποστόλων ἦτο πολὺ μεγαλυτέρα ἀπὸ τὴν τῶν λευϊτῶν. Διότι ἐκεῖ μὲν ἡ ἱερωσύνη ἦτο τιμή, ἐνῷ ἐδῶ ὑπῆρχον κίνδυνοι καὶ σφαγαὶ καὶ φόνοι. Διὰ τοῦτο ἀπὸ ὅλα τὰ ἄλλα παραδείγματα πολὺ μεγαλύτερον ἦτο τὸ ὅτι λέγει· «Ἐὰν ἐμεῖς ἐσπείραμεν εἰς ἐσᾶς τὰ πνευματικά». Διότι ὅταν λέγῃ «ἐσπείραμεν», δεικνύει τὰς δυσκόλους περιστάσεις, τοὺς κινδύνους, τὰς ἐπιβουλάς, τὰ ἀπερίγραπτα κακὰ ποὺ ὑπέμενον καθὼς ἐκήρυττον. Καὶ ὅμως, παρ' ὅ,τι ἦτο τόσον μεγάλη ἡ ὑπεροχή, δὲν ἠθέλησεν οὔτε τὰ τῶν λευϊτῶν νὰ μειώσῃ, οὔτε τὰ ἰδικά του νὰ ἐξυψώσῃ· ἀλλ' ἐπὶ πλέον καὶ μετριάζει τὰ ἰδικά του, μὲ τὸ νὰ δίδῃ τὴν ὑπεροχήν, ὄχι ἀπὸ τοὺς κινδύνους, ἀλλ' ἀπὸ τὸ μέγεθος τῆς δωρεᾶς· διότι δὲν εἶπεν, ἐὰν ἐκινδυνεύσαμεν, ἐὰν ἠθέλησαν τὸ κακόν μας, ἀλλ' «Ἐὰν ἐσπείραμεν εἰς ἐσᾶς τὰ πνευματικά»· καὶ τὰ τῶν ἱερέων, κατὰ κάποιον τρόπον, ἐξυψώνει ὅταν λέγῃ «ἐκεῖνοι ποὺ τελοῦν τὰ τῆς λατρείας», καί, «ἐκεῖνοι ποὺ ὑπηρετοῦν εἰς τὸ θυσιαστήριον, θέλων νὰ δείξῃ μὲ αὐτὰ τὴν παντοτινὴν ὑπηρεσίαν καὶ τὴν καρτερίαν των.

Καὶ ὅταν ἀνέφερε τοὺς ἱερεῖς τῶν Ἰουδαίων, ἐδήλωσε καὶ τὰς δύο τάξεις, καὶ τοὺς Λευΐτας καὶ τοὺς ἀρχιερεῖς, καὶ τὰ ὑποδεέστερα καὶ αὐτὰ ποὺ ὑπηρεέχουν· τὰ μὲν ὅταν εἶπεν, «ἐκεῖνοι ποὺ τελοῦν τὰ τῆς λατρείας», τὰ δὲ μὲ τὸ νὰ εἴπῃ, «ἐκεῖνοι ποὺ ὑπηρετοῦν εἰς τὸ θυσιαστήριον». Διότι δὲν εἶχε διαταχθῇ εἰς ὅλους νὰ κάμνουν τὸ ἴδιον ἔργον, ἀλλ' ἄλλοι μὲν τὰ κατώτερα καὶ χονδρότερα, ἄλλοι δὲ ὡρίσθησαν διὰ τὰ ὑψηλότερα. Ἀφοῦ λοιπὸν συμπεριέλαβεν ὅλους αὐτούς, διὰ νὰ μὴ λέγῃ κανείς,

ριλαβών, ἵνα μή τις λέγῃ, τί τῆς παλαιᾶς ἡμῖν μέμνησαι; οὐκ οἶσθα ὅτι προσταγμάτων τελειοτέρων ἡμῖν ὁ καιρός; μετ᾽ ἐκεῖνα πάντα τὸ πάντων ἰσχυρότερον τέθεικεν εἰπών· «Οὕτω καὶ ὁ Κύριος διέταξε τοῖς τὸ εὐαγγέλιον καταγγέλλουσιν, ἐκ τοῦ εὐαγγελίου ζῆν». Καὶ οὐδὲ ἐνταῦθα ἐκ τῶν ἀνθρώπων λέγει τρέφεσθαι, ἀλλ᾽ ὥσπερ ἐπὶ τῶν ἱερέων, «ἐκ τοῦ ἱεροῦ», καί, «ἐκ τοῦ θυσιαστηρίου, οὕτω καὶ ἐνταῦθα, «ἐκ τοῦ εὐαγγελίου», φησί· καὶ ὥσπερ ἐκεῖ, ἐσθίειν, οὕτως ἐνταῦθα, ζῆν, οὐκ ἐμπορεύεσθαι οὐδὲ θησαυρίζειν. «Ἄξιος γάρ», φησίν, «ὁ ἐργάτης τοῦ μισθοῦ αὐτοῦ».

2. «Ἐγὼ δὲ οὐδενὶ τούτων ἐχρησάμην». Τί οὖν, εἰ μὴ ἐχρήσω, φησί, νῦν, πρὸς δὲ τὸ μέλλον χρήσασθαι βούλει, καὶ διὰ τοῦτο ταῦτα λέγεις; Ἄπαγε· καὶ γὰρ διὰ τοῦτο ταχέως τῇ ἐπιδιορθώσει ἐχρήσατο, οὕτως εἰπών· «Οὐκ ἔγραψα δὲ ταῦτα, ἵνα οὕτω γένηται ἐν ἐμοί». Καὶ ὅρα μεθ᾽ ὅσης σφοδρότητος ἀρνεῖται καὶ διακρούεται τὸ πρᾶγμα. «Καλὸν γάρ μοι μᾶλλον ἀποθανεῖν, ἢ τὸ καύχημά μου ἵνα τις κενώσῃ». Καὶ οὐχ ἅπαξ οὐδὲ δίς, ἀλλὰ καὶ πολλάκις κέχρηται τῇ ῥήσει ταύτῃ. Καὶ γὰρ ἀνωτέρω εἶπεν, «Οὐκ ἐχρησάμεθα τῇ ἐξουσίᾳ ταύτῃ»· καὶ μετὰ ταῦτα πάλιν, «Εἰς τὸ μὴ καταχρήσασθαί με τῇ ἐξουσίᾳ μου»· καὶ ἐνταῦθα, «Ἐγὼ δὲ οὐδενὶ τούτων ἐχρησάμην».

Τούτων, ποίων; Τῶν πολλῶν παραδειγμάτων. Πολλῶν γάρ μοι παρεχόντων ἐξουσίαν, τοῦ στρατιώτου, τοῦ γεωργοῦ, τοῦ ποιμένος, τῶν ἀποστόλων, τοῦ νόμου, τῶν παρ᾽ ἡμῶν εἰς ὑμᾶς γινομένων, τῶν παρ᾽ ὑμῶν εἰς τοὺς ἄλλους, τῶν ἱερέων, τοῦ προστάγματος τοῦ Χριστοῦ, οὐδενὶ τούτων ἐπείσθην εἰς τὸ καταλῦσαι τὸν ἐμαυτοῦ νόμον, καὶ λαβεῖν. Καὶ μή μοι τὰ παρελθόντα λέγε· «καίτοιγε ἔχω εἰπεῖν, ὅτι πολλὰ καὶ ἐν τοῖς παρελθοῦσιν ὑπέμεινα διὰ τοῦτο· ἀλλ᾽ ὅμως

'Διατί μᾶς ἐνθυμίζεις τὰ τῆς παλαιᾶς διαθήκης; δὲν γνωρίζεις ὅτι ἦλθε δι' ἐμᾶς καιρὸς διὰ τελειοτέρας ἐντολάς;' Μετὰ ἀπὸ ὅλα ἐκεῖνα ἔβαλεν αὐτὸ ποὺ εἶναι ἰσχυρότερον ἀπὸ ὅλα ὅταν εἶπεν· «Ἔτσι καὶ ὁ Κύριος διέταξεν· ἐκεῖνοι ποὺ κηρύττουν τὸ εὐαγγέλιον νὰ ζοῦν ἀπὸ τὸ εὐαγγέλιον». Καὶ οὔτε ἐδῶ ἀπὸ τοὺς ἀνθρώπους λέγει ὅτι τρέφονται, ἀλλ' ὅπως διὰ τοὺς ἱερεῖς λέγει «ἀπὸ τὸ ἱερὸν» καί, «ἀπὸ τὸ θυσιαστήριον», ἔτσι καὶ ἐδῶ λέγει, «ἀπὸ τὸ εὐαγγέλιον». Καὶ ὅπως ἐκεῖ, νὰ τρώγουν, ἔτσι ἐδῶ, νὰ ζοῦν, ὄχι νὰ ἐπιδιώκουν κέρδος, οὔτε νὰ θησαυρίζουν· «Διότι ὁ ἐργάτης», λέγει, «ἔχει δικαίωμα νὰ τρέφεται»[1].

2. «Ἐγὼ ὅμως τίποτε ἀπὸ αὐτὰ δὲν ἐχρησιμοποίησα». Τί λοιπόν, θὰ εἴπῃ κανείς, ἐὰν δὲν ἐχρησιμοποίησες τώρα, ἐπιθυμεῖς δὲ νὰ χρησιμοποιήσῃς εἰς τὸ μέλλον, καὶ δι' αὐτὸ λέγεις αὐτά; Μακρυὰ ἀπὸ τέτοιαν σκέψιν! Καὶ μάλιστα δι' αὐτὸ ἀμέσως ἔθεσε τὴν διόρθωσιν ὅταν εἶπε· «Δὲν σᾶς τὸ γράφω αὐτὸ διὰ νὰ γίνῃ τὸ ἴδιον καὶ εἰς ἐμέ». Καὶ κοίταξε πόσον ἐντόνως ἀρνεῖται καὶ ἀπωθεῖ τὸ πρᾶγμα. «Μοῦ εἶναι προτιμότερον ν' ἀποθάνω, παρὰ νὰ ματαιώσῃ κανεὶς τὸ καύχημά μου». Καὶ ὄχι μίαν, οὔτε δύο, ἀλλὰ πολλὰς φορὰς χρησιμοποιεῖ αὐτοὺς τοὺς λόγους. Διότι καὶ ἀνωτέρω εἶπεν, «Ἀλλ' ὅμως δὲν ἐκάναμεν χρῆσιν αὐτοῦ τοῦ δικαιώματός μας»· καὶ ὕστερον πάλιν, «Διὰ νὰ μὴ κάμω χρῆσιν τοῦ δικαιώματός μου»· καὶ ἐδῶ, «ἐγὼ ὅμως τίποτε ἀπὸ αὐτὰ δὲν ἐχρησιμοποίησα».

Ἀπὸ αὐτά. Ποῖα; Ἀπὸ τὰ πολλὰ παραδείγματα. Διότι, ἐνῷ πολλὰ μοῦ ἔδιδον ἐξουσίαν, ὅπως τὸ παράδειγμα τοῦ στρατιώτου, τοῦ γεωργοῦ, τοῦ ποιμένος, τῶν ἀποστόλων, τοῦ νόμου, τῶν ὅσων γίνονται ἀπὸ ἐμᾶς εἰς ἐσᾶς, ἀπὸ ἐσᾶς εἰς τοὺς ἄλλους, τῶν ἱερέων, τῆς ἐντολῆς τοῦ Χριστοῦ, εἰς κανὲν ἀπὸ αὐτὰ δὲν ἐπείσθην διὰ νὰ καταλύσω τὸν νόμον ποὺ ἔθεσα εἰς τὸν ἑαυτόν μου καὶ νὰ λάβω κάτι. Καὶ μὴ μοῦ εἰπῇς διὰ τὰ παρελθόντα· ἂν καὶ βεβαίως ἔχω νὰ εἴπω, ὅτι πολλὰ ὑπέμεινα καὶ εἰς τὸ παρελθὸν δι' αὐτό· δὲν ἰσχυρίζομαι ὅμως μόνον δι' ἐκεῖνα, ἀλλὰ καὶ διὰ

οὐκ ἐκείνοις ἰσχυρίζομαι μόνοις, ἀλλὰ καὶ περὶ τῶν μελλόντων ὑπισχνοῦμαι, ὅτι αἱροῦμαι μᾶλλον ἀποθανεῖν λιμῷ, ἢ τούτων ἀποστερηθῆναι τῶν στεφάνων. «Καλὸν γάρ μοι μᾶλλον ἀποθανεῖν», φησίν, «ἢ τὸ καύχημά μου ἵνα τις κενώσῃ». Οὐκ εἶπεν, ἢ τὸν νόμον μου ἵνα τις καταλύσῃ, ἀλλὰ «τὸ καύχημα». Ἵνα γὰρ μὴ λέγῃ τις, ὅτι ποιεῖ μὲν αὐτό, οὐ χαίρων δέ, ἀλλὰ στένων καὶ ὀδυνώμενος, τὴν ὑπερβολὴν τῆς χαρᾶς δεῖξαι θέλων καὶ τὴν περιουσίαν τῆς προθυμίας, καὶ καύχημα τὸ πρᾶγμα καλεῖ. Τοσοῦτον ἀπεῖχεν ὀδυνᾶσθαι, ὅτι καὶ καυχᾶται, καὶ ἀποθανεῖν αἱρεῖται, μᾶλλον ἢ ἐκπεσεῖν τοῦ καυχήματος τούτου. Οὕτω καὶ ζωῆς αὐτῷ γλυκύτερον ἦν τὸ γινόμενον.

3. Εἶτα καὶ ἑτέρωθεν ἐπαίρει αὐτό, καὶ δείκνυσι μέγα ὄν, οὐχ ἵνα ἑαυτὸν λαμπρὸν ἀποφήνῃ· πόρρω γὰρ τοῦτο ἐκείνου τοῦ ἤθους· ἀλλ' ἵνα δείξῃ ὅτι χαίρει, καὶ τὴν ὑποψίαν ἐκ περιουσίᾳ ἀνέλῃ. Διὰ γὰρ τοῦτο, ὡς ἔφθην εἰπών, καὶ καύχημα αὐτὸ ἐκάλεσε. Καὶ τί φησιν; «Ἐὰν γὰρ εὐαγγελίζωμαι, οὐκ ἔστι μοι καύχημα· ἀνάγκη γάρ μοι ἐπίκειται· οὐαὶ δέ μοί ἐστιν, ἐὰν μὴ εὐαγγελίζωμαι. Εἰ γὰρ ἑκὼν τοῦτο πράσσω, μισθὸν ἔχω· εἰ δὲ ἄκων, οἰκονομίαν πεπίστευμαι. Τίς οὖν μοί ἐστιν ὁ μισθός; Ἵνα εὐαγγελιζόμενος, ἀδάπανον θήσω τὸ εὐαγγέλιον τοῦ Χριστοῦ, εἰς τὸ μὴ καταχρήσασθαι τῇ ἐξουσίᾳ μου ἐν τῷ εὐαγγελίῳ». Τί λέγεις, εἰπέ μοι; Ἐὰν εὐαγγελίζῃ, οὐκ ἔστι σοι καύχημα, ἀλλ' ἐὰν ἀδάπανον θῇς τὸ εὐαγγέλιον; Οὐκοῦν τοῦτο μεῖζον ἐκείνου; Οὐδαμῶς· ἀλλ' ἑτέρωθεν ἔχει τι πλέον· ὅτι τὸ μέν ἐστιν ἐπίταγμα, τὸ δὲ τῆς ἐμῆς προαιρέσεως κατόρθωμα. Ἃ μὲν γὰρ ὑπὲρ τὴν ἐντολὴν γίνεται, πολὺν ἔχει μισθὸν κατὰ τοῦτο· ἃ δὲ ἐν ἐντολῆς τάξει, οὐ τοσοῦτον.

Ὥστε κατὰ τοῦτό φησι τοῦτο ἐκείνου πλέον εἶναι, οὐ κατ' αὐτὴν τοῦ πράγματος τὴν φύσιν. Τί γὰρ τοῦ κηρύ-

τὰ μέλλοντα ὑπόσχομαι, ὅτι προτιμῶ μᾶλλον ν' ἀποθάνω ἀπὸ πεῖναν, παρὰ νὰ στερηθῶ αὐτοὺς τοὺς στεφάνους. «Μοῦ εἶναι προτιμώτερον ν' ἀποθάνω», λέγει, «παρὰ νὰ ματαιώσῃ κανεὶς τὸ καύχημά μου». Δὲν εἶπε, παρὰ νὰ καταλύσῃ κανεὶς τὸν νόμον μου, ἀλλά, «τὸ καύχημα». Διότι διὰ νὰ μὴ λέγῃ κανείς, ὅτι κάνει μὲν αὐτό, ὄχι ὅμως μὲ χαράν, ἀλλὰ μὲ στεναγμὸν καὶ πόνον, θέλων νὰ δείξῃ τὴν ὑπερβολὴν τῆς χαρᾶς καὶ τὸ μέγεθος τῆς προθυμίας, ὀνομάζει καὶ καύχημα τὸ πρᾶγμα. Τόσον ἀπεῖχεν ἀπὸ τοῦ νὰ πονῇ, ὥστε καὶ καυχᾶται, καὶ προτιμᾷ ν' ἀποθάνῃ μᾶλλον, παρὰ νὰ στερηθῇ αὐτὸ τὸ καύχημα. Πόσον ἦτο δι' αὐτὸν γλυκύτερον καὶ ἀπὸ τὴν ζωὴν αὐτὸ ποὺ ἐγίνετο.

Ὕστερον καὶ ἀπὸ ἄλλην πλευρὰν ἐπαινεῖ αὐτὸ καὶ δεικνύει ὅτι εἶναι μέγα, ὄχι διὰ νὰ ἐμφανίσῃ λαμπρὸν τὸν ἑαυτόν του, διότι πολὺ ἀπέχει αὐτὸ ἀπὸ ἐκεῖνο τὸ ἦθος, ἀλλὰ διὰ νὰ δείξῃ ὅτι χαίρεται, καὶ διὰ ν' ἀναιρέσῃ ἐντελῶς τὴν ὑποψίαν. Διότι διὰ τοῦτο, ὅπως ἤδη εἶπον, ἀπεκάλεσεν αὐτὸ καὶ καύχημα. Καὶ τί λέγει; «Ἐὰν κηρύττω τὸ εὐαγγέλιον, αὐτὸ δὲν μοῦ δίνει λόγον νὰ καυχῶμαι. Διότι μοῦ ἐπιβάλλεται ἀναγκαίως νὰ τὸ κάνω. Ἀλλοίμονόν μου, ἐὰν δὲν κηρύττω τὸ εὐαγγέλιον. Διότι ἐὰν τὸ κάνω ἀπὸ ἰδικήν μου θέλησιν, θὰ ἀνταμειφθῶ, ἀλλ' ἐὰν ὄχι ἀπὸ ἰδικήν μου θέλησιν, τότε εἶμαι ἐμπιστευμένος μὲ ὑπηρεσίαν. Ποῖος εἶναι λοιπὸν ὁ μισθός μου; Τὸ νὰ κάνω ἀδάπανον τὸ εὐαγγέλιον τοῦ Χριστοῦ, ὅταν τὸ κηρύττω, καὶ νὰ μὴ χρησιμοποιήσω τὸ δικαίωμα ποὺ μοῦ δίδει τὸ εὐαγγέλιον». Εἰπέ μου, τί λέγεις; Δὲν θεωρεῖς καύχημα δι' ἐσὲ τὸ νὰ κηρύττῃς τὸ εὐαγγέλιον, ἀλλὰ τὸ νὰ κάνῃς ἀδάπανον τὴν κήρυξιν τοῦ εὐαγγελίου; Λοιπὸν αὐτὸ εἶναι μεγαλύτερον ἐκείνου; Καθόλου· ἀλλ' ἀπὸ ἄλλην πλευρὰν ἔχει κάτι περισσότερον· ὅτι τὸ μὲν εἶναι προσταγή, τὸ δὲ κατόρθωμα τῆς ἰδικῆς μου προαιρέσεως. Διότι αὐτὰ ποὺ γίνονται πέραν τῆς ἐντολῆς ἔχουν πολὺν μισθὸν δι' αὐτό· ἐνῷ ὅσα γίνονται συμφώνως πρὸς τὴν ἐντολήν, ὄχι τόσον.

Ὥστε ὡς πρὸς τὸν μισθὸν λέγει ὅτι τοῦτο εἶναι περισσότερον ἐκείνου, ὄχι ὡς πρὸς τὴν φύσιν τοῦ πράγμα-

ξαι ἴσον; Τοῦτο γὰρ καὶ πρὸς τοὺς ἀγγέλους αὐτοὺς ἁμιλλᾶσθαι ποιεῖ· ἀλλ' ὅμως ἐπειδὴ τὸ μὲν ἐπίταγμά ἐστι καὶ ὀφειλή, τὸ δὲ προαιρέσεως φιλοτιμία, κατὰ τοῦτο τοῦτο ἐκείνου πλέον. Διό φησι, τὸ αὐτὸ ἑρμηνεύων, ὅπερ εἶπον νῦν· «Εἰ γὰρ ἑκὼν τοῦτο πράσσω, μισθὸν ἔχω· εἰ δὲ ἄκων, οἰκονομίαν πεπίστευμαι»· τὸ ἑκὼν καὶ ἄκων ἐπὶ τοῦ ἐγχειρίσασθαι καὶ μὴ ἐγκεχειρίσθαι λαμβάνων. Οὕτω καὶ τό, «Ἀνάγκη γάρ μοι ἐπίκειται», νοητέον, οὐχ ὡς ἄκοντάς τι τούτων ποιοῦντος, μὴ γένοιτο, ἀλλ' ὡς ὑπευθύνου ὄντος τοῖς ἐπιταχθεῖσι, καὶ πρὸς τὴν ἀντιδιαστολὴν τῆς ἐλευθερίας τῆς ἐν τῷ λαμβάνειν εἰρημένου. Διὸ καὶ τοῖς μαθηταῖς ἔλεγεν ὁ Χριστός· «Ὅταν πάντα ποιήσητε, λέγετε ὅτι ἀχρεῖοι δοῦλοί ἐσμεν· ἃ γὰρ ὠφείλομεν ποιῆσαι, πεποιήκαμεν».

«Τίς οὖν μοί ἐστιν ὁ μισθός; Ἵνα εὐαγγελιζόμενος ἀδάπανον θήσω τὸ εὐαγγέλιον». Τί οὖν, εἰπέ μοι; Πέτρος οὐκ ἔχει μισθόν; καὶ τίς ἂν σχοίη ποτὲ τοσοῦτον ὅσον ἐκεῖνος; τί δὲ οἱ λοιποὶ ἀπόστολοι; Πῶς οὖν εἶπεν, «Εἰ μὲν ἑκὼν τοῦτο πράσσω, μισθὸν ἔχω· εἰ δὲ ἄκων, οἰκονομίαν πεπίστευμαι»; Ὁρᾷς κἀνταῦθα τὴν σύνεσιν; Οὐδὲ γὰρ εἶπεν, εἰ δὲ ἄκων, οὐκ ἔχω μισθόν, ἀλλ', «οἰκονομίαν πεπίστευμαι»· δεικνὺς ὅτι καὶ οὕτως ἔχει μισθόν, ἀλλὰ τοιοῦτον, οἷον ὁ τὸ ἐπιταχθὲν ἐξανύσας, οὐχ οἷον ἐκεῖνος ὁ ἐκ τῶν ἑαυτοῦ φιλοτιμησάμενος καὶ ὑπερβὰς τὸ ἐπίταγμα. Τίς οὖν ἐστιν ὁ μισθός; «Ἵνα εὐαγγελιζόμενος, ἀδάπανον», φησί, «θήσω τὸ εὐαγγέλιον, εἰς τὸ μὴ καταχρήσασθαί με τῇ ἐξουσίᾳ μου ἐν τῷ εὐαγγελίῳ». Ὁρᾷς πῶς διόλου τῷ ὀνόματι τῆς ἐ-

2. Λουκᾶ 17, 10.

τος. Διότι τί εἶναι ἰσάξιον πρὸς τὸ κήρυγμα; Ἀφοῦ τὸ κήρυγμα μᾶς ἀξιώνει νὰ συναγωνιζώμεθα ἀκόμη καὶ μὲ τοὺς ἀγγέλους· ἐπειδὴ ὅμως τὸ μὲν ἓν εἶναι προσταγὴ καὶ χρέος, ἐνῷ τὸ ἄλλο φιλοτιμία, κατὰ τοῦτο αὐτὸ εἶναι περισσότερον ἐκείνου. Διὰ τοῦτο, διὰ νὰ ἐξηγήσῃ τὸ ἴδιον, λέγει αὐτὸ ποὺ τώρα ἀνέφερον· «Διότι, ἐὰν τὸ κάνω ἀπὸ ἰδικήν μου θέλησιν, θὰ ἀνταμειφθῶ, ἀλλ' ἐὰν ὄχι ἀπὸ ἰδικήν μου θέλησιν, τότε εἶμαι ἐμπιστευμένος μὲ ὑπηρεσίαν». Χρησιμοποιῶν τὸ μὲ τὴν ἰδικήν του θέλησιν ἢ χωρὶς τὴν θέλησίν του, ὡς πρὸς τὸ ὅτι ἔχει ἢ δὲν ἔχει παραλάβει τὸ κήρυγμα. Ἔτσι καὶ τὸ «Διότι μοῦ ἐπιβάλλεται ἀναγκαίως νὰ τὸ κάνω», πρέπει νὰ νοηθῇ, ὄχι ὡσὰν νὰ κάμνῃ κάτι ἀπὸ αὐτὰ χωρὶς νὰ θέλῃ, μὴ γένοιτο, ἀλλ' ὅτι εἶναι ὑπεύθυνος διὰ τὰ προσταγμένα, καὶ σχετικῶς πρὸς τὴν ἀντιδιαστολὴν τῆς ἐλευθερίας εἰς τὸ νὰ παραλαμβάνῃ τὸ κήρυγμα. Διὰ τοῦτο καὶ ὁ Χριστὸς ἔλεγεν εἰς τοὺς μαθητάς· «Ὅταν κάνετε ὅλα ὅσα σᾶς ἔχουν διαταχθῆ, νὰ λέγετε, «Εἴμεθα ἀνάξιοι δοῦλοι· διότι ἐπράξαμεν ἐκεῖνο ποὺ ὠφείλαμεν νὰ πράξωμεν»[2].

«Ποῖος λοιπὸν εἶναι ὁ μισθός μου; Τὸ νὰ κάνω ἀδάπανον τὸ εὐαγγέλιον τοῦ Χριστοῦ». Τί λοιπόν; εἰπέ μου. Ὁ Πέτρος δὲν ἔχει μισθόν; Καὶ ποῖος θὰ ἔχῃ ποτὲ ὅσον ἐκεῖνος; Ἀλλὰ καὶ οἱ ἄλλοι ἀπόστολοι; Πῶς λοιπὸν εἶπεν, «Ἐὰν τὸ κάμνω ἀπὸ ἰδικήν μου θέλησιν, τότε θὰ ἀνταμειφθῶ, ἐὰν ὅμως ὄχι ἀπὸ ἰδικήν μου, τότε εἶμαι ἐμπιστευμένος μὲ ὑπηρεσίαν»; Βλέπεις καὶ ἐδῶ τὴν σύνεσιν; Διότι δὲν εἶπεν, ἐὰν ὅμως ὄχι ἀπὸ ἰδικήν μου θέλησιν, δὲν θὰ ἀνταμειφθῶ, ἀλλ', «εἶμαι ἐμπιστευμένος μὲ ὑπηρεσίαν»· διὰ νὰ δείξῃ ὅτι καὶ ἔτσι ἔχει μισθόν, ἀλλὰ τέτοιον ποὺ ἔχει αὐτὸς ποὺ ἐξετέλεσεν ὅ,τι τὸν διέταξαν, ὄχι ἴδιον μὲ ἐκεῖνον ποὺ ἐφιλοτιμήθη ἀπὸ μόνος του καὶ ἔχει ὑπερβῆ τὴν ἐντολήν. Ποῖος λοιπὸν εἶναι ὁ μισθός; «Τὸ νὰ κάνω ἀδάπανον τὸ εὐαγγέλιον τοῦ Χριστοῦ, ὅταν τὸ κηρύττω», λέγει, «καὶ νὰ μὴ χρησιμοποιήσω τὸ δικαίωμα ποὺ μοῦ δίνει τὸ εὐαγγέλιον». Βλέπεις πῶς καθόλου δὲν ὁμιλεῖ διὰ δικαίωμα, διὰ νὰ δείξῃ αὐτὸ ποὺ ἔλεγον

ξουσίας κέχρηται, δεικνὺς τοῦτο, ὃ συνεχῶς εἶπον, ὅτι οὐδὲ οἱ λαμβάνοντες ἐγκλημάτων ἄξιοι; Προσέθηκε δέ, «τῷ εὐαγγελίῳ», ὁμοῦ μὲν τὸ εὔλογον δηλῶν, ὁμοῦ δὲ κωλύων πανταχοῦ τὸ πρᾶγμα ἐξάγειν. Τὸν γὰρ διδάσκοντα χρὴ λαμβάνειν, οὐχὶ δὲ καὶ τὸν ἀργοῦντα ἁπλῶς.

4. «Ἐλεύθερος γὰρ ὢν ἐκ πάντων, πᾶσιν ἐμαυτὸν ἐδούλωσα, ἵνα τοὺς πλείους κερδήσω». Πάλιν ἐνταῦθα ἄλλην τίθησιν ὑπερβολήν. Μέγα μὲν γὰρ καὶ τὸ μὴ λαβεῖν· τοῦτο δέ, ὃ μέλλει λέγειν, πολλῷ πλέον ἐκείνου. Τί δέ ἐστιν ὅ φησιν; Οὐ μόνον οὐκ ἔλαβον, φησίν, οὐδὲ μόνον οὐκ ἐχρησάμην τῇ ἐξουσίᾳ ταύτῃ, ἀλλὰ καὶ ἐδούλωσα ἐμαυτόν, καὶ δουλείαν ποικίλην καὶ παντοδαπήν. Οὐδὲ γὰρ ἐν χρήμασι μόνον, ἀλλ' ὃ πολλῷ χρημάτων μεῖζον ἦν, ἐν πράγμασι πολλοῖς καὶ ποικίλοις τὸ αὐτὸ τοῦτο ἐπεδειξάμην. Καὶ ἐδούλωσα, οὐδενὶ ὑποκείμενος κατ' οὐδέν, οὐδὲ ἀνάγκην ἔχω· τοῦτο γάρ ἐστιν, «Ἐλεύθερος ὢν ἐκ πάντων». Καὶ οὐδὲ ἑνὶ ἐδούλωσα, ἀλλὰ τῇ οἰκουμένῃ πάσῃ· διὸ καὶ ἐπήγαγε, «Πᾶσιν ἐμαυτὸν ἐδούλωσα». Καὶ γὰρ κηρῦξαι ἐπεταττόμην καὶ ἀπαγγέλλειν τὰ ἐμπιστευθέντα· τὸ δὲ μυρία μηχανᾶσθαι καὶ ἐπινοεῖν, λοιπὸν τῆς ἐμῆς σπουδῆς ἦν. Τοῦ γὰρ καταβαλεῖν τὸ ἀργύριον ὑπεύθυνος ἤμην μόνον· ἐγὼ δὲ καὶ ὑπὲρ τοῦ ἀπαιτῆσαι πάντα ἐποίουν πάλιν, πλέον τῶν ἐπιτεταγμένων ἐπιχειρῶν. Ἐπειδὴ γὰρ προαιρέσει καὶ προθυμίᾳ καὶ ἀγάπῃ τῇ εἰς Χριστὸν πάντα ἔπραττεν, ἀκόρεστον εἶχεν ἐπιθυμίαν εἰς τὴν τῶν ἀνθρώπων σωτηρίαν. Διὸ καὶ ἐκ πολλῆς τῆς περιουσίας ὑπερέβαινε τὰ σκάμματα, διὰ πάντων ὑπὲρ αὐτὸν πηδῶν τὸν οὐρανόν.

Καὶ εἰπὼν τὴν δουλείαν, λέγει λοιπὸν τοὺς τρόπους αὐτῆς τοὺς ποικίλους. Τίνες δέ εἰσιν οὗτοι; «Καὶ ἐγενόμην»,

συνεχῶς, ὅτι οὔτε αὐτοὶ ποὺ λαμβάνουν κάτι διὰ τὸ κήρυγμα εἶναι ἀξιοκατηγόρητοι; Προσέθεσε δὲ «τὸ εὐαγγέλιον», διὰ νὰ δηλώσῃ ὅτι εἶναι εὔλογον τὸ νὰ λαμβάνῃ κανείς, συγχρόνως ὅμως καὶ διὰ νὰ ἐμποδίσῃ νὰ χρησιμοποιῆται ὁπουδήποτε αὐτὸ τὸ δικαίωμα. Διότι ὁ διδάσκων πρέπει νὰ λαμβάνῃ, ὄχι ὅμως καὶ αὐτὸς ποὺ δὲν ἐργάζεται καὶ δὲν κηρύττει.

«Ἂν καὶ εἶμαι ἐλεύθερος ἔναντι ὅλων, ὑπεδούλωσα τὸν ἑαυτόν μου εἰς ὅλους διὰ νὰ κερδήσω τοὺς περισσοτέρους». Πάλιν ἐδῶ ἄλλο κατόρθωμα παρουσιάζει. Βεβαίως μέγα μὲν εἶναι καὶ τὸ νὰ μὴ λαμβάνῃ· αὐτὸ ὅμως ποὺ πρόκειται νὰ εἰπῇ, εἶναι πολὺ μεγαλύτερον ἀπὸ ἐκεῖνο. Τί εἶναι ὅμως αὐτὸ ποὺ λέγει; Ὄχι μόνον δὲν ἔλαβον, λέγει, ἀλλὰ καὶ ὑπεδούλωσα τὸν ἑαυτόν μου, καὶ εἰς δουλείαν ποικίλην καὶ κάθε εἴδους. Δηλαδὴ ὄχι μόνον εἰς χρήματα, ἀλλά, πρᾶγμα ποὺ εἶναι πολὺ μεγαλύτερον ἀπὸ τὰ χρήματα, εἰς πράγματα πολλὰ καὶ ποικίλα ἐπέδειξα αὐτό. Καὶ ὑπεδουλώθην, χωρὶς νὰ εἶμαι ὑποθηκευμένος εἰς κανένα καὶ διὰ τίποτε, καὶ χωρὶς νὰ ἔχω ἀνάγκην· διότι αὐτὸ σημαίνει, «ἂν καὶ εἶμαι ἐλεύθερος ἔναντι ὅλων». Καὶ δὲν ὑπεδουλώθην εἰς ἕνα, ἀλλ' εἰς τὴν οἰκουμένην ὁλόκληρον· διὰ τοῦτο καὶ προσέθεσε, «ὑπεδούλωσα τὸν ἑαυτόν μου εἰς ὅλους». Διότι εἶχον ἐντολὴν νὰ κηρύξω καὶ νὰ ἀναγγείλω αὐτὰ ποὺ μοῦ ἐνεπιστεύθησαν· τὸ νὰ μηχανεύωμαι ὅμως καὶ νὰ ἐπινοῶ ἄπειρα, ἦτο ἔργον τῆς ἰδικῆς μου φροντίδος. Διότι εἶχον χρέος μόνον νὰ καταβάλω τὸ ἀργύριον, ἐγὼ ὅμως τὰ ἔκαμνα ὅλα πέραν ἀπὸ τὴν ὑπάρχουσαν ἀπαίτησιν, μὲ τὸ νὰ ἐπιχειρῶ περισσότερα ἀπὸ ὅσα ἔχω διαταχθῇ. Ἐπειδὴ λοιπὸν μὲ ἰδικήν του προαίρεσιν καὶ προθυμίαν καὶ ἀγάπην διὰ τὸν Χριστὸν ἔκαμνε τὰ πάντα, δι' αὐτὸ εἶχεν ἀκόρεστον ἐπιθυμίαν διὰ τὴν σωτηρίαν τῶν ἀνθρώπων. Διὰ τοῦτο καὶ τόσον πολὺ ὑπερέβαινε τὰ σκάμματα, πηδῶν μὲ ὅλα τὰ ἔργα του περισσότερον καὶ ἀπὸ αὐτὸν τὸν οὐρανόν.

Καὶ ὅταν λέγει τὴν δουλείαν, ἐννοεῖ τοὺς ποικίλους τρόπους της. Ποῖοι δὲ εἶναι αὐτοί; «Καὶ ἔγινα», λέγει,

φησί, «τοῖς Ἰουδαίοις ὡς Ἰουδαῖος, ἵνα Ἰουδαίους κερδήσω». Καὶ πῶς ἐγένετο τοῦτο; Ὅτε περιέτεμεν, ἵνα καθέλῃ περιτομήν. Διὰ τοῦτο οὐκ εἶπεν. Ἰουδαῖος, ἀλλ', «ὡς Ἰουδαῖος», ὅπερ οἰκονομία ἦν. Τί λέγεις; ὁ τῆς οἰκουμένης κήρυξ, καὶ τῶν οὐρανῶν αὐτῶν ἁψάμενος, καὶ τοσοῦτον ἐν τῇ χάριτι λάμψας, οὗτος ἀθρόον καταβαίνει τοσοῦτον; Ναί· τοῦτο γάρ ἐστι ἀναβῆναι. Μὴ γὰρ δὴ τοῦτο ἴδῃς, ὅτι καταβαίνει, μόνον, ἀλλ' ὅτι καὶ τὸν κάτω κείμενον ἀνίστησι καὶ ἀνάγει πρὸς ἑαυτόν. «Τοῖς ὑπὸ νόμον, ὡς ὑπὸ νόμον, μὴ ὢν αὐτὸς ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον κερδήσω». Ἢ ἐπεξήγησις τοῦ προτέρου ἐστίν, ἢ ἕτερόν τι αἰνίττεται παρὰ τὸ πρότερον· Ἰουδαίους μὲν λέγω τοὺς ἄνωθεν καὶ ἐξ ἀρχῆς τοιούτους ὄντας· ὑπὸ νόμον δέ, τοὺς προσηλύτους, ἢ τοὺς πιστοὺς γενομένους καὶ ἔτι ἀντεχομένους τοῦ νόμου. Οὐκέτι γὰρ ἦσαν ὡς Ἰουδαῖοι, ἀλλ' ὑπὸ νόμον.

Καὶ πῶς ἐγένετο ὑπὸ νόμον; Ὅτε ἐξυρᾶτο, ὅτε ἔθυεν. Ἐγίνετο δὲ ταῦτα, οὐ τῆς γνώμης αὐτῷ μεταβαλλομένης, ἐπεὶ κακία τὸ πρᾶγμα ἦν· ἀλλὰ τῆς ἀγάπης συγκαταβαινούσης. Ἵνα γὰρ τοὺς ὄντας ἀληθῶς ταῦτα μεταστήσῃ, ἐγίνετο αὐτὸς οὐκ ἀληθῶς, ἐπιδεικνύμενος μόνον, οὐκ ὤν, οὐδὲ ἐκ διανοίας αὐτὰ πράττων οὕτως ἐχούσης. Πῶς γάρ, ὁ καὶ ἑτέρους μεταθεῖναι σπεύδων, καὶ διὰ τοῦτο ταῦτα ποιῶν, ἵνα ἄλλους ποιοῦντας ἐλευθερώσῃ τῆς ταπεινότητος ἐκείνης; «Τοῖς ἀνόμοις ὡς ἄνομος». Οὗτοι οὔτε Ἰουδαῖοι ἦσαν, οὔτε Χριστιανοί, οὔτε Ἕλληνες, ἀλλ' ἐκτὸς νόμου ὄντες, οἷος ἦν ὁ Κορνήλιος, καὶ εἴ τινες κατ' ἐκεῖνον. Καὶ γὰρ πρὸς ἐκείνους εἰσιών, πολλὰ ὑπεκρίνετο τῶν ἐκείνων. Τινὲς δέ

«είς τούς Ἰουδαίους ὡς Ἰουδαῖος διὰ νὰ κερδήσω Ἰουδαίους». Καὶ πῶς ἔγινεν αὐτό; Ὅταν περιέτεμε, διὰ νὰ καταργήσῃ τὴν περιτομήν. Διὰ τοῦτο δὲν εἶπεν, Ἰουδαῖος, ἀλλ', «ὡς Ἰουδαῖος», πρᾶγμα τὸ ὁποῖον ἦτο οἰκονομία. Τί λέγεις; Αὐτός ποὺ ἦτο κῆρυξ τῆς οἰκουμένης καὶ ποὺ ἤγγισε καὶ τὸν ἴδιον τὸν οὐρανὸν καὶ τόσον ἔλαμψεν εἰς τὴν χάριν, αὐτὸς ἐξαφνικὰ καταβαίνει τόσον πολύ; Ναί· διότι αὐτὸ εἶναι ἀνάβασις. Διότι μὴ βλέπῃς μόνον αὐτό, ὅτι καταβαίνει, ἀλλ' ὅτι καὶ αὐτὸν ποὺ εὑρίσκεται κάτω, τὸν ἀνιστᾷ καὶ τὸν ἀνυψώνει πρὸς τὸν ἑαυτόν του. «Εἰς ἐκείνους ποὺ ἦσαν ὑπὸ τὸν νόμον, ἔγινα ὡσὰν νὰ ἤμουν ὑπὸ τὸν νόμον, μὴ εὑρισκόμενος ὁ ἴδιος ὑπὸ τὸν νόμον, διὰ νὰ κερδήσω ἐκείνους ποὺ ἦσαν ὑπὸ τὸν νόμον». Τοῦτο εἶναι ἡ ἐπεξήγησις τοῦ προηγουμένου, ἢ κάτι ἄλλο ὑπαινίσσεται ἄσχετον πρὸς τὸ προηγούμενον· Ἰουδαίους μὲν ὀνομάζει αὐτοὺς ποὺ ἦσαν ἄνωθεν καὶ ἐξ ἀρχῆς τέτοιοι· ὑπὸ τὸν νόμον δὲ τοὺς προσηλύτους ἢ ὅσους ἔγιναν πιστοὶ καὶ ἦσαν ἀκόμη προσκολλημένοι εἰς τὸν νόμον. Διότι δὲν ἦσαν καθόλου ὡς Ἰουδαῖοι, ἀλλ' ὑπὸ τὸν νόμον.

Καὶ πῶς ἐγίνετο ὡσὰν νὰ ἦτο ὑπὸ τὸν νόμον; Ὅταν ἐξυρίζετο, ὅταν ἐθυσίαζεν. Ἐγίνοντο ὅμως αὐτά, ὄχι διότι εἶχεν ἀλλάξει γνώμην, διότι θὰ ἦτο σφάλμα αὐτὸ τὸ πρᾶγμα, ἀλλ' ἐπειδὴ ἀπὸ ἀγάπην ἐδείκνυε συγκατάβασιν. Διότι διὰ νὰ μεταβάλῃ αὐτούς, οἱ ὁποῖοι ἀληθῶς ἦσαν αὐτά, ἐγίνετο αὐτὸς ὄχι ἀληθῶς, δεικνύων μόνον ὅτι εἶναι ὡσὰν αὐτούς, χωρὶς νὰ εἶναι καὶ χωρὶς νὰ πράττῃ αὐτὰ μὲ τὸ ἴδιον φρόνημα. Διότι πῶς εἶναι δυνατόν, αὐτὸς ποὺ προσπαθεῖ καὶ ἄλλων νὰ μεταβάλῃ τὸ φρόνημα, καὶ κάμνει τὰ πάντα δι' αὐτό, ὥστε νὰ ἐλευθερώσῃ ἀπὸ αὐτὴν τὴν χαμηλὴν στάθμην ἄλλους ποὺ πράττουν αὐτά; «Εἰς ἐκείνους οἱ ὁποῖοι ἦσαν ἔξω ἀπὸ τὸν νόμον ὡσὰν νὰ ἤμουν ἔξω ἀπὸ τὸν νόμον». Αὐτοὶ δὲν ἦσαν οὔτε Ἰουδαῖοι, οὔτε Χριστιανοί, οὔτε εἰδωλολάτραι, ἀλλ' εὑρίσκοντο ἐκτὸς νόμου, ὅπως ἦτο ὁ Κορνήλιος καθὼς καὶ ὡρισμένοι ἄλλοι ὡσὰν αὐτόν. Διότι ἀφοῦ εἰσῆλθε μεταξὺ αὐτῶν, προσεποιεῖτο πολλὰ ἀπὸ τὰ ἰδικά των. Μερικοὶ δὲ ἔχουν τὴν

φασι καὶ τὴν ἀπὸ τοῦ ἐπιγράμματος τοῦ ἐν τῷ βωμῷ διάλεξιν αὐτῷ γενομένην πρὸς Ἀθηναίους αἰνίττεσθαι, καὶ λέγειν, «Τοῖς ἀνόμοις ὡς ἄνομος».

Εἶτα ἵνα μὴ νομίσῃ τις μεταβολὴν γνώμης εἶναι τὸ πρᾶγμα, ἐπήγαγε· «Μὴ ὢν ἄνομος Θεοῦ, ἀλλ' ἔννομος Χριστοῦ». Τουτέστιν, οὐ μόνον ἄνομος οὐκ ὤν, ἀλλ' οὐδὲ ἁπλῶς ἔννομος, ἀλλὰ τὸν πολλῷ τοῦ παλαιοτέρου νόμου ὑψηλότερον ἔχων, τουτέστι, τοῦ Πνεύματος καὶ τῆς χάριτος· διὸ καὶ ἐπήγαγε, «Χριστοῦ». Εἶτα ποιήσας περὶ τῆς γνώμης θαρρῆσαι, καὶ τὸ κέρδος τίθησι πάλιν τῆς τοιαύτης συγκαταβάσεως, λέγων· «Ἵνα κερδήσω ἀνόμους». Καὶ πανταχοῦ τὴν αἰτίαν προβάλλεται τῆς συγκαταβάσεως. Καὶ οὐδὲ μέχρι τούτων ἔστη, ἀλλὰ καὶ τοῖς ἀσθενέσι, φησίν, ὡς ἀσθενής. «Ἐγενόμην τοῖς ἀσθενέσιν, ὡς ἀσθενής, ἵνα τοὺς ἀσθενεῖς κερδήσω»· τοῦτο λοιπὸν τὸ τούτων λέγων, δι' ὃ καὶ πάντα ταῦτα εἴρηται. Καίτοι ἐκεῖνα πολλῷ μείζονα ἦν, ἀλλὰ τοῦτο οἰκειότερον· ὅθεν καὶ ὕστερον αὐτὸ τέθεικεν. Ἐποίησε δὲ αὐτὸ καὶ παρὰ Ῥωμαίοις, ὅτε περὶ βρωμάτων ἐνεκάλει, καὶ ἀλλαχοῦ πολλαχοῦ.

Εἶτα, ἵνα μὴ καθ' ἕκαστον ἅπαντα λέγων διατρίβῃ, φησί· «Τοῖς πᾶσι γέγονα τὰ πάντα, ἵνα πάντως τινὰς σώσω». Ὁρᾷς τὴν ὑπερβολήν; Πᾶσι μὲν γέγονα πάντα, οὐ πάντας δὲ προσδοκῶν σώζειν, ἀλλ' ἵνα κἂν ὀλίγους σώσω. Καὶ τὴν μὲν σπουδὴν καὶ τὴν διακονίαν τοσαύτην ὑπέμεινα, ὅσην εἰκὸς τὸν ἅπαντας σώζοντα, οὐ μὴν ἐλπίζων ἁπάντων περιέσεσθαι· ὃ πολὺ μέγα ἦν, καὶ προθυμίας ζεούσης. Ἐπεὶ καὶ ὁ

γνώμην ὅτι καὶ τὴν ὁμιλίαν πρὸς τοὺς Ἀθηναίους ποὺ ἔγινε μὲ ἀφορμὴν τὴν ἐπιγραφὴν ἐπάνω εἰς τὸν βωμὸν ὑπαινίσσεται καὶ λέγει, «Εἰς ἐκείνους οἱ ὁποῖοι ἦσαν ἔξω ἀπὸ τὸν νόμον, ὡς νὰ ἤμουν ἔξω ἀπὸ τὸν νόμον».

Ὕστερον, διὰ νὰ μὴ νομίσῃ κανείς, ὅτι αὐτὸ εἶναι μεταβολὴ γνώμης, προσέθεσεν· «Ἂν καὶ δὲν εἶμαι ἔξω ἀπὸ τὸν νόμον τοῦ Θεοῦ, ἀλλ' εἶμαι μέσα εἰς τὸν νόμον τοῦ Χριστοῦ». Δηλαδή, ὄχι μόνον χωρὶς νὰ εἶμαι ἔξω ἀπὸ τὸν νόμον, ἀλλ' οὔτε ἁπλῶς μέσα εἰς τὸν νόμον εὑρισκόμενος, ἀλλ' ἔχων τὸν πολὺ ὑψηλότερον ἀπὸ τὸν παλαιότερον νόμον, δηλαδὴ τοῦ Πνεύματος καὶ τῆς χάριτος· διὰ τοῦτο καὶ προσέθεσε «τοῦ Χριστοῦ». Ὕστερον διὰ νὰ τοὺς βεβαιώσῃ διὰ τὸ φρόνημά του, δεικνύει πάλιν καὶ τὸ κέρδος αὐτῆς τῆς συγκαταβάσεως, μὲ τὴν φράσιν, «Διὰ νὰ κερδήσω τοὺς ἔξω ἀπὸ τὸν νόμον». Καὶ παντοῦ προβάλλει τὴν αἰτίαν τῆς συγκαταβάσεως. Καὶ οὔτε εἰς αὐτὰ ἐσταμάτησεν, ἀλλὰ καὶ εἰς τοὺς ἀσθενεῖς, ὡς πρὸς τὴν πίστιν, λέγει, ἔγινα ὡς ἀσθενής. «Εἰς τοὺς ἀσθενεῖς ὡς πρὸς τὴν πίστιν ἔγινα ὡσὰν ἀσθενὴς διὰ νὰ κερδήσω τοὺς ἀσθενεῖς»· αὐτὸ λοιπὸν εἶναι ὁ σκοπὸς ποὺ λέγει αὐτά, διὰ τὸν ὁποῖον καὶ ἐξέθεσεν ὅλα τὰ ἄλλα. Ἂν καὶ ἐκεῖνα ἦσαν πολὺ μεγαλύτερα, αὐτὸς ὅμως ἦτο περισσότερον ταιριαστὸν εἰς αὐτούς· διὰ τοῦτο καὶ τὸ ἔθεσεν εἰς τὸ τέλος. Τὸ ἴδιον δὲ ἔκαμε καὶ εἰς τοὺς Ρωμαίους, ὅταν τοὺς ἐκατηγόρει διὰ τὰ φαγητά, καὶ εἰς πολλὰς ἄλλας περιπτώσεις.

Ὕστερον, διὰ νὰ μὴ καθυστερῇ μὲ τὸ νὰ λέγῃ ὅλα, ἀλλὰ τὸ καθ' ἓν ἰδιαιτέρως, λέγει· «εἰς πάντας ἔγινα τὰ πάντα, ὥστε μὲ κάθε τρόπον νὰ σώσω μερικούς». Βλέπεις τὴν ὑπερβολήν; Εἰς πάντας μὲν ἔγινα τὰ πάντα, χωρὶς ὅμως νὰ ἔχω τὴν προσδοκίαν ὅτι θὰ σώσω τοὺς πάντας, ἀλλὰ διὰ νὰ σώσω τοὐλάχιστον ὀλίγους. Καὶ τὴν μὲν προσπάθειαν καὶ τὴν διακονίαν ὑπέμεινα τόσην, ὅσην θὰ ἐχρειάζετο κανεὶς διὰ νὰ σώσῃ τοὺς πάντας, χωρὶς ὅμως νὰ ἐλπίζω ὅτι θὰ διασωθοῦν ὅλοι· πρᾶγμα τὸ ὁποῖον ἦτο πολὺ μεγάλο καὶ ἀποτέλεσμα θερμῆς προθυμίας. Διότι

σπείρων πανταχοῦ ἔσπειρε, καὶ οὐ τὸν πάντα σπόρον διέσωσεν, ἀλλ' ὅμως τὸ ἑαυτοῦ πεποίηκε. Καὶ εἰπὼν τὴν ὀλιγότητα τῶν σωζομένων, πάλιν, τῷ, «πάντως», προσθεῖναι, παρεμυθήσατο τοὺς ὑπὲρ τούτων ἀλγοῦντας. Εἰ γὰρ καὶ μὴ πάντα δυνατὸν διασωθῆναι τὸν σπόρον, ἀλλ' ὅμως καὶ πάντα ἀμήχανον ἀπολέσθαι. Διὰ τοῦτο εἶπε, «πάντως», ὅτι ἀνάγκη πᾶσα τὸν οὕτω θερμῶς σπουδάζοντα καὶ ἐπιτυχεῖν.

5. «Πάντα δὲ ποιῶ διὰ τὸ εὐαγγέλιον, ἵνα συγκοινωνὸς αὐτοῦ γένωμαι». Τουτέστιν, ἵνα δόξω τι καὶ αὐτὸς συνεισενηνοχέναι οἴκοθεν, καὶ κοινωνήσω τῶν ἀποκειμένων στεφάνων τοῖς πιστοῖς. Ὥσπερ γὰρ ἔλεγεν, «ἐκ τοῦ εὐαγγελίου ζῆν», τουτέστιν, ἐκ τῶν πιστευόντων, οὕτω καὶ ἐνταῦθα, «συγκοινωνὸς γένωμαι τοῦ εὐαγγελίου», ἵνα δυνηθῶ κοινωνῆσαι τοῖς ἐν τῷ εὐαγγελίῳ πεπιστευκόσιν. Εἶδες ταπεινοφροσύνην, πῶς ἐν τῇ τῶν μισθῶν ἀντιδόσει ἕνα τῶν πολλῶν ἑαυτὸν τίθησι, πάντων πλεονεκτήσας τοῖς πόνοις; Ὅθεν δῆλον, ὅτι καὶ τοῖς ἐπάθλοις. Ἀλλ' ὅμως αὐτὸς οὐκ ἀξιοῖ τῶν πρωτείων ἀπολαύειν, ἀλλ' ἀγαπᾷ, ἐὰν μετὰ τῶν ἄλλων κοινωνήσῃ τῶν ἀποκειμένων στεφάνων. Ταῦτα δὲ ἔλεγεν, οὐκ ἐπειδὴ μισθῷ τινι ταῦτα ἔπραττεν, ἀλλ' ἵνα ἐκείνους κἀντεῦθεν ἐπισπάσηται, καὶ ταῖς ἐλπίσι ταύταις πείσῃ πάντα ποιεῖν ὑπὲρ τῶν ἀδελφῶν. Εἶδες σύνεσιν; εἶδες ἀκριβείας ὑπεροχήν; πῶς ὑπὲρ τὰ ἐπιτεταγμένα ἐποίησε, μὴ λαμβάνων, λαμβάνειν ἐξόν; Εἶδες συγκαταβάσεως ὑπερβολήν; πῶς ὁ ἔννομος Χριστοῦ καὶ τὸν ἀνωτάτω τηρῶν νόμον, τοῖς ἀνόμοις

καὶ ὁ σπορεὺς ἔσπειρε παντοῦ καὶ δὲν διέσωσεν ὅλον τὸν σπόρον διὰ νὰ καρπίσῃ, ἀλλ' ὅμως ἔκανε τὸ ἔργον του. Καὶ ὅταν εἶπεν ὅτι ὀλίγοι εἶναι αὐτοὶ ποὺ σώζονται, πάλιν μὲ τὸ νὰ προσθέσῃ τό, «μὲ κάθε τρόπον», ἐπαρηγόρησεν ὅσους στενοχωροῦνται δι' αὐτά. Διότι καὶ ἂν δὲν ἐστάθη δυνατὸν νὰ διασωθῇ ὅλος ὁ σπόρος, πάντως εἶναι καὶ ἀδύνατον νὰ χαθῇ ὅλος. Διὰ τοῦτο εἶπε «μὲ κάθε τρόπον», διότι αὐτὸς ποὺ ἀγωνίζεται μὲ τόσην θερμότητα, κατ' ἀνάγκην καὶ θὰ ἐπιτύχῃ.

«Ὅλα αὐτὰ τὰ κάνω χάριν τοῦ εὐαγγελίου, διὰ νὰ γίνω συμμέτοχος εἰς αὐτό». Δηλαδή, διὰ νὰ φανῶ ὀλίγον ὅτι κάτι συνεισέφερα καὶ ἐγὼ ἐξ ἰδίας θελήσεως, καὶ νὰ γίνω κοινωνὸς εἰς τοὺς στεφάνους ποὺ ἔχουν ἑτοιμασθῇ διὰ τοὺς πιστούς. Ὅπως δηλαδὴ ἔλεγε «νὰ ζοῦν ἀπὸ τὸ εὐαγγέλιον», δηλαδὴ ἀπὸ τοὺς πιστούς, ἔτσι καὶ ἐδῶ, «διὰ νὰ γίνω συμμέτοχος εἰς τὸ εὐαγγέλιον», διὰ νὰ δυνηθῶ νὰ γίνω κοινωνὸς μαζὶ μὲ τοὺς πιστεύοντας εἰς ὅσα ὑπόσχεται τὸ εὐαγγέλιον. Εἶδες ταπεινοφροσύνην, πῶς εἰς τὴν ἀνταπόδοσιν τῶν μισθῶν θέτει τὸν ἑαυτόν του ὡς ἕνα ἀπὸ τοὺς πολλούς, ἐνῷ ὑπερέβη ὅλους εἰς τοὺς κόπους; Ἀπὸ τὸ ὁποῖον εἶναι φανερὸν ὅτι καὶ εἰς τὰ ἔπαθλα τοὺς ὑπερβαίνει. Αὐτὸς ὅμως δὲν ἔχει τὴν ἀξίωσιν ν' ἀπολαύσῃ τὰ πρωτεῖα, ἀλλ' ἐπιθυμεῖ μαζὶ μὲ τοὺς ἄλλους νὰ γίνῃ κοινωνὸς τῶν στεφάνων ποὺ ἀναμένουν τοὺς πιστούς. Ἔλεγε δὲ αὐτά, ὄχι ἐπειδὴ ἔπραττεν αὐτὰ ἀποβλέπων εἰς κάποιον μισθόν, ἀλλὰ διὰ νὰ προσελκύσῃ ἐκείνους καὶ ἀπὸ αὐτὸ τὸ πρᾶγμα καὶ νὰ τοὺς πείσῃ μὲ αὐτὰς τὰς ἐλπίδας νὰ κάμνουν τὰ πάντα ὑπὲρ τῶν ἀδελφῶν. Εἶδες σύνεσιν; εἶδες ὑπερβολικὴν φροντίδα; πῶς ἔπραξε περισσότερα ἀπὸ ὅσα ζητοῦν αἱ ἐντολαὶ καὶ δὲν λαμβάνει ὅσα ἦτο δυνατὸν νὰ λάβῃ; Εἶδες ὑπερβολικὴν συγκατάβασιν; Πῶς αὐτὸς ποὺ εὑρίσκεται μέσα εἰς τὸν νόμον τοῦ Χριστοῦ καὶ τηρεῖ τὸν ἀνώτατον νόμον, συμπεριεφέρετο μὲ αὐτοὺς ποὺ ἦσαν ἔξω ἀπὸ τὸν νόμον ὡσὰν νὰ ἦτο καὶ αὐτὸς ἔξω ἀπὸ τὸν νόμον, μὲ τοὺς Ἰουδαίους

ὡς ἄνομος ἦν, τοῖς Ἰουδαίοις ὡς Ἰουδαῖος, ἐν ἑκατέροις ἄκρος φανεὶς καὶ πάντας νικήσας;

Τοῦτο καὶ σὺ ποίει, καὶ μὴ νόμιζε καταπίπτειν ἄκρος ὤν, ἐάν τι διὰ τὸν ἀδελφὸν ὑπομείνῃς τῶν ταπεινῶν· οὐδὲ γὰρ καταπεσεῖν ἐστι τοῦτο, ἀλλὰ καταβῆναι. Ὁ μὲν γὰρ πεσών, κείσεται μόλις ἀνιστάμενος· ὁ δὲ καταβάς, καὶ ἀναβήσεται μετὰ πολλοῦ τοῦ κέρδους. Καθάπερ καὶ Παῦλος κατήει μὲν μόνος, ἀνήει δὲ μετὰ τῆς οἰκουμένης, οὐχ ὑποκρινόμενος· οὐδὲ γὰρ ἂν τὸ κέρδος ἐζήτησε τῶν σωζομένων, εἴγε ὑπεκρίνετο. Τὴν γὰρ ἀπώλειαν ὁ ὑποκριτὴς ζητεῖ, καὶ ὥστε λαβεῖν, ὑποκρίνεται, οὐχ ὥστε δοῦναι. Ἀλλ' οὗτος οὐχ οὕτως· ἀλλ' ὥσπερ ἰατρός, ὥσπερ διδάσκαλος, ὥσπερ πατήρ, ὁ μὲν τῷ κάμνοντι, ὁ δὲ τῷ μαθητῇ, ὁ δὲ τῷ παιδὶ συγκατιών, εἰς διόρθωσιν, οὐκ εἰς βλάβην· οὕτω καὶ οὗτος. Ὅτι γὰρ οὐχ ὑπόκρισις ἦν τὰ εἰρημένα, ὅταν μηδὲν τοιοῦτον ἀναγκάζηται ποιεῖν ἢ λέγειν, ἀλλὰ τὴν διάθεσιν αὐτοῦ καὶ τὴν παρρησίαν δεῖξαι βούληται, ἄκουσον αὐτοῦ λέγοντος· «Οὔτε ζωὴ οὔτε θάνατος, οὔτε ἄγγελοι οὔτε ἀρχαὶ οὔτε δυνάμεις, οὔτε ἐνεστῶτα οὔτε μέλλοντα, οὔτε ὕψωμα οὔτε βάθος, οὔτε τις ἑτέρα κτίσις δυνήσεται ἡμᾶς χωρίσαι ἀπὸ τῆς ἀγάπης τοῦ Θεοῦ τῆς ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν». Εἶδες ἀγάπην πυρὸς θερμοτέραν; Οὕτω καὶ ἡμεῖς ἀγαπήσωμεν τὸν Χριστόν· καὶ γὰρ εὔκολον, ἂν βουλώμεθα. Οὐδὲ γὰρ ἐκεῖνος φύσει τοιοῦτος ἦν. Διά τοι τοῦτο καὶ τὰ πρότερα αὐτοῦ ἀνεγράφη τὰ ἐναντία τούτοις, ἵνα μάθωμεν ὅτι προαιρέσεως τὸ ἔργον, καὶ βουλομένοις ἅπαντα εὔκολα.

6. Μὴ τοίνυν ἀπογνῶμεν, ἀλλά, κἂν λοίδορος ᾖς, κἂν πλεονέκτης, κἂν ὁτιοῦν, ἐννόησον ὅτι Παῦλος βλάσφημος ἦν, καὶ διώκτης, καὶ ὑβριστής, καὶ τῶν ἁμαρτωλῶν πρῶτος, καὶ

---

3. Ρωμ. 8, 38· 39.

ὡς Ἰουδαῖος, ἀφοῦ ἐνεφανίσθη καὶ εἰς τὰς δύο αὐτὰς τάξεις ὡς τελευταῖος καὶ ἐνίκησε τοὺς πάντας;

Αὐτὸ νὰ πράττῃς καὶ σύ, καὶ μὴ νομίζῃς ὅτι ἐκπίπτεις ὅταν γίνεσαι τελευταῖος, ἐὰν ὑπομείνῃς διὰ τὸν ἀδελφὸν κάτι ταπεινωτικόν· διότι αὐτὸ δὲν εἶναι κατάπτωσις, ἀλλὰ κατάβασις. Διότι αὐτὸς μὲν ποὺ πίπτει, μόλις καὶ μετὰ βίας ἀνορθοῦται· ἐνῷ ὅποιος καταβαίνει, αὐτὸς καὶ ἀναβαίνει μὲ πολὺ κέρδος. Ὅπως καὶ ὁ Παῦλος κατέβαινε μὲν μόνος, ἀνήρχετο ὅμως μαζὶ μὲ τὴν οἰκουμένην, χωρὶς νὰ ὑποκρίνεται· διότι δὲν θὰ ἐζήτει τὸ κέρδος αὐτῶν ποὺ ἤθελε νὰ σώσῃ ἐὰν ὑπεκρίνετο. Διότι ὁ ὑποκριτὴς ζητεῖ τὴν ἀπώλειαν, καὶ ὑποκρίνεται διὰ νὰ λάβῃ, ὄχι διὰ νὰ δώσῃ. Αὐτὸς ὅμως δὲν ἔκαμνεν ἔτσι· ἀλλ' ὡσὰν ἰατρός, ὡσὰν διδάσκαλος, ὡσὰν πατήρ, ὡς ἰατρὸς εἰς τὸν ἀσθενή, ὡς διδάσκαλος εἰς τὸν μαθητήν, ὡς πατὴρ εἰς τὸν υἱὸν συγκατέβαινε διὰ νὰ διορθώσῃ, ὄχι διὰ νὰ βλάψῃ, ἔτσι καὶ αὐτός. Διότι, τὸ ὅτι αὐτὰ ποὺ ἐλέχθησαν δὲν ἦσαν ὑποκρισία, ἄκουσε τὸν ἴδιον νὰ λέγῃ, ὅταν τίποτε τέτοιον δὲν ἀναγκάζεται νὰ πράττῃ ἢ νὰ λέγῃ, ἀλλὰ θέλει νὰ δείξῃ τὴν διάθεσίν του καὶ ὁμιλεῖ μὲ ἐλευθερίαν· «Οὔτε ζωή, οὔτε θάνατος, οὔτε ἄγγελοι, οὔτε ἀρχαί, οὔτε δυνάμεις, τίποτε εἰς τὸ παρόν, τίποτε εἰς τὸ μέλλον, τίποτε εἰς τὰ ὕψη, τίποτε εἰς τὰ βάθη, κανὲν ἄλλο δημιούργημα δὲν θὰ δυνηθῇ νὰ μᾶς χωρίσῃ ἀπὸ τὴν ἀγάπην τοῦ Θεοῦ, τὴν ὁποίαν ἔδειξε διὰ τοῦ Χριστοῦ Ἰησοῦ τοῦ Κυρίου μας»[5]. Εἶδες ἀγάπην θερμοτέραν τοῦ πυρός; Ἔτσι ἂς ἀγαπήσωμεν καὶ ἐμεῖς τὸν Χριστόν· καὶ εἶναι εὔκολον βεβαίως ἐὰν θέλωμεν. Διότι οὔτε ἐκεῖνος ἦτο ἐκ φύσεως τέτοιος. Δι' αὐτὸ ἐγράφησαν καὶ τὰ πρὸ τῆς μεταστροφῆς του τὰ ὁποῖα ἦσαν ἀντίθετα πρὸς αὐτά, διὰ νὰ μάθωμεν ὅτι αὐτὸ τὸ ἔργον ἐξαρτᾶται ἀπὸ τὴν προαίρεσιν, καὶ ὅτι εἰς αὐτοὺς ποὺ θέλουν τὰ πάντα εἶναι εὔκολα.

Ἂς μὴ ἀπελπιζώμεθα λοιπόν, ἀλλὰ καὶ ἂν ἀκόμη εἶσαι φιλοκατήγορος, ἢ πλεονέκτης, ἢ ὁ,τιδήποτε, σκέψου ὅτι ὁ Παῦλος ἦτο βλάσφημος καὶ διώκτης καὶ ὑβριστὴς καὶ πρῶτος ἀπὸ τοὺς ἁμαρτωλούς, καὶ ἐξαίφνης ἀνέβη

ἐξαίφνης πρὸς αὐτὴν ἀνέβη τὴν κορυφὴν τῆς ἀρετῆς, καὶ οὐδὲν αὐτῷ κώλυμα τὰ πρότερα γέγονε. Καίτοιγε οὐδεὶς οὕτω μετὰ τοσαύτης μανίας ἔχεται κακίας, μεθ' ὅσης ἐκεῖνος τοῦ πολέμου τοῦ κατὰ τῆς ἐκκλησίας. Καὶ γὰρ τὴν ψυχὴν ἐπέδωκε τὴν ἑαυτοῦ τότε, καὶ ὅτι μὴ μυρίας εἶχε χεῖρας, ἵνα πάσαις βάλῃ τὸν Στέφανον, ἤλγει. Ὅμως δὲ καὶ οὕτως εὗρεν ὅπως πλείοσιν αὐτὸν βάλῃ χερσί, ταῖς τῶν ψευδομαρτύρων, ὧν τὰ ἱμάτια ἐτήρει. Καὶ ἡνίκα δὲ εἰς τὰς οἰκίας εἰσῄει, καθάπερ θηρίον οὕτως εἰσεπήδα, σύρων, σπαράττων ἄνδρας, γυναῖκας, θόρυβον καὶ ταραχῆς καὶ μυρίων πολέμων πάντα πληρῶν. Οὕτω γοῦν καὶ φοβερὸς ἦν, ὡς τοὺς ἀποστόλους καὶ μετὰ τὴν ἀρίστην μεταβολὴν μηδέπω τολμᾶν κολλᾶσθαι αὐτῷ. Ἀλλ' ὅμως μετὰ πάντα ἐκεῖνα γέγονε τοιοῦτος, οἷος γέγονεν· οὐδὲν γὰρ δεῖ πλέον εἰπεῖν.

Ποῦ τοίνυν εἰσὶν οἱ τὴν τῆς εἱμαρμένης ἀνάγκην ἐπιτειχίζοντες τῇ τῆς προαιρέσεως ἐλευθερίᾳ; Ἀκουέτωσαν ταῦτα, καὶ ἐπιστομιζέσθωσαν. Τὸν γὰρ βουλόμενον γενέσθαι ἀγαθὸν οὐδέν ἐστι τὸ κωλύον, κἂν τῶν πονηροτάτων ἔμπροσθεν ᾖ. Καὶ γὰρ πρὸς τοῦτο ἐπιτηδείως μᾶλλον ἔχομεν, ὅσῳ καὶ κατὰ φύσιν ἐστὶν ἡμῖν ἡ ἀρετή, καὶ παρὰ φύσιν ἡ πονηρία, ὥσπερ οὖν τὸ νοσεῖν καὶ ὑγιαίνειν. Καὶ γὰρ ὀφθαλμοὺς ἡμῖν ἔδωκεν ὁ Θεός, οὐχ ἵνα ἀκολάστως βλέπωμεν, ἀλλ' ἵνα τὰ δημιουργήματα αὐτοῦ θαυμάζοντες, προσκυνῶμεν τὸν ποιήσαντα. Καὶ ὅτι αὕτη ἡ χρεία τῶν ὀφθαλμῶν, δῆλον ἐκ τῶν δρωμένων. Κάλλος μὲν γὰρ ἡλίου καὶ οὐρανοῦ ἐξ ἀπείρου βλέπομεν τοῦ διαστήματος, γυναικὸς δὲ εὐμορφίαν οὐκ ἄν τις ἐκ τοσούτου καταμάθοι. Ὁρᾷς, ὅτι πρὸς τοῦτο ἡμῖν μᾶλλον γεγένηται ὁ ὀφθαλμός; Πάλιν ἀκοὴν ἐποίησεν, οὐχ ἵνα

εἰς αὐτὴν τὴν κορυφὴν τῆς ἀρετῆς, καὶ τίποτε ἀπὸ τὰ προηγούμενα δὲν ἔγινεν εἰς αὐτὸν ἐμπόδιον. Ἂν καὶ βεβαίως κανεὶς δὲν κατέχεται ἀπὸ τὴν κακίαν μὲ τόσην μανίαν, μὲ ὅσην ἐκεῖνος ἀπὸ τὸν πόλεμον ἐναντίον τῆς ἐκκλησίας. Διότι καὶ τὴν ψυχήν του εἶχε δώσει τότε, καὶ ἐστενοχωρεῖτο διὰ τὸ ὅτι δὲν εἶχε μύρια χέρια, διὰ νὰ λιθοβολῇ μὲ ὅλα τὸν Στέφανον. Ὅμως καὶ ἔτσι εὑρῆκε τρόπον ὥστε μὲ περισσότερα χέρια νὰ λιθοβολήσῃ αὐτόν, δηλαδὴ μὲ τὰ τῶν ψευδομαρτύρων, τῶν ὁποίων ἐκράτει τὰ ἱμάτια. Καὶ ὅταν εἰσήρχετο εἰς τὰς οἰκίας τῶν χριστιανῶν, ὡσὰν θηρίον ἐπήδα μέσα εἰς αὐτὰς καὶ ἔσυρεν, ἐσπάρασσεν ἄνδρας καὶ γυναῖκας, καὶ πράττων τὰ πάντα δι' ἀπείρους πολέμους, θορύβους καὶ ταραχάς. Τόσον φοβερὸς λοιπὸν ἦτο, ὥστε οἱ ἀπόστολοι καὶ μετὰ ἀπὸ αὐτὴν τὴν ἀρίστην μεταστροφήν του νὰ μὴ τολμοῦν νὰ τὸν συναναστρέφωνται. Ἀλλ' ὅμως μετὰ ἀπὸ ὅλα ἐκεῖνα, ἔγινε τέτοιος ποὺ ἔγινε· τίποτε περισσότερον λοιπὸν δὲν χρειάζεται νὰ εἴπουμεν.

Ποῦ εἶναι λοιπὸν αὐτοὶ ποὺ ἀντιτάσσουν ὡς φρούριον τὴν ἀναγκαστικὴν βουλὴν τῆς εἱμαρμένης εἰς τὴν ἐλευθερίαν τῆς προαιρέσεως; Ἂς ἀκούουν αὐτὰ καὶ ἂς κλείουν τὸ στόμα των. Διότι αὐτὸν ποὺ θέλει νὰ γίνῃ ἀγαθὸς τίποτε δὲν τὸν ἐμποδίζει ἀκόμη καὶ ἂν εὑρίσκεται ἐμπρὸς ἀπὸ τὰ πιὸ χειρότερα. Καὶ μάλιστα περισσότερον πρὸς αὐτὸ συγγενεύομεν, ὅσον καὶ κατὰ φύσιν εἶναι εἰς ἐμᾶς ἡ ἀρετὴ καὶ παρὰ φύσιν ἡ κακία, ὅπως λοιπὸν τὸ νὰ νοσῇ καὶ νὰ ὑγιαίνῃ κανείς. Καὶ βεβαίως ὁ Θεὸς μᾶς ἔδωσεν ὀφθαλμούς, ὄχι διὰ νὰ βλέπωμεν μὲ ἀκολασίαν, ἀλλὰ θαυμάζοντες τὰ δημιουργήματά του, νὰ προσκυνῶμεν τὸν δημιουργόν. Καὶ ὅτι αὐτὴ εἶναι ἡ ὀρθὴ χρῆσις τῶν ὀφθαλμῶν, εἶναι φανερὸν ἀπὸ αὐτὰ ποὺ βλέπομεν. Διότι τὸ μὲν κάλλος τοῦ ἡλίου καὶ τοῦ οὐρανοῦ τὸ βλέπομεν ἀπὸ ἀπέραντον ἀπόστασιν, ἐνῷ τὴν εὐμορφίαν τῆς γυναικὸς δὲν θὰ ἦτο δυνατὸν νὰ γνωρίσῃ κανεὶς ἀπὸ τόσην ἀπόστασιν. Βλέπεις ὅτι πρὸς αὐτὸν τὸν σκοπὸν μᾶλλον μᾶς ἐδόθη ὁ ὀφθαλμός; Πάλιν ἐδημιούργησε τὴν ἀκοήν, ὄχι διὰ νὰ δε-

βλάσφημα δεχώμεθα ῥήματα, ἀλλ' ἵνα σωτήρια δόγματα. Διά τοι τοῦτο, ὅταν μὲν ἀπηχές τι δέξηται, καὶ ναρκᾷ ἡ ψυχὴ καὶ τὸ σῶμα δὲ αὐτό. «Λαλιὰ γὰρ πολιόρκου ἀνορθώσει τρίχας», φησί. Κἂν ὠμόν, κἂν ἀπηνές τι ἀκούσωμεν, πάλιν φρίττομεν, ἂν δὲ ἐμμελές τι καὶ φιλάνθρωπον, καὶ γανύμεθα καὶ χαίρομεν. Καὶ τὸ στόμα δὲ ἡμῶν αἰσχρὰ φθεγγόμενον, αἰσχύνεσθαι καὶ ἐγκαλύπτεσθαι ποιεῖ, ἂν δὲ σεμνά, μετὰ ἀδείας προΐεται ταῦτα καὶ ἐλευθερίας ἁπάσης. Τοῖς δὲ κατὰ φύσιν οὐδεὶς ἂν αἰσχυνθείη, ἀλλὰ τοῖς παρὰ φύσιν. Καὶ χεῖρες μέν, ὅταν ἁρπάζωσι, κρύπτονται καὶ ἀπολογίας ἐπιζητοῦσιν, εἰ δὲ ἐλεημοσύνην δοῖεν, καὶ ἐγκαλλωπίζονται. Ὥστε ἂν ἐθέλωμεν, πολλὴν ἔχομεν πάντοθεν πρὸς ἀρετὴν τὴν ῥοπήν. Εἰ δὲ τὴν ἡδονήν μοι λέγεις τὴν ἀπὸ τῆς κακίας, ἐννόησον ὅτι καὶ τοῦτο πλέον παρὰ τῆς ἀρετῆς καρπούμεθα. Καὶ γὰρ καὶ τὸ συνειδὸς ἔχειν ἀγαθόν, καὶ τὸ παρὰ πάντων θαυμάζεσθαι, καὶ τὸ χρηστὰς ἀναμένειν ἐλπίδας, πάντων ἥδιον τῷ φύσιν ἡδονῆς ἐπεσκεμμένῳ· ὥσπερ οὖν τἀναντία ἁπάντων ὀδυνηρότερα τῷ λύπης εἰδότι φύσιν, οἷον τὸ παρὰ πάντων ὀνειδίζεσθαι, τὸ κατηγορεῖσθαι οἴκοθεν, τὸ τρέμειν καὶ δεδοικέναι καὶ τὰ μέλλοντα καὶ τὰ παρόντα.

Καὶ ἵνα σαφέστερον ὃ λέγω γένηται, ὑποθώμεθα τῷ λόγῳ ἔχοντά τινα γυναῖκα, τὸν τοῦ πλησίον διορύττειν γάμον, καὶ ἥδεσθαι τῇ πονηρᾷ ταύτῃ κλοπῇ τῆς ἐρωμένης ἀπολαύοντα· εἶτα ἀντιθῶμεν τούτῳ πάλιν ἕτερον τὸν τὴν αὐτοῦ στέργοντα. Καὶ ἵνα πλείων καὶ σαφεστέρα ἡ νίκη γένηται, οὗτος ὁ τῆς αὐτοῦ μόνης ἀπολαύων, ἐράτω μὲν καὶ ἐκείνης τῆς μοιχευομένης, κατεχέτω δὲ τοῦ ἔρωτος καὶ μηδὲν πραττέτω πονηρόν. Καίτοιγε οὐδὲ καθαρὰ τοῦτο σωφρο-

4. Σοφ. Σειρ. 27, 14.

χώμεθα δι' αὐτῆς βλασφήμους λόγους, ἀλλὰ σωτήρια δόγματα. Δι' αὐτὸ ἀκριβῶς καὶ ὅταν δεχθῇ κάτι κακόηχον ναρκοῦται ἡ ψυχὴ καὶ αὐτὸ τὸ σῶμα. Διότι λέγει «Ἡ λαλιὰ τοῦ πολυόρκου σηκώνει ὑψηλὰ τὰς τρίχας»[4]. Καὶ ὅταν συμβῇ νὰ ἀκούσωμεν κάτι ἄγριον, κάτι σκληρόν, πάλιν φρίττομεν, ἐνῷ ὅταν ἀκούσωμεν κάτι ὀρθὸν καὶ φιλάνθρωπον καὶ εὐφραινόμεθα καὶ χαίρομεν. Καὶ τὸ στόμα μας ὅταν λέγῃ πράγματα αἰσχρά, μᾶς κάνει νὰ ἐντρεπώμεθα καὶ νὰ κρυπτώμεθα, ἐνῷ ὅταν λέγῃ πράγματα σεμνά, μὲ κάθε ἐλευθερίαν καὶ ἄνεσιν ἐκβάλλει αὐτά. Εἰς τὰ κατὰ φύσιν δὲ κανεὶς δὲ θὰ ἐντρέπετο, ἀλλ' ἐντρέπεται εἰς τὰ παρὰ φύσιν. Καὶ τὰ χέρια ὅταν μὲν κλέπτουν κρύπονται καὶ ἐπιζητοῦν δικαιολογίας, ἐνῷ ὅταν δίδουν ἐλεημοσύνην, ὄχι μόνον δὲν κρύπτονται, ἀλλὰ καὶ καυχῶνται. Ὥστε ἐὰν θέλωμεν ἔχομεν πολλὴν κλίσιν πρὸς τὴν ἀρετὴν ἀπὸ κάθε πλευράν. Ἐὰν δὲ μοῦ εἰπῇς διὰ τὴν ἡδονὴν τὴν προερχομένην ἀπὸ τὴν κακίαν, σκέψου ὅτι καὶ αὐτὸ ἐπὶ πλέον καρπούμεθα ἀπὸ τὴν ἀρετήν. Διότι τὸ νὰ ἔχῃ κανεὶς καθαρὰν συνείδησιν καὶ τὸ νὰ θαυμάζεται ἀπὸ ὅλους καὶ τὸ νὰ ἀναμένῃ μὲ δικαίαν ἐλπίδα ν' ἀπολαύσῃ τὰ μέλλοντα εἶναι γλυκύτερον δι' ἐκεῖνον ὁ ὁποῖος παρατηρεῖ τὴν φύσιν τῆς ἡδονῆς· ὅπως βεβαίως τὰ ἀντίθετα εἶναι ὀδυνηρότερα ἀπὸ ὅλα δι' ἐκεῖνον ποὺ ἐγνώρισε τὴν φύσιν τῆς λύπης, ὅπως δηλαδὴ τὸ νὰ κατηγορῆται ἀπὸ ὅλους, τὸ νὰ κατηγορῆται ἀπὸ τὸν ἑαυτόν του, τὸ νὰ τρέμῃ καὶ νὰ φοβῆται καὶ τὰ μέλλοντα καὶ τὰ παρόντα.

Καὶ διὰ νὰ γίνῃ σαφέστερον αὐτὸ ποὺ λέγω, ἂς ὑποθέσωμεν χάριν τοῦ λόγου, ὅτι κάποιος ποὺ ἔχει γυναῖκα, ὑποσκάπτει τὸν γάμον τοῦ πλησίον καὶ ὅτι εὐχαριστεῖται εἰς τὴν πονηρὰν αὐτὴν κλοπὴν ἀπολαμβάνων τὴν ἐρωμένην· ὕστερον ἂς ἀντιθέσωμεν εἰς αὐτὸν πάλιν ἄλλον, ὁ ὁποῖος ἀρκεῖται εἰς τὴν ἰδικήν του. Καὶ διὰ νὰ γίνῃ μεγαλυτέρα καὶ σαφεστέρα ἡ νίκη, ἂς ὑποθέσωμεν ὅτι αὐτὸς ποὺ ἀπολαμβάνει μόνον τὴν ἰδικήν του, ἀγαπᾷ μὲν καὶ ἐκείνην ποὺ μοιχεύει, ἀλλὰ ἐλέγχει τὸν ἔρωτά του καὶ δὲν πράττει τίποτε κακόν. Ἂν καὶ βεβαίως αὐτὸ δὲν εἶναι καθαρὰ

σύνη ἐστί· πλὴν ἀλλ' ἐκ περιουσίας, ἵνα μάθῃς πόση τῆς ἀρετῆς ἡ ἡδονή, διὰ τοῦτο οὕτω τὸ δρᾶμα ἐπλάσαμεν. Συνθέντες τοίνυν αὐτούς, οὕτως ἐρώμεθα ἀμφοτέρους, τίνος ἡδίων ὁ βίος. Καὶ ἀκούσῃ τοῦ μὲν καὶ ἐγκαλλωπιζομένου καὶ σκιρτῶντος ἐπὶ τῇ νίκῃ τῇ κατὰ τῆς ἐπιθυμίας· τούτου δὲ οὐδὲ ἀναμεῖναι δεῖ τὸ παρ' αὐτοῦ τι μαθεῖν· ὄψει γὰρ αὐτόν, κἂν μυριάκις ἀρνῆται, δεσμωτῶν ἀθλιώτερον διακείμενον. Καὶ γὰρ ἅπαντας δέδοικε καὶ ἐποπτεύει, καὶ τὴν αὐτοῦ γυναῖκα, καὶ τὸν τῆς μοιχευομένης ἄνδρα, καὶ τὴν μοιχευομένην αὐτήν, καὶ οἰκείους, καὶ φίλους, καὶ συγγενεῖς, καὶ τοίχους, καὶ σκιάς, καὶ ἑαυτόν· καὶ τὸ πάντων χαλεπώτερον, τὸ συνειδὸς ἔχει καταβοῶν, ὑλακτοῦν καθ' ἑκάστην ἡμέραν. Ἂν δὲ καὶ τὸ τοῦ Θεοῦ δικαστήριον ἐννοήσῃ, οὐδὲ στῆναι δυνήσεται.

Καὶ ἡ μὲν ἡδονὴ βραχεῖα, ἡ δὲ ἀπὸ ταύτης ὀδύνη διηνεκής. Καὶ γὰρ καὶ ἐν ἑσπέρᾳ καὶ ἐν νυκτί, καὶ ἐν ἐρημίᾳ καὶ ἐν πόλει, καὶ πανταχοῦ ἕπεται ὁ κατήγορος, ξίφος δεικνὺς ἠκονημένον καὶ τὰς ἀφορήτους κολάσεις, καὶ τῷ φόβῳ καταναλίσκων αὐτὸν καὶ δαπανῶν. Ὁ δὲ σώφρων ἐκεῖνος πάντων τούτων ἀπήλλακται, καὶ ἔστιν ἐν ἐλευθερίᾳ, καὶ μετὰ ἀδείας ὁρᾷ τὴν γυναῖκα τὴν ἑαυτοῦ, τὰ παιδία, τοὺς φίλους, καὶ ἐλευθέροις ἅπασιν ὀφθαλμοῖς ἀπαντᾷ. Εἰ δὲ ὁ ἐρῶν μέν, κρατῶν δέ, τοσαύτης ἀπολαύσεται ἡδονῆς, ὁ μηδὲ ἐρῶν, ἀλλὰ καθαρῶς σωφρονῶν, τίνος λιμένος, ποίας γαλήνης οὐχ ἡδίῳ καὶ ἡμερωτέραν κτήσεται ψυχήν; Διά τοι τοῦτο τοὺς μοιχεύοντας μὲν ὀλίγους ἂν ἴδοις, σωφρονοῦντας δὲ πλείους. Εἰ δὲ τοῦτο ἥδιον, τοῦτο ἂν εἵλοντο οἱ πολλοί. Καὶ μή μοι λέγε τὸν ἀπὸ τῶν νόμων φόβον· οὐδὲ γὰρ αὐτός ἐστιν αὐτοὺς ὁ κατέχων, ἀλλ' ἡ τῆς ἀτοπίας ὑπερβολή, καὶ

σωφροσύνη· πλὴν ὅμως κατὰ παραχώρησιν, διὰ νὰ μάθῃς πόση εἶναι ἡ ἡδονὴ τῆς ἀρετῆς, διὰ τοῦτο ἐπλάσαμεν ἔτσι τὴν ὑπόθεσιν. Ἀφοῦ λοιπὸν θέσωμεν αὐτοὺς τὸν ἕνα πλησίον τοῦ ἄλλου, ἂς ἐρωτήσωμεν καὶ τοὺς δύο, τίνος ἡ ζωὴ εἶναι γλυκυτέρα. Καὶ θὰ ἀκούσῃς τὸν μὲν νὰ καυχᾶται διὰ τὴν νίκην κατὰ τῆς ἐπιθυμίας, ἐνῷ αὐτὸν — μᾶλλον ὅμως οὔτε χρειάζεται ν' ἀναμένωμεν νὰ μάθωμεν τίποτε ἀπὸ αὐτόν· διότι θὰ ἴδῃς αὐτόν, ἀκόμη καὶ ἂν τὸ ἀρνῆται χιλιάδας φοράς, νὰ εἶναι ἀθλιώτερος ἀπὸ τοὺς φυλακισμένους. Διότι ὅλους τοὺς φοβεῖται καὶ τοὺς ὑποπτεύεται, καὶ τὴν γυναῖκα του, καὶ τὸν ἄνδρα τῆς μοιχευομένης, καὶ αὐτὴν τὴν μοιχευομένην, καὶ τοὺς οἰκείους του καὶ τοὺς φίλους καὶ τοὺς συγγενεῖς, καὶ τοὺς τοίχους καὶ τὰς σκιὰς καὶ τὸν ἑαυτόν του· καὶ τὸ χειρότερον ἀπὸ ὅλα, ἔχει τὴν συνείδησίν του νὰ τὸν κατηγορῇ νὰ γαυγίζῃ ἐναντίον του καθημερινῶς. Ἂν δὲ ἐπὶ πλέον σκεφθῇ καὶ τὸ δικαστήριον τοῦ Θεοῦ, δὲν θὰ ἠμπορέσῃ νὰ σταθῇ.

Καὶ ἡ μὲν ἡδονὴ εἶναι σύντομος, ἐνῷ ἡ ὀδύνη ποὺ προέρχεται ἀπὸ αὐτὴν αἰώνιος. Διότι καὶ κατὰ τὸ τέλος τῆς ἡμέρας καὶ κατὰ τὴν νύκτα, καὶ εἰς τὴν ἐρημίαν καὶ εἰς τὴν πόλιν καὶ παντοῦ ἀκολουθεῖ ὁ κατήγορος καὶ δεικνύει ξίφος ἠκονισμένον καὶ τὰς ἀφορήτους κολάσεις καὶ τὸν ἐξουθενώνει καὶ τὸν συντρίβει. Ὁ σώφρων ὅμως εἶναι ἀπηλλαγμένος ἀπὸ ὅλα αὐτὰ καὶ εὑρίσκεται εἰς ἐλευθερίαν καὶ χωρὶς φόβον βλέπει τὴν γυναῖκα του, τὰ παιδιά του, τοὺς φίλους του, καὶ μὲ ἐλευθέρους ὀφθαλμοὺς συναντᾷ τοὺς πάντας. Ἐὰν δὲ αὐτὸς ποὺ ἔχει μὲν κυριευθῇ ἀπὸ ἔρωτα, ἀλλὰ συγκρατεῖται, ἀπολαμβάνει τόσην ἡδονήν, αὐτὸς ποὺ δὲν ἔχει κυριευθῇ ἀπὸ ἔρωτα, ἀλλ' ἔχει καθαρὰν σωφροσύνην, ποῖον λιμένα, ποίαν γαλήνην δὲν θὰ ἀποκτήσῃ μὲ γλυκυτέραν καὶ ἡμερωτέραν ψυχήν; Διὰ τοῦτο θὰ ἴδῃς νὰ εἶναι ὀλίγοι οἱ μοιχεύοντες, ἐνῷ οἱ σωφρονοῦντες περισσότεροι. Ἀλλ' ἐὰν ἡ μοιχεία ἦτο γλυκυτέρα, αὐτὴν θὰ ἐπροτίμων οἱ πολλοί. Καὶ μὴ μοῦ εἴπῃς ὅτι πταίει ὁ φόβος ἀπὸ τοὺς νόμους· διότι δὲν εἶναι αὐτὸς ποὺ τοὺς συγκρατεῖ, ἀλλ' ἡ ὑπερβολικὴ ἀτοπία καὶ τὸ ὅτι

τὸ πλείονα εἶναι τὰ λυπηρὰ τῶν ἡδέων, καὶ ἡ τοῦ συνειδότος ψῆφος.

Καὶ ὁ μὲν μοιχὸς τοιοῦτος· εἰ δὲ βούλεσθε, καὶ τὸν πλεονέκτην εἰς μέσον ἀγάγωμεν, ἕτερον ἔρωτα πάλιν παράνομον ἀπογυμνοῦντες. Καὶ γὰρ καὶ τοῦτον ὀψόμεθα τὰ αὐτὰ δεδοικότα, καὶ οὐ δυνάμενον καθαρᾶς ἀπολαύειν ἡδονῆς. Καὶ γὰρ τοὺς ἠδικημένους ἐννοῶν, καὶ τοὺς συναλγοῦντας αὐτοῖς, καὶ τὴν κοινὴν ἁπάντων περὶ αὐτοῦ ψῆφον, μυρία κύματα ἔχει. Καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ χαλεπόν, ἀλλ' ὅτι οὐδὲ τῆς ἐρωμένης ἀπολαῦσαι δύνανται. Τοιοῦτος γὰρ ὁ τῶν φιλαργύρων τρόπος· οὐχ ἵνα ἀπολαύωσιν ἔχουσιν, ἀλλ' ἵνα μὴ ἀπολαύωσιν. Εἰ δὲ αἴνιγμά σοι τοῦτο εἶναι δοκεῖ, καὶ τὸ ἔτι τούτου χεῖρον καὶ ἀπορώτερον ἄκουε· ὅτι οὐ ταύτῃ μόνον ἐστέρηνται τῆς τῶν ὄντων ἡδονῆς, τῷ μὴ τολμᾶν αὐτοῖς χρῆσθαι, ὡς βούλονται, ἀλλὰ καὶ τῷ μηδέποτε αὐτῶν ἐμπίπλασθαι, ἀλλ' ἐν τῷ διψῆν εἶναι διηνεκῶς· οὗ τί γένοιτ' ἂν χαλεπώτερον; Ἀλλ' οὐχ ὁ δίκαιος τοιοῦτος, ἀλλὰ καὶ τρόμου καὶ μίσους καὶ φόβου καὶ τοῦ ἀνιάτου τούτου δίψους ἀπήλλακται· καὶ ὥσπερ ἐκείνῳ πάντες ἐπαρῶνται, οὕτω πάντες τούτῳ συνεύχονται· καὶ καθάπερ ἐκεῖνος οὐδένα κέκτηται φίλον, οὕτως οὗτος οὐδένα ἐχθρόν.

7. Τί τοίνυν, τούτων οὕτως ὡμολογουμένων, ἢ κακίας ἀηδέστερον, ἢ ἀρετῆς ἥδιον γένοιτ' ἄν; μᾶλλον δέ, κἂν μυρία εἴπωμεν, οὐδεὶς οὔτε ἐκείνης τὴν λύπην, οὔτε ταύτης τὴν ἡδονὴν παραστῆσαι δυνήσεται λόγος, ἕως ἂν αὐτῆς ἀπολαύσωμεν. Τότε γὰρ καὶ πικρότερον χολῆς εὑρήσομεν τὴν κακίαν, ὅταν τοῦ τῆς ἀρετῆς ἀπογευσώμεθα μέλιτος. Ἔστι μὲν γὰρ καὶ νῦν ἀηδὴς καὶ φορτικὴ καὶ ἐπαχθής, καὶ πρὸς τοῦτο οὐδὲ αὐτοὶ οἱ θεραπεύοντες αὐτὴν ἀντεροῦσιν, ὅταν δὲ αὐτῆς ἀποστῶμεν, τότε αὐτῆς ἀκριβέστερον αἰσθανόμεθα τῶν πικρῶν ἐπιταγμάτων. Εἰ δὲ οἱ πολλοὶ πρὸς αὐτὴν τρέ-

εἶναι περισσότερα τὰ λυπηρὰ ἀπὸ τὰ εὐχάριστα καὶ ἡ ἀπόφασις τῆς συνειδήσεως.

Καὶ ὁ μὲν μοιχὸς εἶναι τέτοιος· ἐὰν ὅμως θέλετε, ἂς παρουσιάσωμεν καὶ τὸν πλεονέκτην, ἀπογυμνώνοντες καὶ πάλιν ἄλλον παράνομον ἔρωτα. Διότι καὶ αὐτὸν θὰ ἰδοῦμεν νὰ φοβῆται τὰ ἴδια καὶ νὰ μὴ ἠμπορῇ ν' ἀπολαμβάνῃ καθαρὰν ἡδονήν. Διότι σκεπτόμενος αὐτοὺς ποὺ ἠδίκησε καὶ ὅσους στενοχωροῦνται μαζὶ μὲ αὐτούς, καὶ τὴν κοινὴν γνώμην ὅλων δι' αὐτόν, ἔχει ἄπειρα κύματα εἰς τὴν ζωήν. Καὶ δὲν εἶναι μόνον αὐτὸ τὸ κακόν, ἀλλὰ καὶ τὸ ὅτι δὲν ἠμπορεῖ ν' ἀπολαύσῃ τὴν ἐρωμένην. Διότι αὐτὸς εἶναι ὁ τρόπος τῶν φιλαργύρων· δὲν ἔχουν διὰ ν' ἀπολαύσουν, ἀλλὰ διὰ νὰ μὴ ἀπολαύσουν. Ἐὰν δὲ αὐτὸ σοῦ φαίνεται ἀκατανόητον, ἄκουε καὶ τὸ χειρότερον καὶ ἄξιον περισσοτέρας ἀπορίας ἀπὸ αὐτό· ὅτι δηλαδὴ δὲν στεροῦνται μόνον αὐτὴν τὴν ἡδονὴν τῶν ὑπαρχόντων, μὲ τὸ νὰ μὴ τολμοῦν νὰ χρησιμοποιοῦν αὐτὰ ὅπως θέλουν, ἀλλὰ καὶ τὸ ὅτι ποτὲ δὲν χορταίνουν, ἀλλ' εἶναι πάντοτε διψασμένοι· τί θὰ ἠμποροῦσε λοιπὸν νὰ ὑπάρξῃ χειρότερον ἀπὸ αὐτό; Ὅμως δὲν εἶναι τέτοιος ὁ δίκαιος, ἀλλὰ καὶ ἀπὸ τὸν τρόμον καὶ τὸ μίσος καὶ τὸν φόβον καὶ τὴν ἀνίατον αὐτὴν δίψαν εἶναι ἀπηλλαγμένος· καὶ ὅπως ἐκεῖνον ὅλοι τὸν καταρῶνται, ἔτσι ὅλοι εὔχονται δι' αὐτόν· καὶ ὅπως ἐκεῖνος κανένα δὲν ἔχει φίλον, ἔτσι αὐτὸς κανένα ἐχθρόν.

Τί λοιπόν, ἀφοῦ αὐτὰ ἔτσι εἶναι παραδεκτά, θὰ ἠμποροῦσε νὰ ὑπάρξῃ ἀηδέστερον ἀπὸ τὴν ἁμαρτίαν ἢ γλυκύτερον ἀπὸ τὴν ἀρετήν; Μᾶλλον δέ, καὶ ἂν ἀκόμη εἰποῦμεν ἄπειρα, κανεὶς λόγος δὲ θὰ ἠμπορέσῃ νὰ παραστήσῃ οὔτε ἐκείνης τὴν λύπην, οὔτε αὐτῆς τὴν ἡδονήν, μέχρις ὅτου τὴν ἀπολαύσωμεν. Διότι τότε θὰ εὕρωμεν τὴν κακίαν πικροτέραν καὶ ἀπὸ τὴν χολήν, ὅταν γευθῶμεν ἀπὸ τὸ μέλι τῆς ἀρετῆς. Διότι εἶναι μὲν καὶ τώρα ἀηδὴς καὶ φορτικὴ καὶ βαρεῖα, καὶ δὲν θὰ φέρουν εἰς αὐτὸ ἀντίρρησιν οὔτε αὐτοὶ ποὺ τὴν ὑπηρετοῦν, ὅταν ὅμως ἀπομακρυνθῶμεν ἀπὸ αὐτήν, τότε αἰσθανόμεθα σαφέστερον τὰς πικρὰς ἐπιταγάς της. Τὸ ὅτι δὲ οἱ πολλοὶ τρέχουν πρὸς αὐ-

χουσι, θαυμαστὸν οὐδέν· ἐπεὶ καὶ παῖδες πολλάκις τὰ ἧττον ἡδέα ἑλόμενοι, τῶν μειζόνως εὐφραινόντων καταφρονοῦσι· καὶ οἱ νοσοῦντες ὑπὲρ προσκαίρου χάριτος τὴν διηνεκῆ καὶ ἀσφαλεστέραν εὐφροσύνην ἀπώλεσαν, Τοῦτο δὲ τῆς τῶν ἐρώντων ἀσθενείας τε καὶ ἀνοίας ἐστίν, οὐ τῆς τῶν πραγμάτων φύσεως. Ὁ γὰρ μεθ' ἡδονῆς ζῶν, ὁ ἐνάρετός ἐστιν, ὁ πλουτῶν ὄντως, καὶ ὄντως ἐλεύθερος ὤν.

Εἰ δέ τις τὰ μὲν ἄλλα συγχωροίη τῇ ἀρετῇ, ἐλευθερίαν, ἄδειαν, τὸ φροντίδων ἀπηλλάχθαι, τὸ μηδένα δεδοικέναι, τὸ μηδένα ὑποπτεύειν, τὴν δὲ ἡδονὴν μὴ συγχωροίη, καὶ γελάσαι μοι λοιπὸν δαψιλὲς ἐνταῦθα ἐπέρχεται. Τί γὰρ ἕτερόν ἐστιν ἡδονή, ἢ τὸ φροντίδος ἀπηλλάχθαι καὶ φόβου καὶ ἀθυμίας, καὶ πᾶσιν ἀχείρωτον εἶναι; Τίς γὰρ ἐν ἡδονῇ, εἰπέ μοι, ὁ μαινόμενος καὶ σφαδάζων καὶ κεντούμενος ὑπὸ ἐπιθυμιῶν πολλῶν, καὶ οὐδὲ ἐν ἑαυτῷ ὤν, ἢ ὁ τούτων πάντων ἀπηλλαγμένος τῶν κυμάτων, καὶ ὥσπερ ἐν λιμένι τῇ φιλοσοφίᾳ καθήμενος; Οὐκ εὔδηλον ὅτι οὗτος; Ἀλλὰ τῆς ἀρετῆς τοῦτο ἴδιον ἀνεφάνη. Ὥστε ἡ κακία ὄνομα μόνον ἡδονῆς ἔχει, τοῦ δὲ πράγματός ἐστιν ἔρημος· καὶ πρὸ μὲν τῆς ἀπολαύσεως μανία ἐστίν, οὐχ ἡδονή, μετὰ δὲ τὴν ἀπόλαυσιν εὐθέως καὶ αὐτὴ σβέννυται. Εἰ τοίνυν οὔτε ἐν ἀρχῇ οὔτε μετὰ ταῦτα ἔστιν ἰδεῖν αὐτῆς τὴν ἡδονήν, ποῦ φανεῖται καὶ πότε;

Ἵνα δὲ σαφέστερον, ὃ λέγω, μάθῃς, ἐπὶ ὑποδείγματος τὸν λόγον γυμνάσωμεν. Σκόπει δέ. Ἠράσθη τις γυναικὸς ὡραίας καὶ εὐμόρφου. Οὗτος ἕως μὲν ἂν μὴ ἐπιτύχῃ τοῦ ἔρωτος, τοῖς ἐξεστηκόσιν ἔοικε καὶ παραπαίουσιν, ἐπειδὰν δὲ ἐπιτύχῃ, ἔσβεσε τὴν ἐπιθυμίαν. Εἰ τοίνυν μήτε ἐν ἀρχῇ ἡ-

τήν, δὲν εἶναι καθόλου θαυμαστόν· διότι καὶ τὰ παιδιὰ πολλὰς φοράς, ἐπειδὴ προτιμοῦν τὰ ὀλιγώτερον εὐάρεστα, περιφρονοῦν αὐτὰ ποὺ εὐφραίνουν περισσότερον· καὶ αὐτοὶ ποὺ νοσοῦν διὰ κάποιον πρόσκαιρον θέλγητρον ἔχασαν τὴν παντοτινὴν καὶ σταθερὰν εὐφροσύνην. Αὐτὸ δὲ εἶναι ἀποτέλεσμα τῆς ἀσθενείας αὐτῶν ποὺ κυριεύονται ἀπὸ ἔρωτα, καὶ ὄχι τῆς φύσεως τῶν πραγμάτων. Διότι ἐκεῖνος ποὺ ζῇ μὲ ἡδονὴν εἶναι ὁ ἐνάρετος, ὁ ὁποῖος πράγματι πλουτεῖ καὶ εἶναι πράγματι ἐλεύθερος.

Ἐὰν ὅμως κάποιος παραδέχεται μὲν ὅτι τὰ ἄλλα συνυπάρχουν μὲ τὴν ἀρετήν, δηλαδὴ ἡ ἐλευθερία, τὸ θάρρος, ἡ ἀπαλλαγὴ ἀπὸ τὰς φροντίδας, τὸ νὰ μὴ φοβῆται ὁ ἐνάρετος κανένα, τὸ νὰ μὴ ὑποπτεύεται κανένα, ἀλλ' ἀρνεῖται ὅτι συνυπάρχει καὶ ἡ ἡδονή, μοῦ ἔρχεται πράγματι καὶ νὰ γελάσω πολὺ δι' αὐτό. Διότι τί ἄλλο εἶναι ἡδονή, παρὰ τὸ νὰ ἔχῃ κανεὶς ἀπαλλαγὴ ἀπὸ τὴν φροντίδα καὶ τὸν φόβον καὶ τὴν λύπην καὶ νὰ εἶναι ἀπὸ ὅλα ἐλεύθερος; Ποῖος λοιπὸν ζῇ μὲ ἡδονήν, εἰπέ μου, αὐτὸς ποὺ μαίνεται καὶ σφαδάζει καὶ κεντᾶται ἀπὸ πολλὰς ἐπιθυμίας καὶ οὔτε εἰς τὸν ἑαυτόν του εὑρίσκεται, ἢ αὐτὸς ποὺ εἶναι ἀπηλλαγμένος ἀπὸ ὅλα αὐτὰ τὰ χώματα καὶ ἀνακατεύεται εἰς τὸν χῶρον τῆς εὐσεβείας ὡσὰν εἰς λιμένα; Δὲν εἶναι φανερὸν ὅτι αὐτός; Ἀλλ' ἀπεδείχθη αὐτὸ ὅτι εἶναι γνώρισμα τῆς ἀρετῆς. Ὥστε ἡ κακία μόνον τὸ ὄνομα τῆς ἡδονῆς ἔχει, ἐνῷ εἶναι ἔρημος ἀπὸ τὴν ἡδονήν· καὶ πρὶν μὲν ἀπὸ τὴν ἀπόλαυσιν εἶναι μανία, ὄχι ἡδονή, μετὰ δὲ τὴν ἀπόλαυσιν συντόμως σβήνει καὶ αὐτή. Ἐὰν λοιπὸν οὔτε εἰς τὴν ἀρχὴν οὔτε μετὰ ἀπὸ αὐτὰ εἶναι δυνατὸν νὰ ἰδῇ κανεὶς τὴν ἡδονὴν τῆς κακίας, τότε ποῦ καὶ πότε θὰ φανῇ.

Διὰ ν' ἀντιληφθῇς ὅμως σαφέστερον αὐτὸ ποὺ λέγω, ἂς ἀναφέρωμεν ἓν παράδειγμα. Πρόσεχε δέ. Ἐκυριεύθη κάποιος ἀπὸ ἔρωτα διὰ γυναῖκα ὡραίαν καὶ εὔμορφον. Αὐτὸς μέχρι τὴν στιγμὴν ποὺ δὲν ἐπιτυγχάνει ν' ἀποσπάσῃ τὸν ἔρωτα τῆς γυναικός, ὁμοιάζει μὲ αὐτοὺς ποὺ εἶναι ἐκτὸς ἑαυτοῦ καὶ παραφρονοῦν, ὅταν ὅμως τὸ ἐπιτύχῃ, ἔσβησε τὴν ἐπιθυμίαν. Ἐὰν λοιπὸν οὔτε εἰς τὴν ἀρχὴν

δεται· μανία γὰρ τὸ πρᾶγμά ἐστι· μήτε ἐν τῷ τέλει· καταλύει γὰρ τῇ μίξει τὸν οἶστρον· ποῦ λοιπὸν αὐτὴν εὑρήσομεν; Ἀλλ' οὐ τὰ ἡμέτερα τοιαῦτα, ἀλλὰ καὶ ἐν ἀρχῇ ταραχῆς ἀπήλλακται πάσης, καὶ μέχρι τέλους ἀκμάζουσα μένει ἡ ἡδονή· μᾶλλον δὲ οὐδέ ἐστι τέλος παρ' ἡμῖν ἡδονῆς, οὐδὲ ἔχει πέρας ἡμῶν τὰ ἀγαθά, οὐδὲ καταλύεταί πω αὕτη ἡ ἡδονή.

Ταῦτ' οὖν ἅπαντα ἐννοήσαντες, εἴγε ἡδονῆς ἐρῶμεν, ἐπιλαβώμεθα ἀρετῆς, ἵνα καὶ τῶν παρόντων καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

εὐχαριστεῖται, διότι κατέχεται ἀπὸ μανίαν, οὔτε εἰς τὸ τέλος, διότι ὁ οἶστρος διαλύεται εἰς τὴν σαρκικὴν ἕνωσιν, ποῦ θὰ εὕρωμεν λοιπὸν τὴν ἡδονήν; Τὰ ἰδικά μας ὅμως δὲν εἶναι τέτοια, ἀλλὰ καὶ εἰς τὴν ἀρχὴν εἶναι κανεὶς ἀπηλλαγμένος ἀπὸ κάθε ταραχὴν καὶ μέχρι τὸ τέλος παραμένει ἀκμαία ἡ ἡδονή· μᾶλλον δὲ οὔτε ὑπάρχει τέλος τῆς ἡδονῆς εἰς τὰ ἰδικά μας, οὔτε ἔχουν τέλος δι' ἐμᾶς τὰ ἀγαθά, οὔτε καταλύεται ποτὲ αὐτὴ ἡ ἡδονή.

Ὅλα αὐτὰ λοιπὸν ἀφοῦ τὰ ἐννοήσωμεν, ἐὰν πράγματι ἐπιθυμοῦμεν τὴν ἡδονήν, ἂς προσπαθῶμεν νὰ ἐπιτύχωμεν τὴν ἀρετήν, διὰ νὰ ἐπιτύχωμεν καὶ τὰ παρόντα καὶ τὰ μέλλοντα ἀγαθά, τὰ ὁποῖα εἴθε νὰ ἐπιτύχωμεν ὅλοι, διὰ τῆς χάριτος καὶ φιλανθρωπίας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ ΚΓ΄
Α΄ Κορ. 9, 24 - 10, 12

«Οὐκ οἴδατε ὅτι οἱ ἐν σταδίῳ τρέχοντες, πάντες μὲν τρέχουσιν, εἷς δὲ λαμβάνει τὸ βραβεῖον;».

1. Δείξας ὅτι πολὺ χρήσιμον τὸ συγκαταβαίνειν, καὶ τοῦτο ἡ ἄκρα τελειότης, καὶ ὅτι αὐτὸς πάντων πλέον πρὸς τὸ τέλειον ἀναβάς, μᾶλλον δὲ καὶ ὑπερβὰς αὐτὸ τῷ μὴ λαμβάνειν, πάντων πλέον κατέβη πάλιν, καὶ ἑκατέρων τούτων τοὺς καιροὺς γνωρίμους ποιήσας ἡμῖν καὶ τῆς τελειότητος καὶ τῆς συγκαταβάσεως, πληκτικώτερον αὐτῶν καθικνεῖται λοιπόν, αἰνιττόμενος ὅτι τοῦτο τὸ παρ᾽ αὐτῶν γινόμενον, καὶ δοκοῦν εἶναι τελειότητος, ματαιοπονία τίς ἐστι περιττή. Καὶ οὐ λέγει μὲν αὐτὸ οὕτω σαφῶς, ἵνα μὴ ἀπαναισχυντήσωσι, δι᾽ ὧν δὲ κατασκευάζει, τοῦτο δηλοῖ. Καὶ εἰπὼν ὅτι εἰς τὸν Χριστὸν ἁμαρτάνουσι, καὶ τοὺς ἀδελφοὺς ἀπολλύουσι, καὶ οὐδὲν αὐτοῖς ὄφελος γίνεται ἀπὸ τῆς γνώσεως τῆς τελείας, ἐὰν μὴ ἀγάπη προσῇ, πάλιν ἐπὶ κοινὸν ἔρχεται παράδειγμα, καί φησιν· «Οὐκ οἴδατε ὅτι οἱ ἐν σταδίῳ τρέχοντες, πάντες μὲν τρέχουσιν, εἷς δὲ λαμβάνει τὸ βραβεῖον;». Τοῦτο δὲ λέγει, οὐχ ὡς καὶ ἐνταῦθα ἑνὸς ἐκ πάντων μέλλοντος σώζεσθαι, ἄπαγε, ἀλλ᾽ ὡς πολλὴν ὀφειλόντων ἡμῶν εἰσενεγκεῖν τὴν σπουδήν. Ὥσπερ γὰρ ἐκεῖ κατιόντων πολλῶν εἰς τὸ στάδιον, οὐ στεφανοῦνται πολλοί, ἀλλ᾽ εἰς ἕνα τοῦτο περιΐσταται, καὶ οὐκ ἀρκεῖ τὸ καθεῖναι εἰς τὸν ἀγῶνα, οὔτε τὸ ἀλείψασθαι καὶ παλαῖσαι· οὕτω καὶ ἐνταῦθα οὐκ ἀρκεῖ τὸ πιστεῦσαι καὶ ὡς ἔτυχεν ἀγωνίσασθαι, ἀλλὰ ἂν μὴ οὕτω δράμωμεν, ὡς μέχρι τοῦ τέλους ἀλήπτους ἑαυτοὺς

ΛΟΓΟΣ ΚΓ΄
Α΄ Κορ. 9, 24 - 10, 12

«Δὲν γνωρίζετε ὅτι αὐτοὶ ποὺ τρέχουν εἰς τὸ στάδιον, τρέχουν μὲν ὅλοι, ἀλλ' ἕνας λαμβάνει τὸ βραβεῖον;».

1. Ἀφοῦ ἔδειξεν ὅτι εἶναι πολὺ χρήσιμον τὸ νὰ συγκαταβαίνῃ κανεὶς καὶ ὅτι αὐτὸ εἶναι τὸ ἀκραῖον σημεῖον τῆς τελειότητος καὶ ὅτι αὐτός, ἀφοῦ ἀνέβη περισσότερον ἀπὸ ὅλους πρὸς τὸ τέλειον, μᾶλλον δὲ καὶ ἐνῷ ὑπερέβη καὶ αὐτὸ τὸ νὰ μὴ λαμβάνῃ, περισσότερον ἀπὸ ὅλους κατέβη πάλιν, καὶ ἀφοῦ μᾶς ἐγνώρισε τὸν κατάλληλον καιρὸν καὶ διὰ τὰ δύο αὐτά, τὴν τελειότητα καὶ τὴν συγκατάβασιν, ἐντονώτερον πλέον τοὺς προσβάλλει, μὲ τὸ ὅτι ὑπαινίσσεται ὅτι αὐτὸ ποὺ γίνεται ἀπὸ αὐτοὺς καὶ ἐκλαμβάνεται ὡς σημεῖον τελειότητος, εἶναι περιττὸς καὶ ἀνωφελὴς κόπος. Καὶ δὲν τὸ λέγει μὲν αὐτὸ τόσον καθαρά, διὰ νὰ μὴ γίνουν ἀναίσχυντοι, μὲ αὐτὰ ποὺ συστήνει ὅμως αὐτὸ δηλοῖ. Καὶ ἀφοῦ εἶπεν ὅτι εἰς τὸν Χριστὸν ἁμαρτάνουν καὶ τοὺς ἀδελφοὺς καταστρέφουν, καὶ ὅτι δὲν ὠφελοῦνται καθόλου ἀπὸ τὴν τελείαν γνῶσιν ἐὰν δὲν συνυπάρχῃ μὲ αὐτὴν ἡ ἀγάπη, ἔρχεται πάλιν εἰς ἓν παράδειγμα ἀπὸ τὴν κοινὴν πεῖραν καὶ λέγει· «Δὲν γνωρίζετε ὅτι αὐτοὶ ποὺ τρέχουν εἰς τὸ στάδιον, τρέχουν μὲν ὅλοι, ἀλλ' ἕνας λαμβάνει τὸ βραβεῖον;». Αὐτὸ δὲ τὸ λέγει, ὄχι ἐπειδὴ πρόκειται καὶ ἐδῶ νὰ σωθῇ ἕνας μόνον ἀπὸ ὅλους, μὴ γένοιτο, ἀλλ' ὅτι ὀφείλομεν νὰ καταβάλωμεν πολλὴν προσπάθειαν. Διότι ὅπως ἐκεῖ, ἐνῷ κατέρχονται πολλοὶ εἰς τὸ στάδιον, δὲν λαμβάνουν βραβεῖον πολλοί, ἀλλὰ δι' ἕνα ἔχει ἑτοιμασθῇ αὐτό, καὶ δὲν ἀρκεῖ νὰ κατέλθῃ κανεὶς εἰς τὸν ἀγῶνα, οὔτε τὸ νὰ ἀλειφθῇ μὲ ἔλαιον καὶ νὰ παλαίσῃ, ἔτσι καὶ ἐδῶ δὲν ἀρκεῖ τὸ νὰ πιστεύσῃ κανεὶς καὶ ν' ἀγωνισθῇ ὅπως τύχῃ· ἀλλ' ἐὰν δὲν τρέξωμεν ἔτσι, ὥστε μέ-

παρασχεῖν, καὶ ἐγγὺς γενέσθαι τοῦ βραβείου, οὐδὲν ἡμῖν ἔσται πλέον. Εἰ γὰρ καὶ τέλειον νομίζεις εἶναι σαυτὸν κατὰ τὴν γνῶσιν, ἀλλ' οὐδέπω τοῦ παντὸς ἐπείληψαι· ὅπερ αἰνιττόμενος ἔλεγεν· «Οὕτω τρέχετε, ἵνα καταλάβητε». Οὐκ ἄρα που κατειληφότες ἦσαν. Καὶ εἰπών, «οὕτω», καὶ τὸν τρόπον διδάσκει.

«Πᾶς δὲ ὁ ἀγωνιζόμενος πάντα ἐγκρατεύεται». Τί ἐστι, «πάντα»; Οὐχὶ τοῦδε μὲν ἀπέχεται, ἐν ἑτέρῳ δὲ διαμαρτάνει, ἀλλὰ καὶ γαστριμαργίας καὶ λαγνείας καὶ μέθης καὶ πάντων ἁπλῶς κρατεῖ τῶν παθῶν. Τοῦτο γάρ, φησί, καὶ ἐπὶ τῶν ἔξωθεν ἀγώνων γίνεται. Οὐδὲ γὰρ μεθύειν ἔξεστι τοῖς ἀγωνιζομένοις κατὰ τὸν καιρὸν τῆς ἀγωνίας, οὐδὲν πορνεύειν, ἵνα μὴ τὴν δύναμιν ἐκλύσωσιν, ἀλλ' οὐδὲ περὶ ἄλλο τι οὐδὲν ἠσχολῆσθαι, ἀλλὰ πάντων ἑαυτοὺς ἅπαξ ἀποστήσαντες, τοῖς γυμνασίοις μόνον προσέχουσιν. Εἰ δὲ ἐκεῖ ταῦτα, ὅπου καὶ εἷς ἕνα ὁ στέφανος, πολλῷ μᾶλλον ἐνταῦθα, ὅπου καὶ πλείων ἡ φιλοτιμία. Οὐδὲ γὰρ εἷς ὁ στεφανούμενος μόνος, καὶ τὰ ἔπαθλα δὲ πολὺ τοὺς πόνους νικᾷ. Διὸ καὶ ἐντρεπτικῶς αὐτὸ τίθησι λέγων· «Ἐκεῖνοι μὲν οὖν, ἵνα φθαρτὸν στέφανον λάβωσιν, ἡμεῖς δὲ ἄφθαρτον».

«Ἐγὼ τοίνυν οὕτω τρέχω, οὐκ ἀδήλως». Ἐντρέψας γὰρ αὐτοὺς ἀπὸ τῶν ἔξωθεν, καὶ ἑαυτὸν εἰς μέσον ἄγει λοιπόν, ὅπερ ἄριστος τρόπος διδασκαλίας ἐστί. Διὸ καὶ πανταχοῦ φαίνεται τοῦτο ποιῶν. Τί δέ ἐστιν, «οὐκ ἀδήλως»; Πρὸς σκοπόν τινα βλέπων, φησίν, οὐκ εἰκῇ καὶ μάτην, καθάπερ ὑμεῖς. Τί γὰρ ὑμῖν γίνεται πλέον ἀπὸ τοῦ εἰς εἰδωλεῖα εἰσιέναι, καὶ τὴν τελειότητα δῆθεν ἐκείνην ἐπιδείκνυσθαι; Οὐδέν. Ἀλλ' οὐκ ἐγὼ τοιοῦτος, ἀλλὰ πάντα, ἅπερ ποιῶ,

χρι τὸ τέλος νὰ παραδώσωμεν τοὺς ἑαυτούς μας ἀμέμπτους καὶ νὰ πλησιάσωμεν τὸ βραβεῖον, δὲν θὰ ὑπάρξῃ πλέον τίποτε δι' ἡμᾶς. Ἀκόμη δηλαδὴ καὶ ἂν νομίζῃς ὅτι εἶσαι τέλειος ὡς πρὸς τὴν γνῶσιν, ἀλλὰ δὲν ἔχεις ἀκόμη ἐπιτύχει κάθε ἀρετήν· πρᾶγμα τὸ ὁποῖον ἔλεγεν ὑπαινισσόμενος· «Νὰ τρέχητε κατὰ τέτοιον τρόπον ὥστε νὰ νικήσετε». Ἄρα δὲν εἶχον νικήσει πουθενά. Καὶ μὲ τὸ νὰ εἰπῇ, «οὕτω», ἐδίδαξε καὶ τὸν τρόπον.

«Ὅποιος δὲ ἀγωνίζεται ἐγκρατεύεται εἰς ὅλα». Τί σημαίνει «πάντα»; Ὄχι ἀπὸ αὐτὸ μὲν ν' ἀπέχῃ, εἰς ἄλλο δὲ ν' ἁμαρτάνῃ, ἀλλὰ καὶ ἀπὸ τὴν γαστριμαργίαν καὶ ἀπὸ τὴν λαγνείαν καὶ ἀπὸ τὴν μέθην, καὶ εἰς ὅλα γενικῶς τὰ πάθη νὰ νικᾷ. Διότι αὐτό, λέγει, γίνεται καὶ εἰς τοὺς διαφόρους ἄλλους ἀγῶνας. Διότι οὔτε νὰ μεθοῦν ἐπιτρέπεται εἰς τοὺς ἀγωνιζομένους κατὰ τὴν διάρκειαν διεξαγωγῆς τῶν ἀγώνων, οὔτε νὰ πορνεύουν, διὰ νὰ μὴ διαλύσουν τὴν δύναμιν, ἀλλ' οὔτε μὲ τίποτε ἄλλο ν' ἀσχολοῦνται, ἀλλ' ἅπαξ καὶ ἀπεμάκρυνον τοὺς ἑαυτούς των ἀπὸ ὅλα, μόνον εἰς τ' ἀγωνίσματα προσέχουν. Ἐὰν δὲ αὐτὰ ἰσχύουν ἐκεῖ, ὅπου καὶ μόνον εἰς ἕνα δίδεται ὁ στέφανος, πολὺ περισσότερον ἐδῶ, ὅπου καὶ μεγαλυτέρα εἶναι ἡ γενναιοδωρία. Διότι δὲν εἶναι ἕνας μόνον ὁ στεφανούμενος, ἀλλὰ καὶ τὰ ἔπαθλα ὑπερβαίνουν κατὰ πολὺ τοὺς κόπους. Διὰ τοῦτο μὲ τρόπον ποὺ νὰ δημιουργῇ ἐντροπὴν παρουσιάζει αὐτὸ μὲ λόγους· «Ἐκεῖνοι μὲν διὰ νὰ πάρουν στέφανον φθαρτόν, ἡμεῖς ὅμως ἄφθαρτον».

«Ἐγὼ λοιπὸν τρέχω ὄχι ἀσκόπως». Ἀφοῦ λοιπὸν τοὺς ἔκανε νὰ ἐντραποῦν ἀπὸ τὰ ἐκτὸς τῆς ἐκκλησίας παραδείγματα, παρουσιάζει τώρα καὶ τὸν ἑαυτόν του, πρᾶγμα ποὺ εἶναι ἄριστος τρόπος διδασκαλίας. Διὰ τοῦτο καὶ παντοῦ φαίνεται νὰ κάμνῃ αὐτό. Τί σημαίνει δὲ «οὐκ ἀδήλως»; Ἀποβλέπων εἰς κάποιον σκοπόν, λέγει, ὄχι τυχαῖα καὶ ἄσκοπα, ὅπως ἐσεῖς. Διότι τί περισσότερον γίνεται εἰς ἐσᾶς ἀπὸ τοῦ νὰ εἰσέρχησθε εἰς εἰδωλολατρικοὺς ναοὺς καὶ νὰ ἐπιδεικνύετε ἐκείνην τὴν δῆθεν τελειότητα; Ἐγὼ ὅμως δὲν εἶμαι τέτοιος, ἀλλ' ὅλα ὅσα κάμνω, τὰ

ὑπὲρ τῆς τῶν πλησίον σωτηρίας ποιῶ. Κἂν τελειότητα ἐπιδείξωμαι, δι' αὐτούς· κἂν συγκατάβασιν, δι' αὐτούς· κἂν ὑπερβῶ Πέτρον ἐν τῷ μὴ λαμβάνειν, ἵνα μὴ σκανδαλισθῶσι· κἂν καταβῶ πλέον πάντων, περιτεμνόμενος καὶ ξυρώμενος, ἵνα μὴ ὑποσκελισθῶσι. Τοῦτό ἐστιν, «οὐκ ἀδήλως». Σὺ δὲ διὰ τί ἐσθίεις ἐν εἰδωλείοις, εἰπέ μοι; Ἀλλ' οὐκ ἂν ἔχοις εἰπεῖν αἰτίαν εὔλογον οὐδεμίαν. «Βρῶμα γάρ σε οὐ παρίστησι τῷ Θεῷ· καὶ οὔτε ἐὰν φάγῃς, περισσεύεις, οὔτε ἐὰν μὴ φάγῃς, ὑστερῇ». Οὐκοῦν ἁπλῶς καὶ ὡς ἔτυχε τρέχεις. Τοῦτο γάρ ἐστιν, «ἀδήλως».

«Οὕτω πυκτεύω, ὡς οὐκ ἀέρα δέρων». Πάλιν τὸ εἰκῇ καὶ μάτην αἰνιττόμενος, τοῦτό φησιν. Ἔχω γὰρ ὃν πλήξω, τουτέστι, τὸν διάβολον· σὺ δὲ αὐτὸν οὐ πλήττεις, ἀλλ' ἁπλῶς ἐκχέεις σαυτοῦ τὴν ἰσχύν. Τέως μὲν οὖν αὐτοὺς διαβαστάζων, οὕτω λέγει. Ἐπειδὴ γὰρ σφοδροτέρως ἐχρήσατο αὐτοῖς ἐν τοῖς ἔμπροσθεν, πάλιν κατέχει τὴν ἐπιτίμησιν, τῷ τέλει τοῦ λόγου τηρῶν τὴν βαθεῖαν τομήν. Ἐνταῦθα μὲν γάρ φησιν, ὅτι εἰκῇ καὶ μάτην ποιοῦσιν· ὕστερον δὲ δείκνυσιν, ὅτι καὶ ἐπ' ὀλέθρῳ πολλῷ τῆς ἑαυτῶν κεφαλῆς, καὶ ὅτι καὶ χωρὶς τῆς βλάβης τῶν ἀδελφῶν, οὐδὲ αὐτοὶ ἀνεύθυνοι ταῦτα τολμῶντες.

«Ἀλλ' ὑπωπιάζω μου τὸ σῶμα καὶ δουλαγωγῶ, μή πως ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος γένωμαι». Ἐνταῦθα δείκνυσι καὶ ὑπὸ ἐπιθυμίας γαστρὸς κατεχομένους, καὶ ἀνιέντας αὐτῇ τὰς ἡνίας, καὶ προσχήματι τελειότητος τὴν γαστριμαργίαν τὴν ἑαυτῶν πληροῦντας· ὃ καὶ ἄνωθεν ὤδινεν εἰπεῖν, ὅτε ἔλεγε, «Τὰ βρώματα τῇ κοιλίᾳ, καὶ ἡ κοιλία τοῖς βρώμασιν». Ἐπειδὴ γὰρ καὶ πορνείαν τρυφὴ ποιεῖ καὶ εἰδωλολατρείαν τοῦτο ἕνεκεν, εἰκότως πολλαχοῦ καθικνεῖται τοῦ νοσήματος· καὶ δεικνὺς ὅσα ἔπαθε διὰ τὸ εὐαγγέλιον, καὶ

κάμνω διὰ τὴν σωτηρίαν τῶν πλησίον. Εἴτε τελειότητα ἐπιδείξω, δι' αὐτοὺς τὸ κάμνω· εἴτε συγκατάβασιν, δι' αὐτούς· εἴτε ὑπερβῶ τὸν Πέτρον εἰς τὸ νὰ μὴ λαμβάνω, διὰ νὰ μὴ σκανδαλισθοῦν τὸ κάμνω· εἴτε καταβῶ περισσότερον ἀπὸ ὅλους μὲ τὸ νά περιτέμνωμαι καὶ νὰ ξυρίζωμαι, τὸ κάμνω διὰ νὰ μὴ ἀπατηθοῦν καὶ πέσουν. Αὐτὸ σημαίνει τὸ «οὐκ ἀδήλως». Σὺ ὅμως, εἰπέ μου, διατί τρώγεις εἰς εἰδωλολατρικοὺς ναούς; Ἀλλὰ δὲν θὰ ἔχῃς νὰ μοῦ εἰπῇς καμμίαν εὔλογον αἰτίαν. Διότι «Δὲν σὲ συνιστᾷ τὸ φαγητὸν εἰς τὸν Θεόν, καθ' ὅσον οὔτε ἐὰν φάγῃς ἔχεις κανὲν πλεονέκτημα, οὔτε ἐὰν δὲν φάγῃς χάνεις τίποτε». Λοιπὸν ἀσκόπως καὶ ὅπως τύχῃ τρέχεις. Διότι αὐτὸ σημαίνει τὸ «ἀδήλως».

«Πυγμαχῶ, ὄχι ὡσὰν νὰ γρονθοκοπῶ τὸν ἀέρα». Πάλιν τὸ λέγει αὐτό, ὑπαινισσόμενος τὸ ἀσκόπως καὶ ματαίως. Διότι ἔχω ποῖον νὰ κτυπήσω, δηλαδή, τὸν διάβολον· ἐνῷ σὺ δὲν κτυπᾷς αὐτόν, ἀλλ' ἀσκόπως σκορπίζεις τὴν δύναμίν σου. Ἕως ἐδῶ μὲν λοιπὸν ὁμιλεῖ ἔτσι διὰ νὰ στηρίζῃ αὐτούς. Διότι ἐπειδὴ ὡμίλησεν ἐντονώτερον πρὸς αὐτοὺς εἰς τὰ προηγούμενα, σταματᾷ πάλιν τὴν ἐπιτίμησιν, κρατῶν διὰ τὸ τέλος τοῦ λόγου τὴν βαθεῖαν τομήν. Διότι ἐδῶ μὲν λέγει ὅτι ἀσκόπως καὶ ματαίως πράττουν· ὕστερον ὅμως δεικνύει ὅτι καὶ πρὸς μέγαν ὄλεθρον τῆς ἰδίας κεφαλῆς των πράττουν, καὶ ὅτι καὶ χωρὶς νὰ βλαβοῦν οἱ ἀδελφοί, δὲν θὰ εἶναι ἀνεύθυνοι αὐτοὶ ποὺ τολμοῦν τέτοια.

«Ἀλλὰ σκληραγωγῶ τὸ σῶμά μου καὶ τὸ μεταχειρίζομαι ὡς δοῦλον, ἀπὸ φόβον μήπως, ἐνῷ εἰς ἄλλους ἐκήρυξα, ἐγὼ ὁ ἴδιος ἀποδειχθῶ ἀποτυχών». Ἐδῶ δεικνύει ὅτι εἶναι καὶ κοιλιόδουλοι καὶ ὅτι παρέδωσαν εἰς αὐτὴν τὰ ἡνία καὶ ὑπὸ τὸ πρόσχημα τῆς τελειότητος ἱκανοποιοῦν τὴν γαστριμαργίαν των· πρᾶγμα ποὺ καὶ προηγουμένως ἤθελε νὰ εἰπῇ μὲ τοὺς λόγους «Τὰ φαγητὰ ἔχουν γίνει διὰ τὴν κοιλίαν καὶ ἡ κοιλία διὰ τὰ φαγητά». Ἐπειδὴ δὲ ἡ ἀπόλαυσις αὐτὴ ὁδηγεῖ καὶ εἰς πορνείαν καὶ εἰδωλολατρείαν ἐγέννησεν αὐτό, ὀρθῶς προσβάλλει πολλὰς φορὰς αὐτὴν τὴν νόσον· καὶ δεικνύων ὅσα ὑπέφερε διὰ νὰ κη-

τοῦτο μετ' ἐκείνων τίθησιν. Ὥσπερ γάρ, φησίν, ὑπερέβην τὰ προστάγματα, καὶ ταῦτα οὐ κούφου μοι τοῦ πράγματος ὄντος· καὶ γάρ, «Πάντα στέγομεν», φησίν· οὕτω καὶ ἐνταῦθα πολὺν ὑπομένω πόνον, ὥστε σωφρόνως ζῆν. Εἰ γὰρ καὶ δυσένδοτος ἡ ἐπιθυμία καὶ ἡ τῆς γαστρὸς τυραννίς, ἀλλ' ὅμως αὐτὴν χαλινῶ, καὶ οὐκ ἐκδίδωμι ἐμαυτὸν τῷ πάθει, ἀλλὰ πάντα ὑπομένω πόνον, ὥστε μὴ παρασυρῆναι. Μὴ γὰρ δὴ νομίσητε ἀπραγμόνως με ταῦτα κατορθοῦν. Καὶ γὰρ δρόμος ἐστὶ καὶ παγκράτιον καὶ φύσεως τυραννίς, κατεξανισταμένη συνεχῶς καὶ ἐλευθεριάζειν βουλομένη· ἀλλ' οὐκ ἀνέχομαι, ἀλλὰ καταστέλλω καὶ ὑποτάττω μετὰ πολλῶν τῶν ἱδρώτων αὐτήν.

Ταῦτα δὲ λέγει, ἵνα μηδεὶς ἀπογινώσκῃ τῶν ὑπὲρ ἀρετῆς ἀγώνων, ἐπειδὴ τὸ πρᾶγμα ἐπίπονον. Διό φησιν, «Ὑπωπιάζω καὶ δουλαγωγῶ». Οὐκ εἶπεν, ἀναιρῶ οὐδὲ κολάζω· οὐδὲ γὰρ ἐχθρὰ ἡ σάρξ· «ὑπωπιάζω καὶ δουλαγωγῶ», ὃ δεσπότου ἐστίν, οὐ πολεμίου διδασκάλου, οὐκ ἐχθροῦ· παιδοτρίβου, οὐκ ἐναντίου. «Μή πως ἄλλοις κηρύξαι, αὐτὸς ἀδόκιμος γένωμαι». Εἰ δὲ Παῦλος τοῦτο δέδοικεν ὁ τοσούτους διδάξας, καὶ δέδοικε μετὰ τὸ κηρῦξαι καὶ γενέσθαι ἄγγελος καὶ τῆς οἰκουμένης τὴν προστασίαν ἐπιδείξασθαι, τί ἂν εἴποιμεν ἡμεῖς; Μὴ γὰρ δὴ νομίσητε, φησίν, ἐπειδὴ ἐπιστεύσατε, ὅτι ἀρκεῖ τοῦτο εἰς σωτηρίαν ὑμῖν. Εἰ γὰρ ἐμοὶ τὸ κηρῦξαι, τὸ διδάξαι, τὸ μυρίους προσαγαγεῖν οὐκ ἀρκεῖ εἰς σωτηρίαν, εἰ μὴ καὶ τὰ κατ' ἐμαυτὸν παρασχοίμην ἄληπτα, πολλῷ μᾶλλον ὑμῖν.

2. Εἶτα ἐφ' ἕτερα ὑποδείγματα ἔρχεται πάλιν· καὶ ὥσπερ ἀνωτέρω τὰ τῶν ἀποστόλων καὶ τὰ τῆς κοινῆς συνηθείας καὶ τὰ τῶν ἱερέων καὶ τὰ ἑαυτοῦ τέθεικεν· οὕτω καὶ ἐνταῦ-

ρύξη τὸ εὐαγγέλιον, θέτει καὶ αὐτὸ μαζὶ μὲ ἐκεῖνα. Διότι ὅπως λέγει, ὑπερέβην τὴν ἐντολὴν καὶ αὐτὸ χωρὶς νὰ μοῦ εἶναι τὸ πρᾶγμα ἐλαφρόν, διότι λέγει «τὰ πάντα ὑποφέρομεν»˙ ἔτσι καὶ ἐδῶ πολὺν κόπον ὑπομένω ὥστε νὰ ζῶ μὲ σωφροσύνην. Διότι ἂν καὶ δυσκόλως ὑποχωρεῖ ἡ ἐπιθυμία καὶ ἡ τυραννία τῆς κοιλίας, ὅμως τὴν χαλιναγωγῶ καὶ δὲν παραδίδω τὸν ἑαυτόν μου εἰς τὸ πάθος, ἀλλὰ κάθε κόπον ὑπομένω διὰ νὰ μὴ παρασυρθῶ. Διότι μὴ νομίσετε ὅτι χωρὶς ἀγῶνα τὰ κατορθώνω αὐτά. Καὶ μάλιστα εἶναι ἀγὼν δρόμου καὶ πάλης καὶ πυγμαχίας μαζὶ καὶ τυραννὶς τῆς φύσεως, ἡ ὁποία συνεχῶς ἐπαναστατεῖ καὶ ἐπιθυμεῖ νὰ πράττῃ ἐλευθέρως˙ δὲν τὴν ἀφήνω ὅμως, ἀλλὰ καταστέλλω καὶ μὲ πολλοὺς κόπους καὶ ἱδρῶτας τὴν ὑποτάσσω.

Αὐτὰ δὲ τὰ λέγει διὰ νὰ μὴ ἀπελπίζεται κανεὶς εἰς τοὺς ἀγῶνας ὑπὲρ τῆς ἀρετῆς ἐπειδὴ αὐτὸ ἀπαιτεῖ κόπον. Διὰ τοῦτο λέγει, «τὸ σκληραγωγῶ καὶ τὸ μεταχειρίζομαι ὡς δοῦλον». Δὲν εἶπεν, ἀφανίζω οὔτε βασανίζω˙ διότι δὲν εἶναι ἐχθρικὴ ἡ σάρξ ἀλλά, «τὸ σκληραγωγῶ καὶ τὸ μεταχειρίζομαι ὡς δοῦλον», πρᾶγμα ποὺ ἁρμόζει εἰς κύριον, ὄχι εἰς ἀντίπαλον˙ εἰς διδάσκαλον, ὄχι εἰς ἐχθρόν˙ εἰς ὁδηγόν, ὄχι εἰς ἐνάντιον. «Μήπως, ἐνῷ εἰς ἄλλους ἐκήρυξα, ἐγὼ ὁ ἴδιος ἀποδειχθῶ ἀποτυχών». Ἐὰν δὲ ὁ Παῦλος φοβῆται αὐτό, ὁ ὁποῖος ἐδίδαξεν εἰς τόσους, καὶ φοβεῖται μετὰ ἀπὸ τότε ποὺ ἐκήρυξε καὶ ἔγινεν ἄγγελος καὶ ἀπεδείχθη προστάτης τῆς οἰκουμένης, τί νὰ εἰποῦμεν ἐμεῖς; Διότι, λέγει, μὴ λοιπὸν νομίσετε, ὅτι ἐπειδὴ ἐπιστεύσατε εἶναι ἀρκετὸν αὐτὸ διὰ τὴν σωτηρίαν σας. Διότι ἐὰν δι' ἐμὲ τὸ ὅτι ἐκήρυξα, ὅτι ἐδίδαξα, ὅτι ὡδήγησα χιλιάδας εἰς τὴν πίστιν δὲν εἶναι ἀρκετὸν διὰ τὴν σωτηρίαν μου, ἐὰν δὲν εἶχον προσφέρει καὶ ὅσα ἀνήκουν εἰς ἐμὲ ἄμεμπτα, πολὺ περισσότερον εἰς ἐσᾶς.

2. Ὕστερον ἔρχεται πάλιν εἰς ἄλλα παραδείγματα˙ καὶ ὅπως ἀνωτέρω ἐξέθεσε παραδείγματα ἀπὸ τοὺς ἀποστόλους, ἀπὸ τὴν κοινὴν πεῖραν, ἀπὸ τοὺς ἱερεῖς καὶ ἀπὸ τὰ ἰδικά του, ἔτσι καὶ ἐδῶ ἀφοῦ ἐξέθεσε τὰ ἀπὸ τοὺς Ὀλυμ-

θα τὰ τῶν Ὀλυμπιακῶν ἀγώνων καὶ τὰ παρ' ἑαυτοῦ θείς, πάλιν ἐπὶ τὰς τῆς παλαιᾶς πρόεισιν ἱστορίας. Καὶ ἐπειδὴ μέλλει φορτικώτερον ποιεῖν τὸν λόγον, κοινὴν ποιεῖται τὴν παραίνεσιν, καὶ οὐ περὶ τῶν προκειμένων μόνον, ἀλλὰ καὶ περὶ πάντων ἁπλῶς τῶν παρὰ Κορινθίοις νοσημάτων διαλέγεται. Καὶ ἐπὶ μὲν τῶν ἔξωθεν ἀγώνων. «Οὐκ οἴδατε;», φησίν· ἐνταῦθα δέ, «Οὐ θέλω δὲ ὑμᾶς ἀγνοεῖν, ἀδελφοί». Τοῦτο δὲ ἔλεγε, δεικνὺς ὅτι οὐ σφόδρα ταῦτα ἦσαν πεπαιδευμένοι. Καὶ τί τοῦτό ἐστιν, ὅπερ οὐ θέλεις ἡμᾶς ἀγνοεῖν; «Ὅτι οἱ πατέρες ἡμῶν πάντες, φησίν, ὑπὸ τὴν νεφέλην ἦσαν, καὶ διὰ τῆς θαλάσσης διῆλθον, καὶ εἰς τὸν Μωϋσῆν ἐβαπτίσαντο ἐν τῇ νεφέλῃ καὶ ἐν τῇ θαλάσσῃ· καὶ πάντες τὸ αὐτὸ βρῶμα πνευματικὸν ἔφαγον, καὶ τὸ αὐτὸ πόμα πνευματικὸν ἔπιον· ἔπινον γὰρ ἐκ πνευματικῆς ἀκολουθούσης πέτρας· ἡ δὲ πέτρα ἦν ὁ Χριστός. Ἀλλ' οὐκ ἐν τοῖς πλείοσιν αὐτῶν εὐδόκησεν ὁ Θεός». Καὶ τίνος ἕνεκεν ταῦτα λέγει; Ἵνα δείξῃ, ὅτι ὥσπερ ἐκείνους οὐκ ὤνησε τὸ τοσαύτης ἀπολαῦσαι δωρεᾶς, οὕτως οὐδὲ τούτους τοῦ βαπτίσματος τυχεῖν καὶ μυστηρίων πνευματικῶν ἀπολαῦσαι, εἰ μὴ μέλλοιεν ἄξιον τῆς χάριτος ἐπιδείκνυσθαι βίον. Διὸ καὶ τοὺς τοῦ βαπτίσματος καὶ τοὺς τῶν μυστηρίων παράγει τύπους.

Τί δέ ἐστιν, «εἰς τὸν Μωϋσῆν ἐβαπτίσαντο»; Καθάπερ ἡμεῖς τῷ Χριστῷ πιστεύσαντες καὶ τῇ ἀναστάσει αὐτοῦ, βαπτιζόμεθα, ὡς καὶ αὐτοὶ τῶν αὐτῶν μυστηρίων κοινωνήσαντες· «Βαπτιζόμεθα» γάρ, φησίν, «ὑπὲρ τῶν νεκρῶν», τουτέστι, τῶν σωμάτων τῶν ἡμετέρων· οὕτω κἀκεῖνοι θαρρήσαντες τῷ Μωϋσεῖ, τουτέστιν, ἰδόντες αὐτὸν διαβάντα πρῶτον, κατετόλμησαν καὶ αὐτοὶ τῶν ὑδάτων. Ἀλλ' ἐπειδὴ βούλεται τὸν τύπον ἐγγὺς τῆς ἀληθείας ἀγαγεῖν, οὐ λέγει οὕτως, ἀλλὰ τοῖς τῆς ἀληθείας ὀνόμασι κέχρηται καὶ ἐπὶ τοῦ τύπου. Καὶ τοῦτο μὲν τοῦ λουτροῦ σύμβολον· τὰ δὲ μετὰ ταῦτα, τῆς ἱερᾶς τραπέζης. Καθάπερ γὰρ σὺ τὸ σῶμα ἐσθίεις τὸ δεσποτικόν,

---

1. Α' Κορ. 15, 29.

πιακοὺς ἀγῶνας καὶ τὰ ἰδικά του, ἔρχεται πάλιν εἰς τὰς ἱστορίας τῆς παλαιᾶς διαθήκης. Καὶ ἐπειδὴ πρόκειται νὰ κάνῃ βαρύτερον τὸν λόγον, κάμνει γενικὴν τὴν παραίνεσιν καὶ ὁμιλεῖ, ὄχι μόνον διὰ τὰ παρόντα, ἀλλὰ δι' ὅλα γενικῶς τὰ νοσήματα τῶν Κορινθίων. Καὶ ὅταν μὲν ἀναφέρηται εἰς τοὺς ἀθλητικοὺς ἀγῶνας, «δὲν γνωρίζετε;», λέγει· ἐδῶ δέ, «Δὲν θέλω δὲ ν' ἀγνοῆτε σεῖς, ἀδελφοί». Αὐτὸ δὲ τὸ ἔλεγε διὰ νὰ δείξῃ ὅτι δὲν ἐγνώριζον αὐτὰ πολὺ καλῶς. Καὶ τί εἶναι αὐτὸ ποὺ δὲν θέλεις ν' ἀγνοοῦμεν; «Ὅτι οἱ πατέρες μας ἦσαν ὅλοι κάτω ἀπὸ τὴν νεφέλην καὶ ὅλοι ἐπέρασαν μέσα ἀπὸ τὴν θάλασσαν, καὶ ὅλοι ἐβαπτίσθησαν εἰς τὸν Μωϋσῆν μέσα εἰς τὴν νεφέλην καὶ εἰς τὴν θάλασσαν, καὶ ὅλοι ἔφαγον τὴν ἰδίαν πνευματικὴν τροφὴν καὶ ὅλοι ἤπιαν τὸ ἴδιον ὄνευματικὸν ποτόν. Διότι ἔπινον ἀπὸ πνευματικὴν πέτραν, ἡ ὁποία τοὺς ἠκολούθει, ἡ δὲ πέτρα ἦτο ὁ Χριστός. Καὶ ὅμως μὲ τοὺς περισσοτέρους ἀπὸ αὐτοὺς ὁ Θεὸς δὲν εὐηρεστήθη'». Καὶ διατί τὰ λέγει αὐτά; Διὰ νὰ δείξῃ ὅτι, ὅπως ἐκείνους δὲν τοὺς ὠφέλησε τὸ ὅτι ἀπήλαυσαν τόσην δωρεάν, ἔτσι οὔτε αὐτοὺς τὸ ὅτι ἔτυχον τοῦ βαπτίσματος καὶ ἀπήλαυσαν πνευματικὰ μυστήρια, ἐὰν δὲν πρόκειται νὰ ἐπιδείξουν βίον ἄξιον τῆς χάριτος. Διὰ τοῦτο καὶ παρουσιάζει τοὺς τύπους τοῦ βαπτίσματος καὶ τῶν μυστηρίων.

Τί σημαίνει ὅμως «ἐβαπτίσθησαν εἰς τὸν Μωϋσῆν»; Ὅπως ἐμεῖς βαπτιζόμεθα ἀφοῦ ἐπιστεύσαμεν εἰς τὸν Χριστὸν καὶ τὴν ἀνάστασίν του διὰ νὰ γίνωμεν κοινωνοὶ τῶν ἰδίων μυστηρίων — διότι «βαπτιζόμεθα», λέγει, «διὰ τοὺς νεκρούς»[1], δηλαδὴ διὰ τὰ ἰδικά μας σώματα, — ἔτσι καὶ ἐκεῖνοι, ἐπειδὴ ἔλαβον θάρρος ἀπὸ τὸν Μωϋσῆν, δηλαδὴ ἀφοῦ εἶδον αὐτὸν νὰ ἔχῃ διαβῆ πρῶτος μέσα ἀπὸ τὴν θάλασσαν, ἐτόλμησαν νὰ διαβοῦν καὶ αὐτοί. Ἐπειδὴ ὅμως θέλει νὰ ὁδηγήσῃ τὸ παράδειγμα πλησίον τῆς ἀληθείας, δὲν λέγει ἔτσι, ἀλλὰ χρησιμοποιεῖ καὶ εἰς τὸ παράδειγμα τὰς λέξεις ποὺ χρησιμοποιοῦνται διὰ τὴν πραγματικότητα. Καὶ αὐτὸ μὲν εἶναι σύμβολον τοῦ βαπτίσματος· ἐνῷ τὰ μετὰ ἀπὸ αὐτά, τῆς θείας κοινωνίας. Ὅπως δηλαδὴ ἐσὺ τρώγεις τὸ σῶμα τοῦ δεσπότου, ἔτσι ἐκεῖνοι τὸ

οὕτως ἐκεῖνοι τὸ μάννα· καὶ ὥσπερ σὺ τὸ αἷμα πίνεις, οὕτως ἐκεῖνοι ὕδωρ ἐκ πέτρας. Εἰ γὰρ καὶ αἰσθητὰ ἦν τὰ διδόμενα, ἀλλὰ πνευματικῶς παρείχετο, οὐ κατὰ φύσεως ἀκολουθίαν, ἀλλὰ κατὰ δωρεᾶς χάριν, καὶ μετὰ τοῦ σώματος καὶ τὴν ψυχὴν ἔτρεφεν εἰς πίστιν ἐνάγοντα. Διά τοι τοῦτο περὶ μὲν τῆς τροφῆς οὐδὲν εἶπεν· ἐξηλλαγμένη γὰρ ἦν, οὐ τῷ τρόπῳ μόνον, ἀλλὰ καὶ τῇ φύσει· μάννα γὰρ ἦν· ἐπὶ δὲ τοῦ ποτοῦ, ἐπειδὴ ὁ τρόπος τῆς χορηγίας μόνος ἦν ὁ παράδοξος, καὶ κατασκευῆς ἐδεήθη. Διόπερ εἰπών, ὅτι τὸ αὐτὸ πόμα πνευματικὸν ἔπιον, ἐπήγαγεν· «Ἔπινον γὰρ ἐκ πνευματικῆς ἀκολουθούσης πέτρας»· καὶ προσέθηκεν, «Ἡ δὲ πέτρα ἦν ὁ Χριστός». Οὐ γὰρ ἡ τῆς πέτρας φύσις τὸ ὕδωρ ἠφίει, φησίν· ἦ γὰρ ἂν καὶ πρὸ τούτου ἀνέβλυσεν, ἀλλ' ἑτέρα τις πέτρα πνευματικὴ τὸ πᾶν εἰργάζετο, τουτέστιν, ὁ Χριστὸς ὁ παρὼν αὐτοῖς πανταχοῦ, καὶ πάντα θαυματουργῶν. Διὰ γὰρ τοῦτο εἶπεν, «ἀκολουθούσης». Εἶδες Παύλου σοφίαν, πῶς ἑκατέρων αὐτὸν ὄντα χορηγὸν δείκνυσι, καὶ ταύτῃ τὸν τύπον ἐγγὺς τῆς ἀληθείας ἄγων; Ὁ γὰρ ἐκεῖνα παρασχὼν ἐκείνοις, φησίν, οὗτος καὶ ταύτην κατεσκεύασε τὴν τράπεζαν· καὶ ὁ αὐτὸς κἀκείνους διὰ τῆς θαλάττης, καὶ σὲ διὰ τοῦ βαπτίσματος ἤγαγε· κἀκείνοις μάννα καὶ ὕδωρ, καὶ σοὶ σῶμα καὶ αἷμα παρέσχε.

Καὶ τὰ μὲν τῆς δωρεᾶς αὐτοῦ τοιαῦτα· ἴδωμεν δὲ καὶ τὰ ἑξῆς, καὶ σκοπήσωμεν, εἰ τῆς δωρεᾶς ἀναξίων φανέντων τούτων ἐφείσατο. Ἀλλ' οὐκ ἂν ἔχοις τοῦτο εἰπεῖν· διὸ καὶ ἐπήγαγεν, «Ἀλλ' οὐκ ἐν τοῖς πλείοσιν αὐτῶν εὐδόκησεν ὁ Θεός», καίτοιγε τιμήσας αὐτοὺς τοσαύτῃ τιμῇ. Ἀλλ' οὐδὲν αὐτοὺς τοῦτο ὤνησεν, ἀλλ' οἱ πλείους ἀπώλοντο. Καὶ μὴν πάντες ἀπώλοντο· ἀλλ' ἵνα μὴ δόξῃ καὶ τούτοις πανωλεθρίαν προ-

μάννα˙ καὶ ὅπως ἐσύ πίνεις τὸ αἷμα, ἔτσι ἐκεῖνοι ὕδωρ ποὺ ἐπήγασεν ἀπὸ πέτραν. Διότι ἂν καὶ ἦσαν αἰσθητὰ αὐτὰ ποὺ ἐδίδοντο, ἐδίδοντο πνευματικῶς, ὄχι συμφώνως πρὸς τοὺς φυσικοὺς νόμους, ἀλλὰ συμφώνως πρὸς τὴν χάριν τῆς δωρεᾶς, καὶ μαζὶ μὲ τὸ σῶμα ἔτρεφον καὶ τὴν ψυχὴν καὶ τὴν ὁδήγουν εἰς τὴν πίστιν. Διὰ τοῦτο διὰ τὴν μὲν τροφὴν δὲν εἶπε τίποτε˙ διότι ἦτο μεταβεβλημένη, ὄχι μόνον εἰς τὸν τρόπον, ἀλλὰ καὶ εἰς τὴν φύσιν˙ διότι ἦτο μάννα˙ διὰ τὸ ποτὸν ὅμως, ἐπειδὴ μόνον ὁ τρόπος μὲ τὸν ὁποῖον ἐδόθη ἦτο θαυμαστός, ἐχρειάσθη καὶ ἀπόδειξις. Διὰ τοῦτο ὅταν εἶπεν ὅτι ἤπιαν τὸ ἴδιον πνευματικὸν ποτόν, προσέθεσεν˙ «Διότι ἔπινον ἀπὸ πνευματικὴν πέτραν ποὺ τοὺς ἠκολούθει»˙ καὶ προσέθεσεν, «ἡ δὲ πέτρα ἦτο ὁ Χριστός». Διότι, λέγει, δὲν ἦτο ἡ φύσις τῆς πέτρας ποὺ ἔκανε ν' ἀναβλύσῃ τὸ ὕδωρ. Καθ' ὅσον ἂν καὶ ἀνέβλυσε βεβαίως καὶ πρὶν ἀπὸ αὐτό, ἄλλη ὅμως πνευματικὴ πέτρα ἔκαμνε τὸ πᾶν, δηλαδὴ ὁ Χριστός, ὁ ὁποῖος παντοῦ ἦτο συμπαραστάτης των καὶ ἐθαυματούργει τὰ πάντα. Διὰ τοῦτο λοιπὸν εἶπεν «ποὺ τοὺς ἠκολούθει». Εἶδες τὴν σοφίαν τοῦ Παύλου, πῶς δεικνύει ὅτι ὁ Χριστὸς εἶναι χορηγὸς καὶ τῶν δύο καὶ ὁδηγεῖ ἔτσι τὸ παράδειγμα πλησίον τῆς ἀληθείας; Διότι, λέγει, αὐτὸς ποὺ ἔδωσεν αὐτὰ εἰς ἐκείνους, αὐτὸς ἠτοίμασε καὶ αὐτὴν τὴν τράπεζαν˙ καὶ ὁ ἴδιος ἐπίσης ὡδήγησε καὶ ἐκείνους διὰ τῆς θαλάσσης καὶ ἐσένα διὰ τοῦ βαπτίσματος˙ καὶ εἰς ἐκείνους ἔδωσε μάννα καὶ ὕδωρ, καὶ εἰς ἐσένα σῶμα καὶ αἷμα.

Καὶ ὅσα μὲν ἀφοροῦν τὴν δωρεὰν τοῦ Χριστοῦ εἶναι τέτοια˙ ἂς ἴδωμεν ὅμως καὶ τὰ ἑπόμενα καὶ ἂς ἐξετάσωμεν, ἐάν, ὅταν ἐφάνησαν ἀνάξιοι τῆς δωρεᾶς, τοὺς ἐλυπήθη. Δὲν ἠμπορεῖς ὅμως νὰ εἰπῇς αὐτό˙ διὰ τοῦτο καὶ προσέθεσε «Καὶ ὅμως μὲ τοὺς περισσοτέρους ἀπὸ αὐτοὺς ὁ Θεὸς δὲν εὐηρεστήθη», ἂν καὶ τοὺς ἐτίμησε μὲ τόσην τιμήν. Εἰς τίποτε ὅμως δὲν τοὺς ὠφέλησεν αὐτό, ἀλλ' οἱ περισσότεροι ἐχάθησαν. Καὶ ὅμως ὅλοι ἐχάθησαν˙ ἀλλὰ διὰ νὰ μὴ δώσῃ τὴν ἐντύπωσιν ὅτι προφητεύει καὶ δι' αὐτοὺς πανωλεθρίαν, διὰ τοῦτο εἶπεν, «οἱ περισσότεροι».

φητεύειν, διὰ τοῦτο εἶπεν, «οἱ πλείους». Καίτοιγε ἄπειροι ἦσαν, ἀλλ' οὐδὲν τὸ πλῆθος ὠφέλησε· καὶ πάντα ἐκεῖνα ἀγάπης τεκμήρια ἦν, ἀλλ' οὐδὲ τοῦτο αὐτοὺς ὤνησεν, ἐπεὶ μηδὲ αὐτοὶ τὰ τῆς ἀγάπης ἐπεδείκνυντο. Ἐπειδὴ γὰρ τοῖς περὶ γεέννης λόγοις οἱ πολλοὶ διαπιστοῦσιν, ἅτε μὴ παροῦσι μηδὲ φαινομένοις, ἀπὸ τῶν ἤδη γεγενημένων δείκνυσιν, ὅτι κολάζει τοὺς ἁμαρτάνοντας ὁ Θεός, κἂν μυριάκις εὐεργετηκὼς ᾖ. Εἰ γὰρ καὶ τοῖς μέλλουσιν ἀπιστεῖτε, φησίν, ἀλλ' οὐ δήπου καὶ τοῖς γεγενημένοις ἀπιστήσετε.

Σκωπεῖτε γοῦν ἡλίκα εὐηργέτησε τούτους· Αἰγύπτου καὶ τῆς ἐκεῖ δουλείας ἀπήλλαξε, τὴν θάλασσαν ὑπεστόρεσεν, ἐξ οὐρανοῦ μάννα κατήνεγκε, κάτωθεν ὑδάτων πηγὰς ξένας καὶ παραδόξους ἀνῆκε, παρῆν αὐτοῖς πανταχοῦ θαυματουργῶν, καὶ πάντοθεν αὐτοὺς τειχίζων· ἀλλ' ὅμως, ἐπειδὴ τῆς δωρεᾶς ταύτης οὐδὲν ἄξιον ἐπεδείξαντο, οὐκ ἐφείσατο αὐτῶν, ἀλλ' ἀπώλεσεν ἅπαντας. «Κατεστρώθησαν γάρ», φησίν, «ἐν τῇ ἐρήμῳ»· τήν τε ἀθρόαν αὐτῶν ἀπώλειαν καὶ τὰς κολάσεις καὶ τὰς τιμωρίας τὰς θεηλάτους ἐμφαίνων διὰ τῆς λέξεως ταύτης, καὶ ὅτι οὐδὲ τῶν προκειμένων ἐπάθλων ἐπέτυχον. Οὐδὲ γὰρ ἐν τῇ γῇ τῆς ἐπαγγελίας ταῦτα αὐτοὺς εἰργάσατο, ἀλλ' ἔξω καὶ πόρρω που καὶ μακρὰν τῆς χώρας ἐκείνης, διπλῇ τιμωρίᾳ κολάσας, καὶ τῷ μὴ συγχωρῆσαι τὴν γῆν ἰδεῖν, καὶ ταῦτα ἐπηγγελμένην αὐτοῖς, καὶ τῷ κολάσαι χαλεπῶς.

Καὶ τί πρὸς ἡμᾶς ταῦτα, φησί; Πρὸς σὲ μὲν οὖν· διὸ καὶ ἐπήγαγε· «Ταῦτα δὲ τύποι ἡμῶν ἐγενήθησαν». Ὥσπερ γὰρ αἱ δωρεαὶ τύποι, οὕτω καὶ αἱ κολάσεις τύποι· καὶ ὥσπερ τὸ βάπτισμα καὶ ἡ τράπεζα προδιεγράφετο, οὕτω διὰ

Ἂν καὶ ἦσαν βεβαίως πάρα πολλοί, εἰς τίποτε ὅμως δὲν ὠφέλησε τὸ πλῆθος· καὶ ὅλα ἐκεῖνα ἦσαν σημεῖα ἀγάπης, ἀλλ' οὔτε αὐτὸ τοὺς ὠφέλησεν, ἐπειδὴ οὔτε αὐτοὶ ἀπέδειξαν καρποὺς ἀγάπης. Ἐπειδὴ λοιπὸν πολλοὶ δὲν πιστεύουν εἰς τοὺς λόγους διὰ τὴν κόλασιν, ἐπειδὴ τὰ τῆς κολάσεως δὲν εἶναι παρόντα, οὔτε ὁρατά, δεικνύει ἀπὸ αὐτὰ ποὺ ἤδη ἔγιναν, ὅτι ὁ Θεὸς τιμωρεῖ αὐτοὺς ποὺ ἁμαρτάνουν, ἀκόμη καὶ ἂν τοὺς εὐηργέτησε χιλιάδας φοράς. Διότι καὶ ἂν δὲν πιστεύετε δι' ὅσα ἀναφέρονται εἰς τὸ μέλλον, λέγει, δὲν θὰ ἀπιστήσετε βεβαίως καὶ δι' ὅσα ἤδη ἔχουν γίνει.

Προσέχετε λοιπὸν πόσον τοὺς εὐηργέτησε· τοὺς ἀπήλλαξεν ἀπὸ τὴν Αἴγυπτον καὶ ἀπὸ τὴν δουλείαν ἐκεῖ, ἐγεφύρωσε τὴν θάλασσαν, ἔρριψε μάννα ἀπὸ τὸν οὐρανόν, ἤνοιξε πηγὰς ὑδάτων θαυμαστὰς καὶ παραδόξους, παρίστατο εἰς αὐτοὺς παντοῦ καὶ ἐθαυματούργει καὶ τοὺς ἐπροστάτευσεν ἀπὸ παντοῦ ὡσὰν μὲ τεῖχος· καὶ ὅμως, ἐπειδὴ τίποτε ἄξιον αὐτῆς τῆς δωρεᾶς δὲν ἐπέδειξαν, δὲν τοὺς ἐλυπήθη, ἀλλὰ τοὺς ἠφάνισεν ὅλους. «Διότι ἐστρώθησαν», λέγει, «κάτω νεκροὶ εἰς τὴν ἔρημον»· καὶ δεικνύει μὲ αὐτὴν τὴν λέξιν καὶ τὴν μαζικὴν ἀπώλειάν των καὶ τὰς κολάσεις καὶ τὰς τιμωρίας τὰς ἀπεσταλμένας ἀπὸ τὸν Θεόν, ἀλλὰ καὶ ὅτι δὲν ἐπέτυχον κανὲν ἀπὸ τὰ ἔπαθλα ποὺ ἡτοιμάσθησαν δι' αὐτούς. Διότι αὐτὰ δὲν τὰ ἔκανεν εἰς αὐτοὺς εἰς τὴν γῆν τῆς ἐπαγγελίας, ἀλλ' ἔξω καὶ πολὺ μακρὰν ἀπὸ τὴν χώραν ἐκείνην ἀφοῦ τοὺς ἐτιμώρησε μὲ διπλῆν τιμωρίαν, δηλαδὴ καὶ μὲ τὸ νὰ μὴ τοὺς ἀφήσῃ νὰ ἰδοῦν τὴν γῆν τῆς ἐπαγγελίας, καὶ τοῦτο παρ' ὅ,τι τοὺς τὴν ὑπεσχέθη, καὶ μὲ τὸ νὰ τοὺς τιμωρήσῃ μὲ φοβερὸν τρόπον.

Καὶ τί σχέσιν ἔχουν αὐτὰ μὲ ἐμᾶς; θὰ εἰπῇ κάποιος. Βεβαίως ἔχουν σχέσιν μὲ ἐσένα· διὰ τοῦτο καὶ ἐσυνέχισεν· «Αὐτὰ τὰ γεγονότα εἶναι παραδείγματα δι' ἐμᾶς». Ὅπως δηλαδὴ αἱ δωρεαὶ εἶναι προτυπώσεις, ἔτσι καὶ αἱ τιμωρίαι εἶναι προτυπώσεις· καὶ ὅπως εἶχε προδιαγραφῆ τὸ βάπτισμα καὶ ἡ τράπεζα, ἔτσι καὶ μὲ τὰ γεγονότα ποὺ ἀ-

τῶν μετὰ ταῦτα, ὅτι καὶ κολασθήσονται οἱ ταύτης ἀνάξιοι τῆς δωρεᾶς, προανεφωνεῖτο δι' ἡμᾶς, ὥστε σωφρονεστέρους γενέσθαι τοῖς παραδείγμασιν ἐκείνοις. Διὸ καὶ ἐπήγαγεν· «Εἰς τὸ μὴ εἶναι ἡμᾶς ἐπιθυμητὰς κακῶν, καθὼς κἀκεῖνοι ἐπεθύμησαν». Ὥσπερ γὰρ ἐν ταῖς εὐεργεσίαις οἱ τύποι προέλαβον, καὶ ἠκολούθησεν ἡ ἀλήθεια, οὕτω καὶ ἐν ταῖς τιμωρίαις ἕψεται. Ὁρᾷς πῶς δείκνυσιν, οὐχ ὅτι κολασθήσονται μόνον, ἀλλ' ὅτι καὶ μειζόνως ἢ ἐκεῖνοι; Εἰ γὰρ τὸ μὲν τύπος, τὸ δὲ ἀλήθεια, ἀνάγκη καὶ ἐν ταῖς τιμωρίαις πολλὴν εἶναι τὴν ὑπεροχήν, ὥσπερ καὶ ἐν ταῖς δωρεαῖς.

3. Καὶ σκόπει τίνων καθάπτεται πρῶτον· τῶν ἐν τοῖς εἰδωλείοις ἐσθιόντων. Εἰπὼν γάρ, «μὴ εἶναι ἐπιθυμητὰς κακῶν», ὅπερ ἦν καθολικόν, ἐπάγει καὶ τὸ κατ' εἶδος, δεικνὺς ὅτι ἕκαστον τῶν ἁμαρτημάτων ἐκ πονηρᾶς γέγονεν ἐπιθυμίας. Καὶ πρῶτον τοῦτο ὅ ἔφη· «Μηδὲ εἰδωλολάτραι γίνεσθε, καθώς τινες αὐτῶν, ὥσπερ γέγραπται· Ἐκάθισεν ὁ λαὸς φαγεῖν καὶ πιεῖν, καὶ ἀνέστησαν παίζειν». Ἤκουσας πῶς λοιπὸν καὶ εἰδωλολάτρας καλεῖ; ἀλλ' ἐνταῦθα μὲν ἀποφαινόμενος, ὕστερον δὲ καὶ κατασκευάζων. Καὶ τὴν αἰτίαν δὲ τέθεικε, δι' ἣν εἰς τὰς τραπέζας ἐκείνας ἔτρεχον· αὕτη δὲ ἦν γαστριμαργία. Διόπερ εἰπών, «Εἰς τὸ μὴ εἶναι ἡμᾶς ἐπιθυμητὰς κακῶν», καὶ ἐπαγαγών, «μηδὲ εἰδωλολάτρας γίνεσθαι», τὴν αἰτίαν τῆς τοιαύτης παρανομίας τίθησιν· αὕτη δὲ ἦν γαστριμαργία. «Ἐκάθισε» γάρ, φησίν, «ὁ λαὸς φαγεῖν καὶ πιεῖν». Καὶ τὸ ἐξ αὐτῆς τέλος προστίθησιν, ὅτι ἀνέστησαν παίζειν. Ὥσπερ γὰρ ἐκεῖνοι, φησίν, ἀπὸ τρυφῆς εἰς εἰδωλολατρείαν ἐξέβησαν· οὕτω δέος, μὴ καὶ ὑμεῖς ἐντεῦθεν ἐκεῖ πέσητε.

Εἶδες πῶς ἔδειξε τοὺς δῆθεν τελειοτέρους τούτους ἐκείνων ἀτελεστέρους, οὓς ἔπληττον; οὐ τούτῳ μόνον τῷ μὴ διαβαστάζειν, ἀλλὰ καὶ τῷ τοὺς μὲν ἀπὸ ἀγνοίας, τοὺς δὲ

κολούθησαν, προανηγγέλλετο εἰς ἐμᾶς καὶ ὅτι θὰ κολασθοῦν οἱ ἀνάξιοι αὐτῆς τῆς δωρεᾶς, ὥστε νὰ γίνωμεν συνετώτεροι μὲ τὰ παραδείγματα ἐκείνων. Διὰ τοῦτο καὶ προσέθεσεν· «Διὰ νὰ μὴ ἐπιθυμῶμεν τὰ κακὰ ὅπως τὰ ἐπεθύμησαν καὶ ἐκεῖνοι». Διότι ὅπως εἰς τὰς εὐεργεσίας προηγήθησαν αἱ προτυπώσεις καὶ ἠκολούθησεν ἡ ἀλήθεια, ἔτσι καὶ εἰς τὰς τιμωρίας θὰ συμβῇ αὐτό. Βλέπεις πῶς δεικνύει ὅτι, ὄχι μόνον θὰ κολασθοῦν, ἀλλὰ καὶ περισσότερον ἀπὸ ὅσον ἐκεῖνοι; Διότι ἐὰν τὸ μὲν εἶναι ἁπλῶς προτύπωσις, τὸ δὲ ἀλήθεια, κατ' ἀνάγκην καὶ εἰς τὰς τιμωρίας θὰ εἶναι μεγάλη ἡ ὑπεροχὴ τῆς ἀληθείας ἔναντι τῆς προτυπώσεως, ὅπως καὶ εἰς τὰς δωρεάς.

3. Καὶ πρόσεχε ποίους κατηγορεῖ πρῶτον· αὐτοὺς ποὺ τρώγουν εἰς τοὺς εἰδωλολατρικοὺς ναούς. Ἀφοῦ εἶπε δηλαδή, «διὰ νὰ μὴ ἐπιθυμῶμεν τὰ κακά», τὸ ὁποῖον ἦτο γενικόν, προσθέτει καὶ τὸ εἶδος τοῦ κακοῦ, δεικνύων ὅτι καθὲν ἀπὸ τὰ ἁμαρτήματα ἔγινεν ἀπὸ πονηρὰν ἐπιθυμίαν. Καὶ πρῶτον αὐτὸ τὸ ὁποῖον εἶπε· «Μὴ γίνεσθε εἰδωλολάτραι καθὼς μερικοὶ ἀπὸ αὐτούς, ὅπως εἶναι γραμμένον, Ἐκάθησεν ὁ λαὸς νὰ φάγῃ καὶ νὰ πιῇ καὶ ἐσηκώθησαν νὰ διασκεδάσουν». Ἤκουσες λοιπὸν πῶς τοὺς ὀνομάζει καὶ εἰδωλολάτρας; Ἀλλ' ἐδῶ μὲν ἀποφαίνεται, κατόπιν ὅμως καὶ ἀποδεικνύει. Ἔγραψε δὲ καὶ τὴν αἰτίαν διὰ τὴν ὁποίαν ἔτρεχον εἰς ἐκείνας τὰς τραπέζας· ἦτο δὲ αὕτη ἡ γαστριμαργία. Διὰ τοῦτο ἀφοῦ εἶπε, «διὰ νὰ μὴ ἐπιθυμῶμεν τὰ κακά», καὶ προσέθεσε «μὴ γίνεσθε εἰδωλολάτραι», θέτει τὴν αἰτίαν αὐτῆς τῆς παρανομίας· αὐτὴ δὲ ἦτο ἡ γαστριμαργία. Διότι «Ἐκάθησε», λέγει, «ὁ λαὸς νὰ φάγῃ καὶ νὰ πιῇ». Καὶ προσθέτει τὸ ἀποτέλεσμα αὐτῆς, ὅτι ἐσηκώθησαν νὰ διασκεδάσουν. Διότι ὅπως ἐκεῖνοι, λέγει, ἀπὸ τὴν ἀπόλαυσιν ἐξετράπησαν εἰς εἰδωλολατρείαν, ἔτσι ὑπάρχει φόβος μήπως καὶ σεῖς πέσετε ἀπὸ αὐτὸ ἐκεῖ.

Εἶδες πῶς ἔδειξεν ὅτι αὐτοὶ οἱ δῆθεν τελειότεροι εἶναι ἀτελέστεροι ἀπὸ ἐκείνους τοὺς ὁποίους προσέβαλλον; Ὄχι μόνον εἰς τὸ ὅτι δὲν κρατοῦν, ἀλλὰ καὶ εἰς τὸ ὅτι ἁμαρτάνουν, ἄλλοι μὲν ἀπὸ ἄγνοιαν, ἄλλοι δὲ ἀπὸ γαστρι-

ἀπὸ γαστριμαργίας ἁμαρτάνειν. Καὶ τῆς μὲν ἐκείνων ἀπωλείας τὴν κόλασιν τούτοις λογίζεται, τούτους δὲ οὐκ ἀφίησιν εἰς ἕτερον ἀνενεγκεῖν τῆς οἰκείας ἁμαρτίας τὴν πρόφασιν, ἀλλὰ καὶ τῆς ἐκείνων βλάβης καὶ τῆς ἑαυτῶν αὐτοὺς ὑπευθύνους ἀποφαίνει. «Μηδὲ πορνεύωμεν, καθώς τινες αὐτῶν ἐπόρνευσαν». Τίνος ἕνεκεν τῆς πορνείας ἐνταῦθα μέμνηται πάλιν, τοσαῦτα περὶ αὐτῆς ἔμπροσθεν διαλεχθείς; Ἔθος ἀεὶ τῷ Παύλῳ, ὅταν ὑπὲρ πολλῶν ἁμαρτημάτων ἐγκαλῇ, καὶ τάξει αὐτὰ διατιθέναι καὶ καθ' ἕκαστον ἐπιέναι τοῖς προκειμένοις, καὶ πάλιν ἐν τοῖς περὶ ἑτέρων λόγοις καὶ τῶν προτέρων μεμνῆσθαι· ὃ δὴ καὶ ὁ Θεὸς ἐποίει ἐπὶ τῆς παλαιᾶς, καθ' ἕκαστον τῶν πεπλημμελημένων ἀναμιμνήσκων τοῦ μόσχου τοὺς Ἰουδαίους, καὶ τὴν ἁμαρτίαν ἐκείνην εἰς μέσον ἄγων. Τοῦτο τοίνυν καὶ ὁ Παῦλος ἐνταῦθα ποιεῖ, ὁμοῦ τε ἐκείνης αὐτοὺς ἀναμιμνήσκων τῆς ἁμαρτίας, καὶ διδάσκων, ὅτι καὶ τοῦτο ἐντεῦθεν ἐτέχθη τὸ κακόν, ἀπὸ τρυφῆς καὶ γαστριμαργίας. Διὸ καὶ ἐπήγαγε· «Μηδὲ πορνεύωμεν, καθώς τινες αὐτῶν ἐπόρνευσαν, καὶ ἔπεσον ἐν μιᾷ ἡμέρᾳ εἰκοσιτρεῖς χιλιάδες».

Καὶ διὰ τί μὴ τίθησι καὶ τὴν ἐπὶ τῆς εἰδωλολατρείας κόλασιν; Ἢ ἐπειδὴ δῆλον ἦν καὶ σαφέστερον· ἢ ἐπειδὴ πληγὴ τοσαύτη οὐ γέγονε τότε, ὅση ἐπὶ τοῦ Βαλαάμ, ἡνίκα ἐτελέσθησαν τῷ Βεελφεγώρ, τῶν Μαδιανιτίδων γυναικῶν ἐπὶ τῆς παρατάξεως φανεισῶν καὶ ἐφελκυσαμένων αὐτοὺς εἰς ἀσέλγειαν κατὰ τὴν συμβουλὴν Βαλαάμ. Ὅτι γὰρ τοῦ Βαλαὰμ ἦν ἡ πονηρὰ αὕτη συμβουλή, δηλοῖ Μωϋσῆς μετὰ ταῦτα λέγων οὕτω πρὸς τῷ τέλει τοῦ βιβλίου τῶν Ἀριθμῶν· «Καὶ τὸν Βαλαὰμ υἱὸν Βεὼρ ἀπέκτειναν ἐν τῷ πολέμῳ Μαδιὰμ μετὰ τῶν τραυματιῶν, καὶ ἤγαγον τὰ σκῦλα. Καὶ ὠργίσθη Μωϋσῆς καὶ εἶπεν· ἵνα τί ἐζωγρήσατε πᾶν θῆλυ; Αὗται γὰρ ἦσαν τοῖς υἱοῖς Ἰσραὴλ εἰς σκάνδαλον, κατὰ τὸ

μαργίαν. Καὶ τὴν μὲν τιμωρίαν διὰ τὴν ἀπώλειαν ἐκείνων καταλογίζει εἰς αὐτούς, ἐνῷ εἰς αὐτοὺς δὲν ἐπιτρέπει ν' ἀναφέρουν τὴν πρόφασιν τῆς ἁμαρτίας των εἰς ἄλλον, ἀλλὰ παρουσιάζει αὐτοὺς ὡς ὑπευθύνους διὰ τὴν καταστροφὴν καὶ ἐκείνων καὶ τῶν ἑαυτῶν των. «Οὔτε νὰ πορνεύωμεν, ὅπως μερικοὶ ἀπὸ αὐτοὺς ποὺ ἐπόρνευσαν». Διὰ ποῖον λόγον μνημονεύει πάλιν ἐδῶ τὴν πορνείαν, ἀφοῦ εἶπε τόσον πολλὰ δι' αὐτὴν προηγουμένως; Συνηθίζει πάντοτε ὁ Παῦλος, ὅταν κατηγορῇ διὰ πολλὰ ἁμαρτήματα, καὶ νὰ θέτῃ αὐτὰ μὲ τάξιν καὶ νὰ καυτηριάζῃ τὸ καθὲν ἀπὸ αὐτά, καὶ πάλιν ὅταν κάμνῃ λόγον διὰ τὰ ἄλλα νὰ μνημονεύῃ καὶ αὐτὰ διὰ τὰ ὁποῖα ὡμίλησε προηγουμένως· πρᾶγμα ποὺ καὶ ὁ Θεὸς ἔκαμνεν εἰς τὴν παλαιὰν Διαθήκην, ὅταν ὑπενεθύμιζεν εἰς τοὺς Ἰουδαίους, κάθε φορὰν ποὺ ἡμάρτανον, τὸν μόσχον ποὺ εἶχον προσκυνήσει καὶ ἐπαρουσίαζεν ἐμπρός των ἐκείνην τὴν ἁμαρτίαν. Αὐτὸ λοιπὸν κάμνει καὶ ὁ Παῦλος ἐδῶ, ὑπενθυμίζων εἰς αὐτοὺς ἐκείνην τὴν ἁμαρτίαν καὶ συγχρόνως διδάσκων ὅτι αὐτὸ τὸ κακὸν ἐγεννήθη ἀπὸ ἐδῶ, δηλαδὴ ἀπὸ τὰς ἀπολαύσεις καὶ τὴν γαστριμαργίαν. Διὰ τοῦτο καὶ προσέθεσεν· «Οὔτε νὰ πορνεύωμεν καθὼς μερικοὶ ἀπὸ αὐτοὺς ἐπόρνευσαν καὶ ἔπεσαν εἰς μίαν ἡμέραν εἴκοσι τρεῖς χιλιάδες».

Καὶ διατί δὲν λέγει καὶ διὰ τὴν τιμωρίαν διὰ τὴν εἰδωλολατρείαν; Ἢ ἐπειδὴ ἦτο κάτι φανερὸν καὶ αὐτονόητον, ἢ ἐπειδὴ δὲν ἐτιμωρήθησαν τότε τόσον, ὅσον ἐπὶ Βαλαάμ, ὅταν προσεκύνησαν οἱ Ἰσραηλῖται τὸν Βεελφεγώρ, ἀφοῦ ἐνεφανίσθησαν εἰς τὴν παράταξίν των οἱ Μαδιανίτιδες γυναῖκες καὶ προσείλκυσαν αὐτοὺς εἰς ἀσέλγειαν ὅπως συνεβούλευσεν ὁ Βαλαάμ. Διότι, τὸ ὅτι ἡ πονηρὰ αὐτὴ συμβουλὴ ἦτο τοῦ Βαλαάμ, τὸ δηλώνει ὁ Μωϋσῆς μετὰ ἀπὸ αὐτά, ὅταν λέγῃ ἔτσι πρὸς τὸ τέλος τοῦ βιβλίου τῶν Ἀριθμῶν· «Καὶ τὸν Βαλαὰμ υἱὸν τοῦ Βεὼρ ἐθανάτωσαν εἰς τὸν πόλεμον τῆς Μαδιὰμ μαζὶ μὲ τοὺς τραυματίας, καὶ ἔφεραν τὰ λάφυρα. Καὶ ὠργίσθη ὁ Μωϋσῆς καὶ εἶπε· διατί συνελάβατε ὅλας τὰς γυναῖκας; Ἀφοῦ αὐταὶ ἐσκανδάλισαν τοὺς Ἰσραηλίτας, κατόπιν συμβουλῆς

ῥῆμα Βαλαάμ, τοῦ ἀποστῆσαι καὶ ὑπεριδεῖν τὸ ῥῆμα Κυρίου ἕνεκεν Φεγώρ».

«Μηδὲ ἐκπειράζωμεν τὸν Χριστόν, καθὼς καί τινες αὐτῶν ἐπείρασαν, καὶ ὑπὸ τῶν ὄφεων ἀπώλοντο». Διὰ τούτου πάλιν ἕτερον αἰνίττεται ἔγκλημα, ὃ καὶ πρὸς τῷ τέλει τίθησιν, ἐγκαλῶν αὐτοῖς, ὅτι περὶ σημείων ἐμάχοντο. Καὶ τῶν πειρασμῶν δὲ ἕνεκεν ἐξελύοντο λέγοντες, πότε ἥξει τὰ ἀγαθά, πότε τὰ ἔπαθλα; Διὸ καὶ ἐπάγει τούτων ἕνεκεν διορθούμενος αὐτοὺς καὶ φοβῶν· «Μηδὲ γογγύζετε, καθώς τινες αὐτῶν ἐγόγγυσαν, καὶ ἀπώλοντο ὑπὸ τοῦ ὀλοθρευτοῦ». Οὐδὲ γὰρ τοῦτό ἐστι τὸ ζητούμενον μόνον, τὸ πάσχειν ὑπὲρ τοῦ Χριστοῦ, ἀλλὰ καὶ τὸ γενναίως τὰ ἐπιόντα φέρειν, καὶ μεθ' ἡδονῆς ἁπάσης. Τοῦτο γάρ ἐστιν ὁ στέφανος ἅπας· ὡς ἂν μὴ τοῦτο ᾖ, καὶ κόλασις ἕψεται τοῖς δυσαnασχετοῦσι. Διὰ τοῦτο καὶ οἱ ἀπόστολοι μαστιζόμενοι ἔχαιρον καὶ Παῦλος ἐν τοῖς παθήμασιν ἐκαυχᾶτο.

«Πάντα δὲ ταῦτα τυπικῶς συνέβαινεν ἐκείνοις· ἐγράφη δὲ πρὸς νουθεσίαν ἡμῶν, εἰς οὓς τὰ τέλη τῶν αἰώνων κατήντησε». Πάλιν φοβεῖ τῷ τὰ τέλη λέγειν καὶ μείζονα τῶν γεγενημένων προσδοκᾶν παρασκευάζει. Ὅτι μὲν γὰρ δώσομεν δίκην, ἀπὸ τῶν εἰρημένων δῆλον, φησί, καὶ τοῖς ἀπιστοῦσι τοῖς περὶ γεέννης λόγοις· ὅτι δὲ καὶ χαλεπωτέραν, ἀφ' ὧν πλειόνων ἀπελαύσαμεν εὐεργεσιῶν καὶ ἀφ' ὧν ἐκεῖνα τύποι. Εἰ γὰρ ἐν ταῖς δωρεαῖς ὑπεροχή, εὔδηλον ὅτι καὶ ἐν τῇ τιμωρίᾳ. Διὰ τοῦτο καὶ τύπους ἐκάλεσε καὶ δι' ἡμᾶς γε-

2. Ἀριθ. 31, 8· 12· 14· 15· 16.

τοῦ Βαλαάμ, ὥστε ν' ἀποστατήσουν καὶ νὰ καταφρονήσουν τὴν ἐντολὴν τοῦ Κυρίου διὰ τὸν Φεγώρ»[3].

«Οὔτε νὰ πειράζωμεν τὸν Χριστόν, καθὼς καὶ μερικοὶ ἀπὸ αὐτοὺς ἐπείραξαν καὶ ἐθανατώθησαν ἀπὸ τοὺς ὄφεις». Μὲ αὐτὸ πάλιν ὑπαινίσσεται ἄλλο ἔγκλημα, τὸ ὁποῖον ἀναφέρει καὶ εἰς τὸ τέλος, κατηγορῶν αὐτούς, ὅτι δι' ἀξιώματα ἠγωνίζοντο. Καὶ ἐξ αἰτίας δὲ τῶν πειρασμῶν παρητοῦντο καὶ ἐχαλάρωνον λέγοντες, πότε θὰ ἔλθουν τὰ ἀγαθά, πότε θὰ λάβωμεν τὰ ἔπαθλα; Διὰ τοῦτο καὶ προσθέτει ἐξ αἰτίας αὐτῆς τῆς συμπεριφορᾶς των διὰ νὰ τοὺς διορθώσῃ καὶ νὰ τοὺς φοβίσῃ˙ «Οὔτε νὰ γογγύζετε, καθὼς μερικοὶ ἀπὸ αὐτοὺς ἐγόγγυσαν καὶ ἐθανατώθησαν ἀπὸ τὸν ἐξολοθρευτήν». Διότι αὐτὸ ποὺ θέλει ὁ Θεὸς δὲν εἶναι μόνον τὸ νὰ πάσχωμεν διὰ τὸν Χριστόν, ἀλλὰ καὶ τὸ νὰ ὑπομένωμεν μὲ γενναιότητα ὅσα ἔρχονται ἐναντίον μας καὶ μὲ κάθε εὐχαρίστησιν. Διότι εἰς αὐτὸ μόνον συνίσταται ὁ στέφανος˙ ὥστε ἐὰν δὲν ὑπάρχῃ αὐτό, ἀκολουθεῖ καὶ κολασμὸς εἰς ὅσους δυσανασχετοῦν. Διὰ τοῦτο καὶ οἱ ἀπόστολοι ἐνῷ ἐμαστιγώνοντο ἔχαιρον καὶ ὁ Παῦλος εἰς τὰ παθήματα ἐκαυχᾶτο.

«Ὅλα δὲ αὐτὰ συνέβαιναν εἰς ἐκείνους καὶ ὡς προφητικαὶ προεικονίσεις˙ ἐγράφησαν δὲ διὰ νὰ νουθετήσουν ἐμᾶς, εἰς τοὺς ὁποίους ἔφθασε τὸ τέλος τῶν αἰώνων». Πάλιν τοὺς φοβίζει μὲ τὸ νὰ ὁμιλῇ διὰ τὸ τέλος καὶ τοὺς προετοιμάζει νὰ περιμένουν μεγαλύτερα ἀπὸ αὐτὰ ποὺ ἔγιναν. Δηλαδὴ διὰ τὸ ὅτι μὲν θὰ κριθῶμεν εἶναι φανερὸν ἀπὸ αὐτὰ ποὺ ἐλέχθησαν, λέγει, καὶ ἀπὸ τοὺς λόγους δι' ἐκείνους ποὺ δὲν πιστεύουν ὅτι ὑπάρχει γέεννα˙ τὸ ὅτι ὅμως θὰ κριθῶμεν καὶ αὐστηρότερον, εἶναι φανερὸν ἀπὸ τὸ ὅτι ἀπελαύσαμεν περισσοτέρας εὐεργεσίας καὶ ἀπὸ τὸ ὅτι ἐκεῖνα ἦσαν προφητικαὶ προεικονίσεις μόνον διὰ τὰ ἰδικά μας. Διότι, ἀφοῦ ὑπάρχει ὑπεροχὴ εἰς τὰς δωρεάς, εἶναι φανερὸν ὅτι θὰ ὑπάρχῃ καὶ εἰς τὴν τιμωρίαν. Διὰ τοῦτο καὶ ὠνόμασεν αὐτὰ προεικονίσεις καὶ εἶπεν ὅτι δι' ἐμᾶς ἐγράφησαν καὶ ὡμίλησε διὰ τέλος, διὰ νὰ ὑπενθυμίσῃ τὴν συντέλειαν. Διότι τότε δὲν θὰ εἶναι τέτοιου εἴδους αἱ τι-

γράφθαι ἔφη καὶ τέλους ἐμνημόνευσεν, ἵνα ἀναμνήσῃ τῆς συντελείας. Οὐ γὰρ τοιαῦται τότε αἱ τιμωρίαι, ὡς καὶ πέρας λαμβάνειν καὶ καταλύεσθαι, ἀλλ' αἰώνιος ἡ κόλασις. Ὥσπερ γὰρ αἱ ἐνταῦθα κολάσεις τῷ παρόντι συγκαταλύονται βίῳ, οὕτως αἱ ἐκεῖ διηνεκῶς μένουσιν. Ὅταν δὲ εἴπῃ, «τὰ τέλη τῶν αἰώνων», οὐδὲν ἄλλο λέγει, ἢ ὅτι ἐφέστηκε λοιπὸν τὸ δικαστήριον τὸ φοβερόν.

«Ὥστε ὁ δοκῶν ἑστάναι, βλεπέτω μὴ πέσῃ». Πάλιν αὐτῶν τὸν τῦφον καθεῖλε τῶν ἐπὶ τῇ γνώσει μέγα φρονούντων. Εἰ γὰρ οἱ τοσούτων ἀπολαύσαντες τοιαῦτα ἔπαθον, καὶ οἱ μὲν ὑπὲρ γογγυσμοῦ μόνον τοιαύτην ἔδοσαν δίκην, οἱ δὲ ὑπὲρ τοῦ πειράσαι, καὶ οὔτε τὸ πλῆθος ἐδυσώπησε τὸν Θεόν, οὔτε τὸ τοιούτων ἐπιτυχεῖν· πολλῷ μᾶλλον ἐφ' ἡμῶν, ἂν μὴ νήφωμεν, τοῦτο ἔσται. Καὶ καλῶς εἶπεν, «ὁ δοκῶν ἑστάναι». Τοῦτο γὰρ οὐδὲ ἑστάναι ἐστίν, ὡς ἑστάναι χρή, τὸ θαρρεῖν ἑαυτῷ· ταχέως γὰρ ὁ τοιοῦτος πεσεῖται· ἐπεὶ καὶ ἐκεῖνοι, εἰ μὴ μέγα ἐφθόνησαν καὶ ἐθάρρησαν, ἀλλ' ἦσαν κατεσταλμένοι, οὐκ ἂν ταῦτα ἔπαθον. Ὅθεν δῆλον, ὅτι ἀλαζονεία μάλιστα καὶ ῥαθυμία, ἐξ ἧς καὶ ἡ γαστριμαργία, τούτων εἰσὶν αἱ πηγαὶ τῶν κακῶν. Ὥστε εἰ καὶ ἕστηκας, φυλάττου τὸ μὴ πεσεῖν. Τὸ γὰρ ἐνταῦθα στῆναι οὐκ ἔστιν ἑστάναι βεβαίως, ἕως ἂν ἀπαλλαγῶμεν τῶν κυμάτων τοῦ παρόντος βίου, καὶ πρὸς τὸν εὔδιον καταπλεύσωμεν λιμένα.

4. Μὴ τοίνυν ἐπὶ τῇ στάσει φρόνει μέγα, ἀλλὰ φυλάττου τὴν πτῶσιν. Εἰ γὰρ Παῦλος δέδοικεν ὁ πάντων στερρότερος, πολλῷ μᾶλλον ἡμᾶς δεδοικέναι χρή. Ὁ μὲν οὖν ἀπόστολος ἔλεγεν, «Ὥστε ὁ δοκῶν ἑστάναι, βλεπέτω μὴ πέσῃ»· ἡμεῖς δὲ οὐδὲ τοῦτο δυνάμεθα εἰπεῖν, πάντων, ὡς εἰπεῖν, πεπτωκότων καὶ κατεστρωμένων καὶ χαμαὶ κειμένων. Τίνι γὰρ εἴπω τοῦτο; Τῷ ἁρπάζοντι καθ' ἑκάστην ἡμέραν; ἀλλὰ κεῖ-

μωρίαι, ὥστε νὰ λαμβάνουν τέλος καὶ νὰ ἐξαφανίζωνται, ἀλλ' αἰώνιος κόλασις. Ὅπως δηλαδὴ αἱ τιμωρίαι ἐδῶ τελειώνουν μαζὶ μὲ τὴν παροῦσαν ζωήν, ἔτσι αἱ κολάσεις ἐκεῖ μένουν αἰωνίως. Ὅταν δὲ λέγῃ «τὸ τέλος τῶν αἰώνων», τίποτε ἄλλο δὲν λέγει, παρὰ ὅτι ἦλθεν ὁ καιρὸς διὰ τὸ φοβερὸν δικαστήριον.

«Ὥστε ἐκεῖνος ποὺ νομίζει ὅτι ἵσταται, ἂς προσέχῃ μήπως πέσῃ». Πάλιν ἐταπείνωσε τὴν ἀλαζονείαν αὐτῶν ποὺ εἶχον μεγάλην ἰδέαν διὰ τὴν γνῶσιν των. Διότι, ἂν αὐτοί, ποὺ ἀπήλαυσαν τόσα, ἔπαθαν τέτοια, καὶ οἱ μὲν κατεδικάσθησαν μόνον διότι ἐγόγγυζον, οἱ δὲ διότι ἐπείραζον τὸν Θεόν, καὶ οὔτε τὸ πλῆθος των ἔκανε τὸν Θεὸν νὰ τὰς λυπηθῇ, οὔτε τὸ ὅτι ἔτυχον τέτοιων δωρεῶν, πολὺ περισσότερον θὰ γίνῃ αὐτὸ ἐναντίον μας, ἐὰν δὲν εἴμεθα ἄγρυπνοι. Καὶ καλῶς εἶπεν, «ἐκεῖνος ποὺ νομίζει ὅτι ἵσταται». Διότι αὐτό, τὸ νὰ ἔχῃ κανεὶς πεποίθησιν εἰς τὸν ἑαυτόν του, δὲν εἶναι οὔτε κἂν σταθεροποίησις, ἐὰν δὲν ἵσταται ὅπως πρέπει νὰ ἵσταται· διότι αὐτὸς συντόμως θὰ πέσῃ· ἐπειδὴ καὶ ἐκεῖνοι, ἐὰν δὲν εἶχον ὑπερηφάνειαν καὶ αὐτοπεποίθησιν, ἀλλ' ἦσαν ταπεινοί, δὲν θὰ εἶχον πάθει αὐτά. Ἀπὸ ὅπου εἶναι φανερόν, ὅτι ἡ ἀλαζονεία κυρίως καὶ ἡ ραθυμία ἀπὸ τὴν ὁποίαν γεννᾶται καὶ ἡ γαστριμαργία, εἶναι αἱ πηγαὶ αὐτῶν τῶν κακῶν. Ὥστε καὶ ἂν ἔχῃς σταθῇ, νὰ προφυλάσσεσαι ἀπὸ τὸν κίνδυνον νὰ πέσῃς. Διότι τὸ νὰ ἵστασαι εἰς τὴν ἐδῶ ζωὴν δὲν εἶναι κάτι ἀσφαλές, μέχρις ὅτου ἀπαλλαγῶμεν ἀπὸ τὰ κύματα τῆς παρούσης ζωῆς καὶ πλεύσωμεν εἰς τὸν γαλήνιον λιμένα.

Μὴ λοιπὸν ὑπερηφανεύεσαι διὰ τὸ ὅτι ἵστασαι, ἀλλὰ νὰ φυλάττεσαι ἀπὸ τὴν πτῶσιν. Διότι ἐὰν φοβῆται ὁ Παῦλος, ὁ ὁποῖος ἦτο στερεότερος ἀπὸ ὅλους, πολὺ περισσότερον πρέπει νὰ φοβώμεθα ἐμεῖς. Ὁ μὲν ἀπόστολος λοιπὸν ἔλεγεν, «Ὥστε ἐκεῖνος ποὺ νομίζει ὅτι ἵσταται, ἂς προσέχῃ μήπως πέσῃ», ἐμεῖς ὅμως οὔτε αὐτὸ ἠμποροῦμεν νὰ εἰποῦμεν, ἀφοῦ ὅλοι, διὰ νὰ εἰπῶ ἔτσι, εὑρισκόμεθα εἰς πτῶσιν καὶ ἔχομεν καταστρωθῆ καὶ εἴμεθα κάτω εἰς τὴν γῆν. Διότι διὰ ποῖον νὰ εἰπῶ αὐτό; Δι' ἐκεῖνον ὁ ὁποῖος

ται μέγα πτῶμα πεσών. Ἀλλὰ τῷ πόρνῳ; ἀλλὰ ἔρριπται χαμαί. Ἀλλὰ τῷ μεθύοντι; ἀλλὰ καὶ αὐτὸς κεῖται· καὶ οὐδέ, ὅτι κεῖται, οἶδεν. Ὥστε οὐ τούτου καιρὸς τοῦ ῥήματος, ἀλλ' ἐκείνου τοῦ προφητικοῦ, ὃ καὶ πρὸς Ἰουδαίους ἔλεγε· «Μὴ ὁ πίπτων οὐκ ἀνίσταται;». Καὶ γὰρ ἅπαντες κεῖνται, καὶ ἀναστῆναι οὐ βούλονται.

Ὥστε ἡ προτροπὴ ἡμῖν οὐχ ὑπὲρ τοῦ μὴ πεσεῖν, ἀλλ' ὑπὲρ τοῦ τοὺς κειμένους δυνηθῆναι ἀναστῆναι. Ἀναστῶμεν τοίνυν ὀψὲ γοῦν ποτε, ἀγαπητοί, ἀναστῶμεν, καὶ στῶμεν γενναίως. Μέχρι τίνος κείμεθα; μέχρι τίνος μεθύομεν, τῇ πολλῇ τῶν βιωτικῶν ἐπιθυμίᾳ κεκαρωμένοι; Εὔκαιρον καὶ νῦν εἰπεῖν· «Πρὸς τίνα λαλήσω καὶ διαμαρτύρομαι;». οὕτω πάντες καὶ πρὸς αὐτὴν τῆς ἀρετῆς τὴν διδασκαλίαν εἰσὶ κεκωφωμένοι, καὶ πολλῶν ἐντεῦθεν ἐμπεπλησμένοι κακῶν. Καὶ εἰ τὰς ψυχὰς γυμνὰς ἦν ἰδεῖν, καθάπερ ἐπὶ τῶν στρατοπέδων τῆς συμβολῆς παρελθούσης τοὺς μὲν νεκροὺς ἔστι θεάσασθαι, τοὺς δὲ τετραυματισμένους, οὕτω καὶ ἐπὶ τῆς ἐκκλησίας εἴδομεν ἄν. Διὸ δέομαι καὶ παρακαλῶ, χεῖρα ἀλλήλοις ὀρέξωμεν καὶ διαναστῶμεν. Καὶ γὰρ ἐγὼ τῶν πεπληγότων εἰμί, καὶ δεομένων τοῦ φάρμακα ἐπιθήσοντος. Ἀλλὰ μὴ ἀπογνῶτε διὰ τοῦτο· εἰ γὰρ καὶ χαλεπαὶ αἱ πληγαί, ἀλλ' οὐκ ἀνίατοι. Τοιοῦτος ἡμῶν ὁ ἰατρός· μόνον αἰσθώμεθα τῶν τραυμάτων, κἂν εἰς αὐτὸ τὸ ἔσχατον ἔλθωμεν τῆς κακίας, πολλὰς ὁδοὺς τέμνει σωτηρίας ἡμῖν. Κἂν γὰρ τῷ πλησίον ἀφῇς ὀργήν, ἀφεθήσεταί σοι πλημμελήματα. «Ἐὰν» γὰρ «ἀφῆτε», φησί, «τοῖς ἀνθρώποις, ἀφήσει καὶ ὑμῖν ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος». Κἂν ἐλεημοσύνην δῷς, συγχωρήσει σοι τὰ ἁμαρτήματα. «Τὰς» γὰρ «ἀνομίας σου», φησίν, «ἐν

3. Ἱερ. 8, 4.
4. Ἱερ. 6, 10.
5. Ματθ. 6, 14.

κλέπτει καθημερινῶς; Ἀλλ' εὑρίσκεται εἰς μεγάλην πτῶσιν. Μήπως διὰ τὸν πόρνον; Ἀλλ' ἔχει ριφθῆ κάτω. Μήπως διὰ τὸν μέθυσον; ἀλλὰ καὶ αὐτὸς κοίτεται κάτω· καὶ οὔτε ὅτι κοίτεται γνωρίζει. Ὥστε ἐδῶ δὲν ἁρμόζει αὐτὸς ὁ λόγος, ἀλλ' ἐκεῖνος ὁ προφητικός, τὸν ὁποῖον καὶ ἔλεγεν εἰς τοὺς Ἰουδαίους· «Μήπως ἐκεῖνος ὁ ὁποῖος πίπτει δὲν εἶναι δυνατὸν νὰ σηκωθῇ;»[3]. Καὶ βεβαίως ὅλοι κοίτονται καὶ δὲν θέλουν νὰ σηκωθοῦν.

Ὥστε ἡ προτροπὴ ποὺ ἁρμόζει εἰς ἐμᾶς εἶναι, ὄχι διὰ νὰ μὴ πέσωμεν, ἀλλὰ διὰ νὰ ἠμπορέσουν νὰ σηκωθοῦν ὅσοι εὑρίσκονται εἰς πτῶσιν. Ἂς σηκωθοῦμε λοιπὸν κάποτε, ἀγαπητοί, ἂς σηκωθοῦμε καὶ ἂς σταθοῦμε μὲ γενναιότητα. Ἕως πότε θὰ εὑρισκώμεθα πεσμένοι κάτω χαμηλά; Ἕως πότε θὰ μεθοῦμε, ναρκωμένοι ἀπὸ τὴν πολλὴν ἐπιθυμίαν τῶν βιοτικῶν; Ἁρμόζει καὶ τώρα νὰ εἰποῦμεν· «Εἰς ποῖον νὰ ὁμιλήσω καὶ νὰ παρακαλέσω;»[4]· τόσον πολὺ κωφεύουν ὅλοι ἀκόμη καὶ εἰς τὴν διδασκαλίαν διὰ τὴν ἀρετήν, καὶ εἶναι ἐξ αἰτίας αὐτοῦ γεμᾶτοι ἀπὸ πολλὰ κακά. Καὶ ἐὰν ἦτο δυνατὸν νὰ ἰδοῦμεν γυμνὰς τὰς ψυχάς, ὅπως εἰς τὰ στρατόπεδα ὅταν ἔχῃ τελειώσει ἡ μάχη θὰ ἰδῇ κανεὶς ἄλλους μὲν νεκρούς, ἄλλους δὲ τραυματίας, ἔτσι θὰ ἐβλέπομεν εἰς τὴν ἐκκλησίαν. Διὰ τοῦτο ἱκετεύω καὶ παρακαλῶ, ἂς ἁπλώσωμεν χεῖρα ὁ ἕνας εἰς τὸν ἄλλον καὶ ἂς σηκωθῶμεν. Καὶ ἐγὼ ὁ ἴδιος εἶμαι ἀπὸ τοὺς πληγωθέντας καὶ ἀπὸ τοὺς ἔχοντας ἀνάγκην ἀπὸ ἐκεῖνον ποὺ θὰ θέσῃ φάρμακα ἐπάνω εἰς τὰς πληγάς. Ἀλλὰ μὴ ἀπελπίζεσθε δι' αὐτό· διότι ἂν καὶ εἶναι φοβεραὶ αἱ πληγαί, δὲν εἶναι ὅμως ἀθεράπευτοι. Τέτοιος εἶναι ὁ ἰατρός μας· μόνον ἂς αἰσθανθῶμεν τὰ τραύματα, καὶ ἂν ἀκόμη φθάσωμεν εἰς τὸ ἔσχατον σημεῖον τῆς κακίας, πολλὰς ὁδοὺς σωτηρίας ἀνοίγει εἰς ἐμᾶς. Ἐὰν δηλαδὴ συγχωρήσῃς θυμὸν εἰς τὸν πλησίον σου, θὰ σοῦ συγχωρηθοῦν ἁμαρτήματα. Διότι «ἐὰν συγχωρήσετε», λέγει, «εἰς τοὺς ἀνθρώπους ὅ,τι κακὸν ἔχουν κάνει, θὰ συγχωρήσῃ καὶ σᾶς ὁ Πατήρ σας ὁ οὐράνιος»[5]. Ἢ ἐὰν δώσῃς ἐλεημοσύνην, θὰ σοῦ συγχωρήσῃ τὰ ἁμαρτήματα. Διότι «ἀπὸ τὰς ἁμαρτίας σου», λέγει, «λυ-

ἐλεημοσύναις λύτρωσαι». Κἂν εὔξῃ σπουδαίως, ἀπολαύσεις ἀφέσεως. Καὶ τοῦτο δείκνυσιν ἡ χήρα ἡ τὸν ὠμὸν ἐκεῖνον δικαστὴν ἐπικάμψασα τῇ συνεχείᾳ τῆς ἐντεύξεως. Κἂν κατηγορήσῃς τῶν ἁμαρτημάτων, ἔχεις παραμυθίαν. «Λέγε γὰρ σὺ τὰς ἁμαρτίας σου πρῶτος, ἵνα δικαιωθῇς». Κἂν σκυθρωπάσῃς ὑπὲρ τούτων, καὶ τοῦτό σοι φάρμακον ἔσται μέγιστον. «Εἶδον» γάρ, φησίν, «ὅτι ἐλυπήθη καὶ ἐπορεύθη στυγνός, καὶ ἰασάμην τὰς ὁδοὺς αὐτοῦ». Κἂν κακόν τι παθών, γενναίως ἐνέγκῃς, τὸ πᾶν ἀπεδύσω. Τοῦτο γὰρ καὶ πρὸς τὸν πλούσιον ὁ Ἀβραὰμ ἔλεγεν, ὅτι ἀπέλαβε Λάζαρος τὰ κακὰ αὐτοῦ, καὶ ἐνταῦθα παρακαλεῖται. Κἂν χήραν ἐλεήσῃς, πλύνεταί σου τὰ ἁμαρτήματα. «Κρίνατε», γάρ, φησίν, «ὀρφανῷ, καὶ δικαιώσατε χήραν, καὶ δεῦτε καὶ διαλεχθῶμεν, λέγει Κύριος· καὶ ἐὰν ὦσιν αἱ ἁμαρτίαι ὑμῶν ὡς φοινικοῦν, ὡς χιόνα λευκανῶ· ἐὰν δὲ ὦσιν ὡς κόκκινον, ὡσεὶ ἔριον λευκανῶ». Οὐδὲ γὰρ οὐλὴν τῶν τραυμάτων ἀφίησι φανῆναί τινα.

Ἀλλὰ κἂν εἰς ἐκεῖνο ἔλθωμεν τὸ βάθος τῶν κακῶν, εἰς ὃ κατέπεσεν ὁ τὰ πατρῷα κατεδηδοκὼς καὶ κεράτια ἐσθίων, καὶ μετανοήσωμεν, σωζόμεθα πάντως. Κἂν μυρία τάλαντα ὀφείλωμεν, καὶ προσπέσωμεν καὶ μὴ μνησικακήσωμεν, πάντα ἡμῖν ἀφίεται. Κἂν ἐκεῖσε ἀποπλανηθῶμεν, οὗ τὸ πρόβατον ἀπεβουκολήθη κἀκεῖθεν ἡμᾶς ἀνακτᾶται. Μόνον βουληθῶμεν, ἀγαπητοί· καὶ γὰρ φιλάνθρωπος ὁ Θεός. Διὰ τοῦτο καὶ ἐπὶ τοῦ τὰ μυρία τάλαντα ὀφείλοντος τῇ προσπτώσει ἠρκεῖτο, καὶ ἐπὶ τοῦ τὰ πατρῷα κατεδηδοκότος τῇ ἐπανόδῳ μόνῃ, καὶ ἐπὶ τοῦ προβάτου τῷ βουληθῆναι βασταχθῆναι. Ἐννοήσαντες τοίνυν τὸ μέγεθος αὐτοῦ τῆς φιλανθρωπίας, ἐνταῦθα αὐτὸν ποιήσωμεν ἵλεων ἡμῖν καὶ «προφθάσωμεν τὸ

---

6. Δαν. 4, 24.
7. Ἡσ. 43, 26.
8. Ἡσ. 57, 17, 18.
9. Ἡσ. 1, 17· 18.

τρώσου διὰ τῆς ἐλεημοσύνης»[6]. Καὶ ἐὰν προσευχηθῇς μὲ ἐπιμέλειαν καὶ ἐπιμονὴν θὰ λάβῃς ἄφεσιν. Καὶ αὐτὸ δεικνύει ἡ χήρα ἡ ὁποία ἐλύγισε τὸν σκληρὸν ἐκεῖνον δικαστὴν μὲ τὸ νὰ τὸν παρακαλῇ συνεχῶς. Καὶ ἐὰν κατηγορήσῃς τὸν ἑαυτόν σου διὰ τὰς ἁμαρτίας ἔχεις παρηγορίαν. Διότι «νὰ ὁμολογῇς πρῶτος ἐσὺ τὰς ἁμαρτίας σου διὰ νὰ λάβῃς δικαίωσιν»[7]. Καὶ ἐὰν γίνῃς σκυθρωπὸς ἐξ αἰτίας αὐτῶν, καὶ αὐτὸ εἶναι δι' ἐσὲ ἄριστον φάρμακον. Διότι, «εἶδον», λέγει, «ὅτι ἐλυπήθη καὶ ἔζησε μὲ συντριβὴν καὶ τὸν ἐθεράπευσα»[8]. Καὶ ἄν, ἀφοῦ πάθῃς κάποιο κακόν, τὸ ὑπομείνῃς μὲ γενναιότητα, ἀπηλλάγῃς ἀπὸ ὅλα. Διότι αὐτὸ ἔλεγε καὶ ὁ 'Αβραὰμ πρὸς τὸν πλούσιον, ὅτι ὁ Λάζαρος ὑπέμεινε τὰς δοκιμασίας καὶ ἐδῶ παρηγορεῖται. Καὶ ἐὰν ἐλεήσῃς, πλύνονται αἱ ἁμαρτίαι σου. Διότι λέγει· «κρίνατε «ὀρφανὸν καὶ ἀποδώσατε δικαιοσύνην εἰς τὴν χήραν καὶ ἐλᾶτε νὰ συνδιαλλαγῶμεν, λέγει ὁ Κύριος· καὶ ἂν ἀκόμη εἶναι αἱ ἁμαρτίαι σας πάρα πολλαί, θὰ σᾶς λευκάνω ὡσὰν τὸ χιόνι· ἐὰν δὲ εἶναι ὡς κόκκινον, θὰ σᾶς λευκάνω ὡσὰν τὸ ἄσπρο μαλλὶ τῶν προβάτων»[9].

'Αλλὰ καὶ ἂν ἀκόμη ἔλθωμεν εἰς ἐκεῖνο τὸ βάθος τῶν κακῶν εἰς τὸ ὁποῖον κατέπεσεν ὁ ἄσωτος, ποὺ κατεσπατάλησε τὴν πατρικὴν κληρονομίαν καὶ ἔτρωγε ξυλοκέρατα, καὶ μετανοήσωμεν, σωζόμεθα ὁπωσδήποτε. Καὶ ἂν ὀφείλωμεν ἀμέτρητα τάλαντα καὶ προσπέσωμεν εἰς τὸν Θεὸν καὶ δὲν κρατήσωμεν κακίαν διὰ κανένα, ὅλα μᾶς συγχωροῦνται. Καὶ ἂν ἀποπλανηθῶμεν πρὸς τὰ ἐκεῖ ποὺ ἀπεπλανήθη τὸ πρόβατον ἀποσπασθὲν ἀπὸ τὸ ποίμνιόν του, καὶ ἀπὸ ἐκεῖ μᾶς κερδίζει καὶ μᾶς κάμνει ἰδικούς του. Μόνον νὰ θελήσωμεν, ἀγαπητοί· διότι εἶναι φιλάνθρωπος ὁ Θεός. Διὰ τοῦτο καὶ εἰς ἐκεῖνον ποὺ ὤφειλε τὰ χίλια τάλαντα ἠρκέσθη εἰς τὸ ὅτι προσέπεσεν ἐνώπιόν του, καὶ εἰς ἐκεῖνον ποὺ κατεσπατάλησε τὴν πατρικὴν κληρονομίαν ἠρκέσθη μόνον εἰς τὴν ἐπάνοδον, καὶ εἰς τὸ πρόβατον ἐπίσης ἠρκέσθη μόνον εἰς τὸ ὅτι ἤθελε νὰ σωθῇ. 'Αφοῦ κατανοήσωμεν λοιπὸν τὸ μέγεθος τῆς φιλανθρωπίας του, ἀπὸ αὐτὸ ἂς κάνωμεν εὐμενῆ αὐτὸν ἀπέναντί μας καὶ «ἂς

πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει», ἵνα μὴ ἀπελθόντες ἐντεῦθεν ἀναπολόγητοι, τὴν ἐσχάτην ὑπομείνωμεν τιμωρίαν. Ἂν μὲν γὰρ κατὰ τὸν παρόντα βίον ἐπιδειξώμεθα σπουδὴν κἂν τὴν τυχοῦσαν, τὰ μέγιστα κερδανοῦμεν· ἂν δὲ μηδὲν ἐνταῦθα γενόμενοι βελτίους ἀπέλθωμεν, κἂν σφοδρότερον ἐκεῖ μετανοήσωμεν, οὐδὲν ἡμῖν ἔσται πλέον. Καὶ γὰρ ἔδει τῶν σκαμμάτων εἴσω μένοντα ἀγωνίσασθαι, οὐ μετὰ τὸ λυθῆναι τὸ θέατρον ἀποδύρεσθαι καὶ δακρύειν ἀνόνητα· ὅπερ ὁ πλούσιος ἐκεῖνος ἐποίει, θρηνῶν μὲν καὶ ὀλοφυρόμενος, εἰκῇ δὲ λοιπὸν καὶ μάτην, ἐπειδὴ τὸν καιρόν, καθ' ὃν ταῦτα ποιεῖν ἐχρῆν, ὑπερεῖδεν. Οὐκ ἐκεῖνος δὲ μόνος, ἀλλὰ καὶ πολλοὶ ἕτεροι κατ' ἐκεῖνον νῦν εἰσι πλούσιοι, χρημάτων μὲν οὐ βουλόμενοι καταφρονεῖν, ψυχῆς δὲ ἀντὶ χρημάτων καταφρονοῦντες· οὓς ἔμοιγε θαυμάζειν ἔπεισιν, ὅταν ἴδω τῷ μὲν Θεῷ περὶ ἐλέου συνεχῶς ἐντυγχάνοντας, αὐτοὺς δὲ τὰ ἀνήκεστα ἑαυτοὺς διατιθέντας, καὶ ὥσπερ πολεμίας, οὕτω τῆς ἑαυτῶν ἀφειδοῦντας ψυχῆς.

5. Μὴ δὴ παίζωμεν, ἀγαπητοί, μὴ παίζωμεν, μηδὲ παραλογιζώμεθα ἑαυτούς, τὸν μὲν Θεὸν ἀξιοῦντες ἡμᾶς ἐλεῆσαι, αὐτοὶ δὲ τοῦ ἐλέου τούτου καὶ χρήματα καὶ τρυφὴν καὶ πάντα ἁπλῶς προτιθέντες. Οὐδὲ γάρ, εἴ τίς σοι δίκην προσῆγε, καὶ κατηγορῶν τοῦ δεῖνος ἔλεγεν, ὅτι μυρίους μέλλων ὑπομένειν θανάτους, καὶ κύριος ἂν λῦσαι τὰς ψήφους χρήμασιν ὀλίγοις, εἵλετο μᾶλλον ἀποθανεῖν, ἢ τῶν αὐτοῦ τι προέσθαι, ἐλέου τινὸς ἢ συγγνώμης ἔφης αὐτὸν ἄξιον εἶναι. Τοῦτο τοίνυν καὶ ἐπὶ σαυτοῦ λογίζου. Καὶ γὰρ καὶ ἡμεῖς τοῦτο ποιοῦμεν, καὶ τῆς σωτηρίας ἡμῶν καταφρονοῦντες, τῶν χρημάτων φειδόμεθα. Πῶς οὖν τὸν Θεὸν ἀξιοῖς σου φείσασθαι, αὐτὸς σαυτοῦ οὕτως ἀφειδῶν, καὶ χρήματα προτιμῶν

10. Ψαλμ. 107, 2.

σπεύσωμεν πρὸς αὐτὸν πρὸς ἐξομολόγησιν»[10], διὰ νὰ μὴ ὑποστῶμεν τὴν ἐσχάτην τιμωρίαν ἀφοῦ ἀπέλθωμεν ἀπὸ αὐτὴν τὴν ζωὴν ἀναπολόγητοι. Διότι, ἐὰν μὲν κατὰ τὴν παροῦσαν ζωὴν ἐπιδείξωμεν ἐπιμέλειαν, ἔστω καὶ ὀλίγην, θὰ κερδίσωμεν τὰ μέγιστα, ἐὰν ὅμως ἀπέλθωμεν χωρὶς οὔτε ἔτσι νὰ γίνωμεν καλύτεροι, καὶ ἂν ἀκόμη μετανοήσωμεν πολὺ περισσότερον ἐκεῖ, δὲν θὰ ἐπιτύχωμεν τίποτε πλέον. Διότι ἔπρεπε ν' ἀγωνισθῇς ἀφοῦ παραμείνῃς μέσα εἰς τὸ σκάμμα, ὄχι ἀφοῦ τελειώσουν οἱ ἀγῶνες νὰ ὀδύρεσαι καὶ νὰ κλαίῃς χωρὶς ὄφελος˙ πρᾶγμα ποὺ ἔκαμεν ἐκεῖνος ὁ πλούσιος, ὁ ὁποῖος ἐθρήνει μὲν καὶ ὠδύρετο, ἀλλ' ἄδικα καὶ ἄσκοπα, ἐπειδή, ὅταν ἦτο καιρὸς διὰ νὰ πράξῃ αὐτά, ἔδειξε περιφρόνησιν. Δὲν εἶναι ὅμως μόνον ἐκεῖνος, ἀλλὰ καὶ πολλοὶ ἄλλοι οἱ ὁποῖοι, ὅπως ἐκεῖνος, εἶναι πλούσιοι, καὶ τὰ χρήματα μὲν δὲν θέλουν νὰ καταφρονοῦν, ἐνῷ καταφρονοῦν τὴν ψυχήν των διὰ τὰ χρήματα˙ διὰ τοὺς ὁποίους ἀπορῶ, ὅταν βλέπω εἰς τὸν μὲν Θεὸν νὰ ὁμιλοῦν συνεχῶς δι' ἔλεος, ἐνῷ οἱ ἴδιοι νὰ ἐπιφέρουν εἰς τὸν ἑαυτόν των τὰ ἀνίατα, καὶ ὡσὰν νὰ εἶναι ἐχθροί των αἱ ψυχαί των, ἔτσι νὰ εἶναι ἀνηλεεῖς ἀπέναντί των.

5. Ἂς μὴ παίζωμεν λοιπόν, ἀγαπητοί, ἂς μὴ παίζωμεν καὶ ἂς μὴ παραλογιζώμεθα, ζητοῦντες ἀπὸ μὲν τὸν Θεὸν νὰ μᾶς ἐλεήσῃ, ἐμεῖς οἱ ἴδιοι ὅμως προτιμῶμεν ἀπὸ τὸ ἔλεος αὐτὸ χρήματα καὶ ἀπόλαυσιν καὶ γενικῶς κάθε ἄλλο. Διότι, ἐὰν κάποιος σοῦ ἔφερνε νὰ κρίνῃς κάποιον καὶ καθὼς τὸν ἐκατηγόρει ἔλεγεν ὅτι, ἐνῷ ἐπρόκειτο νὰ δεχθῇ μυρίους θανάτους καὶ ἐνῷ εἶχε τὴν δυνατότητα μὲ ὀλίγα χρήματα νὰ ἀναιρέσῃ τὴν καταδικαστικὴν ἀπόφασιν, προετίμησε ν' ἀποθάνῃ παρὰ νὰ παραδώσῃ κάτι ἀπὸ τὴν περιουσίαν του, δὲν θὰ ἔλεγες ὅτι αὐτὸς δὲν εἶναι ἄξιος συγγνώμης; Αὐτὸ λοιπὸν νὰ σκέπτεσαι καὶ διὰ τὸν ἑαυτόν σου. Διότι καὶ ἐμεῖς αὐτὸ κάμνομεν, καὶ ἐνῷ καταφρονοῦμεν τὴν σωτηρίαν μας, λυπούμεθα τὰ χρήματα. Πῶς λοιπὸν ζητεῖς ἀπὸ τὸν Θεὸν νὰ σὲ λυπηθῇ, ἀφοῦ σὺ ὁ ἴδιος δὲν λυπεῖσαι τὸν ἑαυτόν σου καὶ προτιμᾷς χρήματα ἀντὶ

ψυχῆς; Διὸ καὶ σφόδρα ἐκπλήττομαι, πόση τοῖς χρήμασιν ἐγκέκρυπται γοητεία, μᾶλλον δὲ οὐ τοῖς χρήμασιν, ἀλλὰ ταῖς τῶν ἀπατωμένων ψυχαῖς. Εἰσὶ γάρ, εἰσὶν οἱ καὶ σφόδρα τῆς μαγγανείας ταύτης καταγελῶντες. Τί γὰρ καὶ ἱκανὸν ἡμᾶς τῶν ἐν αὐτοῖς γοητεῦσαι; Οὐχὶ ἄψυχός ἐστιν ἡ ὕλη, οὐχὶ ἐπίκηρος; οὐχὶ ἄπιστος αὐτῶν ἡ κτῆσις; οὐ φόβων γέμει καὶ κινδύνων; οὐ φόνων καὶ ἐπιβουλῆς; οὐκ ἔχθρας καὶ μίσους; οὐ ῥαθυμίας καὶ κακίας πολλῆς; οὐ γῆ ἐστι καὶ σποδός; τίς ἡ μανία, τίς ἡ νόσος;

Ἀλλὰ γὰρ οὐ κατηγορεῖν δὴ μόνον τῶν νοσούντων τὰ τοιαῦτα, φησίν, ἀλλὰ καὶ καταλύειν τὸν ἔρωτα. Καὶ πῶς ἑτέρως καταλύσομεν, ἀλλ' ἢ δεικνύντες φαῦλον ὄντα καὶ μυρίων κακῶν ἀνάμεστον; Ἀλλὰ τοῦτο οὐκ εὔκολον τὸν ἐρῶντα πεῖσαι περὶ τῶν παιδικῶν. Οὐκοῦν ἕτερον αὐτῷ κάλλος ἀντιστῆσαι δεῖ. Ἀλλὰ ἀσώματον οὐχ ὁρᾷ κάλλος, ἔτι νοσῶν. Οὐκοῦν σωματικὸν ἐπιδείξωμεν καὶ εἴπωμεν πρὸς αὐτόν· ἐννόησον πρὸς λειμῶνας καὶ τὰ ἐν αὐτοῖς ἄνθη, τὰ χρυσίου παντὸς φαιδρότερα, καὶ τῶν παντοδαπῶν χαριέστερα καὶ διαυγέστερα λίθων· ἐννόησον τὰ διειδῆ τῶν πηγῶν ῥεῖθρα, τοὺς ποταμοὺς τοὺς ἐλαίου δίκην ἀψοφητὶ ῥέοντας· ἀπὸ τῆς γῆς ἀνάβηθι πρὸς τὸν οὐρανόν, καὶ ἴδε τοῦ ἡλίου τὸ κάλλος, τῆς σελήνης τὴν εὐπρέπειαν, τῶν ἄστρων τὰ ἄνθη.

Καὶ τί τοῦτο, φησίν; οὐ γὰρ δὴ κεχρήμεθα αὐτοῖς ὡς τοῖς χρήμασι. Καὶ μὴν πλέον ἢ τοῖς χρήμασιν, ὅσῳ καὶ ἀναγκαιοτέρα αὐτῶν ἡ χρεία, καὶ ἀσφαλεστέρα ἡ ἀπόλαυσις. Οὐδὲ γὰρ δέδοικας, μή τις, ὥσπερ τὰ χρήματα, αὐτὰ λαβὼν ἀπέλθῃ· ἀλλ' ἔξεστί σοι θαρρεῖν ὑπὲρ αὐτῶν διηνεκῶς καὶ ταῦτα μὴ μεριμνῶντι μηδὲ φροντίζοντι. Εἰ δ', ὅτι μετὰ τῶν

τῆς ψυχῆς; Διὰ τοῦτο καὶ ἐκπλήττομαι πάρα πολύ, πόση γοητεία κρύπτεται μέσα εἰς τὰ χρήματα, μᾶλλον δὲ ὄχι εἰς τὰ χρήματα, ἀλλ' εἰς τὰς ψυχὰς αὐτῶν ποὺ ἀπατῶνται. Διότι ὑπάρχουν, ναὶ ὑπάρχουν καὶ ἄνθρωποι οἱ ὁποῖοι πάρα πολὺ καταγελοῦν αὐτὴν τὴν μαγείαν. Διότι τί εἶναι ἱκανὸν ἀπὸ ὅσα προσφέρουν αὐτὰ νὰ μᾶς γοητεύσῃ; Δὲν εἶναι ἄψυχος ἡ ὕλη, δὲν εἶναι φθαρτή; Δὲν εἶναι ἀνασφαλὴς ἡ ἀπόκτησις αὐτῶν τῶν πραγμάτων; Δὲν εἶναι γεμᾶτα ἀπὸ φόβους καὶ κινδύνους; ἀπὸ φόνους καὶ ἐπιβουλάς; ἀπὸ ἔχθραν καὶ μῖσος; ἀπὸ ραθυμίαν καὶ πολλὴν κακίαν; Δὲν εἶναι χῶμα καὶ στάκτη; Πρὸς τί ἡ μανία, πρὸς τί ἡ νόσος;

Ἀλλὰ βεβαίως δὲν πρέπει μόνον νὰ κατηγορῶμεν αὐτοὺς ποὺ προσεβλήθησαν ἀπὸ αὐτὰ ὡσὰν ἀπὸ νόσον, θὰ εἰπῇ κάποιος, ἀλλὰ καὶ νὰ διαλύωμεν τὸν ἔρωτα πρὸς τὰ ὑλικά. Καὶ μὲ ποῖον ἄλλον τρόπον θὰ τὸν διαλύσωμεν παρὰ μὲ τὸ νὰ δείξωμεν ὅτι εἶναι φαῦλος καὶ γεμᾶτος ἀπὸ ἄπειρα κακά; Δὲν εἶναι ὅμως εὔκολον αὐτό, τὸ νὰ πείσωμεν διὰ τὸ ἀντικείμενον τοῦ ἔρωτος αὐτὸν ποὺ ἔχει καταληφθῆ ἀπὸ ἔρωτα. Λοιπὸν πρέπει ν' ἀντιπαραθέσωμεν εἰς αὐτὸν ἄλλο κάλλος. Ἀλλὰ δὲν δύναται νὰ ἴδῃ ἄϋλον καὶ ἂς εἰποῦμεν πρὸς αὐτόν· φέρε εἰς τὸν νοῦν σου τὰ λιβάδια καὶ τὰ ἄνθη ποὺ εὑρίσκονται εἰς αὐτά, τὰ ὁποῖα εἶναι λαμπρότερα ἀπὸ κάθε χρυσὸν καὶ περισσότερον χαριτωμένα καὶ διαυγῆ ἀπὸ κάθε εἶδους πολυτίμους λίθους· σκέψου τὰ διαφανῆ ρυάκια τῶν πηγῶν, τοὺς ποταμοὺς πού, ὡσὰν νὰ εἶναι ἀπὸ ἔλαιον, τρέχουν ἀθορύβως· ἀπὸ τὴν γῆν ἀνέβα πρὸς τὸν οὐρανὸν καὶ ἴδες τὸ κάλλος τοῦ ἡλίου, τὴν ὡραιότητα τῆς σελήνης, τὰ ἄστρα ποὺ εἶναι ὡσὰν ἄνθη.

Καὶ τί εἶναι αὐτό; θὰ εἰπῇ. Δὲν ἔχομεν λοιπὸν ἀνάγκην ἀπὸ αὐτὰ ὅσον ἀπὸ τὰ χρήματα. Καὶ ὅμως περισσότερον ἀναγκαῖα μᾶς εἶναι αὐτὰ ἀπὸ τὰ χρήματα καὶ εἶναι ἀσφαλεστέρα ἡ ἀπόλαυσίς των. Διότι δὲν ἔχεις φόβον μήπως, ὅπως τὰ χρήματα, σοῦ τὰ κλέψῃ κανεὶς καὶ φύγῃ· ἀλλ' ἠμπορεῖς νὰ εἶσαι διαρκῶς ἀπηλλαγμένος ἀπὸ κάθε φόβον δι' αὐτά, καὶ αὐτὰ χωρὶς νὰ μεριμνᾷς, οὔτε νὰ φροντίζῃς. Ἐὰν ὅμως

ἄλλων ἀπολαύεις αὐτῶν, ἀλγεῖς, καὶ μὴ μόνος αὐτὰ κατέχεις, ὥσπερ τὰ χρήματα, οὐ χρημάτων, ἀλλὰ πλεονεξίας μοι δοκεῖς ἐρᾶν μόνης· καὶ οὐδὲ τὰ χρήματα ἐφίλησας ἄν, τὴν πλεονεξίαν λέγω, φέρε σοι δείξω, πῶς σε μισεῖ αὕτη καὶ ἀποστρέφεται, πόσα θήγει κατὰ σοῦ ξάφη, πόσα ὀρύττει βάραθρα, πόσους ἀνάπτει βρόχους, πόσους παρασκευάζει κρημνούς· ἵνα κἂν οὕτω σβέσῃς τὸ φίλτρον.

Πόθεν οὖν ἔστι ταῦτα εἰδέναι; Ἀπὸ τῶν ὁδῶν, ἀπὸ τῶν πολέμων, ἀπὸ τῆς θαλάττης, ἀπὸ τῶν δικαστηρίων. Καὶ γὰρ καὶ τὸ πέλαγος αἱμάτων ἐνέπλησε, καὶ τὰ τῶν δικαστῶν φοινίσσει ξίφη παρανόμως πολλάκις, καὶ τοὺς ταῖς ὁδοῖς ἐφεδρεύοντας νύκτωρ καὶ μεθ' ἡμέραν ὁπλίζει αὕτη, καὶ φύσιν ἀγνοῆσαι ἔπεισε, καὶ πατραλοίας ἐποίησε καὶ μητραλοίας, καὶ πάντα ἐπεισήγαγε τῷ βίῳ τὰ κακά. Διὸ καὶ ῥίζαν αὐτῶν ὁ Παῦλος αὐτὴν καλεῖ. Αὕτη τοὺς αὐτῆς ἐραστὰς τῶν τὰ μέταλλα ἐργαζομένων οὐδὲν ἄμεινον ἀφίησι διακεῖσθαι. Καθάπερ γὰρ ἐκεῖνοι διηνεκῶς ἐν σκότῳ κατακεκλεισμένοι καὶ δεδεμένοι πονοῦσιν ἀνόνητα· οὕτω καὶ οὗτοι ἐν τοῖς σπηλαίοις τῆς φιλαργυρίας κατορωρυγμένοι, οὐδενὸς αὐτοῖς ἀνάγκην ἐπιτιθέντος, αὐτόματοι τὴν κόλασιν ἐπισπῶνται, ἑαυτοῖς δεσμοὺς περιθέντες ἀλύτους. Καὶ οἱ μὲν κατάδικοι κἂν ἑσπέρας καταλαβούσης ἀνίενται τῶν μόχθων· οὗτοι δὲ καὶ ἐν ἡμέρᾳ καὶ ἐν νυκτὶ διορύττουσι τὰ πονηρὰ ταῦτα μέταλλα· καὶ τοῖς μὲν μέτρον ἐστὶν ὡρισμένον τῆς μοχθηρᾶς ἐργασίας ἐκείνης, οὗτοι δὲ μέτρον οὐδὲν ἴσασιν, ἀλλ' ὅσον ἂν ὀρύξωσι, τοσούτῳ μείζονος ἐφίενται ταλαιπωρίας. Εἰ δὲ ἐκεῖνοι μὲν ἄκοντες, οὗτοι δὲ ἑκόντες, τὸ χαλεπόν μοι λέγεις τοῦ νοσήματος, ὅτι οὐδὲ ἀπαλλαγῆναι δύναται, εἴγε μηδὲ μισοῦσι τὴν κακοπάθειαν· ἀλλ' ὥσπερ ὗς ἐν βορβόρῳ,

στενοχωρῆσαι διὰ τὸ ὅτι ἀπολαμβάνεις αὐτὰ μαζὶ μὲ τοὺς ἄλλους ἀνθρώπους, καὶ ὅτι δὲν κατέχεις αὐτὰ μόνος ἐσύ, τότε νομίζω ὅτι ὄχι τὰ χρήματα, ἀλλὰ τὴν πλεονεξίαν μόνον ἀγαπᾷς˙ καὶ οὔτε τὰ χρήματα θὰ εἶχες ἀγαπήσει, ἐὰν ἦσαν κοινὰ εἰς ὅλους. Λοιπόν, ἀφοῦ εὑρήκαμεν τὴν ἐρωμένην, ἐννοῶ τὴν πλεονεξίαν, ἔλα νὰ σοῦ δείξω πῶς αὐτὴ σὲ μισεῖ καὶ σὲ ἀποστρέφεται, πόσα ξίφη κινεῖ ἐναντίον σου, πόσα βάραθρα σκάπτει, πόσας παγίδας στήνει, πόσους κρημνοὺς ἑτοιμάζει, ὥστε τοὐλάχιστον ἔτσι νὰ σβήσῃς τὸν ἔρωτά σου.

Ἀπὸ ποῦ λοιπὸν εἶναι δυνατὸν νὰ γνωρίσωμεν αὐτά; Ἀπὸ τὰς ὁδούς, ἀπὸ τοὺς πολέμους, ἀπὸ τὴν θάλασσαν, ἀπὸ τὰ δικαστήρια. Διότι καὶ τὸ πέλαγος ἐγέμισεν ἀπὸ αἵματα, καὶ τὰ ξίφη τῶν δικαστῶν βάφει ἐρυθρὰ πολλὰς φορὰς παρανόμως, καὶ αὐτοὺς ποὺ ἐνεδρεύουν τὴν νύκτα εἰς τὰς ὁδοὺς καὶ μετὰ τὴν ἡμέραν αὐτὴ τοὺς ὁπλίζει, καὶ ἔπεισεν ἀνθρώπους ν' ἀγνοήσουν τὴν φύσιν καὶ τοὺς ἔκανε πατροκτόνους καὶ μητροκτόνους, καὶ ὅλα τὰ κακὰ εἰσήγαγεν εἰς τὴν ζωήν. Διὰ τοῦτο καὶ ὀνομάζει αὐτὴν ὁ Παῦλος ρίζαν αὐτῶν τῶν κακῶν. Αὐτὴ τοὺς ἐραστάς της δὲν τοὺς ἀφήνει εἰς καθόλου καλυτέραν κατάστασιν ἀπὸ αὐτοὺς ποὺ ἐξορύσσουν τὰ μέταλλα. Διότι, ὅπως ἐκεῖνοι, κλεισμένοι μέσα εἰς τὸ σκότος καὶ φυλακισμένοι, κοπιάζουν χωρὶς ν' ἀπολαμβάνουν τίποτε, ἔτσι καὶ αὐτοὶ παραχωμένοι εἰς τὰ σπήλαια τῆς φιλαργυρίας, χωρὶς κανεὶς νὰ τοὺς ἀναγκάζῃ, μόνοι των προσελκύουν τὴν κόλασιν, περιτυλίσσοντες τοὺς ἑαυτούς των μὲ ἄλυτα δεσμά. Καὶ οἱ μὲν κατάδικοι ὅταν νυκτώσῃ ἀπαλλάσσονται ἀπὸ τοὺς μόχθους, ἐνῷ αὐτοὶ καὶ ἡμέραν καὶ νύκτα σκαλίζουν αὐτὰ τὰ πονηρὰ μέταλλα˙ καὶ εἰς τοὺς μὲν ὑπάρχει ὡρισμένον μέτρον διὰ τὴν μοχθηρὰν ἐκείνην ἐργασίαν, ἐνῷ αὐτοὶ κανὲν μέτρον δὲν γνωρίζουν, ἀλλ' ὅσον περισσότερον ἐξορύξουν, τόσον περισσοτέραν ταλαιπωρίαν ἐπιθυμοῦν. Ἐὰν δὲ ἐκεῖνοι μὲν χωρὶς τὴν θέλησίν των, αὐτοὶ δὲ μὲ τὴν θέλησίν των, μοῦ λέγεις τὸ φοβερὸν τοῦ νοσήματος, τότε οὔτε ν' ἀπαλλαγοῦν ἠμποροῦν, ἐφ' ὅσον βεβαίως δὲν μισοῦν τὴν κακοπάθειαν˙ ἀλλ' ὅπως ὁ χοῖρος εἰς τὸν βόρβορον, ἔτσι καὶ αὐτοὶ εὐχαρι-

οὕτω καὶ οὗτοι τῆς φιλαργυρίας δυσωδίαις ἐγκαλινδούμενοι ἥδονται, χαλεπώτερα πάσχοντες τῶν καταδίκων ἐκείνων. Ὅτι γὰρ ἐν χείροσίν εἰσιν, ἄκουσον τὰ ἐκείνων, καὶ τότε εἴσῃ τὰ τούτων.

Λέγεται τοίνυν ἡ χρυσῖτις ἐκείνη γῆ χηραμοὺς καὶ καταδύσεις ἔχειν ἐν τοῖς ζοφεροῖς σπηλαίοις ἐκείνοις. Τὸν οὖν κακοῦργον τὸν τοῖς ἐκεῖ καταδικασθέντα μόχθοις, διὰ τοῦτο λύχνον λαμβάνοντα καὶ δίκελλαν, οὕτως εἰσιέναι ἔνδον, καὶ ληκύθιον ἐπιφέρεσθαι, ὥστε ἐπιστάζειν ἐντεῦθεν τῷ λύχνῳ τὸ ἔλαιον, διὰ τὸ σκότος εἶναι καὶ ἐν ἡμέρᾳ ἀφεγγές, ὥσπερ ἔφθην εἰπών. Εἶτα ἐπειδὰν καιρὸς ἐπὶ τὴν ταλαίπωρον αὐτὸν καλῇ τροφήν, αὐτὸν μὲν ἀγνοεῖν τὸν καιρόν, τὸν δὲ δεσμοφύλακα τὸν ἐκείνου ἔξωθεν κατάξαντα σφοδρῶς τὸ σπήλαιον, διὰ τοῦ πατάγου καὶ τῆς φωνῆς ἐκείνης δηλοῦν τοῖς κάτω ἐργαζομένοις τῆς ἡμέρας τὸ τέλος. Ἆρ' οὐκ ἐφρίξατε ταῦτα ἀκούσαντες; Ἴδωμεν τοίνυν, εἰ μὴ χαλεπώτερα τούτων πάσχουσιν οἱ φιλάργυροι. Καὶ γὰρ καὶ οὗτοι βαρύτερον ἔχουσι δεσμοφύλακα τὴν φιλαργυρίαν, καὶ τοσούτῳ βαρύτερον, ὅσῳ μετὰ τοῦ σώματος καὶ τὴν ψυχὴν συνδεῖ. Καὶ τὸ σκότος δὲ τοῦτο ἐκείνου φρικωδέστερον. Οὐ γάρ ἐστιν αἰσθητόν, ἀλλ' ἔνδοθεν αὐτὸ τίκτοντες, ὅπουπερ ἂν ἀπίωσι, πανταχοῦ μεθ' ἑαυτῶν περιφέρουσιν. Ἔσβεσται γὰρ αὐτοῖς ὁ τῆς ψυχῆς ὀφθαλμός. Διὸ καὶ μάλιστα πάντων αὐτοὺς ὁ Χριστὸς ταλανίζει λέγων· «Εἰ δὲ τὸ φῶς τὸ ἐν σοὶ σκότος, τὸ σκότος πόσον;». Κἀκεῖνοι μὲν κἂν λύχνον ἔχουσι φαίνοντα, οὗτοι δὲ καὶ ταύτης ἀπεστέρηνται τῆς αὐγῆς· διὸ καὶ καθ' ἑκάστην ἡμέραν εἰς μυρία ἐμπίπτουσι βάραθρα. Καὶ οἱ μὲν κατάδικοι νυκτὸς καταλαμβανούσης, ἀναπνέουσιν, εἰς τὴν κοινὴν τῶν δυσημερούντων καταπλεύσαντες γαλήνην, τὴν νύκτα λέγω· τοῖς δὲ φιλαργύροις καὶ τοῦτον ἡ πλεονεξία προσέχωσε τὸν λιμένα. Τοσαῦτα καὶ ἐν νυκτὶ φροντίζουσι χαλεπῶς, ἅτε μηδενὸς ἐνοχλοῦντος μετὰ σχολῆς ἁπάσης κατακόπτοντες ἑ-

11. Ματθ. 6, 23.

στοῦνται κυλιόμενοι μέσα εἰς τὰς δυσωδίας τῆς φιλαργυρίας, πάσχοντες χειρότερα ἀπὸ τοὺς καταδίκους ἐκείνους. Πράγματι, διὰ τὸ ὅτι εὑρίσκονται εἰς χειροτέραν κατάστασιν, ἄκουσε τὰ ὅσα συμβαίνουν εἰς ἐκείνους καὶ τότε θὰ γνωρίσῃς ὅσα συμβαίνουν εἰς αὐτούς.

Λέγεται λοιπὸν ὅτι ἡ χρυσοφόρος ἐκείνη γῆ ἔχει σχισμάδας καὶ κρυψῶνας εἰς τὰ ζοφερὰ ἐκεῖνα σπήλαια. Διὰ τοῦτο λοιπὸν ὁ κακοῦργος ποὺ ἔχει καταδικασθῆ νὰ μοχθῇ ἐκεῖ λαμβάνει λύχνον καὶ δικέλλιον καὶ ἔτσι εἰσέρχεται μέσα καὶ φέρει μαζί του δοχεῖον ἐλαίου διὰ νὰ τροφοδοτῇ τὸν λύχνον, διότι ὑπάρχει σκότος καὶ κατὰ τὴν ἡμέραν, ὅπως προανέφερα. Ὕστερα, ὅταν ἡ ὥρα τὸν καλῇ εἰς τὴν ἀθλίαν τροφήν, αὐτὸς μὲν ἀγνοεῖ ὅτι ἦλθεν ἡ ὥρα, ὁ δὲ δεσμοφύλαξ κτυπᾷ ἀπὸ ἐπάνω τὸ σπήλαιον μὲ δυνατὸν κρότον, καὶ γνωστοποιεῖ μὲ τὸν πάταγον καὶ τὴν φωνὴν ἐκείνην τὸ τέλος τῆς ἡμέρας εἰς αὐτοὺς ποὺ ἐργάζονται κάτω. Ἆρά γε ἐφρίξατε εἰς τὸ ἄκουσμα αὐτῶν τῶν πραγμάτων; Ἂς ἰδοῦμεν λοιπὸν μήπως οἱ φιλάργυροι πάθουν χειρότερα ἀπὸ αὐτά. Διότι αὐτοὶ ἔχουν σκληρότερον δεσμοφύλακα, τὴν φιλαργυρίαν, καὶ τόσον σκληρότερον, ὅσον μαζὶ μὲ τὸ σῶμα δένει καὶ τὴν ψυχήν. Καὶ αὐτὸ δὲ τὸ σκοτάδι εἶναι φρικτότερον ἀπὸ ἐκεῖνο. Διότι δὲν εἶναι αἰσθητόν, ἀλλὰ καθὼς γεννοῦν αὐτὸ ἀπὸ μέσα των, ὅπου καὶ ἂν ὑπάγουν τὸ φέρουν μαζί των. Διότι ἔχει σβησθῆ ὁ ὀφθαλμὸς τῆς ψυχῆς των. Διὰ τοῦτο καὶ περισσότερον ἀπὸ ὅλους αὐτοὺς ταλανίζει ὁ Χριστὸς λέγων· «Ἐὰν λοιπὸν τὸ ἐσωτερικόν σου φῶς εἶναι σκότος, πόσον μέγα εἶναι τὸ σκότος;»[11]. Καὶ ἐκεῖνοι μὲν ἔχουν τοὐλάχιστον λύχνον διὰ νὰ φωτίζῃ, ἐνῷ αὐτοὶ ὑστεροῦνται ἀκόμη καὶ αὐτὴν τὴν αὐγήν· διὰ τοῦτο καὶ καθ' ἡμέραν πίπτουν μέσα εἰς ἄπειρα βάραθρα. Καὶ οἱ μὲν κατάδικοι, ὅταν ἔλθῃ ἡ νύκτα, ἀναπαύονται, ἀφοῦ προσαράξουν εἰς τὸν κοινὸν λιμένα ὅλων τῶν δυστυχούντων, τὴν νύκτα, ἐνῷ εἰς τοὺς φιλαργύρους ἡ πλεονεξία ἔκλεισε διὰ προσχώσεων καὶ αὐτὸν τὸν λιμένα. Διὰ τόσα φροντίζουν ἐπιπόνως τὴν νύκτα, ὥστε ἀνεμποδίστως νὰ κατατρώγουν τὸν ἑαυτόν των,

αυτούς. Καὶ τὰ μὲν ἐνταῦθα τοιαῦτα· τὰ δὲ ἐκεῖ, ποῖος παραστήσει λόγος; τὰς καμίνους τὰς ἀφορήτους, τοὺς πυριφλεγέντας ποταμούς, τὸν ἰοβόλον, τὸ σκότος τὸ ἀφεγγές, τὰ μηδέποτε πέρας λαμβάνοντα κακά.

6. Φοβηθῶμεν τοίνυν, ἀγαπητοί, φοβηθῶμεν τὴν πηγὴν τῶν τοσούτων κακῶν καὶ τιμωριῶν, τὴν ἀκόρεστον μανίαν, τὴν λύμην τῆς ἡμετέρας σωτηρίας. Οὐ γάρ ἔστιν ὁμοῦ καὶ ἀργύριον φιλεῖν, καὶ ψυχήν. Μάθωμεν ὅτι γῆ καὶ σποδὸς τὰ χρήματα, ὅτι ἀπολιμπάνει ἡμᾶς ἀποδημοῦντας ἐντεῦθεν, μᾶλλον δὲ ὅτι καὶ πρὸ τῆς ἀποδημίας πολλάκις ἡμῶν ἀποπηδᾷ, καὶ πρὸς τὰ μέλλοντα παραβλάπτει, καὶ πρὸς τὴν παροῦσαν ζωήν. Καὶ γὰρ πρὸ τῆς γεέννης καὶ πρὸ τῆς κολάσεως ἐκείνης μυρίοις κἀνταῦθα ἡμᾶς περιβάλλει πολέμοις, καὶ στάσεις ἐγείρει καὶ μάχας. Οὐδὲν γὰρ οὕτω πολεμοποιόν, ὡς φιλαργυρία· οὐδὲν οὕτω πτωχοποιόν, κἂν ἐν πλούτῳ, κἂν ἐν πενίᾳ φανῇ. Φύεται γὰρ καὶ ἐν πενήτων ψυχαῖς τὸ χαλεπὸν τοῦτο νόσημα, καὶ πλέον αὐτῶν ἐπιτρίβει τὴν πενίαν.

Κἂν εὑρεθῇ πένης φιλάργυρος, οὐκ ἐν χρήμασιν ὁ τοιοῦτος, ἀλλ' ἐν λιμῷ δίδωσι δίκην. Οὐ γὰρ ἀνέχεται τῶν μετρίων αὐτῶν ἀπολαῦσαι μετὰ ἀδείας, ἀλλὰ καὶ τὴν γαστέρα λιμῷ κατατείνει, καὶ τὸ σῶμα ἅπαν γυμνότητι καὶ κρυμῷ τιμωρεῖται, καὶ τῶν δεσμωτῶν μᾶλλον αὐχμῶν καὶ ρυπῶν πανταχοῦ φαίνεται· καὶ ἀεὶ θρηνεῖ καὶ ὀδύρεται, ὥσπερ πάντων ὢν ἀθλιώτερος, κἂν μυρίους πενεστέρους ἔχῃ. Οὗτος κἂν εἰς ἀγορὰν ἐμβάλλῃ, πολλοὺς λαβὼν ἄπεισι μώλωπας· κἂν εἰς βαλανεῖον, κἂν εἰς θέατρον, πλείονα λήψεται

ἐνῷ κανεὶς δὲν τοὺς ἐνοχλεῖ. Καὶ τὰ μὲν βάσανα τῆς ἐδῶ ζωῆς εἶναι τέτοια, ἀλλὰ τὰ τῆς ἄλλης ποῖος λόγος ἠμπορεῖ νὰ τὰ περιγράψῃ; Τὰς ἀφορήτους καμίνους, τοὺς πυριφλέγοντας ποταμούς, τὰ τρίζοντα δόντια, τὰ ἄλυτα δεσμά, τὸν φαρμακερὸν σκώληκα, τὸ ἀτελείωτον σκότος, τὰ κακὰ ποὺ ποτὲ δὲν ἔχουν τέλος.

6. Ἂς φοβηθῶμεν λοιπὸν ἀγαπητοί, ἂς φοβηθῶμεν τὴν πηγὴν τῶν τόσων κακῶν καὶ τιμωριῶν, τὴν ἀκόρεστον μανίαν, τὴν καταστροφὴν τῆς σωτηρίας μας. Διότι δὲν εἶναι δυνατὸν ν' ἀγαπῶμεν ταὐτοχρόνως καὶ τὰ χρήματα καὶ τὴν ψυχήν. Ἂς συνειδητοποιήσωμεν ὅτι χῶμα καὶ στάκτη εἶναι τὰ χρήματα, ὅτι μᾶς ἐγκαταλείπουν ὅταν φεύγωμεν ἀπὸ ἐδῶ, μᾶλλον δὲ ὅτι καὶ πρὶν νὰ φύγωμεν πολλὰς φορὰς φεύγουν ἀπὸ ἐμᾶς καὶ μᾶς βλάπτουν καὶ εἰς τὴν μέλλουσαν καὶ εἰς τὴν παροῦσαν ζωήν. Διότι καὶ πρὶν ἀπὸ τὴν γέενναν καὶ τὴν κόλασιν ἐκείνην μὲ ἀπείρους πολέμους καὶ εἰς αὐτὴν τὴν ζωὴν μᾶς περικυκλοῦν καὶ ἐγείρουν ἐναντίον μας ἀπείρους ταραχὰς καὶ μάχας. Διότι τίποτε δὲν προκαλεῖ πολέμους τόσον πολὺ ὅσον ἡ φιλαργυρία· τίποτε δὲν κάμνει πτωχὸν τόσον πολὺ τὸν ἄνθρωπον, ὅσον αὐτή, εἴτε ἐμφανισθῇ εἰς τὸν πλοῦτον, εἴτε εἰς τὴν πτωχείαν. Διότι φύεται καὶ εἰς τῶν πτωχῶν τὰς ψυχὰς τὸ φοβερὸν αὐτὸ νόσημα καὶ κάνει περισσότερον δυσβάστακτον τὴν πτωχείαν των.

Ἐπίσης ὅταν κάποιος πτωχὸς εὑρεθῇ νὰ εἶναι φιλάργυρος, αὐτὸς ὄχι εἰς χρήματα, ἀλλ' εἰς πεῖναν καταδικάζεται. Διότι δὲν ἐπιτρέπει εἰς τὸν ἑαυτόν του ν' ἀπολαύσῃ αὐτά, ποὺ δὲν βλάπτουν, μὲ μέτρον, ἀλλὰ καὶ τὴν κοιλίαν του βασανίζει μὲ πεῖναν καὶ τὸ σῶμά του ὁλόκληρον τιμωρεῖ εἰς γυμνότητα καὶ ὑπερβολικὸν ψῦχος καὶ ἐμφανίζεται παντοῦ ἀγριώτερος καὶ ρυπαρώτερος καὶ ἀπὸ τοὺς φυλακισμένους· καὶ πάντοτε θρηνεῖ καὶ ὀδύρεται ὡσὰν νὰ εἶναι ἀθλιώτερος ἀπὸ ὅλους, ἔστω καὶ ἂν ὑπάρχουν ἄπειροι πτωχότεροι ἀπὸ αὐτόν. Αὐτὸς εἴτε εἰς τὴν ἀγορὰν εἰσέλθῃ, φεύγει ἀφοῦ δεχθῇ πολλὰς πληγάς· εἴτε εἰς λουτρόν, εἴτε εἰς θέατρον, περισσότερα τραύματα θὰ λάβῃ,

τραύματα, οὐκ ἀπὸ τῶν θεωρούντων μόνον, ἀλλὰ καὶ ἀπὸ τῶν ἐπὶ τῆς σκηνῆς, ὅταν ἴδῃ πολλὰς τῶν πορνευομένων γυναικῶν χρυσίῳ καταλαμπομένας. Οὗτος κἂν τὴν θάλατταν πλέῃ, τοὺς ἐμπόρους πάλιν καὶ τὰς μυριαγώγους ναῦς ἐννοῶν καὶ τὰ ἄπειρα κέρδη, οὐδὲ ζῆν ἑαυτὸν ἡγήσεται· κἂν διὰ γῆς ὁδεύῃ, τοὺς ἀγρούς, τὰ προάστεια, τὰ καταλύματα, τὰ βαλανεία, τὰς ἐκ τούτων προσόδους ἀναλογιζόμενος, ἀβίωτον ἑαυτῷ τὸν βίον ἡγήσεται εἶναι λοιπόν· κἂν οἴκοι δὲ κατακλείσῃς αὐτόν, τὰ ἀπὸ τῆς ἀγορᾶς τραύματα ἀναξαίνων καθ' ἑαυτόν, μειζόνως λυμανεῖται τὴν ψυχήν· καὶ μίαν οἶδε παραμυθίαν μόνην τῶν κατεχόντων αὐτὸν κακῶν, τὸν θάνατον καὶ τὴν ἐντεῦθεν ἀπαλλαγήν.

Ταῦτα δὲ οὐχ ὁ πένης μόνον, ἀλλὰ καὶ ὁ πλούσιος ὁ τούτῳ περιπεσὼν τῷ νοσήματι πείσεται, καὶ τοσούτῳ μᾶλλον τοῦ πένητος, ὅσῳ καὶ σφοδροτέρα ἐπίκειται τούτῳ ἡ τυραννίς, καὶ πλείων ἡ μέθη. Διὸ καὶ πάντων πενέστερον ἑαυτὸν οὗτος ἡγήσεται, μᾶλλον δὲ καὶ ἔστι πενέστερος. Οὐ γὰρ τῷ μέτρῳ τῆς οὐσίας, ἀλλὰ τῇ διαθέσει τῆς γνώμης ὁ πλοῦτος καὶ ἡ πενία κρίνονται· καὶ ἐκεῖνος μάλιστά ἐστιν ὁ πάντων πτωχότατος, ὁ ἀεὶ τοῦ πλείονος ἐπιθυμῶν, καὶ μηδέποτε στῆσαι δυνάμενος τὴν πονηρὰν ταύτην ἐπιθυμίαν. Διὰ δὴ ταῦτα πάντα φεύγωμεν τὴν φιλαργυρίαν, τὴν πτωχοποιόν, τὴν ψυχοφθόρον, τὴν γεέννης φίλην, τὴν ἐχθρὰν τῆς βασιλείας τῶν οὐρανῶν, τὴν μητέρα πάντων ὁμοῦ τῶν κακῶν· καὶ καταφρονῶμεν χρημάτων, ἵνα ἀπολαύσωμεν χρημάτων, καὶ μετὰ χρημάτων ἀπολαυσώμεθα καὶ τῶν ἀποκειμένων ἡμῖν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ὄχι μόνον ἀπὸ τοὺς θεατάς, ἀλλὰ καὶ ἀπὸ τοὺς ἠθοποιούς, ὅταν ἰδῇ πολλὰς ἀπὸ τὰς γυναῖκας αἱ ὁποῖαι πορνεύουν νὰ λάμπουν μέσα εἰς τὸν χρυσόν. Αὐτὸς καὶ ὅταν πλέῃ εἰς τὴν θάλασσαν, σκεπτόμενος πάλιν τοὺς ἐμπόρους καὶ τὰ μεγάλα φορτηγὰ πλοῖα καὶ τὰ ἄπειρα κέρδη, θὰ θεωρήσῃ διὰ τὸν ἑαυτόν του ὅτι οὔτε κἂν ζῇ˙ εἴτε διὰ ξηρᾶς ταξιδεύει, ἀναλογιζόμενος τὰ κέρδη ἀπὸ τοὺς ἀγρούς, τὰ κτήματα, τὰ ξενοδοχεῖα, τὰ λουτρά, θὰ νομίσῃ ὅτι δι' αὐτὸν εἶναι πλέον ὁ βίος ἀβίωτος˙ καὶ ἂν ἀκόμη δὲν τὸν κλειδώσῃς εἰς τὴν οἰκίαν του, ἀνασκαλίζων τὰ τραύματα ποὺ ἔλαβεν εἰς τὴν ἀγοράν, περισσότερον θὰ βλαβῇ εἰς εἰς τὴν ψυχήν˙ καὶ μίαν μόνον παρηγορίαν γνωρίζει ἀπὸ τὰ κακὰ ποὺ τὸν κατέχουν, τὸν θάνατον καὶ τὴν δι' αὐτοῦ ἀπαλλαγήν.

Αὐτὰ δὲ θὰ τὰ πάθῃ ὄχι μόνον ὁ πτωχός, ἀλλὰ καὶ ὁ πλούσιος, ποὺ θὰ περιπέσῃ εἰς αὐτὸ τὸ νόσημα, καὶ τόσον περισσότερον ἀπὸ τὸν πτωχόν, ὅσον καὶ ἰσχυροτέρα ἐπέρχεται εἰς αὐτὸν ἡ τυραννὶς καὶ περισσοτέρα ἡ μέθη. Διὰ τοῦτο καὶ πτωχότερον ἀπὸ ὅλους θὰ θεωρήσῃ αὐτὸς τὸν ἑαυτόν του, μᾶλλον δὲ καὶ θὰ εἶναι πτωχότερος. Διότι ὄχι μὲ τὸ μέτρον τῆς περιουσίας, ἀλλ' ἀπὸ τὴν διάθεσιν τῆς ψυχῆς κρίνονται ὁ πλοῦτος καὶ ἡ πτωχεία˙ καὶ ἐκεῖνος εἶναι ὁ κατ' ἐξοχὴν πτωχότατος ὅλων, ὁ ὁποῖος ἐπιθυμεῖ συνεχῶς τὸ περισσότερον καὶ δὲν δύναται ποτὲ νὰ σταματήσῃ αὐτὴν τὴν κακὴν ἐπιθυμίαν. Δι' ὅλα αὐτὰ λοιπὸν ἂς ἀποφεύγωμεν τὴν φιλαργυρίαν ἡ ὁποία κάμει τὸν ἄνθρωπον πτωχόν, ἡ ὁποία καταστρέφει ψυχάς, εἶναι φίλη τῆς γεέννης, ἐχθρὰ τῆς βασιλείας τῶν οὐρανῶν, μητέρα ὅλων μαζὶ τῶν κακῶν˙ καὶ ἂς περιφρονῶμεν τὰ χρήματα διὰ ν' ἀπολαύσωμεν χρήματα, καὶ μαζὶ μὲ τὰ χρήματα ν' ἀπολαύσωμεν καὶ τὰ ἀγαθὰ ποὺ μᾶς ἀναμένουν˙ τὰ ὁποῖα εἴθε νὰ ἐπιτύχωμεν ὅλοι μὲ τὴν χάριν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ ΚΔ΄
Α΄ Κορ. 10, 13 - 25

«Πειρασμὸς ὑμᾶς οὐκ εἴληφεν, εἰ μὴ ἀνθρώπινος. Πιστὸς δὲ ὁ Θεός, ὃς οὐκ ἐάσει ὑμᾶς πειρασθῆναι ὑπὲρ ὃ δύνασθε, ἀλλὰ σὺν τῷ πειρασμῷ ποιήσει καὶ τὴν ἔκβασιν τοῦ δύνασθαι ὑπενεγκεῖν».

1. Ἐπειδὴ γὰρ ἐφόβησεν αὐτοὺς ἱκανῶς, τὰ παλαιὰ διηγησάμενος παραδείγματα, καὶ εἰς ἀγωνίαν ἐνέβαλεν, εἰπών, «Ὁ δοκῶν ἑστάναι, βλεπέτω μὴ πέσῃ», ἦσαν δὲ καὶ πειρασμοὺς ἐνηνοχότες πολλούς, καὶ γυμνασάμενοι πολλάκις ἐν τούτοις· «Καὶ» γὰρ «ἐν ἀσθενείᾳ», φησί, «καὶ ἐν φόβῳ καὶ ἐν τρόμῳ πολλῷ ἐγενόμην πρὸς ὑμᾶς»· ἵνα μὴ λέγωσι, τί φοβεῖς ἡμᾶς καὶ δεδίττῃ; οὐκ ἐσμὲν τούτων ἀμελέτητοι τῶν κακῶν· καὶ γὰρ ἠλάθημεν καὶ ἐδιώχθημεν καὶ πολλοὺς καὶ συνεχεῖς ὑπεμείναμεν κινδύνους· καταστέλλων αὐτῶν πάλιν τὸ φύσημα, φησί, «Πειρασμὸς ὑμᾶς οὐκ εἴληφεν, εἰ μὴ ἀνθρώπινος»· τουτέστι, μικρός, βραχύς, σύμμετρος. Τὸ γὰρ ἀνθρώπινον ἐπὶ τοῦ μικροῦ λέγει, ὡς ὅταν λέγῃ· «Ἀνθρώπινον λέγω διὰ τὴν ἀσθένειαν τῆς σαρκὸς ὑμῶν». Μὴ τοίνυν μέγα φρονεῖτε, φησίν, ὡς περιγενόμενοι τοῦ κλυδωνίου· οὐδέποτε γὰρ εἴδετε κίνδυνον θάνατον ἀπειλοῦντα, οὐδὲ πειρασμὸν σφαγὴν ἐπανατεινόμενον· ὃ καὶ Ἑβραίοις ἔλεγεν· «Οὔπω μέχρις αἵματος ἀντικατέστητε πρὸς τὴν ἁμαρτίαν ἀνταγωνιζόμενοι».

---

1. Ρωμ. 6, 19.
2. Ἑβρ. 12, 4.

ΛΟΓΟΣ ΚΔ΄
Α΄ Κορ. 10, 13 - 25

«Δὲν σᾶς ἔχει καταλάβει δοκιμασία μεγαλυτέρα ἀπὸ τὴν συνήθη εἰς ἀνθρώπους. Ἐξ ἄλλου δὲ ὁ Θεὸς εἶναι ἄξιος πάσης ἐμπιστοσύνης καὶ δὲν θὰ σᾶς ἀφήσῃ νὰ δοκιμασθῆτε περισσότερον ἀπὸ ὅσον ἠμπορεῖτε νὰ βαστάσετε, ἀλλὰ μαζὶ μὲ τὴν δοκιμασίαν θὰ δώσῃ καὶ τὸ τέλος τῆς δοκιμασίας διὰ νὰ ἠμπορέσετε νὰ τὴν ὑπομείνετε».

1. Ἐπειδὴ λοιπὸν τοὺς ἐφόβισεν ἀρκετὰ μὲ τὸ ὅτι τοὺς διηγήθη τὰ παραδείγματα ἀπὸ τὴν Παλαιὰν Διαθήκην καὶ τοὺς ἔβαλεν εἰς ἀγωνίαν μὲ τὸν λόγον, «ἐκεῖνος ποὺ νομίζει ὅτι ἵσταται ἂς προσέχῃ μήπως πέσῃ», εἶχον δὲ ὑπομείνει πολλὰς δοκιμασίας καὶ εἶχον γυμνασθῇ πολὺ εἰς αὐτάς, διότι «ἦλθον πρὸς ἐσᾶς», λέγει, «χωρὶς νὰ ἔχω καμμίαν κοσμικὴν δύναμιν, ἀλλὰ μὲ φόβον καὶ τρόμον πολὺν διὰ τὴν ἐπιτυχίαν τοῦ ἔργου μου», διὰ νὰ μὴ λέγουν, διατί μᾶς φοβίζεις καὶ μᾶς τρομάζεις; Δὲν εἴμεθα ἀγύμναστοι εἰς τέτοια κακά· διότι καὶ ἠτιμάσθημεν καὶ κατεδιώχθημεν καὶ πολλοὺς συνεχεῖς κινδύνους ὑπεμείναμεν· διὰ νὰ καταστείλῃ πάλιν τὴν καύχησιν, λέγει· «Δὲν σᾶς ἔχει καταλάβει δοκιμασία μεγαλυτέρα ἀπὸ τὴν συνήθη εἰς ἀνθρώπους»· δηλαδὴ μικρά, σύντομος, ἀνάλογος πρὸς τὰ μέτρα σας. Διότι ἀνθρώπινον ὀνομάζει τὸ μικρόν, ὅπως ὅταν λέγῃ· «Ὁμιλῶ κατ' ἀνθρώπινον τρόπον ἐξ αἰτίας τῆς φυσικῆς σας ἀδυναμίας»[1]. Μὴ λοιπὸν ὑψηλοφρονῆτε, λέγει, ὡσὰν νὰ ἔχετε νικήσει τὴν θαλασσοταραχήν· διότι οὐδέποτε ἐγνωρίσατε κίνδυνον ποὺ ν' ἀπειλῇ θάνατον, οὔτε πειρασμὸν ποὺ ν' ἀπειλῇ μὲ σφαγήν· πρᾶγμα ποὺ ἔλεγε καὶ εἰς τοὺς Ἑβραίους· «Ἀκόμη δὲν ἀντεστάθητε μέχρις αἵματος εἰς τὸν ἀγῶνα κατὰ τῆς ἁμαρτίας»[2].

Εἶτα ἐπειδὴ ἐφόβησεν, ὅρα πῶς αὐτοὺς πάλιν ἀνίστησι, καὶ ἀνίστησι μετὰ τοῦ πεῖσαι μετριάζειν, λέγων· «Πιστὸς δὲ ὁ Θεός, ὃς οὐκ ἐάσει ὑμᾶς πειρασθῆναι ὑπὲρ ὃ δύνασθε». Ἄρα εἰσὶ πειρασμοί, οὓς οὐ δυνατὸν ὑπενεγκεῖν. Καὶ τίνες οὗτοι; Πάντες, ὡς εἰπεῖν· τὸ γὰρ δυνατὸν ἐν τῇ τοῦ Θεοῦ ῥοπῇ κεῖται, ἣν διὰ τῆς ἡμετέρας ἐπισπώμεθα γνώμης. Διόπερ ἵνα μάθῃς καὶ ἴδῃς, ὅτι οὐ μόνον ἐκείνους τοὺς ὑπερβαίνοντας ἡμῶν τὴν δύναμιν, ἀλλ' οὐδὲ τούτους τοὺς ἀνθρώπους ἔνι χωρὶς τῆς ἐκεῖθεν βοηθείας ῥᾳδίως ἐνεγκεῖν, ἐπήγαγεν· «Ἀλλὰ ποιήσει σὺν τῷ πειρασμῷ καὶ τὴν ἔκβασιν τοῦ δύνασθαι ὑπενεγκεῖν». Οὐδὲ γὰρ ἐκείνους τοὺς συμμέτρους, ὅπερ ἔφην, φησί, τῇ ἰδίᾳ δυνάμει διοίσομεν· ἀλλὰ κἀνταῦθα τῆς παρ' αὐτοῦ δεόμεθα συμμαχίας, ὥστε αὐτοὺς διεξελθεῖν, καὶ πρὶν ἢ διεξελθεῖν, ἐνεγκεῖν. Αὐτὸς γὰρ καὶ τὴν ὑπομονὴν δίδωσι, καὶ τὴν ταχεῖαν ἀπαλλαγὴν ἐπάγει, ὥστε καὶ ταύτῃ φορητὸν γενέσθαι τὸν πειρασμόν. Τοῦτο γὰρ ᾐνίξατο εἰπών, «ποιήσει καὶ τὴν ἔκβασιν τοῦ δύνασθαι ὑπενεγκεῖν»· καὶ πάντα αὐτῷ ἀνατίθησι.

«Διόπερ, ἀδελφοί μου, φεύγετε ἀπὸ τῆς εἰδωλολατρείας». Πάλιν αὐτοὺς θεραπεύει τῷ τῆς συγγενείας ὀνόματι, καὶ μετὰ πολλοῦ τοῦ τάχους ἐπείγει τῆς ἁμαρτίας ἀπαλλαγῆναι ταύτης. Οὐδὲ γὰρ εἶπεν, ἀπόστητε, ἁπλῶς, ἀλλά, «φεύγετε»· καὶ τὸ πρᾶγμα εἰδωλολατρείαν καλεῖ, καὶ οὐκέτι διὰ τὴν τοῦ πλησίον βλάβην ἀφίστασθαι μόνον κελεύει, ἀλλὰ καὶ αὐτὸ καθ' ἑαυτὸ δείκνυσιν ἱκανὸν μεγάλην ἐνεγκεῖν λύμην. «Ὡς φρονίμοις λέγω· κρίνατε ὑμεῖς ὅ φημι». Ἐπειδὴ γὰρ μέγα ἐφθέγξατο, καὶ τὴν κατηγορίαν ηὔξησεν, εἰδωλολατρεί-

῞Υστερον ἐπειδὴ τοὺς ἐφόβισε, κοίταξε πῶς τοὺς ἀνορθώνει πάλιν, καὶ τοὺς ἀνορθώνει πείθων αὐτοὺς συγχρόνως νὰ μετριοφρονοῦν μὲ τοὺς λόγους· «εἶναι ἄξιος πάσης ἐμπιστοσύνης ὁ Θεὸς καὶ δὲν θὰ σᾶς ἀφήσῃ νὰ δοκιμασθῆτε περισσότερον ἀπὸ ὅσον ἠμπορεῖτε νὰ ὑπομείνετε». ῎Αρα ὑπάρχουν πειρασμοὶ τοὺς ὁποίους δὲν εἶναι δυνατὸν νὰ ὑπομείνουν. Καὶ ποῖοι εἶναι αὐτοί; ῞Ολοι, διὰ νὰ εἰπῶ ἔτσι· διότι ἡ δυνατότης ἔγκειται εἰς τὴν βοήθειαν τοῦ Θεοῦ, τὴν ὁποίαν προσελκύομεν μὲ τὴν ἰδικήν μας διάθεσιν. Διὰ τοῦτο διὰ νὰ μάθῃς καὶ ἰδῇς ὅτι, ὄχι μόνον τοὺς πειρασμοὺς ποὺ ὑπερβαίνουν τὴν δύναμίν μας, ἀλλ' οὔτε αὐτοὺς τοὺς συνήθεις εἰς ἀνθρώπους εἶναι δυνατὸν νὰ ὑποφέρωμεν εὐκόλως χωρὶς τὴν βοήθειαν τοῦ Θεοῦ, προσέθεσεν· «᾿Αλλὰ μαζὶ μὲ τὴν δοκιμασίαν θὰ δώσῃ καὶ τὸ τέλος τῆς δοκιμασίας διὰ νὰ ἠμπορέσετε νὰ τὴν ὑπομείνετε». Οὔτε ἐκείνους δηλαδὴ ποὺ εἶναι εἰς τὸ μέτρον μας, καθὼς ἀνέφερον, λέγει, μὲ τὴν ἰδικήν μας δύναμιν θὰ βαστάσωμεν· ἀλλὰ καὶ εἰς αὐτοὺς ἔχομεν ἀνάγκην ἀπὸ τὴν συμμαχίαν του διὰ νὰ περάσωμεν μέσα ἀπὸ αὐτοὺς καί, πρὶν περάσωμεν, νὰ τοὺς ὑπομείνωμεν. Αὐτὸς λοιπὸν δίδει καὶ τὴν ὑπομονὴν καὶ φέρει συντόμως τὴν ἀπαλλαγήν, ὥστε καὶ ἀπὸ αὐτὸ νὰ γίνῃ ὑποφερτὴ ἡ δοκιμασία. Διότι αὐτὸ ὑπῃνίχθη ὅταν εἶπε «μαζὶ μὲ τὴν δοκιμασίαν θὰ δώσῃ καὶ τὸ τέλος τῆς δοκιμασίας διὰ νὰ ἠμπορέσετε νὰ τὴν ὑπομείνετε»· καὶ ὅλα τὰ ἀναθέτει εἰς τὸν Θεόν.

«Διὰ τοῦτο, ἀγαπητοί μου, ἀποφεύγετε τὴν εἰδωλολατρείαν». Πάλιν τοὺς τιμᾷ ἐμφανίζων τὴν συγγένειαν, καὶ βιάζει αὐτοὺς ν' ἀπαλλαγοῦν ἀμέσως ἀπὸ τὴν ἁμαρτίαν αὐτήν. Διότι δὲν εἶπεν, ἀπομακρυνθῆτε, ἀλλά, «ἀποφεύγετε»· καὶ ἀποκαλεῖ τὸ πρᾶγμα εἰδωλολατρείαν, καὶ παροτρύνει νὰ τὴν ἀποφεύγουν ὄχι μόνον διὰ νὰ μὴ βλάπτεται ὁ πλησίον, ἀλλὰ καὶ αὐτὸ καθ' ἑαυτὸ δεικνύει ὅτι εἶναι ἱκανὸν νὰ ἐπιφέρῃ μεγάλην καταστροφήν. «῾Ομιλῶ ὡσὰν εἰς φρονίμους ἀνθρώπους· κρίνατε σεῖς αὐτὸ ποὺ λέγω». ᾿Επειδὴ λοιπὸν αὐτὸ ποὺ εἶπε δὲν εἶναι μικρὸν καὶ ἔκανε βαρυτέραν τὴν κατηγορίαν μὲ τὸ ὅτι ὠνόμασε τὸ πρᾶγμα εἰ-

αν καλέσας, ἵνα μὴ δόξῃ τραχύνειν αὐτοὺς καὶ φορτικὸν ποιεῖν τὸν λόγον, αὐτοῖς λοιπὸν ἐπιτρέπει τὴν κρίσιν, καὶ μετ' ἐγκωμίου καθίζει τοὺς δικάζοντας. «Ὡς φρονίμοις γὰρ λέγω», φησίν· ὅπερ σφόδρα θαρροῦντός ἐστι τοῖς οἰκείοις δικαιώμασι, τὸ τὸν ἐγκαλούμενον αὐτὸν καθίσαι τῶν λεγομένων κριτήν. Τοῦτο καὶ τὸν ἀκροατὴν αἴρει μειζόνως, ὅταν μὴ ὡς ἐπιτάττων, μηδὲ ὡς νομοθετῶν, ἀλλ' ὡς συμβουλεύων καὶ παρ' αὐτοῖς ἐκείνοις δικαζόμενος, οὕτω διαλέγηται. Ἰουδαίοις μὲν γάρ, ἅτε ἀνοητότερον διακειμένοις καὶ παιδικώτερον, οὐχ οὕτως ὁ Θεὸς διελέγετο, οὐδὲ πανταχοῦ τὰς αἰτίας αὐτοῖς ἔλεγε τῶν ἐπιταγμάτων, ἀλλ' ἐκέλευε μόνον. Ἐνταῦθα δέ, ἐπειδὴ πολλῆς ἐλευθερίας ἀπελαύσαμεν, καὶ συμβουλῆς ἀπολαύομεν, καὶ ὡς φίλοις διαλέγεται, καί φησιν· οὐ δέομαι ἑτέρων δικαστῶν· αὐτοί μοι τὴν ψῆφον ὑμεῖς φέρετε ταύτην, ὑμᾶς λαμβάνω κριτάς.

2. «Τὸ ποτήριον τῆς εὐλογίας, ὃ εὐλογοῦμεν, οὐχὶ κοινωνία τοῦ αἵματος τοῦ Χριστοῦ ἐστι;». Τί λέγεις, ὦ μακάριε Παῦλε; Θέλων ἐντρέψαι τὸν ἀκροατήν, καὶ μυστηρίων μεμνημένος φρικτῶν, εὐλογίας ποτήριον καλεῖς τὸ ποτήριον τὸ φοβερὸν καὶ φρικωδέστατον ἐκεῖνο; Ναί, φησίν· οὐ γὰρ μικρὸν τὸ εἰρημένον. Εὐλογίαν γὰρ ὅταν εἴπω, εὐχαριστίαν λέγω· εὐχαριστίαν δὲ ὅταν εἴπω, πάντα ἀναπτύσσω τὸν τῆς εὐεργεσίας τοῦ Θεοῦ θησαυρὸν καὶ τῶν μεγάλων ἐκείνων ἀναμιμνήσκω δωρεῶν. Καὶ γὰρ καὶ ἡμεῖς ἐπιλέγοντες τῷ ποτηρίῳ τὰς ἀφάτους εὐεργεσίας τοῦ Θεοῦ, καὶ ὅσων ἀπολελαύκαμεν, οὕτως αὐτῷ προσάγομεν καὶ κοινωνοῦμεν, εὐχαριστοῦντες ὅτι τῆς πλάνης ἀπήλλαξε τὸ τῶν ἀνθρώπων γένος· ὅτι μακρὰν ὄντας, ἐγγὺς ἐποίησεν· ὅτι ἐλπίδα μὴ ἔχοντας καὶ ἀθέους ἐν τῷ κόσμῳ, ἀδελφοὺς ἑαυτοῦ κατε-

δωλολατρείαν, διὰ νὰ μὴ φανῇ ὅτι παροξύνει αὐτοὺς καὶ κάμνει φορτικὸν τὸν λόγον, παραχωρεῖ εἰς αὐτοὺς λοιπὸν τὴν κρίσιν, καὶ μὲ ἔπαινον καθίζει αὐτοὺς εἰς τὴν θέσιν τῶν δικαστῶν. «Ὁμιλῶ ὡσὰν εἰς φρονίμους ἀνθρώπους» λέγει· πρᾶγμα ποὺ δεικνύει ἄνθρωπον ποὺ ἐνθαρρύνει πάρα πολὺ εἰς τὸ νὰ λάβῃ κανεὶς τὰ ἰδικά του δικαιώματα, τὸ νὰ κάνῃ δηλαδὴ τὸν ἴδιον τὸν κατηγορούμενον κριτὴν εἰς τὰ λεγόμενα. Αὐτὸ ἐπὶ πλέον ἐγκαρδιώνει τὸν ἀκροατὴν πάρα πολύ, ὅταν ὁμιλῇ ὄχι ὡσὰν νὰ προστάσσῃ, οὔτε ὡσὰν νὰ νομοθετῇ, ἀλλ' ὡσὰν νὰ συμβουλεύῃ καὶ νὰ δικάζεται ἀπὸ ἐκείνους τοὺς ἰδίους. Διότι εἰς τοὺς μὲν Ἰουδαίους, ἐπειδὴ εὑρίσκοντο εἰς κατάστασιν χαμηλοτέραν καὶ περισσότερον παιδικῆς νοημοσύνης, δὲν ὡμιλοῦσεν ἔτσι ὁ Θεός, οὔτε ἔλεγε πάντοτε εἰς αὐτοὺς τὰς αἰτίας τῶν ἐντολῶν, ἀλλὰ προσέτασσε μόνον. Ἐδῶ ὅμως, ἐπειδὴ πολλὴ ἐλευθερία μᾶς ἐδόθη, ἀπολαμβάνομεν καὶ τὴν τιμὴν νὰ μᾶς συμβουλεύῃ καὶ ὡσὰν εἰς φίλους ὁμιλεῖ καὶ λέγει· δὲν χρειάζομαι ἄλλους δικαστάς· σεῖς οἱ ἴδιοι ἀποφασίσατε δι' αὐτό, ἐσᾶς λαμβάνω ὡς δικαστάς.

2. «Τὸ ποτήριον τῆς εὐλογίας, τὸ ὁποῖον εὐλογοῦμεν, δὲν εἶναι κοινωνία τοῦ αἵματος τοῦ Χριστοῦ;». Τί λέγεις, μακάριε Παῦλε; Ἐπειδὴ θέλεις νὰ κάνῃς τὸν ἀκροατὴν νὰ ἐντραπῇ καὶ ἐνῷ ἔχεις μνημονεύσει φρικτὰ μυστήρια, ὀνομάζεις ποτήριον εὐλογίας ἐκεῖνο τὸ φοβερὸν καὶ φρικωδέστατον ποτήριον; Ναί, λέγει· δὲν εἶναι βεβαίως μικρὸν αὐτὸ ποὺ ἐλέχθη. Διότι ὅταν λέγω εὐλογίαν ἐννοῶ εὐχαριστίαν· ὅταν δὲ λέγω εὐχαριστίαν, ὁλόκληρον τὸν θησαυρὸν τῆς εὐεργεσίας τοῦ Θεοῦ ἐξηγῶ καὶ ἐνθυμίζω ἐκείνας τὰς μεγάλας δωρεάς. Ἀλλὰ καὶ ἐμεῖς ὅταν ὁμολογοῦμεν κατὰ τὴν ὥραν τοῦ ποτηρίου τὰς ἀπεριγράπτους εὐεργεσίας τοῦ Θεοῦ καὶ ὅλα ὅσα ἀπελαύσαμεν, ἔτσι προσφέρομεν εἰς τὸν Θεὸν καὶ κοινωνοῦμεν, εὐχαριστοῦντες διὰ τὸ ὅτι ἀπήλλαξεν ἀπὸ τὴν πλάνην τὸ γένος τῶν ἀνθρώπων· διότι ἐνῷ εἴχομεν ἀπομακρυνθῆ μᾶς ἔφερε πλησίον του, καὶ ἐνῷ δὲν εἴχομεν ἐλπίδα καὶ εἴμεθα χωρὶς Θεὸν εἰς τὸν κόσμον, μᾶς ἔκανε ἀδελφοὺς καὶ συγκληρονόμους του,

σκεύασε καὶ συγκληρονόμους. Ὑπὲρ τούτων καὶ τῶν τοιούτων ἁπάντων εὐχαριστοῦντες, οὕτω πρόσιμεν. Πῶς οὖν οὐκ ἐναντία ποιεῖτε, φησίν, ὦ Κορίνθιοι, εὐλογοῦντες μὲν τὸν Θεόν, ὅτι τῶν εἰδώλων ὑμᾶς ἀπήλλαξε, πάλιν δὲ ἐπὶ τὰς ἐκείνων τρέχοντες τραπέζας;

«Τὸ ποτήριον τῆς εὐλογίας, ὃ εὐλογοῦμεν, οὐχὶ κοινωνία τοῦ αἵματος τοῦ Χριστοῦ ἐστι;». Σφόδρα πιστῶς καὶ φοβερῶς εἴρηκεν. Ὃ γὰρ λέγει, τοῦτό ἐστιν· ὅτι τοῦτο τὸ ἐν τῷ ποτηρίῳ ὄν, ἐκεῖνό ἐστι τὸ ἀπὸ τῆς πλευρᾶς ῥεῦσαν, καὶ ἐκείνου μετέχομεν. Ποτήριον δὲ εὐλογίας ἐκάλεσεν, ἐπειδὴ αὐτὸ μετὰ χεῖρας ἔχοντες, οὕτως αὐτὸν ἀνυμνοῦμεν, θαυμάζοντες, ἐκπληττόμενοι τῆς ἀφάτου δωρεᾶς, εὐλογοῦντες ὅτι καὶ αὐτὸ τοῦτο ἐξέχεεν, ἵνα μὴ μείνωμεν ἐν τῇ πλάνῃ· καὶ οὐ μόνον ἐξέχεεν, ἀλλὰ καὶ πᾶσιν ἡμῖν αὐτοῦ μετέδωκεν. Ὥστε εἰ αἵματος ἐπιθυμεῖς, φησί, μὴ τὸν τῶν εἰδώλων βωμὸν τῷ τῶν ἀλόγων φόνῳ, ἀλλὰ τὸ θυσιαστήριον τὸ ἐμὸν τῷ ἐμῷ φοίνισσε αἵματι. Τί τούτου φρικωδέστερον; τί δὲ φιλοστοργότερον, εἰπέ μοι; Τοῦτο καὶ οἱ ἐρῶντες ποιοῦσιν· ὅταν ἴδωσι τοὺς ἐρωμένους τῶν ἀλλοτρίων ἐφιεμένους καὶ τῶν οἰκείων καταφρονοῦντας, τὰ αὐτῶν διδόντες πείθουσιν ἀποστῆναι τῶν ἐκείνων. Ἀλλ' οἱ ἐρῶντες μὲν ἐν χρήμασι καὶ ἱματίοις καὶ κτήμασι ταύτην ἐπιδείκνυνται τὴν φιλοτιμίαν, ἐν αἵματι δὲ οὐδεὶς οὐδέποτε· ὁ δὲ Χριστὸς καὶ ἐν τούτῳ τὴν κηδεμονίαν ἐπεδείξατο καὶ τὴν θερμὴν περὶ ἡμᾶς ἀγάπην. Καὶ ἐν μὲν τῇ παλαιᾷ, ἐπειδὴ ἀτελέστερον διέκειντο, ὃ τοῖς εἰδώλοις προσέφερον αἷμα, τοῦτο αὐτὸς ὑπέμεινε καταδέξασθαι, ἵνα ἀποστήσῃ ἐκείνων, ὃ καὶ αὐτὸ πάλιν ἀφάτου φιλοστοργίας ἦν· ἐνταῦθα δὲ ἐπὶ τὸ πολλῷ φρικωδέστερον καὶ μεγαλοπρεπέστερον τὴν ἱερουρ-

εὐχαριστοῦντες λοιπὸν δι' ὅλα αὐτὰ καὶ τὰ ὅμοια, ἔτσι προσερχόμεθα εἰς τὸν Θεόν. Πῶς λοιπόν, λέγει, δὲν πράττετε ἀντίθετα πράγματα, Κορίνθιοι, ὅταν, ἐνῷ εὐλογεῖτε τὸν Θεόν διότι σᾶς ἀπήλλαξεν ἀπὸ τὰ εἴδωλα, τρέχετε πάλιν εἰς τὰς εἰδωλολατρικὰς τραπέζας;

«Τὸ ποτήριον τῆς εὐλογίας, τὸ ὁποῖον εὐλογοῦμεν, δὲν εἶναι κοινωνία τοῦ αἵματος τοῦ Χριστοῦ;». Φοβερὸν πρᾶγμα εἶπε καὶ μὲ ἀπόλυτον βεβαιότητα πιστοποιεῖ αὐτό. Ἐκεῖνο δὲ ποὺ ἐννοεῖ εἶναι τὸ ἑξῆς' ὅτι τὸ αἷμα ποὺ εἶναι μέσα εἰς τὸ ποτήριον εἶναι αὐτὸ τὸ ἴδιον τὸ ὁποῖον ἔτρεξεν ἀπὸ τὴν πλευρὰν τοῦ Χριστοῦ, καὶ ὅτι εἰς αὐτὸ τὸ αἷμα μετέχομεν. Ὠνόμασε δὲ αὐτὸ ποτήριον εὐλογίας, ἐπειδή, ὅταν κρατῶμεν αὐτὸ εἰς τὰ χέρια, ἔτσι ἀνυμνοῦμεν αὐτόν, μὲ θαυμασμόν, μὲ ἔκπληξιν διὰ τὴν ἀπερίγραπτον δωρεάν, μὲ εὐλογίαν, διότι καὶ αὐτὸ τὸ ἴδιον τὸ αἷμά του ἔχυσε διὰ νὰ μὴ μείνωμεν εἰς τὴν πλάνην' καὶ ὄχι μόνον τὸ ἔχυσεν, ἀλλὰ καὶ εἰς ὅλους ἐμᾶς μετέδωσεν ἀπὸ αὐτό. Ὥστε ἐὰν ἐπιθυμῇς αἷμα, λέγει, ὄχι τὸν βωμὸν τῶν εἰδώλων μὲ τὴν σφαγὴν τῶν ζώων, ἀλλὰ τὸ ἰδικόν μου θυσιαστήριον νὰ βάφῃς κόκκινον μὲ τὸ ἰδικόν μου αἷμα. Τί εἶναι φρικτότερον ἀπὸ αὐτό; Τί περισσότερον φιλόστοργον; εἰπέ μου. Αὐτὸ κάμνουν καὶ ἐκεῖνοι ποὺ ἀγαποῦν' ὅταν ἰδοῦν τοὺς ἀγαπημένους των νὰ ἐπιθυμοῦν τὰ τῶν ἄλλων καὶ νὰ καταφρονοῦν τὰ ἰδικά των, δίδουν τὰ ἰδικά των καὶ τοὺς πείθουν ν' ἀπομακρυνθοῦν ἀπὸ τὰ τῶν ἄλλων. Ἀλλ' αὐτοὶ μὲν οἱ ὁποῖοι ἀγαποῦν δεικνύουν αὐτὴν τὴν φιλοτιμίαν εἰς χρήματα καὶ ἐνδύματα καὶ κτήματα, ἐνῷ εἰς τὸ νὰ δώσουν τὸ αἷμά των ποτὲ κανείς' ὁ Χριστὸς ὅμως καὶ εἰς αὐτὸ ἔδειξε τὴν φροντίδα καὶ τὴν θερμὴν ἀγάπην δι' ἐμᾶς. Καὶ εἰς μὲν τὴν Παλαιὰν Διαθήκην, ἐπειδὴ οἱ ἄνθρωποι ἦσαν ἀτελέστεροι πνευματικά, τὸ αἷμα ποὺ προσέφερον εἰς τὰ εἴδωλα, αὐτὸ κατεδέχθη ὁ Χριστὸς νὰ δεχθῇ, διὰ ν' απομακρύνῃ ἀπὸ τὰ εἴδωλα, πρᾶγμα ποὺ καὶ αὐτὸ ἦτο πάλιν ἀποτέλεσμα ἀπεριγράπτου φιλοστοργίας' ἐδῶ δὲ μετέβαλε τὴν ἱερουργίαν εἰς τὸ πολὺ φρικτότερον καὶ μεγαλοπρεπέστερον μυστήριον, ὥστε καὶ τὴν θυσίαν ἐκείνην ἤλλαξε,

γίαν μετεσκεύασε, καὶ τὴν θυσίαν αὐτὴν ἀμείψας, καὶ ἀντὶ τῆς τῶν ἀλόγων σφαγῆς ἑαυτὸν προσφέρειν κελεύσας.

«Ὁ ἄρτος, ὃν κλῶμεν, οὐχὶ κοινωνία τοῦ σώματος τοῦ Χριστοῦ ἐστι;». Διὰ τί μὴ εἶπε, μετοχή; Ὅταν πλέον τι δηλῶσαι ἠβουλήθη, καὶ πολλὴν ἐνδείξασθαι τὴν συνάφειαν. Οὐ γὰρ τῷ μετέχειν μόνον καὶ μεταλαμβάνειν, ἀλλὰ καὶ τῷ ἑνοῦσθαι κοινωνοῦμεν. Καθάπερ γὰρ τὸ σῶμα ἐκεῖνο ἥνωται τῷ Χριστῷ, οὕτω καὶ ἡμεῖς αὐτῷ διὰ τοῦ ἄρτου τούτου ἑνούμεθα. Διὰ τί δὲ προσέθηκεν, «ὃν κλῶμεν»; Τοῦτο γὰρ ἐπὶ μὲν τῆς εὐχαριστίας ἔστιν ἰδεῖν γινόμενον· ἐπὶ δὲ τοῦ σταυροῦ οὐκέτι, ἀλλὰ καὶ τοὐναντίον τούτῳ· «Ὀστοῦν» γὰρ «αὐτοῦ», φησίν, οὐ συντριβήσεται». Ἀλλ' ὅπερ οὐκ ἔπαθεν ἐπὶ τοῦ σταυροῦ, τοῦτο πάσχει ἐπὶ τῆς προσφορᾶς διὰ σέ, καὶ ἀνέχεται διακλώμενος, ἵνα πάντας ἐμπλήσῃ.

3. Εἶτα ἐπειδὴ εἶπε, «κοινωνία τοῦ σώματος», τὸ δὲ κοινωνοῦν ἕτερόν ἐστιν ἐκείνου, οὗ κοινωνεῖ, καὶ ταύτην τὴν δοκοῦσαν εἶναι μικρὰν διαφορὰν ἀνεῖλεν. Εἰπὼν γάρ, «κοινωνία τοῦ σώματος», ἐζήτησε πάλιν ἐγγύτερόν τι εἰπεῖν· διὸ καὶ ἐπήγαγεν, «Ὅτι εἷς ἄρτος, ἓν σῶμά ἐσμεν οἱ πολλοί». Τί γὰρ λέγω κοινωνίαν, φησίν; αὐτό ἐσμεν ἐκεῖνο τὸ σῶμα. Τί γάρ ἐστιν ὁ ἄρτος; Σῶμα Χριστοῦ. Τί δὲ γίνονται οἱ μεταλαμβάνοντες; Σῶμα Χριστοῦ· οὐχὶ σώματα πολλά, ἀλλὰ σῶμα ἕν. Καθάπερ γὰρ ὁ ἄρτος ἐκ πολλῶν συγκείμενος κόκκων ἥνωται, ὡς μηδαμοῦ φαίνεσθαι τοὺς κόκκους, ἀλλ' εἶναι μὲν αὐτούς, ἄδηλον δὲ αὐτῶν εἶναι τὴν διαφορὰν τῇ συναφείᾳ· οὕτω καὶ ἀλλήλοις καὶ τῷ Χριστῷ συναπτόμεθα. Οὐδὲ γὰρ ἐξ ἑτέρου μὲν σώματος σύ, ἐξ ἑτέρου δὲ ἐκεῖνος τρέφεται, ἀλλ' ἐκ τοῦ αὐτοῦ πάντες· διὸ καὶ ἐπήγαγεν· «Οἱ γὰρ πάντες ἐκ τοῦ ἑνὸς ἄρτου μετέχομεν». Εἰ δὲ ἐκ τοῦ αὐτοῦ, καὶ τὸ αὐτὸ γινόμεθα πάντες, διὰ τί μὴ καὶ τὴν αὐτὴν ἀγάπην ἐπιδεικνύμεθα, καὶ γινόμεθα καὶ κατὰ τοῦτο ἕν; Καὶ γὰρ καὶ τὸ παλαιὸν ἐπὶ τῶν προγόνων

καὶ ἔδωσεν ἐντολὴν νὰ προσφέρουν τὸν ἑαυτόν του ἀντὶ τῆς σφαγῆς τῶν ζώων.

«Ὁ ἄρτος τὸν ὁποῖον κόπτομεν, δὲν εἶναι κοινωνία τοῦ σώματος τοῦ Χριστοῦ;». Διατί δὲν εἶπε, μετοχή; Διότι ἠθέλησε νὰ δείξῃ ὅτι εἶναι κάτι περισσότερον καὶ νὰ φανερώσῃ ὅτι εἶναι πολὺ στενὴ ἡ συνάφεια. Διότι ὄχι μόνον μὲ τὸ νὰ μετέχωμεν καὶ νὰ μεταλαμβάνωμεν, ἀλλὰ καὶ μὲ τὸ νὰ ἐρχώμεθα εἰς ἕνωσιν κοινωνοῦμεν. Διατί δὲ προσέθεσε, «τὸν ὁποῖον κόπτομεν»; Διότι αὐτὸ θὰ ἴδῃ κανεὶς νὰ γίνεται εἰς τὴν θείαν εὐχαριστίαν˙ εἰς τὸν σταυρὸν ὅμως ὄχι, ἀλλὰ τὸ ἀντίθετον ἀπὸ αὐτό˙ διότι «ὀστοῦν ἀπὸ αὐτόν», λέγει, «δὲν θὰ συντριβῇ». Ἀλλ' αὐτὸ ποὺ δὲν ἔπαθεν ἐπάνω εἰς τὸν σταυρόν, αὐτὸ πάσχει εἰς τὴν προσφορὰν διὰ σέ, καὶ ἀνέχεται νὰ κατακόπτεται, διὰ νὰ μᾶς γεμίσῃ ὅλους.

3. Ὕστερον ἐπειδὴ εἶπε, «κοινωνία τοῦ σώματος», ἐκεῖνο δὲ τὸ ὁποῖον κοινωνεῖ εἶναι ἄλλο ἀπὸ αὐτὸν ποὺ κοινωνεῖ, καὶ αὐτὴν τὴν διαφορὰν ποὺ φαίνεται μικρὴ τὴν ἀνῄρεσεν. Ὅταν εἶπε δηλαδὴ «κοινωνία τοῦ σώματος», ἠθέλησε πάλιν νὰ εἰπῇ κάτι ποὺ νὰ ἐκφράζῃ ὅτι ἡ ἕνωσις προχωρεῖ περισσότερον˙ διὰ τοῦτο καὶ προσέθεσε, «Διότι εἷς εἶναι ὁ ἄρτος, καὶ ἐμεῖς οἱ πολλοὶ εἴμεθα ἓν σῶμα». Καὶ διατί λέγω κοινωνία; λέγει. Αὐτὸ τὸ ἴδιον τὸ σῶμα εἴμεθα. Διότι τί εἶναι ὁ ἄρτος; Σῶμα Χριστοῦ. Τί γίνονται δὲ οἱ πιστοὶ ποὺ μεταλαμβάνουν; Σῶμα Χριστοῦ˙ ὄχι πολλὰ σώματα, ἀλλ' ἓν σῶμα. Διότι ὅπως ὁ ἄρτος εἶναι ἕνας ἀποτελούμενος ἀπὸ πολλοὺς κόκκους, ὥστε πουθενὰ νὰ μὴ φαίνωνται οἱ κόκκοι, ἀλλὰ νὰ ὑπάρχουν, χωρὶς νὰ εἶναι ὁρατὴ ἡ διαφορὰ εἰς τὴν συνάφειαν, ἔτσι καὶ μεταξύ μας καὶ μὲ τὸν Χριστὸν συναπτόμεθα. Διότι δὲν τρέφεσαι ἀπὸ ἄλλο σῶμα ἐσύ, ἀπὸ ἄλλο δὲ ἐκεῖνος, ἀλλ' ἀπὸ τὸ ἴδιον ὅλοι˙ δι' αὐτὸ καὶ προσέθεσε˙ «διότι ὅλοι ἀπὸ τὸν ἕνα ἄρτον μετέχομεν». Ἐφ' ὅσον ὅμως τρεφόμεθα ἀπὸ τὸ ἴδιον καὶ τὸ ἴδιον γινόμεθα ὅλοι, διατί δὲν ἐπιδεικνύομεν καὶ τὴν ἰδίαν ἀγάπην καὶ δὲν γινόμεθα καὶ εἰς τοῦτο ἕν; Διότι αὐτὸ ἐγίνετο κατὰ τὸν παλαιὸν καιρὸν εἰς τοὺς προγόνους μας. Καθ' ὅσον «ὅλοι ὅσοι εἶχον πιστεύσει», λέγει, «ἦσαν

των ἡμετέρων τοῦτο ἦν. «Τοῦ γὰρ πλήθους τῶν πιστευσάντων», φησίν, «ἦν ἡ καρδία καὶ ἡ ψυχὴ μία».

Ἀλλ' οὐχὶ νῦν, ἀλλὰ τοὐναντίον ἅπαν· πολλοὶ καὶ ποικίλοι μεταξὺ πάντων οἱ πόλεμοι, καὶ θηρίων χαλεπώτερον πρὸς τὰ ἀλλήλων διακείμεθα μέλη. Καὶ ὁ μὲν Χριστὸς τοσοῦτόν σε διεστηκότα ἑαυτῷ ἥνωσε· σὺ δὲ οὐδὲ τῷ ἀδελφῷ ἀξιοῖς ἡνῶσθαι μετὰ ἀκριβείας τῆς προσηκούσης, ἀλλὰ ἀποσχίζεις σαυτόν, τοσαύτης καὶ ἀγάπης καὶ ζωῆς ἀπολαύσας παρὰ τοῦ δεσπότου. Οὐδὲ γὰρ ἁπλῶς τὸ σῶμα αὐτοῦ ἔδωκεν· ἀλλ' ἐπειδὴ ἡ προτέρα τῆς σαρκὸς φύσις ἡ ἀπὸ γῆς διαπλασθεῖσα, ἀπὸ τῆς ἁμαρτίας ἔφθασε νεκρωθῆναι καὶ ζωῆς γενέσθαι ἔρημος, ἑτέραν, ὡς ἂν εἴποι τις, μᾶζαν καὶ ζύμην ἐπεισήγαγε, τὴν ἑαυτοῦ σάρκα, φύσει μὲν οὖσαν τὴν αὐτήν, ἁμαρτίας δὲ ἀπηλλαγμένην καὶ ζωῆς γέμουσαν· καὶ πᾶσιν ἔδωκεν αὐτῆς μεταλαμβάνειν, ἵνα ταύτῃ τρεφόμενοι, καὶ τὴν προτέραν ἀποθέμενοι τὴν νεκράν, εἰς τὴν ζῶσαν καὶ ἀθάνατον διὰ τῆς τραπέζης ἀνακερασθῶμεν ταύτης.

4. «Βλέπετε τὸν Ἰσραὴλ κατὰ σάρκα· οὐχ οἱ ἐσθίοντες τὰς θυσίας κοινωνοὶ τοῦ θυσιαστηρίου εἰσί;». Πάλιν ἀπὸ τῆς παλαιᾶς καὶ εἰς τοῦτο ἐνάγει. Ἐπειδὴ γὰρ πολὺ τοῦ μεγέθους τῶν λεχθέντων ἦσαν ταπεινότεροι, καὶ ἀπὸ τῶν προτέρων αὐτοὺς καὶ συνήθων πείθει. Καὶ καλῶς, «κατὰ σάρκα», φησίν, ὡς αὐτῶν κατὰ πνεῦμα ὄντων. Ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· κἂν ἀπὸ τῶν παχυτέρων παιδεύθητε, ὅτι οἱ ἐσθίοντες τὰς θυσίας κοινωνοὶ τοῦ θυσιαστηρίου εἰσίν. Ὁρᾷς πῶς δείκνυσιν οὐκ ἔχοντας γνῶσιν τελείαν τοὺς δοκοῦντας εἶναι τελείους, εἴγε μηδὲ τοῦτο ἴσασιν, ὅτι κοινωνία τις ἀπὸ τούτων καὶ φιλία πολλοῖς πολλάκις πρὸς δαίμονας

ὁμόφρονες καὶ αἱ καρδίαι καὶ ὁλόκληρος ἡ πνευματικὴ ὕπαρξίς των ἦσαν ἡνωμένα εἰς ἕν».

Σήμερον ὅμως δὲν εἶναι ἔτσι, ἀλλὰ τὸ τελείως ἀντίθετον˙ πολλοὶ καὶ διάφοροι εἶναι οἱ πόλεμοι μεταξὺ ὅλων, καὶ διακείμεθα χειρότερον καὶ ἀπὸ τὰ θηρία ἀπέναντι εἰς τὰ ἴδια τὰ μέλη μας, τοὺς ὁμοπίστους. Καὶ ὁ μὲν Χριστός, ἐνῷ τόσον πολὺ εἶχες ἀπομακρυνθῆ, σὲ ἥνωσε μὲ τὸν ἑαυτόν του, ἐνῷ ἐσὺ οὔτε μὲ τὸν ἀδελφὸν καταδέχεσαι νὰ ἑνωθῇς μὲ τὴν πρέπουσαν ἐπιμέλειαν, ἀλλ᾽ ἀποχωρίζεις τὸν ἑαυτόν σου, ἐνῷ τόσην ἀγάπην καὶ ζωὴν ἀπήλαυσες ἀπὸ τὸν Κύριον. Διότι ὄχι μόνον ἁπλῶς ἔδωσε τὸ σῶμά του, ἀλλ᾽ ἐπειδὴ ἡ ἕως τότε φύσις τῆς σαρκὸς ἡ ὁποία ἐπλάσθη ἀπὸ τὴν γῆν, κατήντησε νὰ νεκρωθῇ ἀπὸ τὴν ἁμαρτίαν καὶ νὰ ἐρημωθῇ ἀπὸ ζωήν, ἄλλην, τρόπον τινά, ὕλην καὶ ζύμην εἰσήγαγεν εἰς αὐτήν, τὴν ἰδικήν του σάρκα, ἡ ὁποία ὡς πρὸς τὴν φύσιν εἶναι μὲν ἰδία, ἀλλ᾽ εἶναι ἀπηλλαγμένη ἀπὸ ἁμαρτίαν καὶ πλήρης ἀπὸ ζωήν˙ καὶ εἰς ὅλους ἔδωσε νὰ μεταλαμβάνουν ἀπὸ αὐτήν, ὥστε, τρεφόμενοι ἀπὸ αὐτὴν καὶ ἀποθέτοντες τὴν προηγουμένην τὴν νεκράν, νὰ συνενωθῶμεν εἰς τὴν ζῶσαν καὶ ἀθάνατον διὰ τῆς θείας κοινωνίας.

4. «Κοιτάξετε τοὺς Ἰσραηλίτας ποὺ εἶναι σαρκικοὶ ἀλλ᾽ ὄχι καὶ πνευματικοὶ ἀπόγονοι τῶν πατριαρχῶν˙ ἐκεῖνοι ποὺ τρώγουν τὰς θυσίας ποὺ προσφέρονται ἀπὸ τοὺς ἱερεῖς τοῦ Ἰσραήλ, δὲν εἶναι κοινωνοὶ τοῦ θυσιαστηρίου;». Πάλιν ἀπὸ τὴν Παλαιὰν Διαθήκην ὁδηγεῖ καὶ εἰς αὐτό. Διότι, ἐπειδὴ ἦσαν πολὺ κατώτεροι ἀπὸ τὸ μέγεθος τῶν λεχθέντων, τοὺς πείθει καὶ ἀπὸ τὰ προηγούμενα καὶ συνήθη. Καὶ καλῶς λέγει «σαρκικοί», ὡσὰν νὰ εἶναι αὐτοὶ πνευματικοί. Αὐτὸ ποὺ ἐννοεῖ δὲ εἶναι τὸ ἑξῆς˙ διδαχθῆτε τοὐλάχιστον ἀπὸ τὰ χονδροειδέστερα, ὅτι αὐτοὶ ποὺ τρώγουν τὰς θυσίας εἶναι κοινωνοὶ τοῦ θυσιαστηρίου. Βλέπεις πῶς δεικνύει ὅτι δὲν ἔχουν τελείαν γνῶσιν αὐτοὶ ποὺ νομίζουν ὅτι εἶναι τέλειοι, ἀφοῦ βεβαίως οὔτε αὐτὸ γνωρίζουν, ὅτι δηλαδὴ ἀπὸ αὐτὰ γίνεται κοινωνία καὶ φιλία εἰς πολλοὺς πολλὰς φορὰς μὲ τοὺς δαίμονας καὶ ὀλίγον κατ᾽ ὀλίγον ἡ συνή-

γίνεται, κατὰ μικρὸν τῆς συνηθείας αὐτοὺς ἐφελκομένης; Εἰ γὰρ ἐπ' ἀνθρώπων τὸ κοινωνεῖν ἁλῶν καὶ τραπέζης φιλίας ἀφορμὴ καὶ σύμβολον γίνεται, ἐγχωρεῖ καὶ ἐπὶ δαιμόνων τοῦτο συμβῆναι.

Σὺ δέ μοι σκόπει, πῶς ἐπὶ μὲν τῶν Ἰουδαίων οὐκ εἶπεν, ὅτι τῷ Θεῷ κοινωνοῦσιν, ἀλλά, «κοινωνοὶ τοῦ θυσιαστηρίου εἰσί»· καὶ γὰρ κατεκαίετο τὸ τιθέμενον· ἐπὶ δὲ τοῦ σώματος τοῦ Χριστοῦ οὐχ οὕτως· ἀλλὰ πῶς; «Κοινωνία τοῦ σώματος τοῦ Κυρίου ἐστίν». Οὐ γὰρ τῷ θυσιαστηρίῳ, ἀλλ' αὐτῷ τῷ Χριστῷ κοινωνοὶ γινόμεθα. Εἰπὼν δέ, ὅτι κοινωνοὶ τοῦ θυσιαστηρίου εἰσίν, εἶτα δείσας μὴ δόξῃ ὥσπερ ἰσχὺν ἐχόντων τῶν εἰδώλων διαλέγεσθαι καὶ δυναμένων τι βλάψαι, ὅρα πῶς αὐτὰ καθαιρεῖ πάλιν λέγων· «Τί οὖν φημι; ὅτι εἴδωλόν τί ἐστιν, ἢ ὅτι εἰδωλόθυτόν τι ἐστί;». Ταῦτα δὲ λέγω, φησί, καὶ ἀπάγω, οὐχ ὡς δυναμένων βλάψαι τι τῶν εἰδώλων ἢ ἰσχὺν ἐχόντων· (οὐδὲν γάρ ἐστιν), ἀλλὰ βούλομαι καταφρονεῖν αὐτῶν ὑμᾶς.

Καὶ εἰ βούλει καταφρονεῖν, φησί, τίνος ἕνεκεν μετὰ σπουδῆς αὐτῶν ἡμᾶς ἀπάγεις; Ὅτι οὐ προσάγεται τῷ δεσπότῃ τῷ σῷ. «Ἃ γὰρ θύει», φησί, «τὰ ἔθνη, δαιμονίοις θύει, καὶ οὐ Θεῷ». Μὴ τοίνυν τρέχετε ἐπὶ τὰ ἐναντία. Οὐδὲ γάρ, εἰ βασιλέως υἱὸς ἧς, εἶτα τῆς πατρικῆς ἀπολαύων τραπέζης, ἀφεὶς ἐκείνην, τῆς τῶν καταδίκων καὶ δεσμωτῶν ἠθέλησας κοινωνῆσαι ἐν τῷ δεσμωτηρίῳ, ἐπέτρεψεν ἂν ὁ πατήρ, ἀλλὰ καὶ μετὰ πολλῆς ἂν ἀπήγαγε τῆς σφοδρότητος, οὐχ ὡς δυναμένης τῆς τραπέζης βλάψαι, ἀλλ' ὡς καταισχυνούσης σου τὴν εὐγένειαν καὶ τὴν τράπεζαν τὴν βασιλικήν. Καὶ γὰρ καὶ οὗτοι οἰκέται εἰσὶ προσκεκρουκότες, ἠτιμωμένοι, κατάδικοι, δεσμῶται, ἀφορήτῳ κολάσει τηρούμενοι, μυρίοις ὑπεύθυνοι κακοῖς. Πῶς οὖν οὐκ αἰσχύνῃ κατὰ

θεια αὐτὴ τοὺς σύρει ὀπίσω της; Διότι ἐὰν εἰς τοὺς ἀνθρώπους τὸ νὰ μετέχῃ κανεὶς εἰς συγκεντρώσεις καὶ τράπεζαν γίνεται ἀφορμὴ καὶ σύμβολον φιλίας, εἶναι δυνατὸν νὰ συμβῇ αὐτὸ καὶ μὲ τοὺς δαίμονας.

Σὺ ὅμως πρόσεχε, σὲ παρακαλῶ, πῶς διὰ τοὺς μὲν Ἰουδαίους δὲν εἶπεν ὅτι κοινωνοῦν τὸν Θεόν, ἀλλὰ «κοινωνοὶ τοῦ θυσιαστηρίου εἶναι», καὶ ὅσον ἐκαίετο τελείως ὅ,τι προσεφέρετο· ἐνῷ εἰς τὸ σῶμα τοῦ Χριστοῦ δὲν γίνεται ἔτσι· ἀλλὰ πῶς; «Κοινωνία τοῦ σώματος τοῦ Κυρίου εἶναι». Ὄχι λοιπὸν τοῦ θυσιαστηρίου, ἀλλὰ τοῦ ἰδίου τοῦ Χριστοῦ γινόμεθα κοινωνοί. Ὅταν δὲ εἶπεν, ὅτι εἶναι κοινωνοὶ τοῦ θυσιαστηρίου, ἐπειδὴ ἐφοβήθη μήπως φανῇ ὅτι ἔχουν ἰσχὺν τὰ εἴδωλα νὰ σκέπτωνται καὶ ὅτι ἠμποροῦν νὰ βλάπτουν εἰς κάτι, κοίταξε πῶς καταργεῖ πάλιν αὐτὰ μὲ τοὺς λόγους· «Τί ἐννοῶ λοιπόν; Ὅτι τὸ εἴδωλον εἶναι κάτι; ἢ ὅτι τὸ κρέας τῶν θυσιῶν εἰς τὰ εἴδωλα εἶναι κάτι;». Αὐτὰ δὲ τὰ λέγω, λέγει, καὶ ἀπομακρύνω ἀπὸ αὐτά, ὄχι διότι ἠμποροῦν τὰ εἴδωλα νὰ βλάψουν εἰς κάτι ἢ διότι ἔχουν δύναμιν (διότι δὲν εἶναι τίποτε), ἀλλὰ θέλω νὰ τὰ περιφρονῆτε ἐσεῖς.

Καὶ ἂν θέλῃς νὰ τὰ περιφρονοῦμε, θὰ εἰπῇ κάποιος, διατί μὲ τόσον ζῆλον μᾶς ἀπομακρύνεις ἀπὸ αὐτά; Διότι δὲν σὲ ὁδηγοῦν εἰς τὸν Κύριόν σου. Διότι «ἐκεῖνο ποὺ θυσιάζουν τὰ ἔθνη», λέγει, «τὸ θυσιάζουν εἰς τὰ δαιμόνια καὶ ὄχι εἰς τὸν Θεόν». Μὴ τρέχετε λοιπὸν εἰς τὰ ἀντίθετα. Διότι ἐὰν ἦσουν υἱὸς βασιλέως καὶ ἀπελάμβανες τὴν βασιλικὴν τράπεζαν, καί, ἀφοῦ τὴν ἐγκατέλειπες, ἤθελες νὰ γίνῃς σύντροφος καταδίκων καὶ ἐγκλεισμένων εἰς τὴν φυλακήν, δὲν θὰ σοῦ ἐπέτρεπεν ὁ πατήρ σου, ἀλλὰ μὲ πολλὴν αὐστηρότητα θὰ σὲ ἀπεμάκρυνεν, ὄχι διότι ἠμπορεῖ νὰ σὲ βλάψῃ τὸ νὰ φάγῃς μαζί των, ἀλλὰ διότι κατεντροπιάζεις τὴν εὐγένειάν σου καὶ τὴν βασιλικὴν τράπεζαν. Διότι αὐτοὶ εἶναι δοῦλοι ποὺ προσέκρουσαν εἰς τὸν νόμον, ἠτιμασμένοι, κατάδικοι, δεσμῶται, οἱ ὁποῖοι φρουροῦνται εἰς ἀφόρητον φυλακήν, ὑπεύθυνοι δι' ἀμέτρητα ἐγκλήματα. Πῶς λοιπὸν δὲν ἐντρέπεσαι, ὡσὰν νὰ εἶσαι λαίμαργος καὶ

τοὺς λαιμάργους καὶ ἀνελευθέρους, ὅταν θῶσι τράπεζαν οἱ κατάδικοι οὗτοι, τρέχων ἐκεῖ καὶ μετέχων τῶν προκειμένων; Διὰ δὴ τοῦτο ἀπάγω. Ὁ γὰρ σκοπὸς τῶν θυόντων καὶ τὸ πρόσωπον τῶν δεχομένων ἀκάθαρτα ποιεῖ τὰ προκείμενα.

«Οὐ θέλω δὲ ὑμᾶς κοινωνοὺς τῶν δαιμονίων γίνεσθαι». Εἶδες φιλίαν πατρὸς κηδεμονικοῦ; εἶδες καὶ αὐτὸ τὸ ρῆμα πολλὴν ἔχον τὴν ἔμφασιν τῆς διαθέσεως; Οὐδὲν γὰρ βούλομαι κοινὸν ἔχειν ὑμᾶς πρὸς ἐκείνους, φησίν. Εἶτα ἐπειδὴ ἐν τάξει παραινέσεως τὸν λόγον εἰσήγαγεν, ἵνα μή τις τῶν παχυτέρων καταφρονήσῃ, ὡς ἐξουσίαν ἔχων, ἐπειδὴ εἶπεν, «Οὐ θέλω», καί, «Ὑμεῖς κρίνατε», ἀποφαίνεται λοιπὸν καὶ νομοθετεῖ λέγων· «Οὐ δύνασθε ποτήριον Κυρίου πίνειν, καὶ ποτήριον δαιμονίων· οὐ δύνασθε τραπέζης κυρίου μετέχειν, καὶ τραπέζης δαιμονίων». Καὶ ἀρκεῖται τοῖς ὀνόμασι μόνοις εἰς τὴν ἀπαγωγήν. Εἶτα καὶ ἐντρεπτικῶς· «Ἢ παραζηλοῦμεν τὸν Κύριον; μὴ ἰσχυρότεροι αὐτοῦ ἐσμεν;». Τουτέστι, πειράζομεν αὐτόν, εἰ δύναται κολάσαι ἡμᾶς καὶ παρακνίζομεν αὐτόν, πρὸς τοὺς ἐναντίους ἀποχωροῦντες, καὶ μετὰ τῶν αὐτοῦ πολεμίων ταττόμενοι; Τοῦτο δὲ εἶπε, ἀναμιμνήσκων αὐτοὺς παλαιᾶς ἱστορίας καὶ πατρικῆς παρανομίας. Διὸ καὶ τῇ λέξει ταύτῃ κέχρηται, ᾗ καὶ πρὸς Ἰουδαίους ὁ Μωϋσῆς ἐχρήσατό ποτε, ἐγκαλῶν ὑπὲρ εἰδωλολατρείας ἐκ προσώπου τοῦ Θεοῦ. «Αὐτοὶ γάρ», φησί, «παρεζήλωσάν με ἐπ' οὐ Θεῷ, παρώργισάν με ἐν τοῖς εἰδώλοις αὐτῶν».

«Μὴ ἰσχυρότεροι αὐτοῦ ἐσμεν;» Εἶδες πῶς φοβερῶς, πῶς φρικτῶς ἐπέπληξεν, αὐτὰ διασείσας αὐτῶν τὰ νεῦρα, καὶ τῇ εἰς ἄτοπον ἀπαγωγῇ σφόδρα αὐτῶν καθαψάμενος καὶ κατενεγκὼν αὐτῶν τὸ φύσημα; Καὶ διὰ τί μὴ ἐξ ἀρχῆς

3. Δευτ. 32, 21.

δοῦλος, νὰ τρέχῃς ἐκεῖ ὅταν παραθέτουν τράπεζαν οἱ κατάδικοι αὐτοὶ καὶ νὰ τρώγῃς μαζί των; Διὰ τοῦτο λοιπὸν ἀπομακρύνω ἀπὸ αὐτά. Διότι ὁ σκοπὸς ἐκείνων ποὺ θυσιάζουν καὶ τὸ πρόσωπον ἐκείνων ποὺ δέχονται τὴν θυσίαν, κάμνουν ἀκάθαρτα αὐτὰ ποὺ προσφέρονται.

«Δὲν θέλω δὲ νὰ ἔχετε ἐπικοινωνίαν μὲ τὰ δαιμόνια». Βλέπεις ἀγάπην πατρὸς στοργικοῦ; βλέπεις καὶ αὐτὸν τὸν λόγον μὲ πόσην ζωηρότητα ἐκφράζει τὴν διάθεσιν; Τίποτε λοιπόν, λέγει, κοινὸν δὲν θέλω νὰ ἔχετε ἐσεῖς μὲ ἐκείνους. Ὕστερον, ἐπειδὴ μετέτρψε τὸν λόγον εἰς παραίνεσιν, διὰ νὰ μὴ περιφρονήσῃ αὐτὰ κανεὶς ἀπὸ τοὺς πνευματικὰ ἀτελεῖς, ὡσὰν νὰ ἔχῃ ἐξουσίαν, ἐπειδὴ ὁ Παῦλος εἶπε «δὲν θέλω» καὶ «κρίνατε σεῖς», ὁμιλεῖ μὲ ἐξουσίαν πλέον καὶ νομοθετεῖ μὲ τοὺς λόγους· «Δὲν ἠμπορεῖτε νὰ πίνετε τὸ ποτήριον τοῦ Κυρίου καὶ τὸ ποτήριον τῶν δαιμονίων· δὲν ἠμπορεῖτε νὰ μετέχετε εἰς τὴν τράπεζαν τοῦ Κυρίου καὶ εἰς τὴν τράπεζαν τῶν δαιμονίων». Καὶ διὰ νὰ τοὺς ἀπομακρύνῃ ἀρκεῖται μόνον εἰς τὰ ὀνόματα. Ὕστερον ὁμιλεῖ καὶ μὲ τρόπον ποὺ νὰ τοὺς κάνῃ νὰ ἐντραποῦν. «Ἢ μήπως θέλομεν νὰ προκαλέσωμεν τὴν ζηλοτυπίαν τοῦ Κυρίου; μήπως εἴμεθα ἰσχυρότεροι ἀπὸ αὐτόν;». Δηλαδή, πειράζομεν τὸν Θεόν, ἐὰν δύναται νὰ μᾶς τιμωρήσῃ καὶ τὸν ἐρεθίζομεν μὲ τὸ νὰ ἀποχωρῶμεν εἰς τοὺς ἐχθροὺς καὶ μὲ τὸ νὰ τασσώμεθα μαζὶ μὲ τοὺς ἀντιπάλους του; Αὐτὸ δὲ τὸ εἶπε διὰ νὰ τοὺς ὑπενθυμίσῃ παλαιὰν ἱστορίαν καὶ πατρικὴν παρανομίαν. Διὰ τοῦτο καὶ χρησιμοποιεῖ αὐτὴν τὴν λέξιν τὴν ὁποίαν ἐχρησιμοποίησε κάποτε καὶ ὁ Μωϋσῆς πρὸς τοὺς Ἰουδαίους, ὅταν τοὺς ἐκατηγόρει δι' εἰδωλολατρείαν ἐνώπιον τοῦ Θεοῦ. Διότι «αὐτοί», λέγει, «μὲ ἠρέθισαν διὰ νὰ ζηλοτυπήσω διὰ ψεύτικον θεόν, μὲ παρώργησαν μὲ τὰ εἴδωλά των»[3].

«Μήπως εἴμεθα ἰσχυρότεροι ἀπὸ αὐτόν;». Εἶδες πῶς τοὺς ἐπιπλήττει φοβερὰ καὶ φρικτὰ καὶ κλονίζει τὰ νεῦρα των καὶ ὁδηγῶν αὐτοὺς μὲ τὴν εἰς ἄτοπον ἀπαγωγὴν τοὺς κατηγορεῖ βαρύτατα καὶ συντρίβει τὴν ἀλαζονείαν των; Καὶ διατί δὲν εἶπεν αὐτὰ ἐξ ἀρχῆς, θὰ εἴπῃ κάποιος, τὰ

ταῦτα τέθεικε, φησίν, ἃ μάλιστα ἂν αὐτοὺς ἀπήγαγεν; Ὅτι ἔθος αὐτῷ διὰ πλειόνων ἃ βούλεται κατασκευάζειν, καὶ τὰ ἰσχυρότερα ὕστερον τιθέναι, καὶ ἐκ περιουσίας νικᾶν. Διὰ δὴ τοῦτο ἀπὸ τῶν καταδεεστέρων ἀρξάμενος ἐπὶ τὸ κε-λαιον ἦλθε τῶν κακῶν. Οὕτω γὰρ καὶ τοῦτο εὐπαράδεκτον μᾶλλον ἐγίνετο, τοῖς προτέροις τῆς διανοίας αὐτῶν καταλεανθείσης.

5. «Πάντα μοι ἔξεστιν, ἀλλ' οὐ πάντα συμφέρει· πάντα μοι ἔξεστιν, ἀλλ' οὐ πάντα οἰκοδομεῖ. Μηδεὶς τὸ ἑαυτοῦ ζητείτω, ἀλλὰ τὸ τοῦ ἑτέρου ἕκαστος». Ὁρᾷς σύνεσιν ἠκριβωμένην; Ἐπειδὴ γὰρ εἰκὸς ἦν αὐτοὺς λέγειν, ὅτι τέλειός εἰμι καὶ κύριος ἐμαυτοῦ, καὶ οὐδὲν βλαπτόμενος ἀπογεύομαι τῶν προκειμένων· ναί, φησί, τέλειος μὲν εἶ καὶ σαυτοῦ κύριος· ἀλλὰ μὴ τοῦτο σκόπει, ἀλλ' εἰ μὴ βλάβην ἔχει τὸ γινόμενον, ἀλλ' εἰ μὴ καταστροφήν. Καὶ γὰρ ἀμφότερα εἴρηκεν, «Οὐ πάντα συμφέρει, οὐ πάντα οἰκοδομεῖ», λέγων, καὶ τὸ μὲν ὑπὲρ ἑαυτοῦ, τὸ δὲ ὑπὲρ τοῦ ἀδελφοῦ τιθείς. Τὸ μὲν γὰρ εἰπεῖν, οὐ συμφέρει, τὴν ἐκείνου ἀπώλειαν αἰνιττομένου ἐστί· τὸ δὲ εἰπεῖν, οὐκ οἰκοδομεῖ, τὸ τοῦ ἀδελφοῦ σκάνδαλον. Διὸ καὶ ἐπήγαγε, «Μηδεὶς τὸ ἑαυτοῦ ζητείτω»· ὃ πανταχοῦ καὶ διὰ πάσης κατασκευάζει ἐπιστολῆς, καὶ ἐν τῇ πρὸς Ρωμαίους· ὡς ὅταν λέγῃ· «Καὶ γὰρ ὁ Χριστὸς οὐχ ἑαυτῷ ἤρεσε»· καὶ πάλιν, «Καθὼς κἀγὼ πάντα πᾶσιν ἀρέσκω, μὴ ζητῶν τὸ ἐμαυτοῦ συμφέρον»· καὶ ἐνταῦθα πάλιν· οὐ μὴν ἐπεξεργάζεται αὐτὸ ἐνταῦθα. Ἐπειδὴ γὰρ ἐν τοῖς ἔμπροσθεν διὰ πολλῶν αὐτὸ κατεσκεύασε καὶ ἀπέδειξε ὅτι οὐδαμοῦ τὸ ἑαυτοῦ ζητεῖ, ἀλλὰ καὶ Ἰουδαίοις ὡς Ἰουδαῖος ἐγένετο, καὶ ἀνόμοις ὡς ἄνομος, καὶ τῇ ἐλευθερίᾳ τῇ ἑαυτοῦ καὶ τῇ ἐξουσίᾳ οὐχ ἁπλῶς ἐχρήσατο, ἀλλ' εἰς τὸ πᾶσι συμφέρον,

---

4. Ρωμ. 15, 3.
5. Α' Κορ. 10, 33.

όποία πρό πάντων θά τούς άπεμάκρυνον; Διότι συνηθίζει ν' άποδεικνύη μέ περισσότερα έπιχειρήματα καί νά θέτη είς τό τέλος τά ίσχυρότερα καί νά νικᾷ θριαμβευτικά. Διά τοῦτο λοιπόν, άφοῦ ἤρχισεν άπό τά χαμηλότερα, ἦλθεν είς τήν κορυφήν τῶν κακῶν. Διότι ἔτσι καί αὐτό έγίνετο περισσότερον εὔκολα παραδεκτόν, άφοῦ τά ὅσα έλέχθησαν πρίν προητοίμασαν τήν σκέψιν των.

5. «Ὅλα μοῦ έπιτρέπονται, άλλά δέν συμφέρουν ὅλα. Ὅλα μοῦ έπιτρέπονται, άλλά δέν εἶναι ὅλα έποικοδομητικά. Κανείς ἄς μή ζητῇ τό ἰδικόν του συμφέρον, άλλ' ὁ καθείς τό συμφέρον τοῦ ἄλλου». Βλέπεις σύνεσιν ἡ όποία έξετάζει μέ άκρίβειαν; Ἐπειδή δηλαδή ἦτο πιθανόν νά είποῦν ὅτι, εἶμαι τέλειος καί κύριος τοῦ έαυτοῦ μου καί τρώγω άπό τά είδωλόθυτα χωρίς νά βλάπτωμαι είς τίποτε· ναί, άπαντᾷ, τέλειος μέν εἶσαι καί κύριος τοῦ έαυτοῦ σου· μή βλέπῃς ὅμως αὐτό, άλλά μήπως αὐτό πού γίνεται προκαλεῖ βλάβην, μήπως προκαλεῖ καταστροφήν. Διότι καί τά δύο εἶπε μέ τούς λόγους «δέν συμφέρουν ὅλα, δέν εἶναι ὅλα έποικοδομητικά», καί άνέφερε τό μέν ἕν διά τόν έαυτόν των, τό δέ ἄλλο διά τόν άδελφόν. Διότι τό μέν «δέν συμφέρει», ὑπαινίσσεται τήν άπώλειαν έκείνου· ένῷ τό «δέν εἶναι έποικοδομητικά», ὑπαινίσσεται ὅτι εἶναι δυνατόν νά σκανδαλισθῇ κάποιος άδελφός. Διά τοῦτο καί προσέθεσε, «Κανείς ἄς μή ζητῇ τό ἰδικόν του συμφέρον»· πρᾶγμα πού συσταίνει μέ όλόκληρον τήν έπιστολήν καί είς τήν πρός Ρωμαίους, ὅπως ὅταν λέγῃ «διότι καί ὁ Χριστός δέν έζήτησεν έκεῖνα πού ἦσαν άρκετά είς τόν έαυτόν του»[4]· καί πάλιν «καθώς καί έγώ άρέσω είς ὅλους καθ' ὅλα καί δέν ζητῶ τό ἰδικόν μου συμφέρον, άλλά τό συμφέρον τῶν πολλῶν»[5]· καί έδῶ έπίσης· έδῶ ὅμως δέν τό άναπτύσσει αὐτό. Διότι, έπειδή είς τά προηγούμενα ἔδειξεν αὐτό μέ πολλούς λόγους καί άπέδειξεν ὅτι πουθενά δέν ζητεῖ τό ἰδικόν του συμφέρον, άλλά καί είς τούς Ἰουδαίους ἔγινεν ὡς Ἰουδαῖος καί μέ τούς έκτός τοῦ νόμου εὑρισκομένους ὡς έκτός νόμου, καί τήν έλευθερίαν καί τήν έξουσίαν του δέν έχρησιμοποίησεν έπιπόλαια, άλλά διά τό συμφέρον ὅλων, έργα-

δουλεύων ἅπασιν· ὀλίγοις ἀρκεσθεὶς ῥήμασιν ἐνταῦθα ἀπηλλάγη, εἰς μνήμην διὰ τῶν ὀλίγων τούτων παραπέμπων τῶν εἰρημένων αὐτοὺς ἁπάντων.

Ταῦτ' οὖν καὶ ἡμεῖς εἰδότες, ἀγαπητοί, προνοῶμεν τῶν ἀδελφῶν, καὶ τὴν ἑνότητα τὴν πρὸς αὐτοὺς διατηρῶμεν. Εἰς τοῦτο γὰρ ἡμᾶς ἡ θυσία ἐκείνη ἐνάγει ἡ φοβερὰ καὶ φρικώδης, κελεύουσα ἡμῖν μεθ' ὁμονοίας αὐτῇ μάλιστα προσιέναι καὶ θερμῆς ἀγάπης, καὶ ἀετοὺς γενομένους ἐντεῦθεν, οὕτω πρὸς αὐτὸν ἵπτασθαι τὸν οὐρανόν· μᾶλλον δὲ καὶ ὑπὲρ τὸν οὐρανόν. «Ὅπου» γὰρ «τὸ πτῶμα», φησίν, «ἐκεῖ καὶ οἱ ἀετοί»· πτῶμα καλῶν τὸ σῶμα διὰ τὸν θάνατον. Εἰ μὴ γὰρ ἐκεῖνος ἔπεσεν, ἡμεῖς οὐκ ἂν ἀνέστημεν. Ἀετοὺς δὲ καλεῖ, δεικνὺς ὅτι καὶ ὑψηλὸν εἶναι δεῖ τὸν προσιόντα τῷ σώματι τούτῳ, καὶ μηδὲν πρὸς τὴν γῆν κοινὸν ἔχειν, μηδὲ κάτω σύρεσθαι καὶ ἕρπειν, ἀλλ' ἄνω πέτασθαι διηνεκῶς, καὶ πρὸς τὸν ἥλιον τῆς δικαιοσύνης ἐνορᾶν, καὶ ὀξυδερκὲς τὸ ὄμμα τῆς διανοίας ἔχειν· ἀετῶν γάρ, οὐ κολοιῶν αὕτη ἡ τράπεζα. Οὗτοι καὶ τότε ἀπαντήσονται ἐκ τῶν οὐρανῶν καταβαίνοντι οἱ νῦν ἀξίως ἀπολαύοντες, ὥσπερ οὖν οἱ ἀναξίως τὰ ἔσχατα πείσονται. Εἰ γὰρ βασιλέα τις οὐκ ἂν ἁπλῶς δέξαιτο· τί λέγω βασιλέα; ἱματίου μὲν οὖν βασιλικοῦ οὐκ ἄν τις ἁπλῶς ἅψαιτο χερσὶν ἀκαθάρτοις, κἂν ἐπ' ἐρημίας ᾖ, κἂν μόνος ᾖ, κἂν μηδεὶς ὁ παρών· καίτοιγε οὐδὲν ἕτερόν ἐστι τὸ ἱμάτιον ἢ σκωλήκων νήματα καὶ σητῶν. Εἰ δὲ τὴν βαφὴν θαυμάζεις, καὶ αὕτη νεκρωθέντος ἰχθύος ἐστὶν αἷμα· ἀλλ' ὅμως οὐκ ἄν τις ἕλοιτο ῥυπαραῖς αὐτοῦ κατατολμῆσαι χερσίν.

Εἰ δὲ ἀνθρωπίνου ἱματίου οὐκ ἄν τις τολμήσειεν ἁπλῶς θιγεῖν, πῶς τὸ σῶμα τοῦ ἐπὶ πάντων Θεοῦ, τὸ ἄμωμον, τὸ καθαρόν, τὸ τῇ θείᾳ ἐκείνῃ φύσει ὁμιλῆσαν, δι' ὃ ἐσμεν καὶ ζῶμεν, δι' ὃ πύλαι θανάτου κατεκλάσθησαν καὶ οὐρανοῦ ἀψῖ-

ζόμενος δι' ὅλους· ἀφοῦ ἠρκέσθη μόνον εἰς ὀλίγους λόγους ἐδῶ ἀπηλλάγη, παραπέμπων αὐτοὺς μὲ αὐτὰ τὰ ὀλίγα εἰς τὸ νὰ ἐνθυμηθοῦν ὅλα ἐκεῖνα ποὺ ἐλέχθησαν.

Αὐτὰ λοιπὸν ἀφοῦ ἐγνωρίσαμεν καὶ ἐμεῖς, ἀδελφοί, ἂς προνοοῦμεν διὰ τοὺς ἀδελφοὺς καὶ ἂς διατηροῦμεν τὴν ἑνότητα μαζί των. Διότι εἰς αὐτὸ μᾶς ὁδηγεῖ ἐκείνη ἡ φοβερὰ καὶ φρικτὴ θυσία, ἡ ὁποία μᾶς προστάσσει νὰ προσερχώμεθα εἰς αὐτὴν μὲ τελείαν ὁμόνοιαν καὶ θερμὴν ἀγάπην καὶ ἀφοῦ γίνωμεν ἀετοὶ ἀπὸ αὐτό, ἔτσι νὰ ἱπτάμεθα πρὸς αὐτὸν τὸν ἴδιον τὸν οὐρανόν· μᾶλλον δὲ καὶ ὑψηλότερον ἀπὸ τὸν οὐρανόν. Διότι «ὅπου εἶναι τὸ πτῶμα», λέγει, «ἐκεῖ θὰ μαζευθοῦν καὶ οἱ ἀετοί»· καὶ πτῶμα ὀνομάζει τὸ σῶμα, διότι θανατοῦται. Διότι, ἐὰν δὲν ἐθανατοῦτο ἐκεῖνος, δὲν θὰ εἴχομεν ἀναστηθῆ ἐμεῖς. Ἀετοὺς δὲ ὀνομάζει διὰ νὰ δείξῃ ὅτι πρέπει νὰ εὑρίσκεται ὑψηλὰ ὅποιος πλησιάζει αὐτὸ τὸ σῶμα καὶ νὰ μὴ ἔχῃ τίποτε κοινὸν πρὸς τὰ γήϊνα, οὔτε νὰ σύρεται καὶ νὰ ἕρπῃ κάτω, ἀλλὰ νὰ πετᾷ ἐπάνω συνεχῶς καὶ νὰ βλέπῃ πρὸς τὸν ἥλιον τῆς δικαιοσύνης καὶ νὰ ἔχῃ καθαρὸν καὶ διαπεραστικὸν τὸ βλέμμα τῆς διανοίας· διότι αὐτὴ ἡ τράπεζα εἶναι δι' ἀετούς, ὄχι διὰ καρακάξας. Αὐτοὶ καὶ θὰ ὑποδεχθοῦν τὸν Χριστὸν ὅταν θὰ καταβαίνῃ ἀπὸ τὸν οὐρανόν, ποὺ κοινωνοῦν ἀξίως, ὅπως βεβαίως ὅσοι κοινωνοῦν ἀναξίως θὰ ὑποστοῦν τὴν πιὸ φοβερὰν τιμωρίαν. Διότι, ἐὰν κανεὶς δὲν θὰ ὑπεδέχετο ὅπως - ὅπως ἕνα βασιλέα· καὶ τί λέγω βασιλέα; διότι οὔτε τὸ ἱμάτιον τοῦ βασιλέως δὲν θὰ ἤγγιζε κανεὶς μὲ ἀκάθαρτα χέρια, ἀκόμη καὶ ἂν κατοικῇ εἰς τὰς ἐρήμους ἢ εἶναι μόνος καὶ δὲν εἶναι κανεὶς παρών· ἂν καὶ δὲν εἶναι τίποτε ἄλλο τὸ ἱμάτιον, παρὰ νήματα μεταξοσκωλήκων. Ἐὰν δὲ θαυμάζῃς τὴν βαφήν, καὶ αὐτὴ εἶναι αἷμα νεκρωθέντος ἰχθύος· κανεὶς ὅμως δὲν θὰ ἤθελε νὰ τολμήσῃ νὰ τὸ ἐγγίσῃ μὲ ῥυπαρὰ χέρια.

Ἐὰν δὲ ἀνθρώπινον ἔνδυμα δὲν θὰ ἐτόλμα κανεὶς νὰ ἐγγίσῃ ὅπως τύχῃ, πῶς τὸ σῶμα τοῦ Θεοῦ τῶν πάντων, τὸ ἀναμάρτητον, τὸ καθαρόν, τὸ ὁποῖον ἡνώθη μὲ τὴν θείαν ἐκείνην φύσιν, διὰ τὸ ὁποῖον καὶ ὑπάρχομεν καὶ ζῶμεν, ἐξ αἰτίας τοῦ ὁποίου συνετρίβησαν αἱ πύλαι τοῦ θανάτου καὶ

δες ἀνεῴχθησαν, τοῦτο μετὰ τοσαύτης ὕβρεως ληψόμεθα; Μή, παρακαλῶ, μὴ κατασφάξωμεν ἑαυτοὺς διὰ τῆς ἀναισχυντίας, ἀλλὰ μετὰ φρίκης καὶ καθαρότητος ἁπάσης αὐτῷ προσίωμεν. Καὶ ὅταν αὐτὸ προκείμενον ἴδῃς, λέγε πρὸς σεαυτόν· διὰ τοῦτο τὸ σῶμα οὐκέτι γῆ καὶ σποδὸς ἐγώ, οὐκέτι αἰχμάλωτος, ἀλλ' ἐλεύθερος· διὰ τοῦτο τοὺς οὐρανοὺς ἐλπίζω, καὶ τὰ ἐν αὐτοῖς ἀπολήψεσθαι ἀγαθά, τὴν ἀθάνατον ζωήν, τὴν ἀγγέλων λῆξιν, τὴν μετὰ Χριστοῦ ὁμιλίαν· τοῦτο τὸ σῶμα προσηλούμενον, μαστιζόμενον οὐκ ἤνεγκεν ὁ θάνατος· τοῦτο τὸ σῶμα καὶ ἥλιος σταυρούμενον ἰδών, τὰς ἀκτῖνας ἀπέστρεψε· διὰ τοῦτο καὶ καταπέτασμα ἐσχίζετο τότε, καὶ πέτραι ἐρρήγνυντο, καὶ γῆ πᾶσα ἐτινάσσετο· τοῦτο ἐκεῖνο τὸ σῶμά ἐστι τὸ ἡμαγμένον, τὸ λόγχῃ πληγέν, καὶ σωτηρίους πηγὰς ἀναβλύσαν, τὴν τοῦ αἵματος, τὴν τοῦ ὕδατος τῇ οἰκουμένῃ πάσῃ.

Βούλει καὶ ἑτέρωθεν τὴν ἰσχὺν αὐτοῦ μαθεῖν; Ἐρώτησον τὴν αἱμορροοῦσαν, τὴν οὐκ αὐτοῦ, ἀλλὰ τοῦ περικειμένου αὐτῷ ἱματίου, μᾶλλον δὲ οὐδὲ τούτου ὁλοκλήρου, ἀλλὰ τοῦ κρασπέδου ἁψαμένην· ἐρώτησον τὴν θάλασσαν, τὴν ὑπὲρ τῶν νώτων αὐτὸ βαστάξασαν· ἐρώτησον καὶ αὐτὸν τὸν διάβολον, καὶ εἰπέ· πόθεν ἔχεις τὴν πληγὴν τὴν ἀνίατον; πόθεν οὐκέτι ἰσχύεις οὐδέν; πόθεν ἑάλως; τίνι κατεσχέθης φεύγων; καὶ οὐδὲν ἕτερον, ἢ τὸ σῶμα ἐρεῖ τὸ σταυρωθέν. Διὰ τούτου τὰ κέντρα αὐτοῦ κατεκλάσθη· διὰ τούτου ἡ κεφαλὴ αὐτοῦ συνετρίβη· διὰ τούτου αἱ ἀρχαὶ καὶ αἱ ἐξουσίαι ἐδειγματίσθησαν. «Ἀπεκδυσάμενος γάρ», φησί, «τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας, ἐδειγμάτισεν, ἐν παρρησίᾳ θριαμβεύσας αὐτοὺς ἐν αὐτῷ». Ἐρώτησον καὶ τὸν θάνατον, καὶ εἰπέ· πόθεν ἀνηρέθη σου τὸ κέντρον; πόθεν κατελύθη σου τὸ νῖκος; πόθεν

---

6. Κολ. 2, 15.

ἠνοίχθησαν αἱ ἀψῖδες τοῦ οὐρανοῦ, πῶς αὐτὸ θὰ τὸ λάβωμεν μὲ τόσην αὐθάδειαν; Μή, παρακαλῶ, ἄς μὴ κατασφάξωμεν τοὺς ἑαυτούς μας μὲ τὴν ἀσέβειαν, ἀλλὰ μὲ φρίκην καὶ κάθε καθαρότητα ἄς προσερχώμεθα εἰς αὐτόν. Καὶ ὅταν ἰδῇς αὐτὸ νὰ προσφέρεται, λέγε πρὸς τὸν ἑαυτόν σου· Χάρις εἰς αὐτὸ τὸ σῶμα ἐγὼ δὲν εἶμαι πλέον γῆ καὶ στάκτη, δὲν εἶμαι αἰχμάλωτος, ἀλλ' ἐλεύθερος· χάρις εἰς αὐτὸ ἐλπίζω ὅτι θ' ἀπολαύσω τοὺς οὐρανοὺς καὶ τὰ ἀγαθὰ ποὺ εὑρίσκονται εἰς αὐτούς, τὴν ἀθάνατον ζωήν, τὴν κληρονομίαν τῶν ἀγγέλων, τὴν ἕνωσιν μὲ τὸν Χριστόν· αὐτὸ τὸ σῶμα ὅταν ἐσταυροῦτο, ὅταν ἐμαστιγώνετο, δὲν ἠμπόρεσε νὰ τὸ ὑποφέρῃ ὁ θάνατος· αὐτὸ τὸ σῶμα καὶ ὁ ἥλιος ὅταν εἶδε νὰ σταυροῦται, ἔστρεψε τὰς ἀκτῖνας του μακρὰν ἀπὸ τὴν γῆν· δι' αὐτὸ τὸ σῶμα καὶ τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη τότε καὶ αἱ πέτραι ἤνοιξαν καὶ ὅλη ἡ γῆ ἐσείσθη· αὐτὸ εἶναι ἐκεῖνο τὸ σῶμα τὸ αἱματωμένον, τὸ πληγωμένον ἀπὸ τὴν λόγχην καὶ τὸ ὁποῖον ἀνέβλυσε πηγὰς σωτηρίους, τὴν πηγὴν τοῦ αἵματος καὶ τὴν πηγὴν τοῦ ὕδατος δι' ὅλην τὴν οἰκουμένην.

Θέλεις καὶ ἀπὸ ἀλλοῦ νὰ γνωρίσῃς τὴν δύναμίν του; Ἐρώτησε τὴν γυναῖκα ἡ ὁποία ἔπασχεν ἀπὸ αἱμόρροιαν καὶ ποὺ ὄχι αὐτὸν τὸν ἴδιον, ἀλλὰ τὸ ἱμάτιον τὸ ὁποῖον ἐφόρει, μᾶλλον δὲ οὔτε αὐτὸ ὁλόκληρον, ἀλλὰ μόνον τὸ κάτω μέρος ἀπὸ αὐτὸ ἤγγισεν· ἐρώτησε τὴν θάλασσαν ἡ ὁποία ἐβάσταξεν αὐτὸ εἰς τὰ νῶτά της· ἐρώτησε καὶ αὐτὸν τὸν διάβολον ἀκόμη, καὶ εἰπέ· ἀπὸ ποῦ ἔχεις λάβει τὴν πληγὴν τὴν ἀθεράπευτον; ἐξ αἰτίας τίνος δὲν ἔχεις οὐδεμίαν δύναμιν; ἀπὸ ποῦ ἐκυριεύθης; ἀπὸ ποῖον ἐδέθης ὅταν ἔφευγες; Καὶ δὲν θ' ἀναφέρῃ τίποτε ἄλλο, παρὰ τὸ σῶμα ποὺ ἐσταυρώθη. Μὲ αὐτὸ κατετσακίσθησαν τὰ κεντριά του, μὲ αὐτὸ συνετρίβη ἡ κεφαλή του, μὲ αὐτὸ κατεντροπιάσθησαν αἱ πονηραὶ ἀρχαὶ καὶ ἐξουσίαι. Διότι, «ἀπεγύμνωσε», λέγει, «μὲ αὐτὸ τὰς πονηρὰς ἀρχὰς καὶ ἐξουσίας καὶ τὰς διεπόμπευσεν ἐμπρὸς εἰς ὅλους καὶ ἔσυρε τοὺς δαίμονας νικημένους εἰς θριαμβευτικὴν πομπήν»[6]. Ἐρώτησε καὶ τὸν θάνατον καὶ εἰπέ· ἀπὸ ποῦ κατεστράφη τὸ κεντρί σου; ἀπὸ

ἐξεκόπη σου τὰ νεῦρα; καὶ κόραις καὶ παιδίοις γέγονας καταγέλαστος, ὁ καὶ τυράννοις καὶ δικαίοις ἅπασιν ὢν πρὸ τούτου φοβερός; καὶ τὸ σῶμα αἰτιάσεται τοῦτο. Ὅτε γὰρ τοῦτο ἐσταυροῦτο, τότε νεκροὶ ἀνέστησαν, τότε τὸ δεσμωτήριον ἐκεῖνο ἐρράγη, καὶ αἱ χαλκαῖ ἐκλάσθησαν πύλαι, καὶ οἱ νεκροὶ ἀφείθησαν, καὶ πυλωροὶ ᾅδου πάντες ἔπτηξαν. Καίτοιγε εἰ τῶν πολλῶν εἷς ἦν, τοὐναντίον γενέσθαι ἔδει, τὸν θάνατον δυνατώτερον. Ἀλλ' οὐκ ἐγένετο· οὐδὲ γὰρ τῶν πολλῶν εἷς ἦν. Διὰ τοῦτο ἐξελύετο ἐκεῖνος.

Καὶ ὥσπερ οἱ τροφὴν λαβόντες, ἣν οὐκ εἰσὶ δυνατοὶ κατασχεῖν, καὶ τὰ προαποκείμενα δι' ἐκείνην ἐμοῦσιν, οὕτω καὶ ἐπὶ τοῦ θανάτου γέγονε· τὸ σῶμα, ὅπερ οὐκ ἦν ἱκανὸς κατεργάζεσθαι, λαβών, κἀκεῖνα ἐξέβαλεν ἅπερ ἔνδον εἶχε. Καὶ γὰρ ὤδινεν ἔχων αὐτὸν καὶ ἐθλίβετο, ἕως αὐτὸν ἤμεσε. Διό φησιν ὁ ἀπόστολος, «Λύσας τὰς ὠδῖνας τοῦ θανάτου». Οὐδεμία γὰρ γυνὴ παιδίον κύουσα οὕτως ὠδίνει, ὡς ἐκεῖνος, τὸ σῶμα ἔχων τὸ δεσποτικόν, διεκόπτετο διασπώμενος. Καὶ ὅπερ ἐπὶ τοῦ δράκοντος γέγονε τοῦ Βαβυλωνίου, ὅτε λαβὼν τὴν τροφὴν διερράγη μέσος, τοῦτο καὶ ἐπὶ τούτου. Οὐ γὰρ διὰ τοῦ στόματος πάλιν ἐξῆλθεν ὁ Χριστὸς τοῦ θανάτου, ἀλλ' αὐτὴν μέσην διαρρήξας τὴν γαστέρα τοῦ δράκοντος καὶ ἀνατεμών, οὕτως ἀπὸ τῶν ἀδύτων προήει μετὰ πολλῆς τῆς λαμπρότητος, καὶ τὰς ἀκτῖνας ἀφιείς, οὐ μέχρι τούτου τοῦ οὐρανοῦ, ἀλλ' εἰς αὐτὸν τὸν ἄνω θρόνον· ἐκεῖ γὰρ αὐτὸ καὶ ἀνήγαγε.

6. Τοῦτο τὸ σῶμα ἔδωκεν ἡμῖν καὶ κατέχειν καὶ ἐσθίειν, ὅπερ ἀγάπης ἐπιτεταμένης ἦν. Οὓς γὰρ ἂν φιλῶμεν, καὶ διαδάκνομεν πολλάκις. Διὸ καὶ ὁ Ἰὼβ τὸν ἔρωτα τῶν οἰκετῶν τὸν περὶ αὐτὸν ἐνδεικνύμενος, ἔλεγεν ὅτι πολλάκις

---

7. Πράξ. 2, 24.

ποῦ κατελύθη ἡ νίκη σου ἐπάνω εἰς τοὺς ἀνθρώπους; ἀπὸ ποῦ ἐξεβλήθησαν τὰ νεῦρα σου, καὶ ἔγινες καταγέλαστος καὶ εἰς γυναῖκας καὶ παιδία, σὺ ποὺ ἤσουν φοβερὸς καὶ εἰς τυράννους καὶ εἰς δικαίους πρὶν ἀπὸ αὐτό; καὶ θὰ σοῦ εἰπῇ ὅτι αἰτία εἶναι αὐτὸ τὸ σῶμα. Διότι, ὅταν αὐτὸ ἐσταυροῦτο, τότε ἀνέστησαν οἱ νεκροί, τότε ἐσχίσθη ἐκείνου τὸ δεσμωτήριον καὶ συνετρίβησαν αἱ χάλκιναι πύλαι καὶ ἀφέθησαν ἐλεύθεροι οἱ νεκροὶ καὶ οἱ φρουροὶ τοῦ Ἅδου ὅλοι ἐτρόμαξαν. Μολονότι βέβαια καὶ ἐὰν ἦτο ἕνας ἀπὸ τοὺς πολλούς, τὸ ἀντίθετον ἔπρεπε νὰ συμβῇ, ὁ θάνατος δηλαδὴ νὰ φανῇ δυνατώτερος. Ἀλλὰ δὲν συνέβη αὐτό· διότι δὲν ἦτο ἕνας ἀπὸ τοὺς πολλούς. Διὰ τοῦτο διελύετο ἐκεῖνος.

Καὶ ὅπως αὐτοὶ ποὺ λαμβάνουν τροφὴν καὶ δὲν ἠμποροῦν νὰ τὴν κρατήσουν διὰ νὰ τὴν χωνεύσουν καὶ ἐξ αἰτίας αὐτῆς κάμνουν ἐμετὸν καὶ ὅσα ἔφαγον πρίν, ἔτσι ἔγινε καὶ μὲ τὸν θάνατον· ἀφοῦ ἔλαβε τὸ σῶμα τὸ ὁποῖον δὲν ἠμποροῦσε νὰ χωνεύσῃ, ἐξέβαλε καὶ ἐκεῖνα τὰ ὁποῖα εἶχε μέσα του. Διότι ἐκοιλοπόνει καὶ ἐθλίβετο ὅσον εἶχεν αὐτόν, ἕως ὅτου τὸν ἐξέβαλε δι' ἐμετοῦ. Διὰ τοῦτο λέγει ὁ ἀπόστολος, «ἀφοῦ διέλυσε τοὺς πόνους τοῦ θανάτου»[7]. Διότι καμμία γυναῖκα, ποὺ γεννᾷ παιδί, πονεῖ τόσον, ὅσον ἐκεῖνος, ὅταν εἶχε τὸ δεσποτικὸν σῶμα, ἐπληγώνετο διασκορπιζόμενος. Καὶ αὐτὸ ποὺ ἔγινεν εἰς τὸν Βαβυλώνιον δράκοντα, ποὺ ἀφοῦ ἔλαβε τὴν τροφήν, ἐσχίσθη εἰς τὰ δύο, αὐτὸ ἔγινε καὶ εἰς αὐτόν. Διότι ὁ Χριστὸς δὲν ἐξῆλθε πάλιν ἀπὸ τὸ στόμα τοῦ θανάτου, ἀλλ' ἀφοῦ ἐξέσχισεν εἰς τὴν μέσην καὶ κατέκοψε τὴν κοιλίαν τοῦ δράκοντος, ἔτσι ἐπρόβαλεν ἀπὸ τὰ ἄδυτα μὲ πολλὴν λαμπρότητα καὶ ἀκτινοβολίαν, ὄχι μέχρι τοῦ οὐρανοῦ, ἀλλ' εἰς αὐτὸν τὸν ἴδιον τὸν δεσποτικὸν θρόνον εἰς τὰ οὐράνια· διότι ἐκεῖ ἀνύψωσε τὸ σῶμα.

6. Αὐτὸ τὸ σῶμα ἔδωσεν εἰς ἐμᾶς καὶ νὰ κατέχωμεν καὶ νὰ τρώγωμεν, πρᾶγμα ποὺ ἦτο ἔργον ἀπείρου ἀγάπης. Διότι αὐτοὺς ποὺ ἀγαπῶμεν πολλὰς φορὰς καὶ τοὺς δαγκώνομεν. Δι' αὐτὸ καὶ ὁ Ἰώβ, διὰ νὰ δείξῃ τὴν ἀγάπην ὑπηρετῶν του δι' αὐτόν, ἔλεγεν ὅτι πολλὰς φοράς, ἐπειδὴ

ἐκεῖνοι σφόδρα αὐτὸν φιλοῦντες ἔλεγον, «Τίς ἂν δῴη ἡμῖν τῶν σαρκῶν αὐτοῦ πλησθῆναι;». Οὕτω καὶ ὁ Χριστὸς τῶν σαρκῶν αὐτοῦ ἔδωκεν ἡμῖν πλησθῆναι, εἰς φιλίαν πλείονα ἡμᾶς ἐπισπώμενος. Προσίωμεν τοίνυν μετὰ θερμότητος αὐτῷ καὶ πεπυρωμένης ἀγάπης, ἵνα μὴ χαλεπωτέραν ὑπομείνωμεν τιμωρίαν. Ὅσῳ γὰρ ἂν ὦμεν εὐηργετημένοι μεγάλα, τοσούτῳ μᾶλλον κολαζόμεθα μειζόνως, ὅταν ἀνάξιοι τῆς εὐεργεσίας φανῶμεν. Τοῦτο τὸ σῶμα καὶ ἐπὶ φάτνης κείμενον ᾐδέσθησαν μάγοι· καὶ ἄνδρες ἀσεβεῖς καὶ βάρβαροι τὴν πατρίδα καὶ τὴν οἰκίαν ἀφέντες, καὶ ὁδὸν ἐστείλαντο μακράν, καὶ ἐλθόντες μετὰ φόβου καὶ τρόμου πολλοῦ προσεκύνησαν.

Μιμησώμεθα τοίνυν κἂν τοὺς βαρβάρους ἡμεῖς οἱ τῶν οὐρανῶν πολῖται. Ἐκεῖνοι μὲν γὰρ καὶ ἐπὶ φάτνης ἰδόντες καὶ ἐν καλύβῃ, καὶ οὐδὲν τοιοῦτον ἰδόντες οἷον σὺ νῦν, μετὰ πολλῆς τῆς φρίκης προσῄεσαν· σὺ δὲ οὐκ ἐν φάτνῃ ὁρᾷς, ἀλλ' ἐν θυσιαστηρίῳ, οὐ γυναῖκα κατέχουσαν, ἀλλ' ἱερέα παρεστῶτα, καὶ Πνεῦμα μετὰ πολλῆς τῆς δαψιλείας τοῖς προκειμένοις ἐφιπτάμενον. Οὐχ ἁπλῶς αὐτὸ τοῦτο τὸ σῶμα ὁρᾷς, ὥσπερ ἐκεῖνοι, ἀλλ' οἶσθα αὐτοῦ καὶ τὴν δύναμιν καὶ τὴν οἰκονομίαν ἅπασαν, καὶ οὐδὲν ἀγνοεῖς τῶν δι' αὐτοῦ τελεσθέντων, μετὰ ἀκριβείας μυσταγωγηθεὶς ἅπαντα. Διαναστήσωμεν τοίνυν ἑαυτοὺς καὶ φρίξωμεν, καὶ πολλῷ τῶν βαρβάρων ἐκείνων πλείονα ἐπιδειξώμεθα τὴν εὐλάβειαν, ἵνα μὴ ἁπλῶς μηδὲ ὡς ἔτυχε προσελθόντες, πῦρ ἐπὶ τὴν ἑαυτῶν σωρεύσωμεν κεφαλήν.

Ταῦτα δὲ λέγω, οὐχ ἵνα μὴ προσίωμεν, ἀλλ' ἵνα μὴ ἁπλῶς προσίωμεν. Ὥσπερ γὰρ τὸ ὡς ἔτυχε προσιέναι, κίνδυνος, οὕτω τὸ μὴ κοινωνεῖν τῶν μυστικῶν δείπνων ἐκείνων, λιμὸς καὶ θάνατος. Αὕτη γὰρ ἡ τράπεζα τῆς ψυχῆς ἡμῶν τὰ νεῦρα, τῆς διανοίας ὁ σύνδεσμος, τῆς παρρησίας ἡ ὑπό-

---

8. Ἰὼβ 31, 31.

ἐκεῖνοι τὸν ἠγάπων πάρα πολύ, ἔλεγον· «Ποῖος θὰ μᾶς δώσῃ νὰ χορτάσωμεν ἀπὸ τὴν σάρκα του;»[8]. Ἔτσι καὶ ὁ Χριστὸς μᾶς ἔδωσε τὰς σάρκας του διὰ νὰ χορτάσωμεν διὰ νὰ μᾶς προσελκύσῃ εἰς μεγαλυτέραν ἀγάπην. Ἂς προσερχώμεθα λοιπὸν εἰς αὐτὸν μὲ θερμότητα καὶ φλογερὰν ἀγάπην, διὰ νὰ μὴ ὑποστῶμεν φοβερωτέραν τιμωρίαν. Διότι ὅσον μεγάλας εὐεργεσίας ἔχομεν δεχθῆ, τόσον περισσότερον κολαζόμεθα ὅταν φανῶμεν ἀνάξιοι τῆς εὐεργεσίας. Αὐτὸ τὸ σῶμα καὶ ὅταν ἦτο ἀκόμη εἰς τὴν φάτνην ἐσεβάσθησαν οἱ μάγοι· καὶ ἐνῷ ἦσαν ἄνδρες ἄπιστοι καὶ βάρβαροι, ἀφοῦ ἄφησαν τὴν πατρίδα καὶ τὴν οἰκίαν των καὶ ἐταξίδευσαν ἀπὸ μεγάλην ἀπόστασιν καὶ ἦλθον, τὸ προσεκύνησαν μὲ φόβον καὶ τρόμον πολύ.

Ἂς μιμηθῶμεν λοιπὸν τοὐλάχιστον τοὺς βαρβάρους ἐμεῖς οἱ πολῖται τῶν οὐρανῶν. Διότι ἐκεῖνοι μέν, ἂν καὶ εἶδον τὸν Χριστὸν καὶ εἰς φάτνην καὶ μέσα εἰς καλύβην καὶ παρ' ὅ,τι δὲν εἶδον τίποτε τέτοιον ἀπὸ ὅσα ἐσὺ τώρα, προσῆλθον καὶ τὸν προσεκύνησαν μὲ πολλὴν φρίκην· ἐνῷ ἐσὺ βλέπεις τὸ σῶμά του ὄχι εἰς φάτνην, ἀλλ' εἰς θυσιαστήριον, ὄχι νὰ τὸ κρατῇ γυναῖκα, ἀλλὰ νὰ παρίσταται ἱερεὺς καὶ πλουσία χάρις τοῦ ἁγίου Πνεύματος νὰ ἵπταται πρὸς τὰ προτιθέμενα δῶρα. Δὲν βλέπεις ἁπλῶς αὐτὸ τὸ ἴδιον τὸ σῶμα, ὅπως ἐκεῖνοι, ἀλλὰ γνωρίζεις καὶ τὴν δύναμιν καὶ τὴν σωτηριώδη οἰκονομίαν του ὁλόκληρον, καὶ δὲν ἀγνοεῖς τίποτε ἀπὸ ὅσα συνετελέσθησαν δι' αὐτοῦ, ἀφοῦ ἐκατηχήθης μὲ ἀκρίβειαν. Ἂς ἀνορθώσωμεν λοιπὸν τοὺς ἑαυτούς μας καὶ ἂς φρίξωμεν, καὶ ἂς ἐπιδείξωμεν πολὺ μεγαλυτέραν εὐλάβειαν ἀπὸ ἐκείνους τοὺς βαρβάρους, διὰ νὰ μὴ ἐπισωρεύσωμεν πῦρ ἐπάνω εἰς τὴν κεφαλήν μας μὲ τὸ νὰ προσέλθωμεν ἐπιπολαίως καὶ ὅπως τύχῃ.

Αὐτὰ δὲ τὰ λέγω, ὄχι διὰ νὰ μὴ προσερχώμεθα, ἀλλὰ διὰ νὰ μὴ προσερχώμεθα ἐπιπολαίως. Διότι ὅπως τὸ νὰ προσέρχεται κανεὶς ὅπως τύχῃ εἶναι κίνδυνος, ἔτσι τὸ νὰ μὴ κοινωνῇ τοῦ μυστικοῦ ἐκείνου δείπνου εἶναι πεῖνα καὶ θάνατος. Διότι αὐτὴ ἡ τράπεζα εἶναι τὰ νεῦρα τῆς ψυχῆς μας, ὁ δεσμὸς τῆς ψυχῆς, ἡ βάσις τῆς παρρησίας, ἡ ἐλπίς,

θεσις, ἡ ἐλπίς, ἡ σωτηρία, τὸ φῶς, ἡ ζωή. Μετὰ ταύτης ἀπελθόντες ἐκεῖ τῆς θυσίας, ἐν παρρησίᾳ πολλῇ τῶν ἱερῶν ἐπιβησόμεθα προθύρων, ὥσπερ τισὶν ὅπλοις χρυσοῖς πεφραγμένοι πάντοθεν. Καὶ τί λέγω τὰ μέλλοντα; Ἐνταῦθα γάρ σοι τὴν γῆν οὐρανὸν ποιεῖ τουτὶ τὸ μυστήριον. Ἀναπέτασον γοῦν τοῦ οὐρανοῦ τὰς πύλας καὶ διάκυψον· μᾶλλον δὲ οὐχὶ τοῦ οὐρανοῦ, ἀλλὰ τοῦ οὐρανοῦ τῶν οὐρανῶν καὶ τότε ὄψει τὸ εἰρημένον. Τὸ γὰρ πάντων ἐκεῖ τιμιώτερον, τοῦτό σοι ἐπὶ τῆς γῆς δείξω κείμενον. Ὥσπερ γὰρ ἐν τοῖς βασιλείοις τὸ πάντων σεμνότερον, οὐ τοῖχοι, οὐκ ὄροφος χρυσοῦς, ἀλλὰ τὸ βασιλικὸν σῶμα τὸ καθήμενον ἐπὶ τοῦ θρόνου· οὕτω καὶ ἐν τοῖς οὐρανοῖς τὸ τοῦ βασιλέως σῶμα.

Ἀλλὰ τοῦτό σοι νῦν ἔξεστιν ἐπὶ γῆς ἰδεῖν. Οὐ γὰρ ἀγγέλους, οὐδὲ ἀρχαγγέλους, οὐδὲ οὐρανοὺς καὶ οὐρανοὺς οὐρανῶν, ἀλλ' αὐτὸν τὸν τούτων σοι δείκνυμι δεσπότην. Εἶδες πῶς τὸ πάντων τιμιώτερον ὁρᾷς ἐπὶ γῆς; καὶ οὐχ ὁρᾷς μόνον, ἀλλὰ καὶ ἅπτῃ; καὶ οὐχ ἅπτῃ μόνον, ἀλλὰ καὶ ἐσθίεις, καὶ λαβὼν οἴκαδε ἀναχωρεῖς; Ἀπόσμηχε τοίνυν τὴν ψυχήν, παρεσκεύαζε τὴν διάνοιαν πρὸς τὴν τούτων ὑποδοχὴν τῶν μυστηρίων. Καὶ γὰρ εἰ παιδίον βασιλικὸν μετὰ τοῦ κόσμου καὶ τῆς ἁλουργίδος καὶ τοῦ διαδήματος ἐνεχειρίσθης φέρειν, πάντα ἂν ἔρριψας τὰ ἐν τῇ γῇ. Νυνὶ δὲ οὐ παιδίον ἀνθρώπου βασιλικόν, ἀλλ' αὐτὸν τὸν μονογενῆ λαμβάνων τοῦ Θεοῦ παῖδα, οὐ φρίττεις, εἰπέ μοι, καὶ πάντα τὸν τῶν βιωτικῶν ἐκβάλλεις ἔρωτα, καὶ τῷ κόσμῳ καλλωπίζῃ μόνον ἐκείνῳ, ἀλλ' ἔτι πρὸς τὴν γῆν ὁρᾷς, καὶ χρημάτων ἐρᾷς καὶ πρὸς χρυσὸν ἐπτόησαι; Καὶ τίνα ἂν σχοίης συγγνώμην; ποίαν ἀπολογίαν; Οὐκ οἶσθα πῶς ἅπασαν τὴν βιωτικὴν πολυτέλειαν ἀποστρέφεταί σου ὁ δεσπότης; Οὐ διὰ τοῦτο ἐν φάτνῃ ἐτέθη τεχθείς, καὶ μητέρα ἔλαβεν εὐτελῆ; οὐ διὰ τοῦτο ἐ-

ἡ σωτηρία, τὸ φῶς, ἡ ζωή. Ἐὰν ἀπέλθωμεν εἰς τὴν ἐκεῖ ζωὴν μὲ αὐτὴν τὴν θυσίαν, μὲ πολλὴν παρρησίαν θὰ παρουσιασθῶμεν εἰς τὰ ἱερὰ πρόθυρα, περιφραγμένοι ἀπὸ παντοῦ ὡσὰν μὲ χρυσᾶ ὅπλα. Καὶ διατί ὁμιλῶ διὰ τὰ μέλλοντα; Ἀφοῦ ἐδῶ κάμνει δι' ἐσὲ οὐρανὸν τὴν γῆν αὐτὸ τὸ μυστήριον. Ἄνοιξε λοιπὸν τὰς πύλας τοῦ οὐρανοῦ καὶ ἴδε· μᾶλλον δὲ ὄχι τοῦ οὐρανοῦ, ἀλλὰ τοῦ οὐρανοῦ τῶν οὐρανῶν, καὶ τότε θὰ ἰδῇς αὐτὸ ποὺ εἶπον. Διότι αὐτὸ ποὺ τιμᾶται περισσότερον ἀπὸ ὅλα ἐκεῖ, αὐτὸ θὰ σοῦ δείξω ὅτι εὑρίσκεται ἐπάνω εἰς τὴν γῆν. Διότι ὅπως εἰς τὰ βασίλεια τὸ πολυτιμότερον ἀπὸ ὅλα εἶναι ὄχι οἱ τοῖχοι, ὄχι ἡ χρυσῆ ὀροφή, ἀλλὰ τὸ σῶμα τοῦ βασιλέως ποὺ κάθηται ἐπάνω εἰς τὸν θρόνον, ἔτσι καὶ εἰς τοὺς οὐρανοὺς τὸ σῶμα τοῦ βασιλέως.

Ἀλλ' αὐτὸ εἶναι δυνατὸν νὰ ἰδῇς νὰ συμβαίνῃ ἐπάνω εἰς τὴν γῆν. Διότι ὄχι ἀγγέλους, οὔτε ἀρχαγγέλους, οὔτε οὐρανοὺς καὶ οὐρανοὺς οὐρανῶν, ἀλλ' αὐτὸν τὸν ἴδιον τὸν δεσπότην ὅλων αὐτῶν σοῦ δεικνύω. Εἶδες πῶς τὸ πολυτιμότερον ἀπὸ ὅλα βλέπεις ἐπάνω εἰς τὴν γῆν; καὶ ὄχι μόνον βλέπεις, ἀλλὰ καὶ ἐγγίζεις; καὶ δὲν ἐγγίζεις μόνον, ἀλλὰ τρώγεις καὶ ἀφοῦ μεταλάβῃς ἀναχωρεῖς εἰς τὸν οἶκον σου; Καθάριζε λοιπὸν τὴν ψυχήν, προετοίμαζε τὴν διάνοιαν διὰ τὴν ὑποδοχὴν αὐτῶν τῶν μυστηρίων. Διότι ἐὰν σοῦ εἶχον ἀναθέσει νὰ ὁδηγῇς παιδὶ βασιλέως μαζὶ μὲ τὸν στολισμὸν καὶ τὴν πορφύραν καὶ τὸ στέμμα, θὰ ἀπέρριπτες τὰ πάντα εἰς τὴν γῆν. Τώρα ὅμως ὄχι υἱὸν ἀνθρώπου βασιλέως, ἀλλὰ αὐτὸν τὸν ἴδιον τὸν μονογενῆ υἱὸν τοῦ Θεοῦ λαμβάνεις καὶ εἰπέ μου, δὲν φρίττεις καὶ δὲν ἀποβάλλεις κάθε ἀγάπην διὰ τὰ βιωτικά, καὶ καλλωπίζεσαι μόνον μὲ ἐκεῖνον τὸν στολισμόν, ἀλλ' ἀκόμη πρὸς τὴν γῆν βλέπεις καὶ ἀγαπᾷς χρήματα καὶ ταράσσεσαι ἀπὸ τὸν χρυσόν; Καὶ ποίαν συγγνώμην θὰ λάβῃς; ποίαν ἀπολογίαν; Δὲν γνωρίζεις ὅτι κάθε πολυτέλειαν εἰς αὐτὴν τὴν ζωὴν τὴν ἀποστρέφεται ὁ Κύριός σου; Διὰ τοῦτο δὲν ἐγεννήθη εἰς φάτνην καὶ ἔλαβε διὰ μητέρα μίαν ἄσημον; Δι' αὐτὸ δὲν ἔλεγεν εἰς ἐκεῖνον ποὺ ἀπέβλεπεν εἰς τὸ νὰ

κείνῳ τῷ πρὸς καπηλείαν βλέποντι ἔλεγεν· «Ὁ δὲ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίνῃ»;

Τί δὲ οἱ μαθηταί; οὐ τὸν αὐτὸν διετήρουν νόμον, εἰς τὰς τῶν πενήτων οἰκίας καταγόμενοι, καὶ ὁ μὲν πρὸς βυρσέα, ὁ δὲ πρὸς σκηνορράφον κατέλυον καὶ πρὸς τὴν πορφυρόπωλιν; οὐ γὰρ οἰκίας περιφάνειαν, ἀλλὰ ψυχῶν ἀρετὰς ἐπεζήτουν. Τούτους τοίνυν καὶ ἡμεῖς ζηλώσωμεν· τὰ μὲν κάλλη τῶν κιόνων καὶ τῶν μαρμάρων παρατρέχοντες, ζητοῦντες δὲ τὰς ἄνω μονάς, καὶ πάντα τῦφον τὸν ἐνταῦθα πατήσωμεν μετὰ τῆς τῶν χρημάτων ἐπιθυμίας, καὶ ὑψηλὸν λάβωμεν φρόνημα. Ἂν γὰρ νήφωμεν, οὐδὲ ὁ κόσμος ἡμῶν οὗτος ἄξιος, μήτι γε στοαὶ καὶ περίπατοι. Διό, παρακαλῶ, τὴν ψυχὴν τὴν ἑαυτῶν καλλωπίζωμεν, τὴν οἰκίαν ταύτην κατασκευάζωμεν, ἣν καὶ λαβόντες ἀπελευσόμεθα, ἵνα καὶ τῶν αἰωνίων ἐπιτύχωμεν σκηνῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

9. Ματθ. 8,20.

τὸν ἐξαπατήσῃ «Ὁ δὲ υἱὸς τοῦ ἀνθρώπου δὲν ἔχει ποῦ νὰ γείρῃ τὴν κεφαλήν»;

Μήπως ὅμως καὶ οἱ μαθηταὶ δὲν ἐφήρμοζον τὴν ἰδίαν ἀρχήν, μὲ τὸ νὰ φιλοξενῶνται εἰς τὰς οἰκίας τῶν πτωχῶν, καὶ κατέλυον, ἄλλος μὲν εἰς βυρσοδέψην, ἄλλος δὲ εἰς σκηνοποιὸν καὶ εἰς πωλήτριαν πορφύρας; Διότι δὲν ἐπεζήτουν λαμπρότητα οἰκίας, ἀλλὰ ψυχικὰς ἀρετάς. Αὐτοὺς λοιπὸν ἂς μιμηθῶμεν καὶ ἐμεῖς μὲ ζῆλον· ἂς παραβλέπωμεν τὰ κάλλη τῶν κιόνων καὶ τῶν μαρμάρων, ἂς ἐπιζητοῦμεν δὲ τὰς οὐρανίους κατοικίας καὶ κάθε ὑπερηφάνειαν ἂς πατήσωμεν μαζὶ μὲ τὴν ἐπιθυμίαν τῶν χρημάτων καὶ ἂς ἀποκτήσωμεν ὑψηλὸν φρόνημα. Διότι ἐὰν ἔχωμεν ἄγρυπνον συνείδησιν, οὔτε αὐτὸς ὁ στολισμὸς εἶναι ἄξιος δι' ἐμᾶς, οὔτε βεβαίως στοαὶ καὶ περίπατοι. Διὰ τοῦτο παρακαλῶ ἂς καλλωπίζωμεν τὴν ψυχήν μας, ἂς κτίζωμεν αὐτὴν τὴν οἰκίαν τὴν ὁποίαν ἀφοῦ λάβωμεν θὰ ἀπέλθωμεν εἰς τὴν ἐκεῖ ζωήν, διὰ νὰ ἐπιτύχωμεν καὶ τὰς αἰωνίους σκηνάς, μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ ΚΕ΄
Α΄ Κορ. 10, 25 - 11, 2

«Πᾶν τὸ ἐν μακέλλῳ πωλούμενον ἐσθίετε, μηδὲν ἀνακρίνοντες διὰ τὴν συνείδησιν».

1. Εἰπὼν ὅτι ἀδύνατον ποτήριον Κυρίου πίνειν καὶ ποτήριον δαιμονίων, καὶ καθάπαξ ἀπαγαγὼν τῶν τραπεζῶν ἐκείνων, ἀπὸ παραδειγμάτων Ἰουδαϊκῶν, ἀπὸ λογισμῶν ἀνθρωπίνων, ἀπὸ τῶν μυστηρίων τῶν φρικτῶν, ἀπὸ τῶν ἐν τοῖς εἰδώλοις τελουμένων, καὶ πολὺν φόβον ἐνθεὶς αὐτοῖς· ἵνα μὴ τῷ φόβῳ τούτῳ πάλιν εἰς ἑτέραν ἀμετρίαν αὐτοὺς ἐξωθήσῃ, καὶ ἀναγκασθῶσι πλείονι περιεργίᾳ κεχρημένοι τοῦ δέοντος δεδοικέναι, μήποτε καὶ ἀγνοούντων αὐτῶν ἐπεισέλθῃ τι τοιοῦτον, ἢ ἐξ ἀγορᾶς ἢ ἄλλοθέν ποθεν, ἀφιεὶς αὐτοὺς ταύτης τῆς ἀνάγκης, φησί· «Πᾶν τὸ ἐν μακέλλῳ πωλούμενον ἐσθίετε, μηδὲν ἀνακρίνοντες». Ἐὰν γὰρ ἀγνοῶν, φησί, φάγῃς καὶ μὴ εἰδώς, οὐχ ὑπόκεισαι τῇ τιμωρίᾳ· τῆς γὰρ ἀγνοίας λοιπὸν τὸ πρᾶγμα, οὐχὶ τῆς λαιμαργίας. Καὶ οὐ ταύτης μόνον αὐτὸν ἀπαλλάττει τῆς ἀγωνίας, ἀλλὰ καὶ ἑτέρας, πολλὴν ἄδειαν καὶ ἐλευθερίαν αὐτοῖς κατασκευάζων. Οὐδὲ γὰρ ἀνακρίνειν ἀφίησι, τουτέστιν, ἐξετάζειν καὶ πυνθάνεσθαι, εἴτε εἰδωλόθυτον εἴτε μὴ τοιοῦτον· ἀλλ' ἁπλῶς ἐσθίειν ἅπαν τὸ ἐξ ἀγορᾶς, μηδὲ τοῦ μανθάνειν, ὅ τι ποτέ ἐστι τὸ προκείμενον, αὐτὸν παρέχειν τὰς ἀφορμάς. Ὥστε ἔστι καὶ φαγόντα ἀγνοοῦντα ἀπηλλάχθαι. Τοιαῦτα γὰρ τὰ μὴ τῇ φύσει πονηρά, ἀλλ' ἀπὸ τῆς διανοίας ποιοῦντα ἀκάθαρτον. Διὰ τοῦτό φησι, «μηδὲν ἀνακρίνοντες».

ΛΟΓΟΣ ΚΕ΄
Α΄ Κορ. 10, 25 - 11, 2

«Κάθε τι πού πωλεῖται εἰς τὸ κρεοπωλεῖον, τρώγετέ το, χωρὶς νὰ ἐξετάζετε τίποτε κινούμενοι ἀπὸ λόγους συνειδήσεως».

1. Ἀφοῦ εἶπεν ὅτι δὲν ἠμποροῦν νὰ πίνουν τὸ ποτήριον τοῦ Κυρίου καὶ τὸ ποτήριον τῶν δαιμονίων καὶ ἀφοῦ ἅπαξ τοὺς ἀπεμάκρυνεν ἀπὸ ἐκείνας τὰς τραπέζας, χρησιμοποιῶν παραδείγματα ἀπὸ τοὺς Ἰουδαίους, συλλογισμοὺς ἀνθρωπίνους, τὰ φρικτὰ μυστήρια, τὰ ὅσα τελοῦνται εἰς τὴν λυατρείαν τῶν εἰδώλων καὶ ἀφοῦ ἐνέπνευσε πολὺν φόβον εἰς αὐτούς, διὰ νὰ μὴ ἐξωθήσῃ αὐτοὺς εἰς ἄλλην ὑπερβολὴν μὲ αὐτὸν τὸν φόβον καὶ διὰ νὰ μὴ ἀναγκασθοῦν καὶ ἐξετάζουν μὲ περισσοτέραν περιέργειαν καὶ φοβοῦνται μήπως ἐν ἀγνοίᾳ των φάγουν κάποιο εἰδωλόθυτον ἢ ἀπὸ τὴν ἀγορὰν ἢ ἀπὸ κάπου ἀλλοῦ, διὰ νὰ τοὺς ἐλευθερώσῃ ἀπὸ αὐτὴν τὴν ἀνάγκην, λέγει˙ «Κάθε τι πού πωλεῖται εἰς τὸ κρεοπωλεῖον, τρώγετέ το χωρὶς νὰ ἐξετάζετε τίποτε». Διότι, ἐάν, λέγει, φάγῃς ἀπὸ ἄγνοιαν, δὲν τιμωρεῖσαι˙ καθ' ὅσον αὐτὸ ὀφείλεται εἰς ἄγνοιαν, ὄχι εἰς λαιμαργίαν. Καὶ ὄχι μόνον ἀπὸ αὐτὴν τὴν ἀγωνίαν τὸν ἀπαλλάσσει, ἀλλὰ καὶ ἀπὸ ἄλλην, δίδων εἰς αὐτοὺς πολλὴν ἄνεσιν καὶ ἐλευθερίαν. Διότι οὔτε νὰ ἐξετάζουν ἀφήνει, δηλαδὴ νὰ ρωτοῦν διὰ νὰ μάθουν καὶ νὰ ἐλέγχουν ἐὰν εἶναι εἰδωλόθυτον ἢ ὄχι˙ ἀλλὰ νὰ τρώγουν γενικῶς κάθε τι ἀπὸ τὴν ἀγοράν, χωρὶς νὰ τοῦ δίδῃ ἀφορμὴν διὰ νὰ μαθαίνῃ τί εἶναι αὐτὸ πού πρόκειται νὰ φάγῃ. Ὥστε εἶναι δυνατὸν καὶ κάποιος πού ἔφαγεν ἀπὸ ἄγνοιαν ν' ἀπαλλαγῇ. Διότι τέτοια εἶναι αὐτὰ πού δὲν εἶναι κακὰ ἀπὸ τὴν φύσιν των, ἀλλ' ἀπὸ τὴν προαίρεσιν κάμνουν κάποιον ἀκάθαρτον. Διὰ τοῦτο λέγει, «χωρὶς νὰ ἐξετάζετε».

«Τοῦ γὰρ Κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς», οὐχὶ τῶν δαιμονίων. Εἰ δὲ ἡ γῆ, καὶ οἱ καρποὶ καὶ τὰ ἄλογα. Εἰ δὲ αὐτοῦ πάντα, οὐδὲν ἀκάθαρτον γίνεται, ἀπὸ τῆς διανοίας καὶ ἀπὸ τῆς παρακοῆς. Διὰ τοῦτο οὐ μόνον ἐπέτρεψεν, ἀλλὰ καί, «Ἐάν τις ὑμᾶς», φησί, «καλῇ τῶν ἀπίστων, καὶ θέλητε πορεύεσθαι, πᾶν τὸ παρατιθέμενον ὑμῖν ἐσθίετε, μηδὲν ἀνακρίνοντες διὰ τὴν συνείδησιν». Ὅρα πάλιν τὴν συμμετρίαν. Οὐ γὰρ ἐπέταξε καὶ ἐνομοθέτησεν ἀπιέναι, ἀλλ' οὐκ ἐκώλυσεν· ἀπελθόντας δὲ πάλιν ἀπαλλάττει πάσης ὑποψίας. Τί δήποτε; Ἵνα μὴ δόξῃ φόβου τινὸς εἶναι ἡ τοσαύτη πολυπραγμοσύνη καὶ δειλίας. Ὁ μὲν γὰρ περιεργαζόμενος, ὡς δεδοικὼς τοῦτο ποιεῖ· ὁ δὲ μετὰ τὸ ἀκοῦσαι ἀπεχόμενος, ὡς καταφρονῶν καὶ μισῶν καὶ ἀποστρεφόμενος, ἀπέχεται. Διόπερ ὁ Παῦλος ἀμφότερα βουλόμενος κατασκευάσαι φησί· «Πᾶν τὸ παρατιθέμενον ὑμῖν ἐσθίετε».

«Ἂν δέ τις ὑμῖν εἴπῃ, τοῦτο εἰδωλόθυτόν ἐστι, μὴ ἐσθίετε διὰ τὸν μηνύσαντα». Οὐδὲ γὰρ ὡς ἐχόντων ἰσχύν, ἀλλ' ὡς βδελυρῶν ἀπέχεσθαι κελεύει. Μήτε τοίνυν ὡς δυνάμενα καταβλάψαι, φεύγετε· οὐδεμίαν γὰρ ἔχει ἰσχύν· μήτε, ἐπειδὴ μηδεμίαν ἔχει ἰσχύν, ἀδιαφόρως μετέχετε· ἐχθρῶν γάρ ἐστι καὶ ἠτιμωμένων ἡ τράπεζα. Διὸ ἔλεγε, «Μὴ ἐσθίετε διὰ τὸν μηνύσαντα, καὶ τὴν συνείδησιν. Τοῦ γὰρ Κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς». Ὁρᾷς πῶς καὶ ὅτε ἐσθίειν κελεύει, καὶ ὅτε ἀπέχεσθαι, τὴν αὐτὴν μαρτυρίαν εἰς μέσον ἄγει; Οὐδὲ γὰρ διὰ τοῦτο κωλύω, φησίν, ὡς ἀλλοτρίων ὄντων· τοῦ γὰρ Κυρίου ἡ γῆ· ἀλλὰ δι' ὅπερ εἶπον, διὰ τὴν συνείδησιν, τουτέστιν, ἵνα μὴ βλαβῇ. Οὐκοῦν δεῖ περιεργάζεσθαι;

«Διότι τοῦ Κυρίου εἶναι ἡ γῆ καὶ ὅλα ποὺ εἶναι εἰς αὐτήν», ὄχι τῶν δαιμονίων. Ἐφ᾿ ὅσον δὲ εἶναι ἡ γῆ, εἶναι καὶ οἱ καρποὶ καὶ τὰ ζῶα. Ἐὰν δὲ ὅλα εἶναι τοῦ Κυρίου, τίποτε δὲν εἶναι ἀκάθαρτον· ἀλλὰ μὲ ἄλλον τρόπον γίνονται ἀκάθαρτα, δηλαδὴ ἀπὸ τὴν διάθεσιν καὶ ἀπὸ τὴν παρακοήν. Διὰ τοῦτο ὄχι μόνον ἐπέτρεψεν, ἀλλὰ καί, «Ἐὰν κάποιος ἀπὸ τοὺς ἀπίστους», λέγει, «σᾶς προσκαλέσῃ καὶ θέλετε νὰ ὑπάγετε, τρώγετε ὅ,τι σᾶς παραθέσουν, χωρὶς νὰ ἐξετάζετε τίποτε κινούμενοι ἀπὸ λόγους συνειδήσεως». Κοίταξε πάλιν τὴν τήρησιν τοῦ μέτρου. Δὲν προσέταξε δηλαδὴ καὶ δὲν ἐνομοθέτησε ν᾿ ἀποφεύγουν, ἀλλὰ μόνον δὲν ἠμπόδισεν· ὅσους δὲ πάλιν ἀπέλθουν τοὺς ἀπαλλάσσει ἀπὸ κάθε ὑποψίαν. Διατί ἆρά γε; Διὰ νὰ μὴ θεωρηθῇ ὅτι ἡ τόσον λεπτομερὴς ἐξέτασις εἶναι ἀποτέλεσμα φόβου καὶ δειλίας. Διότι ἐκεῖνος μὲν ποὺ περιεργάζεται, κάμνει αὐτὸ ὡσὰν νὰ φοβῆται· ἐκεῖνος δὲ ποὺ ἀπέχει ἀφοῦ ἀκούσῃ καὶ μετά, ἀπέχει ὡσὰν νὰ μισῇ καὶ νὰ καταφρονῇ καὶ ν᾿ ἀποστρέφεται. Διὰ τοῦτο ὁ Παῦλος θέλων νὰ διευθετήσῃ καὶ τὰ δύο λέγει· «τρώγετε ὅ,τι σᾶς παραθέσουν».

«Ἀλλ᾿ ἐὰν κάποιος σᾶς εἰπῇ: «Αὐτὸ εἶναι κρέας ἀπὸ θυσίας εἰς τὰ εἴδωλα, τότε νὰ μὴ τὸ φάγετε, χάριν ἐκείνου ποὺ σᾶς τὸ εἶπεν. Ὄχι βεβαίως ἐπειδὴ ἔχουν καμμίαν δύναμιν τὰ εἰδωλόθυτα, ἀλλ᾿, ἐπειδὴ εἶναι σιχαμερά, παραγγέλλει ν᾿ ἀπέχουν ἀπὸ αὐτά. Οὔτε λοιπὸν ὡσὰν νὰ ἠμποροῦν νὰ σᾶς βλάψουν νὰ τ᾿ ἀποφεύγετε· διότι καμμίαν δύναμιν δὲν ἔχουν· οὔτε, ἐπειδὴ δὲν ἔχουν καμμίαν δύναμιν, νὰ μετέχετε εἰς αὐτὰ χωρὶς διάκρισιν· διότι ἡ τράπεζα εἶναι ἀπὸ ἐχθροὺς τοῦ Θεοῦ καὶ ἡτιμασμένους. Δι᾿ αὐτὸ ἔλεγε, «νὰ μὴ φάγετε χάριν ἐκείνου ποὺ σᾶς τὸ εἶπε καὶ χάριν τῆς συνειδήσεως. Τοῦ Κυρίου εἶναι ἡ γῆ καὶ ὅλα ὅσα εἶναι εἰς αὐτήν». Βλέπεις πῶς καὶ ὅταν τρώγουν προτρέπει καὶ ὅταν ἀπέχουν τὴν αὐτὴν μαρτυρίαν παρουσιάζει; Δὲν ἐμποδίζω διὰ τοῦτο δηλαδή, λέγει, ὡσὰν νὰ ἀνήκουν εἰς ἄλλον ἀπὸ τὸν Θεόν· διότι τοῦ Κυρίου εἶναι ἡ γῆ· ἀλλὰ δι᾿ αὐτὸ ποὺ εἶπον, διὰ τὴν συνείδησιν, δηλαδή, διὰ νὰ μὴ βλαβῇ. Λοιπὸν πρέπει νὰ τὰ ἐξετάζω-

Οὔ, φησίν· οὐδὲ γὰρ τὴν σὴν εἶπον συνείδησιν, ἀλλὰ τὴν ἐκείνου. Προλαβὼν γὰρ εἶπον, «διὰ τὸν μηνύσαντα»· καὶ πάλιν, «Συνείδησιν δὲ λέγω, οὐχὶ τὴν ἑαυτοῦ, ἀλλὰ τὴν τοῦ ἑτέρου».

Ἀλλ' ἴσως εἴποι τις ἄν, ὅτι τῶν μὲν ἀδελφῶν εἰκότως φείδῃ, καὶ οὐκ ἐᾷς ἡμᾶς ἀπογεύεσθαι δι' ἐκείνους, ἵνα μὴ ἡ συνείδησις αὐτῶν ἀσθενὴς οὖσα οἰκοδομηθῇ εἰς τὸ τὰ εἰδωλόθυτα ἐσθίειν· εἰ δὲ Ἕλλην τις εἴη, τί σοι τούτου μέλει; Οὐ σὺ ἔλεγες, «Τί γάρ μοι καὶ τοὺς ἔξω κρίνειν;» τίνος οὖν ἕνεκεν αὐτῶν πάλιν φροντίζεις; Οὐκ ἐκείνου φροντίζω, φησίν, ἀλλὰ καὶ ἐνταῦθα σοῦ. Διὸ καὶ ἐπήγαγεν· «Ἵνα τί γὰρ ἡ ἐλευθερία μου κρίνεται ὑπὸ ἄλλης συνειδήσεως;» ἐλευθερίαν τὸ ἀπαρατήρητον καὶ ἀκώλυτον λέγων· τοῦτο γὰρ ἐλευθερία, Ἰουδαϊκῆς ἀπηλλαγμένη δουλείας. Ὃ δὲ λέγει, τοῦτό ἐστιν· ἐλεύθερόν με ἐποίησεν ὁ Θεός, καὶ πάσης βλάβης ἀνώτερον· ἀλλ' οὐκ οἶδεν ὁ Ἕλλην δικάζειν τῇ ἐμῇ φιλοσοφίᾳ, οὐδὲ τὴν τοῦ δεσπότου μου φιλοτιμίαν συνορᾶν, ἀλλὰ καταγνώσεται καὶ ἐρεῖ πρὸς ἑαυτόν· μῦθος τὰ Χριστιανῶν· ἀπέχονται τῶν εἰδώλων, φεύγουσι δαίμονας, καὶ τῶν ἐκείνοις προσαγομένων ἔχονται· πολλὴ παρ' αὐτοῖς ἡ γαστριμαργία. Καὶ τί τοῦτο, φησί; ποῖον δὲ ἡμῖν βλάβος, ἂν κακῶς ἐκεῖνος κρίνῃ; Πόσῳ δὲ βέλτιον τὸ μηδὲ ὅλως κρίνειν αὐτῷ διδόναι; ἂν γὰρ ἀπέχῃ, οὐδὲ ταῦτα ἐρεῖ. Πῶς, φησίν, οὐκ ἐρεῖ; Ὅταν γὰρ ἴδῃ μὴ ἐξετάζοντα ταῦτα, μὴ ἐν μακέλλῳ, μὴ ἐν συμποσίῳ, πῶς οὐκ ἐρεῖ καὶ καταγνώσεται, ὡς ἀδιαφόρως μου μετέχοντος; Οὐδαμῶς· οὐ γὰρ ὡς εἰδωλοθύτων μετέχεις, ἀλλ' ὡς καθαρῶν. Εἰ δὲ οὐ πε-

μεν λεπτομερῶς; Ὄχι, λέγει· διότι δὲν εἶπον διὰ τὴν ἰδικήν σου συνείδησιν, ἀλλὰ διὰ τὴν συνείδησιν τοῦ συνανθρώπου. Καθ᾽ ὅσον προηγουμένως εἶπον, «χάριν ἐκείνου ποὺ σᾶς τὸ εἶπε»· καὶ πάλιν, «Συνείδησιν δὲ ἐννοῶ ὄχι τὴν ἰδικήν σου, ἀλλὰ τὴν συνείδησιν τοῦ ἄλλου».

Ἀλλ᾽ ἴσως νὰ εἰπῇ κάποιος, ὅτι φυσικὸν εἶναι νὰ φροντίζῃς διὰ τοὺς ἀδελφοὺς καὶ δὲν μᾶς ἀφήνεις νὰ τρώγωμεν χάριν ἐκείνων, διὰ νὰ μὴ συνηθίσῃ ἡ συνείδησίς των ποὺ εἶναι ἀσθενὴς εἰς τὸ νὰ τρώγουν τὰ εἰδωλόθυτα· ἐὰν ὅμως κάποιος εἶναι εἰδωλολάτρης, τί σὲ ἐνδιαφέρει δι᾽ αὐτόν; Σὺ δὲν ἔλεγες, «Καὶ ποίαν ἁρμοδιότητα ἔχω νὰ κρίνω τοὺς μὴ Χριστιανούς;». Διατί λοιπὸν φροντίζεις πάλιν δι᾽ αὐτούς; Δὲν φροντίζω δι᾽ ἐκεῖνον, λέγει, ἀλλὰ καὶ ἐδῶ φροντίζω δι᾽ ἐσένα. Διὰ τοῦτο καὶ προσέθεσε· «Διατί ἡ ἐλευθερία μου νὰ κρίνεται ἀπὸ τὴν συνείδησιν ἄλλου;», ὀνομάζων ἐλευθερίαν τὸ νὰ μὴ ὑπόκειται κανεὶς εἰς παρατήρησιν καὶ νὰ εἶναι ἀνεμπόδιστος· διότι αὐτὸ εἶναι ἐλευθερία ἀπηλλαγμένη ἀπὸ τὴν Ἰουδαϊκὴν δουλείαν. Αὐτὸ δὲ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· Ὁ Θεὸς μὲ ἔπλασεν ἐλεύθερον καὶ ἀνώτερον εἰς τὴν ἐλευθερίαν μου ἀπὸ κάθε βλάβην τοῦ πλησίον μου· ὁ εἰδωλολάτρης ὅμως δὲν γνωρίζει νὰ κρίνῃ μὲ τὰ ἰδικά μου κριτήρια καὶ τρόπον σκέψεως, οὔτε νὰ κατανοῇ τὴν μεγαλοδωρίαν τοῦ Κυρίου μου, ἀλλὰ θὰ κατακρίνῃ καὶ θὰ εἰπῇ εἰς τὸν ἑαυτόν του· μῦθος εἶναι ἡ πίστις τῶν Χριστιανῶν· ἀπέχουν ἀπὸ τὰ εἴδωλα, ἀποφεύγουν τοὺς δαίμονας, ἀλλ᾽ ἀπολαμβάνουν ὅσα προσφέρονται εἰς αὐτούς· πολλὴ γαστριμαργία ἐπικρατεῖ εἰς αὐτούς. Καὶ τί σημασίαν ἔχει αὐτό; θὰ εἰπῇ κάποιος. Τί μᾶς βλάπτει ἐμᾶς ἐὰν ἐκεῖνος κρίνῃ κακῶς; Πόσον καλύτερον ὅμως εἶναι τὸ νὰ μὴ τοῦ δώσῃς ἀφορμὴν καθόλου διὰ νὰ κατακρίνῃ; Ἐὰν λοιπὸν ἀπέχῃς, οὔτε αὐτὰ θὰ τὰ εἰπῇ. Πῶς δὲν θὰ τὰ εἰπῇ; θὰ ἐρωτήσῃ. Ὅταν δηλαδὴ μὲ ἰδῇ νὰ μὴ ἐξετάζω αὐτὰ εἴτε εἰς τὸ κρεοπωλεῖον, εἴτε εἰς συμπόσιον, πῶς δὲν θὰ εἰπῇ καὶ δὲν θὰ κατακρίνῃ ὅτι μετέχω εἰς αὐτὰ χωρὶς ἐξαίρεσιν; Καθόλου· διότι δὲν τρώγεις αὐτὰ ὡς εἶναι εἰδωλόθυτα, ἀλλ᾽ ὡς καθαρά. Τὸ ὅτι δὲ δὲν

ριεργάζῃ, ἵνα δείξῃς ὅτι οὐ δέδοικας τὰ προκείμενα. Διὰ γὰρ τοῦτο, κἂν εἰς Ἑλλήνων οἰκίαν εἰσέλθῃς, κἂν εἰς ἀγορὰν ἐμβάλῃς, οὐκ ἀφίημί σε ἐρωτᾶν, ἵνα μὴ ψοφοδεὴς γένῃ, μηδὲ λινοπλήξ, μηδὲ περιττὰ ἑαυτῷ πράγματα παρέχῃς.

2. «Εἰ ἐγὼ χάριτι μετέχω, τί βλασφημοῦμαι ὑπὲρ οὗ ἐγὼ εὐχαριστῶ;». Τίνος μετέχεις χάριτι, εἰπέ μοι; Τῶν τοῦ Θεοῦ δωρεῶν. Ἡ γὰρ χάρις αὐτοῦ τοσαύτη, ὡς κατασκευάσαι μοι τὴν ψυχὴν ἀμόλυντον καὶ ἀνωτέραν πάσης κηλῖδος. Καθάπερ γὰρ ἥλιος ἐπαφιεὶς τὰς ἀκτῖνας πολλαῖς κηλῖσι, πάλιν αὐτὰς συστέλλει καθαράς· οὕτω καὶ ἡμεῖς, καὶ πολλῷ πλέον, ἐν μέσῳ τῷ κόσμῳ στρεφόμενοι, καθαροὶ διαμένομεν, ἂν ἐθέλωμεν, ὅσῳ καὶ μείζονα ἔχομεν. Τί οὖν ἀπέχῃ, φησίν; Οὐχ ὡς μέλλων ἀκάθαρτος γίνεσθαι, μὴ γένοιτο, ἀλλὰ διὰ τὸν ἀδελφόν, καὶ ἵνα μὴ κοινωνὸς γένωμαι δαιμονίων, καὶ ἵνα μὴ κρίνωμαι παρὰ τοῦ ἀπίστου. Ἐνταῦθα γὰρ οὐκέτι λοιπὸν ἡ φύσις, ἀλλ' ἡ παρακοὴ καὶ ἡ πρὸς δαίμονας φιλία ποιεῖ με ἀκάθαρτον, καὶ ἡ προαίρεσις τὸν μολυσμὸν ἐργάζεται.

Τί δέ ἐστι, «Τί βλασφημοῦμαι ὑπὲρ οὗ ἐγὼ εὐχαριστῶ»; Ἐγὼ μὲν γάρ, φησίν, εὐχαριστῶ τῷ Θεῷ, ὅτι οὕτω με ὑψηλὸν ἐποίησε καὶ Ἰουδαϊκῆς ταπεινότητος ἀνώτερον, ὡς μηδαμόθεν βλάπτεσθαι· οἱ δὲ Ἕλληνες οὐκ εἰδότες μου τὴν φιλοσοφίαν, τἀναντία ὑποπτεύουσι, καὶ ἐροῦσιν, ὅτι Χριστιανοὶ τῶν ἡμετέρων ἐφίενται, καὶ ὑποκριταί τινές εἰσι, διαβάλλοντες μὲν δαίμονας καὶ ἀποστρεφόμενοι, ἐπὶ δὲ τὰς τραπέζας αὐτῶν τρέχοντες· οὗ τί γένοιτ' ἂν ἀναισθητότερον; Οὐκ ἄρα ἀληθείας ἕνεκεν, ἀλλὰ φιλοτιμίας καὶ φιλαρ-

ἐξετάζεις, τὸ κάμνεις διὰ νὰ δείξῃς ὅτι δὲν φοβεῖσαι αὐτὰ ποὺ σοῦ ἔχουν παραθέσει. Διότι δι' αὐτό, εἴτε εἰς οἰκίαν εἰδωλολάτρου εἰσέλθεις, εἴτε εἰς τὴν ἀγορὰν ὑπάγεις, δὲν ἀφήνω νὰ ἐρωτᾷς, διὰ νὰ μὴ γίνῃς δειλός, οὔτε ἐξιππασμένος, οὔτε νὰ σκοτίζῃς τὸν ἑαυτόν σου μὲ περιττὰ πράγματα.

2. «Ἐὰν ἐγὼ φωτισμένος ἀπὸ τὴν χάριν μετέχω εἰς κάθε φαγητόν, διατί νὰ κακολογοῦμαι δι' ἐκεῖνο, διὰ τὸ ὁποῖον ἐγὼ εὐχαριστῶ τὸν Θεόν;». Εἰπέ μου, εἰς τί μετέχεις μὲ εὐχαριστίαν; Εἰς τὰς δωρεὰς τοῦ Θεοῦ. Διότι ἡ χάρις τοῦ Θεοῦ εἶναι τέτοια ποὺ νὰ κάνῃ τὴν ψυχήν μου ἀμόλυντον καὶ ἀνωτέραν ἀπὸ κάθε κηλίδα. Διότι ὅπως ὁ ἥλιος ὅταν ἀφήσῃ τὰς ἀκτῖνας του ἐπάνω εἰς πολλὰς κηλίδας, συνάγει αὐτὰς πάλιν καθαράς, ἔτσι καὶ ἐμεῖς καὶ πολὺ περισσότερον, συναναστρεφόμενοι μὲ τὸν κόσμον, παραμένομεν καθαροὶ ἐὰν θέλωμεν, καθ' ὅσον καὶ μεγαλυτέραν δύναμιν ἔχομεν. Διατί λοιπὸν ἀπέχεις; θὰ εἴπῃ κάποιος. Ὄχι διότι πρόκειται νὰ γίνω ἀκάθαρτος, ποτὲ μὴ τὸ σκεφθῇς αὐτό· ἀλλὰ χάριν τοῦ ἀδελφοῦ καὶ διὰ νὰ μὴ ἔλθω εἰς κοινωνίαν μὲ τὰ δαιμόνια, καὶ διὰ νὰ μὴ κρίνωμαι ἀπὸ τὸν ἄπιστον. Διότι ἐδῶ ὄχι βέβαια ἡ φύσις, ἀλλ' ἡ παρακοὴ καὶ ἡ φιλία μὲ τοὺς δαίμονας μὲ κάμνει ἀκάθαρτον καὶ ἡ προαίρεσις ἐπιφέρει τὸν μολυσμόν.

Τί σημαίνει δέ, «διατί νὰ κακολογοῦμαι δι' ἐκεῖνο, διὰ τὸ ὁποῖον ἐγὼ εὐχαριστῶ τὸν Θεόν;». Ἐγὼ μὲν λοιπὸν εὐχαριστῶ τὸν Θεόν, διότι μὲ κατέστησε τόσον ὑψηλὸν καὶ ἀνώτερον ἀπὸ τὸ χαμηλὸν ἐπίπεδον τῶν Ἰουδαίων, ὥστε νὰ μὴ βλάπτωμαι ἀπὸ πουθενά· οἱ εἰδωλολάτραι ὅμως, ἐπειδὴ δὲν γνωρίζουν τὴν εὐσέβειαν καὶ τὴν πίστιν μου, ὑποπτεύονται τὰ ἀντίθετα καὶ θὰ εἰποῦν ὅτι οἱ Χριστιανοὶ ποθοῦν αὐτὰ ποὺ πιστεύομεν ἐμεῖς καὶ εἶναι ὑποκριταί, διότι κατηγοροῦν μὲν καὶ ἀποστρέφονται τοὺς δαίμονας, ἀλλὰ τρέχουν εἰς τὰς τραπέζας των· ἀπὸ τὸ ὁποῖον τί ἄλλο θὰ ἦτο δεῖγμα μεγαλυτέρας ἀναισθησίας; Ἄρα λοιπόν, θὰ εἰποῦν, ὄχι διὰ τὴν ἀλήθειαν, ἀλλ' ἀπὸ ἀγάπην τῆς δόξης καὶ τῆς ἐξουσίας προσῆλθον εἰς τὴν πίστιν.

χίας ἐπὶ τὸ δόγμα τοῦτο ἐληλύθασι. Πόσης οὖν ἀνοίας ἂν εἴη, ὑπὲρ ὧν οὕτως εὐηργετήθην, ὡς καὶ εὐχαριστεῖν, ὑπὲρ τούτων βλασφημίας αἴτιος γίνεσθαι;

Ἀλλὰ ταῦτα καὶ νῦν ἐρεῖ, φησίν, ὁ Ἕλλην, ὅταν ἴδῃ μὴ περιεργαζόμενον; Οὐδαμῶς· οὐδὲ γὰρ πάντα εἰδωλοθύτων γέμει, ἵνα τοῦτο ὑποπτεύσῃ· οὔτε αὐτὸς ὡς εἰδωλοθύτων ἀπογεύῃ. Μὴ τοίνυν περιεργάζου περιττά, μηδ' αὖ πάλιν, λεγόντων τινῶν ὅτι εἰδωλόθυτόν ἐστι, κοινώνει. Καὶ γὰρ ὁ Χριστὸς χάριν σοι ἔδωκε, καὶ ὑψηλόν σε ἐποίησε καὶ μείζονα τῆς ἐκεῖθεν βλάβης, οὐχ ἵνα κακῶς ἀκούσῃς, οὐδ' ἵνα, ὅθεν τοσαῦτα ἐκέρδανας ὡς καὶ εὐχαριστεῖν, ἐντεῦθεν οὕτω βλάψῃς ἑτέρους ὡς καὶ βλασφημεῖν. Διὰ τί γὰρ οὐ λέγω τῷ Ἕλληνι, φησίν, ὅτι καὶ τρώγω καὶ οὐδὲν βλάπτομαι, καὶ ὅτι οὐχ ὡς φιλῶν τοὺς δαίμονας τοῦτο ποιῶ; Ὅτι οὐ δύνασαι πεῖσαι, κἂν μυριάκις λέγῃς· ἀσθενὴς γάρ ἐστι, καὶ πολέμιος. Εἰ γὰρ τὸν ἀδελφὸν οὐδέπω ἔπεισας, πολλῷ μᾶλλον τὸν ἐχθρὸν καὶ Ἕλληνα. Εἰ ἐκεῖνος ἔτι τῇ συνειδήσει τοῦ εἰδωλοθύτου κατέχεται, πολλῷ μᾶλλον ὁ ἄπιστος. Τί δὲ ἡμῖν καὶ πραγμάτων δεῖ τοσούτων; Τί οὖν; ἐπειδὴ Χριστὸν ἔγνωμεν καὶ εὐχαριστοῦμεν, βλασφημοῦσι δὲ ἐκεῖνοι, διὰ τοῦτο ἀποστησόμεθα καὶ τούτου; Ἄπαγε· οὐ γάρ ἐστιν ἴσον. Ἐκεῖ μὲν γὰρ πολὺ τὸ κέρδος ἐκ τοῦ φέρειν τὴν βλασφημίαν, ἐνταῦθα δὲ οὐδὲν ἔσται πλέον. Διὸ καὶ προλαβὼν ἔλεγεν· «Οὔτε γὰρ ἐὰν φάγωμεν, περισσεύομεν, οὔτε ἐὰν μὴ φάγωμεν, ὑστερούμεθα». Καὶ χωρὶς τούτου δὲ φευκτὸν τὸ πρᾶγμα ἀπέφηνεν, ὥστε καὶ ἑτέρωθεν αὐτῶν ἀπέχεσθαι δεῖ, οὐ διὰ τοῦτο μόνον, ἀλλὰ καὶ διὰ τὰς ἄλλας ἃς εἴρηκεν αἰτίας.

Πόσης λοιπὸν ἀνοησίας δεῖγμα θὰ ἦτο, δι' ὅλα ἐκεῖνα μὲ τὰ ὁποῖα εὐηργετήθην, ὥστε καὶ νὰ εὐχαριστῶ, δι' αὐτὰ νὰ γίνωμαι αἴτιος κακολογίας;

Ἀλλ' ἴσως εἰπῇ κάποιος, ὅτι αὐτὰ θὰ τὰ εἰπῇ καὶ τώρα ὁ εἰδωλολάτρης ὅταν ἰδῇ ὅτι δὲν ἐξετάζω τί τρώγω. Καθόλου· διότι δὲν εἶναι ὅλα εἰδωλόθυτα διὰ νὰ ὑποπτευθῇ κάτι τέτοιο· οὔτε σὺ τρώγεις ὡς εἰδωλόθυτα αὐτά. Μὴ λοιπὸν περιεργάζεσαι περιττά, οὔτε πάλιν, ὅταν κάποιοι λέγουν ὅτι εἶναι εἰδωλόθυτον, νὰ τρώγῃς. Διότι ὁ Χριστὸς σὲ κατέστησε μεγαλύτερον καὶ ἀνώτερον ἀπὸ τοῦ νὰ βλάπτεσαι ἀπὸ ἐκεῖνα, ὄχι διὰ ν' ἀκούῃς κακολογίας, οὔτε ἀπὸ ἐκεῖ ποὺ θὰ ἐκέρδιζες τόσα ὥστε καὶ νὰ εὐχαριστῇς τὸν Θεόν, ἀπὸ ἐκεῖ νὰ βλάψῃς ἄλλους ὥστε καὶ νὰ κακολογοῦν. Ἀλλὰ διατί δὲν λέγω εἰς τὸν εἰδωλολάτρην, θὰ εἰπῇ κάποιος, ὅτι καὶ τρώγω καὶ δὲν βλάπτομαι καθόλου, καὶ ὅτι κάμνω αὐτὸ ὄχι διότι ἀγαπῶ τοὺς δαίμονας; Διότι δὲν ἠμπορεῖς νὰ τὸν πείσῃς, ἀκόμη καὶ ἂν τὸ λέγῃς μυρίας φοράς· καθ' ὅσον εἶναι ἀσθενὴς καὶ ἐχθρός. Διότι ἐὰν τὸν ἀδελφὸν δὲν ἔπεισες ἀκόμη, πολὺ περισσότερον τὸν ἐχθρὸν καὶ εἰδωλολάτρην. Ἐὰν ἐκεῖνος κατέχεται ἀκόμη εἰς τὴν συνείδησιν ἀπὸ τὸ εἰδωλόθυτον, πολὺ περισσότερον ἐκεῖνος ποὺ δὲν ἔχει ἀποδεχθῇ τὴν πίστιν. Τί μᾶς χρειάζεται ὅμως νὰ ἔχωμεν τὴν φροντίδα τόσων πραγμάτων; Τί λοιπόν; Ἐπειδὴ ἐγνωρίσαμεν τὸν Χριστὸν καὶ εὐχαριστοῦμεν καὶ ἐπειδὴ κακολογοῦν ἐκεῖνοι, διὰ τοῦτο θ' ἀπομακρυνθῶμεν καὶ ἀπὸ αὐτό; Μακρὰν ἀπὸ παρομοίαν σκέψιν· καθ' ὅσον δὲν εἶναι τὸ ἴδιον. Διότι ἀπὸ τοῦ νὰ κακολογῆσαι μὲν διὰ τὴν πίστιν, εἶναι πολὺ τὸ κέρδος, ἐδῶ ὅμως καθόλου. Διὰ τοῦτο καὶ πρὶν ἀπὸ αὐτὸ ἔλεγε· «Διότι οὔτε ἐὰν φάγωμεν εὐδοκιμοῦμεν εἰς τὴν ἀρετήν, οὔτε ἐὰν δὲν φάγωμεν ὑστεροῦμεν εἰς αὐτήν». Καὶ χωρὶς δὲ νὰ ὑπάρχῃ αὐτὸς ὁ λόγος, ἔδειξεν ὅτι πρέπει ν' ἀποφεύγεται αὐτὸ τὸ πρᾶγμα, ὥστε καὶ ἀπὸ ἄλλην πλευρὰν πρέπει ν' ἀποφεύγεται, ὄχι μόνον δι' αὐτό, ἀλλὰ καὶ διὰ τοὺς ἄλλους λόγους ποὺ ἀνέφερε.

3. «Εἴτε οὖν ἐσθίετε, εἴτε πίνετε, εἴτε τι ποιεῖτε, πάντα εἰς δόξαν Θεοῦ ποιεῖτε» Εἶδες πῶς ἀπὸ τοῦ προκειμένου ἐπὶ τὸ καθολικὸν ἐξήγαγε τὴν παραίνεσιν, ἕνα κάλλιστον ὅρον ἡμῖν δούς, τὸ τὸν Θεὸν διὰ πάντων δοξάζεσθαι; «Ἀπρόσκοποι γίνεσθε καὶ Ἰουδαίοις καὶ Ἕλλησι καὶ τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ». Τουτέστι, μηδεμίαν παρέχετε λαβὴν μηδενί. Καὶ γὰρ ὁ ἀδελφὸς σκανδαλίζεται, καὶ ὁ Ἰουδαῖος μᾶλλόν σε μισήσει καὶ καταγνώσεταί σου, καὶ ὁ Ἕλλην ὁμοίως ὡς λαίμαργον οὕτω γελάσεται καὶ ὑποκριτήν. Οὐ μόνον δὲ ἀδελφοὺς οὐ χρὴ πλήττειν, ἀλλ' ἐν τοῖς δυνατοῖς οὐδὲ τοὺς ἔξωθεν. Εἰ γὰρ φῶς ἐσμεν καὶ ζύμη καὶ φωστῆρες καὶ ἅλας, φωτίζειν, οὐ σκοτίζειν δεῖ· σφίγγειν, οὐ παραλύειν· πρὸς ἑαυτοὺς ἐπισπᾶσθαι τοὺς ἀπίστους, οὐ φυγαδεύειν. Τί τοίνυν διώκεις, οὓς ἐφέλκεσθαι δεῖ; Καὶ γὰρ Ἕλληνες πλήττονται, ὅταν ἴδωσι παλινδρομοῦντας ἡμᾶς εἰς τὰ τοιαῦτα· τὴν γὰρ διάνοιαν οὐκ ἴσασιν, οὐδ' ὅτι παντὸς αἰσθητοῦ μολυσμοῦ ἀνωτέρα γέγονεν ἡ ψυχή· καὶ οἱ Ἰουδαῖοι δὲ καὶ τῶν ἀδελφῶν οἱ ἀσθενέστεροι τὰ αὐτὰ πείσονται.

Εἶδες πόσας αἰτίας τέθεικε, δι' ἃς χρὴ τῶν εἰδωλοθύτων ἀπέχεσθαι; διὰ τὸ ἀνόνητον, διὰ τὸ περιττόν, διὰ τὴν τοῦ ἀδελφοῦ βλάβην, διὰ τὴν τοῦ Ἰουδαίου βλασφημίαν, διὰ τὴν τοῦ Ἕλληνος κακηγορίαν, διὰ τὸ μὴ δεῖν δαίμοσι κοινωνεῖν, διὰ τὸ εἰδωλολατρείαν τινὰ εἶναι τὸ πρᾶγμα. Εἶτα, ἐπειδὴ εἶπεν, «Ἀπρόσκοπτοι γίνεσθε», καὶ ὑπευθύνους αὐτοὺς ἐποίησε καὶ τῆς τῶν Ἑλλήνων βλάβης καὶ τῆς τῶν Ἰουδαίων, καὶ βαρὺ τὸ λεγόμενον ἦν, ὅρα πῶς αὐτὸ εὐπαράδεκτον καὶ κοῦφον ποιεῖ, τιθεὶς ἑαυτὸν μέσον, καὶ λέγων· «Καθὼς κἀγὼ πάντα πᾶσιν ἀρέσκω, μὴ ζητῶν τὸ ἐμαυτοῦ συμφέρον, ἀλλὰ τὸ τῶν πολλῶν, ἵνα σωθῶσι. Μι-

3. «Εἴτε λοιπὸν τρώγετε, εἴτε πίνετε εἴτε πράττετε ὁ,τιδήποτε ἄλλο, ὅλα διὰ τὴν δόξαν τοῦ Θεοῦ νὰ τὰ πράττετε». Εἶδες πῶς ἀπὸ τὸ προκείμενον ἐξήγαγε τὴν παραίνεσιν δι' ὅλας γενικῶς τὰς πράξεις καὶ μᾶς ἔδωσεν ἕνα ὡραιότατον κανόνα, τὸ νὰ δοξάζεται ὁ Θεὸς μὲ ὅλα τὰ ἔργα μας; «Μὴ γίνεσθε αἰτία πτώσεως οὔτε εἰς τοὺς Ἰουδαίους, εἴτε εἰς τοὺς ἐθνικούς, οὔτε εἰς τὴν ἐκκλησίαν τοῦ Θεοῦ». Δηλαδή, μὴ δίδετε καμμίαν ἀφορμὴν εἰς κανένα. Διότι καὶ ὁ ἀδελφὸς σκανδαλίζεται καὶ ὁ Ἰουδαῖος περισσότερον θὰ σὲ μισήσῃ καὶ θὰ σὲ κατηγορήσῃ καὶ ὁ Ἕλλην ἐπίσης θὰ σὲ καταγελάσῃ ὡς λαίμαργον καὶ ὑποκριτήν. Πρέπει δὲ νὰ μὴ πληγώνωμεν ὄχι μόνον τοὺς ἀδελφούς, ἀλλ' ὅσον εἶναι δυνατόν, οὔτε τοὺς μὴ πιστούς. Διότι ἐὰν εἴμεθα φῶς καὶ ζύμη καὶ φωστῆρες καὶ ἅλας, πρέπει νὰ φωτίζωμεν, ὄχι νὰ σκοτίζωμεν· νὰ συγκρατῶμεν, ὄχι νὰ παραλύωμεν· νὰ προσελκύωμεν τοὺς μὴ πιστούς, ὄχι νὰ τοὺς ἀποδιώκωμεν. Διατί λοιπὸν ἀποδιώκεις αὐτοὺς ποὺ ἔπρεπε νὰ προσελκύῃς; Διότι καὶ εἰδωλολάτραι βλάπτονται ὅταν μᾶς ἰδοῦν νὰ ἐπιστρέφωμεν εἰς αὐτά· καθ' ὅσον δὲν γνωρίζουν τὴν προαίρεσιν, οὔτε ὅτι ἡ ψυχὴ ἔγινεν ἀνωτέρα ἀπὸ κάθε μολυσμόν· ἀλλὰ καὶ οἱ Ἰουδαῖοι καὶ οἱ ἀσθενέστεροι ἀπὸ τοὺς ἀδελφοὺς εἰς τὴν πίστιν τὰ ἴδια θὰ πάθουν.

Εἶδες πόσους λόγους προέβαλε διὰ τοὺς ὁποίους πρέπει ν' ἀπέχουν ἀπὸ τὰ εἰδωλόθυτα; Διότι εἶναι ἀνωφελές, διότι εἶναι περιττόν, διότι βλάπτεται ὁ ἀεδλφός, διότι κατηγορεῖ ὁ Ἰουδαῖος, διότι κακολογεῖ ὁ εἰδωλολάτρης, διότι δὲν πρέπει νὰ ἔχωμεν ἐπικοινωνίαν μὲ τοὺς δαίμονας, διότι εἶναι εἰδωλολατρεία τὸ πρᾶγμα. Ὕστερον, ἐπειδὴ εἶπεν «Μὴ γίνεσθε αἰτία πτώσεως», καὶ κατέστησεν αὐτοὺς ὑπευθύνους καὶ διὰ τὴν βλάβην τῶν εἰδωλολατρῶν καὶ διὰ τὴν βλάβην τῶν Ἰουδαίων, καὶ ἐπειδὴ ἦτο βαρὺ τὸ λεγόμενον, κοίταξε πῶς κάμνει αὐτὸ εὐκόλως παραδεκτὸν καὶ ἐλαφρόν, ἀφοῦ παρουσιάσῃ τὸν ἑαυτόν του καὶ εἰπῇ· «ὅπως καὶ ἐγὼ ἀρέσω εἰς ὅλους καθ' ὅλα καὶ δὲν ζητῶ τὸ ἰδικόν μου σμφέρον, ἀλλὰ τὸ συμφέρον τῶν πολλῶν, διὰ νὰ σω-

μιμηταί μου γίνεσθε, καθὼς κἀγὼ Χριστοῦ». Τοῦτο κανὼν Χριστιανισμοῦ τοῦ τελειοτάτου, τοῦτο ὅρος ἠκριβωμένος, αὕτη ἡ κορυφὴ ἡ ἀνωτάτω, τὸ τὰ κοινῇ συμφέροντα ζητεῖν. Ὅπερ καὶ αὐτὸς δηλῶν ἐπήγαγε· «καθὼς κἀγὼ Χριστοῦ». Οὐδὲν γὰρ οὕτω δύναται ποιῆσαι μιμητὴν τοῦ Χριστοῦ, ὡς τὸ κήδεσθαι τῶν πλησίον. Ἀλλὰ κἂν νηστεύσῃς, κἂν χαμευνήσῃς, κἂν ἀπαγχονίσῃς σαυτόν, τοῦ δὲ πλησίον μὴ προνοῇς, οὐδὲν μέγα εἰργάσω, ἀλλ' ἔτι πόρρω ταύτης ἕστηκας τῆς εἰκόνος ταῦτα ποιῶν. Καίτοι ἐνταῦθα μὲν καὶ αὐτὸ φύσει τὸ πρᾶγμα λυσιτελές ἐστι, τὸ ἀπέχεσθαι τῶν εἰδωλοθύτων· ἐγὼ δὲ πολλὰ καὶ τῶν ἀσυμφόρων ἐποίησα, φησίν, οἷον, ὅτε περιέτεμον, ὅτε ἔθυσα. Ταῦτα γὰρ εἴ τις καθ' ἑαυτὰ ἐξετάσειε, καὶ ἀπόλλυσι τοὺς μετιόντας, καὶ τῆς σωτηρίας ἐκπίπτειν ποιεῖ· ἀλλ' ὅμως ὑπέμεινα καὶ ταῦτα διὰ τὸ ἐξ αὐτῶν κέρδος.

Ἐνταῦθα δὲ οὐδὲν τοιοῦτον. Ἐκεῖ μὲν γάρ, ἂν μὴ προσῇ ἡ ὠφέλεια καὶ τὸ δι' ἑτέρους γενέσθαι, τότε βλάβος τὸ πρᾶγμα γίνεται· ἐνταῦθα δέ, κἂν μηδεὶς ὁ σκανδαλιζόμενος ᾖ, καὶ οὕτως ἀπέχεσθαι τῶν κεκωλυμένων χρή. Οὐ μόνον δὲ βλαβερά, ἀλλὰ καὶ ἐπίπονα ὑπέμεινα. «Ἄλλας» γὰρ «ἐκκλησίας ἐσύλησα», φησί, «λαβὼν ὀψώνιον»· καὶ ἐξὸν ἐσθίειν καὶ μὴ ἐργάζεσθαι, οὐκ ἐζήτησα τοῦτο, ἀλλ' εἱλόμην λιμῷ διαφθαρῆναι μᾶλλον ἢ σκανδαλίσαι ἕτερον. Διὰ τοῦτό φησι, «Πάντα πᾶσιν ἀρέσκω». Ἄν τε παράνομον, ἄν τε ἐπίπονον καὶ ἐπικίνδυνον δέῃ ποιῆσαι, πάντα εἰς τὸ ἑτέρων συμφέρον ὑπομένω. Πάντων γοῦν ἀνώτερος ὢν κατὰ τὴν ἀκρίβειαν, πάντων κατώτερος γέγονε κατὰ τὴν συγκατάβασιν.

θοῦν. Μιμηταί μου γίνεσθε, ὅπως εἶμαι καὶ ἐγὼ τοῦ Χριστοῦ». Αὐτὸ εἶναι ὁ τελειότατος κανὼν τοῦ Χριστιανισμοῦ, αὐτὸ ἡ ὀρθὴ βάσις, αὐτὴ ἡ ἀνωτάτη κορυφή, τὸ νὰ ἐπιδιώκῃς τὰ συμφέροντα ὅλων. Πρᾶγμα τὸ ὁποῖον διὰ νὰ δηλώσῃ καὶ αὐτὸς προσέθεσεν˙ «ὅπως καὶ ἐγὼ τοῦ Χριστοῦ». Διότι τίποτε δὲν εἶναι τόσον δυνατὸν νὰ σὲ ἀναδείξῃ μιμητὴν τοῦ Χριστοῦ, ὅσον τὸ νὰ φροντίζῃς διὰ τὸν πλησίον. Ἀλλ᾽ εἴτε νηστεύσεις, εἴτε κακοπάθεις κοιμώμενος κάτω δι᾽ ἄσκησιν, εἴτε ἀπαγχονίσεις τὸν ἑαυτόν σου, διὰ τὸν πλησίον ὅμως δὲν φροντίζεις, τίποτε μέγα δὲν ἔκανες, ἀλλ᾽ ἀκόμη ἀπέχεις πολύ, πράττων αὐτά, ἀπὸ τοῦ νὰ πλησιάσῃς τὸ πρότυπόν σου τὸν Χριστόν. Ἂν καὶ ἐδῶ μὲν καὶ αὐτὸ τὸ πρᾶγμα εἶναι ἀπὸ τὴν φύσιν του ὠφέλιμον, τὸ νὰ ἀπέχῃς ἀπὸ τὰ εἰδωλόθυτα˙ ἐγὼ δὲ ἔπραξα πολλὰ καὶ ἀπὸ αὐτὰ ποὺ δὲν συμφέρουν, λέγει, ὅπως ὅταν προέτρεψα εἰς περιτομήν, ὅταν προσέφερα θυσίαν. Διότι αὐτὰ ἐὰν τὰ ἐξετάσῃ κανεὶς καθ᾽ ἑαυτά, κάμνουν αὐτοὺς ποὺ τὰ χρησιμοποιοῦν καὶ νὰ χάνωνται καὶ νὰ ἐκπίπτουν ἀπὸ τὴν σωτηρίαν˙ ἀλλ᾽ ὅμως ὑπέμεινα καὶ αὐτὰ διὰ τὸ κέρδος ποὺ προέρχεται ἀπὸ αὐτά.

Ἐδῶ ὅμως δὲν ὑπάρχει κανὲν κέρδος. Διότι ἐκεῖ μὲν ἐὰν δὲν ἀποκομισθῇ ὠφέλεια ἀπὸ ὅ,τι γίνεται δι᾽ ἄλλους, τότε τὸ πρᾶγμα ἀποβαίνει εἰς βλάβην˙ ἐδῶ δέ, καὶ ἂν ἀκόμη κανεὶς δὲν σκανδαλίζεται, πρέπει ν᾽ ἀπέχωμεν ἀπὸ ὅσα εἶναι ἀπηγορευμένα. Ὄχι μόνον δὲ βλαβερά, ἀλλὰ καὶ κοπιαστικὰ ὑπέμεινα. Διότι, «Ἄλλας ἐκκλησίας ἐλεηλάτησα», λέγει, «διὰ νὰ λάβω τὰ ἀναγκαῖα»˙ καὶ ἐνῷ ἦτο δυνατὸν νὰ τρώγω καὶ νὰ μὴ ἐργάζωμαι, δὲν ἐπεζήτησα αὐτό, ἀλλὰ προετίμων μᾶλλον ν᾽ ἀποθάνω ἀπὸ τὴν πεῖναν, παρὰ νὰ σκανδαλίσω ἄλλον. Διὰ τοῦτο λέγει, «ἀρέσω εἰς ὅλους καθ᾽ ὅλα». Καὶ ἐὰν κάτι παράνομον ἢ κάτι κοπιαστικὸν ἢ κάτι ἐπικίνδυνον πρέπει νὰ κάνω, ὅλα τὰ ὑπομένω διὰ τὸ συμφέρον τῶν ἄλλων. Ἐνῷ λοιπὸν ἦτο ἀνώτερος ὅλων εἰς τὴν τελειότητα ἔγινε κατώτερος ὅλων εἰς τὴν συγκατάβασιν.

4. Καὶ γὰρ οὐδὲν κατόρθωμα σφόδρα μέγα εἶναι δύναιτ' ἄν, ὅταν μὴ τὸ κέρδος καὶ εἰς ἑτέρους διαδιδῷ. Καὶ δηλοῖ ὁ τὸ τάλαντον ὑγιὲς προσενεγκών, καὶ διχοτομηθεὶς ἐπειδὴ αὐτὸ οὐκ ἐπλεόνασε. Καὶ σὺ τοίνυν, ἀδελφέ, κἂν ἄσιτος μένῃς, κἂν χαμαὶ καθεύδῃς, κἂν τέφραν ἐσθίῃς καὶ θρηνῇς διαπαντός, καὶ μηδένα ἕτερον ὠφελῇς, οὐδὲν μέγα ἐργάσῃ. Καὶ γὰρ καὶ τοῖς ἐν ἀρχῇ μεγάλοις καὶ γενναίοις ἐκείνοις ἀνδράσι τοῦτο μάλιστα περισπούδαστον ἦν. Ἐξέτασον αὐτῶν μετὰ ἀκριβείας τὸν βίον, καὶ ὄψει σαφῶς, ὅτι οὐδεὶς αὐτῶν τὰ ἑαυτοῦ ποτε ἐσκόπησεν, ἀλλὰ τὰ τοῦ πλησίον ἕκαστος· ὅθεν καὶ ἔλαμψαν μᾶλλον. Καὶ γὰρ καὶ τῷ Μωϋσῇ πολλὰ καὶ μεγάλα εἰργάσθη θαύματα καὶ σημεῖα· ἀλλ' οὐδὲν οὕτως αὐτὸν μέγαν ἐποίησεν, ὡς ἡ μακαρία ἐκείνη φωνή, ἣν πρὸς τὸν Θεὸν ἀφῆκε, λέγων· «Εἰ μὲν ἀφῇς αὐτοῖς τὴν ἁμαρτίαν, ἄφες· εἰ δὲ μή, κἀμὲ ἐξάλειψον». Τοιοῦτος ἦν καὶ ὁ Δαυΐδ· διὸ καὶ ἔλεγεν, «Ἐγὼ ὁ ποιμὴν ἥμαρτον καὶ ἐγὼ ἐκακοποίησα, καὶ οὗτοι τὸ ποίμνιον τί ἐποίησαν; Γενέσθω ἡ χείρ σου ἐπ' ἐμέ, καὶ ἐπὶ τὸν οἶκον τοῦ πατρός μου». Οὕτω καὶ ὁ Ἀβραὰμ οὐκ ἐζήτει τὸ ἑαυτοῦ συμφέρον, ἀλλὰ τὸ τῶν πολλῶν. Διὸ καὶ κινδύνοις ἑαυτὸν ἐξεδίδου, καὶ τὸν Θεὸν ὑπὲρ τῶν οὐδὲν αὐτῷ προσηκόντων παρεκάλει.

Καὶ οὗτοι μὲν οὕτως ἔλαμψαν· οἱ δὲ τὰ ἑαυτῶν ζητήσαντες σκόπει πῶς καὶ ἐβλάβησαν. Ὁ γοῦν ἀδελφιδοῦς ὁ τούτου, ἐπειδὴ ἤκουσεν, «Εἰ σὺ εἰς δεξιά, ἐγὼ εἰς ἀριστερά», καὶ τὴν αἵρεσιν λαβών, τὸ ἑαυτοῦ συμφέρον ἐζήτησεν, οὐδὲ τὸ ἑαυτοῦ εὗρεν· ἀλλ' αὕτη μὲν ἐνεπυρίζετο ἡ χώρα, ἐκείνη δὲ ἔμενεν ἀνέπαφος. Ὁ Ἰωνᾶς πάλιν οὐ ζητήσας τὸ τῶν πολλῶν συμφέρον, ἀλλὰ τὸ ἑαυτοῦ, καὶ ἀπολέσθαι ἐκινδύνευ-

1. Ἐξ. 32, 32.
2. Β΄ Βασ. 24, 17.
3. Γεν. 13, 9.

4. Βεβαίως κανὲν κατόρθωμα δὲν θὰ ἦτο πολὺ μέγα, ὅταν δὲν μεταδίδῃ τὸ κέρδος καὶ εἰς ἄλλους. Καὶ γίνεται φανερὸν αὐτὸ ἀπὸ ἐκεῖνον ὁ ὁποῖος ἐπέστρεψε τὸ τάλαντον ἀκέραιον καὶ ἐτιμωρήθη ἐπειδὴ δὲν τὸ ηὔξησε. Λοιπὸν καὶ σύ, ἀδελφέ, καὶ ἂν ἀκόμη δὲν τρώγῃς καθόλου, καὶ ἂν κοιμᾶσαι εἰς τὴν γῆν, καὶ ἂν τρώγῃς στάκτην καὶ θρηνῇς παντοτινὰ καὶ δὲν ὠφελήσῃς κανένα ἄλλον, τίποτε σπουδαῖον δὲν θὰ κάνῃς. Διότι καὶ εἰς τὴν ἀρχαίαν ἐποχὴν εἰς τοὺς μεγάλους καὶ γενναίους ἐκείνους ἄνδρας αὐτὸ ἦτο περισσότερον ποθητὸν ἀπὸ κάθε τι. Γνώρισε μὲ ἀκρίβειαν τὸν βίον των καὶ θὰ ἰδῇς σαφῶς, ὅτι κανεὶς ἀπὸ αὐτοὺς ἐπεδίωξε ποτὲ τὰ ἰδικά του, ἀλλ' ὁ καθεὶς τὸ συμφέρον τοῦ πλησίον· διὰ τοῦτο καὶ ἔλαμψαν περισσότερον. Διότι καὶ εἰς τὸν Μωϋσῆν ἔγιναν πολλὰ καὶ μεγάλα θαύματα καὶ σημεῖα· ἀλλὰ κανὲν δὲν ἀνέδειξεν αὐτὸν τόσον μέγαν, ὅσον οἱ μακάριοι ἐκεῖνοι λόγοι τοὺς ὁποίους εἶπε πρὸς τὸν Θεὸν ὅταν εἶπεν· «Καὶ τώρα ἂν θέλῃς νὰ συγχωρήσῃς αὐτούς, συγχώρησέ τους, ἐὰν δὲν τοὺς συγχωρήσῃς, ἐξάλειψε μαζὶ μὲ αὐτοὺς καὶ ἐμὲ ἀπὸ τὸ βιβλίον τῆς ζωῆς εἰς τὸ ὁποῖον μὲ ἔχεις γραμμένον»[1]. Τέτοιος ἦτο καὶ ὁ Δαυῒδ· δι' αὐτὸ καὶ ἔλεγεν, «Ἐγὼ ὁ ἡγεμὼν ἡμάρτησα καὶ ἐγὼ ἔπραξα τὸ κακόν, αὐτοί, ὁ λαός, εἰς τί ἔπταισαν; Ἂς πέσῃ τὸ χέρι σου ἐπάνω μου καὶ εἰς τὸν οἶκον τοῦ πατρός μου»[2]. Ἔτσι καὶ ὁ Ἀβραὰμ δὲν ἐπεζήτει τὸ ἰδικόν του συμφέρον, ἀλλὰ τὸ συμφέρον τῶν πολλῶν. Διὰ τοῦτο καὶ ἐξέθετε τὸν ἑαυτόν του εἰς κινδύνους καὶ παρεκάλει τὸν Θεὸν δι' ὅσα δὲν ἦσαν ἰδικά του.

Καὶ αὐτοὶ μὲν ἔτσι ἔλαμψαν· ἐνῷ ἐκεῖνοι ποὺ ἐπεζήτησαν τὰ ἰδικά των συμφέροντα κοίταξε πῶς ἐπὶ πλέον καὶ ἐβλάβησαν. Λοιπόν, ὁ ἀνεψιὸς τοῦ Ἀβραὰμ ὅταν ἤκουσεν, «Ἐὰν σὺ ὑπάγῃς δεξιᾷ, ἐγὼ θὰ ὑπάγω ἀριστερά»[3], καὶ ἐπειδὴ τοῦ ἐδόθη ἡ εὐχέρεια τῆς ἐκλογῆς ἐζήτησε τὸ συμφέρον του, δὲν εὑρῆκε τὸ συμφέρον του· ἀλλ' ἡ χώρα ποὺ ἐξέλεξε κατεκάη ἀπὸ τὸν Θεόν, ἐνῷ ἡ τοῦ Ἀβραὰμ ἔμεινεν ἀπείρακτος. Ὁ Ἰωνᾶς ἐπίσης ἐπειδὴ δὲν ἐπεζήτησε τὸ συμφέρον τῶν πολλῶν, ἀλλὰ τὸ ἰδικόν του, ἐκιν-

σε· καὶ ἡ μὲν πόλις εἱστήκει, αὐτὸς δὲ ἐσαλεύετο καὶ ἐκλυδωνίζετο καὶ κατεποντίζετο. Ὅτε δὲ τὸ τῶν πολλῶν συμφέρον ἐζήτησε, τότε καὶ τὸ ἑαυτοῦ εὗρεν. Οὕτω καὶ ὁ Ἰακὼβ ἐπὶ τῶν ποιμνίων μὴ ζητήσας τὸ οἰκεῖον κέρδος, τῆς πολλῆς εὐπορίας ἀπέλαυσε. Καὶ ὁ Ἰωσὴφ δὲ τὸ τῶν ἀδελφῶν συμφέρον ζητήσας, εὗρε τὸ ἑαυτοῦ. Πεμπόμενος γοῦν παρὰ τοῦ πατρός, οὐκ εἶπε, τί τοῦτο; οὐκ ἤκουσας ὅτι ὑπὲρ ὄψεως καὶ ἐνυπνίων διασπάσαι με ἐπεχείρουν, καὶ ὀνειράτων εὐθύνας ὑπεῖχον, καὶ τοῦ φιλεῖσθαί με παρὰ σοῦ δίδωμι δίκην; τί οὖν οὐκ ἐργάσονταί με λαβόντες εἰς μέσον; Οὐδὲν τούτων οὐκ εἶπεν, οὐκ ἐνενόησεν, ἀλλὰ πάντων προτιμᾷ τὴν τῶν ἀδελφῶν θεραπείαν. Διὰ τοῦτο καὶ πάντων τῶν μετὰ ταῦτα ἀπέλαυσεν ἀγαθῶν, ἃ καὶ σφόδρα λαμπρὸν αὐτὸν ἐποίησαν καὶ ἔνδοξον ἀπέφηναν.

Οὕτω καὶ Μωϋσῆς· οὐδὲν γὰρ κωλύει ἐκ δευτέρου πάλιν αὐτοῦ μνησθῆναι, καὶ ἰδεῖν πῶς τὰ καθ' ἑαυτὸν παρεώρα, καὶ τὰ τῶν ἄλλων ἐζήτει. Οὗτος γὰρ ἐν βασιλείοις στρεφόμενος, ἐπειδὴ μείζονα πλοῦτον ἡγήσατο τῶν Αἰγύπτου θησαυρῶν τὸν ὀνειδισμὸν τοῦ Χριστοῦ, καὶ πάντα ἀπὸ τῶν χειρῶν ῥίψας ἐκοινώνει τῶν κακῶν τοῖς Ἑβραίοις, οὐ μόνον αὐτὸς οὐκ ἐδουλώθη, ἀλλὰ καὶ ἐκείνους δουλείας ἀπήλλαξε. Μεγάλα μὲν οὖν ταῦτα, καὶ ἀγγελικῆς ἄξια πολιτείας· τὸ δὲ τοῦ Παύλου πολλὴν ἔχει τὴν ὑπερβολήν. Οἱ μὲν γὰρ ἄλλοι πάντες τὰ αὐτῶν ἀφέντες ἀγαθά, τοῖς τῶν πλησίον εἵλοντο κοινωνεῖν κακοῖς· ὁ δὲ Παῦλος πολλῷ μεῖζον ἐποίησεν. Οὐ γὰρ ταῖς ἑτέρων ἠθέλησε κοινωνῆσαι συμφοραῖς, ἀλλ' εἵλετο αὐτὸς εἶναι ἐν τοῖς ἐσχάτοις, ἵνα ἕτεροι γίνωνται ἐν ἀγαθοῖς. Οὐκ ἔστι δὲ ἴσον ὄντα ἐν τρυφῇ ῥῖψαι τρυφὴν καὶ κακουχεῖσθαι, καὶ αὐτὸν μόνον κακουχούμενον ἑτέρους ποιῆ-

δύνευσε καὶ ν᾽ ἀποθάνῃ· καὶ ἡ μὲν πόλις ἵστατο στερεά, ἐνῷ αὐτὸς ἐκλονίζετο καὶ συνεταράσσετο καὶ κατεποντίζετο. Ὅταν ὅμως ἐζήτησε τὸ συμφέρον τῶν πολλῶν, τότε εὑρῆκε καὶ τὸ ἰδικόν του. Ἔτσι καὶ ὁ Ἰακώβ, ἐπειδὴ δὲν ἐζήτησε τὸ ἰδικόν του κέρδος εἰς τὰ ποίμνια, ἀπήλαυσε τὸν πολὺν πλοῦτον. Καὶ ὁ Ἰωσὴφ δέ, ἐπειδὴ ἐζήτησε τὸ συμφέρον τῶν ἀδελφῶν, εὑρῆκε τὸ ἰδικόν του. Ὅταν λοιπὸν ἀπεστάλη ἀπὸ τὸν πατέρα δὲν εἶπε, τί εἶναι αὐτό; Δὲν ἤκουσες ὅτι ἐπεχείρησαν νὰ μὲ ἀφανίσουν διὰ τὸ ὅραμα καὶ τὰ ὄνειρα, καὶ μὲ ἔκριναν παίστην διὰ τὰ ὄνειρα καὶ ἐπειδὴ ἀγαπῶμαι ἀπὸ σὲ καταδικάζομαι; Τί κακὸν λοιπὸν δὲν θὰ μοῦ κάνουν ἀφοῦ μὲ πάρουν μαζί των; Τίποτε ἀπὸ αὐτὰ δὲν εἶπεν, οὔτε ἐσκέφθη, ἀλλὰ προτιμᾷ ἀπὸ ὅλα τὴν τιμὴν τῶν ἀδελφῶν. Διὰ τοῦτο καὶ ἀπήλαυσεν ὅλα τὰ μετὰ ἀπὸ αὐτὰ ἀγαθά, τὰ ὁποῖα καὶ τὸν ἀνέδειξαν πολὺ λαμπρὸν καὶ ἔνδοξον.

Ἔτσι καὶ ὁ Μωϋσῆς· διότι τίποτε δὲν ἐμποδίζει νὰ τὸν μνημονεύσωμεν καὶ διὰ δευτέραν φορὰν καὶ νὰ ἰδοῦμεν πῶς παρέβλεπε τὰ ἰδικά του καὶ ἐπεδίωκε τὰ συμφέροντα τῶν ἄλλων. Αὐτὸς δηλαδὴ ἐνῷ ἔζη εἰς τὰ βασιλικὰ ἀνάκτορα, ἐπειδὴ ἐθεώρησε μεγαλύτερον πλοῦτον τὸ νὰ κατηγορῆται διὰ τὸν Χριστὸν ἀπὸ τοὺς θησαυροὺς τῆς Αἰγύπτου, καὶ ἀφοῦ ἀπέρριψε τὰ πάντα ἀπὸ τὰ χέρια του, συμμετεῖχεν εἰς τὰς συμφορὰς τῶν Ἑβραίων, ὄχι μόνον αὐτὸς δὲν ὑπεδουλώθη, ἀλλὰ καὶ ἐκείνους ἀπήλλαξεν ἀπὸ τὴν δουλείαν. Μεγάλα λοιπὸν εἶναι τὰ ἐν αὐτὰ καὶ ἄξια ἀγγελικοῦ τρόπου ζωῆς, ἀλλὰ τὰ τοῦ Παύλου ὑπερέχουν πολύ. Διότι ὅλοι μὲν οἱ ἄλλοι ἀφοῦ παρητήθησαν ἀπὸ τὸ ἰδικά των ἀγαθά, προετίμων νὰ μετέχουν εἰς τὰς δοκιμασίας τῶν πλησίον· ὁ Παῦλος ὅμως ἔπραξε πολὺ μεγαλύτερα. Διότι δὲν ἠθέλησε μόνον νὰ εἶναι μέτοχος εἰς τὰς συμφορὰς τῶν ἄλλων, ἀλλὰ προετίμα αὐτὸς νὰ εἶναι εἰς τὰ ἔσχατα δεινά, διὰ νὰ ἀπολαύσουν οἱ ἄλλοι τὰ ἀγαθά. Διότι δὲν εἶναι τὸ ἴδιον τὸ ν᾽ ἀπορρίψῃς τὴν ἄνεσιν καὶ τὴν ἀπόλαυσιν, ἐνῷ ζῇς μὲ ἄνεσιν, καὶ νὰ κακουχῆσαι, μὲ τὸ νὰ κακουχῆσαι μόνον ἐσὺ διὰ νὰ φέρῃς εἰς τοὺς ἄλλους

σαι ἐν ἀδείᾳ εἶναι καὶ τιμῇ. Ἐνταῦθα μὲν γὰρ εἰ καὶ μέγα τὸ ἀλλάξασθαι τὰ κακὰ τῶν ἀγαθῶν διὰ τὸν πλησίον, ἀλλ' ὅμως φέρει τινὰ παραμυθίαν τὸ κοινωνοὺς ἔχειν τῆς δυσημερίας· τὸ δὲ αὐτὸν μόνον ἐθέλειν εἶναι ἐν τοῖς λυπηροῖ ἵνα ἕτεροι τῶν χρηστῶν ἀπολαύωσι, τοῦτο πολλῷ νεανικωτέρας ψυχῆς καὶ τοῦ Παύλου φρονήματος.

Οὐ ταύτῃ δὲ μόνον, ἀλλὰ καὶ ἑτέρᾳ ὑπερβολῇ μείζονα νικᾷ τοὺς προειρημένους ἅπαντας. Ὁ μὲν γὰρ Ἀβραὰμ καὶ οἱ λοιποὶ πάντες κινδύνοις ἑαυτοὺς περιέβαλον τοῖς ἐν τῷ παρόντι βίῳ, καὶ πάντες ἁπαξαπλῶς ἐκεῖνοι τοῦτον ᾔτουν τὸν θάνατον· ὁ δὲ Παῦλος τῆς δόξης τῆς μελλούσης ηὔξατο ἐκπεσεῖν ὑπὲρ τῆς ἑτέρων σωτηρίας. Ἔχω καὶ τρίτην εἰπεῖν ὑπερβολήν. Ποίαν δὴ ταύτην; Ὅτι ἐκείνων μὲν ἔνιοι, εἰ καὶ τῶν ἐπιβουλευσάντων προΐσταντο, ἀλλ' ὅμως ὧν τὴν δημαγωγίαν ἦσαν ἐγκεχειρισμένοι· καὶ ταὐτὸν συνέβαινεν, οἷον ἂν εἴ τις υἱοῦ προσταίη φαύλου μὲν καὶ παρανόμου, υἱοῦ δὲ ὅμως· ὁ δὲ Παῦλος ὑπὲρ τούτων ἐβούλετο εἶναι ἀνάθεμα, ὧν οὐκ ἦν ἐμπεπιστευμένος τὴν προστασίαν· εἰς γὰρ τὰ ἔθνη ἦν ἀπεσταλμένος.

5. Εἶδες ψυχῆς μέγεθος καὶ φρονήματος ὕψος αὐτὸν ὑπερβαῖνον τὸν οὐρανόν; Τοῦτον ζήλωσον· εἰ δὲ οὐ δύνασαι, κἂν τοὺς ἐν τῇ παλαιᾷ λάμψαντας. Οὕτω γὰρ εὑρήσεις τὸ ἐπιμελεῖσθαι τἀδελφοῦ, ἐννοήσας ὅτι οὐδὲ ἄλλως δυνήσῃ σοὶ συμφέρον, ἂν τὸ τοῦ πλησίον ζητῇς. Ὥστε ὅταν ὀκνῇς σωθῆναι, διὰ γοῦν σαυτὸν ἐκείνου πρόστηθι καὶ τῶν ἐκείνου πραγμάτων. Ἱκανὰ μὲν γὰρ καὶ τὰ εἰρημένα πεῖσαι, ὅτι ἄλλως οὐκ ἔνι τὸ ἡμῖν συμφέρον εὑρεῖν. Εἰ δὲ βούλει καὶ ἐκ τῶν ἐν συνηθείᾳ παραδειγμάτων τοῦτο μαθεῖν, ἐννόησον εἰ συμβαίη που πῦρ ἀναφθῆναι ἐν οἰκίᾳ, εἶτά τινες τῶν

ἄνεσιν καὶ δόξαν. Διότι ἐδῶ μὲν ἂν καὶ εἶναι μέγα κατόρθωμα τὸ ν' ἀλλάξῃ κανεὶς τὰ ἀγαθὰ μὲ τὰ κακὰ χάριν τοῦ πλησίον, ἔχει ὅμως κάποιαν παρηγορίαν τὸ ὅτι ὑπάρχουν καὶ ἄλλοι ποὺ ὑπομένουν μαζὶ τὴν δυστυχίαν· ἐνῷ τὸ νὰ θέλῃ αὐτὸς νὰ εἶναι μόνο εἰς τὰ λυπηρά, διὰ ν' ἀπολαμβάνουν ἄλλοι τὰ ἀγαθά, αὐτὸ εἶναι ἴδιον πολὺ ἰσχυροτέρας ψυχῆς καὶ τοῦ φρονήματος τοῦ Παύλου.

Ὄχι δὲ μόνον εἰς αὐτό, ἀλλὰ καὶ εἰς ἄλλην ὑπερβολὴν μεγαλυτέραν ὑπερνικᾷ ὅλους ὅσους προείπομεν. Διότι ὁ μὲν Ἀβραὰμ καὶ ὅλοι οἱ ὑπόλοιποι περιεπλέκοντο εἰς κινδύνους ποὺ ἠπείλουν τὴν παροῦσαν ζωήν των καὶ ὅλοι γενικῶς ἐκεῖνοι ἐζήτουν αὐτὸν τὸν θάνατον· ἐνῷ ὁ Παῦλος ηὐχήθη νὰ ἀπωλέσῃ τὴν μέλλουσαν δόξαν διὰ τὴν σωτηρίαν ἄλλων. Ἔχω νὰ εἰπῶ καὶ τρίτην ὑπερβολήν. Ποία εἶναι αὐτή; Ὅτι ἀπὸ ἐκείνους μὲν μερικοί, ἂν καὶ ἐκυβέρνων ἐκείνους οἱ ὁποῖοι τοὺς ἐπεβουλεύοντο, πάντως ἐκυβέρνων ἐκείνους ποὺ τοὺς ἀνέθεσεν ὁ Θεὸς νὰ ὁδηγήσουν· καὶ συνέβαινε τὸ ἴδιον, ὡσὰν κάποιος νὰ ἦτο προστάτης κακοῦ καὶ παρανόμου υἱοῦ, ἀλλ' ὅμως υἱοῦ· ἐνῷ ὁ Παῦλος ἤθελε νὰ εἶναι ἀνάθεμα χάριν ἐκείνων, τῶν ὁποίων δὲν τοῦ εἶχεν ἀνατεθῆ ἡ προστασία· καθ' ὅσον εἰς τοὺς ἐθνικοὺς ἦτο ἀπεσταλμένος.

5. Εἶδες μεγαλεῖον ψυχικὸν καὶ ὑψηλὸν φρόνημα ποὺ ὑπερβαίνει καὶ αὐτὸν τὸν οὐρανόν; Αὐτὸν νὰ ἀγωνισθῇς νὰ ὁμοιάσῃς· ἐὰν ὅμως δὲν ἠμπορῇς, τοὐλάχιστον ἐκείνους ποὺ ἔλαμψαν εἰς τὴν Παλαιὰν Διαθήκην. Διότι ἔτσι θὰ κερδίσῃς αὐτὸ ποὺ σοῦ συμφέρει, ὅταν ἐπιδιώκῃς τὸ συμφέρον τοῦ πλησίον σου. Ὥστε ὅταν δὲν εἶσαι πρόθυμος νὰ φροντίζῃς διὰ τὸν ἀδελφόν, τοὐλάχιστον διὰ τὸν ἑαυτόν σου ὑπερασπίσου καὶ τὰ συμφέροντα ἐκείνου. Βεβαίως εἶναι μὲν ἀρκετὰ καὶ ὅσα ἐλέχθησαν νὰ πείσουν ὅτι δὲν εἶναι δυνατὸν μὲ ἄλλον τρόπον νὰ κερδίσωμεν τὸ συμφέρον μας. Ἐὰν ὅμως θέλῃς νὰ γνωρίσῃς αὐτὸ καὶ ἀπὸ παραδείγματα ἀπὸ τὴν καθημερινὴν ζωήν, σκέψου ἐὰν συνέβαινε κάπου ν' ἀναφθῇ πυρκαϊὰ εἰς κάποιαν οἰκίαν καὶ μερικοὶ ἀπὸ τοὺς γείτονας διὰ νὰ φυλάξουν τὴν περιου-

πλησίον οἰκούντων, τὸ ἑαυτῶν σκοποῦντες μὴ παρατάξωνται τοῖς κινδύνοις, ἀλλὰ κατακλείσαντες ἑαυτοὺς οἴκοι μείνωσι, δεδοικότες μή τις ἐπεισελθὼν ὑφέληταί τι τῶν ἔνδον, ὅσην ὑποστήσονται τιμωρίαν; Καὶ γὰρ τὸ πῦρ ἐπελθὸν ἅπαντα καταφλέξει τὰ ἐκείνων· καὶ ἐπειδὴ τὸ τοῦ πλησίον συμφέρον οὐκ εἶδον, καὶ τὸ ἑαυτῶν προσαπολλύουσι. Καὶ γὰρ ὁ Θεὸς βουλόμενος συνδῆσαι πάντας ἀλλήλοις, τοιαύτην τοῖς πράγμασιν ἐπέθηκεν ἀνάγκην, ὡς ἐν τῷ τοῦ πλησίον συμφέροντι τὸ τοῦ ἑτέρου δεδέσθαι· καὶ ὁ κόσμος ἅπας οὕτω συνέστηκε.

Διὰ δὴ τοῦτο καὶ ἐν πλοίῳ, εἰ χειμῶνος γενομένου ὁ κυβερνήτης ἀφεὶς τὸ τῶν πολλῶν συμφέρον, τὸ ἑαυτοῦ ζητοίη μόνον, καὶ ἑαυτὸν καὶ ἐκείνους καταδύσει ταχέως. Καὶ ἑκάστη δὲ τέχνη εἰ τὸ ἑαυτῆς συμφέρον σκοποίη μόνον, οὐκ ἄν ποτε ὁ βίος σταίη, οὐδὲ ἡ τέχνη ἡ τοῦτο ζητοῦσα. Διὰ τοῦτο ὁ γεωργὸς οὐ τοσοῦτον σπείρει σῖτον, ὅσον ἀρκέσαι ἑαυτῷ· ἐπεὶ πάλαι καὶ ἑαυτὸν καὶ τοὺς ἄλλους ἀπώλεσεν ἄν· ἀλλὰ τὸ τῶν πολλῶν ζητεῖ· καὶ ὁ στρατιώτης, οὐχ ἵνα ἑαυτὸν διασώσῃ παρατάττεται πρὸς κινδύνους, ἀλλ' ἵνα καὶ τὰς πόλεις ἐν ἀσφαλείᾳ καταστήσῃ· καὶ ὁ ἔμπορος οὐ τοσαῦτα κομίζει, ὅσα αὐτῷ μόνον ἀρκέσαι, ἀλλ' ὅσα καὶ ἑτέροις πολλοῖς. Εἰ δὲ λέγοι τις, ὅτι οὐχὶ τὸ ἐμόν, ἀλλὰ τὸ ἑαυτοῦ ἕκαστος σκοπῶν, ταῦτα ποιεῖ· καὶ γὰρ χρήματα ἑαυτῷ καὶ ἀσφάλειαν καὶ δόξαν κτώμενος, ἅπαντα πραγματεύεται ταῦτα· ὥστε τὸ ἐμὸν συμφέρον ζητῶν, τὸ ἑαυτοῦ ζητεῖ· τοῦτο καὶ ἐγώ φημι, καὶ πάλαι ἀκοῦσαι ἐβουλόμην, καὶ ὑπὲρ τούτου πάντα τὸν λόγον ἐποιησάμην, ὥστε δεῖξαι, ὅτι τότε τὸ ἑαυτοῦ ζητεῖ συμφέρον ὁ πλησίον, ὅταν τὸ σὸν σκοπήσῃ. Ἐπειδὴ γὰρ ἑτέρως οὐκ ἠνείχοντο ἄνθρωποι τὰ τοῦ πλησίον

σίαν των δὲν προσπαθήσουν ν' ἀπομακρύνουν τὸν κίνδυνον, ἀλλ' ἀφοῦ κλεισθοῦν εἰς τοὺς οἴκους των μείνουν ἐκεῖ, ἀπὸ φόβον μήπως ἔλθῃ κανεὶς καὶ κλέψῃ κάτι ἀπὸ ὅσα ἔχουν μέσα· πόσην τιμωρίαν θὰ ὑποστοῦν; Καθ' ὅσον ἀφοῦ ἐπιπέσῃ εἰς τὴν οἰκίαν των ἡ πυρκαϊὰ θὰ κατακαύσῃ ὅ,τι ἔχουν· καὶ ἐπειδὴ δὲν ἐνδιεφέρθησαν διὰ τὸ συμφέρον τοῦ πλησίον, χάνουν καὶ τὸ ἰδικόν τῶν. Διότι ὁ Θεὸς θέλων νὰ συνδέσῃ ὅλους μεταξύ των, ἔθεσε τέτοια ἀνάγκην εἰς τὰ πράγματα, ὥστε εἰς τὸ συμφέρον τοῦ πλησίον νὰ εἶναι δεμένον καὶ τὸ τοῦ καθενός· καὶ ὅλος ὁ κόσμος ἔτσι ἔχει συγκροτηθῆ.

Διὰ τοῦτο λοιπὸν καὶ εἰς τὸ πλοῖον, ἐάν, ὅταν συμβῇ τρικυμία, ὁ κυβερνήτης ἀδιαφορήσῃ διὰ τὸ συμφέρον τῶν πολλῶν καὶ ἐπιδιώξῃ μόνον τὸ ἰδικόν του, καὶ τὸν ἑαυτόν του καὶ ἐκείνους θὰ βυθίσῃ συντόμως. Ἀλλὰ καὶ κάθε ἐπάγγελμα ἐὰν ἀποσκοπῇ εἰς τὸ συμφέρον μόνον ἐκείνου ποὺ τὸ ἀσκεῖ, δὲν θὰ ἠμπορέσῃ ποτὲ νὰ ὑπάρξῃ καὶ νὰ σταθῇ ἡ ζωή, οὔτε ὁ ἐπαγγελματίας ποὺ ἐπιδιώκει αὐτό. Δι' αὐτὸ ὁ γεωργὸς δὲν σπείρει τόσον σῖτον ὅσος εἶναι ἀρκετὸς διὰ τὸν ἑαυτόν του· διότι ἐξ ἀρχῆς θὰ εἶχεν ἀφανίσει καὶ τὸν ἑαυτόν του καὶ τοὺς ἄλλους· ἀλλὰ τὸ συμφέρον τῶν πολλῶν ζητεῖ· καὶ ὁ στρατιώτης παρατάσσεται ἐναντίον τῶν κινδύνων, ὄχι διὰ νὰ σώσῃ τὸν ἑαυτόν του, ἀλλὰ διὰ ν' ἀσφαλίσῃ καὶ τὰς πόλεις ἀπὸ τὸν κίνδυνον· καὶ ὁ ἔμπορος δὲν μεταφέρει τόσα ἐμπορεύματα, ὅσα θὰ εἶναι ἀρκετὰ διὰ τὸν ἑαυτόν του μόνον, ἀλλ' ὅσα ἀρκοῦν καὶ δι' ἄλλους πολλούς. Ἐὰν δὲ εἰπῇ κανεὶς ὅτι ὄχι διὰ τὸ ἰδικόν μου, ἀλλὰ τὸ ἰδικόν του συμφέρον ὁ καθεὶς πράττει αὐτά· διότι ὅλα αὐτὰ τὰ ἐπιχειρεῖ διὰ ν' ἀπαιτήσῃ διὰ τὸν ἑαυτόν του καὶ χρήματα καὶ ἀσφάλειαν καὶ δόξαν καὶ ἐπομένως ζητῶν τὸ ἰδικόν μου συμφέρον, τὸ ἰδικόν του ἐπιδιώκει· αὐτὸ λέγω καὶ ἐγώ, καὶ ἐξ ἀρχῆς ἤθελον νὰ τὸ ἀκούσω, καὶ δι' αὐτὸ ἔκανα ὅλην τὴν ὁμιλίαν, διὰ νὰ δείξω ὅτι τότε ζητεῖ τὸ ἰδικόν του συμφέρον ὁ πλησίον, ὅταν ἀποβλέψῃ εἰς τὸ ἰδικόν σου. Ἐπειδὴ δηλαδὴ μὲ ἄλλον τρόπον δὲν θὰ ἦτο δυνατὸν οἱ ἄνθρωποι νὰ ἐπιζητοῦν τὰ

ζητεῖν, εἰ μὴ εἰς ταύτην καταστaῖεν τὴν ἀνάγκην, διὰ τοῦτο οὕτως αὐτὰ συνέζευξεν ὁ Θεός, καὶ οὐκ ἀφίησι πρότερον ἐπὶ τὸ οἰκεῖον συμφέρον ἐλθεῖν, μὴ διὰ τῶν ἀλλοτρίων συμφερόντων ὁδεύσαντας.

Τοῦτο μὲν οὖν ἀνθρώπινον, τό οὕτως ἐπὶ τὸ τοῦ πλησίον συμφέρον ἰέναι· δεῖ δὲ μὴ ἐντεῦθεν, ἀλλ' ἀπὸ τῶν τῷ Θεῷ δοκούντων πείθεσθαι. Οὐδὲ γὰρ ἔνι σωθῆναι μὴ τοῦτο ἔχοντα· ἀλλὰ κἂν τὴν ἄκραν φιλοσοφίαν ἀσκῇς, τῶν δὲ λοιπῶν ἀπολλυμένων ἀμελῇς, οὐδεμίαν κτήσῃ παρὰ Θεῷ παρρησίαν. Πόθεν δῆλον; Ἀφ' ὧν ὁ μακάριος ἀπεφήνατο Παῦλος. «Ἐὰν γὰρ ψωμίσω μου τὰ ὑπάρχοντα, καὶ παραδῶ τὸ σῶμά μου, ἵνα καυθῇ, ἀγάπην δὲ μὴ ἔχω, οὐδὲν ὠφελοῦμαι», φησίν. Ὁρᾷς πόσον ὁ Παῦλος ἐπιζητεῖ παρ' ἡμῶν; Καίτοιγε ὁ ψωμίσας, οὐ τὸ ἑαυτοῦ, ἀλλὰ τὸ τοῦ πλησίον ἐζήτησεν. Ἀλλ' οὐκ ἀρκεῖ τοῦτο μόνον, φησί· μετὰ γὰρ γνησιότητος αὐτὸ βούλεται γίνεσθαι καὶ συμπαθείας πολλῆς. Διὰ γὰρ τοῦτο καὶ ἐνομοθέτησεν αὐτὸ ὁ Θεός, ἵνα εἰς σύνδεσμον ἀγάπης ἀγάγῃ. Ὅταν οὖν ἐκεῖνος μὲν τοσοῦτον ἀπαιτῇ μέτρον, ἡμεῖς δὲ μηδὲ τὸ ἔλαττον παρέχωμεν, τίνος ἐσόμεθα ἄξιοι συγγνώμης;

Καὶ πῶς, φησί, τῷ Λὼτ ἔλεγεν ὁ Θεὸς διὰ τῶν ἀγγέλων, «Σώζων σῶζε τὴν σεαυτοῦ ψυχήν; Εἰπέ, πότε, καὶ διὰ τί. Ὅτε ἡ κόλασις ἐφέρετο, ὅτε διορθοῦσθαι ἔδει, ἀλλ' ὅτε κατεγνωσμένοι ἦσαν καὶ ἀνίατα ἐνόσουν, καὶ πρεσβῦται καὶ νέοι εἰς τοὺς αὐτοὺς ἐξεπήδησαν ἔρωτας, καὶ κατακαίεσθαι αὐτοὺς λοιπὸν ἐχρῆν, καὶ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ὅτε οἱ κεραυνοὶ καταφέρεσθαι ἔμελλον. Ἄλλως δὲ οὐδὲ περὶ κακίας καὶ ἀρετῆς τοῦτο εἴρηται, ἀλλὰ περὶ τῆς θεηλάτου πληγῆς. Τί γὰρ ἔδει ποιεῖν, εἰπέ μοι; καθέζεσθαι καὶ δέχεσθαι τὴν τιμωρίαν, καὶ μηδὲν ἐκείνους ὠφελοῦντα κατακαίε-

4. Α' Κορ. 13, 3.
5. Γεν. 19, 22.

τοῦ πλησίον, παρὰ μόνον ἐὰν εὑρίσκοντο εἰς αὐτὴν τὴν ἀνάγκην, διὰ τοῦτο συνέζευξεν ὁ Θεὸς αὐτὰ ἔτσι καὶ δὲν ἀφήνει κανένα νὰ φθάσῃ εἰς τὸ ἰδικόν του συμφέρον, παρὰ ἀφοῦ περάσῃ ἀπὸ τὸ συμφέρον τῶν ἄλλων.

Αὐτὸ λοιπὸν εἶναι τὸ ἀνθρώπινον, τὸ νὰ ἐρχώμεθα μὲ αὐτὸν τὸν τρόπον εἰς τὸ συμφέρον τοῦ πλησίον· πρέπει δὲ νὰ πειθώμεθα ὄχι ἀπὸ αὐτό, ἀλλ' ἀπὸ αὐτὰ ποὺ ἀρέσουν εἰς τὸν Θεόν. Διότι οὔτε νὰ σωθῇς εἶναι δυνατόν, ἐὰν δὲν τηρῇς αὐτὸ τὸ πρᾶγμα· ἀλλὰ καὶ ἂν ἀκόμη ἀσκῆσαι εἰς τὸν τελειότατον τρόπον ζωῆς καὶ σκέψεως, ἀδιαφορῇς ὅμως διὰ τοὺς ἄλλους, ἐνῷ χάνονται, δὲν θ' ἀποκτήσῃς καθόλου παρρησίαν ἐνώπιον τοῦ Θεοῦ. Ἀπὸ ποῦ εἶναι φανερόν; Ἀπὸ ὅσα εἶπεν ὁ μακάριος Παῦλος. Διότι λέγει· «Καὶ ἐὰν μοιράσω εἰς ἐλεημοσύνας ὅλην μου τὴν περιουσίαν, καὶ ἐὰν παραδώσω τὸ σῶμά μου διὰ νὰ καῇ, ἀλλὰ δὲν ἔχω ἀγάπην, εἰς τίποτε δὲν ὠφελοῦμαι»[4]. Βλέπεις πόσην ἀγάπην ζητεῖ ὁ Παῦλος ἀπὸ ἐμᾶς; Ἂν καὶ βεβαίως αὐτὸς ποὺ μοιράζει τὴν περιουσίαν του, ὄχι τὸ ἰδικόν του, ἀλλὰ τοῦ πλησίον τὸ συμφέρον ἐπιδιώκει. Δὲν ἀρκεῖ ὅμως αὐτὸ μόνον, λέγει· διότι θέλει νὰ γίνεται αὐτὸ μὲ γνησίαν διάθεσιν καὶ πολλὴν συμπάθειαν. Διότι δι' αὐτὸ ἔδωσεν αὐτὴν τὴν ἐντολὴν ὁ Θεός, διὰ νὰ ὁδηγήσῃ εἰς σύνδεσμον ἀγάπης. Ὅταν λοιπὸν ἐκεῖνος μὲν ἀπαιτῇ αὐτὸ τὸ μέτρον ἀγάπης, ἐμεῖς ὅμως δὲν δίδωμεν οὔτε τὸ μικρότερον, ποίας συγγνώμης θὰ εἴμεθα ἄξιοι;

Πῶς ὅμως, θὰ εἰπῇ κάποιος, ἔλεγεν ὁ Θεὸς διὰ τῶν ἀγγέλων εἰς τὸν Λώτ, «Σπεῦσε νὰ σωθῇς»[5]; Εἰπέ μου πότε καὶ διατί. Ὅταν ἐπήρχετο ἡ τιμωρία, ὄχι ὅταν ἔπρεπε νὰ διορθωθοῦν, ἀλλ' ὅταν εἶχον καταδικασθῆ καὶ ἔπασχον ἀθεράπευτα, καὶ οἱ γέροντες καὶ οἱ νέοι ἐξετράπησαν εἰς τοὺς αὐτοὺς ἔρωτας καὶ ἔπρεπε λοιπὸν νὰ κατακαοῦν αὐτοί, καὶ εἰς ἐκείνην τὴν ἡμέραν, ὅταν ἐπρόκειτο νὰ πέσουν ἐπάνω των οἱ κεραυνοί. Ἐξ ἄλλου δὲ δὲν εἶπεν αὐτὸ διὰ κακίαν καὶ ἀρετήν, ἀλλὰ διὰ τὴν θεόσταλτον τιμωρίαν. Διότι, εἰπέ μου, τί ἔπρεπε νὰ κάνῃ; Νὰ παραμείνῃ καὶ νὰ δεχθῇ τὴν τιμωρίαν καὶ νὰ κατακαῇ μαζί τους χωρὶς νὰ

σθαι; Ἀλλὰ ἀνοίας τοῦτο ἐσχάτης ἦν. Οὐδὲ γὰρ ἐγὼ τοῦτό φημι, ὅτι ἁπλῶς καὶ εἰκῆ κολάζεσθαι δεῖ παρὰ τὸ τῷ Θεῷ δοκοῦν· ἀλλ᾿ ὅταν ἐν κακίᾳ ἄνθρωπος διατρίβῃ, τότε κελεύω μέσον ἑαυτὸν ἐμβαλόντα, διορθοῦν· εἰ μὲν βούλει, διὰ τὸ τοῦ πλησίον· εἰ δὲ μή, κἂν διὰ τὸ σοὶ λυσιτελοῦν. Τὸ μὲν γὰρ βέλτιον ἐκεῖνο· εἰ δὲ μὴ φθάνεις πρὸς ἐκεῖνο τὸ ὕψος, κἂν διὰ τοῦτο ποίει. Καὶ μηδεὶς τὸ ἑαυτοῦ ζητείτω, ἵνα τὸ ἑαυτοῦ εὕρῃ· καὶ ἐννοήσαντες, ὅτι οὔτε ἀκτημοσύνη, οὔτε μαρτύριον, οὔτε ἄλλο οὐδὲν ἡμῶν προστῆναι δυνήσεται, ἂν μὴ τὴν ἄκραν ἀγάπην ἔχωμεν, ταύτην πρὸ τῶν ἄλλων διατηρῶμεν, ἵνα καὶ τῶν ἄλλων δι᾿ αὐτῆς ἐπιτύχωμεν, καὶ τῶν παρόντων καὶ τῶν ἐπηγγελμένων ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς μετασχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ὠφελήσῃ ἐκείνους εἰς τίποτε; Ἀλλ' αὐτὸ θὰ ἦτο ἔργον μεγίστης ἀνοησίας. Διότι ἐγὼ δὲν λέγω αὐτό, ὅτι πρέπει ἁπλῶς καὶ ὅπως τύχῃ νὰ κολαζώμεθα παρὰ τὸ θέλημα τοῦ Θεοῦ· ἀλλ' ὅταν ὁ ἄνθρωπος ζῇ μέσα εἰς τὴν κακίαν, τότε προτρέπω ἀφοῦ τὸν πλησιάσῃς νὰ τὸν διορθώσῃς· ἐὰν μὲν θέλῃς διὰ τὸ καλὸν τοῦ πλησίον, ἐὰν δὲ ὄχι, τοὐλάχιστον διὰ νὰ ὠφελήσῃς τὸν ἑαυτόν σου. Διότι τὸ καλύτερον μὲν εἶναι ἐκεῖνο· ἐὰν ὅμως δὲν φθάσῃ εἰς ἐκεῖνο τὸ ὕψος, τοὐλάχιστον κάνε το διὰ τὸν ἑαυτόν σου. Καὶ κανεὶς ἂς μὴ ἐπιδιώκῃ τὸ συμφέρον του, διὰ νὰ εὕρῃ τὸ συμφέρον του· καὶ ἀφοῦ κατανοήσωμεν ὅτι οὔτε ἡ ἀκτημοσύνη, οὔτε τὸ μαρτύριον, οὔτε τίποτε ἄλλο θὰ ἠμπορέσῃ νὰ μᾶς σώσῃ, ἐὰν δὲν ἔχωμεν τὴν τελείαν ἀγάπην, αὐτὴν ἂς διατηρῶμεν πρὶν ἀπὸ τὰς ἄλλας ἀρετάς, διὰ νὰ ἐπιτύχωμεν καὶ τὰ ἄλλα δι' αὐτῆς καὶ τὰ παρόντα καὶ τὰ ὑπεσχημένα ἀγαθά· τὰ ὁποῖα εἴθε ὅλοι μας νὰ ἐπιτύχωμεν μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ ΚΣΤ΄
Α΄ Κορ. 11, 2 - 17

«Ἐπαινῶ δὲ ὑμᾶς, ὅτι πάντα μου μέμνησθε, καὶ καθὼς παρέδωκα ὑμῖν τὰς παραδόσεις, οὕτω κατέχετε».

1. Ἀπαρτίσας τὸν περὶ τῶν εἰδωλοθύτων λόγον, ὡς αὐτῷ προσῆκον ἦν, καὶ τελειότατον αὐτὸν πάντων ἐργασάμενος, μέτεισιν ἐφ' ἕτερον· ὃ καὶ αὐτὸ μὲν ἔγκλημα ἦν, οὐ τοσοῦτον δέ. Ὅπερ γὰρ καὶ ἔφθην εἰπών, τοῦτο καὶ νῦν ἐρῶ, ὅτι οὐ πάντα ἐφεξῆς τίθησι τὰ σφοδρὰ κατηγορήματα, ἀλλὰ διαθεὶς αὐτὰ κατὰ τάξιν τὴν προσήκουσαν, εἰς μέσον αὐτῶν παρεμβάλλει τὰ κουφότερα, παραμυθούμενος τὸ ἐπαχθὲς τοῦ λόγου τὸ ἐκ τῆς ἐπιτιμήσεως ἐγγινόμενον τοῖς ἀκούουσι. Διὸ καὶ τὸ πάντων σφοδρότερον ὕστερον τίθησι, τὸ περὶ τῆς ἀναστάσεως. Τέως δὲ ἐφ' ἕτερον χωρεῖ κουφότερον λέγων· «Ἐπαινῶ δὲ ὑμᾶς, ὅτι πάντα μου μέμνησθε». Ὅταν μὲν γὰρ ὡμολογημένον ᾖ τὸ ἁμάρτημα, καὶ κατηγορεῖ σφοδρῶς καὶ ἀπειλεῖ· ὅταν δὲ ἀμφιβαλλόμενον, κατασκευάζει πρῶτον αὐτό, καὶ τότε ἐπιτιμᾷ· καὶ τὸ μὲν ὡμολογημένον ἐπαίρει, τὸ δὲ ἀμφισβητήσιμον δείκνυσιν ὡμολογημένον. Οἷον, ἡ πορνεία ὡμολογημένον ἦν· διόπερ οὐκ ἐδεήθη δεῖξαι, ὅτι ἁμάρτημα ἦν, ἀλλὰ τὸ μέγεθος ἐκεῖ κατασκεύασε τοῦ πλημμελήματος, καὶ κατὰ σύγκρισιν προήγαγε τὸν λόγον. Πάλιν τὸ ἐφ' ἑτέρων δικάζεσθαι, ἁμάρτημα μὲν ἦν, οὐ τοσοῦτον δέ· διόπερ αὐτὸ καὶ παρενέθηκε καὶ κατεσκεύασε. Τὸ τῶν εἰδωλοθύτων πάλιν ἀμφεβάλλετο μέν, ἦν δὲ μέγιστον κακόν· διὸ καὶ ἀποδείκνυσιν ἁμάρτημα ὄν, καὶ ἐπαίρει τῷ λόγῳ. Ὅταν δὲ τοῦτο ποιήσῃ, οὐκ ἀπάγει τῶν ἐγκλημάτων μόνον, ἀλλὰ καὶ εἰς τὰ ἐναντία ἐνάγει.

ΛΟΓΟΣ ΚΣΤ΄
Α΄ Κορ. 11, 2-17

«Σᾶς ἐπαινῶ, ἀδελφοί, διότι εἰς ὅλα μὲ ἐνθυμεῖσθε καὶ κρατεῖτε τὰς παραδόσεις, ὅπως σᾶς τὰς παρέδωσα».

1. Ἀφοῦ ὡλοκλήρωσε τὸν λόγον διὰ τὰ εἰδωλόθυτα, ὅσον ἀνῆκεν εἰς αὐτόν, καὶ ἀφοῦ ἐπεξειργάσθη αὐτὸν ὥστε νὰ γίνῃ τελειότερος ἀπὸ κάθε ἄλλον, ἔρχεται εἰς ἄλλο ζήτημα· πρᾶγμα ποὺ καὶ αὐτὸ μὲν ἦτο ἔγκλημα, ὄχι ὅμως τόσον. Διότι, ὅπως ἤδη εἶπον καὶ θὰ τὸ ἐπαναλάβω καὶ τώρα, δὲν ἐκθέτει τὰς αὐστηρὰς κατηγορίας συνεχῶς, ἀλλὰ ἀφοῦ τακτοποιεῖ αὐτὰ μὲ τὴν πρέπουσαν τάξιν, εἰς τὴν μέσην αὐτῶν παρεμβάλλει τὰ ἐλαφρότερα, καταπραΰνων τὴν βαρύτητα τοῦ λόγου ποὺ πίπτει εἰς τοὺς ἀκούοντας ἀπὸ τὴν συνεχῆ ἐπίπληξιν. Διὰ τοῦτο καὶ τὸ βαρύτερον ἀπὸ ὅλα τὸ τοποθετεῖ μετά, δηλαδὴ τὸ διὰ τὴν ἀνάστασιν. Ἐν τῷ μεταξὺ δὲ προχωρεῖ εἰς ἄλλο ἐλαφρότερον μὲ τοὺς λόγους· «Σᾶς ἐπαινῶ, ἀδελφοί, διότι εἰς ὅλα μὲ ἐνθυμεῖσθε». Διότι ὅταν μὲν εἶναι ὡμολογημένον τὸ ἁμάρτημα, καὶ κατηγορεῖ ἐντόνως καὶ ἀπειλεῖ· ὅταν ὅμως ὑπάρχουν ἀμφιβολίαι δι᾽ αὐτό, πρῶτον τὸ ἀποδεικνύει καὶ τότε ἐπιπλήττει· καὶ τὸ μὲν ὡμολογημένον τὸ τονίζει πάρα πολύ, τὸ δὲ ἀμφισβητούμενον δεικνύει ὡς ὡμολογημένον. Ὅπως δηλαδὴ ἡ πορνεία ἦτο ὡμολογημένον ἁμάρτημα· δι᾽ αὐτὸ δὲν ἐχρειάσθη νὰ ἀποδείξῃ ὅτι ἦτο ἁμάρτημα, ἀλλ᾽ ἐκεῖ ἔδειξε τὸ μέγεθος τῆς ἁμαρτίας καὶ ἐπροχώρησε τὸν λόγον κατ᾽ ἀντιπαραβολήν. Πάλιν τὸ νὰ δικάζωνται ἀπὸ ἐθνικούς, ἦτο μὲν ἁμάρτημα, ἀλλ᾽ ὄχι τόσον βαρύ· διὰ τοῦτο καὶ τὸ παρενέβαλεν αὐτὸ καὶ τὸ ἀπέδειξε. Τὸ σχετικὸν μὲ τὰ εἰδωλόθυτα πάλιν ἦτο μὲν ἀμφίβολον δι᾽ αὐτούς, ἀλλ᾽ ἦτο μέγιστον κακόν· διὰ τοῦτο καὶ ἀποδεικνύει ὅτι εἶναι ἁμάρτημα καὶ τὸ τονίζει μὲ τὸν λόγον. Ὅταν δὲ κάνῃ αὐτό, δὲν ἀρκεῖται μόνον εἰς τὸ ν᾽ ἀπομακρύνῃ ἀπὸ τὰ ἐγκλήματα, ἀλλὰ καὶ ὁδηγεῖ εἰς τὰ ἀντίθετα.

Οὐδὲ γὰρ εἶπεν, ὅτι οὐ δεῖ πορνεύειν μόνον, ἀλλ' ὅτι καὶ πολλὴν ἁγιωσύνην ἐνδείκνυσθαι χρή. Διόπερ ἐπήγαγε· «Δοξάσατε δὴ ἄρα τὸν Θεὸν ἐν τῷ σώματι ὑμῶν, καὶ ἐν τῷ πνεύματι ὑμῶν».

Καὶ εἰπὼν πάλιν, ὅτι οὐ δεῖ σοφὸν εἶναι τὴν ἔξω σοφίαν, οὐκ ἀρκεῖται τούτῳ, ἀλλὰ κελεύει καὶ μωρὸν γενέσθαι. Καὶ συμβουλεύων ἐπὶ τῶν ἔξω μὴ δικάζεσθαι, μηδὲ ἀδικεῖν, προϊὼν καὶ αὐτὸ τὸ δικάζεσθαι ἀναιρεῖ, καὶ συμβουλεύει οὐ μόνον μὴ ἀδικεῖν, ἀλλὰ καὶ ἀδικεῖσθαι. Καὶ περὶ τῶν εἰδωλοθύτων διαλεγόμενος, οὐκ εἶπεν ὅτι τῶν κεκωλυμένων ἀπέχεσθαι δεῖ μόνον, ἀλλ' ὅτι καὶ τῶν συγκεχωρημένων, ὅταν σκάνδαλον γίνηται· καὶ οὐχὶ τοὺς ἀδελφοὺς μόνον μὴ πλήττειν, ἀλλ' οὐδὲ Ἕλληνας οὐδὲ Ἰουδαίους. «Ἀπρόσκοποι» γὰρ «γίνεσθε», φησί, «καὶ Ἰουδαίοις καὶ Ἕλλησι τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ».

Πληρώσας τοίνυν ἅπαντα τὸν περὶ τούτων ἁπάντων λόγον, μετὰ ταῦτα καὶ ἐφ' ἕτερον ἔγκλημα πρόεισι λοιπόν. Τί δὲ τοῦτο ἦν; Αἱ μὲν γυναῖκες ἀνακεκαλυμμέναι καὶ γυμνῇ τῇ κεφαλῇ καὶ ηὔχοντο καὶ προεφήτευον (καὶ γὰρ προεφήτευον τότε γυναῖκες), οἱ δὲ ἄνδρες καὶ ἐκόμων, ἅτε ἐν φιλοσοφίᾳ διατρίψοντες, καὶ περιεβάλλοντο τὰς κεφαλὰς εὐχόμενοι καὶ προφητεύοντες· ὅπερ ἑκάτερον ἑλληνικοῦ νόμου ἦν. Ἐπεὶ οὖν ὑπὲρ τούτων ἤδη παρήνεσαν παρών, καὶ ἴσως οἱ μὲν ἤκουσαν, οἱ δὲ ἠπείθησαν, διὰ τοῦτο καὶ διὰ τῆς ἐπιστολῆς πάλιν, ὥσπερ σοφὸς ἰατρός, ἐπαντλῶν τῷ λόγῳ διορθοῦται τὸ ἁμάρτημα. Ὅτι γὰρ παρήνεσαν ἤδη παρών, δῆλον ἐξ ὧν προοιμιάζεται. Τίνος γὰρ ἕνεκεν οὐδὲν εἰπὼν περὶ τούτου οὐδαμοῦ τῆς ἐπιστολῆς ἔμπροσθεν, ἀλλ' ἀπὸ ἐγκλημάτων ἑτέρων ἐκβάς, εὐθέως φησίν· «Ἐπαινῶ δὲ ὑμᾶς, ὅτι πάντα μου μέμνησθε, καὶ καθὼς παρέδωκα ὑμῖν τὰς παραδόσεις, οὕτω κατέχετε»; Ὁρᾷς ὅτι οἱ μὲν ἤκουσαν, οὓς ἐπαινεῖ, οἱ δὲ παρήκουσαν, οὓς διορθοῦται διὰ τῶν ἑξῆς, λέγων· «Εἰ δέ τις δοκεῖ φιλόνεικος εἶναι, ἡμεῖς τοι-

Διότι δὲν εἶπεν ὅτι μόνον δὲν πρέπει νὰ πορνεύουν· ἀλλ' ὅτι πρέπει καὶ νὰ ἐπιδεικνύουν πολλὴν ἁγιωσύνην. Διὰ τοῦτο εἶπεν εἰς τὴν συνέχειαν· «Δοξάσατε λοιπὸν τὸν Θεὸν διὰ τοῦ σώματός σας καὶ διὰ τοῦ πνεύματός σας».

Καὶ ἀφοῦ εἶπε πάλιν ὅτι δὲν πρέπει νὰ εἶναι κανεὶς σοφὸς ὡς πρὸς τὴν κοσμικὴν σοφίαν, δὲν ἀρκεῖται εἰς αὐτό, ἀλλὰ παραγγέλλει νὰ εἶναι καὶ μωροὶ ὡς πρὸς τὴν κοσμικὴν σοφίαν. Καὶ ὅταν συμβουλεύῃ νὰ μὴ καταφεύγουν καὶ δικάζωνται εἰς ἐθνικούς, οὔτε ν' ἀδικοῦν, προχωρῶν ἀποτρέπει καὶ ἀπὸ τοῦ νὰ δικάζωνται καὶ συμβουλεύει ὄχι μόνον νὰ μὴ ἀδικοῦν, ἀλλὰ καὶ ν' ἀδικοῦνται. Καὶ ὅταν ὡμιλοῦσε διὰ τὰ εἰδωλόθυτα δὲν εἶπεν ὅτι πρέπει μόνον ἀπὸ ὅσα δὲν ἐπιτρέπεται ν' ἀπέχουν, ἀλλὰ καὶ ἀπὸ ὅσα ἐπιτρέπεται, ὅταν αὐτὸ προκαλῇ σκάνδαλον. Διότι λέγει· «μὴ γίνεσθε αἰτία πτώσεως οὔτε εἰς τοὺς Ἰουδαίους, οὔτε εἰς τοὺς ἐθνικούς, οὔτε εἰς τὴν ἐκκλησίαν τοῦ Θεοῦ».

Ἀφοῦ ὡλοκλήρωσε λοιπὸν τὸν λόγον δι' ὅλα αὐτά, μετὰ ἀπὸ αὐτὰ προχωρεῖ πλέον καὶ εἰς ἄλλην κατηγορίαν. Τί ἦτο δὲ αὐτή; Αἱ μὲν γυναῖκες ἀκάλυπτοι καὶ μὲ γυμνὴν τὴν κεφαλὴν καὶ προσηύχοντο καὶ προεφήτευον (διότι τότε προεφήτευον καὶ γυναῖκες), ἐνῷ οἱ ἄνδρες καὶ ἔτρεφον κώμην· ὡσὰν νὰ ἠσχολοῦντο μὲ τὴν φιλοσοφίαν, καὶ ἐκάλυπτον τὰς κεφαλὰς ὅταν προσηύχοντο καὶ προεφήτευον· πρᾶγματα ποὺ ἦσαν εἰδωλολατρικὸς νόμος. Ἐπειδὴ λοιπὸν ἔκανε παραίνεσιν δι' αὐτὰ ὅταν ἦτο παρὼν καὶ ἴσως ἄλλοι μὲν ἤκουσαν, ἄλλοι ὅμως δὲν ἐπειθάρχησαν, δι' αὐτὸ πάλιν καὶ μὲ τὴν ἐπιστολήν, ὡσὰν σοφὸς ἰατρός, ποτίζων μὲ τὸν λόγον, διορθώνει τὸ ἁμάρτημα. Διὰ τὸ ὅτι δὲ τοὺς ἔδωσε παραίνεσιν ὅταν ἤδη ἦτο παρών, εἶναι φανερὸν ἀπὸ τὸν πρόλογον. Διότι διατί, ἐνῷ δὲν εἶπε τίποτε πουθενὰ ἀλλοῦ εἰς τὴν ἐπιστολήν, μόλις τελειώνει ἄλλας κατηγορίας ἀμέσως λέγει, «Σᾶς ἐπαινῶ δέ, διότι εἰς ὅλα μὲ ἐνθυμεῖσθε καὶ κρατεῖτε τὰς παραδόσεις, ὅπως σᾶς τὰς παρέδωσα»; Βλέπεις ὅτι ἄλλοι μὲν ἤκουσαν, τοὺς ὁποίους ἐπαινεῖ, ἄλλοι δὲ παρήκουσαν, τοὺς ὁποίους διορθώνει μὲ τοὺς λόγους ποὺ ἀκολουθοῦν· «Ἐὰν θέλῃ κανεὶς νὰ

αὐτὴν συνήθειαν οὐκ ἔχομεν»; Εἰ γὰρ τῶν μὲν κατωρθωκότων, τῶν δὲ παρακουσάντων, πάντας ὑπέβαλε τῇ κατηγορίᾳ, ἐκείνους τε θρασυτέρους ἐποίησε, καὶ τούτους ῥαθυμοτέρους ἂν εἰργάσατο· νῦν δὲ τοὺς μὲν ἐπαινέσας καὶ ἀποδεξάμενος, τοὺς δὲ κακίσας, καὶ ἐκείνους μᾶλλον ἤλειψε, καὶ τούτους καταδύεσθαι παρεσκεύασεν. Ἱκανὸν μὲν γὰρ καὶ καθ' ἑαυτὸ ἡ κατηγορία πλῆξαι· ὅταν δὲ πρὸς παράθεσιν ἑτέρων κατωρθωκότων καὶ ἐγκωμιαζομένων γίνηται, μεῖζον ἔχει τὸ κέντρον.

Ἀλλὰ τέως οὐκ ἀπὸ κατηγορίας, ἀλλ' ἀπὸ ἐγκωμίων ἄρχεται, καὶ ἐγκωμίων μεγάλων, λέγων· «Ἐπαινῶ δὲ ὑμᾶς ὅτι πάντα μου μέμνησθε». Τοιοῦτον γὰρ τοῦ Παύλου τὸ ἔθος, καὶ ἐπὶ μικροῖς μεγάλους ἐπαίνους ὑφαίνει, οὐ κολακείᾳ τοῦτο ποιῶν, μὴ γένοιτο· πῶς γὰρ ὁ μηδὲ χρημάτων ἐφιέμενος, μήτε δόξης, μήτε ἄλλου μηδενὸς τῶν τοιούτων; ἀλλ' ὑπὲρ τῆς σωτηρίας αὐτῶν πάντα πραγματευόμενος. Διὸ καὶ ἐπαίρει τὸ ἐγκώμιον, λέγων· «Ἐπαινῶ δὲ ὑμᾶς ὅτι πάντα μου μέμνησθε». Ποῖα πάντα; Ὑπὲρ γὰρ τοῦ μὴ κομᾶν μηδὲ κατακαλύπτεσθαι τέως ὁ λόγος ἦν αὐτῷ μόνον· ἀλλ', ὅπερ ἔφην, ἐπιδαψιλεύεται τοῖς ἐγκωμίοις, προθυμοτέρους ποιῶν. Διό φησιν. «Ὅτι πάντα μου μέμνησθε, καὶ καθὼς παρέδωκα ὑμῖν τὰς παραδόσεις, οὕτω κατέχετε». Ἄρα καὶ ἀγράφως πολλὰ παρεδίδου τότε, ὃ καὶ ἀλλαχοῦ πολλαχοῦ δηλοῖ· ἀλλὰ τότε μὲν παρέδωκε μόνον, νῦν δὲ καὶ αἰτιολογίαν τίθησιν. Οὕτω γὰρ καὶ τούτους ἰσχυροτέρους ἐποίει τοὺς ὑπακούοντας, καὶ ἐκείνων κατέσπα τὸ φύσημα τῶν ἐναντιουμένων.

2. Εἶτα οὐ λέγει, ὅτι ὑμεῖς μὲν ὑπηκούσατε, ἕτεροι δὲ παρήκουσαν, ἀλλὰ ἀνυπόπτως ἐκ τῆς διδασκαλίας αὐτὸ αἰνίττεται διὰ τῶν ἑξῆς, οὕτω λέγων· «Θέλω δὲ ὑμᾶς εἰδέναι,

---

1. Α΄ Κορ. 11, 16.

εἶναι φιλόνεικος· ἐμεῖς τέτοιαν συνήθειαν δὲν ἔχομεν»¹; Διότι, ἐάν, ἐνῷ οἱ μὲν ἐτοκτοποίησαν τὸ ζήτημα, οἱ δὲ παρήκουσαν, συμπεριελάμβανε ὅλους εἰς τὴν κατηγορίαν, ἐκείνους μὲν θὰ ἔκαμνε θρασυτέρους, αὐτοὺς δὲ περισσότερον ῥαθύμους· ἐνῷ τώρα ἀφοῦ ἐπήνεσε καὶ ἀπεδέχθη τοὺς μέν, καὶ ἐκατηγόρησε τοὺς δέ, καὶ ἐκείνους περισσότερον ἐνεψύχωσε καὶ αὐτοὺς προητοίμασε διὰ ν' ἀγωνισθοῦν. Διότι ἦτο μὲν ἀρκετὴ καὶ αὐτὴ καθ' ἑαυτὴν ἡ κατηγορία νὰ πληγώσῃ· ὅταν ὅμως γίνεται μαζὶ μὲ σύγκρισιν μὲ ἄλλους οἱ ὁποῖοι κατώρθωσαν αὐτὸ καὶ ἐγκωμιάζονται, ἔχει ὀδυνηρότερον τὸ κεντρί.

Μέχρις ἐδῶ ὅμως ἀρχίζει ὄχι ἀπὸ κατηγορίας, ἀλλ' ἀπὸ ἐπαίνους, καὶ ἐπαίνους μάλιστα μεγάλους μὲ τοὺς λόγους· «Σᾶς ἐπαινῶ δέ, διότι εἰς ὅλα μὲ ἐνθυμεῖσθε». Διότι ἔτσι ἐσυνήθιζεν ὁ Παῦλος, καὶ διὰ μικρὰ κατορθώματα νὰ πλέκῃ μεγάλα ἐγκώμια, ὄχι διὰ κολακείαν, μακρυὰ ἀπὸ τέτοιαν σκέψιν· διότι πῶς θὰ τὸ ἔκαμνεν ἐκεῖνος ποὺ οὔτε χρήματα ἐπεθύμει, οὔτε δόξαν, οὔτε τίποτε ἄλλο παρόμοιον; Ἀλλὰ τὰ ἔκαμνεν ὅλα αὐτὰ διὰ τὴν σωτηρίαν των. Δι' αὐτὸ καὶ δίδει τὸν ἔπαινον μὲ τοὺς λόγους· «Σᾶς ἐπαινῶ δὲ διότι εἰς ὅλα μὲ ἐνθυμεῖσθε». Ποῖα ὅλα; Διότι μέχρι τώρα ὁ λόγος ἐγίνετο μόνον διὰ τὸ νὰ μὴ τρέφουν κώμην καὶ νὰ μὴ κατακαλύπτουν τὴν κεφαλήν· ἀλλ', ὅπως εἶπον, δίδει πλουσιοπαρόχως τοὺς ἐπαίνους, διὰ νὰ τοὺς προθυμοποιήσῃ περισσότερον. Διὰ τοῦτο λέγει. «Διότι εἰς ὅλα μὲ ἐνθυμεῖσθε καὶ κρατεῖτε τὰς παραδόσεις ὅπως σᾶς τὰς παρέδωσα». Ἄρα παρέδωσεν εἰς αὐτοὺς τότε καὶ πολλὰ πράγματα ἀγράφως, πρᾶγμα ποὺ δεικνύει καὶ εἰς πολλὰ ἄλλα σημεῖα· ἀλλὰ τότε μὲν παρέδωσε μόνον, τώρα ὅμως θέτει καὶ τὴν αἰτίαν. Διότι ἔτσι καὶ αὐτοὺς ποὺ ὑπήκουον ἔκαμνε ἰσχυροτέρους, καὶ συνέτριβε τὴν ὑπερηφάνειαν ἐκείνων ποὺ ἀντετίθεντο.

2. Ὕστερον δὲν λέγει ὅτι σεῖς μὲν ὑπηκούσατε, ἄλλοι δὲ παρήκουσαν, ἀλλὰ χωρὶς νὰ δώσῃ ὑποψίαν ὑπαινίσσεται αὐτὸ ἀπὸ τὴν διδασκαλίαν μὲ αὐτὰ ποὺ λέγει ἀκολούθως· «Ἀλλὰ θέλω νὰ γνωρίζετε ὅτι ἡ κεφαλὴ κάθε

ὅτι παντὸς ἀνδρὸς ἡ κεφαλὴ ὁ Χριστός ἐστι· κεφαλὴ δὲ γυναικὸς ὁ ἀνήρ· τίθησι δὲ αὐτήν, τοὺς ἀσθενεστέρους προσεκτικωτέρους ποιῶν. Ὁ μὲν γὰρ πιστός, ὡς χρή, καὶ ἐρρωμένος οὐδὲ δεῖται λόγου οὐδὲ αἰτίας, ὑπὲρ ὧν ἂν ἐπιταχθῇ, ἀλλ' ἀρκεῖται τῇ παραδόσει μόνῃ· ὁ δὲ ἀσθενέστερος, ὅταν καὶ τὴν αἰτίαν μάθῃ, τότε καὶ μετὰ πλείονος τῆς σπουδῆς κατέχει τὸ λεχθέν, καὶ μετὰ πολλῆς ὑπακούει τῆς προθυμίας. Διόπερ οὐδὲ εἶπε τὴν αἰτίαν, ἕως ὅτε παραβαινομένην εἶδε τὴν ***ἐντολήν.***

Τίς οὖν ἡ αἰτία; ***«Παντὸς ἀνδρὸς ἡ κεφαλὴ ὁ Χριστός*** *ἐστιν». Ἆρ' οὖν καὶ τοῦ Ἕλληνος;* ***Οὐδαμῶς. Εἰ γὰρ σῶ****μά ἐσμεν τοῦ Χριστοῦ* ***καὶ*** *μέλη* ***ἐκ μέρους, καὶ ταύτῃ ἐ****κεῖνος ἡμῶν κεφαλή, τῶν* ***οὐκ ὄντων ἐν τῷ σώματι οὐδὲ*** *εἰς μέλη τελούντων* ***οὐκ ἂν εἴη κεφαλή· ὥστε ὅταν εἴπῃ,*** *«παντός», τοῦ πιστοῦ* ***δεῖ προσυπακούειν. Εἶδες πῶς πανταχοῦ*** *ἄνωθεν ἐντρέπει* ***τὸν ἀκροατήν; Καὶ*** *γὰρ* ***ὅτε περὶ ἀγάπης διελέγετο, καὶ ὅτε περὶ ταπεινοφροσύνης, καὶ ὅτε περὶ ἐλεημοσύνης, ἐκεῖθεν εἷλκε τὰ παραδείγματα. «Κεφαλὴ δὲ γυναικὸς ὁ ἀνήρ· κεφαλὴ δὲ Χριστοῦ ὁ Θεός». Ἐνταῦθα ἐπιπηδῶσιν ἡμῖν οἱ αἱρετικοί, ἐλάττωσίν τινα ἐκ τῶν εἰρημένων ἐπινοοῦντες τῷ Υἱῷ· ἀλλ' ἑαυτοῖς περιπίπτουσιν. Εἰ γὰρ κεφαλὴ γυναικὸς ὁ ἀνήρ, ὁμοούσιος δὲ ἡ κεφαλὴ τῷ σώματι, κεφαλὴ δὲ τοῦ Χριστοῦ ὁ Θεός, ὁμοούσιος ὁ Υἱὸς τῷ Πατρί.***

Ἀλλ' οὐ τὸ ἑτερούσιον ἐντεῦθεν ἀποδεῖξαι βουλόμεθα, ἀλλ' ὅτι ἄρχεται, φησί. Τί οὖν πρὸς τοῦτο εἴποιμεν ἄν; Ὅτι μάλιστα μέν, ὅταν τι ταπεινὸν λέγηται μετὰ τῆς σαρκὸς ὄντος αὐτοῦ, οὐκ εὐτέλεια τῆς θεότητός ἐστι τὸ λεγόμενον, τῆς οἰκονομίας δεχομένης τὸ λεχθέν. Πλὴν ἀλλ' εἰπέ, πῶς τοῦτο βούλει ἐκ τούτου κατασκευάσαι νῦν; Ὅτι ὥσπερ ἀ-

ἀνδρὸς εἶναι ὁ Χριστός, κεφαλὴ δὲ τῆς γυναικὸς ὁ ἀνήρ, κεφαλὴ δὲ τοῦ Χριστοῦ ὁ Θεός». Ἡ μὲν αἰτιολογία λοιπὸν εἶναι αὐτή· ἐκθέτει δὲ αὐτὴν διὰ νὰ κάνῃ τοὺς ἀσθενεστέρους προσεκτικωτέρους. Διότι ἐκεῖνος μὲν ποὺ εἶναι πιστὸς ὅπως πρέπει καὶ δυνατός, δὲν ἔχει ἀνάγκην νὰ γνωρίσῃ τὸν λόγον οὔτε τὴν αἰτίαν δι' ὅσα διαταχθῇ, ἀλλ' ἀρκεῖται μόνον εἰς τὸ ὅτι τοῦ παρεδόθη κάτι· ἐνῷ ὁ ἀσθενέστερος, ὅταν μάθῃ καὶ τὴν αἰτίαν, τότε καὶ μὲ περισσοτέραν ἐπιμέλειαν τηρεῖ αὐτὸ ποὺ τοῦ ἔχει λεχθῆ καὶ μὲ πολλὴν προθυμίαν ὑπακούει. Δι' αὐτὸ δὲν εἶπε τὴν αἰτίαν μέχρις ὅτου εἶδε νὰ παραβαίνουν τὴν ἐντολήν.

Ποία λοιπὸν ἡ αἰτία; «Ἡ κεφαλὴ κάθε ἀνδρὸς εἶναι ὁ Χριστός». Μήπως ἄρά γε καὶ τοῦ Ἕλληνος; Καθόλου. Διότι ἐὰν εἴμεθα σῶμα τοῦ Χριστοῦ καὶ ἐπὶ μέρους μέλη, καὶ εἰς αὐτὸ ἐκεῖνος εἶναι κεφαλή μας, εἰς ἐκείνους ποὺ δὲν εἶναι εἰς τὸ σῶμα οὔτε ἀποτελοῦν μέλη του, δὲν εἶναι κεφαλή· ὥστε ὅταν λέγῃ «κάθε ἀνδρός», πρέπει νὰ ἐννοοῦμεν τοῦ κάθε πιστοῦ. Εἶδες πῶς παντοῦ ἀπὸ τὰ οὐράνια προκαλεῖ τὴν ἐντροπὴν εἰς τὸν ἀκροατήν; Διότι καὶ ὅταν ὡμίλει δι' ἀγάπην καὶ διὰ ταπεινοφροσύνην καὶ δι' ἐλεημοσύνην, ἀπὸ ἐκεῖ ἐλάμβανε τὰ παραδείγματα. «Κεφαλὴ δὲ τῆς γυναικὸς εἶναι ὁ ἀνήρ· κεφαλὴ δὲ τοῦ Χριστοῦ ὁ Θεός». Ἐδῶ ἐπιτίθενται εἰς ἐμᾶς οἱ αἱρετικοί, οἱ ὁποῖοι ἐπινοοῦν ἀπὸ τὰ λεχθέντα κάποιαν κατωτερότητα διὰ τὸν Υἱόν· ἀλλ' ἀντιφάσκουν πρὸς τοὺς ἑαυτούς των. Διότι ἐὰν κεφαλὴ τῆς γυναικὸς εἶναι ὁ ἀνήρ, ἡ δὲ κεφαλὴ εἶναι ὁμοούσιος μὲ τὸ σῶμα, κεφαλὴ δὲ τοῦ Χριστοῦ εἶναι ὁ Θεός, ἄρα εἶναι ὁμοούσιος καὶ ὁ Υἱὸς μὲ τὸν Πατέρα.

Ἐδῶ ὅμως δὲν θέλομεν ν' ἀποδείξωμεν ὅτι ἔχουν διαφορετικὴν οὐσίαν, ἀλλ' ὅτι ἔχει ἀρχὴν ὁ Υἱός, θὰ εἴπουν. Τί θὰ εἴχομεν λοιπὸν νὰ εἰποῦμεν εἰς αὐτό; Ὅτι ὅταν λέγεται κάτι ποὺ δεικνύει τὴν ταπείνωσιν τοῦ Χριστοῦ ποὺ ἐσαρκώθη, δὲν ὑποβιβάζει τὴν θεότητα αὐτὸ ποὺ λέγεται, διότι ἡ θεία οἰκονομία ἐπιδέχεται τὸ λεχθέν. Πλὴν ὅμως εἰπέ, πῶς θέλεις τώρα ἀπὸ αὐτὸ νὰ ἀποδείξῃς τὸν ἰσχυρισμόν; Διότι ὅπως ὁ ἀνὴρ ἄρχει τῆς γυναικός,

νὴρ ἄρχει τῆς γυναικός, φησίν, οὕτω καὶ ὁ Πατὴρ τοῦ Χριστοῦ. Οὐκοῦν καὶ ὥσπερ ὁ Χριστὸς τοῦ ἀνθρώπου, οὕτω καὶ ὁ Πατὴρ τοῦ Υἱοῦ· «Παντὸς» γὰρ «ἀνδρός», φησίν, «ἡ κεφαλὴ ὁ Χριστός ἐστι». Καὶ τίς ἂν ταῦτα κατεδέξατό ποτε; Εἰ γὰρ ὅσον τὸ ὑπερέχον τοῦ Υἱοῦ πρὸς ἡμᾶς, τοσοῦτον τοῦ Πατρὸς πρὸς τὸν Υἱόν, ἐννόησον εἰς ὅσην αὐτὸν ἄξεις τὴν εὐτέλειαν. Ὥστε οὐ πάντα ὁμοίως ἐξεταστέον ἐφ᾽ ἡμῶν καὶ ἐπὶ τοῦ Θεοῦ, κἂν ὁμοίως λέγηται· ἀλλ᾽ ἀπονεμητέον τῷ Θεῷ τινα ἰδιάζουσαν ὑπεροχήν, καὶ τοσαύτην ὅσην Θεῷ. Εἰ γὰρ μὴ τοῦτο συγχωρήσαιεν, πολλὰ ἕψεται τὰ ἄτοπα.

Σκόπει δέ. Κεφαλὴ τοῦ Χριστοῦ ὁ Θεός, οὗτος δὲ τοῦ ἀνδρός, κἀκεῖνος τῆς γυναικός. Οὐκοῦν εἰ ἐπὶ πάντων ὁμοίως ἐκλάβοιμεν τὴν κεφαλήν, τοσοῦτον ἔσται ὁ Υἱὸς ἀφεστηκὼς τοῦ Πατρός, ὅσον ἡμεῖς αὐτοῦ. Ἀλλὰ καὶ ἡ γυνὴ τοσοῦτον ἡμῶν ἀποστήσεται, ὅσον ἡμεῖς τοῦ Θεοῦ Λόγου· καὶ ὅπερ ἐστὶν ὁ Υἱὸς πρὸς τὸν Πατέρα, τοῦτο καὶ ἡμεῖς πρὸς τὸν Υἱόν, καὶ ἡ γυνὴ πρὸς τὸν ἄνδρα πάλιν. Καὶ τίς ταῦτα ἀνέξεται; Ἀλλ᾽ ἑτέρως ἐκλαμβάνεις ἐπὶ γυναικὸς καὶ ἀνδρὸς τὴν κεφαλήν, καὶ οὐχ ὡς ἐπὶ τοῦ Χριστοῦ; Οὐκοῦν καὶ ἐπὶ τοῦ Υἱοῦ καὶ Πατρὸς ἑτέρως ἐκληπτέον ἡμῖν. Καὶ πῶς ἑτέρως ἐκληπτέον, φησί; Κατὰ τὸ αἴτιον. Καὶ γὰρ εἴπερ ἀρχὴν ἐζήτει εἰπεῖν, ὡς σὺ φῄς, καὶ ὑποταγὴν ὁ Παῦλος, οὐκ ἂν γυναῖκα παρήγαγεν εἰς μέσον, ἀλλὰ δοῦλον μᾶλλον καὶ δεσπότην. Εἰ γὰρ καὶ ὑποτέτακται ἡμῖν ἡ γυνή, ἀλλ᾽ ὡς γυνή, ἀλλ᾽ ὡς ἐλευθέρα, καὶ ὡς ὁμότιμος. Καὶ ὁ Υἱὸς δέ, εἰ καὶ ὑπήκοος γέγονε τῷ Πατρί, ἀλλ᾽ ὡς Υἱὸς Θεοῦ, ἀλλ᾽ ὡς Θεός. Ὥσπερ γὰρ πλείων ἡ πειθὼ τῷ Υἱῷ πρὸς τὸν Πατέρα, ἢ τοῖς ἀνθρώποις πρὸς τοὺς γεγεννηκότας, οὕτω καὶ ἡ ἐλευθερία μείζων. Οὐ γὰρ δήπου

θὰ εἰποῦν, ἔτσι καὶ ὁ Πατὴρ τοῦ Χριστοῦ. Λοιπὸν καὶ ὅπως ὁ Χριστὸς τοῦ ἀνθρώπου, ἔτσι καὶ ὁ Πατὴρ τοῦ Υἱοῦ· διότι «ἡ κεφαλὴ κάθε ἀνδρός», λέγει, «εἶναι ὁ Χριστός». Καὶ ποῖος θὰ τὰ παρεδέχετο ποτὲ αὐτά; Διότι ἐὰν ὅση εἶναι ἡ ὑπεροχὴ τοῦ Υἱοῦ ὡς πρὸς ἐμᾶς, τόση εἶναι καὶ ἡ ὑπεροχὴ τοῦ Πατρὸς ὡς πρὸς τὸν Υἱόν, σκέψου εἰς πόσην κατωτερότητα θὰ ὁδηγήσῃς αὐτόν. Ὥστε δὲν πρέπει νὰ ἐξετασθοῦν ἀπὸ ἐμᾶς ὅλα μὲ ὅμοιον τρόπον, ὅπως εἰς τὸν ἄνθρωπον ἔτσι καὶ εἰς τὸν Θεόν, ἔστω καὶ ἂν λέγωνται μὲ ὅμοιον τρόπον, ἀλλὰ ν' ἀποδώσωμεν εἰς τὸν Θεὸν κάποιαν ὑπεροχὴν ποὺ ἰδιάζει εἰς αὐτόν, καὶ μάλιστα τόσην ὅση ἁρμόζει εἰς Θεόν. Διότι ἐὰν δὲν παραδεχθῶμεν αὐτό, πολλὰ ἄτοπα θ' ἀκολουθήσουν.

Πρόσεξε λοιπόν. Κεφαλὴ τοῦ Χριστοῦ εἶναι ὁ Θεός, αὐτὸς δὲ τοῦ ἀνδρὸς καὶ ἐκεῖνος τῆς γυναικός. Λοιπὸν ἐὰν δι' ὅλους ἐννοήσωμεν μὲ τὸν ἴδιον τρόπον ὅτι εἶναι κεφαλή, τόσον θ' ἀπέχῃ ὁ Υἱὸς ἀπὸ τὸν Πατέρα, ὅσον ἐμεῖς ἀπὸ αὐτόν. Ἀλλὰ καὶ ἡ γυναῖκα τόσον θ' ἀπέχῃ ἀπὸ ἐμᾶς, ὅσον ἐμεῖς ἀπὸ τὸν Θεὸν Λόγον· καὶ ὅ,τι εἶναι ὁ Υἱὸς ὡς πρὸς τὸν Πατέρα, αὐτὸ θὰ εἴμεθα καὶ ἐμεῖς ὡς πρὸς τὸν Υἱὸν καὶ ἡ γυναῖκα πάλιν ὡς πρὸς τὸν ἄνδρα. Καὶ ποῖος θ' ἀνεχθῇ αὐτά; Ἀλλὰ μὲ ἄλλο νόημα ἐκλαμβάνεις τὴν κεφαλὴν ὅταν πρόκειται διὰ τὸν ἄνδρα καὶ τὴν γυναῖκα καὶ ὄχι ὅπως εἰς τὸν Χριστόν; Λοιπὸν μὲ ἄλλον τρόπον πρέπει νὰ ἐκλάβωμεν καὶ ἐμεῖς τὴν κεφαλὴν εἰς τὴν σχέσιν Υἱοῦ καὶ Πατρός. Καὶ πῶς λέγουν ὅτι πρέπει νὰ ἐκληφθῇ μὲ διάφορον τρόπον; Ὡς πρὸς τὸ αἴτιον. Ἀλλ' ἐὰν ὁ Παῦλος ἤθελε νὰ δηλώσῃ ἐξουσίαν καὶ ὑποταγήν, ὅπως λέγεις ἐσύ, δὲν θὰ ἐπαρουσίαζε γυναῖκα, ἀλλὰ μᾶλλον κύριον καὶ δοῦλον. Διότι, ἂν καὶ ἔχει ὑποταγῇ εἰς ἐμᾶς ἡ γυναῖκα, ἔχει ὅμως ὑποταγῇ ὡς γυναῖκα, ὡς ἐλευθέρα καὶ ὡς ἰσότιμος. Καὶ ὁ Υἱὸς δέ, ἂν καὶ ἔγινεν ὑπήκοος εἰς τὸν Πατέρα, ἔγινεν ὅμως ὡς Υἱὸς Θεοῦ, ὡς Θεός. Διότι ὅπως εἶναι περισσοτέρα ἡ ὑπακοὴ τοῦ Υἱοῦ πρὸς τὸν Πατέρα, παρὰ τῶν ἀνθρώπων πρὸς τοὺς γονεῖς, ἔτσι καὶ ἡ ἐλευθερία εἶναι μεγαλυτέρα. Ἀλλὰ βεβαίως τὸ

τὰ μὲν τοῦ Υἱοῦ πρὸς τὸν Πατέρα μείζονα τῶν ἀνθρώπων καὶ γνησιώτερα, τὰ δὲ τοῦ Πατρὸς πρὸς τὸν Υἱὸν ἐλάττονα. Εἰ γὰρ θαυμάζομεν τὸν Υἱόν, ὅτι ὑπήκουσεν, ὡς καὶ μέχρι θανάτου ἐλθεῖν, καὶ θανάτου σταυροῦ, καὶ θαῦμα αὐτοῦ μέγα τιθέμεθα τοῦτο· θαυμάζειν δεῖ καὶ τὸν Πατέρα, ὅτι τοιοῦτον ἐγέννησεν, οὐχ ὡς δοῦλον ἐπιταττόμενον, ἀλλ' ὡς ἐλεύθερον ὑπακούοντα καὶ σύμβουλον ὄντα· ὁ γὰρ σύμβουλος οὐ δοῦλος. Σύμβουλον δὲ ὅταν ἀκούσῃς πάλιν, μὴ ὡς τοῦ πατρὸς ἐνδεῶς ἔχοντος ἄκουε, ἀλλ' ὡς τοῦ παιδὸς ὁμοτίμως πρὸς τὸν γεγεννηκότα.

3. Μὴ τοίνυν εἰς πάντα ἕλκε τὸ παράδειγμα τοῦ ἀνδρὸς καὶ τῆς γυναικός. Παρ' ἡμῖν μὲν γὰρ εἰκότως ὑποτέτακται ἡ γυνὴ τῷ ἀνδρί· ἡ γὰρ ἰσοτιμία μάχην ποιεῖ· καὶ οὐ διὰ τοῦτο μόνον, ἀλλὰ καὶ διὰ τὴν ἀπάτην τὴν παρὰ τὴν ἀρχὴν συμβᾶσαν. Διά τοι τοῦτο γενομένη μὲν εὐθέως οὐχ ὑπετάγη· οὐδὲ ὅτε αὐτὴν ἤγαγε πρὸς τὸν ἄνδρα, οὔτε αὐτὴ ἤκουσέ τι παρὰ τοῦ Θεοῦ τοιοῦτον, οὔτε ὁ ἀνὴρ εἶπέ τι πρὸς αὐτὴν τοιοῦτον· ἀλλ' ὅτι μὲν ὀστοῦν ἐκ τῶν ὀστῶν αὐτοῦ, καὶ σὰρξ ἐκ τῶν σαρκῶν αὐτοῦ ἦν, εἶπεν· ἀρχῆς δὲ οὐδαμοῦ οὐδὲ ὑποταγῆς ἐμνημόνευσε πρὸς αὐτήν. Ὅτε δὲ κακῶς ἐχρήσατο τῇ ἐξουσίᾳ καὶ ἡ γενομένη βοηθὸς ἐπίβουλος εὑρέθη καὶ πάντα ἀπώλεσε, τότε ἀκούει δικαίως λοιπόν· «Πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου». Ἐπειδὴ γὰρ εἰκὸς ἦν τὴν ἁμαρτίαν ταύτην ἐκπολεμῶσαι τὸ γένος τὸ ἡμέτερον· οὐδὲ γὰρ ἂν ὤνησέ τι εἰς εἰρήνην τὸ ἐξ αὐτοῦ γεγενῆσθαι, τούτου συμβάντος, ἀλλ' αὐτὸ μὲν οὖν τοῦτο καὶ τραχύτερον ἂν ἐποίησε τὸν ἄνδρα, τὸ μηδὲ τοῦ οἰκείου φείσασθαι μέλους τὴν ἐξ αὐτοῦ γενομένην· συνιδὼν τοῦ διαβόλου τὴν κακουργίαν ὁ Θεός, ἐπετείχισε τουτὶ τὸ ῥῆμα, καὶ τὴν ἐκ τῆς ἐπιβουλῆς μέλλουσαν ἀπέχθειαν ἔσεσθαι διὰ τῆς ἀποφάσεως ταύτης ἀνεῖλε, καὶ τῆς ἐπιθυμίας τῆς ἐμ-

2. Γεν. 3, 16.

ὅτι τὰ τῆς σχέσεως τοῦ Υἱοῦ πρὸς τὸν Πατέρα εἶναι μεγαλύτερα καὶ ἀληθινότερα ἀπὸ τὰ τῶν ἀνθρώπων, δὲν σημαίνει ὅτι τὰ τοῦ Πατρὸς πρὸς τὸν Υἱὸν εἶναι μικρότερα. Διότι ἐὰν θαυμάζωμεν τὸν Υἱὸν διὰ τὸ ὅτι ὑπήκουσεν ὥστε νὰ φθάσῃ καὶ μέχρι θανάτου, καὶ μάλιστα σταυρικοῦ θανάτου, καὶ παραδεχώμεθα αὐτὸ ὡς μέγα θαῦμα του, πρέπει νὰ θαυμάζωμεν καὶ τὸν Πατέρα διότι ἐγέννησε τέτοιον, ὁ ὁποῖος ὄχι ὡς δοῦλος ποὺ διατάσσεται, ἀλλ᾽ ὡς ἐλεύθερος καί, ἐνῷ εἶναι σύμβουλος, ὑπακούει· διότι ὁ σύμβουλος δὲν εἶναι δοῦλος. Ὅταν δὲ πάλιν ἀκούσῃς, σύμβουλος, μὴ θεωρήσῃς ὅτι ὁ Πατὴρ ἔχει καμμίαν ἀνάγκην, ἀλλ᾽ ὅτι ὁ Υἱὸς εἶναι ὁμότιμος μὲ τὸν γεννήσαντα.

3. Μὴ λοιπὸν ἐφαρμόζῃς ἐξ ὁλοκλήρου τὸ παράδειγμα τοῦ ἀνδρὸς καὶ τῆς γυναικός. Διότι εἰς ἐμᾶς εὐλόγως ἔχει ὑποταγῇ ἡ γυνὴ εἰς τὸν ἄνδρα· διότι ἡ ἰσότης προκαλεῖ πόλεμον· καὶ ὄχι μόνον δι᾽ αὐτό, ἀλλὰ καὶ διὰ τὸ ὅτι ἡ γυνὴ ἐξηπατήθη πρώτη εἰς τὸν Παράδεισον. Δι᾽ αὐτὸ ὅταν ἐπλάσθη ἡ γυνὴ δὲν ὑπετάγη μὲν ἐξ ἀρχῆς· οὔτε ὅταν ἐπαρουσίασεν αὐτὴν ὁ Θεὸς εἰς τὸν ἄνδρα, οὔτε αὐτὴ ἤκουσε τίποτε τέτοιον ἀπὸ τὸν Θεόν, οὔτε ὁ ἀνὴρ εἶπε τίποτε τέτοιον πρὸς αὐτήν· ἀλλ᾽ εἶπεν ὅτι εἶναι ὀστοῦν ἀπὸ τὰ ὀστᾶ του καὶ σὰρξ ἀπὸ τὰς σάρκας του· πουθενὰ δὲ δὲν εἶπε τίποτε δι᾽ ἐξουσίαν, οὔτε δι᾽ ὑποταγὴν εἰς αὐτήν. Ὅταν ὅμως ἐχρησιμοποίησε κακῶς τὸ αὐτεξούσιον καὶ αὐτὴ ποὺ ἐπλάσθη ὡς βοηθὸς ἔγινεν ἐχθρὸς καὶ ἔχασε τὰ πάντα, τότε λοιπὸν δικαίως ἀκούει· «θὰ εἶσαι ἐξηρτημένη ἀπὸ τὸν ἄνδρα σου»[2]. Διότι, ἐπειδὴ ἦτο φυσικὸν νὰ ὁδηγήσῃ εἰς πόλεμον τὸ γένος μας αὐτὴ ἡ ἁμαρτία (διότι δὲν θὰ συνετέλει εἰς τὸ νὰ γεννηθῇ εἰρήνη αὐτὸ ποὺ συνέβη, ἀλλ᾽ αὐτὸ μὲν τὸ ἴδιον τὸ γεγονὸς θὰ ἔκαμνε λοιπὸν καὶ σκληρότερον τὸν ἄνδρα, ὥστε νὰ μὴ λυπῆται οὔτε αὐτὸ τὸ ἴδιον τὸ μέλος του, τὴν γυναῖκα, ποὺ ἐπλάσθη ἀπὸ αὐτόν), γνωρίζων καλῶς τὴν κακουργίαν τοῦ διαβόλου ὁ Θεός, περιετείχισε τὸν ἄνθρωπον μὲ αὐτὸν τὸν λόγον, καὶ τὸ μῖσος ποὺ ἐπρόκειτο νὰ προέλθῃ ἀπὸ τὴν ἔχθραν τὸ ἐξηφάνισε μὲ αὐτὴν τὴν ἀπόφασιν, καὶ διὰ τῆς

φύτου, καθάπερ μεσότοιχον κατασπάσας τὴν ἐκ τῆς ἁμαρτίας μνησικακίαν.

Ἀλλ' ἐπὶ τοῦ Θεοῦ καὶ τῆς ἀκηράτου οὐσίας ἐκείνης οὐδὲν τοιοῦτον ἔστιν ὑποπτεῦσαι. Μὴ τοίνυν κατὰ πάντων δέχου τὰ παραδείγματα· ἐπεὶ καὶ ἀλλαχοῦ πολλὰ ἐντεῦθεν ἀπαντήσει χαλεπὰ ἁμαρτήματα. Καὶ γὰρ καὶ ἐν προοιμίοις τῆς ἐπιστολῆς ἔλεγε· «Πάντα ὑμῶν ἐστιν, ὑμεῖς δὲ Χριστοῦ, Χριστὸς δὲ Θεοῦ». Τί οὖν; ὁμοίως ἡμῶν τὰ πάντα, καὶ ἡμεῖς τοῦ Χριστοῦ, καὶ ὁ Χριστὸς τοῦ Θεοῦ; Οὐδαμῶς, ἀλλὰ καὶ τοῖς σφόδρα ἀνοήτοις δήλη ἡ διαφορά, εἰ καὶ ἡ αὐτὴ ῥῆσις ἐκ τοῦ Θεοῦ καὶ τοῦ Χριστοῦ καὶ ἡμῶν εἴρηται. Καὶ ἀλλαχοῦ δὲ κεφαλὴν εἰπὼν τὸν ἄνδρα τῆς γυναικός, ἐπήγαγεν· «Ὥσπερ καὶ ὁ Χριστὸς κεφαλὴ καὶ σωτήρ ἐστι τῆς ἐκκλησίας καὶ προστάτης, οὕτω καὶ ὁ ἀνὴρ ὀφείλει τῆς αὐτοῦ γυναικὸς εἶναι». Ἆρ' οὖν ὁμοίως ἐκληψόμεθα τὸ εἰρημένον, καὶ τοῦτο καὶ τὰ μετὰ τούτου ἅπαντα Ἐφεσίοις ἐπεσταλμένα περὶ τῆς ὑποθέσεως ταύτης; Ἄπαγε· οὐδὲ γὰρ δυνατόν. Τὰ γὰρ αὐτὰ ῥήματα λέγεται μὲν ἐπὶ Θεοῦ καὶ ἀνθρώπων· οὐκ ἔχει δὲ τὴν αὐτὴν ἰσχὺν ἐπὶ Θεοῦ καὶ ἀνθρώπων· ἀλλ' ἑτέρως μὲν ἐκεῖνα νοητέον, ἑτέρως δὲ ταῦτα· οὐ μὴ πάλιν πάντα ἐξηλλαγμένως· ἐπεὶ πάλιν εἰκῇ καὶ μάτην παρειλῆφθαι δόξει, οὐδὲν ἀπ' αὐτῶν καρπουμένων ἡμῶν. Ὥσπερ γὰρ οὐ πάντα ὁμοίως ἐκληπτέον, οὕτως οὐδὲ πάντα ἁπλῶς ἐκβλητέον. Ἵνα δὲ ὃ λέγω, γένηται σαφέστερον, ἐπὶ ὑποδείγματος αὐτὸ πειράσομαι ποιῆσαι φανερόν.

Εἴρηται κεφαλὴ τῆς ἐκκλησίας ὁ Χριστός. Ἂν μηδὲν ἀπὸ τοῦ ἀνθρωπίνου λάβω, τί μοι καὶ εἴρηται τοῦτο; Πάλιν ἂν ἅπαντα λάβω, πολλὴ ἕψεται ἡ ἀλογία· καὶ γὰρ ὁμοιοπαθὴς τῷ σώματι ἡ κεφαλή, καὶ τοῖς αὐτοῖς ὑπεύθυνος.

---

3. Ἐφεσ. 5. 23, 24.

ἐμφύτου ἐπιθυμίας συνέτριψεν, ὡσὰν μεσότοιχον, τὴν μνησικακίαν ποὺ θὰ προήρχετο ἀπὸ τὴν ἁμαρτίαν.

Ἀλλ' εἶναι ἐντελῶς ἀδύνατον νὰ διανοηθῇ κανεὶς κάτι τέτοιον εἰς τὸν Θεὸν καὶ τὴν καθαρωτάτην ἐκείνην οὐσίαν. Μὴ δέχεσαι λοιπὸν τὰ παραδείγματα κατὰ κυριολεξίαν· καθ' ὅσον καὶ εἰς ἄλλα σημεῖα θὰ συναντήσῃς ἀπὸ αὐτὸ πολλὰ φοβερὰ ἁμαρτήματα. Διότι καὶ εἰς τὸ προοίμιον τῆς ἐπιστολῆς ἔλεγεν· «Ὅλα εἶναι ἰδικά σας, σεῖς δὲ τοῦ Χριστοῦ, ὁ Χριστὸς δὲ τοῦ Θεοῦ». Τί λοιπόν; Μὲ τὸν ἴδιον τρόπον εἶναι ἰδικά μας τὰ πάντα καὶ ἐμεῖς τοῦ Χριστοῦ καὶ ὁ Χριστὸς τοῦ Θεοῦ; Καθόλου, ἀλλὰ καὶ εἰς τοὺς ἐντελῶς ἀνοήτους εἶναι προφανὴς ἡ διαφορά, ἐὰν ἔχῃ λεχθῇ ὁ ἴδιος λόγος διὰ τὸν Θεὸν καὶ τὸν Χριστὸν καὶ ἐμᾶς. Καὶ ἀλλοῦ δέ, ἀφοῦ εἶπε τὸν ἄνδρα κεφαλὴν τῆς γυναικός, προσέθεσεν· «ὅπως καὶ ὁ Χριστὸς εἶναι κεφαλὴ καὶ σωτὴρ τῆς ἐκκλησίας καὶ προστάτης, ἔτσι ὀφείλει νὰ εἶναι καὶ ὁ ἀνὴρ εἰς τὴν γυναῖκα του»[3]. Ἄρά γε λοιπὸν μὲ τὸν ἴδιον τρόπον θὰ ἐκλάβωμεν τὸ λεχθέν, καὶ αὐτὸ καὶ ὅλα ὅσα ἐγράφησαν μετὰ ἀπὸ αὐτὸ εἰς τοὺς Ἐφεσίους διὰ τὴν ὑπόθεσιν αὐτήν; Μὴ γένοιτο· καθ' ὅσον δὲν εἶναι δυνατόν. Διότι οἱ ἴδιοι λόγοι λέγονται μὲν διὰ τὸν Θεὸν καὶ διὰ τοὺς ἀνθρώπους, ἀλλὰ δὲν ἰσχύουν ὁμοίως εἰς τὸν Θεὸν καὶ εἰς τοὺς ἀνθρώπους· ἀλλὰ διαφορετικὰ μὲν πρέπει νὰ νοηθοῦν ἐκεῖνα, διαφορετικὰ δὲ αὐτά· δὲν πρέπει ὅμως καὶ πάλιν ὅλα νὰ νοηθοῦν μὲ ἄλλον τρόπον· διότι πάλιν ἀνώφελος καὶ μάταιος θὰ φανῇ ὅτι παρελήφθησαν αὐτὰ ἀπὸ ἐμᾶς, ἀφοῦ δὲν θὰ καρπωθῶμεν τίποτε ἀπὸ αὐτά. Ὅπως δηλαδὴ δὲν πρέπει ὅλα νὰ ἐκληφθοῦν μὲ τὸν ἴδιον τρόπον, ἔτσι δὲν πρέπει καὶ ὅλα γενικῶς ν' ἀπορριφθοῦν. Διὰ νὰ γίνῃ δὲ σαφέστερον αὐτὸ ποὺ λέγω, θὰ προσπαθήσω νὰ τὸ κάνω φανερὸν ἀπὸ κάποιο παράδειγμα.

Ἐλέχθη ὅτι κεφαλὴ τῆς ἐκκλησίας εἶναι ὁ Χριστός. Ἂν αὐτὸ δὲν ἔχῃ καμμίαν ἐφαρμογὴν εἰς τὸν ἄνθρωπον, διατί μοῦ ἐλέχθη; Ἂν πάλιν ἐννοήσω ὅτι ἰσχύει καθ' ὁλοκληρίαν ἔτσι ὅπως λέγεται, τότε πολλὴ ἀνοησία θ' ἀκολουθήσῃ· διότι ἡ κεφαλὴ εἶναι ὁμοιοπαθὴς μὲ τὸ σῶμα καὶ

Τί οὖν δεῖ ἀφεῖναι, ἢ τί λαβεῖν; Ἀφεῖναι μὲν ταῦτα ἃ εἶπον, λαβεῖν δὲ ἕνωσιν ἀκριβῆ, καὶ αἰτίαν καὶ ἀρχὴν τὴν πρώτην· καὶ οὐδὲ ταῦτα ἁπλῶς, ἀλλὰ καὶ ἐνταῦθα τὸ μεῖζον οἴκοθεν ἐπινοεῖν καὶ Θεῷ πλέον· καὶ γὰρ ἡ ἕνωσις ἀσφαλεστέρα, καὶ ἡ ἀρχὴ κυριωτέρα. Πάλιν ἤκουσας Υἱόν· μὴ πάντα μηδὲ ἐνταῦθα λάβῃς, ἀλλὰ μηδὲ πάντα ἐκβάλῃς, ἀλλ' ὅσα Θεῷ πρέπει δεξάμενος, ὅτι ὁμοούσιος, ὅτι ἐξ αὐτοῦ, τὰ ἄτοπα καὶ ἀσθενείας ὄντα ἀνθρωπίνης ἐπὶ τῆς γῆς ἔα. Εἴρηται φῶς ὁ Θεὸς πάλιν· ἆρ' οὖν πάντα δεξόμεθα, ὅσα τοῦ φωτὸς τούτου; Οὐδαμῶς· καὶ γὰρ εἴκει τῷ σκότῳ τοῦτο, καὶ τόπῳ περικλείεται, καὶ ὑφ' ἑτέρας κινεῖται δυνάμεως, καὶ ἐπισκευάζεται· ὧν οὐδὲν οὐδὲ ἐννοῆσαι θέμις ἐπὶ τῆς οὐσίας ἐκείνης. Ἀλλ' οὐδὲ πάντα διὰ τοῦτο ἐκβαλλοῦμεν, ἀλλὰ δρεψόμεθά τι καὶ χρήσιμον ἀπὸ τοῦ παραδείγματος, τὸν φωτισμὸν τὸν ἐκ τοῦ Θεοῦ γινόμενον ἡμῖν, τὴν τοῦ σκότους ἀπαλλαγὴν ἐκ τούτου συνάγοντες.

4. *Καὶ τὰ μὲν πρὸς αἱρετικοὺς ταῦτα· δεῖ δὲ καὶ ὁλοκλήρῳ λοιπὸν ἐπεξελθεῖν τῷ χωρίῳ. Ἴσως γὰρ ἄν τις ἐνταῦθα καὶ διαπορήσειε, πρὸς ἑαυτὸν ζητῶν, ποῖον ἔγκλημα ἢ τὸ ἀνακαλύπτεσθαι τὰς γυναῖκας, ἢ τὸ καλύπτεσθαι τοὺς ἄνδρας; Ποῖον οὖν ἔγκλημα τοῦτο, ἐντεῦθεν ἤδη μάνθανε. Σύμβολα δέδοται ἀνδρὶ καὶ γυναικὶ πολλὰ μὲν καὶ ἕτερα τῷ μὲν τῆς ἀρχῆς, τῇ δὲ τῆς ὑποταγῆς· μετὰ δὲ ἐκείνων καὶ τοῦτο, τὸ ταύτην μὲν καλύπτεσθαι, τοῦτον δὲ γυμνὴν ἔχειν τὴν κεφαλήν. Εἰ τοίνυν σύμβολα ταῦτά ἐστιν, ἀμφότεροι ἁμαρτάνουσι τὴν εὐταξίαν συγχέοντες, καὶ τὴν τοῦ Θεοῦ διαταγὴν καὶ τοὺς οἰκείους ὑπερβαίνοντες ὅρους,*

ὑπεύθυνος διὰ τὰ ἴδια πράγματα. Τί πρέπει λοιπὸν ν' ἀφήσῃ ἢ νὰ λάβῃ κανεὶς ἀπὸ αὐτό; Ν' ἀφήσῃ μὲν αὐτὰ ποὺ εἶπον, νὰ ἐννοήσῃ δὲ τελείαν ἕνωσιν τοῦ θείου καὶ τοῦ ἀνθρωπίνου, καὶ τὸν Χριστὸν ὡς πρώτην αἰτίαν καὶ ἀρχήν· καὶ αὐτὰ ὄχι ἐπιπόλαια, ἀλλὰ καὶ ἐδῶ ν' ἀποδίδῃ τὸ μέγιστον καὶ πρέπον εἰς τὸν Θεόν· διότι καὶ ἡ ἕνωσις εἶναι ἀσφαλεστέρα καὶ ἡ ἀρχὴ κυριαρχικωτέρα. Πάλιν ἤκουσες Υἱόν· οὔτε ἐδῶ νὰ ἐννοήσῃς τὰ πάντα ὅπως λέγονται, οὔτε ὅμως νὰ ἐξαιρέσῃς τὰ πάντα, ἀλλὰ ὅσα ἁρμόζουν εἰς τὸν Θεὸν ἀφοῦ δεχθῇς, ὅτι εἶναι ὁμοούσιος, ὅτι ἐγεννήθη ἀχρόνως ἀπὸ τὸν Πατέρα, τὰ ἄτοπα καὶ ὅσα προέρχονται ἀπὸ τὴν ἀνθρωπίνην ἀδυναμίαν, ἄφησέ τα εἰς τὴν γῆν. Ἐλέχθη πάλιν ὅτι ὁ Θεὸς εἶναι φῶς· ἆρά γε λοιπὸν θὰ δεχθῶμεν ὅτι εἶναι καθ' ὅλα ὅμοιος μὲ τὸ ὑλικὸν φῶς; Καθόλου· διότι αὐτὸ παραχωρεῖ τὴν θέσιν του εἰς τὸ σκότος καὶ περιορίζεται εἰς τόπον καὶ κινεῖται ἀπὸ ἄλλην δύναμιν καὶ ἐπισκιάζεται, ἀπὸ πράγματα, τὰ ὁποῖα τίποτε οὔτε νὰ ἐννοήσωμεν ἐπιτρέπεται διὰ τὴν θείαν οὐσίαν. Ἀλλ' οὔτε θὰ ἀπορρίψωμεν τὰ πάντα δι' αὐτὸν τὸν λόγον, ἀλλὰ θ' ἀποκομίσωμεν κάτι χρήσιμον ἀπὸ τὸ παράδειγμα, δηλαδὴ τὸν φωτισμὸν ποὺ δεχόμεθα ἀπὸ τὸν Θεόν, κερδίζοντες ἀπὸ αὐτὸ τὴν ἀπαλλαγὴν ἀπὸ τὸ σκότος.

4. Καὶ αὐτὰ μὲν δι' ὅσα ἀφοροῦν τοὺς αἱρετικούς· πρέπει ὅμως καὶ νὰ ὁλοκληρώσωμεν τὴν ἀνάλυσιν τοῦ χωρίου. Διότι ἴσως κάποιος νὰ εἶχε τὴν ἀπορίαν εἰς αὐτὸ τὸ σημεῖον καὶ διερωτᾶτο ποῖον εἶναι τὸ κακὸν εἴτε εἰς τὸ ὅτι δὲν καλύπτονται αἱ γυναῖκες, εἴτε εἰς τὸ ὅτι καλύπτονται οἱ ἄνδρες; Ποῖον κακὸν λοιπὸν εἶναι αὐτό, μάθε ἀπὸ ἐδῶ ἀμέσως. Εἰς τὸν ἄνδρα καὶ εἰς τὴν γυναῖκα ἔχουν δοθῇ βέβαια καὶ πολλὰ ἄλλα σύμβολα, εἰς μὲν τὸν ἄνδρα τῆς ἐξουσίας, εἰς δὲ τὴν γυναῖκα τῆς ὑποταγῆς· μαζὶ μὲ ἐκεῖνα δὲ ἐδόθη καὶ αὐτό, ἡ μὲν γυναῖκα νὰ καλύπτεται, ὁ δὲ ἀνὴρ νὰ ἔχῃ ἀκάλυπτον τὴν κεφαλήν. Ἐὰν λοιπὸν αὐτὰ εἶναι σύμβολα, καὶ οἱ δύο ἁμαρτάνουν διότι συγχέουν τὰ σύμβολα, καὶ παραβαίνουν τὴν διαταγὴν τοῦ Θεοῦ καὶ τὰ ἰδικά των ὅρια, καὶ ὁ μὲν ἀνὴρ ἐκπίπτει εἰς τὴν

καὶ ὁ μὲν εἰς τὴν ἐκείνης καταπίπτων εὐτέλειαν, ἡ δὲ ἐπανισταμένη τῷ ἀνδρὶ διὰ τοῦ σχήματος. Εἰ γὰρ ἱμάτιον ἐναλλάττειν οὐ θέμις, οὐδὲ ταύτην μὲν χλανίδα περικεῖσθαι, ἐκεῖνον δὲ φάρος ἢ καλύπτραν· «Οὐκ ἔσται» γάρ, φησί, «σκεύη ἀνδρὸς ἐπὶ γυναικί, οὐδὲ ἐνδύσεται ἀνὴρ στολὴν γυναικείαν»· πολλῷ μᾶλλον ταῦτα ἀνταλλάττεσθαι οὐ δεῖ.

Ταῦτα μὲν γὰρ παρὰ τῶν ἀνθρώπων νενομοθέτηται, εἰ καὶ ὁ Θεὸς ὕστερον αὐτὰ ἐκύρωσεν· ἐκεῖνο δὲ παρὰ τῆς φύσεως, τὸ καλύπτεσθαι λέγω, καὶ τὸ μὴ καλύπτεσθαι. Ὅταν δὲ εἴπω τὴν φύσιν, τὸν Θεὸν λέγω· ὁ γὰρ τὴν φύσιν δημιουργήσας, αὐτός ἐστιν. Ὅταν οὖν τοὺς ὅρους ἀνατρέπῃς τούτους, ὅρα πόσα γίνεται τὰ ἐπιβλαβῆ. Καὶ μήν μοι τοῦτο εἴπῃς, ὅτι μικρὸν τὸ ἁμαρτανόμενον. Μέγα μὲν γάρ ἐστι, καὶ καθ' ἑαυτό· παρακοὴ γάρ ἐστιν· εἰ δὲ καὶ μικρὸν ἦν, μέγα ἐγίνετο, ἐπειδὴ μεγάλων ἐστὶν σύμβολον πραγμάτων. Ὅτι δὲ καὶ μέγα ἐστί, δῆλον ἐξ ὧν τοσαύτην εὐταξίαν τῷ γένει παρέχει, τὸν ἄρχοντα καὶ τὸν ἀρχόμενον ἐν κόσμῳ διατάττον. Ὥστε ὁ παραβαίνων, πάντα συγχεῖ, καὶ τὸ τοῦ Θεοῦ προδίδωσι δῶρον, καὶ τὴν ἄνωθεν αὐτῷ δοθεῖσαν τιμὴν χαμαὶ ῥίπτει, οὐχ ὁ ἀνὴρ δὲ μόνον, ἀλλὰ καὶ ἡ γυνή. Καὶ γὰρ καὶ ἐκείνῃ τιμὴ μεγίστη τὸ τὴν οἰκείαν τάξιν διατηρεῖν, ὥσπερ οὖν καὶ αἰσχύνη τὸ στασιάζειν. Διόπερ ἐπ' ἀμφοτέρων αὐτὸ τέθεικεν, οὕτω λέγων· «Πᾶς ἀνὴρ προσευχόμενος ἢ προφητεύων κατὰ κεφαλῆς ἔχων, καταισχύνει τὴν κεφαλὴν αὐτοῦ· πᾶσα δὲ γυνὴ προσευχομένη ἢ προφητεύουσα ἀκατακαλύπτῳ τῇ κεφαλῇ, καταισχύνει τὴν κεφαλὴν αὐτῆς». Ἦσαν γάρ, ὅπερ ἔφην, καὶ ἄνδρες προφητεύοντες, καὶ γυναῖκες τὸ χάρισμα τοῦτο ἔχουσαι τότε, ὡς αἱ τοῦ Φιλίππου θυγατέρες, ὡς ἕτεραι πρὸ ἐκείνων καὶ μετ' ἐκείνας· περὶ ὧν καὶ ὁ προφήτης ἔλεγεν ἄνωθεν, ὅτι «Προφητεύσουσιν οἱ υἱοὶ ὑμῶν, καὶ αἱ θυγατέρες ὑμῶν ὁράσεις

---

4. Δευτ. 22, 5.

εὐτέλειαν τῆς γυναικός, ἡ δὲ γυναῖκα ὑψοῦται εἰς τὴν θέσιν τοῦ ἀνδρὸς διὰ τοῦ σχήματος. Διότι ἐὰν δὲν ἐπιτρέπεται ἀλλαγὴ ρουχισμοῦ μεταξὺ τῶν δύο, οὔτε ἐπιτρέπεται τὸ νὰ ἐνδύεται αὐτὴ μὲν ἐπανωφόριον, ὁ δὲ ἀνὴρ νὰ φέρῃ γυναικεῖον ἔνδυμα ἢ καλύπτραν˙ διότι «δὲν ἐπιτρέπεται», λέγει, «ἐνδυμασία ἀνδρὸς εἰς γυναῖκα, οὔτε νὰ ἐνδυθῇ ἀνὴρ μὲ γυναικείαν στολήν»[4]˙ πολὺ περισσότερον δὲν πρέπει νὰ γίνεται εἰς αὐτὰ ἀνταλλαγή.

Αὐτὰ μὲν λοιπὸν ἔχουν νομοθετηθῆ ἀπὸ τοὺς ἀνθρώπους, ἂν καὶ τὰ ἐπεκύρωσεν ὕστερον καὶ ὁ Θεός˙ ἐνῷ ἐκεῖνο, τὸ νὰ καλύπτωνται ἢ νὰ μὴ καλύπτωνται, ἀπὸ τὴν φύσιν. Ὅταν δὲ λέγω φύσιν, ἐννοῶ τὸν Θεόν˙ διότι αὐτὸς εἶναι ἐκεῖνος ποὺ ἐδημιούργησε τὴν φύσιν. Ὅταν λοιπὸν καταργῇς αὐτοὺς τοὺς νόμους, κοίταξε πόσα ἐπιβλαβῆ συμβαίνουν. Καὶ μὴ μοῦ εἰπῇς ὅτι εἶναι μικρὰ ἡ ἁμαρτία. Διότι καὶ μόνο του αὐτό, χωρὶς τὰς ἄλλας συνεπείας, εἶναι μέγα, διότι εἶναι παρακοή˙ καὶ ἐὰν ἀκόμη ὅμως ἦτο μικρόν, ἀποβαίνει μέγα, διότι εἶναι σύμβολον μεγάλων πραγμάτων. Διὰ τὸ ὅτι δὲ εἶναι καὶ μέγα, εἶναι φανερὸν ἀπὸ ὅσα δίδει τόσον καλὴν τάξιν εἰς τὸ γένος, μὲ τὸ νὰ ὁρίζῃ τὸν ἄρχοντα καὶ τὸν ἀρχόμενον. Ὥστε ὅποιος παραβαίνει, ἐπιφέρει σύγχυσιν εἰς ὅλα καὶ τὸ δῶρον τοῦ Θεοῦ προδίδει καὶ τὴν τιμὴν ποὺ τοῦ ἐδόθη ἄνωθεν ρίπτει χάμω, ὄχι μόνον ὁ ἄνδρας, ἀλλὰ καὶ ἡ γυναῖκα. Διότι εἶναι μεγίστη τιμὴ καὶ δι' ἐκείνην τὸ νὰ κρατῇ τὴν θέσιν της, ὅπως ἀκριβῶς εἶναι ἐντροπὴ τὸ νὰ ἐπαναστατῇ. Διὰ τοῦτο καὶ διὰ τοὺς δύο ὡμίλησε δι' αὐτὸ μὲ τοὺς λόγους˙ «Ὅποιος ἀνὴρ προσεύχεται ἢ προφητεύει μὲ καλυμμένην τὴν κεφαλήν του, ἐντροπιάζει τὴν κεφαλήν του. Καὶ ὅποια γυναῖκα προσεύχεται ἢ προφητεύει μὲ ἀκάλυπτον τὴν κεφαλήν, ἐντροπιάζει τὴν κεφαλήν της». Διότι ὑπῆρχον, ὅπως εἶπον, καὶ ἄνδρες ποὺ προεφήτευον˙ καὶ γυναῖκες ποὺ εἶχον τότε αὐτὸ τὸ χάρισμα, ὅπως αἱ θυγατέρες τοῦ Φιλίππου, ὅπως ἄλλαι πρὶν ἀπὸ ἐκείνας καὶ μετὰ ἀπὸ ἐκείνας˙ διὰ τὰς ὁποίας καὶ ὁ προφήτης ἔλεγεν εἰς τοὺς παλαιοὺς χρόνους ὅτι «Θὰ προφητεύσουν οἱ υἱοί σας καὶ αἱ θυγα-

ὄψονται».

Τὸν μὲν οὖν ἄνδρα οὐκ ἀεὶ ἀναγκάζει ἀκατάλυπτον εἶναι, ἀλλ' ὅταν εὔχηται μόνον· «Πᾶς» γὰρ «ἀνήρ», φησί, «προσευχόμενος ἢ προφητεύων κατὰ κεφαλῆς ἔχων, καταισχύνει τὴν κεφαλὴν αὐτοῦ»· τὴν δὲ γυναῖκα διαπαντὸς κατακαλύπτεσθαι κελεύει. Διὸ καὶ εἰπών, «Πᾶσα γυνὴ προσευχομένη ἢ προφητεύουσα ἀκατακαλύπτῳ τῇ κεφαλῇ, καταισχύνει τὴν κεφαλὴν αὐτῆς», οὐκ ἔστι μέχρι τούτου μόνον, ἀλλὰ καὶ ἐπεξῆλθεν εἰπών· «Ἓν γάρ ἐστι καὶ τὸ αὐτὸ τῇ ἐξυρημένῃ». Εἰ δὲ ἀεὶ ἐξυρῆσθαι αἰσχρόν, εὔδηλον ὅτι καὶ ἀκατακατάλυπτον εἶναι ἀεὶ ὄνειδος.

5. Καὶ οὐδὲ τούτῳ ἠρκέσθη μόνον, ἀλλὰ καὶ πάλιν προσέθηκεν εἰπών, ὅτι «Ὀφείλει ἐξουσίαν ἔχειν ἐπὶ τῆς κεφαλῆς ἡ γυνὴ διὰ τοὺς ἀγγέλους»· δεικνὺς ὅτι οὐκ ἐν τῷ καιρῷ τῆς εὐχῆς μόνον, ἀλλὰ καὶ διηνεκῶς ἐγκεκαλύφθαι δεῖ. Ἐπὶ δὲ τοῦ ἀνδρὸς οὐκέτι τὸν τοῦ καλύμματος, ἀλλὰ τὸν τῆς κόμης οὕτω γυμνάζει λόγον. Καλύπτεσθαι μὲν γὰρ τότε μόνον κωλύει, ὅταν εὔχηται, κομᾶν δὲ ἀεὶ ἀποτρέπει. Διὰ τοῦτο ὥσπερ ἐπὶ τῆς γυναικὸς εἶπεν, «Εἰ δὲ οὐ κατακαλύπτεται, καὶ κειράσθω»· οὕτω καὶ ἐπὶ τοῦ ἀνδρός, ὅτι «Ἐὰν κομᾷ, ἀτιμία αὐτῷ ἐστιν». Οὐκ εἶπεν, ἐὰν καλύπτηται, ἀλλ', «ἐὰν κομᾷ». Διὸ καὶ ἀρχόμενος ἔλεγε, «Πᾶς ἀνὴρ προσευχόμενος ἢ προφητεύων, κατὰ κεφαλῆς ἔχων». Οὐκ εἶπε, κεκαλυμμένος, ἀλλά, «κατὰ κεφαλῆς ἔχων», δεικνὺς ὅτι κἂν γυμνῇ εὔχηται τῇ κεφαλῇ, κόμην δὲ ἔχῃ, ἴσος ἐστὶ τῷ κεκαλυμμένῳ. «Ἡ γὰρ κόμη», φησίν, «ἀντὶ περιβολαίου δέδοται».

«Εἰ δὲ οὐ καλύπτεται γυνή, καὶ κειράσθω· εἰ δὲ αἰσχρὸν γυναικὶ κείρασθαι ἢ ξυρᾶσθαι, κατακαλυπτέσθω». Ἐν προοιμίοις μὲν γὰρ τὸ μὴ γυμνὴν ἔχειν τὴν κεφαλὴν ἀπαιτεῖ·

5. Ἰωήλ 3, 1.

τέρες σας θὰ ἰδοῦν ὁράματα»[5].

Εἰς τὸν μὲν ἄνδρα λοιπὸν δὲν ἐπιβάλλει νὰ εἶναι πάντοτε ἀκάλυπτος, ἀλλὰ μόνον ὅταν προσεύχεται· διότι «ὅποιος ἄνδρας», λέγει, «προσεύχεται ἢ προφητεύει μὲ καλυμμένην κεφαλήν, ἐντροπιάζει τὴν κεφαλήν του»· τὴν δὲ γυναῖκα προστάζει νὰ καλύπτεται πάντοτε. Διὰ τοῦτο καὶ ὅταν εἶπεν «Ὅποια γυνὴ προσεύχεται ἢ προφητεύει μὲ ἀκάλυπτον τὴν κεφαλήν, ἐντροπιάζει τὴν κεφαλήν της», δὲν ἐσταμάτησε μόνον μέχρι αὐτὸ τὸ σημεῖον, ἀλλὰ καὶ ἐκατηγόρησε μὲ τοὺς λόγους· «αὐτὸ εἶναι ἓν καὶ τὸ αὐτὸ πρᾶγμα μὲ μίαν ποὺ ἔχει ξυρισθῆ». Ἐὰν δὲ εἶναι αἰσχρὸν τὸ νὰ ξυρίζεται συνεχῶς μία γυναῖκα, εἶναι φανερὸν ὅτι καὶ τὸ νὰ εἶναι ἀκάλυπτος εἶναι ἐντροπή.

5. Καὶ οὔτε εἰς αὐτὸ μόνον ἠρκέσθη, ἀλλὰ καὶ πάλιν προσέθεσεν τὰ ἑξῆς· «Πρέπει ἡ γυνὴ νὰ ἔχῃ ἐπάνω εἰς τὴν κεφαλήν της κάποιο σύμβολον, ὅτι τελεῖ ὑπὸ ἐξουσίαν, καὶ τοῦτο ἀπὸ ἐντροπὴν πρὸς τοὺς ἀγγέλους»· δεικνύων ὅτι ὄχι μόνον κατὰ τὴν διάρκειαν τῆς προσευχῆς, ἀλλὰ πάντοτε πρέπει νὰ καλύπτεται. Ἐνῷ διὰ τὸν ἄνδρα, ὄχι διὰ τὸ κάλυμμα, ἀλλὰ διὰ τὴν κώμην διδάσκει ἔτσι. Διότι τότε μόνον ἐμποδίζει νὰ καλύπτεται, ὅταν προσεύχεται, ἐνῷ δὲν ἐπιτρέπει νὰ τρέφουν κώμην ποτέ. Δι' αὐτὸ ὅπως διὰ τὴν γυναῖκα εἶπεν, «Ἐὰν ὅμως δὲν φορῇ κάλυμμα, τότε ἂς κόψῃ καὶ τὴν κώμην της», ἔτσι καὶ διὰ τὸν ἄνδρα, ὅτι «Ἐὰν τρέφῃ κώμην, αὐτὸ εἶναι ἀτιμωτικὸν δι' αὐτόν». Δὲν εἶπεν, ἐὰν φορῇ κάλυμμα, ἀλλ', «ἐὰν τρέφῃ κώμην». Διὰ τοῦτο καὶ εἰς τὴν ἀρχὴν ἔλεγεν· «Ὅποιος ἄνδρας προσεύχεται ἢ προφητεύει μὲ καλυμμένην κεφαλήν». Δὲν εἶπε καλυμμένος, ἀλλά, «μὲ καλυμμένην τὴν κεφαλήν, διὰ νὰ δείξῃ, ὅτι καὶ ἂν προσεύχεται μὲ ἀκάλυπτον κεφαλήν, τρέφει ὅμως κώμην, εἶναι τὸ ἴδιον ὡσὰν νὰ φορῇ κάλυμμα. «Διότι τὰ μακρυὰ μαλλιά», λέγει, «τῆς ἐδόθησαν διὰ κάλυμμα».

«Ἐὰν κάποια γυναῖκα δὲν ἔχῃ κάλυμμα, τότε ἂς κόψῃ καὶ τὰ μαλλιά της»· ἐὰν δὲ εἶναι ἐντροπὴ διὰ τὴν γυναῖκα νὰ κόπτῃ ἢ νὰ ξυρίζῃ τὰ μαλλιά της, τότε ἂς καλύπτεται. Εἰς μὲν τὸ προοίμιον λοιπὸν ἀπαιτεῖ νὰ μὴ ἔχουν

προϊὼν δὲ καὶ τὸ διηνεκὲς αἰνίττεται λέγων, «Ἓν γάρ ἐστι καὶ τὸ αὐτὸ μὴ ἐξυρημένῃ», καὶ τὸ μετ' ἐπιμελείας καὶ σπουδῆς ἁπάσης. Οὐδὲ γὰρ καλύπτεσθαι εἶπεν ἁπλῶς, ἀλλὰ κατακαλύπτεσθαι, ὥστε ἀκριβῶς πάντοθεν περιεστάλθαι. Καὶ τῇ εἰς ἄτοπον ἀπαγωγῇ ἐντρέπει, σφοδρῶς καθαπτόμενος καὶ λέγων, «Εἰ δὲ οὐ κατακαλύπτεται, καὶ κειράσθω». Εἰ γὰρ τὸ ἀπὸ τοῦ νόμου τοῦ Θεοῦ κάλυμμα τεθὲν ῥίπτεις, φησί, καὶ τὸ ἀπὸ τῆς φύσεως ῥῖψον.

Εἰ δὲ λέγοι τις, καὶ πῶς ἂν εἴη αἰσχύνη τοῦτο τῇ γυναικί, εἰ εἰς τὴν δόξαν ἀναβαίνει τοῦ ἀνδρός; ἐκεῖνο ἂν εἴποιμεν, ὅτι οὐκ ἀναβαίνει, ἀλλὰ καὶ τῆς οἰκείας ἐκπίπτει τιμῆς. Τὸ γὰρ μὴ εἴσω τῶν οἰκείων ὅρων μένειν καὶ τῶν τεθέντων παρὰ τοῦ Θεοῦ νόμων, ἀλλ' ὑπερβαίνειν, οὐκ ἐπίδοσίς ἐστιν, ἀλλ' ἐλάττωσις. Ὥσπερ γὰρ ὁ τῶν ἀλλοτρίων ἐφιέμενος, καὶ ἁρπάζων τὰ μὴ ἑαυτοῦ οὐ πλέον τι προσέλαβεν, ἀλλ' ἠλάττωται, καὶ ὃ εἶχεν ἀπολέσας, ὅπερ οὖν καὶ ἐν τῷ παραδείσῳ γέγονεν· οὕτω καὶ ἡ γυνὴ οὐ προσλαμβάνει τοῦ ἀνδρὸς τὴν εὐγένειαν, ἀλλὰ καὶ τὴν τῆς γυναικὸς ἀπόλλυσιν εὐσχημοσύνην. Καὶ οὐκ ἐντεῦθεν μόνον αὐτῇ τὰ τῆς αἰσχύνης, ἀλλὰ καὶ ἀπὸ τῆς πλεονεξίας. Λαβὼν τοίνυν τὸ ὡμολογημένον αἰσχρόν, καὶ εἰπών. «Εἰ δὲ αἰσχρὸν γυναικὶ κείρασθαι ἢ ξυρᾶσθαι», τίθησι τὸ παρ' ἑαυτοῦ λοιπὸν λέγων, «κατακαλυπτέσθω». Καὶ οὐκ εἶπε, κομάτω, ἀλλά, «κατακαλυπτέσθω», ἀμφότερα ταῦτα ἓν εἶναι νομοθετῶν, καὶ ἑκατέρωθεν αὐτὰ κατασκευάζων, ἀπό τε τῶν νενομισμένων, ἀπό τε τῶν ἐναντίων. Τήν τε γὰρ περιβολὴν καὶ τὴν κόμην ἓν εἶναί φησι· τήν τε ἐξυρημένην καὶ τὴν γυμνὴν ἔχουσαν κεφαλήν, τὸ αὐτὸ πάλιν· «Ἓν» γάρ «ἐστι», φησί, «καὶ τὸ αὐτὸ τῇ ἐξυρημένῃ». Εἰ δὲ λέγοι τις, καὶ πῶς ἐστιν ἕν, εἴτε αὕτη μὲν τὸ κάλυμμα τῆς φύσεως ἔχει, ἐκείνη δὲ ἡ

ἀκάλυπτον τὴν κεφαλήν· προχωρῶν ὅμως ὑπαινίσσεται καὶ ὅτι αὐτὸ πρέπει νὰ γίνεται πάντοτε, λέγων, «διότι εἶναι ἓν καὶ τὸ αὐτὸ μὲ μίαν ξυρισμένην», καὶ μὲ κάθε ἐπιμέλειαν καὶ φροντίδα ζητεῖ νὰ γίνεται αὐτό. Διότι δὲν εἶπεν ἁπλῶς νὰ καλύπτεται, ἀλλὰ νὰ κατακαλύπτεται, ὥστε ἀπὸ παντοῦ νὰ εἶναι τελείως καλυμμένη. Καὶ προξενεῖ ἐντροπὴν διὰ τῆς εἰς ἄτοπον ἀπαγωγῆς, προσβάλλων ἐντόνως μὲ τοὺς λόγους, «Ἐὰν δὲν ἔχῃ κάλυμμα, τότε ἂς κόψῃ καὶ τὰ μαλλιά της». «Διότι, ἐφ' ὅσον ρίπτεις τὸ κάλυμμα ποὺ ὡρίσθη ἀπὸ τὸν Θεόν, λέγει, ρίψε καὶ τὸ δοθὲν ἀπὸ τὴν φύσιν.

Ἐὰν δὲ εἴπῃ κάποιος, καὶ πῶς εἶναι ἐντροπὴ αὐτὸ διὰ τὴν γυναῖκα, ἐὰν ἀνέρχεται εἰς τὴν δόξαν τοῦ ἀνδρός; Θ' ἀπαντήσωμεν ὅτι ὄχι μόνον δὲν ἀνέρχεται, ἀλλ' ἐκπίπτει καὶ ἀπὸ τὴν ἰδικήν της τιμήν. Διότι τὸ νὰ μὴ παραμένῃ μέσα εἰς τὰ ὅριά της καὶ τοὺς νόμους ποὺ ἐτέθησαν ἀπὸ τὸν Θεόν· ἀλλὰ νὰ τοὺς παραβαίνῃ, δὲν εἶναι αὔξησις, ἀλλ' ἐλάττωσις. Διότι ὅπως ἐκεῖνος ποὺ ἐπιθυμεῖ τὰ ξένα καὶ ἁρπάζει ὅσα δὲν τοῦ ἀνήκουν, δὲν ἐκέρδισε κάτι περισσότερον ἀλλ' ἐζημιώθη, ἀφοῦ ἔχασε καὶ αὐτὸ ποὺ εἶχεν, ὅπως ἔγινε καὶ εἰς τὸν παράδεισον, ἔτσι καὶ ἡ γυναῖκα δὲν προσλαμβάνει τὴν τιμὴν καὶ εὐγένειαν τοῦ ἀνδρός, ἀλλὰ χάνει καὶ τὴν σεμνότητα τῆς γυναικός. Καὶ δὲν προέρχονται μόνον ἀπὸ ἐδῶ ὅσα τὴν ἐντροπιάζουν, ἀλλὰ καὶ ἀπὸ τὴν πλεονεξίαν. Ἀφοῦ ἐπιάσθη λοιπὸν ἀπὸ τὸ αἰσχρὸν ποὺ ἦτο ὡμολογημένον καὶ εἶπεν «Ἀλλ' ἐὰν εἶναι ἀτιμωτικὸν διὰ τὴν γυναῖκα νὰ κόψῃ τὰ μαλλιά της ἢ νὰ ξυρισθῇ», θέτει καὶ τὸ ἰδικόν του, λέγων, «Τότε ἂς ἔχῃ κάλυμμα». Καὶ δὲν εἶπεν, ἂς τρέφῃ κώμην, ἀλλ' «ἂς ἔχῃ κάλυμμα», θέτων αὐτὰ ὡς ἕνα νόμον καὶ θεμελιώνων καὶ ἀπὸ τὰ δύο· δηλαδὴ καὶ ἀπὸ ὅσα ἰσχύουν ὡς νόμος καὶ ἀπὸ τὰ ἀντίθετα. Διότι καὶ τὸ κάλυμμα τῆς κεφαλῆς καὶ ἡ κώμη λέγει ὅτι εἶναι ἕν· καὶ ἐπίσης αὐτὴ ποὺ ἔχει ἐξυρισμένην τὴν κεφαλὴν μὲ αὐτὴν ποὺ εἶναι ἀκάλυπτος τὸ ἴδιον· διότι «εἶναι ἓν καὶ τὸ αὐτὸ πρᾶγμα», λέγει, «μὲ μίαν ἐξυρισμένην». Ἐὰν δὲ εἴπῃ κάποιος, καὶ πῶς εἶναι ἕν, ἀφοῦ αὐτὴ μὲν ἔχει τὸ κάλυμμα ποὺ τῆς ἔδωσεν ἡ φύσις, ἐνῷ ἡ ἐξυ-

ἐξυρημένη οὐδὲ τοῦτο; ὅτι τῇ προαιρέσει κἀκεῖνο ἔρριψε, καὶ γυμνὴν ἔχει τὴν κεφαλήν· εἰ δὲ μὴ γυμνὴν τῶν τριχῶν, τοῦτο τῆς φύσεώς ἐστιν, οὐκ ἐκείνης. Ὥστε καὶ ἡ ἐξυρημένη γυμνὴν ἔχει τὴν κεφαλήν, καὶ αὕτη γυμνὴν ὁμοίως· Διὰ γὰρ τοῦτο τῇ φύσει ἐπέτρεψεν αὐτὴν σκεπάσαι, ἵνα καὶ ἀπ' ἐκείνης τοῦτο μαθοῦσα καλύπτηται.

6. Εἶτα καὶ αἰτίαν τίθησιν, ὅπερ ἔφην πολλαχοῦ, καθάπερ ἐλευθέροις διαλεγόμενος. Τίς οὖν ἡ αἰτία; «Ἀνὴρ μὲν γὰρ οὐκ ὀφείλει κατακαλύπτεσθαι, εἰκὼν καὶ δόξα Θεοῦ ὑπάρχων». Πάλιν ἑτέρα αὕτη αἰτία. Οὐδὲ γὰρ ὅτι κεφαλὴν ἔχει τὸν Χριστὸν μόνον οὐκ ὀφείλει καλύπτεσθαι, φησί, τὴν κεφαλήν, ἀλλ' ὅτι καὶ ἄρχει τῆς γυναικός. Τὸν γὰρ ἄρχοντα τῷ βασιλεῖ προσιόντα τὸ τῆς ἀρχῆς σύμβολον ἔχειν δεῖ. Ὥσπερ οὖν οὐδεὶς τῶν ἀρχόντων χωρὶς ζώνης καὶ χλανίδος τολμήσειεν ἂν φανῆναι τῷ τὸ διάδημα ἔχοντι· οὕτω μηδὲ σὺ χωρὶς τῶν συμβόλων τῆς ἀρχῆς, ὅπερ ἐστὶ τὸ μὴ καλύπτεσθαι, προσεύχου τῷ Θεῷ, ἵνα μὴ ὑβρίζῃς καὶ σαυτὸν καὶ τὸν τετιμηκότα. Τὸ αὐτὸ δὲ καὶ ἐπὶ τῆς γυναικὸς εἴποι τις ἄν· καὶ γὰρ καὶ ἐκείνη ὕβρις τὸ μὴ ἔχειν τὰ σύμβολα τῆς ὑποταγῆς.

«Γυνὴ δὲ δόξα ἀνδρός ἐστιν». Ἄρα φυσικὴ ἡ ἀρχὴ τοῦ ἀνδρός. Εἶτα ἐπειδὴ ἀπεφήνατο, καὶ λογισμοὺς καὶ αἰτίας τίθησι πάλιν ἑτέρας, ἐπὶ τὴν προτέραν σε ἄγων δημιουργίαν, καὶ λέγων οὕτως· «Οὐ γάρ ἐστιν ἀνὴρ ἐκ γυναικός, ἀλλὰ γυνὴ ἐξ ἀνδρός». Εἰ δὲ τὸ ἔκ τινος εἶναι, δόξα ἐκείνου ἐξ οὗ ἐστι, πολλῷ μᾶλλον τὸ εἰκόνα εἶναι. «Καὶ γὰρ οὐκ ἐκτίσθη ὁ ἀνὴρ διὰ τὴν γυναῖκα, ἀλλ' ἡ γυνὴ διὰ τὸν ἄνδρα». Δευτέρα αὕτη ὑπεροχὴ πάλιν, μᾶλλον δὲ καὶ τρίτη καὶ τετάρτη. Πρώτη, ὅτι κεφαλὴ ἡμῶν ὁ Χριστός, ἡμεῖς δὲ τῆς

ρισμένη δὲν ἔχει οὔτε αὐτό; Θ' ἀπαντήσωμεν ὅτι ἀπὸ ἰδικήν της προαίρεσιν ἔρριψε καὶ ἐκεῖνο καὶ ἔχει γυμνὴν τὴν κεφαλήν· καὶ ἂν δὲν εἶναι γυμνὴ ἀπὸ μαλλιά, αὐτὸ ὀφείλεται εἰς τὴν φύσιν, ὄχι εἰς ἐκείνην. Ὥστε καὶ ἡ ἐξυρισμένη ἔχει γυμνὴν τὴν κεφαλήν, καὶ αὐτὴ ἐπίσης γυμνήν. Διότι δι' αὐτὸ ὁ Θεὸς ἐπέτρεψεν εἰς τὴν φύσιν νὰ τὴν σκεπάσῃ, ὥστε μαθοῦσα καὶ ἀπὸ ἐκείνην αὐτό, νὰ καλύπτεται.

6. Ὕστερον παραθέτει καὶ τὸν λόγον, ὅπως εἰς πολλὰ σημεῖα εἶπον, ὡσὰν νὰ ὁμιλῇ μὲ ἐλευθέρους. Ποῖος λοιπὸν ὁ λόγος; «Διότι ὁ μὲν ἀνὴρ δὲν πρέπει νὰ κατακαλύπτῃ τὴν κεφαλήν του, ἐπειδὴ εἶναι εἰκὼν καὶ δόξα τοῦ Θεοῦ». Αὐτὴ πάλιν εἶναι ἄλλη αἰτία. Διότι ὄχι μόνον ἐπειδὴ ἔχει κεφαλὴν τὸν Χριστὸν δὲν πρέπει νὰ καλύπτεται, λέγει, εἰς τὴν κεφαλήν, ἀλλὰ καὶ διότι ἐξουσιάζει τὴν γυναῖκα. Διότι ὁ ἄρχων ὅταν προσέρχεται εἰς τὸν βασιλέα, πρέπει νὰ ἔχῃ τὸ σύμβολον τῆς ἐξουσίας. Διότι, ὅπως κανεὶς ἀπὸ τοὺς ἄρχοντας δὲν θὰ εἶχε τὴν τόλμην νὰ παρουσιασθῇ χωρὶς ζώνην καὶ ἐπανωφόριον εἰς αὐτὸν ποὺ ἔχει τὸ στέμμα, ἔτσι οὔτε σὺ χωρὶς τὰ σύμβολα τῆς ἐξουσίας, ποὺ εἶναι τὸ νὰ μὴ καλύπτεσαι, νὰ προσεύχεσαι εἰς τὸν Θεόν, διὰ νὰ μὴ προσβάλλῃς καὶ τὸν ἑαυτόν σου καὶ ἐκεῖνον ποὺ σὲ ἐτίμησε. Τὸ ἴδιον δὲ θὰ ἔλεγε κανεὶς καὶ διὰ τὴν γυναῖκα· διότι καὶ δι' ἐκείνην εἶναι προσβολὴ τὸ νὰ μὴ ἔχῃ τὰ σύμβολα τῆς ὑποταγῆς.

«Ἐνῷ ἡ γυνὴ εἶναι δόξα τοῦ ἀνδρός». Ἄρα εἶναι φυσικὴ ἡ ἐξουσία τοῦ ἀνδρός. Ὕστερον ἐπειδὴ ὡμίλησεν ἀρνητικῶς, ἐκθέτει πάλιν ἄλλους συλλογισμοὺς καὶ αἰτίας καὶ σὲ ὁδηγεῖ εἰς τὴν ἀρχικὴν κατάστασιν τῆς δημιουργίας, μὲ τοὺς ἑξῆς λόγους· «Διότι δὲν ἐδημιουργήθη ὁ ἄνδρας ἀπὸ τὴν γυναῖκα, ἀλλ' ἡ γυναῖκα ἀπὸ τὸν ἄνδρα». Ἐὰν δὲ τὸ νὰ προέρχεται κανεὶς ἀπὸ κάποιον εἶναι δόξα δι' ἐκεῖνον ἀπ' τὸν ὁποῖον προέρχεται, πολὺ περισσότερον τὸ νὰ εἶναι εἰκόνα ἐκείνου. «Καὶ δὲν ἐδημιουργήθη ὁ ἄνδρας διὰ τὴν γυναῖκα, ἀλλ' ἡ γυναῖκα διὰ τὸν ἄνδρα». Δευτέρα πάλιν ὑπεροχὴ αὐτή, ἢ μᾶλλον καὶ τρίτη καὶ τετάρτη. Πρώτη, ὅτι κεφαλή μας εἶναι ὁ Χριστός, ἐμεῖς δὲ τῆς

γυναικός· δευτέρα δέ, ὅτι ἡμεῖς δόξα Θεοῦ, ἡμῶν δὲ ἡ γυνή· τρίτη, ὅτι οὐχ ἡμεῖς ἐκ τῆς γυναικός, ἀλλ' ἐκείνη ἐξ ἡμῶν· τετάρτη, ὅτι οὐχ ἡμεῖς δι' αὐτήν, ἀλλ' ἐκείνη δι' ἡμᾶς.

«Διὰ τοῦτο ὀφείλει ἡ γυνὴ ἐξουσίαν ἔχειν ἐπὶ τῆς κεφαλῆς». Διὰ τοῦτο, ποῖον, εἰπέ μοι; Διὰ ταῦτα τὰ εἰρημένα ἅπαντα, φησί, μᾶλλον δὲ οὐ διὰ ταῦτα μόνον, ἀλλὰ καί, «Διὰ τοὺς ἀγγέλους». Εἰ γὰρ τοῦ ἀνδρὸς καταφρονεῖς, φησί, τοὺς ἀγγέλους αἰδέσθητι. Ἄρα τὸ καλύπτεσθαι, ὑποταγῆς καὶ ἐξουσίας· κάτω γὰρ νεύειν παρασκευάζει καὶ ἐντρέπεσθαι καὶ τὴν οἰκείαν διατηρεῖν ἀρετήν. Ἀρετὴ γὰρ ἀρχομένου καὶ τιμὴ τὸ μένειν ἐπὶ τῆς ὑπακοῆς. Ὁ μὲν γὰρ ἀνὴρ οὐκ ἀναγκάζεται τοῦτο ποιεῖν· τοῦ γὰρ δεσπότου αὐτοῦ ἐστιν εἰκών· ἡ γυνὴ δὲ εἰκότως. Ἐννόησον οὖν τῆς παρανομίας τὴν ὑπερβολήν, ὅταν τοσαύτῃ τιμηθεὶς ἐξουσίᾳ σαυτὸν καταισχύνῃς, τὸ τῆς γυναικὸς ἁρπάζων σχῆμα. Καὶ ταυτὸν ποιεῖς, ὡς ἂν εἰ διάδημα λαβών, ῥίψῃς τὸ διάδημα ἀπὸ τῆς κεφαλῆς, ἀντὶ δὲ τοῦ διαδήματος δουλικὸν λάβῃς ἱμάτιον.

«Πλὴν οὔτε ἀνὴρ χωρὶς γυναικός, οὐδὲ γυνὴ χωρὶς ἀνδρὸς ἐν Κυρίῳ». Ἐπειδὴ γὰρ πολλὴν ὑπεροχὴν ἔδωκε τῷ ἀνδρί, εἰπὼν ὅτι ἐξ αὐτοῦ ἡ γυνή, καὶ δι' αὐτὸν καὶ ὑπ' αὐτόν· ἵνα μήτε τοὺς ἄνδρας ἐπάρῃ πλέον τοῦ δέοντος, μήτε ἐκείνας ταπεινώσῃ, ὅρα πῶς ἐπάγει τὴν διόρθωσιν, λέγων· «Πλὴν οὔτε ἀνὴρ χωρὶς γυναικός, οὔτε γυνὴ χωρὶς ἀνδρὸς ἐν Κυρίῳ». Μὴ γάρ μοι, φησί, τὰ πρῶτα ἐξέταζε μόνα, μηδὲ τὴν δημιουργίαν ἐκείνην. Ἂν γὰρ τὰ μετὰ ταῦτα ζητῇς, ἑκάτερος ἑκατέρου αἴτιος, μᾶλλον δὲ οὐδὲ οὕτως ἑκάτερος ἑκατέρου, ἀλλ' ὁ Θεὸς ἁπάντων. Διό φησιν,

γυναικός· δευτέρα, ὅτι ἐμεῖς εἴμεθα δόξα τοῦ Θεοῦ, ἰδική μας δὲ δόξα ἡ γυναῖκα· τρίτη, ὅτι δὲν ἐδημιουργήθημεν ἐμεῖς ἀπὸ τὴν γυναῖκα, ἀλλ' ἐκείνη ἀπὸ ἐμᾶς· τετάρτη ὅτι δὲν ἐδημιουργήθημεν ἐμεῖς δι' αὐτήν, ἀλλ' ἐκείνη δι' ἡμᾶς.

«Διὰ τοῦτο πρέπει ἡ γυναῖκα νὰ ἔχῃ εἰς τὴν κεφαλὴν της κάποιο σύμβολον ὅτι τελεῖ ὑπὸ ἐξουσίαν». Διὰ τοῦτο· ποῖον; εἰπέ μου. Δι' ὅλα αὐτὰ ὅσα ἐλέχθησαν, λέγει, μᾶλλον δὲ ὄχι μόνον δι' αὐτά, ἀλλὰ καὶ «διὰ τοὺς ἀγγέλους». Ἐὰν λοιπὸν περιφρονῇς τὸν ἄνδρα, λέγει, σεβάσου τοὺς ἀγγέλους. Ἄρα τὸ νὰ καλύπτεται κανείς, εἶναι δεῖγμα ὅτι εὑρίσκεται εἰς ὑποταγὴν καὶ ἐξουσίαν· διότι τὸν ὁδηγεῖ εἰς τὸ νὰ βλέπῃ κάτω καὶ νὰ ἐντρέπεται καὶ νὰ διατηρῇ τὴν ἀρετὴν ποὺ ἁρμόζει εἰς αὐτόν. Διότι ἡ ἀρετὴ καὶ τιμὴ ἐκείνου ποὺ ἐξουσιάζεται εἶναι τὸ νὰ παραμένῃ εἰς τὴν ὑπακοήν. Ὁ μὲν ἄνδρας λοιπὸν δὲν ὑποχρεοῦται νὰ κάμνῃ αὐτό, διότι εἶναι εἰκὼν τοῦ Κυρίου του, ἐνῷ ἡ γυναῖκα εὐλόγως τὸ κάμνει. Σκέψου λοιπὸν τὸ μέγεθος τῆς παρανομίας, ὅταν, ἐνῷ ἐτιμήθης μὲ τόσην ἐξουσίαν, ἐντροπιάζεις τὸν ἑαυτόν σου, μὲ τὸ ν' ἁρπάζῃς τὴν στολὴν τῆς γυναικός. Καὶ κάμνεις τὸ ἴδιον μὲ τὸ ἐὰν εἶχες λάβει στέμμα καὶ τὸ ἔρριπτες ἀπὸ τὴν κεφαλὴν καὶ ἀντὶ τοῦ στέμματος ἔπαιρνες ἱμάτιον δούλου.

«Πλὴν ὅμως, ἐν Κυρίῳ οὔτε ὁ ἄνδρας εἶναι ἀνεξάρτητος ἀπὸ τὴν γυναῖκα, οὔτε ἡ γυναῖκα ἀπὸ τὸν ἄνδρα». Ἐπειδὴ λοιπὸν ἔδωσε πολλὴν ὑπεροχὴν εἰς τὸν ἄνδρα ὅταν εἶπεν ὅτι ἀπὸ αὐτὸν ἐπλάσθη ἡ γυναῖκα καὶ δι' αὐτὸν καὶ κάτω ἀπὸ τὴν ἐξουσίαν του, διὰ νὰ μὴ ἐξυψώσῃ τοὺς ἄνδρας περισσότερον ἀπὸ ὅσον πρέπει, οὔτε τὰς γυναῖκας νὰ ὑποτιμήσῃ, κοίταξε πῶς προσθέτει τὴν διόρθωσιν μὲ τοὺς λόγους· «Πλὴν ὅμως, ἐν Κυρίῳ οὔτε ὁ ἄνδρας εἶναι ἀνεξάρτητος ἀπὸ τὴν γυναῖκα, οὔτε ἡ γυναῖκα ἀπὸ τὸν ἄνδρα». Μὴ λοιπόν, λέγει, ἐξετάζεις μόνον ἐκείνην τὴν πρώτην κατάστασιν μετὰ τὴν δημιουργίαν. Διότι ἐὰν ἐρευνήσῃς τὰ μετὰ ἀπὸ ἐκεῖνα, ὁ ἕνας εἶναι αἴτιος τῆς ὑπάρξεως τοῦ ἄλλου, μᾶλλον δὲ οὔτε ἔτσι ὁ ἕνας τοῦ ἄλλου, ἀλλ' ὁ Θεὸς εἶναι αἴτιος ὅλων. Διὰ τοῦτο λέγει, «ἐν

«Οὔτε ἀνὴρ χωρὶς γυναικός, οὔτε γυνὴ χωρὶς ἀνδρὸς ἐν Κυρίῳ». «Ὥσπερ γὰρ ἡ γυνὴ ἐκ τοῦ ἀνδρός, οὕτω καὶ ὁ ἀνὴρ διὰ τῆς γυναικός». Οὐκ εἶπεν, ἐκ τῆς γυναικός, ἀλλὰ πάλιν, «ἐκ τοῦ ἀνδρός»· ἔτι γὰρ αὐτὸ τοῦτο ἀκέραιον μένει παρὰ τῷ ἀνδρί. Ἀλλ' οὐ τοῦ ἀνδρὸς ταῦτα τὰ κατορθώματα, ἀλλὰ τοῦ Θεοῦ· διὸ καὶ ἐπήγαγε. «Τὰ δὲ πάντα ἐκ τοῦ Θεοῦ». Εἰ τοίνυν τοῦ Θεοῦ τὰ πάντα, αὐτὸς δὲ κελεύει ταῦτα, πείθου καὶ μὴ ἀντίλεγε.

7. «Ἐν ὑμῖν αὐτοῖς κρίνατε, πρέπον ἐστὶ γυναῖκα ἀκατακάλυπτον τῷ Θεῷ προσεύχεσθαι;». Πάλιν αὐτοὺς καθίζει δικαστὰς τῶν λεγομένων, ὅπερ καὶ ἐπὶ τῶν εἰδωλοθύτων ἐποίησε. Καὶ γὰρ ἐκεῖ φησι, «Κρίνατε ὑμεῖς ὅ φημι»· καὶ ἐνταῦθα, «Ἐν ὑμῖν αὐτοῖς κρίνατε». Καί τι φοβερώτερον αἰνίττεται ἐνταῦθα· τὴν γὰρ ὕβριν ἐνταῦθα εἰς τὸν Θεόν φησι διαβαίνειν. Ἀλλ' οὕτω μὲν οὔ φησιν, ἡμερώτερον δέ πως καὶ αἰνιγματωδέστερον, λέγων· «Πρέπον ἐστὶ γυναῖκα ἀκατακάλυπτον τῷ Θεῷ προσεύχεσθαι; «Ἢ οὐδὲ αὐτὴ ἡ φύσις ὑμᾶς διδάσκει, ὅτι ἀνὴρ μὲν ἐὰν κομᾷ, ἀτιμία αὐτῷ ἐστι· γυνὴ δὲ ἐὰν κομᾷ, δόξα αὐτῇ ἐστιν; ὅτι ἡ κόμη ἀντὶ περιβολαίου δέδοται αὐτῇ». Ὅπερ ἀεὶ ποιεῖ, κοινοὺς λογισμοὺς τιθείς, τοῦτο καὶ ἐνταῦθα ἐργάζεται, ἐπὶ τὴν κοινὴν συνήθειαν καταφεύγων, καὶ σφόδρα ἐντρέπων τοὺς ἀναμένοντας ταῦτα μανθάνειν παρ' αὐτοῦ, ἃ καὶ ἀπὸ τῆς κοινῆς συνηθείας δυνατὸν ἦν μανθάνειν· τὰ γὰρ τοιαῦτα οὔτε βαρβάροις ἄγνωστα.

Καὶ ὅρα πῶς πανταχοῦ πληκτικῶς κέχρηται ταῖς λέξεσι· «Πᾶς ἀνὴρ προσευχόμενος κατακαλύπτων τὴν κεφαλήν, καταισχύνει τὴν κεφαλὴν αὐτοῦ»· καὶ πάλιν, «Εἰ δὲ αἰσχρὸν γυναικὶ κείρασθαι ἢ ξυρᾶσθαι, καταλυπτέσθω»· καὶ ἐνταῦθα πάλιν, «Ἀνὴρ μὲν ἐὰν κομᾷ, ἀτιμία αὐτῷ ἐστι· γυνὴ

Κυρίῳ οὔτε ὁ ἄνδρας εἶναι ἀνεξάρτητος ἀπὸ τὴν γυναῖκα, οὔτε ἡ γυναῖκα ἀπὸ τὸν ἄνδρα». «Διότι ὅπως ἡ γυναῖκα ἔγινεν ἀπὸ τὸν ἄνδρα, ἔτσι καὶ ὁ ἄνδρας γεννᾶται διὰ τῆς γυναικός». Δὲν εἶπεν, ἐκ τῆς γυναικός, ἐνῷ ἐπανέλαβε, «ἀπὸ τὸν ἄνδρα»· διότι αὐτὸ παραμένει ἀκόμη ἀκέραιον εἰς τὸν ἄνδρα. Δὲν εἶναι, ὅμως, τοῦ ἀνδρὸς αὐτὰ τὰ κατορθώματα· ἀλλὰ τοῦ Θεοῦ· δι' αὐτὸ καὶ κατέληξε, «τὰ πάντα δὲ προέρχονται ἀπὸ τὸν Θεόν». Ἐὰν λοιπὸν τὰ πάντα εἶναι τοῦ Θεοῦ, προστάσσει δὲ αὐτὸς τὰ πάντα, νὰ πείθεσαι καὶ νὰ μὴ ἀντιλέγῃς.

7. «Κρίνατε μόνοι σας. Εἶναι πρέπον νὰ προσεύχεται πρὸς τὸν Θεὸν γυναῖκα δίχως κάλυμμα;». Πάλιν αὐτοὺς θέτει κριτὰς δι' ὅσα λέγονται, ὅπως ἔκανε καὶ διὰ τὰ εἰδωλόθυτα. Διότι καὶ ἐκεῖ λέγει· «Κρίνατε σεῖς αὐτὸ ποὺ λέγω»· καὶ ἐδῶ, «Κρίνατε μόνοι σας». Καὶ κάτι φοβερώτερον ὑπαινίσσεται ἐδῶ· διότι εἰς τὸν Θεὸν λέγει ὅτι μεταβαίνει ἡ ὕβρις ἀπὸ αὐτά. Δὲν λέγει ὅμως εὐθέως αὐτό, ἀλλὰ μὲ κάπως ἡμερώτερον καὶ αἰνιγματικώτερον τρόπον, μὲ τοὺς λόγους· «Εἶναι πρέπον νὰ προσεύχεται πρὸς τὸν Θεὸν γυναῖκα δίχως κάλυμμα;». «Καὶ αὐτὴ ἡ φύσις δὲν σᾶς διδάσκει ὅτι ἐὰν ὁ ἄνδρας ἔχῃ μακρὰν κώμην δὲν εἶναι τιμητικὸν δι' αὐτόν, ἐνῷ ἐὰν ἡ γυναῖκα ἔχῃ μακρὰν κώμην αὐτὸ εἶναι δόξα δι' αὐτήν; Διότι ἡ μακρὰ κώμη τῆς ἔχει δοθῇ διὰ κάλυμμα». Αὐτὸ ποὺ κάμνει πάντα, μὲ τὸ νὰ ἐκθέτῃ συλλογισμοὺς κοινοὺς εἰς ὅλους τοὺς ἀνθρώπους, αὐτὸ κάμνει καὶ ἐδῶ, καταφεύγων εἰς τὴν κοινὴν συνήθειαν καὶ προκαλῶν μεγάλην ἐντροπὴν εἰς αὐτοὺς ποὺ περιμένουν νὰ μανθάνουν ἀπὸ αὐτὸν αὐτὰ ποὺ ἦτο δυνατὸν νὰ μανθάνουν καὶ ἀπὸ τὴν κοινὴν συνήθειαν· διότι αὐτὰ δὲν ἦσαν ἄγνωστα οὔτε εἰς τοὺς βαρβάρους.

Καὶ κοίταξε πῶς παντοῦ χρησιμοποιεῖ τὰς λέξεις μὲ τρόπον ποὺ νὰ κτυποῦν· «Ὅποιος ἀνὴρ προσεύχεται μὲ καλυμμένην τὴν κεφαλήν, ἐντροπιάζει τὴν κεφαλήν του»· καὶ πάλιν, «Ἀλλ' ἐὰν εἶναι ἀτιμωτικὸν διὰ τὴν γυναῖκα νὰ κόψῃ τὰ μαλλιά της ἢ νὰ ξυρισθῇ, τότε ἂς ἔχῃ κάλυμμα»· καὶ ἐδῶ πάλιν, «Ἐὰν ὁ ἄνδρας ἔχῃ κώμην μακρὰν εἶναι

δὲ ἐὰν κομᾷ, δόξα αὐτῇ ἐστιν· ὅτι ἡ κόμη ἀντὶ περιβολαίου δέδοται». Καὶ εἰ ἀντὶ περιβολαίου δέδοται, φησί, τίνος ἕνεκεν δεῖ περιβόλαιον ἕτερον προστιθέναι; Ὥστε μὴ ἀπὸ τῆς φύσεως μόνον, ἀλλὰ καὶ ἀπὸ τῆς προαιρέσεως τὴν ὑποταγὴν ὁμολογεῖν. Ὅτι γὰρ δεῖ σε καλύπτεσθαι, προλαβοῦσα καὶ ἡ φύσις ἐνομοθέτησε. Προστίθει τοίνυν καὶ τὰ παρὰ σαυτῆς, ἵνα μὴ δόξῃς καὶ τοὺς τῆς φύσεως ἀναιρέπειν νόμους· ὅπερ πολλῆς ἐστιν ἰταμότητος, μὴ μόνον ἡμῖν, ἀλλὰ καὶ τῇ φύσει πυκτεύειν.

Διὸ καὶ Ἰουδαίοις ὁ Θεὸς ἐγκαλῶν ἔλεγεν, «Ἔσφαξας τοὺς υἱούς σου καὶ τὰς θυγατέρας σου· τοῦτο παρὰ πάντα τὰ βδελύγματά σου». Καὶ τοῖς παρὰ Ρωμαίοις ἀσελγαίνουσι πάλιν ὁ Παῦλος ἐπιτιμῶν, οὕτως αὔξει τὴν κατηγορίαν λέγων, ὅτι οὐ παρὰ νόμον τὸν τοῦ Θεοῦ μόνον, ἀλλὰ καὶ παρὰ φύσιν ἡ χρῆσις ἦν. «Ἐνήλλαξαν γὰρ τὴν φυσικὴν χρῆσιν εἰς τὴν παρὰ φύσιν». Διὰ δὴ τοῦτο καὶ ἐνταῦθα τοῦτον γυμνάζει τὸν λόγον, τοῦτό τε αὐτὸ δεικνύς, καὶ ὅτι οὐδὲν ξένον νομοθετεῖ, καὶ ὅτι παρ' Ἕλλησι τὰ τῆς καινοτομίας ἅπαντα τῆς παρὰ φύσιν. Οὕτω καὶ ὁ Χριστὸς τοῦτο δεικνὺς ἔλεγεν· «Ὅσα ἐὰν θέλητε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς», δηλῶν ὅτι οὐδὲν κοινὸν ἐπεισάγει.

Εἰ δέ τις δοκεῖ φιλόνεικος εἶναι, ἡμεῖς τοιαύτην συνήθειαν οὐκ ἔχομεν, οὐδὲ αἱ ἐκκλησίαι τοῦ Θεοῦ». Ἄρα φιλονεικίας τὸ ἀντιτείνειν τούτοις, καὶ οὐ λογισμοῦ. Πλὴν ἀλλὰ καὶ οὕτω μεμετρημένην τὴν ἐπιτίμησιν ἐποίησε, πλείονα τὴν ἐντροπήν θείς· ὃ δὴ καὶ βαρύτερον ἐποίει τὸν λόγον. Ἡμεῖς γάρ, φησί, τοιαύτην συνήθειαν οὐκ ἔχομεν, ὥστε φιλονεικεῖν καὶ ἐρίζειν καὶ ἀντιτάττεσθαι. Καὶ οὐδὲ μέχρι τούτου ἔστη, ἀλλὰ καὶ ἐπήγαγεν, «οὐδὲ αἱ ἐκκλησαι τοῦ Θεοῦ»· δεικνὺς

---

6. Ἰεζεκιὴλ 16, 21.
7. Ματθ. 7, 12.

ἀτιμωτικὸν δι' αὐτόν, ἐνῷ ἐὰν ἡ γυνὴ ἔχῃ μακρὰν κώμην αὐτὸ εἶναι δόξα δι' αὐτήν. Διότι ἡ μακρὰ κώμη τῆς ἔχε δοθῆ διὰ κάλυμμα». Καὶ ἐὰν τῆς ἐδόθη διὰ κάλυμμα, θὰ εἰπῇ κάποιος, διατί πρέπει νὰ προσθέσῃ ἄλλο κάλυμμα; Διὰ νὰ ὁμολογῇ τὴν ὑποταγὴν ὄχι μόνον ἀπὸ τὴν φύσιν, ἀλλὰ καὶ ἀπὸ τὴν προαίρεσιν. Διότι διὰ τὸ ὅτι πρέπει νὰ καλύπτεσαι, ἐνομοθέτησε καὶ ἡ φύσις πρὶν ἀπὸ τοῦ νὰ τὸ κάνῃς. Πρόσθεσε λοιπὸν καὶ ὅσα ἀνήκει εἰς ἐσὲ νὰ προσθέσῃς, διὰ νὰ μὴ θεωρηθῇς ὅτι ἀνατρέπεις καὶ τοὺς νόμους τῆς φύσεως· πρᾶγμα ποὺ εἶναι μεγάλης αὐθαδείας δεῖγμα, τὸ νὰ ἀντιμάχεσαι ὄχι μόνον ἐμᾶς, ἀλλὰ καὶ τὴν φύσιν.

Διὰ τοῦτο καὶ ὁ Θεός, κατηγορῶν τοὺς Ἰουδαίους, ἔλεγεν, «Ἔσφαξες τοὺς υἱούς σου καὶ τὰς θυγατέρας σου· αὐτὸ εἶναι ἐπάνω ἀπὸ ὅλα τὰ σιχαμερὰ ἔργα σου»[6]. Καὶ τοὺς Ρωμαίους, ποὺ διέπραττον ἀσέλγειαν, ἐπιτιμῶν αὐτοὺς ὁ Παῦλος ἔτσι ἐντείνει τὴν κατηγορίαν μὲ τοὺς λόγους, ὅτι ὄχι μόνον παρὰ τὸν νόμον τοῦ Θεοῦ, ἀλλὰ καὶ παρὰ φύσιν ἦτο ἡ χρῆσις. «Διότι ἀντήλλαξαν τὴν φυσικὴν χρῆσιν μὲ τὴν παρὰ φύσιν». Διὰ τοῦτο λοιπὸν καὶ ἐδῶ κηρύττει αὐτὸν τὸν λόγον, διὰ νὰ δείξῃ καὶ αὐτό, καὶ ὅτι δὲν νομοθετεῖ τίποτε ξένον πρὸς τὴν φύσιν, καὶ ὅτι ὅλα ὅσα εἶναι παρὰ φύσιν εἰσήχθησαν ἀπὸ τοὺς Ἕλληνας ὡς καινοτομία. Ἔτσι καὶ ὁ Χριστὸς διὰ νὰ δείξῃ αὐτὸ ἔλεγεν· «Ὅσα θέλετε νὰ κάμνουν εἰς ἐσᾶς οἱ ἄνθρωποι αὐτὰ νὰ κάμνετε καὶ σεῖς εἰς αὐτούς»[7], δεικνύων ὅτι τίποτε καινούργιον δὲν εἰσάγει.

«Ἐὰν θέλῃ κανεὶς νὰ εἶναι φιλόνεικος, ἐμεῖς τέτοιαν συνήθειαν δὲν ἔχομεν, οὔτε αἱ ἐκκλησίαι τοῦ Θεοῦ». Ἄρα τὸ ὅτι ἀντετίθεντο εἰς αὐτὰ προήρχετο ἀπὸ φιλονεικίαν καὶ ὄχι ἀπὸ συλλογισμόν. Ἀλλ' ὅμως καὶ ἔτσι ἐπετίμησε μὲ ἠπιώτερον τρόπον καὶ ἐπροξένησεν εἰς αὐτοὺς περισσοτέραν ἐντροπήν, πρᾶγμα ποὺ ἔκαμνε καὶ βαρύτερον τὸν λόγον. Διότι ἐμεῖς, λέγει, δὲν ἔχομεν τέτοιαν συνήθειαν ὥστε νὰ φιλονεικῶμεν καὶ νὰ εὑρισκώμεθα εἰς πόλεμον καὶ νὰ ἀντιτασσώμεθα. Καὶ οὔτε ἐδῶ ἐσταμάτησεν, ἀλλὰ καὶ προσέθεσεν, «οὔτε αἱ ἐκκλησίαι τοῦ Θεοῦ», δεικνύων

ὅτι πάσῃ τῇ οἰκουμένῃ ἀντιπίπτουσι καὶ ἐναντιοῦνται, μὴ εἴκοντες. Ἀλλ' εἰ καὶ τότε ἐφιλονείκουν οἱ Κορίνθιοι, νῦν πᾶσα ἡ οἰκουμένη τὸν νόμον τοῦτον καὶ κατεδέξατο καὶ ἐφύλαξε· τοσαύτη τοῦ σταυρωθέντος ἡ δύναμις.

8. Ἀλλὰ δέδοικα, μήποτε τὸ σχῆμα καταδεξάμεναι, ἐπὶ τῶν ἔργων εὑρεθῶσιν ἀναισχυντοῦσαι ἔνιαι τῶν γυναικῶν, καὶ ἀνακεκαλυμμέναι ἑτέρως. Διὰ γὰρ τοῦτο καὶ Τιμοθέῳ γράφων οὐκ ἠρκέσθη τούτοις ὁ Παῦλος, ἀλλ' ἕτερα προσέθηκε εἰπών· «Ἐν καταστολῇ κοσμίῳ μετὰ αἰδοῦς καὶ σωφροσύνης». Εἰ γὰρ γυμνὴν οὐ δεῖ τὴν κεφαλὴν ἔχειν, ἀλλὰ τῆς ἐξουσίας τὸ σύμβολον πανταχοῦ περιφέρειν, **πολλῷ μᾶλλον διὰ τῶν πράξεων τοῦτο ἐπιδείκνυσθαι χρή. Οὕτω γοῦν καὶ αἱ πρότεραι γυναῖκες καὶ κυρίους τοὺς ἄνδρας ἐκάλουν, καὶ τῶν πρωτείων αὐτοῖς παρεχώρουν. Καὶ γὰρ ἐκεῖνοι, φησί, τὰς γυναῖκας ἠγάπων τὰς ἑαυτῶν. Οἶδα κἀγώ, καὶ οὐκ ἀγνοῶ· ἀλλ' ὅταν ὑπὲρ τῶν σοὶ προσηκόντων παραινῶμεν, μὴ τὰ ἐκείνων σκόπει. Καὶ γὰρ ὅταν παισὶ παραινῶμεν ὑπακούειν γονεῦσι λέγοντες, ὅτι γέγραπται, «Τίμα τὸν πατέρα σου, καὶ τὴν μητέρα», λέγουνσι πρὸς ἡμᾶς, εἰπὲ καὶ τὸ ἑξῆς, ὅτι «Καὶ ὑμεῖς οἱ γονεῖς μὴ παροργίζετε τὰ τέκνα».**

Καὶ τοῖς δούλοις ὅταν εἴπωμεν, ὅτι γέγραπται ὑπακούειν τοῖς κυρίοις, καὶ μὴ κατ' ὀφθαλμοδουλείαν δουλεύειν, καὶ αὐτοὶ πάλιν τὰ ἑξῆς ἡμᾶς ἀπαιτοῦσι, κελεύοντες καὶ τοῖς δεσπόταις τὰ αὐτὰ παραινεῖν. Καὶ γὰρ καὶ ἐκείνοις ὁ Παῦλος ἐκέλευσε, φησίν, ἀνιέναι τὴν ἀπειλήν. Ἀλλὰ μὴ οὕτω ποιῶμεν, μηδὲ τὰ ἑτέροις ἐπιτεταγμένα ζητῶμεν, ὅταν ὑπὲρ τῶν ἡμετέρων ἐγκαλώμεθα· οὐδὲ γάρ, ἂν κοινωνὸν λάβῃς τῶν ἐγκλημάτων, ἀπαλλαγήσῃ τῆς αἰτίας· ἀλλ' ἓν σκόπει μόνον, ὅπως τὰ σὰ ἐγκλήματα ἀποδύσῃ. Ἐπεὶ καὶ ὁ Ἀδὰμ ἐπὶ τὴν γυναῖκα τὴν αἰτίαν ἔφερε, καὶ αὕτη πάλιν

---

8. Α' Τιμ. 2, 9.
9. Ἐφεσ. 6. 2, 4.
10. Ἐφεσ. 6, 9.

ὅτι εἰς ὅλην τὴν οἰκουμένην ἀντιτάσσονται καὶ ἐναντιοῦνται μὲ τὸ νὰ μὴ ὑπακούουν. 'Αλλ' ἂν καὶ ἐφιλονείκουν τότε οἱ Κορίνθιοι, τώρα ὅλη ἡ οἰκουμένη αὐτὸν τὸν νόμον καὶ παρεδέχθη καὶ ἐφύλαξε· τόση εἶναι ἡ δύναμις τοῦ σταυρωθέντος.

8. 'Αλλὰ φοβοῦμαι, μήπως, ἀφοῦ παραδεχθοῦν νὰ καλύπτωνται εἰς τὴν κεφαλήν, εὑρεθοῦν ἀδιάντροποι εἰς τὰ ἔργα μερικαὶ ἀπὸ τὰς γυναῖκας καὶ ἀκάλυπτοι μὲ ἄλλον τρόπον. Διὰ τοῦτο λοιπὸν ὅταν γράφῃ καὶ εἰς τὸν Τιμόθεον δὲν ἠρκέσθη εἰς αὐτὰ ὁ Παῦλος, ἀλλὰ προσέθεσεν ἄλλα μὲ τοὺς λόγους· «Μὲ σεμνὴν ἐνδυμασίαν, μὲ ἐντροπὴν καὶ σωφροσύνην»[8]. Διότι ἐὰν δὲν πρέπει νὰ ἔχουν γυμνὴν τὴν κεφαλήν, ἀλλὰ νὰ φέρουν παντοῦ τὸ σύμβολον τῆς ἐξουσίας, πολὺ περισσότερον πρέπει νὰ δεικνύουν αὐτὸ μὲ τὰς πράξεις των. Ἔτσι λοιπὸν καὶ αἱ γυναῖκες τῆς παλαιᾶς ἐποχῆς ὠνόμαζον καὶ κυρίους τοὺς ἄνδρας καὶ παρεχώρουν εἰς αὐτοὺς τὰ πρωτεῖα. 'Αλλὰ καὶ ἐκεῖνοι, θὰ εἰπῇς, ἠγάπων τὰς γυναῖκας των. Γνωρίζω καὶ ἐγὼ καὶ δὲν μοῦ εἶναι ἄγνωστον· ἀλλ' ὅταν σὲ προτρέπομεν δι' ὅσων ἁρμόζουν εἰς ἐσέ, μὴ βλέπῃς ὅσα ἀφοροῦν εἰς ἐκείνους. Διότι καὶ ὅταν προτρέπομεν τὰ παιδιὰ νὰ ὑπακούουν εἰς τοὺς γονεῖς μὲ τὸ νὰ λέγωμεν ὅτι εἶναι γραμμένον, «Νὰ τιμᾷς τὸν πατέρα σου καὶ τὴν μητέρα», λέγουν εἰς ἐμᾶς, εἰπὲ καὶ τὴν συνέχειαν, ὅτι «Καὶ σεῖς οἱ γονεῖς, μὴ ἐξοργίζετε τὰ τέκνα σας»[9].

Καὶ εἰς τοὺς δούλους ὅταν εἰποῦμεν ὅτι εἶναι γραμμένον νὰ ὑπακούουν εἰς τοὺς κυρίους καὶ νὰ ὑπηρετοῦν μὲ καλὴν διάθεσιν, καὶ αὐτοὶ πάλιν ἀπαιτοῦν ἀπὸ ἐμᾶς τὴν συνέχειαν αὐτοῦ ποὺ εἶναι γραμμένον, καὶ ζητοῦν νὰ προτρέπωμεν τὰ ἴδια καὶ εἰς τοὺς κυρίους. Διότι καὶ ἐκείνους διέταξεν ὁ Παῦλος, λέγουν, νὰ καταργήσουν τὴν φοβέραν[10]. 'Αλλ' ἂς μὴ κάμνωμεν ἔτσι, οὔτε νὰ ζητοῦμεν αὐτὰ ποὺ ἔχουν διαταχθῆ εἰς ἄλλους, ὅταν κατηγορούμεθα διὰ τὰ ἰδικά μας· διότι οὔτε ἐὰν κάνῃς κάποιον συνένοχον εἰς τὰς ἐναντίον σου κατηγορίας θ' ἀπαλλαγῇς ἀπὸ τὴν εὐθύνην· ἀλλ' ἓν πρᾶγμα μόνον νὰ ἐπιδιώκῃς, πῶς θ' ἀπαλλαγῇς ἀπὸ τὰς ἁμαρτίας σου. Διότι καὶ ὁ 'Αδὰμ ἀπέδωσε

ἐπὶ τὸν ὄφιν, ἀλλ' οὐδένα αὐτῶν τοῦτο ἐξείλετο. Μὴ τοίνυν μηδὲ σὺ τοῦτο λέγε μοι νῦν, ἀλλὰ σπούδαζε μετὰ εὐγνωμοσύνης ἁπάσης παρέχειν, ἅπερ ὀφείλεις, τῷ ἀνδρί. Ἐπεὶ καὶ ὅταν τῷ σῷ ἀνδρὶ διαλέγωμαι, συμβουλεύων σε ἀγαπᾶν καὶ θεραπεύειν, οὐκ ἀφίημι αὐτὸν προσενεγκεῖν εἰς μέσον τὸν τῇ γυναικὶ κείμενον νόμον, ἀλλὰ τὸν αὐτῷ γεγραμμένον ἀπαιτῶ.

Καὶ σὺ τοίνυν τὰ σοὶ προσήκοντα περιεργάζου μόνα, καὶ πάρεχε σαυτὴν εὐήνιον τῷ συνοικοῦντι. Καὶ γὰρ εἰ διὰ τὸν Θεὸν πείθῃ τῷ ἀνδρί, μή μοι πρόφερε τὰ ὀφείλοντα παρ' αὐτοῦ γίνεσθαι, ἀλλ' ὧν ὑπεύθυνόν σε ἐποίησεν ὁ νομοθέτης ταῦτα ἄνυε μετὰ ἀκριβείας. Τοῦτο γάρ ἐστι μάλιστα Θεῷ πείθεσθαι, τὸ καὶ ἐναντία πάσχουσαν μὴ παρακινεῖν τὸν νόμον. Διὰ γὰρ τοῦτο ὁ μὲν τὸν φιλοῦντα φιλῶν, οὐδὲν δοκεῖ τι μέγα ποιεῖν· ὁ δὲ τὸν μισοῦντα θεραπεύων, οὗτος μάλιστά ἐστιν ὁ στεφανούμενος. Τὸν αὐτὸν δὴ τρόπον καὶ σὺ λογίζου, ὅτι ἂν μὲν φορτικὸν ὄντα τὸν ἄνδρα ἐνέγκῃς, λαμπρὸν λήψῃ τὸν στέφανον· ἂν δὲ ἥμερον καὶ πρᾶον, τίνος σοι δώσει μισθὸν ὁ Θεός;

9. Καὶ ταῦτα λέγω, οὐ θρασύνεσθαι τοὺς ἄνδρας κελεύων, ἀλλὰ πείθων τὰς γυναῖκας καὶ θρασυνομένους φέρειν τοὺς ἄνδρας. Ὅταν γὰρ ἕκαστος τὰ ἑαυτοῦ σπεύδῃ πληροῦν, ταχέως καὶ τὰ τοῦ πλησίον ἕψεται. Οἷον, ὅταν ἡ γυνὴ καὶ τραχυνόμενον παρεσκευασμένη ᾖ φέρειν τὸν ἄνδρα, ὅταν ὁ ἀνὴρ καὶ χαλεπαίνουσαν αὐτὴν μὴ ὑβρίζῃ, τότε πάντα γαλήνη καὶ λιμὴν κυμάτων ἀπηλλαγμένος. Οὕτω καὶ ἐπὶ τῶν παλαιῶν ἐγίνετο· τὰ ἑαυτοῦ ἕκαστος ἐπλήρου, οὐ τὰ τοῦ πλησίον ἀπῄτει. Σκόπει δέ. Ἔλαβε τὸν ἀδελφιδοῦν ὁ

τὴν αἰτίαν εἰς τὴν γυναῖκα καὶ αὐτὴ πάλιν εἰς τὸν ὄφιν, ἀλλ' αὐτὸ κανένα δὲν ἀπήλλαξε. Λοιπὸν οὔτε σὺ μὴ μοῦ λέγῃς τώρα αὐτό, ἀλλὰ νὰ προσπαθῇς μὲ κάθε εὐγνωμοσύνην νὰ δίδῃς αὐτὰ ποὺ ὀφείλεις εἰς τὸν ἄνδρα. Διότι καὶ ὅταν ὁμιλῶ εἰς τὸν ἄνδρα σου καὶ τὸν συμβουλεύω νὰ σὲ ἀγαπᾷ καὶ νὰ σὲ περιποιῆται, δὲν τὸν ἀφήνω νὰ προβάλῃ τὸν νόμον ποὺ ἐγράφη δι' αὐτόν.

Καὶ σὺ λοιπὸν μόνον αὐτὰ ποὺ πρέπουν εἰς σὲ νὰ πράττῃς μὲ πολλὴν ἐπιμέλειαν καὶ νὰ προσφέρῃς τὸν ἑαυτόν σου εὐπειθῆ εἰς τὸν σύζυγόν σου. Διότι ἐὰν διὰ τὸν Θεὸν πείθεσαι εἰς τὸν ἄνδρα, μὴ μοῦ λέγῃς αὐτὰ ποὺ ὀφείλει ἐκεῖνος νὰ πράττῃ, ἀλλὰ νὰ ἐκτελῇς μὲ ἀκρίβειαν αὐτὰ διὰ τὰ ὁποῖα σὲ κατέστησεν ὑπεύθυνον ὁ νομοθέτης. Διότι αὐτὸ κατ' ἐξοχὴν εἶναι νὰ ὑπακούῃς εἰς τὸν Θεόν, δηλαδὴ τὸ νὰ μὴ παρασαλεύῃς τὸν νόμον ἀκόμη καὶ ὅταν προσβάλλεσαι ἀπὸ ἀντιξοότητας. Διότι δι' αὐτὸ ἐκεῖνος μὲν ποὺ ἀγαπᾷ ἐκεῖνον ἀπὸ τὸν ὁποῖον ἀγαπᾶται, τίποτε μέγα δὲν θεωρεῖται ὅτι κάμνει, ἐνῷ ἐκεῖνος ποὺ περιποιεῖται ἐκεῖνον ποὺ τὸν μισεῖ, αὐτὸς λαμβάνει στέφανον. Μὲ τὸν ἴδιον τρόπον λοιπὸν καὶ σὺ νὰ συλλογίζεσαι, ὅτι ἐὰν μὲν ὑπομείνῃς τὸν ἄνδρα ἐνῷ εἶναι φορτικός, θὰ λάβῃς λαμπρὸν στέφανον, ἂν ὅμως τὸν ὑπομείνῃς ἐνῷ εἶναι ἥμερος καὶ πρᾷος, διὰ ποῖον πρᾶγμα θὰ σοῦ δώσῃ μισθὸν ὁ Θεός;

9. Καὶ αὐτὰ τὰ λέγω, ὄχι διὰ νὰ προτρέπω τοὺς ἄνδρας νὰ γίνωνται θρασύτεροι, ἀλλὰ διὰ νὰ πείσω τὰς γυναῖκας νὰ ὑπομένουν τοὺς ἄνδρας ἀκόμη καὶ ὅταν εἶναι θρασεῖς. Διότι ὅταν ὁ καθεὶς σπεύδῃ νὰ ἐκπληρώσῃ τὰ ἰδικά του καθήκοντα, συντόμως θὰ γίνῃ τὸ ἴδιον καὶ ἀπὸ τὸν πλησίον. Ὅπως, ὅταν ἡ γυναῖκα εἶναι προητοιμασμένη νὰ ὑπομένῃ τὸν ἄνδρα ἀκόμη καὶ ὅταν γίνεται σκληρός, ὅταν ὁ ἀνὴρ δὲν τὴν κακομεταχειρίζεται ἀκόμη καὶ ἂν τὸν ἐξοργίζῃ, τότε τὰ πάντα εἶναι γαλήνη καὶ λιμὴν ποὺ εἶναι ἀπηλλαγμένος ἀπὸ κύματα. Ἔτσι ἐγίνετο καὶ εἰς τοὺς παλαιούς· ὁ καθεὶς ἔκαμνε τὰ καθήκοντά του, δὲν ἀπῄτει ἀπὸ τὸν πλησίον νὰ κάμνῃ τὰ ἰδικά του. Πρόσεξε δέ. Ἐδέχθη ὁ Ἀβραὰμ τὸν ἀνεψιόν του· δὲν τὸν ἐκατηγόρησεν

Ἀβραάμ· οὐκ ἐνεκάλεσεν ἡ γυνή. Ἐκέλευσεν αὐτὸν ὁδὸν ὁδεῦσαι μακράν· οὐκ ἀντεῖπεν οὐδὲ πρὸς τοῦτο, ἀλλ' ἠκολούθησε. Πάλιν μετὰ τὰς πολλὰς ταλαιπωρίας ἐκείνας καὶ τοὺς μόχθους καὶ τοὺς ἱδρῶτας τῶν πάντων κύριος γενόμενος, παρεχώρησε τῶν πρωτείων τῷ Λώτ. Καὶ οὐ μόνον οὐκ ἐδυσχέρανεν ἡ Σάρρα πρὸς τοῦτο, ἀλλ' οὐδὲ τὸ στόμα διῆρεν, οὐδὲ ἐφθέγξατό τι τοιοῦτον, οἷον πολλαὶ τῶν γυναικῶν νῦν φθέγγονται, ὅταν ἴδωσιν ἐλαττουμένους ἐν ταῖς τοιαύταις μοίραις τοὺς ἄνδρας τοὺς ἑαυτῶν, καὶ μάλιστα ὑπὸ ἐλαττόνων, ὀνειδίζουσαι καὶ μωροὺς καὶ ἀνοήτους καλοῦσαι καὶ ἀνάνδρους καὶ προδότας καὶ νωθεῖς. Ἀλλ' οὐδὲν ἐκείνη τοιοῦτον οὔτε εἶπεν οὔτε ἐνενόησεν, ἀλλ' ἔστερξεν ἅπαντα τὰ παρ' ἐκείνου γενόμενα.

Καὶ τὸ δὴ μεῖζον. Μετὰ γὰρ τὸ κύριον ἐκεῖνον γενέσθαι τῆς αἱρέσεως καὶ τὰ ἐλάττονα προσρῖψαι «τῷ θείῳ, κίνδυνος αὐτὸν κατέλαβε χαλεπός· καὶ ἀκούσας ὁ πατριάρχης, πάντας καθώπλισε τοὺς αὐτοῦ, καὶ πρὸς ὅλον τὸ τῶν Περσῶν παρεσκευάζετο στρατόπεδον μετὰ τῶν οἰκετῶν τῶν ἑαυτοῦ μόνος. Καὶ οὐδὲ τότε αὐτὸν κατέσχεν ἐκείνη, οὐδὲ εἶπεν οἷα εἰκός· ἄνθρωπε, ποῖ φέρῃ, κατὰ κρημνῶν σεαυτὸν ὠθῶν καὶ τοσούτοις ἐκδιδοὺς κινδύνοις, ὑπὲρ ἀνδρὸς ὑβρικότος σε καὶ τὰ σὰ ἡρπακότος ἅπαντα τὸ αἷμα ἐκχέων; Εἰ γὰρ καὶ σαυτοῦ καταφρονεῖς, ἀλλ' ἐμὲ τὴν καταλιποῦσαν οἰκίαν καὶ πατρίδα καὶ φίλους καὶ συγγενεῖς καὶ τοσαύτην ἀκολουθήσασάν σοι ἀποδημίαν ἐλέησον, καὶ μὴ περιβάλῃς χηρείᾳ καὶ τοῖς ἀπὸ τῆς χηρείας κακοῖς. Οὐδὲν τούτων οὐκ εἶπεν, οὐκ ἐνενόησεν, ἀλλ' ἔφερε πάντα σιγῇ.

Μετὰ ταῦτα τῆς γαστρὸς ἀγόνου μενούσης, αὕτη μὲν οὐ πάσχει τὰ τῶν γυναικῶν, οὐδὲ ἀποδύρεται· ἐκεῖνος δὲ θρηνεῖ, ἀλλ' οὐχὶ πρὸς τὴν γυναῖκα, ἀλλὰ πρὸς τὸν Θεόν. Καὶ ὅρα πῶς ἕκαστος τὸ προσῆκον διαφυλάττει. Οὔτε γὰρ αὐτὸς κατεφρόνησε τῆς Σάρρας ὡς ἄπαιδος, οὔτε ὠνείδισέ τι

ἡ σύζυγος. Ἐπρόσταξεν αὐτὴν νὰ βαδίσῃ ὁδὸν μακράν· δὲν ἔφερεν ἀντίρρησιν οὔτε εἰς αὐτό, ἀλλ' ἠκολούθησε. Πάλιν μετὰ ἀπὸ τὰς πολλὰς ἐκείνας ταλαιπωρίας καὶ τοὺς κόπους καὶ τοὺς ἱδρῶτας ἀφοῦ ἔγινε κύριος ὅλων, παρεχώρησε τὰ πρωτεῖα εἰς τὸν Λώτ. Καὶ ὄχι μόνον δὲν δυσηρεστήθη ἡ Σάρρα δι' αὐτό, ἀλλ' οὔτε ἤνοιξε τὸ στόμα, οὔτε εἶπε τίποτε τέτοιον, ὡσὰν αὐτὰ ποὺ λέγουν τώρα πολλαὶ ἀπὸ τὰς γυναῖκας ὅταν ἰδοῦν τοὺς συζύγους των νὰ χάνουν ἀγαθὰ μὲ τέτοιας πράξεις, καὶ μάλιστα ἀπὸ κατωτέρους, καθὼς τοὺς κατηγοροῦν καὶ τοὺς ὀνομάζουν μωροὺς καὶ ἀνοήτους καὶ ἀνάνδρους καὶ προδότας καὶ νωθρούς. Ἐκείνη ὅμως τίποτε τέτοιον οὔτε εἶπεν, οὔτε ἐσκέφθη, ἀλλ' ἐδέχθη ὅλα ὅσα ἔγιναν ἀπὸ ἐκεῖνον.

Καὶ τὸ ἀκόμη μεγαλύτερον. Μετὰ δηλαδὴ ἀπὸ τὸ ὅτι ἐκεῖνος ἔγινε κύριος τοῦ νὰ ἐκλέξῃ καὶ ν' ἀφήσῃ τὴν πλέον ἄγονον γῆν εἰς τὸν θεῖον του, εὑρέθη εἰς μέγα κίνδυνον· καὶ ὅταν ἔμαθεν ὁ πατριάρχης ὥπλισεν ὅλους τοὺς ἰδικούς του καὶ προητοιμάζετο ν' ἀντιμετωπίσῃ ὅλον τὸ στρατόπεδον τῶν Περσῶν μόνος μὲ τοὺς ὑπηρέτας του. Καὶ οὔτε τότε τὸν ἠμπόδισεν ἐκείνη, οὔτε εἶπεν αὐτὰ ποὺ θὰ ἦτο φυσικὸν νὰ εἰπῇ· ἄνθρωπε, ποῦ πηγαίνεις, ὁδηγῶν τὸν ἑαυτόν σου εἰς κρημνοὺς καὶ ἐκθέτων αὐτὸν εἰς τόσους κινδύνους, χύνων τὸ αἷμά σου χάριν ἀνθρώπου, ὁ ὁποῖος συμπεριεφέρθη κακῶς εἰς ἐσένα καὶ σοῦ ἥρπασεν ὅλα τὰ ἰδικά σου; Ἀλλὰ καὶ ἂν καταφρονῇς τὸν ἑαυτόν σου, τότε λυπήσου ἐμένα ποὺ ἐγκατέλειψα οἰκίαν καὶ πατρίδα καὶ φίλους καὶ συγγενεῖς καὶ σὲ ἠκολούθησα εἰς τέτοιον ταξείδιον καὶ μὴ μὲ περιβάλῃς μὲ τὴν χηρείαν καὶ τὰς δυστυχίας της. Τίποτε ἀπὸ αὐτὰ οὔτε εἶπεν, οὔτε ἐσκέφθη, ἀλλ' ὑπέμεινε τὰ πάντα μὲ σιωπήν.

Μετὰ ἀπὸ αὐτὰ ἐπειδὴ παρέμενεν ἄγονος ἡ κοιλία της, αὐτὴ μὲν δὲν πάσχει αὐτὰ ποὺ πάσχουν αἱ γυναῖκες, συνήθως, οὔτε κλαίει· ἐκεῖνος δὲ θρηνεῖ, ὄχι ὅμως πρὸς τὴν γυναῖκα, ἀλλὰ πρὸς τὸν Θεόν. Καὶ πρόσεξε πῶς ὁ καθεὶς διαφυλάττει αὐτὸ ποὺ ἀνήκει εἰς αὐτόν. Οὔτε αὐτὸς δηλαδὴ περιεφρόνησε τὴν Σάρραν ὡς ἄτεκνον, οὔτε

τοιοῦτον αὐτῇ· κἀκείνη πάλιν ἐσπούδασε τῆς ἀπαιδίας ἐπινοῆσαι παραμυθίαν αὐτῷ τινα ἀπὸ τῆς παιδίσκης. Οὐδέπω γὰρ ταῦτα τότε κεκώλυτο, καθὰ νῦν. Νῦν γὰρ οὔτε γυναιξὶ τοιαῦτα ἀνδράσι χαρίζεσθαι θέμις, οὔτε ἐκείνοις, οὔτε εἰδυιῶν οὔτε ἀγνοουσῶν τῶν γυναικῶν, τοιαύταις μίξεσιν ἐπιχειρεῖν, κἂν μυριάκις ἡ τῆς ἀπαιδίας ἐνοχλῇ λύπη· ἐπεὶ ἀκούσονται καὶ αὐτοί, ὅτι «Ὁ σκώληξ αὐτῶν οὐ τελευτήσει, καὶ τὸ πῦρ οὐ σβεσθήσεται»[11]. Οὐ γὰρ ἐφεῖται νῦν, τότε δὲ οὐκ ἀπηγορεύετο. Διὸ καὶ ἡ γυνὴ τοῦτο ἔπραττε, κἀκεῖνος ὑπήκουε, καὶ οὐδὲ οὕτω δι' ἡδονήν. Ἀλλ' ὅρα, φησί, πῶς αὐτὴν πάλιν ἐξέβαλε κελευούσης αὐτῆς. Καὶ γὰρ ἐγὼ τοῦτο βούλομαι δεῖξαι, ὅτι καὶ οὗτος ἐκείνη ἅπαντα ἐπείθετο, καὶ ἐκείνη τούτῳ. Πλὴν μὴ τούτοις πρόσεχε μόνον, ἀλλ' ἡ ταῦτα λέγουσα σὺ καὶ τὰ πρότερα ἐξέταζε, ὅτι ὕβριζεν εἰς αὐτήν, ὅτι κατηλαζονεύετο τῆς κυρίας, οὗ τί γένοιτ' ἂν ὀδυνηρότερον ἐλευθέρᾳ γυναικὶ καὶ εὐσχήμονι;

10. Μὴ τοίνυν τοῦ ἀνδρὸς τὴν ἀρετὴν ἀναμενέτω ἡ γυνή, καὶ τότε τὴν ἑαυτῆς παρεχέτω· τοῦτο γὰρ οὐδὲν μέγα· μηδ' αὖ πάλιν ὁ ἀνὴρ τὴν τῆς γυναικὸς εὐταξίαν, καὶ τότε φιλοσοφείτω· οὐδὲ γὰρ τοῦτο λοιπὸν αὐτοῦ κατόρθωμα· ἀλλ' ἕκαστος, ὅπερ ἔφην, τὰ παρ' ἑαυτοῦ παρεχέτω πρότερος. Εἰ γὰρ τοῖς ἔξωθεν ῥαπίζουσι τὴν δεξιάν, δεῖ τὴν ἑτέραν ἐκδιδόναι σιαγόνα, πολλῷ μᾶλλον ἄνδρα θρασυνόμενον δεῖ φέρειν. Καὶ οὐ τοῦτο λέγω, ὥστε τύπτεσθαι γυναῖκα, ἄπαγε· ἐσχάτη γὰρ τοῦτο ὕβρις, οὐ τῇ τυπτομένῃ, ἀλλὰ τῷ τύπτοντι· ἀλλὰ κἂν ἀπὸ περιστάσεώς τινος κληρωθῇς, ὦ γύναι, συν-

11. Μάρκ. 9, 44.

τὴν ἐκατηγόρησε διὰ τίποτε τέτοιο. Καὶ ἐκείνη πάλιν ἐφρόντισε νὰ ἐπινοήσῃ δι' αὐτὸν κάποιαν παρηγορίαν διὰ τὴν ἀτεκνίαν, τὴν ὑπηρέτριαν. Διότι δὲν ἀπηγορεύοντο αὐτὰ τότε ὅπως τώρα. Τώρα ὅμως οὔτε εἰς τὰς γυναῖκας συγχωρεῖται νὰ ἐπιτρέπουν τέτοια εἰς τοὺς ἄνδρας των, οὔτε εἰς ἐκείνους, εἴτε ἐν γνώσει εἴτε ἐν ἀγνοίᾳ τῶν γυναικῶν νὰ ἐπιχειροῦν τέτοιου εἴδους σαρκικὰς μίξεις, ἀκόμη καὶ ἂν ἀπείρους φορὰς τοὺς στενοχωρῇ ἡ λύπη ἀπὸ τὴν ἀτεκνίαν· διότι θ' ἀκούσουν καὶ αὐτοὶ ὅτι «τὸ σκουλήκι ποὺ θὰ τοὺς κατατρώγῃ δὲν θὰ ἔχῃ τέλος καὶ τὸ πῦρ ποὺ θὰ τοὺς κατακαίῃ δὲν θὰ σβήνῃ»[11]. Διότι δὲν ἐπιτρέπεται τώρα, ἐνῷ τότε δὲν ἀπηγορεύετο. Δι' αὐτὸ καὶ ἡ Σάρρα ἔπραττεν αὐτό, καὶ ἐκεῖνος ὑπήκουε, καὶ οὔτε μὲ αὐτὸν τὸν τρόπον ἐγίνετο δι' ἡδονήν. Κοίταξε ὅμως, θὰ εἰπῇς, πῶς ἐξεδίωξε πάλιν τὴν δούλην ὅταν ἠθέλησεν ἡ Σάρρα. 'Αλλὰ καὶ ἐγὼ αὐτὸ θέλω νὰ σοῦ ἀποδείξω, ὅτι δηλαδὴ καὶ αὐτὸς εἰς ὅλα ἐπείθετο εἰς ἐκείνην, καὶ ἐκείνη εἰς αὐτόν. Πλὴν ὅμως μὴ προσέχῃς μόνον εἰς αὐτά, ἀλλ', ἐνῷ αὐτὴ λέγει αὐτά, σὺ νὰ ἐξετάζῃς καὶ τὰ προηγούμενα, ὅτι δηλαδὴ συμπεριεφέρετο μὲ αὐθάδειαν πρὸς αὐτήν, ὅτι ἐκαυχᾶτο ἐναντίον τῆς κυρίας, ἀπὸ τὸ ὁποῖον τί θὰ ἦτο ὀδυνηρότερον διὰ μίαν ἐλευθέραν καὶ σεβαστὴν γυναῖκα;

10. Ἂς μὴ περιμένῃ λοιπὸν τὴν ἀρετὴν τοῦ ἀνδρὸς ἡ γυναῖκα καὶ τότε νὰ δίδῃ τὴν ἰδικήν της· διότι αὐτὸ δὲν εἶναι τίποτε τὸ σπουδαῖον· οὔτε πάλιν ὁ ἀνὴρ νὰ περιμένῃ τὴν χρηστοήθειαν τῆς γυναικός, καὶ τότε ἂς ἐκτελῇ τὰ καθήκοντά του ἐπιμελῶς· διότι οὔτε αὐτὸ λοιπὸν εἶναι κατόρθωμά του· ἀλλ' ὁ καθείς, ὅπως εἶπον, ἂς δίδῃ τὰ ἰδικά του πρὶν ἀπὸ τὸν ἄλλον. Διότι ἐὰν εἰς τοὺς μὴ πιστοὺς ὅταν μᾶς κτυποῦν εἰς τὴν δεξιὰν πρέπει νὰ δίδωμεν καὶ τὴν ἄλλην σιαγόνα, πολὺ περισσότερον πρέπει νὰ ὑπομένωμεν ἄνδρα σκληρόν. Καὶ δὲν λέγω αὐτὸ διὰ νὰ δέρεται ἡ γυναῖκα, μὴ γένοιτο· διότι αὐτὸ εἶναι μεγίστη ἀτιμία, ὄχι δι' αὐτὴν ποὺ δέρεται, ἀλλὰ δι' αὐτὸν ποὺ δέρει· ἀλλὰ καὶ ἂν ἀπὸ κάποιαν περίστασιν σοῦ τύχῃ, γυναῖκα, τέτοιος σύζυγος, μὴ δυσφορήσῃς, ἀλλὰ νὰ σκέπτεσαι τὸν

οἴκῳ τοιούτῳ, μὴ δυσχεράνῃς, τὸν ἀποκείμενον ὑπὲρ τούτων ἐννοοῦσα μισθὸν καὶ τὸν ἐν τῷ παρόντι βίῳ ἔπαινον.

Καὶ πρὸς ὑμᾶς δὲ τοὺς ἄνδρας ἐκεῖνό φημι· μηδὲν ἔστω τοιοῦτον ἁμάρτημα, ὡς εἰς ἀνάγκην ὑμᾶς ἄγειν τοῦ γυναῖκα τύπτειν. Καὶ τί λέγω γυναῖκα; οὐδὲ θεραπαινίδα μὲν οὖν ἀνδρὶ τύπτειν ἐλευθέρῳ καὶ χεῖρας ἐπάγειν ἀνεκτὸν ἂν εἴη. Εἰ δὲ δούλην τυπτῆσαι ἀνδρὶ πολὺ τὸ ὄνειδος, πολλῷ μᾶλλον κατὰ τῆς ἐλευθέρας ἀνατεῖναι τὴν δεξιάν. Καὶ τοῦτο καὶ ἐκ τῶν ἔξωθεν ἄν τις ἴδοι νομοθετῶν, οἳ τὴν τὰ τοιαῦτα παθοῦσαν οὐκέτι ἀναγκάζουσι συνοικεῖν τῷ τυπτήσαντι, ἅτε ἀναξίῳ ὄντι τῆς πρὸς αὐτὴν ὁμιλίας. Καὶ γὰρ ἐσχάτης παρανομίας τὴν τοῦ βίου κοινωνόν, τὴν ἐν τοῖς ἀναγκαίοις καὶ ἀνωτάτω σοι συνεφαπτομένην, ταύτην ὡς ἀνδράποδον ἀτιμάζειν. Διὸ καὶ τὸν τοιοῦτον ἄνδρα, εἴγε ἄνδρα αὐτὸν δεῖ καλεῖν, ἀλλ' οὐχὶ θηρίον, καὶ πατραλοίου καὶ μητραλοίου ἴσον εἶναι φαίην ἄν. Εἰ γὰρ πατέρα καὶ μητέρα διὰ ταύτην ἀφεῖναι προσετάγημεν, οὐκ ἀδικοῦντες ἐκείνους, ἀλλὰ νόμον θεῖον πληροῦντες, καὶ τοῖς γεγεννηκόσιν αὐτοῖς οὕτω ποθεινόν, ὡς καὶ αὐτοὺς τοὺς καταλιμπανομένους καὶ χάριν ἔχειν καὶ μετὰ πολλῆς ἀνύειν αὐτὸ τῆς σπουδῆς· πῶς οὐκ ἐσχάτης μανίας ταύτην ὑβρίζειν, δι' ἣν καὶ τοὺς γεγεννηκότας ὁ Θεὸς ἀφεῖναι ἐκέλευσεν;

Ἆρ' οὖν μανία μόνον τοῦτο; Τὴν δὲ αἰσχύνην, εἰπέ μοι, τίς οἴσει; ποῖος δὲ αὐτὴν παραστῆσαι δυνήσεται λόγος, ὅταν ὀλολυγαὶ καὶ κωκυτοὶ κατὰ τοὺς στενωποὺς φέρωνται, καὶ δρόμος ἐπὶ τὴν οἰκίαν τοῦ ταῦτα ἀσχημονοῦντος καὶ τῶν γειτόνων καὶ τῶν περιιόντων, καθάπερ θηρίου τινὸς τὰ ἔνδον λυμαινομένου; Βέλτιον διαστῆναι τὴν γῆν τῷ τὰ τοιαῦτα παροινοῦντι, ἢ ἐπ' ἀγορᾶς αὐτὸν ὀφθῆναι λοιπόν.

μισθὸν ποὺ ἀναλογεῖ εἰς αὐτὰ καὶ τὸν ἔπαινον εἰς τὴν παροῦσαν ζωήν.

Ἀλλὰ καὶ πρὸς σᾶς τοὺς ἄνδρας ἐκεῖνο λέγω· ἂς μὴ γίνῃ κανὲν ἁμάρτημα τέτοιον ποὺ νὰ σᾶς ὁδηγῇ εἰς τὸ νὰ κτυπᾶτε τὴν γυναῖκα. Καὶ τί λέγω διὰ τὴν γυναῖκα; Οὔτε δούλην θὰ ἦτο ἀνεκτὸν εἰς ἄνδρα ἐλεύθερον νὰ κτυπᾷ καὶ νὰ χειροδικῇ εἰς αὐτήν. Ἐὰν δὲ εἶναι μεγάλη ἐντροπὴ διὰ τὸν ἄνδρα τὸ νὰ κτυπήσῃ δούλην, πολὺ περισσότερον τὸ νὰ σηκώσῃ τὸ χέρι ἐναντίον ἐλευθέρας γυναικός. Καὶ αὐτὸ θὰ ἴδῃ κανεὶς καὶ ἀπὸ τοὺς μὴ πιστοὺς νομοθέτας, οἱ ὁποῖοι τὴν γυναῖκα, ἡ ὁποία ὑπέστη τέτοιαν μεταχείρισιν, δὲν τὴν ἀναγκάζουν νὰ συνοικῇ μὲ αὐτὸν ποὺ τὴν ἐκτύπησεν, ἐπειδὴ εἶναι ἀνάξιος νὰ συζῇ μὲ αὐτήν. Διότι εἶναι ἔργον μεγίστης παρανομίας τὸ νὰ ἀτιμάζῃς ὡς δούλην αὐτὴν ἡ ὁποία εἶναι κοινωνὸς εἰς τὴν ζωήν σου καὶ σὲ βοηθεῖ εἰς τὰ ἀναγκαῖα καὶ τὰ ὕψιστα τῆς ζωῆς. Δι' αὐτὸ καὶ τέτοιος ἄνδρας, ἐὰν βεβαίως πρέπει νὰ ὀνομάζω αὐτὸν ἄνδρα καὶ ὄχι θηρίον, θὰ ἔλεγον ὅτι εἶναι εἰς τὸν ἴδιον βαθμὸν κακοῦργος μὲ τὸν πατροκτόνον καὶ τὸν μητροκτόνον. Διότι ἐὰν ἔχωμεν ἐντολὴν νὰ ἐγκαταλείπωμεν τὸν πατέρα καὶ τὴν μητέρα χάριν τῆς συζύγου, ὄχι διὰ ν' ἀδικήσωμεν ἐκείνους, ἀλλὰ διὰ νὰ τηρήσωμεν θεῖον νόμον, καὶ ἀκόμη καὶ εἰς αὐτοὺς ποὺ μᾶς ἐγέννησαν αὐτὸ εἶναι τόσον ποθητόν, ὥστε καὶ αὐτοὶ ποὺ ἐγκαταλείπονται καὶ νὰ δεικνύουν εὔνοιαν καὶ μὲ πολλὴν φροντίδα νὰ σπεύδουν δι' αὐτό, πῶς δὲν εἶναι δεῖγμα ἐσχάτης μανίας νὰ κακομεταχειρίζεται κανεὶς αὐτὴν διὰ τὴν ὁποίαν ὁ Θεὸς προσέταξεν ἀκόμη καὶ τοὺς γονεῖς νὰ ἐγκαταλείπωμεν;

Ἆρά γε λοιπὸν μόνον μανία εἶναι αὐτό; Τὴν δὲ ἐντροπήν, εἰπέ μου, ποῖος θὰ βαστάσῃ; Ποῖος δὲ λόγος θὰ ἠμπορέσῃ νὰ παραστήσῃ αὐτήν, ὅταν αἱ κραυγαὶ καὶ οἱ θρῆνοι ἀκούγωνται εἰς τὰς στενὰς ὁδοὺς καὶ τρέξιμον τῶν γειτόνων καὶ τῶν παρευρισκομένων εἰς τὴν οἰκίαν ἐκείνου ποὺ πράττει αὐτὰς τὰς ἀσχημίας, ὡσὰν κάποιον θηρίον τὸ ὁποῖον ἀφανίζει ὅ,τι ὑπάρχει μέσα; Καλύτερον ν' ἀνοίξῃ ἡ γῆ δι' αὐτὸν ποὺ κακομεταχειρίζεται μὲ τέτοιον τρόπον τὴν

Ἀλλὰ θρασύνεται ἡ γυνή, φησίν. Ἀλλ' ἐννόησον ὅτι γυνή, τὸ ἀσθενὲς σκεῦος, σὺ δὲ ἀνήρ. Διὰ γὰρ τοῦτο καὶ ἄρχων ἐχειροτονήθης, καὶ ἐν τάξει κεφαλῆς ἐδόθης, ἵνα φέρῃς τῆς ἀρχομένης τὴν ἀσθένειαν. Ποίησον τοίνυν λαμπράν σοι τὴν ἀρχήν· ἔσται δὲ λαμπρά, ὅταν τὸ ἀρχόμενον μὴ ἀτιμάζῃς. Καὶ καθάπερ ὁ βασιλεύων τοσούτῳ σεμνότερος φανεῖται, ὅσῳ ἂν τὸν ὕπαρχον σεμνότερον ἀποφήνῃ· ἂν δὲ ἀτιμάσῃ καὶ καταισχύνῃ τῆς ἀξίας ἐκείνης τὸ μέγεθος, καὶ τῆς ἑαυτοῦ δόξης οὐκ ὀλίγον ὑποτέμνεται μέρος· οὕτω καὶ σὺ ἂν τὴν μετὰ σὲ ἄρχουσαν ἀτιμάσῃς, οὐχ ὡς ἔτυχε λυμανεῖς σου τῆς ἀρχῆς τὴν τιμήν.

11. Ταῦτα λοιπὸν λογιζόμενος ἅπαντα σωφρόνει, καὶ μετὰ τούτων καὶ τὴν ἑσπέραν ἐκείνην ἐννόει, καθ' ἣν καλέσας σε ὁ πατήρ, ὥσπερ τινά σοι παρακαταθήκην τὴν θυγατέρα παρέδωκε, καὶ πάντων ἀποστήσας, καὶ μητρὸς καὶ αὐτοῦ καὶ οἰκίας, ὁλόκληρον αὐτῆς τὴν ἐπιτροπὴν ἐνεχείρισέ σου τῇ δεξιᾷ. Ἐννόησον ὅτι μετὰ τὸν Θεὸν δι' αὐτὴν παῖδας ἔχεις καὶ πατὴρ γέγονας, καὶ γίνου καὶ ἐντεῦθεν ἥμερος πρὸς αὐτήν. Οὐχ ὁρᾷς τοὺς γεωργούς, πῶς τὴν ἅπαξ ὑποδεξαμένην τὰ σπέρματα γῆν θεραπεύουσι παντοδαπῷ θεραπείας τρόπῳ, κἂν μυρία ἐλαττώματα ἔχῃ, οἷον κἂν λεπτόγαιος ᾖ, κἂν βοτάνας φέρῃ πονηράς, κἂν ὑπὸ ἐπομβρίας ἐπηρεάζηται τῇ φύσει τῆς θέσεως; Τοῦτο καὶ αὐτὸς ποίει· οὕτω γὰρ πρότερος ἀπολαύσῃ καὶ τῶν καρπῶν καὶ τῆς γαλήνης. Καὶ γὰρ λιμήν ἐστιν ἡ γυνή, καὶ φάρμακον εὐθυμίας μέγιστον. Ἂν μὲν οὖν τὸν λιμένα πνευμάτων ἀπαλλάξῃς καὶ κυμάτων, μετὰ πολλῆς ἀπολαύσῃ τῆς ἀδείας ἐξ ἀγορᾶς ἀνιών· ἂν δὲ θορύβων καὶ ταραχῆς ἐμπλήσῃς, σαυτῷ χαλεπώτερον κατασκευάζεις τὸ ναυάγιον.

Ἵν' οὖν τοῦτο μὴ γίνηται, τοῦτο ὃ λέγω γενέσθω· ὅταν τι συμβῇ λυπηρὸν κατὰ τὴν οἰκίαν, ἐκείνης ἁμαρτανούσης,

γυναῖκα του, παρὰ νὰ ἐμφανισθῇ μετὰ ἀπὸ αὐτὰ εἰς τὴν ἀγοράν. Ἀλλὰ συμπεριφέρεται μὲ θράσος ἡ γυναῖκα, θὰ εἰπῇ. Σκέψου ὅμως ὅτι εἶναι γυναῖκα, τὸ ἀσθενὲς ὄργανον, ἐνῷ σὺ εἶσαι ἄνδρας. Διότι δι' αὐτὸ καὶ ἐτοποθετήθης ἄρχων καὶ ἐτέθης εἰς τὴν τάξιν τῆς κεφαλῆς, διὰ νὰ ὑποφέρῃς τὴν ἀδυναμίαν αὐτῆς τῆς ὁποίας ἄρχεις. Κάνε λοιπὸν λαμπρὰν τὴν ἐξουσίαν σου· θὰ εἶναι δὲ λαμπρὰ ὅταν δὲν ἀτιμάζεις αὐτὸ ποὺ ἐξουσιάζεις. Καὶ ὅπως αὐτὸς ποὺ βασιλεύει τόσον σεβαστότερος ἀναδεικνύεται, ὅσον σεβαστότερον ἐμφανίζει αὐτὸν ποὺ κυβερνᾷ, ἐνῷ ἐὰν ἀτιμάσῃ καὶ κατεντροπιάσῃ τὸ μέγεθος τῆς ἀξίας ἐκείνου, μειώνει ὄχι ὀλίγον καὶ τὴν ἰδικήν του δόξαν, ἔτσι καὶ σὺ ἂν ἀτιμάσῃς αὐτὴν ποὺ ἐξουσιάζεις, δὲν θὰ βλάψῃς ὀλίγον τὴν τιμὴν τῆς ἐξουσίας σου.

11. Συλλογιζόμενος λοιπὸν ὅλα αὐτὰ νὰ εἶσαι σώφρων, καὶ μαζὶ μὲ αὐτὰ νὰ σκέπτεσαι καὶ ἐκείνην τὴν ἑσπέραν κατὰ τὴν ὁποίαν ἀφοῦ σὲ ἐκάλεσεν ὁ πατήρ σου παρέδωσε τὴν κόρην του ὡσὰν κάποιαν παρακαταθήκην καὶ τῆς μητρὸς καὶ τὴν ἰδικήν του καὶ τῆς οἰκίας τὴν ἐξουσίαν ἐπάνω εἰς αὐτήν, τὴν παρεχώρησεν ὁλόκληρον εἰς τὴν δεξιάν σου χεῖρα. Σκέψου ὅτι μετὰ ἀπὸ τὸν Θεὸν χάριν αὐτῆς ἔχεις παιδιὰ καὶ ἔγινες πατέρας καὶ νὰ γίνεσαι καὶ ἀπὸ αὐτὸ ἥμερος εἰς αὐτήν. Δὲν βλέπεις τοὺς γεωργοὺς πῶς περιποιοῦνται τὴν γῆν ποὺ ἐδέχθη τὰ σπέρματα μὲ κάθε τρόπον περιποιήσεως, καὶ ἂν ἀκόμη ἔχῃ ἄπειρα ἐλαττώματα, ὅπως ἐὰν εἶναι ἄγονος, ἐὰν ἔχῃ ζιζάνια, ἐὰν ἐπηρρεάζεται ἀπὸ πλημμύρας λόγῳ τῆς θέσεώς της; Αὐτὸ νὰ πράττῃς καὶ σύ· διότι ἔτσι πρῶτος σὺ θ' ἀπολαύσῃς καὶ τοὺς καρποὺς καὶ τὴν γαλήνην. Διότι εἶναι λιμὴν ἡ γυναῖκα καὶ μέγιστον φάρμακον εὐθυμίας. Ἂν μὲν λοιπὸν τὸν λιμένα ἀπαλλάξῃς ἀπὸ τοὺς ἀνέμους καὶ τὰ κύματα, πολλὴν ἄνεσιν θ' ἀπολαύσῃς ὅταν ἐπιστρέφῃς ἀπὸ τὴν ἀγοράν· ἂν ὅμως τὸν γεμίσῃς μὲ θορύβους καὶ ταραχάς, κάμνεις φοβερώτερον τὸ ναυάγιον διὰ τὸν ἑαυτόν σου.

Διὰ νὰ μὴ γίνῃ λοιπὸν αὐτό, ἂς γίνῃ αὐτὸ ποὺ λέγω· ὅταν συμβῇ κάτι λυπηρὸν εἰς τὴν οἰκίαν ἀπὸ ἰδικόν της

παραμυθοῦ καὶ μὴ ἐπίτεινε τὴν λύπην. Κἂν γὰρ ἅπαντα ἀποβάλῃς, οὐδὲν λυπηρότερον τοῦ μὴ μετ' εὐνοίας ἔχειν γυναῖκα ἔνδον συνοικοῦσαν· κἂν ὁτιοῦν εἴπῃς ἁμάρτημα, οὐδὲν οὕτως ὀδυνηρὸν ἐρεῖς, οἷόν ἐστι τὸ πρὸς ἐκείνην στασιάζειν. Ὥστε καὶ διὰ ταῦτα πάντων ἔστω τιμιωτέρα ἡ ταύτης ἀγάπη. Εἰ γὰρ ἀλλήλων τὰ βάρη δεῖ βαστάζειν, πολλῷ μᾶλλον τῆς γυναικός. Κἂν πένης ᾖ, μὴ ὀνειδίσῃς· κἂν ἀνόητος ᾖ, μὴ ἐπέμβαινε, ἀλλὰ ῥύθμισον μᾶλλον· καὶ γὰρ μέλος ἐστὶ σόν, καὶ σὰρξ ἐγένεσθε μία. Ἀλλὰ φλύαρός ἐστι, καὶ μέθυσος, καὶ ὀργίλη. Οὐκοῦν ἀλγεῖν ἐπὶ τούτοις, οὐκ ὀργίζεσθαι χρή, καὶ τὸν Θεὸν παρακαλεῖν, καὶ παραινεῖν αὐτῇ καὶ συμβουλεύειν, καὶ πάντα ποιεῖν, ὥστε ἐκκόψαι τὸ πάθος. Ἂν δὲ τύπτῃς, καὶ ἐπιτρίβεις τὸ νόσημα. Θρασύτης γὰρ ἐπιεικείᾳ λύεται, οὐχ ἑτέρᾳ θρασύτητι.

Μετὰ τούτων καὶ τὸν παρὰ τοῦ Θεοῦ μισθὸν ἐννόει. Ὅταν γάρ, ἐξόν σοι ἐκτεμεῖν αὐτήν, μὴ ποιῇς τοῦτο διὰ τὸν τοῦ Θεοῦ φόβον, ἀλλὰ φέρῃς ἐλαττώματα τοσαῦτα, δεδοικὼς τὸν ἐπὶ τούτοις κείμενον νόμον τὸν κωλύοντα ἐκβαλεῖν γυναῖκα, κἂν ὁτιοῦν ἔχῃ νόσημα, ἄφατον λήψῃ μισθόν. Καὶ πρὸ τῶν μισθῶν δὲ τὰ μέγιστα κερδανεῖς, ἐκείνην τε εὐπειθεστέραν κατασκευάζων, καὶ αὐτὸς ἐπιεικέστερος ταύτῃ γινόμενος. Λέγεται γοῦν τις καὶ τῶν ἔξωθεν φιλοσόφων μοχθηρὰν ἔχων γυναῖκα καὶ φλύαρον καὶ πάροινον, πρὸς τοὺς ἐρωτῶντας, τίνος ἕνεκεν τοιαύτην ἔχων ἀνέχεται, εἰπεῖν, ὥστε γυμνάσιον καὶ παλαίστραν ἔχειν φιλοσοφίας ἐπὶ τῆς οἰκίας. Ἔσομαι γὰρ τοῖς λοιποῖς πρᾳότερος, φησίν, ἐν ταύτῃ καθ' ἑκάστην παιδευόμενος τὴν ἡμέραν.

Ἐβοήσατε μεγάλα; Ἀλλ' ἐγὼ νῦν ὀδύρομαι μέγα, ὅταν Ἕλληνες ὑμῶν ὦσι φιλοσοφώτεροι, ἡμῶν τῶν κελευσθέν-

σφάλμα, νὰ τὴν παρηγορῇς καὶ νὰ μὴ κάμνῃς βαρυτέραν τὴν λύπην. Διότι καὶ ἂν ἀκόμη ἀποβάλῃς ὅλα τὰ λυπηρά, τίποτε λυπηρότερον ἀπὸ τοῦ νὰ ἔχῃς εἰς δυσμένειαν γυναῖκα ποὺ νὰ συνοικῇ μαζί σου· καὶ ὁποιονδήποτε ἁμάρτημα προβάλῃς, κανὲν δὲν θὰ εἴπῃς τόσον ὀδυνηρόν, ὅπως εἶναι τὸ νὰ πολεμῇς ἐκείνην. Ὥστε καὶ δι' αὐτὰ ἂς εἶναι πολυτιμωτέρα ἀπὸ ὅλα ἡ ἀγάπη πρὸς αὐτήν. Διότι ἐὰν πρέπῃ νὰ βαστάζωμεν ἀπὸ κοινοῦ τὰ βάρη μεταξύ μας, πολὺ περισσότερον τῆς γυναικός. Καὶ ἂν εἶναι πτωχή, μὴ τὴν κατηγορήσῃς· καὶ ἂν εἶναι ἀνόητος, μὴ ἐπωφεληθῇσαι διὰ νὰ τὴν βλάπτῃς ἀλλὰ μᾶλλον νὰ τὴν ὁδηγῇς εἰς τάξιν διότι εἶναι ἰδικόν σου μέλος καὶ ἔχετε γίνει μία σάρκα. Ἀλλ' εἶναι φλύαρος καὶ μέθυσος καὶ ὀξύθυμος. Λοιπὸν πρέπει νὰ πονᾷς δι' αὐτά, ὄχι νὰ ὀργίζεσαι· καὶ νὰ παρακαλῇς τὸν Θεὸν καὶ νὰ τὴν παραινῇς καὶ νὰ τὴν συμβουλεύῃς καὶ νὰ κάμνῃς τὰ πάντα, ὥστε νὰ κόψῃ τὸ πάθος της. Ἐνῷ ἐὰν τὴν κτυπᾷς, ὄχι μόνον δὲν θεραπεύεις, ἀλλὰ καὶ ἐρεθίζεις τὴν νόσον. Διότι ἡ θρασύτης θεραπεύεται μὲ τὴν ἐπιείκειαν, ὄχι μὲ ἄλλην θρασύτητα.

Μαζὶ μὲ αὐτὰ νὰ σκέπτεσαι καὶ τὸν μισθὸν ἀπὸ τὸν Θεόν. Διότι ὅταν, ἐνῷ σοῦ εἶναι δυνατὸν νὰ κατασφάξῃς αὐτήν, δὲν τὸ κάμνεις διὰ τὸν φόβον τοῦ Θεοῦ, ἀλλ' ὑπομένεις τόσα ἐλαττώματα, φοβούμενος τὸν ὑπάρχοντα νόμον ποὺ ἐμποδίζει νὰ διώξῃς γυναῖκα, ὁποιονδήποτε ἐλάττωμα καὶ ἂν ἔχῃ, θὰ λάβῃς ἀπερίγραπτον μισθόν. Ἀλλὰ καὶ πρὶν ἀπὸ τοὺς μισθοὺς θὰ κερδίσῃς τὰ μέγιστα ἀφοῦ θὰ κάνῃς ἐκείνην εὐπειθεστέραν, καὶ σὺ ὁ ἴδιος θὰ γίνῃς ἀπὸ αὐτὸ ἐπιεικέστερος. Λέγεται λοιπὸν ὅτι καὶ κάποιος ἀπὸ τοὺς εἰδωλολάτρας φιλοσόφους, ποὺ εἶχε γυναῖκα κακὴν καὶ φλύαρον καὶ μέθυσον, ὅταν ἠρωτήθη διατί, ἐνῷ ἔχει τέτοιαν γυναῖκα, τὴν ἀνέχεται, ἀπήντησεν εἰς αὐτοὺς ποὺ ἠρώτησαν, ὅτι διὰ νὰ ἔχῃ παλαίστραν καὶ ἄσκησιν φιλοσοφίας εἰς τὴν οἰκίαν. Διότι θὰ εἶμαι πραότερος εἰς τοὺς ἄλλους, λέγει, ἐξασκούμενος εἰς αὐτὴν καθημερινῶς.

Παραπονεῖσθε ὅτι αὐτὰ εἶναι ὑπερβολικά; ἀλλ' ἐγὼ τώρα θρηνῶ, ὅταν εἰδωλολάτραι εἶναι φιλοσοφώτεροι ἀπὸ

των ἀγγέλους μιμεῖσθαι, μᾶλλον δὲ τῶν κελευσθέντων αὐτὸν τὸν Θεὸν ζηλοῦν κατὰ τὸν τῆς ἐπιεικείας λόγον. Ὁ μὲν οὖν φιλόσοφος λέγεται διὰ τοῦτο πονηρὰν ἔχων γυναῖκα μὴ ἐκβαλεῖν· τινὲς δὲ καὶ διὰ τοῦτο ἀγαγέσθαι αὐτὴν αὐτὸν λέγουσιν. Ἐγὼ δέ, ἐπειδὴ πολλοὶ τῶν ἀνθρώπων ἀλογώτερόν εἰσι διακείμενοι, παραινῶ μὲν ἐξ ἀρχῆς πάντα ποιεῖν καὶ σπουδάζειν, ὅπως εὐάρμοστον λάβοιεν σύνοικον καὶ πάσης γέμουσαν ἀρετῆς· εἰ δὲ συμβαίη διαμαρτεῖν, καὶ μὴ χρηστὴν μηδὲ ἀνεκτὴν νύμφην εἰσαγαγεῖν εἰς τὴν οἰκίαν, τότε γοῦν τὸν φιλόσοφον τοῦτον ζηλοῦν, καὶ ῥυθμίζειν αὐτὴν πάντοθεν, καὶ μηδὲν τούτων προτιθέναι. Ἐπεὶ καὶ ἔμπορος, πρὶν ἢ πρὸς τὸν κοινωνὸν συνθήκας θέσθαι τὰς δυναμένας εἰρήνην πρυτανεύειν, οὐ πρότερον καθέλξει τὸ πλοῖον εἰς τὸ πέλαγος, οὐδὲ τῆς ἄλλης ἅψεται ἐμπορίας.

Καὶ ἡμεῖς τοίνυν πάντα πράττωμεν, ὥστε τὴν κοινωνὸν τῆς τοῦ βίου πραγματείας ἡμῖν καὶ τοῦ πλοίου τούτου μετὰ πάσης ἔνδον κατέχειν τῆς εἰρήνης. Οὕτω γὰρ καὶ τὰ ἄλλα πάντα ἡμῖν ἔσται γαληνά, καὶ μετὰ ἀδείας τὸ πέλαγος τοῦ παρόντος διαδραμοῦμεν βίου. Τοῦτο καὶ πρὸ οἰκίας καὶ ἀνδραπόδων καὶ χρημάτων καὶ ἀγρῶν καὶ αὐτῶν τῶν πολιτικῶν πραγμάτων ἄγωμεν· καὶ πάντων ἡμῖν προτιμότερον ἔστω τὸ τὴν μεθ' ἡμῶν ἐπὶ τῶν οἰάκων καθημένην μὴ στασιάζειν μηδὲ διχοστατεῖν πρὸς ἡμᾶς. Οὕτω γὰρ καὶ τὰ ἄλλα ἡμῖν κατὰ ῥοῦν ἥξει, καὶ ἐν τοῖς πνευματικοῖς δὲ πολλὴν ἕξομεν τὴν εὐκολίαν, μετὰ ὁμονοίας τὸν ζυγὸν τοῦτον ἕλκοντες· καὶ πάντα κατορθώσαντες, τῶν ἀποκειμένων τευξόμεθα ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ἐμᾶς ποὺ ἔχομεν ἐντολὴν νὰ μιμούμεθα ἀγγέλους, μᾶλλον δὲ ποὺ ἔχομεν λάβει ἐντολὴν νὰ ἐπιδιώκωμεν νὰ ὁμοιάζωμεν τὸν Θεὸν εἰς τὴν ἐπιείκειαν. Ὁ μὲν φιλόσοφος λοιπὸν λέγεται ὅτι ἐνῷ εἶχε κακὴν γυναῖκα δι' αὐτὸν τὸν λόγον δὲν τὴν ἐδίωξεν· μερικοὶ δὲ λέγουν ὅτι καὶ δι' αὐτὸν τὸν λόγον ἔλαβεν αὐτήν. Ἐγὼ δέ, ἐπειδὴ πολλοὶ ἀπὸ τοὺς ἀνθρώπους διάκεινται ὀλιγώτερον λογικῶς, προτρέπω μὲν ἀπὸ τὴν ἀρχὴν νὰ πράττουν τὰ πάντα καὶ νὰ φροντίζουν, ὥστε νὰ λάβουν σύζυγον μὲ τὴν ὁποίαν νὰ ταιριάζουν καὶ νὰ εἶναι γεμάτη ἀπὸ κάθε ἀρετήν· ἐὰν ὅμως συμβῇ καὶ ἀποτύχουν, καὶ εἰσασάγουν εἰς τὴν οἰκίαν νύμφην ποὺ νὰ μὴ εἶναι ἀνάρετος, οὔτε ἀνεκτή· τότε λοιπὸν νὰ ὁμοιάζουν αὐτὸν τὸν φιλόσοφον καὶ νὰ ὁδηγοῦν αὐτὴν εἰς τὸ ὀρθὸν ἀπὸ κάθε πλευρὰν καὶ τίποτε ἀπὸ αὐτὰ νὰ μὴ προτιμᾷ. Διότι καὶ ὁ ἔμπορος δὲν ρίπτει τὸ πλοῖον εἰς τὸ πέλαγος ἐὰν προηγουμένως δὲν συνάψῃ μὲ αὐτὸν ποὺ συνεταιρίζεται συμφωνίας ποὺ νὰ ἠμποροῦν νὰ ἐξασφαλίσουν τὴν εἰρήνην μεταξύ των, οὔτε ἀναλαμβάνει ἄλλην ἐμπορίαν.

Λοιπὸν καὶ ἐμεῖς ἂς πράττωμεν τὰ πάντα, ὥστε αὐτὴν ποὺ θὰ εἶναι σύντροφός μας εἰς τὴν πραγματείαν τῆς ζωῆς καὶ εἰς αὐτὸ τὸ πλοῖον νὰ διατηρῶμεν μέσα μὲ ἀπόλυτον εἰρήνην. Διότι ἔτσι καὶ τὰ ἄλλα ὅλα θὰ εἶναι δι' ἐμᾶς γαλήνια καὶ θὰ διατρέξωμεν μὲ ἄνεσιν τὸ πέλαγος αὐτῆς τῆς ζωῆς. Αὐτὸ ἂς ἐπιδιώκωμεν περισσότερον ἀπὸ οἰκίαν καὶ δούλους καὶ χρήματα καὶ ἀγροὺς καὶ αὐτὰ τὰ πολιτικὰ πράγματα· καὶ ἂς εἶναι δι' ἐμᾶς προτιμώτερον ἀπὸ ὅλα, τὸ νὰ μὴ ἐπαναστατῇ οὔτε νὰ εὑρίσκεται εἰς διχόνοιαν πρὸς ἐμᾶς αὐτὴ ποὺ κάθηται μαζί μας εἰς τὰ πηδάλια. Ἔτσι λοιπὸν καὶ τὰ ἄλλα θὰ ἔλθουν εὐνοϊκὰ δι' ἐμᾶς, καὶ εἰς τὴν πνευματικὴν δὲ ζωὴν πολλὴν εὐκολίαν θὰ ἔχωμεν; ἀφοῦ θὰ σηκώνωμεν μὲ ὁμόνοιαν αὐτὸν τὸν ζυγόν· καὶ ἀφοῦ κατορθώσωμεν ὅλα, θὰ ἐπιτύχωμεν τὰ ἀγαθὰ ποὺ μᾶς ἔχουν ἑτοιμασθῆ, τὰ ὁποῖα εἴθε νὰ ἐπιτύχωμεν ὅλοι ἐμεῖς μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΛΟΓΟΣ ΚΖ΄
Α΄ Κορ. 11, 17-28

«Τοῦτο δὲ παραγγέλλων οὐκ ἐπαινῶ, ὅτι οὐκ εἰς τὸ κρεῖττον ἀλλ' εἰς τὸ ἧττον συνέρχεσθε».

1. Ἀναγκαῖον καὶ τοῦ παρόντος ἐγκλήματος πρότερον τὴν αἰτίαν εἰπεῖν· οὕτω γὰρ ἡμῖν εὐμαθέστερος πάλιν ἔσται *ὁ λόγος. Τίς οὖν ἐστιν αὕτη;* Καθάπερ ἐπὶ τῶν τρισχιλίων *τῶν ἐξ ἀρχῆς πιστευσάντων κοινῇ πάντες* εἱστιῶντο, καὶ κοι*νὰ πάντα ἐκέκτηντο, οὕτω* καὶ τότε, ὅτε ταῦτα ἔγραψεν ὁ *ἀπόστολος, ἐγίνετο, οὐχ οὕτω μὲν* μετὰ ἀκριβείας, ὥσπερ *δέ τις ἀπόρροια τῆς* κοινωνίας ἐκείνης ἐναπομείνασα, καὶ *εἰς τοὺς μετὰ* ταῦτα κατέβη. Καὶ ἐπειδὴ συνέβαινε τοὺς μὲν *πένητας* εἶναι, τοὺς δὲ πλουσίους, τὰ μὲν ἑαυτῶν οὐ κατε*τίθεντο* πάντα εἰς μέσον, κοινὰς δὲ ἐποιοῦντο τὰς τραπέζας ἐν ἡμέραις νενομισμέναις, ὡς εἰκός, καὶ τῆς συνάξεως ἀπαρτισθείσης μετὰ τὴν τῶν μυστηρίων κοινωνίαν ἐπὶ κοινὴν πάντες ᾔεσαν εὐωχίαν, τῶν μὲν πλουτούντων φερόντων τὰ ἐδέσματα, τῶν δὲ πενομένων καὶ οὐδὲν ἐχόντων ὑπ' αὐτῶν καλουμένων, καὶ κοινῇ πάντων ἑστιωμένων.

Ἀλλ' ὕστερον καὶ τοῦτο διεφθάρη τὸ ἔθος. Τὸ δὲ αἴτιον ἐκ τοῦ διεσπάσθαι καὶ προσνέμειν ἑαυτούς, τοὺς μὲν τούτοις, τοὺς δὲ ἐκείνοις, καὶ λέγειν, ἐγὼ μέν εἰμι τοῦ δεῖνος, ἐγὼ δὲ τοῦ δεῖνος· ὅπερ καὶ ἐν ἀρχῇ τῆς ἐπιστολῆς διορθούμενος ἔλεγεν· «Ἐδηλώθη γάρ μοι περὶ ὑμῶν, ἀδελφοί μου, ὑπὸ τῶν Χλόης, ὅτι ἔριδες ἐν ὑμῖν εἰσι. Λέγω δὲ τοῦτο, ὅτι ἕκαστος ὑμῶν λέγει, ἐγὼ μέν εἰμι Παύλου, ἐγὼ δὲ Ἀπολλῶ, ἐγὼ δὲ Κηφᾶ». Οὐκ ἐπειδὴ Παύλῳ προσέ-

ΛΟΓΟΣ ΚΖ΄
Α΄ Κορ. 11, 17-28

«Μὲ τὴν παραγγελίαν δὲ αὐτήν, δὲν σᾶς ἐπαινῶ, διότι συγκεντρώνεσθε ὄχι διὰ τὸ καλύτερον· ἀλλὰ διὰ τὸ χειρότερον».

1. Εἶναι ἀνάγκη νὰ εἰποῦμεν ἐξ ἀρχῆς τὴν αἰτίαν καὶ δι᾽ αὐτὴν τὴν κατηγορίαν· διότι ἔτσι θὰ γίνῃ πάλιν περισσότερον κατανοητὸς δι᾽ ἐμᾶς ὁ λόγος. Ποία λοιπὸν εἶναι αὐτή; Ὅπως εἰς τοὺς τρεῖς χιλιάδας ποὺ ἐπίστευσαν πρῶτοι ἔτρωγον ὅλοι ἀπὸ κοινοῦ καὶ εἶχον τὰ πάντα κοινά, ἔτσι ἐγίνετο καὶ τότε, ὅταν ἔγραφεν αὐτὰ ὁ ἀπόστολος, ὄχι βέβαια ἔτσι ἀκριβῶς, ἀλλ᾽ ὡσὰν ἀποτέλεσμα ποὺ ἔμεινεν ἀπὸ τὴν κοινωνίαν ἐκείνην ἦλθε καὶ εἰς ὅσους ἔζησαν μετὰ ἀπὸ αὐτά. Καὶ ἐπειδὴ συνέβαινεν ἄλλοι μὲν νὰ εἶναι πτωχοί, ἄλλοι δὲ πλούσιοι, τὰς μὲν περιουσίας των δὲν κατέθετον ὁλοκλήρους εἰς κοινὸν ταμεῖον, ἀλλ᾽ ἔκαμνον κοινὰς τραπέζας εἰς καθωρισμένας ἡμέρας· ὅπως ἦτο φυσικόν, καὶ ἀφοῦ συνεκεντρώνοντο ὅλοι μετὰ τὴν κοινωνίαν τῶν μυστηρίων ἐκάθηντο ὅλοι εἰς κοινὸν συμπόσιον, ὅπου οἱ μὲν πλούσιοι ἔφερον τὰ φαγητά, οἱ δὲ πτωχοὶ ποὺ δὲν εἶχον τίποτε ἐκαλοῦντο ἀπὸ αὐτούς, καὶ ἔτρωγον ὅλοι ἀπὸ κοινοῦ.

Ἀργότερον ὅμως ἐγκατελείφθη καὶ αὐτὸ τὸ ἔθιμον. Ἡ δὲ αἰτία ἦτο τὸ ὅτι διέσπασαν καὶ διεμοίρασαν τοὺς ἑαυτούς των, ἄλλοι μὲν εἰς αὐτούς, ἄλλοι δὲ εἰς ἐκείνους· καὶ ἔλεγον, ἐγὼ μὲν εἶμαι τοῦ τάδε, ἐγὼ δὲ τοῦ τάδε, πρᾶγμα τὸ ὁποῖον διορθώνει καὶ εἰς τὴν ἀρχὴν τῆς ἐπιστολῆς μὲ τοὺς λόγους· «Ἐπληροφορήθην δι᾽ ἐσᾶς, ἀδελφοί μου, ἀπὸ τοὺς ἀνθρώπους τῆς Χλόης, ὅτι ὑπάρχουν ἔριδες μεταξύ σας. Ἐννοῶ δὲ τοῦτο· καθεὶς ἀπὸ σᾶς λέγει, 'ἐγὼ εἶμαι τοῦ Παύλου, ἐγὼ τοῦ Ἀπολλώ, ἐγὼ τοῦ Κηφᾶ'». Ὄχι διότι ἔτασσον τοὺς ἑαυτούς των μὲ τὸν Παῦ-

νεμον ἑαυτούς· οὐδὲ γὰρ ἂν ἠνέσχετο· ἀλλ' ἐκ περιουσίας πρόῤῥιζον τὸ ἔθος ἀνασπάσαι βουλόμενος, ἑαυτὸν παρενέθηκε, δεικνὺς ὅτι εἰ καὶ αὐτόν τις ἐπεγράφετο τοῦ κοινοῦ σώματος ἀποῤῥηγνύμενος, καὶ οὕτως ἄτοπον τὸ γινόμενον ἦν καὶ παρανομίας ἐσχάτης. Εἰ δὲ ἐπὶ τούτου παρανομία, πολλῷ μᾶλλον ἐπ' ἐκείνων τῶν καταδεεστέρων.

Ἐπεὶ οὖν διεσπάσθη τὸ ἔθος τοῦτο, ἔθος κάλλιστον καὶ χρησιμώτατον· καὶ γὰρ ἀγάπης ὑπόθεσις ἦν καὶ πενίας παραμυθία καὶ πλούτου σωφρονισμὸς καὶ φιλοσοφίας ἀφορμὴ τῆς μεγίστης καὶ ταπεινοφροσύνης διδασκαλία· ἐπεὶ οὖν εἶδε τοσαῦτα ἀγαθὰ διαφθειρόμενα, πληκτικῶς εἰκότως τῷ λόγῳ κέχρηται, οὕτω λέγων· «Τοῦτο δὲ παραγγέλλων οὐκ ἐπαινῶ». Ἐν μὲν γὰρ τῷ προτέρῳ ἐγκλήματι, ἅτε πολλῶν ὄντων τῶν φυλαττόντων, ἑτέρως ἤρξατο, λέγων οὕτως· «Ἐπαινῶ δὲ ὑμᾶς, ὅτι πάντα μοι μέμνησθε»· ἐνταῦθα δὲ ἐναντίως, «Τοῦτο δὲ παραγγέλλων οὐκ ἐπαινῶ». Διόπερ οὐδὲ μετὰ τὴν ἐπιτίμησιν τὴν κατὰ τῶν τὰ εἰδωλόθυτα ἐσθιόντων αὐτὸ τέθεικεν· ἀλλ' ἐπειδὴ τραχύτερον ἦν ἐκεῖνο, μέσον παρεμβαλὼν τὸν περὶ τῆς κόμης λόγον, ἵνα μὴ ἐξ ἐγκλημάτων σφοδρῶν εἰς ἕτερα πάλιν ἐπαχθῆ διαβαίνων τραχύτερος φαίνηται, τότε ἔρχεται ἐπὶ τὸ σφοδρότερον πάλιν, καί φησι· «Τοῦτο δὲ παραγγέλλων οὐκ ἐπαινῶ». «Τοῦτο»· ποῖον; Ὃ μέλλω λέγειν νῦν.

Τί ἐστι, «παραγγέλλων οὐκ ἐπαινῶ»; Οὐκ ἀποδέχομαι ὑμᾶς, φησίν, ὅτι με εἰς ἀνάγκην κατεστήσατε συμβουλῆς· οὐκ ἐπαινῶ, ὅτι ἐδεήθητε διδασκαλίας εἰς τοῦτο, ὅτι χρείαν ἔχετε τοῦ παραγγελθῆναι ὑπ' ἐμοῦ. Εἶδες πῶς ἐκ προοιμίων ἔδειξε σφόδρα ἄτοπον ὂν γινόμενον; Ὅταν γὰρ μηδὲ παραγγελίας ὀφείλῃ δεῖσθαι ὁ ἁμαρτάνων εἰς τὸ μὴ ἁμαρτεῖν, ἀσύγγνωστον εἰκὸς εἶναι τὸ ἁμαρτανόμενον. Καὶ διὰ τί οὐκ

λον, καθ' ὅσον δὲν θὰ ἠνέχετο, ἀλλ' ἐπειδὴ ἤθελε νὰ ἐξαλείψῃ τελείως ἀπὸ τὴν ρίζαν τὴν κακὴν συνήθειαν, παρενέβαλεν τὸν ἑαυτόν του διὰ νὰ δείξῃ ὅτι καὶ ἂν ἀκόμη κάποιος ἔτασσε τὸν ἑαυτόν του μαζὶ μὲ αὐτόν, ἀποσχίζων τὸν ἑαυτὸν ἀπὸ τὸ κοινὸν σῶμα, καὶ ἔτσι ἀκόμη ἦτο ἄτοπον αὐτὸ ποὺ ἐγίνετο καὶ ἔργον μεγίστης παρανομίας. Ἐὰν δὲ ἦτο παρανομία ἀναφορικῶς μὲ αὐτόν, πολὺ περισσότερον ὡς πρὸς ἐκείνους ποὺ ἦσαν κατώτεροι.

Ἐπειδὴ λοιπὸν κατηργήθη αὐτὸ τὸ ἔθιμον, ἔθιμον ὡραιότατον καὶ χρησιμώτατον, διότι ἦτο ἔργον ἀγάπης καὶ παρηγορία τῆς πτωχείας καὶ σωφρονισμὸς τοῦ πλούτου καὶ ἀφορμὴ διὰ νὰ διδάξῃ μεγίστην φιλοσοφίαν καὶ διδασκαλία ταπεινοφροσύνης, ἐπειδὴ λοιπὸν εἶδε νὰ καταστρέφωνται τόσα ἀγαθά, κτυπᾷ πρεπόντως μὲ τὸν λόγον, λέγων τὰ ἑξῆς· «Μὲ τὴν παραγγελίαν δὲ αὐτὴν δὲν σᾶς ἐπαινῶ». Διότι εἰς μὲν τὴν προηγουμένην κατηγορίαν, ἐπειδὴ ἦσαν πολλοὶ αὐτοὶ ποὺ ἐκράτουν τὰς παραδόσεις, ἤρχισε μὲ ἄλλον τρόπον, μὲ τοὺς ἑξῆς λόγους· «Σᾶς ἐπαινῶ, διότι εἰς ὅλα μὲ ἐνθυμεῖσθε»· ἐδῶ ὅμως ἀντιθέτως, «Δίδων τὴν ἐντολὴν αὐτὴν δὲν σᾶς ἐπαινῶ». Διὰ τοῦτο δὲν ἐτοποθέτησεν αὐτὸ μετὰ ἀπὸ τὴν ἐπιτίμησιν ἐναντίον ἐκείνων ποὺ ἔτρωγον τὰ εἰδωλόθυτα, ἀλλ' ἐπειδὴ ἐκεῖνο ἦτο σκληρότερον, ἀφοῦ παρενέβαλεν ἐνδιαμέσως τὸν λόγον διὰ τὴν κόμην, διὰ νὰ μὴ φαίνεται σκληρότερος μὲ τὸ νὰ μεταβαίνῃ ἀπὸ ἐντόνους κατηγορίας εἰς ἄλλας πάλιν βαρείας, τότε κάνει καὶ πάλιν ἐντονώτερον τὸ ὕφος καὶ λέγει· «Δίδων τὴν ἐντολὴν αὐτὴν δὲν σᾶς ἐπαινῶ». Αὐτήν· ποίαν; Αὐτὴν ποὺ θὰ εἰπῶ τώρα.

Τί σημαίνει «παραγγέλων οὐκ ἐπαινῶ»; Δὲν σᾶς ἐπαινῶ, λέγει, διότι μὲ ἀναγκάσατε νὰ σᾶς συμβουλεύσω· δὲν σᾶς ἐπαινῶ, διότι ἐχρειάσθητε διδασκαλίαν εἰς αὐτό, διότι ἔχετε ἀνάγκην ἀπὸ τὰς ἰδικάς μου νουθεσίας. Εἶδες πῶς ἀπὸ τὴν ἀρχὴν ἀκόμη ἔδειξεν ὅτι αὐτὸ ποὺ γίνεται εἶναι πάρα πολὺ ἄτοπον; Διότι ὅταν αὐτὸς ποὺ ἁμαρτάνει δὲν ἔχῃ ἀνάγκην οὔτε κἂν ἀπὸ ἐντολὴν διὰ νὰ μὴ ἁμαρτάνῃ, φυσικὸν εἶναι νὰ εἶναι ἀσυγχώρητος ἡ ἁμαρτία. Καὶ διατί δὲν

ἐπαινεῖς; «Ὅτι οὐκ εἰς τὸ κρεῖττον, ἀλλ' εἰς τὸ ἧττον συνέρχεσθε», φησί· τουτέστιν, ὅτι οὐ προβαίνετε εἰς ἀρετήν. Δέον γὰρ ἐπιδοῦναι καὶ πλείονα ἐγγενέσθαι τὴν φιλοτιμίαν, ὑμεῖς δὲ καὶ τὸ ἤδη κρατῆσαν ἠλαττώσατε, καὶ οὕτως ἠλαττώσατε, ὡς καὶ παραγγελίας δεηθῆναι παρ' ἐμοῦ, ἵνα ἐπὶ τὴν προτέραν ἐπανέλθητε τάξιν.

Εἶτα ἵνα μὴ δόξῃ διὰ τοὺς πένητας ταῦτα λέγειν μόνον, οὐκ εὐθέως εἰς τὸν περὶ τῶν τραπεζῶν ἐμβάλλει λόγον, ὥστε μὴ εὐκαταφρόνητον ταύτῃ ποιῆσαι τὴν ἐπιτίμησιν ἐκείνοις, ἀλλὰ ζητεῖ λέξιν πληκτικωτάτην καὶ πολὺν ἔχουσαν τὸν φόβον. Τί γάρ φησι; «Πρῶτον μὲν γὰρ συνερχομένων ὑμῶν ἐν ἐκκλησίᾳ, ἀκούω σχίσματα ἐν ὑμῖν ὑπάρχειν». Καὶ οὐ λέγει, ἀκούω γὰρ μὴ κοινῇ ὑμᾶς συνδειπνεῖν· ἀκούω γὰρ κατ' ἰδίαν ὑμᾶς ἑστιᾶσθαι, καὶ μὴ μετὰ τῶν πενήτων· ἀλλ' ὃ μάλιστα ἱκανὸν ἦν αὐτῶν διασεῖσαι τὴν διάνοιαν, τοῦτο τέθεικε, τὸ τοῦ σχίσματος ὄνομα, ὃ καὶ τούτου ἦν αἴτιον, κἀκείνου πάλιν ἀνεμίμνησκε τοῦ ἐν ἀρχῇ τῆς ἐπιστολῆς εἰρημένου καὶ δηλωθέντος ὑπὸ τῶν Χλόης. «Καὶ μέρος τι πιστεύω». Ἵνα γὰρ μὴ λέγωσι, τί οὖν, εἰ ψεύδονται οἱ διαβάλλοντες; οὔτε ὅτι πιστεύω εἶπεν, ἵνα μὴ ἀναισχυντοτέρους ποιήσῃ, οὐδ' αὖ πάλιν ὅτι ἀπιστῶ, ἵνα μὴ δόξῃ μάτην ἐπιτιμᾶν, ἀλλά, «μέρος τι καὶ πιστεύω», φησί, τουτέστιν, ἐκ μέρους μικροῦ πιστεύω, ἐναγωνίους ποιῶν, καὶ εἰς τὴν τῆς διορθώσεως καλῶν ἐπάνοδον.

2. «Δεῖ γὰρ καὶ αἱρέσεις ἐν ὑμῖν εἶναι, ἵνα οἱ δόκιμοι φανερὰ γένωνται ἐν ὑμῖν»· καὶ αἱρέσεις ἐνταῦθα, οὐ ταύτας λέγων τὰς τῶν δογμάτων, ἀλλὰ τὰς τῶν σχισμάτων τούτων. Εἰ δὲ καὶ τὰς τῶν δογμάτων ἔλεγεν, οὐδὲ οὕτω λαβὴν ἐδίδου. Καὶ γὰρ ὁ Χριστός φησιν, «Ἀνάγκη ἐλθεῖν τὰ σκάνδαλα», οὐ τὴν ἐλευθερίαν τῆς προαιρέσεως λυμαινόμενος, οὐδὲ ἀνάγκην τινὰ καὶ βίαν ἐφιστὰς τῷ βίῳ, ἀλλὰ τὸ πάν-

---

1. Ματθ. 8, 7.

ἐπαινεῖς; «Διότι», λέγει, «συγκεντρώνεσθε ὄχι πρὸς τὸ καλύτερον, ἀλλὰ πρὸς τὸ χειρότερον»˙ δηλαδὴ ἐπειδὴ δὲν προκόπτετε εἰς τὴν ἀρετήν. Διότι πρέπει ν' αὐξάνῃ καὶ νὰ γίνεται περισσοτέρα ἡ φιλοτιμία, ἐνῷ ἐσεῖς καὶ τὸ ἔθιμον τὸ ὁποῖον εἶχεν ἤδη ἐπικρατήσει ἐκάνατε ν' ἀτονήσῃ, καὶ ν' ἀτονήσῃ τόσον· ὥστε νὰ χρειασθῇ καὶ παραγγελία ἀπὸ ἐμὲ διὰ νὰ ἐπανέλθετε εἰς τὴν προηγουμένην τάξιν.

Ὕστερον, διὰ νὰ μὴ φανῇ ὅτι τὰ λέγει αὐτὰ μόνον χάριν τῶν πτωχῶν, δὲν κάμνει ἀμέσως λόγον διὰ τὰς κοινὰς τραπέζας, διὰ νὰ μὴ κάνῃ ἐξ αἰτίας αὐτοῦ εὐκαταφρόνητον τὴν ἐπίπληξιν εἰς ἐκείνους, ἀλλὰ ζητεῖ λέξιν ποὺ νὰ κτυπᾷ ἐντονώτατα καὶ νὰ προξενῇ πολὺν φόβον. Τί λέγει δηλαδή; «Διότι πρῶτον μέν, ὅταν συναθροίζεσθε ὡς ἐκκλησία, ἀκούω ὅτι ὑπάρχουν μεταξύ σας διαιρέσεις». Καὶ δὲν λέγει, διότι ἀκούω ὅτι δὲν συντρώγετε ἀπὸ κοινοῦ˙ διότι ἀκούω ὅτι τρώγετε κατ' ἰδίαν καὶ ὄχι μαζὶ μὲ τοὺς πτωχούς, ἀλλ' αὐτὸ ποὺ ἦτο ἱκανὸν νὰ ταράξῃ πάρα πολὺ τὴν ψυχήν των, αὐτὸ εἶπε, δηλαδὴ τὸ ὄνομα τοῦ σχίσματος, τὸ ὁποῖον ἦτο αἰτία καὶ δι' αὐτό, καὶ ὑπενεθύμιζε πάλιν ἐκεῖνο ποὺ ἐλέχθη εἰς τὴν ἀρχὴν τῆς ἐπιστολῆς καὶ ἀπὸ τοὺς ἀνθρώπους τῆς Χλόης. «Καὶ ἐν μέρει τὸ πιστεύω». Διὰ νὰ μὴ λέγουν δηλαδή, τί λοιπόν, ἐὰν ψεύδωνται αὐτοὶ ποὺ διαβάλλουν· οὔτε εἶπεν ὅτι πιστεύω, διὰ νὰ μὴ τοὺς κάνῃ περισσότερον ἀναισχύντους, οὔτε πάλιν ὅτι δὲν πιστεύω, διὰ νὰ μὴ φανῇ ὅτι χωρὶς λόγον ἐπιτιμᾷ, ἀλλὰ λέγει «ἐν μέρει τὸ πιστεύω αὐτό», δηλαδή, ὀλίγα ἀπὸ αὐτὰ πιστεύω, διὰ νὰ βάλῃ αὐτοὺς εἰς ἀγωνίαν καὶ νὰ τοὺς καλέσῃ εἰς ἐπιστροφήν.

2. «Διότι πρέπει νὰ ὑπάρχουν μεταξύ σας καὶ διαιρέσεις, διὰ νὰ γίνουν φανεροὶ μεταξύ σας οἱ γνήσιοι»˙ αἱρέσεις ἐδῶ δὲν λέγει αὐτὰς ποὺ ἔχουν σχέσιν μὲ τὰ δόγματα, ἀλλὰ τὰς προερχομένας ἀπὸ σχίσματα. Ἐὰν δὲ ἐννοοῦσε καὶ τὰς ἀναφερομένας εἰς τὰ δόγματα, δὲν θὰ ἔδιδεν ἔτσι λαβήν. Διότι καὶ ὁ Χριστὸς λέγει, «Εἶναι ἀνάγκη νὰ ἔλθουν τὰ σκάνδαλα»[1], ὄχι περιορίζων τὴν ἐλευθερίαν τῆς θελήσεως, οὔτε ἐπιβάλλων εἰς τὴν ζωὴν κάποιαν ἀνάγκην

τως ἐσόμενον ἐκ τῆς πονηρᾶς τῶν ἀνθρώπων γνώμης προλέγων, ὅπερ ἔμελλε γίνεσθαι, οὐ διὰ τὴν αὐτοῦ πρόρρησιν, ἀλλὰ διὰ τὴν τῶν ἀνιάτως ἐχόντων γνώμην. Οὐ γὰρ ἐπειδὴ προεῖπε, ταῦτα ἐγίνετο, ἀλλ' ἐπειδὴ πάντως ἔμελλε γίνεσθαι, διὰ τοῦτο προεῖπεν. Ἐπεί, εἰ ἀνάγκης ἦν τὰ σκάνδαλα, καὶ μὴ γνώμης τῶν εἰσαγόντων αὐτά, περιττῶς ἔλεγεν. «Οὐαὶ τῷ ἀνθρώπῳ ἐκείνῳ, δι' οὗ τὰ σκάνδαλα ἔρχεται».

Ἀλλὰ ταῦτα μὲν εὐρύτερον ἐν αὐτῷ γενόμενοι τῷ χωρίῳ διελέχθημεν, νῦν δὲ ἐπὶ τὸ προκείμενον ἰέναι ἀνάγκη. Ὅτι γὰρ περὶ τῶν αἱρέσεων τούτων εἶπε τῶν κατὰ τὰς τραπέζας, καὶ τῆς φιλονεικίας ταύτης καὶ διαστάσεως, καὶ ἐκ τῶν ἑξῆς δῆλον ἐποίησεν. Εἰπὼν γάρ, ὅτι «ἀκούω σχίσματα ἐν ὑμῖν ὑπάρχειν», οὐκ ἔστη μέχρι τούτου, ἀλλὰ δεικνὺς ποῖα λέγει σχίσματα, προϊών φησιν, ὅτι «Ἕκαστος τὸ ἴδιον δεῖπνον προλαμβάνει» καὶ πάλιν, «Μὴ γὰρ οἰκίας οὐκ ἔχετε εἰς τὸ ἐσθίειν καὶ πίνειν; ἢ τῆς ἐκκλησίας τοῦ Θεοῦ καταφρονεῖτε;». Ἀλλ' ὅτι μὲν περὶ τούτων εἶπε, δῆλον· εἰ δὲ σχίσματα αὐτὰ καλεῖ, μὴ θαυμάσῃς· ὅπερ γὰρ ἔφην, τῇ λέξει καθικέσθαι αὐτῶν βούλεται. Εἰ δὲ δογμάτων ἦν τὰ σχίσματα, οὐκ ἂν οὕτως αὐτοῖς διελέχθη ἡμέρως.

Ἄκουσον γοῦν ὅταν τι τοιοῦτον λέγῃ, πῶς ἐστι σφοδρὸς καὶ ἀσφαλιζόμενος καὶ ἐπιτιμῶν· ἀσφαλιζόμενος μέν, ὡς ὅταν λέγῃ, «Κἂν ἄγγελος ὑμᾶς εὐαγγελίζηται παρ' ὃ παραλάβετε, ἀνάθεμα ἔστω»· ἐπιτιμῶν δέ, ὡς ὅταν λέγῃ, «Οἵτινες ἐν νόμῳ δικαιοῦσθε, τῆς χάριτος ἐξεπέσετε». Καὶ νῦν μὲν κύνας καλεῖ τοὺς διαφθείροντας λέγων, «Βλέπετε τοὺς

2. Γαλ. 1, 8.
3. Γαλ. 5, 4.

καὶ βίαν, ἀλλὰ προλέγων αὐτὸ ποὺ θὰ ἐγίνετο ὁπωσδήποτε ἀπὸ τὴν πονηρὰν προαίρεσιν τῶν ἀνθρώπων, καὶ τὸ ὁποῖον ἐπρόκειτο νὰ γίνῃ, ὄχι διότι τὸ προεῖπεν ἐκεῖνος, ἀλλ' ἐξ αἰτίας τῆς προαιρέσεως ποὺ τὴν ἔχουν ἀθεράπευτον αὐτοὶ οἱ ἄνθρωποι. Διότι αὐτὰ δὲν θὰ ἐγίνοντο ἐπειδὴ τὰ προεῖπεν, ἀλλ' ἐπειδὴ θὰ ἐγίνοντο ὁπωσδήποτε, δι' αὐτὸ τὰ προεῖπε. Καθ' ὅσον ἐὰν ἀπὸ ἀνάγκην θὰ προήρχοντο τὰ σκάνδαλα καὶ ὄχι ἀπὸ τὴν προαίρεσιν ἐκείνων ποὺ τὰ εἰσάγουν, θὰ ἦτο περιττὸν αὐτὸ ποὺ ἔλεγεν, «Ἀλλοίμονον εἰς ἐκεῖνον τὸν ἄνθρωπον διὰ τοῦ ὁποίου ἔρχονται τὰ σκάνδαλα».

Καὶ αὐτὰ μὲν τὰ εἴπομεν ἀφοῦ ἀνελύσαμεν εὐρύτερον αὐτὸ τὸ χωρίον, τώρα ὅμως εἶναι ἀνάγκη νὰ ἔλθωμεν εἰς τὸ συγκεκριμένον θέμα μας. Τὸ ὅτι λοιπὸν ὡμίλησε διὰ τὰς διαιρέσεις αὐτὰς ποὺ ἀναφέρονται εἰς τὰς κοινὰς τραπέζας καὶ εἰς αὐτὴν τὴν φιλονεικίαν καὶ τὴν διάστασιν, τὸ ἔκανε φανερὸν καὶ ἀπὸ τὰ ἑπόμενα. Διότι ὅταν εἶπεν, «ἀκούω ὅτι ὑπάρχουν μεταξύ σας διαιρέσεις», δὲν ἐσταμάτησεν εἰς αὐτό, ἀλλὰ διὰ νὰ δείξῃ ποίας διαιρέσεις ἐννοεῖ, προχωρῶν λέγει ὅτι «ὁ καθεὶς σπεύδει νὰ προλάβῃ νὰ φάγῃ τὸ ἰδικόν του φαγητόν»· καὶ πάλιν, «Δὲν ἔχετε οἰκίας διὰ νὰ τρώγετε καὶ νὰ πίνετε; Ἢ καταφρονεῖτε τὴν ἐκκλησίαν τοῦ Θεοῦ;». Ἀλλ' ὅτι μὲν δι' αὐτὰ ὡμίλησεν εἶναι φανερόν· διὰ τὸ ὅτι δὲ ἀποκαλεῖ αὐτὰ σχίσματα μὴ ἀπορήσῃς. Διότι ὅπως εἶπον μὲ αὐτὴν τὴν λέξιν θέλει νὰ τοὺς κτυπήσῃ. Ἐὰν δὲ αἱ αἱρέσεις προήρχοντο ἀπὸ τὰ δόγματα, δὲν θὰ ὡμίλει εἰς αὐτοὺς μὲ τόσον ἥμερον τρόπον.

Ἄκουσε λοιπὸν ὅταν ὁμιλῇ διὰ κάτι τέτοιον πόσον εἶναι σφοδρὸς καὶ πόσον φροντίζει νὰ ἀσφαλίσῃ τοὺς πιστοὺς καὶ πῶς τοὺς ἐπιτιμᾷ· τὸ πόσον φροντίζει διὰ νὰ τοὺς ἀσφαλίσῃ, γίνεται φανερὸν ἀπὸ τοὺς λόγους, «Καὶ ἂν κάποιος ἄγγελος ἀπὸ τὸν οὐρανὸν σᾶς κηρύξῃ διαφορετικὸν εὐαγγέλιον ἀπὸ ἐκεῖνο ποὺ σᾶς ἐκηρύξαμεν, αὐτὸς ἂς εἶναι ἀνάθεμα»[2]· τὸ ὅτι δὲ τοὺς ἐπιτιμᾷ, ἀπὸ τοὺς λόγους· «Ὅσοι ζητεῖτε νὰ δικαιωθῆτε διὰ τοῦ νόμου, ἔχετε ἐκπέσει ἀπὸ τὴν χάριν»[3]. Καὶ ἄλλοτε μὲν ὀνομάζει σκύλους αὐτοὺς ποὺ καταστρέφουν μὲ τὴν διδασκαλίαν των,

κύνας»· νῦν δὲ κεκαυτηριασμένους τὴν συνείδησιν, καὶ ἀγγέλους διαβόλου πάλιν. Ἀλλ' οὐκ ἐνταῦθα τοιοῦτον οὐδὲν εἶπεν, ἀλλ' ἡμέρως καὶ ὑφειμένως. Τί δέ ἐστιν, «Ἵνα οἱ δόκιμοι φανεροὶ γένωνται ἐν ὑμῖν»; Ἵνα λάμψωσι μειζόνως. Ὃ δὲ βούλεται εἰπεῖν, τοῦτό ἐστιν, ὅτι τοὺς ἀπεριτρέπτους καὶ στερροὺς οὐ μόνον οὐδὲν τοῦτο παραβλάπτει, ἀλλὰ καὶ δείκνυσι μᾶλλον, καὶ λαμπροτέρους ἀποφαίνει. Τὸ γὰρ «ἵνα» τοῦτο, οὐ πανταχοῦ αἰτιολογίας ἐστίν, ἀλλὰ πολλαχοῦ καὶ τῆς τῶν πραγμάτων ἐκβάσεως. Οὕτω καὶ ὁ Χριστὸς αὐτὸ τίθησιν, ὅταν λέγῃ, «Εἰς κρίμα ἐγὼ ἦλθον εἰς τὸν κόσμον τοῦτον, ἵνα οἱ μὴ βλέποντες βλέπωσι, καὶ οἱ βλέποντες τυφλοὶ γένωνται»· οὕτω καὶ αὐτὸς ὁ Παῦλος, ὅταν περὶ τοῦ νόμου διαλεγόμενος γράφῃ· «Νόμος δὲ παρεισῆλθεν, ἵνα πλεονάσῃ τὸ παράπτωμα». Ἀλλ' οὔτε ὁ νόμος διὰ τοῦτο ἐδόθη, ἵνα αὐξηθῇ τὰ ἁμαρτήματα τῶν Ἰουδαίων· τοῦτο δὲ ἐξέβη· οὔτε ὁ Χριστὸς διὰ τοῦτο ἦλθεν, ἵνα οἱ βλέποντες τυφλοὶ γένωνται, ἀλλὰ διὰ τὸ ἐναντίον· συνέβη δὲ τοῦτο.

Οὕτως οὖν καὶ ἐνταῦθα νοητέον τό, «Ἵνα καὶ δόκιμοι φανεροὶ γένωνται». Οὐδὲ γὰρ διὰ τοῦτο ἐγένοντο αἱρέσεις, ἵνα οἱ δόκιμοι φανεροὶ γένωνται, ἀλλὰ τῶν αἱρέσεων τούτων γενομένων τοῦτο συνέβη. Ταῦτα δὲ εἶπε, τοὺς πένητας παραμυθούμενος τοὺς γενναίως φέροντας τὴν τοιαύτην ὑπεροψίαν. Διὸ οὐδὲ εἶπεν, ἵνα δόκιμοι γένωνται, ἀλλ' ἵνα δόκιμοι ὄντες φανεροὶ γένωνται, δηλῶν ὅτι καὶ πρὸ τούτου τοιοῦτοι ἦσαν, ἀλλ' ἀνεμίγνυντο τοῖς πολλοῖς, καὶ παραμυθίας ἀπολαύοντες τῆς παρὰ τῶν πλουσίων, οὐ σφόδρα ἐφαίνοντο. Νυνὶ δὲ ἡ στάσις αὕτη καὶ ἡ φιλονεικία δήλους αὐτοὺς ἐποίησεν, ὥσπερ τὸν κυβερνήτην ὁ χειμὼν δείκνυσι.

Καὶ οὐκ εἶπεν, ἵνα ὑμεῖς δόκιμοι φανῆτε, ἀλλ', «ἵνα οἱ δόκιμοι φανεροὶ γένωνται», οἱ ἐν ὑμῖν τοιοῦτοι. Οὔτε γὰρ

4. Φιλ. 3, 2.
4α. Τιμ. 4, 2.
4β. Β' Κορ. 12, 7.
5. Ἰω. 9, 39.
6. Ρωμ. 5, 20.

μὲ τοὺς λόγους, «Προσέχετε ἀπὸ τοὺς σκύλους»[4], ἄλλοτε δὲ σημαδευμένους εἰς τὴν συνείδησιν[4α]· καὶ ἄλλοτε πάλιν ἀγγέλους τοῦ διαβόλου[4β]. Ἐδῶ ὅμως δὲν εἶπε τίποτε τέτοιον, ἀλλ' ὡμίλησε μὲ ἥμερον τρόπον καὶ μετριότητα. Τί σημαίνει δὲ «διὰ νὰ γίνουν φανεροὶ μεταξύ σας οἱ γνήσιοι»; Διὰ νὰ λάμψουν περισσότερον. Αὐτὸ ποὺ θέλει δὲ νὰ εἰπῇ εἶναι τὸ ἑξῆς, ὅτι αὐτοὺς ποὺ δὲν κλονίζονται καὶ εἶναι στερεοὶ ὄχι μόνον οὔτε αὐτὸ τοὺς βλάπτει, ἀλλὰ καὶ τοὺς ἀναδεικνύει περισσότερον καὶ τοὺς ἐμφανίζει λαμπροτέρους. Διότι αὐτό, τὸ «ἵνα» δὲν τίθεται παντοῦ ὡς αἰτιολογία, ἀλλ' εἰς πολλὰ σημεῖα καὶ διὰ νὰ δηλώσῃ τὴν ἔκβασιν τῶν πραγμάτων. Ἔτσι χρησιμοποιεῖ αὐτὸ καὶ ὁ Χριστὸς ὅταν λέγῃ, «Ἐγὼ ἦλθον εἰς τὸν κόσμον αὐτὸν διὰ νὰ γίνῃ κρίσις, διὰ ν' ἀποκτήσουν τὸ φῶς ἐκεῖνοι ποὺ δὲν βλέπουν καὶ νὰ γίνουν τυφλοὶ ἐκεῖνοι ποὺ βλέπουν»[5]· ἔτσι καὶ ὁ ἴδιος ὁ Παῦλος ὅταν ὁμιλῇ διὰ τὸν νόμον γράφει· «ὁ νόμος εἰσῆλθε διὰ νὰ πληθυνθῇ ἡ ἁμαρτία»[6]. Οὔτε ὁ νόμος ὅμως ἐδόθη δι' αὐτό, διὰ ν' αὐξηθοῦν δηλαδὴ αἱ ἁμαρτίαι τῶν Ἰουδαίων, καὶ ὅμως αὐτὸ συνέβη· οὔτε ὁ Χριστὸς ἦλθεν δι' αὐτό, δηλαδὴ διὰ νὰ γίνουν τυφλοὶ ἐκεῖνοι ποὺ βλέπουν, ἀλλὰ διὰ τὸ ἀντίθετον· συνέβη ὅμως αὐτό.

Ἔτσι πρέπει λοιπὸν νὰ νοηθῇ καὶ ἐδῶ τὸ «διὰ νὰ γίνουν μεταξύ σας φανεροὶ οἱ γνήσιοι». Διότι δὲν ἔγιναν δι' αὐτὸ οἱ αἱρέσεις, διὰ νὰ γίνουν φανεροὶ οἱ γνήσιοι, ἀλλ' ἀφοῦ ἐνεφανίσθησαν αἱ διαιρέσεις συνέβη αὐτό. Αὐτὰ δὲ τὰ εἶπε διὰ νὰ παρηγορήσῃ τοὺς πτωχοὺς ποὺ ὑπέμενον μὲ γενναιότητα τέτοιαν ὑπερηφάνειαν. Δι' αὐτὸ δὲν εἶπε, διὰ νὰ γίνουν γνήσιοι, ἀλλὰ διὰ νὰ γίνουν φανεροὶ αὐτοὶ ποὺ εἶναι γνήσιοι, δηλῶν μὲ αὐτὸ ὅτι καὶ πρὶν ἀπὸ αὐτὰ ἦσαν γνήσιοι, ἀλλ' ἀνεμιγνύοντο μὲ τοὺς πολλοὺς καὶ ἐπειδὴ ἀπελάμβανον κάποιαν παρηγορίαν εἰς τὴν πτωχείαν ἀπὸ τοὺς πλουσίους, δὲν ἐφαίνοντο πολύ. Τώρα ὅμως αὐτὴ ἡ στάσις καὶ ἡ φιλονεικία τοὺς ἐφανέρωσε, ὅπως δεικνύει ἡ τρικυμία τὸν κυβερνήτην τοῦ πλοίου.

Καὶ δὲν εἶπε, διὰ νὰ φανῆτε σεῖς γνήσιοι, ἀλλά, «διὰ νὰ γίνουν φανεροὶ οἱ γνήσιοι», οἱ ὁποῖοι εὑρίσκονται με-

κατηγορῶν δήλους ποιεῖ, ὥστε μὴ ἀναισχυντοτέρους ποιῆσαι, οὔτε ἐγκωμιάζων, ὥστε μὴ χαυνοτέρους, ἀλλ' εἰς μετέωρον ἀφίησι τὸν λόγον καὶ τοῦτον κἀκεῖνον, ἑκάστου τῷ συνειδότι τὰ λεγόμενα ἁρμόζειν παρέχων. Οὐ τοὺς πένητας δὲ ἐνταῦθά μοι δοκεῖ παραμυθεῖσθαι μόνον, ἀλλὰ καὶ τοὺς τὸ ἔθος μὴ διαφθείροντας. Καὶ γὰρ εἰκὸς εἶναι ἐν αὐτοῖς καὶ τοὺς διατηροῦντας αὐτό· διὸ καὶ ἔλεγε, «Μέρος τι πιστεύω». Εἰκότως τοίνυν τούτους δοκίμους φησί, τοὺς μὴ μόνον μετὰ τῶν ἄλλων διατηρήσαντας τὸ ἔθος, ἀλλὰ καὶ χωρὶς ἐκείνων ἀκίνητον τὸν καλὸν τοῦτον φυλάξαντας νόμον. Ποιεῖ δὲ τοῦτο, καὶ ἑτέρους καὶ τούτους διὰ τῶν τοιούτων ἐγκωμίων προθυμοτέρους ἐργάσασθαι σπεύδων.

3. Εἶτα λοιπὸν λέγει καὶ αὐτὸ τοῦ ἁμαρτήματος τὸ εἶδος. Τί δὲ τοῦτό ἐστι; «Συνερχομένων ὑμῶν ἐπὶ τὸ αὐτό», φησίν, «οὐκ ἔστι κυριακὸν δεῖπνον φαγεῖν». Ὁρᾷς πῶς ἐντρεπτικῶς, καὶ ἐν τάξει διηγήσεως ἤδη τὴν συμβουλὴν κατεσκεύασε; Τὸ μὲν γὰρ σχῆμα τῆς συνόδου, φησίν, ἄλλο· ἀγάπης γάρ ἐστι καὶ φιλαδελφίας· εἷς γοῦν ὑμᾶς ἅπαντας δέχεται τόπος, καὶ ὁμοῦ συναγελάζεσθε· ἡ δὲ τράπεζα λοιπὸν οὐχ ὁμοία τῇ συνόδῳ. Καὶ οὐκ εἶπε, συνερχομένων ὑμῶν οὐκ ἔστι κοινῇ φαγεῖν, οὐκ ἔστι μετ' ἀλλήλων ἑστιαθῆναι, ἀλλὰ πάλιν ἑτέρως καὶ πολλῷ φοβερώτερον αὐτῶν καθάπτεται, λέγων. «Οὐκ ἔστι κυριακὸν δεῖπνον φαγεῖν», ἐκείνη παραπέμπων αὐτοὺς ἐντεῦθεν ἤδη τῇ ἑσπέρᾳ, καθ' ἣν τὰ φρικτὰ μυστήρια παρέδωκεν ὁ Χριστός. Διὰ τοῦτο καὶ δεῖπνον τὸ ἄριστον ἐκάλεσε· καὶ γὰρ ἐκεῖνο τὸ δεῖπνον κοινῇ πάντας εἶχε κατακεκλιμένους. Καίτοιγε οὐ τοσοῦτον τὸ μέσον τῶν πλουτούντων καὶ τῶν πενομένων, ὅσον τοῦ διδασκάλου καὶ τῶν μαθητῶν· ἄπειρον γὰρ ἐκεῖνο. Καὶ τί λέγω τοῦ διδασκάλου καὶ τῶν μαθητῶν; Ἐννόησον τὸ μέσον τοῦ διδασκάλου καὶ τοῦ προδότου· ἀλλ' ὅμως καὶ αὐτὸς μετ' αὐτῶν

ταξύ σας. Οὔτε δηλαδὴ ὅταν κατηγορῇ τοὺς φανερώνει, ὥστε νὰ μὴ τοὺς κάνῃ περισσότερον ἀναισχύντους, οὔτε ὅταν τοὺς ἐπαινῇ, ὥστε νὰ μὴ γίνουν νωθρότεροι, ἀλλ' ἀφήνει μετέωρον τὸν λόγον καὶ αὐτὸν καὶ ἐκεῖνον, δίδων τὴν δυνατότητα νὰ ἐφαρμόζῃ ὁ καθεὶς τὰ λεγόμενα πρὸς τὴν συνείδησίν του. Νομίζω δὲ ὅτι ἐδῶ δὲν παρηγορεῖ μόνον τοὺς πτωχούς, ἀλλὰ καὶ ὅσους τηροῦν τὸ ἔθιμον. Διότι φυσικὸν ἦτο νὰ ὑπάρχουν μεταξύ των καὶ αὐτοὶ ποὺ διετήρουν αὐτό· δι' αὐτὸ καὶ ἔλεγεν «ἐν μέρει τὸ πιστεύω». Εὐλόγως λοιπὸν ὀνομάζει γνησίους αὐτοὺς πού, ὄχι μόνον μαζὶ μὲ τοὺς ἄλλους διετήρουν τὸ ἔθιμον, ἀλλὰ καὶ χωρὶς ἐκείνους ἐφύλαξαν ἀμετακίνητον τὸν καλὸν αὐτὸν νόμον. Κάμνει δὲ αὐτό, ἐπιδιώκων νὰ κάνῃ μὲ τέτοιους ἐπαίνους προθυμοτέρους καὶ αὐτοὺς καὶ ἐκείνους.

3. Εἰς τὴν συνέχειαν λοιπὸν ὀνομάζει καὶ τὸ εἶδος τοῦ ἁμαρτήματος. Ποῖο εἶναι δὲ αὐτό; «Ὅταν συγκεντρώνεσθε ὅλοι μαζί», λέγει, «δὲν τρώγετε κυριακὸν δεῖπνον». Βλέπεις πῶς μὲ τρόπον ποὺ νὰ προκαλῇ ἐντροπὴν καὶ μὲ μορφὴν διηγήσεως ἤδη προητοίμασε τὴν συμβουλήν; Διότι τὸ μὲν σχῆμα τῆς συγκεντρώσεως, λέγει, εἶναι ἄλλο· διότι εἶναι σχῆμα ἀγάπης καὶ φιλαδελφίας· ἕνας τόπος λοιπὸν σᾶς ὑποδέχεται ὅλους καὶ μαζὶ συνενοῦσθε εἰς μίαν κοινωνίαν· ἡ τράπεζα ὅμως δὲν εἶναι ὁμοία πρὸς τὴν συγκέντρωσιν. Καὶ δὲν εἶπεν, ἐνῷ συγκεντρώνεσθε δὲν τρώγετε ἀπὸ κοινοῦ, δὲν τρώγετε ἡνωμένοι, ἀλλὰ πάλιν μὲ ἄλλον τρόπον καὶ πολὺ φοβερώτερον τοὺς κατηγορεῖ μὲ τοὺς λόγους, «δὲν τρώγετε κυριακὸν δεῖπνον», καὶ τοὺς παραπέμπει ἀπὸ ἐδῶ ἤδη εἰς ἐκείνην τὴν ἑσπέραν, κατὰ τὴν ὁποίαν ὁ Χριστὸς παρέδωσε τὰ φρικτὰ μυστήρια. Δι' αὐτὸ καὶ ἐκάλεσε τὸ ἄριστον δεῖπνον· διότι ἐκεῖνο τὸ δεῖπνον εἶχε καθημερινῶς ὅλους ἀπὸ κοινοῦ εἰς τὴν τράπεζαν. Ἂν καὶ βεβαίως δὲν ἦτο τόση ἡ ἀπόστασις τῶν πλουσίων καὶ τῶν πτωχῶν, ὅση τοῦ διδασκάλου μὲ τοὺς μαθητάς· διότι ἐκείνη ἦτο ἄπειρος. Καὶ τί λέγω διὰ τὴν ἀπόστασιν διδασκάλου καὶ μαθητῶν; Σκέψου τὴν ἀπόστασιν τοῦ διδασκάλου καὶ τοῦ προδότου· καὶ ὅμως καὶ αὐτὸς συνεκά-

κατεκλίνετο, καὶ οὐδὲ τοῦτον ἐξέβαλεν, ἀλλὰ καὶ ἄλων αὐτῷ μετέδωκε, καὶ τῶν μυστηρίων κοινωνὸν ἐποίησεν.

Εἶτα ἑρμηνεύει πῶς οὐκ ἔστι κυριακὸν δεῖπνον φαγεῖν. «Ἕκαστος γὰρ τὸ ἴδιον δεῖπνον προλαμβάνει», φησίν, «ἐν τῷ φαγεῖν· καὶ ὃς μὲν πεινᾷ, ὃς δὲ μεθύει». Εἶδες πῶς ἔδειξεν αὐτοὺς καταισχύνοντας ἑαυτοὺς μᾶλλον; Τὸ γὰρ κυριακὸν ἰδιωτικὸν ποιοῦσιν· ὥστε αὐτοὶ πρῶτοί εἰσιν οἱ καθυβριζόμενοι, οἱ τῆς αὐτῶν τραπέζης τὸ μέγιστον ἀφαιροῦντες ἀξίωμα. Πῶς καὶ τίνι τρόπῳ; Ὅτι τὸ κυριακὸν δεῖπνον, τουτέστι, τὸ δεσποτικόν, ὀφείλει κοινὸν εἶναι. Τὰ γὰρ τοῦ δεσπότου οὐχὶ τοῦδε μὲν ἔστι τοῦ οἰκέτου, τοῦδε δὲ οὐκ ἔστιν, ἀλλὰ κοινῇ πάντων.

Τὸ οὖν κυριακὸν τοῦτό φησι τὸ κοινόν. Εἰ γὰρ τοῦ δεσπότου σού ἐστιν, ὥσπερ οὖν καὶ ἔστιν, οὐκ ὀφείλεις ὡς ἴδια ἀποσπᾶν, ἀλλ' ὡς τοῦ Κυρίου καὶ τοῦ δεσπότου ὄντα, κοινῇ πᾶσι προτιθέναι. Τοῦτο γάρ ἐστι κυριακόν. Νυνὶ δὲ οὐκ ἀφίης αὐτὸ εἶναι κυριακόν, μὴ ἀφεὶς εἶναι κοινόν, ἀλλὰ καθ' ἑαυτὸν ἑστιώμενος. Διὸ καὶ ἐπάγει λέγων· «Ἕκαστος γὰρ τὸ ἴδιον δεῖπνον προλαμβάνει». Καὶ οὐκ εἶπεν, ἀποσχίζει, ἀλλὰ «προλαμβάνει», ἠρέμα καὶ εἰς λαιμαργίαν αὐτοὺς καὶ προπέτειαν διαβάλλων. Τοῦτο γοῦν καὶ τὸ ἑξῆς δηλοῖ. Εἰπὼν γὰρ τοῦτο, ἐπήγαγε πάλιν· «Καὶ ὃς μὲν πενᾷ, ὃς δὲ μεθύει»· ἅπερ ἑκάτερα ἀμετρίας ἦν, καὶ ἡ ἔνδεια καὶ ἡ ὑπερβολή.

Ἰδοὺ καὶ δεύτερον ἔγκλημα πάλιν αὐτοὺς ἐκείνους καταβλάπτον. Πρῶτον μέν, ὅτι τὸ δεῖπνον αὐτῶν ἀτιμάζουσι· δεύτερον δέ, ὅτι γαστρίζονται καὶ μεθύουσι· καὶ τὸ δὴ χαλεπώτερον, ὅτι καὶ τῶν πενήτων πεινώντων. Ἃ γὰρ ἔμελλε κοινῇ πᾶσι προκεῖσθαι, ταῦτα οὗτοι μόνοι σιτούμενοι, καὶ εἰς ἀπληστίαν καὶ εἰς μέθην ἐξέβαινον. Διὸ οὐδὲ εἶπεν,

θητο μαζὶ μὲ αὐτοὺς καὶ οὔτε αὐτὸν ἐδίωξεν, ἀλλὰ καὶ μέτοχον τῆς συναθροίσεως τὸν ἔκανε καὶ κοινωνὸν τῶν μυστηρίων.

Ὕστερον ἐξηγεῖ πῶς δὲν τρώγουν κυριακὸν δεῖπνον. «Διότι ὁ καθεὶς σπεύδει νὰ προλάβῃ νὰ φάγῃ τὸ ἰδικόν του φαγητόν», λέγει, «καὶ ἄλλος μὲν πεινᾷ, ἄλλος δὲ μεθύει». Εἶδες πῶς ἔδειξεν αὐτοὺς ὅτι μᾶλλον τοὺς ἑαυτούς των κατεντροπιάζουν; Διότι μετατρέπουν τὸ κυριακὸν δεῖπνον εἰς ἰδιωτικόν· ὥστε πρῶτοι αὐτοὶ εἶναι ποὺ ἀτιμάζονται μὲ τὸ νὰ ἀφαιροῦν ἀπὸ τὴν τράπεζάν των τὸ μέγιστον ἀξίωμα. Πῶς καὶ μὲ ποῖον τρόπον; Διότι τὸ κυριακὸν δεῖπνον, δηλαδὴ τὸ δεσποτικόν, πρέπει νὰ εἶναι κοινόν. Καθ' ὅσον εἰς τὰ τοῦ δεσπότου δὲν λέγομεν ὅτι αὐτὸ μὲν εἶναι τοῦ δούλου, ἐκεῖνο δὲ ὄχι, ἀλλ' εἶναι ὅλα κοινά.

Κυριακὸν λοιπὸν λέγει αὐτὸ τὸ κοινόν. Διότι ἐὰν εἶναι τοῦ δεσπότου σου, ὅπως βεβαίως καὶ εἶναι, δὲν πρέπει νὰ τὰ ἀποσπᾷς ὡσὰν ἰδικά σου, ἀλλ' ὡς ἀνήκοντα εἰς τὸν δεσπότην καὶ κύριον νὰ τὰ παραθέτῃς ἀπὸ κοινοῦ εἰς ὅλους. Διότι αὐτὸ εἶναι κυριακόν. Τώρα ὅμως δὲν ἀφήνεις αὐτὸ νὰ εἶναι κυριακὸν μὲ τὸ νὰ μὴ ἀφήνῃς νὰ εἶναι κοινὸν καὶ νὰ τρώγῃς κατ' ἰδίαν. Δι' αὐτὸ καὶ συνεχίζει μὲ τοὺς λόγους· «ὁ καθεὶς σπεύδει νὰ προλάβῃ νὰ φάγῃ τὸ ἰδικόν του φαγητόν». Καὶ δὲν εἶπεν, ἀποχωρίζει, ἀλλά, «σπεύδει νὰ προλάβῃ», κατηγορῶν αὐτοὺς μὲ ἠρεμίαν καὶ διὰ λαιμαργίαν καὶ θρασύτητα. Αὐτὸ πράγματι φανερώνει καὶ αὐτὸ ποὺ ἀκολουθεῖ. Διότι, ἀφοῦ εἶπεν αὐτό, προσέθεσε πάλιν· «Καὶ ἄλλος μὲν πεινᾷ, ἄλλος δὲ μεθύει»· τὰ ὁποῖα καὶ τὰ δύο ἦσαν ἀποτέλεσμα ἐλλείψεως μέτρου, καὶ ἡ ἔλλειψις καὶ ἡ ὑπερβολή.

Ἰδοὺ καὶ δεύτερον κακὸν πάλιν τὸ ὁποῖον τοὺς βλάπτει πάρα πολύ. Πρῶτον μέν, ὅτι στεροῦν ἀπὸ τὴν τιμήν του τὸ δεῖπνον των· δεύτερον δέ, ὅτι γαστριμαργοῦν καὶ μεθύουν· καὶ τὸ ἀκόμη χειρότερον, ὅτι κάμνουν αὐτὸ παρ' ὅ,τι πεινοῦν οἱ πτωχοί. Διότι αὐτὰ ποὺ ἐπρόκειτο νὰ παρατεθοῦν ἀπὸ κοινοῦ εἰς ὅλους, αὐτὰ αὐτοὶ ἀφοῦ ἔτρωγον μόνοι, ἐξετρέποντο καὶ εἰς ἀπληστίαν καὶ εἰς μέθην. Δι'

ὃς μὲν πεινᾷ, ὃς δὲ κορέννυται, ἀλλά, «μεθύει». Τούτων δὲ ἕκαστον καὶ καθ' ἑαυτὸ μὲν κατηγορίας ἄξιον· καὶ γὰρ τὸ μεθύειν χωρὶς τοῦ παρορᾶν πένητας ἔγκλημα, καὶ τὸ παρορᾶν πένητας χωρὶς τοῦ μεθύειν κατηγορία· ὅταν δὲ καὶ ὁμοῦ συνημμένα ᾖ, ἐννόησον ὅση ἡ ὑπερβολὴ τῆς παρανομίας.

4. Εἶτα δείξας τὴν ἀτοπίαν, μετὰ πολλοῦ λοιπὸν τοῦ θυμοῦ τὴν ἐπίπληξιν ἐπάγει, λέγων· «Μὴ γὰρ οἰκίας οὐκ ἔχετε εἰς τὸ ἐσθίειν καὶ πίνειν; ἢ τῆς ἐκκλησίας τοῦ Θεοῦ καταφρονεῖτε, καὶ καταισχύνετε τοὺς μὴ ἔχοντας;». Ὁρᾷς πῶς ἀπὸ τῆς τῶν πενήτων ὕβρεως ἐπὶ τὴν ἐκκλησίαν μετήγαγε τὸ ἔγκλημα, ἵνα φορτικώτερον ποιήσῃ τὸν λόγον; Ἰδοὺ τοίνυν καὶ τετάρτη κατηγορία, ὅταν μὴ πένητες μόνον, ἀλλὰ καὶ ἡ ἐκκλησία ὑβρίζηται. Ὥσπερ γὰρ τὸ κυριακὸν δεῖπνον ἰδιωτικὸν ποιεῖς, οὕτω καὶ τὸν τόπον πάλιν, ὡς οἰκίᾳ τῇ ἐκκλησίᾳ κεχρημένος. Ἐκκλησία γὰρ γέγονεν, οὐχ ἵνα διῃρημένοι ὦμεν καὶ συνελθόντες, ἀλλ' ἵνα οἱ διῃρημένοι συνημμένοι· καὶ τοῦτο ἡ σύνοδος δείκνυσι.

«Καὶ καταισχύνετε τοὺς μὴ ἔχοντας». Οὐκ εἶπε, καὶ λιμοκτονεῖτε τοὺς μὴ ἔχοντας, ἀλλὰ πολὺ ἐντρεπτικώτερον, «καὶ καταισχύνετε», ἵνα δείξῃ ὅτι οὐ τροφῆς αὐτῷ τοσοῦτον μέλει, ὅσον τῆς ὕβρεως τῆς εἰς αὐτοὺς γινομένης. Ἰδοὺ καὶ πέμπτη κατηγορία, τὸ μὴ μόνον πεινῶντας περιορᾶν, ἀλλὰ καὶ καταισχύνειν αὐτούς. Τοῦτο δὲ ἔλεγεν, ὁμοῦ μὲν σεμνοποιῶν τὰ κατὰ τοὺς πένητας, καὶ δεικνὺς ὅτι οὐχ οὕτως ὑπὲρ τῆς γαστρός, ὡς ὑπὲρ τῆς αἰσχύνης ἀλγοῦσιν, ὁμοῦ δὲ καὶ εἰς ἔλεον ἐπισπώμενος τὸν ἀκροατήν.

Τοσαῦτα τοίνυν δείξας τὰ ἄτοπα, ὕβριν εἰς τὸ δεῖπνον, ὕβριν εἰς τὴν ἐκκλησίαν, τὴν εἰς τοὺς πένητας γινομένην

αὐτὸ δὲν εἶπεν, ἄλλος μὲν πεινᾷ, ἄλλος δὲ χορταίνει, ἀλλὰ «μεθύει». Ἀπὸ αὐτὰ δὲ τὸ καθὲν ἀπὸ μόνον του ἦτο ἀξιοκατάκριτον· διότι τὸ νὰ μεθύῃ κανεὶς ἀκόμη καὶ χωρὶς νὰ παραβλέπῃ τοὺς πτωχοὺς εἶναι ἁμάρτημα, καὶ τὸ νὰ παραβλέπῃ τοὺς πτωχοὺς χωρὶς νὰ μεθύῃ ἀξιοκατάκριτον· ὅταν δὲ ἐγίνοντο καὶ τὰ δύο μαζί, σκέψου πόσον ὑπερβολικὰ μεγάλη ἦτο ἡ παρανομία.

4. Ὕστερον, ἀφοῦ ἔδειξε τὸ ἄτοπον αὐτῶν τῶν πραγμάτων, μὲ πολὺν θυμὸν λοιπὸν ἐπιφέρει τὴν ἐπίπληξιν, λέγων· «Μήπως δὲν ἔχετε οἰκίας διὰ νὰ τρώγετε καὶ νὰ πίνετε; Ἢ καταφρονεῖτε τὴν ἐκκλησίαν τοῦ Θεοῦ καὶ ἐντροπιάζετε ἐκείνους ποὺ δὲν ἔχουν φαγητά;». Βλέπεις πῶς ἀπὸ τὴν περιφρόνησιν τῶν πτωχῶν μετέφερε τὴν κατηγορίαν εἰς τὴν ἐκκλησίαν, διὰ νὰ κάνῃ βαρύτερον τὸν λόγον; Ἰδοὺ λοιπὸν καὶ τετάρτη κατηγορία, τὸ ὅτι ὄχι μόνον οἱ πτωχοί, ἀλλὰ καὶ ἡ ἐκκλησία περιφρονεῖται. Ὅπως δηλαδὴ τὸ κυριακὸν δεῖπνον μετατρέπεις εἰς ἰδιωτικόν, ἔτσι καὶ τὸν τόπον πάλιν, μὲ τὸ νὰ χρησιμοποιῇς τὴν ἐκκλησίαν ὡς οἰκίαν. Διότι ἡ ἐκκλησία ἔγινεν, ὄχι διὰ νὰ εἴμεθα διῃρημένοι ὅσοι ἔχομεν συνέλθει εἰς αὐτήν, ἀλλὰ διὰ νὰ εἶναι ἡνωμένοι οἱ διῃρημένοι· καὶ αὐτὸ τὸ φανερώνει ἡ συνάθροισις.

«Καὶ ἐντροπιάζετε ἐκείνους ποὺ δὲν ἔχουν φαγητά». Δὲν εἶπε, καὶ καταδικάζετε ν' ἀποθάνουν ἀπὸ πεῖναν αὐτοὺς ποὺ δὲν ἔχουν, ἀλλ' ἔτσι ποὺ νὰ προκαλῇ πολὺ πιὸ μεγαλυτέραν ἐντροπήν, «καὶ ἐντροπιάζετε», διὰ νὰ δείξῃ ὅτι δὲν τὸν ἐνδιαφέρει τόσον διὰ τὴν τροφήν, ὅσον διὰ τὴν προσβολὴν ποὺ γίνεται εἰς αὐτούς. Ἰδοὺ καὶ πέμπτη κατηγορία, τὸ ὅτι ὄχι μόνον παραβλέπουν πεινῶντας, ἀλλὰ καὶ ἐντροπιάζουν αὐτούς. Αὐτὸ δὲ τὸ ἔλεγε, καὶ διὰ νὰ ἐμπνεύσῃ σεβασμὸν εἰς τὰ τῶν πτωχῶν, δεικνύων ὅτι ὄχι τόσον διὰ τὴν κοιλίαν, ὅσον διὰ τὴν ἐντροπὴν στενοχωροῦνται, καί συγχρόνως, διὰ νὰ προσελκύσῃ εἰς ἐλεήμονα διάθεσιν τὸν ἀκροατήν.

Ἀφοῦ λοιπὸν ἔδειξεν ὅτι εἶναι τόσον πολλὰ τὰ ἄτοπα, δηλαδὴ ὑποτίμησις τοῦ δείπνου, περιφρόνησις τῆς ἐκκλη-

μέθην, ὑπεροψίαν, χαλᾷ πάλιν τῆς ἐπιτιμήσεως τὸν τόνον, ἀθρόον λέγων· «Ἐπαινέσω ὑμᾶς; Ἐν τούτῳ οὐκ ἐπαινῶ». Ὃ καὶ μάλιστα ἄν τις αὐτοῦ θαυμάσειεν, ὅτι ἐπιπλῆξαι δέον σφοδρότερον μετὰ τὴν ἀπόδειξιν τῶν τοσούτων ἁμαρτημάτων καὶ καθάψασθαι, ὁ δὲ τοὐναντίον ποιεῖ, μᾶλλον ἀνίησι καὶ ἀναπνεῦσαι δίδωσι. Τί ποτ' οὖν ἐστι τὸ αἴτιον; Φορτικώτερον αὐτῶν καθήψατο τὴν κατηγορίαν αὐξήσας, καὶ ἰατρὸς ὢν ἄριστος καταλλήλως τοῖς τραύμασι τὴν τομὴν ἐπάγει, οὔτε τὰ βαθείας δεόμενα πληγῆς ἐξ ἐπιπολῆς τέμνων· (ἤκουσας γοῦν αὐτοῦ πῶς τὸν πεπορνευκότα παρ' αὐτοῖς τούτοις ἀπέκοψεν), οὔτε τὰ προσηνεστέρων χρῄζοντα φαρμάκων σιδηρίῳ παραδιδούς. Διὰ δὴ τοῦτο καὶ ἐνταῦθα πρᾳότερον τῷ λόγῳ κέχρηται, καὶ ἄλλως δὲ ἡμέρους αὐτοὺς μάλιστα ἐσπούδακε καταστῆσαι τοῖς πένησι· διὸ καὶ ὑφειμένως διαλέγεται μᾶλλον.

5. Εἶτα θέλων αὐτοὺς καὶ ἑτέρωθεν ἐντρέψαι μειζόνως, ἀπὸ τῶν κυριωτέρων τὸν λόγον ὑφαίνει πάλιν. «Ἐγὼ γὰρ παρέλαβον ἀπὸ τοῦ Κυρίου», φησίν, «ὃ καὶ παρέδωκα ὑμῖν· ὅτι ὁ Κύριος Ἰησοῦς ἐν τῇ νυκτί, ᾗ παρεδίδοτο, ἔλαβεν ἄρτον, καὶ εὐχαριστήσας ἔκλασε καὶ εἶπε· Λάβετε, φάγετε· τοῦτό μού ἐστι τὸ σῶμα τὸ ὑπὲρ ὑμῶν κλώμενον· τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν». Τίνος ἕνεκεν ἐνταῦθα τῶν μυστηρίων μέμνηται; Ὅτι σφόδρα ἀναγκαῖος εἰς τὴν παροῦσαν ὑπόθεσιν ὁ λόγος ἦν οὗτος αὐτῷ. Καὶ γὰρ ὁ δεσπότης σου, φησί, τῆς αὐτῆς ἅπαντας ἠξίωσε τραπέζης, καίτοι σφόδρα φρικωδεστάτης οὔσης, καὶ πολὺ τὴν ἁπάντων ὑπερβαινούσης ἀξίαν· σὺ δὲ αὐτοὺς καὶ τῆς σῆς ἀναξίους εἶναι ἡγῇ, τῆς μικρᾶς ταύτης καὶ εὐτελοῦς, καὶ ἐν τοῖς πνευματικοῖς οὐδὲν αὐτῶν σε πλεονεκτούντων, ἁρπάζεις αὐτοὺς ἐν τοῖς αἰσθητοῖς· οὐδὲ γὰρ ταῦτα σά.

Ἀλλ' οὕτω μὲν οὐ λέγει, ὥστε μὴ γενέσθαι τραχὺν τὸν

σίας, μέθη εἰς βάρος τῶν πτωχῶν, ὑπεροψία, χαλαρώνει πάλιν τὸν τόπον τῆς ἐπιτιμήσεως, λέγων ἀποτόμως· «Νὰ σᾶς ἐπαινέσω; Δὲν σᾶς ἐπαινῶ δι' αὐτό». Πρᾶγμα τὸ ὁποῖον καὶ πάρα πολὺ θὰ ἐθαύμαζε κανεὶς εἰς αὐτόν, διὰ τὸ ὅτι, ἐνῷ ἔπρεπε νὰ ἐπιπλήξῃ ἐντονώτερον μετὰ ἀπὸ τὸ ὅτι ἀπέδειξε τὰ τόσα ἁμαρτήματα καὶ νὰ τοὺς προσβάλῃ, αὐτὸς κάμνει τὸ ἀντίθετον, μᾶλλον ὑποχωρεῖ καὶ τοὺς ἀφήνει ν' ἀναπνεύσουν. Ποῖος τέλος πάντων εἶναι ὁ λόγος; Μὲ τὸ νὰ αὐξήσῃ τὴν κατηγορίαν τοὺς προσέβαλε βαρύτερον, καὶ ἐπειδὴ εἶναι ἄριστος ἰατρὸς ἐπιφέρει καταλλήλως τὴν τομὴν εἰς τὰ τραύματα, καὶ χωρὶς νὰ τέμνῃ εἰς τὴν ἐπιφάνειαν ὅσα ἔχουν ἀνάγκην βαθείας πληγῆς (ἤκουσες βεβαίως πῶς ἀπέκοψεν ἀπὸ αὐτοὺς ἐκεῖνον ποὺ ἐπόρνευεν), καὶ χωρὶς νὰ παραδίδῃ εἰς τὸ ἐγχειρίδιον τὰ τραύματα ποὺ χρειάζονται ἐλαφρότερα φάρμακα. Δι' αὐτὸ λοιπὸν καὶ ὁμιλεῖ μὲ περισσοτέραν πραότητα ἐδῶ· ἀλλὰ καὶ διότι ἠθέλησε νὰ καταστήσῃ αὐτοὺς ἡμέρους εἰς τοὺς πτωχούς· δι' αὐτὸ καὶ ὁμιλεῖ μᾶλλον εἰς χαμηλὸν τόνον.

5. Εἰς τὴν συνέχειαν, θέλων καὶ ἀπὸ ἀλλοῦ νὰ τοὺς ἐντροπιάσῃ περισσότερον, συνθέτει πάλιν τὸν λόγον ἀπὸ τὰ κυριώτερα. «Διότι ἐγὼ παρέλαβον ἀπὸ τὸν Κύριον ὅ,τι καὶ σᾶς παρέδωσα», λέγει. «Ὅτι ὁ Κύριος Ἰησοῦς κατὰ τὴν νύκτα ποὺ θὰ παρεδίδετο, ἔλαβεν ἄρτον καὶ ἀφοῦ ἀνέπεμψεν εὐχαριστίας, τὸν ἔκοψε καὶ εἶπε· Λάβετε φάγετε, τοῦτο εἶναι τὸ σῶμα μου, τὸ ὁποῖον τεμαχίζεται δι' ἐσᾶς. Τοῦτο κάμνετε εἰς τὴν ἀνάμνησίν μου'». Διατί μνημονεύει ἐδῶ τὰ μυστήρια; Διότι αὐτὸς ὁ λόγος ἦτο δι' αὐτὸν πάρα πολὺ ἀναγκαῖος εἰς τὴν παροῦσαν ὑπόθεσιν. Διότι ὁ δεσπότης σου, λέγει, ἠξίωσεν ὅλους νὰ μετάσχουν εἰς τὴν ἰδίαν τράπεζαν, ἂν καὶ ἦτο ἀπείρως φρικτοτάτη καὶ ὑπερέβαινε κατὰ πολὺ ὅλας εἰς ἀξίαν, ἐνῷ σὺ θεωρεῖς αὐτοὺς ἀναξίους ἀκόμη καὶ τῆς ἰδικῆς σου, αὐτῆς τῆς ἀσημάντου καὶ εὐτελοῦς· καὶ ἐνῷ αὐτοὶ εἰς τὰ πνευματικὰ δὲν πλεονεκτοῦν εἰς τίποτε εἰς βάρος σου, σὺ ἁρπάζεις ἀπὸ αὐτοὺς καὶ τὰ αἰσθητά· διότι οὔτε αὐτὰ εἶναι ἰδικά σου.

Δὲν λέγει ὅμως ἔτσι, διὰ νὰ μὴ γίνῃ σκληρὸς ὁ λόγος,

λόγον· ἡμερώτερον δὲ αὐτὸν κατασκευάζει λέγων· «Ὅτι ὁ Κύριος Ἰησοῦς ἐν τῇ νυκτί, ᾗ παρεδίδοτο, ἔλαβεν ἄρτον». Καὶ τίνος ἕνεκεν τοῦ καιροῦ ἡμᾶς ἀναμιμνήσκει, καὶ τῆς ἑσπέρας ἐκείνης καὶ τῆς προδοσίας; Οὐχ ἁπλῶς οὐδὲ ἄνευ λόγου τινός, ἀλλ' ἵνα μεθ' ὑπερβολῆς κατανύξῃ καὶ ἀπὸ τοῦ καιροῦ. Κἂν γὰρ αὐτόλιθος ᾖ τις, ἐννοήσας ἐκείνην τὴν νύκτα, πῶς ἦν μετὰ τῶν μαθητῶν ἀδημονῶν, πῶς παρεδόθη, πῶς ἐδέθη, πῶς ἀπήχθη, πῶς ἐδικάσθη, πῶς τὰ ἑξῆς ἔπαθεν ἅπαντα, κηροῦ γίνεται ἁπαλώτερος, καὶ τῆς γῆς ἀπαλλάττεται καὶ τῆς ἐνταῦθα φαντασίας ἁπάσης. Διὰ τοῦτο πάντων ἐκείνων εἰς μνήμην ἡμᾶς ἄγει διὰ τοῦ καιροῦ καὶ τῆς τραπέζης καὶ τῆς προδοσίας ἐντρέπων καὶ λέγων, ὅτι ὁ μὲν δεσπότης σου καὶ ἑαυτὸν παρέδωκεν ὑπὲρ σοῦ· σὺ δὲ τῷ ἀδελφῷ οὐδὲ σιτίων μεταδίδως ὑπὲρ σαυτοῦ;

Πῶς δέ φησι παρὰ τοῦ Κυρίου παρειληφέναι; οὐδὲ γὰρ παρῆν τότε, ἀλλὰ τῶν διωκόντων ἦν. Ἵνα μάθῃς ὅτι οὐδὲν πλέον ἔχει ἐκείνη ἡ τράπεζα τῆς μετὰ ταῦτα. Καὶ γὰρ καὶ σήμερον αὐτός ἐστιν ὁ πάντα ἐργαζόμενος καὶ παραδιδούς, ὥσπερ καὶ τότε. Οὐ διὰ τοῦτο δὲ μόνον τῆς νυκτὸς ἀναμιμνήσκει ἐκείνη, ἀλλ' ἵνα καὶ ἑτέρως ἡμᾶς κατανύξῃ. Ὥσπερ γὰρ ἐκείνων μάλιστα μεμνήμεθα τῶν ῥημάτων, ὧν ἂν τελευταῖον παρὰ τῶν ἀπιόντων ἀκούσωμεν, καὶ πρὸς τοὺς κληρονόμους τοὺς ἐκείνων, εἰ τολμήσαιεν αὐτῶν παραβῆναι τὰς ἐντολάς, ἐντρέποντες αὐτοὺς λέγομεν, ἐννοήσατε ὅτι ταύτην ὑστέραν ἀφῆκε πρὸς ὑμᾶς τὴν φωνὴν ὁ πατήρ, καὶ μέχρι τῆς ἑσπέρας ἧς ἔμελλεν ἐκπνεῖν, ταῦτα ἐπέσκηπτεν· οὕτω καὶ ὁ Παῦλος καὶ ἐντεῦθεν φρικτὸν ποιῆσαι τὸν λόγον βουλόμενος, ἀναμνήσθητε, φησίν, ὅτι ταύτην ἐσχάτην ὑμῖν ἔδωκε τὴν μυσταγωγίαν, καὶ ἐν αὐτῇ τῇ νυκτί, ᾗ καὶ σφάττεσθαι

ἀλλ' ὁμιλεῖ μὲ ἡμερώτερον τρόπον καὶ λέγει· «Διότι ὁ Κύριος Ἰησοῦς κατὰ τὴν νύκτα ποὺ θὰ παρεδίδετο, ἔλαβεν ἄρτον». Καὶ διατί μᾶς ἐνθυμίζει ἐκεῖνον τὸν καιρὸν καὶ τὴν ἑσπέραν καὶ τὴν προδοσίαν; Δὲν τὸ κάνει τυχαῖα, οὔτε χωρὶς κάποιον λόγον, ἀλλὰ διὰ νὰ προκαλέσῃ εἰς αὐτοὺς μεγάλην κατάνυξιν καὶ ἀπὸ τὸν καιρόν. Διότι καὶ ἂν ἀκόμη εἶναι ὅλος λίθινος κανείς, ὅταν σκεφθῇ ἐκείνην τὴν νύκτα, πῶς εὑρίσκετο ἀδημονῶν μεταξὺ τῶν μαθητῶν, πῶς παρεδόθη, πῶς ἐδέθη, πῶς ὡδηγήθη διὰ τῆς βίας, πῶς ἐδικάσθη, πῶς ἔπαθεν ὅλα ὅσα ἠκολούθησαν μετά, γίνεται μαλακώτερος ἀπὸ τὸν κηρὸν καὶ ἀπαλλάσσεται ἀπὸ τὰ γήϊνα καὶ ἀπὸ κάθε φαντασίαν των. Διὰ τοῦτο μᾶς ἐνθυμίζει ὅλα ἐκεῖνα, διὰ νὰ προκαλέσῃ ἐντροπὴν μὲ τὸν καιρὸν καὶ τὴν τράπεζαν καὶ τὴν προδοσίαν καὶ λέγει ὅτι ὁ μὲν δεσπότης σου καὶ τὸν ἑαυτόν του παρέδωσε πρὸς χάριν σου· σὺ δὲ εἰς τὸν ἀδελφόν σου οὔτε τροφὴν δὲν δίδεις διὰ τὸ ἰδικόν σου καλόν;

Πῶς δὲ λέγει ὅτι παρέλαβεν ἀπὸ τὸν Κύριον; Διότι δὲν παρίστατο τότε, ἀλλ' ἦτο ἀπὸ τοὺς διώκτας. Διὰ νὰ μάθῃς ὅτι τίποτε περισσότερον δὲν ἔχει ἐκείνη ἡ τράπεζα ἀπὸ τὴν μετὰ ἀπὸ αὐτὰ τὰ γεγονότα. Διότι καὶ σήμερον αὐτὸς ὁ ἴδιος εἶναι ποὺ πραγματοποιεῖ τὰ πάντα καὶ παραδίδεται, ὅπως καὶ τότε. Δὲν μᾶς ἐνθυμίζει ὅμως μόνον δι' αὐτὸ ἐκείνην τὴν νύκτα, ἀλλὰ διὰ νὰ μᾶς φέρῃ εἰς κατάνυξιν καὶ μὲ ἄλλον τρόπον. Διότι ὅπως ἐνθυμούμεθα πάρα πολὺ ἐκείνους τοὺς λόγους τοὺς ὁποίους ἀκούομεν τελευταίους ἀπὸ ἐκείνους ποὺ φεύγουν, καὶ ἐὰν οἱ κληρονόμοι ἐκείνων τολμήσουν νὰ παραβοῦν τὰς ἐντολάς των, λέγομεν εἰς αὐτοὺς διὰ νὰ ἐντραποῦν, σκεφθῆτε ὅτι αὐτοὺς τοὺς λόγους ἄφησε τελευταίους ὁ πατέρας σου, καὶ μέχρι τὴν ἑσπέραν ποὺ ἐπρόκειτο νὰ ἐκπνεύσῃ, αὐτὰ σᾶς ἀνέθετεν, ἔτσι καὶ ὁ Παῦλος ἐδῶ, θέλων νὰ κάνῃ τὸν λόγον φρικτόν, ἐνθυμηθῆτε, λέγει, ὅτι αὐτὴν τὴν μυσταγωγίαν ἔδωσεν εἰς ἐμᾶς τελευταίαν, καὶ αὐτὴν τὴν νύκτα, κατὰ τὴν ὁποίαν ἐπρόκειτο καὶ νὰ σφαγῇ ὑπὲρ ἡμῶν, ἄφησεν αὐτὰ ὡς ἐντολήν, καὶ ἀφοῦ μᾶς παρέδωσε τὸ δεῖπνον

ὑπὲρ ἡμῶν ἔμελλε, ταῦτα ἐνετέλλετο, καὶ παραδοὺς ἡμῖν τὸ δεῖπνον ἐκεῖνο, μετ᾽ ἐκεῖνο οὐκέτι προσέθηκεν ἕτερον.

Εἶτα καὶ αὐτὰ λοιπὸν διηγεῖται τὰ γεγενημένα, λέγων ὅτι «῎Ελαβεν ἄρτον, καὶ εὐχαριστήσας ἔκλασε, καὶ εἶπε· λάβετε, φάγετε· τοῦτό μού ἐστι τὸ σῶμα τὸ ὑπὲρ ὑμῶν κλώμενον». Εἰ τοίνυν ἐπ᾽ εὐχαριστίᾳ προσέρχῃ καὶ σύ, μηδὲν ἀνάξιον ποίει τῆς εὐχαριστίας, μηδὲ καταίσχυνε τὸν ἀδελφόν, μηδὲ περιόρα πεινῶντα, μὴ μέθυε, μὴ ὕβριζε τὴν ἐκκλησίαν. Προσέρχῃ γὰρ εὐχαριστῶν ὑπὲρ ὧν ἀπήλαυσας. Οὐκοῦν καὶ αὐτὸς ἀμοιβὴν ἀποδίδου, καὶ μὴ ἀπόσχιζε σεαυτὸν τοῦ πλησίον. Καὶ γὰρ ὁ Χριστὸς πᾶσιν ἐξίσης ἔδωκε λέγων, «Λάβετε, φάγετε». Ἐκεῖνος τὸ σῶμα ἐξίσης ἔδωκε, σὺ δὲ οὐδὲ τὸν κοινὸν ἄρτον δίδως ἐξίσης; Καὶ γὰρ ὑπὲρ ἁπάντων ὁμοίως ἐκλάσθη, καὶ σῶμα γέγονεν ὑπὲρ ἁπάντων ἐξίσης.

6. «Ὁμοίως καὶ τὸ ποτήριον μετὰ τὸ δειπνῆσαι, λέγων· τοῦτο τὸ ποτήριον ἡ καινὴ διαθήκη ἐστὶν ἐν τῷ ἐμῷ αἵματι· τοῦτο ποιεῖτε, ὁσάκις ἂν πίνητε, εἰς τὴν ἐμὴν ἀνάμνησιν». Τί λέγεις; ἀνάμνησιν τοῦ Χριστοῦ ποιεῖς, καὶ πένητας παρορᾷς, καὶ οὐ φρίττεις; Ἀλλ᾽ εἰ μὲν υἱοῦ ἢ ἀδελφοῦ τετελευτηκότος ἀνάμνησιν ἐποίεις, ἐπλήγης ἂν ὑπὸ τοῦ συνειδότος, εἰ μὴ τὸ ἔθος ἐπλήρωσας, καὶ πένητας ἐκάλεσας· τὴν δὲ τοῦ δεσπότου σου ποιῶν ἀνάμνησιν, οὐδὲ τραπέζης ἁπλῶς μεταδίδως; Τί δέ ἐστιν ὅ φησιν, ὅτι τοῦτο τὸ ποτήριον ἡ καινὴ διαθήκη ἐστίν; Ἦν γὰρ καὶ τῆς παλαιᾶς διαθήκης ποτήριον, αἱ σπονδαὶ καὶ τὸ αἷμα τῶν ἀλόγων· καὶ γὰρ μετὰ τὸ θῦσαι ποτηρίῳ καὶ φιάλῃ τὸ αἷμα δεχόμενοι οὕτως ἔσπενδον. Ἐπεὶ οὖν ἀντὶ αἵματος ἀλόγων αἷμα εἰσήγαγε τὸ αὐτοῦ, ἵνα μή τις θορυβηθῇ τοῦτο ἀκούων, ἀνέμνησε τῆς παλαιᾶς θυσίας ἐκείνης.

Εἶτα εἰπὼν περὶ τοῦ δείπνου ἐκείνου, συνάπτει τὰ παρόντα τοῖς τότε, ἵνα, ὡς ἐν αὐτῇ ἐκείνῃ τῇ ἑσπέρᾳ, καὶ ἐπ᾽

ἐκεῖνο· μετὰ ἀπὸ ἐκεῖνο τίποτε ἄλλο πλέον δὲν προσέθεσεν.

Ὕστερον διηγεῖται λοιπὸν καὶ αὐτὰ ποὺ ἔγιναν, λέγων ὅτι «ἔλαβεν ἄρτον καὶ ἀφοῦ ἀνέπεμψεν εὐχαριστίας τὸν ἔκοψε καὶ εἶπε· Λάβετε, φάγετε, τοῦτο εἶναι τὸ σῶμα μου, τὸ ὁποῖον τεμαχίζεται δι᾽ ἐσᾶς'». Ἐὰν λοιπὸν προσέρχεσαι καὶ σὺ δι᾽ εὐχαριστίαν, μὴ κάμνῃς τίποτε ποὺ νὰ εἶναι ἀνάξιον τῆς εὐχαριστίας, οὔτε νὰ ἐντροπιάζῃς τὸν ἀδελφόν, οὔτε νὰ τὸν παραβλέπῃς ὅταν πεινᾷ, νὰ μὴ μεθᾷς, νὰ μὴ προσβάλλῃς τὴν ἐκκλησίαν. Ἀλλὰ νὰ προσέρχεσαι διὰ νὰ εὐχαριστῇς δι᾽ ὅσα ἀπήλαυσες. Ἀλλὰ καὶ σὺ ν᾽ ἀνταποδίδῃς εὐγνωμοσύνην καὶ νὰ μὴ ἀποχωρίζῃς τὸν ἑαυτόν σου ἀπὸ τὸν πλησίον. Διότι καὶ ὁ Χριστὸς εἰς ὅλους ἐξ ἴσου ἔδωσε μὲ τοὺς λόγους· «Λάβετε, φάγετε». Ἐκεῖνος ἔδωσεν ἐξ ἴσου τὸ σῶμα του, ἐνῷ ἐσὺ οὔτε τὸν κοινὸν ἄρτον δίδεις ἐξ ἴσου; Διότι δι᾽ ὅλους ὁμοίως ἐμοιράσθη, καὶ ἔγινε σῶμα ἐξ ἴσου δι᾽ ὅλους.

6. «Ἐπίσης ἐπῆρε καὶ τὸ ποτήριον μετὰ τὸ δεῖπνον καὶ εἶπε· Τοῦτο τὸ ποτήριον εἶναι ἡ νέα διαθήκη ἐσφραγισμένη μὲ τὸ αἷμά μου. Τοῦτο νὰ κάμνετε, ὅσας φορὰς τὸ πίνετε, εἰς τὴν ἀνάμνησίν μου'». Τί λέγεις; Τὴν μνήμην τοῦ Χριστοῦ τελεῖς καὶ παραβλέπεις πτωχούς, καὶ δὲν φρίττεις; Ἀλλ᾽ ἐὰν μὲν ἐτέλεις τὴν μνήμην ἀδελφοῦ ποὺ ἔχει ἀποθάνει, θὰ ἐτύπτεσο ἀπὸ τὴν συνείδησιν ἐὰν δὲν εἶχες τηρήσει τὸ ἔθιμον καὶ δὲν προσεκάλεις πτωχούς· ἐνῷ τώρα ποὺ τελεῖς εἰς ἀνάμνησιν τοῦ δεσπότου σου, οὔτε ἁπλῆν τράπεζαν παραθέτεις; Τί σημαίνει δὲ αὐτὸ ποὺ λέγει, ὅτι «αὐτὸ τὸ ποτήριον εἶναι ἡ νέα διαθήκη»; Ὑπῆρχε λοιπὸν ποτήριον καὶ τῆς παλαιᾶς διαθήκης, αἱ θυσίαι καὶ τὸ αἷμα τῶν ζώων· διότι μετὰ τὴν θυσίαν ἀφοῦ ἐδέχοντο τὸ αἷμα εἰς ποτήριον καὶ φιάλην ἔτσι ἔκαμνον σπονδήν. Ἐπειδὴ λοιπὸν ἀντὶ αἵματος ζώων καθιέρωσε ὡς θυσίαν τὸ ἰδικόν του αἷμα, διὰ νὰ μὴ ταραχθῇ κανεὶς ὅταν ἀκούσῃ αὐτό· ὑπενεθύμισε τὴν παλαιὰν ἐκείνην θυσίαν.

Ὕστερον ἀφοῦ εἶπε διὰ τὸ δεῖπνον ἐκεῖνο, συνδέει τὰ παρόντα μὲ τὰ τότε, ὥστε, ὡσὰν εἰς ἐκείνην τὴν ἰδίαν ἑσπέ-

αὐτῆς κείμενα τῆς στιβάδος, καὶ παρ' αὐτοῦ τοῦ Χριστοῦ λαμβάνοντες τὴν θυσίαν ταύτην, οὕτω καὶ νῦν διακέωνται, καί φησιν· «Ὁσάκις γὰρ ἂν ἐσθίητε τὸν ἄρτον τοῦτον, καὶ τὸ ποτήριον τοῦτο πίνητε, τὸν θάνατον τοῦ Κυρίου καταγγέλλετε, ἄχρις οὗ ἂν ἔλθῃ». Ὥσπερ γὰρ ὁ Χριστὸς καὶ ἐπὶ τοῦ ἄρτου καὶ ἐπὶ τοῦ ποτηρίου. «Εἰς τὴν ἐμὴν ἀνάμνησιν τοῦτο ποιεῖτε», εἶπε, τὴν αἰτίαν ἐκκαλύπτων ἡμῖν τῆς τοῦ μυστηρίου δόσεως, καὶ μετὰ τῶν ἄλλων καὶ ταύτην εἶναι λέγων ἀρκοῦσαν ἡμῖν εἰς εὐλαβείας ὑπόθεσιν· ὅταν γὰρ ἐννοήσῃς τί πέπονθεν ὁ δεσπότης διὰ σέ, φιλοσοφώτερος ἔσῃ· οὕτω καὶ αὐτὸς πάλιν φησίν· «Ὁσάκις ἂν ἐσθίητε, τὸν θάνατον αὐτοῦ καταγγέλλετε», καὶ τοῦτο ἐκεῖνο τὸ δεῖπνόν ἐστιν.

Εἶτα δεικνύς, ὅτι ἕως τῆς συντελείας αὐτὸ μένει, φησίν, «ἕως ἂν ἔλθῃ». Ὥστε ὃς ἂν ἐσθίῃ τὸν ἄρτον τοῦτον, ἢ πίνῃ τὸ ποτήριον τοῦ Κυρίου ἀναξίως, ἔνοχος ἔσται τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ Κυρίου. Τί δήποτε; Ὅτι ἐξέχεεν αὐτό, καὶ σφαγὴν τὸ πρᾶγμα ἀπέφηνεν, οὐκέτι θυσίαν. Ὥσπερ οὖν καὶ τότε οἱ κεντήσαντες οὐχ ἵνα πίωσιν ἐκέντησαν, ἀλλ' ἵνα ἐκχέωσιν· οὕτω καὶ ὁ ἀναξίως μετιών, καὶ μηδὲν ἐντεῦθεν καρπούμενος. Εἶδες πῶς φοβερὸν τὸν λόγον ἐποίησε, καὶ μεθ' ὑπερβολῆς αὐτῶν καθήψατο πάσης, δεικνὺς ὅτι εἰς οὕτω μέλλοιεν πίνειν, ἀναξίως μετέχουσι τῶν προκειμένων; Πῶς γὰρ οὐκ ἀναξίως, ὁ περιορῶν πεινῶντα; ὁ καταισχύνων πρὸς τῷ περιιδεῖν; Εἰ γὰρ τὸ μὴ δοῦναι πένησιν ἐκβάλλει τῆς βασιλείας, κἂν παρθένος ᾖ τις, μᾶλλον δὲ τὸ μὴ δαψιλῶς δοῦναι (καὶ γὰρ ἐκεῖναι ἔλαιον εἶχον, ἀλλὰ δαψιλὲς οὐκ εἶχον), τὸ καὶ τοσαῦτα ἄτοπα ἐργάσασθαι, ἐννόησον ἡλίκον ἔσται κακόν.

Ποῖα ἄτοπα, φησί; Τί λέγεις, ποῖα ἄτοπα; Τραπέζης μετέσχες τοιαύτης, καὶ πάντων ὀφείλων ἡμερώτερος εἶναι

ραν νὰ εὑρίσκωνται καὶ ἐπάνω εἰς ἐκεῖνο τὸ ἀχυρόστρωμα, καὶ ἀπὸ τὸν ἴδιον τὸν Χριστὸν νὰ λαμβάνουν αὐτὴν τὴν θυσίαν, ἔτσι καὶ τώρα νὰ θεραπεύωνται, καὶ λέγει· «Κάθε φορὰν ποὺ τρώγετε τὸν ἄρτον τοῦτον καὶ πίνετε ἀπὸ τὸ ποτήριον τοῦτο, διακηρύσσετε τὸν θάνατον τοῦ Κυρίου ἕως ὅτου ἔλθῃ». Ὅπως δηλαδὴ ὁ Χριστὸς εἶπε διὰ τὸν ἄρτον καὶ τὸ ποτήριον, «Τοῦτο κάμνετε εἰς τὴν ἀνάμνησίν μου», ἀποκαλύπτων εἰς ἐμᾶς τὴν αἰτίαν τῆς παραδόσεως τοῦ μυστηρίου, καὶ μαζὶ μὲ τὰ ἄλλα καὶ αὐτὴ λέγει ὅτι ἀρκεῖ εἰς ἐμᾶς πρὸς εὐλάβειαν, διότι ὅταν σκεφθῇς τί ἔπαθεν ὁ δεσπότης πρὸς χάριν σου, θὰ γίνῃς σοφώτερος, ἔτσι καὶ αὐτὸς λέγει πάλιν· «Κάθε φορὰν ποὺ τρώγετε διακηρύσσετε τὸν θάνατόν του», καὶ αὐτὸ εἶναι ἐκεῖνο τὸ δεῖπνον.

Ἀκολούθως διὰ νὰ δείξῃ ὅτι αὐτὸ μένει μέχρι τὴν συντέλειαν τοῦ κόσμου, λέγει, «ἕως ὅτου ἔλθῃ». «Ὥστε ὅποιος τρώγει τὸν ἄρτον τοῦτον ἢ πίνει ἀπὸ τὸ ποτήριον τοῦ Κυρίου χωρὶς νὰ εἶναι ἄξιος, θὰ εἶναι ἔνοχος ἔναντι τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ Κυρίου». Διατί ἆρά γε; Διότι ἔχυσεν αὐτὸ καὶ ἔκανε τὸ πρᾶγμα σφαγήν, ὄχι θυσίαν. Ὅπως λοιπὸν καὶ τότε αὐτοὶ ποὺ κέντησαν τὸ σῶμά του δὲν ἐκέντησαν διὰ νὰ πίουν, ἀλλὰ διὰ νὰ χύσουν, ἔτσι καὶ αὐτὸς ποὺ μετέχει ἀναξίως καὶ δὲν καρποῦται τίποτε ἀπὸ ἐδῶ. Εἶδες πῶς ἔκανε φοβερὸν τὸν λόγον καὶ τοὺς ἐκατηγόρησε πάρα πολὺ ἐντόνως, διὰ νὰ δείξῃ ὅτι ἐὰν πρόκειται νὰ κοινωνοῦν ἔτσι, ἀναξίως μετέχουν εἰς τὴν θείαν κοινωνίαν; Διότι πῶς δὲν κοινωνεῖ ἀναξίως αὐτὸς ποὺ παραμελεῖ ἐκεῖνον ποὺ πεινᾷ; Αὐτὸς ποὺ κετεντροπιάζει ἐπὶ πλέον τοῦ ὅτι παραμελεῖ; Διότι ἐὰν τὸ νὰ μὴ ἐλεῇ κανεὶς τοὺς πτωχοὺς ἀρκεῖ διὰ νὰ ἐκβάλλῃ ἀπὸ τὴν βασιλείαν τοῦ Θεοῦ, ἀκόμη καὶ ἂν εἶναι παρθένος κανείς, μᾶλλον τὸ νὰ μὴ δίδῃ εἰς αὐτοὺς πλουσιοπαρόχως (καθ' ὅσον καὶ αἱ πέντε παρθένοι εἶχον ἔλαιον, ἀλλὰ δὲν εἶχον πολὺ) τὸ νὰ κάμνῃ κανεὶς τόσα ἄτοπα ἐπὶ πλέον, σκέψου πόσον μέγα κακὸν εἶναι.

Ποῖα ἄτοπα, θὰ εἴπῃ κάποιος. Τί λέγεις, ποῖα ἄτοπα; Ἔγινες μέτοχος εἰς τέτοιαν τράπεζαν, καὶ ἐνῷ ἔπρεπε νὰ

καὶ τῶν ἀγγέλων ἴσος, πάντων ὠμότερος γέγονας· αἵματος ἐγεύσω δεσποτικοῦ, καὶ τὸν ἀδελφὸν οὐδὲ οὕτως ἐπιγινώσκεις· καὶ ποίας ἄξιος εἶ συγγνώμης; Καίτοι εἰ καὶ πρὸ τοῦτο ἠγνόεις, ἀπὸ τῆς τραπέζης αὐτὸν ἐπιγνῶναι ἐχρῆν· νῦν δὲ καὶ αὐτὴν ἀτιμάζεις τὴν τράπεζαν, τὸν ἐκείνης καταξιωθέντα μέτοχον εἶναι, τῶν σῶν οὐχ ἡγούμενος ἄξιον εἶναι σιτίων. Οὐκ ἤκουσας πόσα ἔπαθεν ὁ τὰ ἑκατὸν δηνάρια ἀπαιτῶν; πῶς δωρεὰν ἐξενεχθεῖσαν ἄκυρον ἐποίησεν; Οὐκ ἐννοεῖς τίς ὢν τίς γέγονας; οὐκ ἀναμιμνήσκεις σαυτόν, ὅτι τούτου τοῦ πένητος ἐν χρήμασι πολὺ πτωχότερος ἦς ἐν κατορθώμασι, μυρίων γέμων ἁμαρτημάτων; Ἀλλ' ὅμως πάντων σε ἐκείνων ἀπήλλαξεν ὁ Θεός, καὶ τραπέζης ἠξίωσε τοιαύτης· σὺ δὲ οὐδὲ οὕτω φιλανθρωπότερος γίνῃ. Οὐκοῦν οὐδὲν ἕτερον λείπεται, ἢ καὶ τό σε παραδοθῆναι τοῖς βασανισταῖς.

7. Τούτων καὶ ἡμεῖς ἀκούσωμεν τῶν ῥημάτων πάντες, ὅσοι ἐνταῦθα μὲν μετὰ πενήτων προσερχόμεθα τῇ ἱερᾷ ταύτῃ τραπέζῃ ἐξελθόντες δὲ ἔξω, οὐδὲ ἑωρακέναι δοκοῦμεν αὐτούς, ἀλλὰ καὶ μεθύομεν καὶ πεινῶντας παρατρέχομεν· ἃ καὶ Κορίνθιοι τότε ἐνεκαλοῦντο. Καὶ πότε τοῦτο γίνεται, φησίν; Ἀεὶ μέν, μάλιστα δὲ ἐν ταῖς ἑορταῖς, ὅτε μάλιστα γίνεσθαι οὐκ ἐχρῆν. Καὶ γὰρ τότε μετὰ τὴν κοινωνίαν εὐθέως μέθη διαδέχεται, καὶ πενήτων ὑπεροψία· καὶ τοῦ αἵματος μεταλαβών, ὅτε νηστείας σοι καιρὸς καὶ νήψεως, παροινεῖς καὶ κωμάζεις. Κἂν μέν τι χρηστὸν τύχῃς ἠριστηκώς, φυλάττεις σαυτόν, ὥστε μὴ ἑτέρῳ ἐδέσματι πονηρῷ λυμήνασθαι τὸ πρότερον· πνεῦμα δὲ ἑστιαθεὶς Σατανικὴν ἐπεισάγεις τρυφήν.

Ἐννόησον, ὅτε μετέλαβον οἱ ἀπόστολοι τῶν ἱερῶν δεί-

εἶσαι ἡμερώτερος ἀπὸ ὅλους καὶ ἴσος πρὸς τοὺς ἀγγέλους, ἔγινες σκληρότερος ἀπὸ ὅλους· ἐγεύθης δεσποτικὸν αἷμα καὶ οὔτε ἔτσι ἀναγνωρίζεις τὸν ἀδελφόν· καὶ ποίας συγγνώμης θ' ἀξιωθῇς; Μολονότι βέβαια ἐὰν καὶ πρὶν ἀπὸ αὐτὸ δὲν τὸν ἐγνώριζες, ἀπὸ τὴν τράπεζαν ἔπρεπε νὰ τὸν γνωρίσῃς καὶ νὰ ἐνδιαφερθῇς δι' αὐτόν· τώρα δὲ καὶ τὴν τράπεζαν ὑποτιμᾷς, μὲ τὸ νὰ θεωρῇς ἀνάξιον τῶν ἰδικῶν σου φαγητῶν αὐτὸν ποὺ κατηξιώθη νὰ μετάσχῃ εἰς ἐκείνην. Δὲν ἤκουσες πόσα ἔπαθεν ἐκεῖνος ποὺ ἀπῄτει τὰ ἑκατὸν δηνάρια; Πῶς δηλαδή, ἐνῷ τοῦ ἐχαρίσθη τὸ χρέος, μὲ τὴν συμπεριφοράν του ἔκαμεν ἄκυρον τὴν δωρεάν; Δὲν ἀντιλαμβάνεσαι ποῖος ἤσουν καὶ ποῖος ἔγινες; δὲν ἐνθυμίζεις εἰς τὸν ἑαυτόν σου, ὅτι ἀπὸ αὐτὸν ποὺ εἶναι πτωχὸς εἰς χρήματα εἶσαι πολὺ πτωχότερος εἰς κατορθώματα, διότι εἶσαι γεμᾶτος ἀπὸ ἀπείρους ἁμαρτίας; Ἀλλ' ὅμως ἀπὸ ὅλα ἐκεῖνα σὲ ἀπήλλαξεν ὁ Θεὸς καὶ σὲ κατέστησεν ἄξιον τέτοιας τραπέζης· σὺ ὅμως οὔτε ἔτσι γίνεσαι φιλανθρωπότερος. Λοιπὸν τίποτε ἄλλο δὲν ὑπολείπεται παρὰ τὸ νὰ παραδοθῇς καὶ σὺ εἰς τοὺς βασανιστάς.

7. Αὐτοὺς τοὺς λόγους ἂς ἀκούσωμεν καὶ ἐμεῖς ὅλοι, ὅσοι ἐδῶ μὲν μαζὶ μὲ πτωχοὺς προσερχόμεθα εἰς τὴν ἱερὰν αὐτὴν τράπεζαν· ὅταν δὲ ἐξερχώμεθα, δὲν θέλομεν οὔτε νὰ ἴδωμεν αὐτούς, ἀλλὰ καὶ μεθύομεν καὶ τοὺς πεινῶντας παραβλέπομεν· δι' αὐτὰ ἐκατηγοροῦντο τότε καὶ οἱ Κορίνθιοι. Καὶ πότε γίνεται αὐτό; θὰ εἰπῇ κάποιος. Πάντοτε, ἀλλὰ κυρίως εἰς τὰς ἑορτάς, ὁπότε δὲν ἔπρεπε νὰ συμβαίνῃ περισσότερον ἀπὸ κάθε φοράν. Διότι τότε μετὰ τὴν θείαν κοινωνίαν ἀκολουθεῖ μέθη καὶ παραμέλησις τῶν πτωχῶν· καὶ ἐνῷ ἔχεις μεταλάβει τοῦ αἵματος, καὶ εἶναι διὰ σὲ καιρὸς νηστείας καὶ προσευχῆς, σὺ μεθύεις καὶ ξεφαντώνεις. Καὶ ὅταν μὲν τύχῃ νὰ γευθῇς κάτι εὔγευστον, προφυλάσσεις τὸν ἑαυτόν σου, ὥστε νὰ μὴ βλάψῃς τὴν γεῦσιν τοῦ προηγουμένου μὲ κάποιο φαγητὸν ὄχι εὔγευστον· ἐδῶ ὅμως ἐνῷ ἔχεις τραφεῖ μὲ ἅγιον Πνεῦμα, μετὰ ἀπὸ αὐτὸ παραδίδεσαι εἰς σατανικὴν ἀπόλαυσιν.

Σκέψου, ὅταν οἱ ἀπόστολοι μετέλαβον εἰς τὸ ἱερὸν

πνων ἐκείνων, τί ἐποίησαν; οὐχὶ εἰς εὐχὰς ἐτράπησαν καὶ ὑμνῳδίας; οὐχὶ εἰς παννυχίδας ἱεράς; οὐχὶ εἰς διδασκαλίαν τὴν μακρὰν ἐκείνην καὶ πολλῆς γέμουσαν φιλοσοφίας; Τὰ γὰρ μεγάλα καὶ παράδοξα τότε αὐτοῖς διηγεῖτο καὶ παρήγγελλεν, ἀπελθόντος τοῦ Ἰούδα καλέσαι τοὺς μέλλοντας αὐτὸν σταυροῦν. Οὐκ ἤκουσας πῶς καὶ οἱ τρισχίλιοι οἱ τῆς κοινωνίας ἀπολαύοντες διαπαντὸς ἦσαν προσκαρτεροῦντες τῇ προσευχῇ καὶ τῇ διδασκαλίᾳ, οὐ μέθαις καὶ κώμαις; Σὺ δὲ πρὶν ἢ μὲν μεταλαβεῖν, νηστεύεις, ἵνα ὁπωσδήποτε ἄξιος φανῇς τῆς κοινωνίας· ὅταν δὲ μεταλάβῃς, δέον σε ἐπιτεῖναι τὴν σωφροσύνην, πάντα ἀπολλύεις. Καίτοιγε οὐκ ἔστιν ἴσον πρὸ τούτου νήφειν, καὶ μετὰ ταῦτα. Δεῖ μὲν γὰρ ἐν ἑκατέρῳ σωφρονεῖν, μάλιστα δὲ μετὰ τὸ δέξασθαι τὸν νυμφίον· πρὸ τούτου μέν, ἵνα ἄξιος γένῃ τοῦ λαβεῖν, μετὰ δὲ ταῦτα, ἵνα μὴ ἀνάξιος φανῇς ὧν ἔλαβες.

Τί οὖν; νηστεύειν δεῖ μετὰ τὸ μεταλαβεῖν; Οὐ λέγω τοῦτο, οὐδὲ καταναγκάζω. Καλὸν μὲν γὰρ καὶ τοῦτο· πλὴν οὐ βιάζομαι τοῦτο, ἀλλὰ παραινῶ μὴ τρυφᾶν εἰς ἀπληστίαν. Εἰ γὰρ οὐδέποτε χρὴ τρυφᾶν, καὶ τοῦτο ὁ Παῦλος ἐδήλωσεν εἰπὼν ὅτι, «Ἡ δὲ σπαταλῶσα ζῶσα τέθνηκε», πολλῷ μᾶλλον τότε τεθνήξεται. Εἰ γὰρ γυναικὶ ἡ τρυφὴ θάνατος, πολλῷ μᾶλλον ἀνδρί· καὶ εἰ ἐν ἄλλῳ καιρῷ τοῦτο γινόμενον ἀπόλλυσι, πολλῷ μᾶλλον μετὰ τὴν τῶν μυστηρίων κοινωνίαν. Σὺ δὲ ἄρτον ζωῆς λαβών, πρᾶγμα θανάτου ποιεῖς, καὶ οὐ φρίττεις; Οὐκ οἶσθα ὅσα ἀπὸ τρυφῆς ἐπεισέρχεται κακά; γέλως ἄκαιρος, ῥήματα ἄτακτα, εὐτραπελία ὀλέθρου γέμουσα, φλυαρία ἀνόνητος, τὰ ἄλλα ἃ μηδὲ εἰπεῖν καλόν. Καὶ ταῦτα ποιεῖς τραπέζης ἀπολαύσας Χριστοῦ, μετὰ τὴν ἡμέραν

7. Α΄ Τιμ. 5, 6.

ἐκεῖνο δεῖπνον, τί ἔκαναν; δὲν ἐτράπησαν εἰς προσευχὰς καὶ ὑμνῳδίας; δὲν ἐδόθησαν εἰς ἱερὰς ἀγρυπνίας καὶ εἰς τὴν μεγάλην ἐκείνην καὶ γεμάτην ἀπὸ σοφίαν διδασκαλίαν; Διότι τὰ μεγάλα καὶ παράδοξα τότε ἐδίδασκε καὶ παρήγγελλεν εἰς αὐτούς· ὅταν ἔφυγεν ὁ Ἰούδας διὰ νὰ φέρῃ αὐτοὺς ποὺ ἐπρόκειτο νὰ τὸν σταυρώσουν. Δὲν ἤκουσες πῶς καὶ οἱ τρεῖς χιλιάδες πιστοὶ οἱ μετέχοντες εἰς τὴν κοινωνίαν ἐπέμενον συνεχῶς εἰς τὴν προσευχὴν καὶ τὴν διδασκαλίαν, καὶ ὄχι εἰς μέθας καὶ ξεφαντώματα; ἐνῷ ἐσὺ πρὶν μὲν μεταλάβῃς νηστεύεις διὰ νὰ φανῇς ὁπωσδήποτε ἄξιος τῆς κοινωνίας, ὅταν δὲ μεταλάβῃς, ἐνῷ πρέπει νὰ ἐντείνῃς τὴν προσπάθειαν διὰ νὰ μείνῃς καθαρός, καταστρέφεις τὰ πάντα. Καὶ ὅμως δὲν εἶναι ἴσον τὸ νὰ κρατῆσαι καθαρὸς πρὶν καὶ μετὰ τὴν θείαν κοινωνίαν. Διότι πρέπει μὲν καὶ πρὶν καὶ μετὰ νὰ τηρῆσαι καθαρός, κυρίως ὅμως ὅταν ὑποδεχθῇς τὸν νυμφίον πρὶν μὲν ἀπὸ αὐτό, διὰ ν' ἀξιωθῇς νὰ μεταλάβῃς, μετὰ δὲ τὴν μετάληψιν διὰ νὰ μὴ φανῇς ἀνάξιος αὐτῶν ποὺ ἔλαβες.

Τί λοιπόν; Πρέπει νὰ νηστεύωμεν μετὰ τὴν θείαν μετάληψιν; Δὲν λέγω αὐτό, οὔτε ἀναγκάζω. Βέβαια καλὸν εἶναι καὶ αὐτό, ὅμως δὲν σᾶς βιάζω εἰς αὐτό, ἀλλὰ παραινῶ νὰ μὴ παραδίδεσθε μὲ ἀπληστίαν εἰς ἀπόλαυσιν. Διότι, ἐὰν ποτὲ δὲν πρέπει νὰ παραδιδώμεθα εἰς ἀπολαύσεις, καὶ αὐτὸ τὸ ἐδήλωσεν ὁ Παῦλος ὅταν εἶπεν ὅτι, «Ἐκείνη ὅμως ποὺ ζῇ εἰς ἀπολαύσεις ἔχει πεθάνει, ἂν καὶ εὑρίσκεται εἰς τὴν ζωήν»[7], πολὺ περισσότερον θ' ἀποθάνῃ τότε. Ἐὰν λοιπὸν ἡ ἀπόλαυσις εἰς τὴν γυναῖκα εἶναι θάνατος, πολὺ περισσότερον εἰς τὸν ἄνδρα· καὶ ἐὰν αὐτὸ καταστρέφῃ εἰς ἄλλον καιρόν, πολὺ περισσότερον μετὰ τὴν κοινωνίαν τῶν μυστηρίων. Σὺ ὅμως, ἐνῷ ἔλαβες ἄρτον ζωῆς, πράττεις ἔργον θανάτου καὶ δὲν φρίττεις; Δὲν γνωρίζεις πόσα κακὰ εἰσέρχονται εἰς τὸν ἄνθρωπον ἀπὸ τὴν ἀπόλαυσιν; Γέλως παράκαιρος, λόγοι ἄτακτοι, ἀστειότης γεμάτη ἀπὸ ὄλεθρον, φλυαρία ἀνόητος, καὶ τὰ ἄλλα ποὺ δὲν εἶναι καλὸν οὔτε καὶ νὰ τὰ ἀναφέρωμεν. Καὶ αὐτὰ τὰ πράττεις ἐνῷ ἔχεις ἀπολαύσει τὴν τράπεζαν τοῦ Χριστοῦ, κατὰ τὴν ἡμέ-

ἐκείνην καθ' ἣν ἅψασθαι διὰ γλώττης τῶν σαρκῶν αὐτοῦ κατηξιώθης.

Πῶς οὖν, ἵνα ταῦτα μὴ γένηται; Κατάμαθέ σου τὴν δεξιάν, τὴν γλῶτταν, τὰ χείλη, ἅπερ ἐγένετο πρόθυρα τῇ ἐπιβάσει τοῦ Χριστοῦ. Ἐννόησον τὸν καιρὸν καθ' ὃν προσῄεις, καὶ τράπεζαν παραθεὶς αἰσθητήν, πρὸς ἐκείνην τὴν τράπεζαν τὸν νοῦν ἀνάτεινον, πρὸς τὸ δεῖπνον τὸ κυριακόν, πρὸς τὴν ἀγρυπνίαν τῶν μαθητῶν τὴν κατὰ τὴν νύκτα ἐκείνην τὴν ἱεράν. Μᾶλλον δέ, εἴ τις ἀκριβῶς ἐξετάσειε, καὶ τὰ παρόντα νύξ. Γρηγορῶμεν τοίνυν μετὰ τοῦ δεσπότου, κατανυγῶμεν μετὰ τῶν μαθητῶν. Εὐχῶν ὁ καιρός, οὐ μέθης, ἀεὶ μὲν μάλιστα δὲ ἐν ἑορτῇ. Ἑορτὴ γὰρ διὰ τοῦτο γίνεται, οὐχ ἵνα ἀσχημονῶμεν, οὐχ ἵνα ἁμαρτήματα συνάγωμεν, ἀλλ' ἵνα καὶ τὰ ὄντα ἀναιρῶμεν.

Καὶ οἶδα μὲν εἰκῇ ταῦτα λέγων, ἀλλ' οὐ παύσομαι λέγων. Κἂν γὰρ μὴ πάντες ὑπακούσητε, ἀλλ' οὐδὲ πάντες παρακούσεσθε, μᾶλλον δέ, κἂν πάντες παρακούσητε, ἐμοὶ μὲν μείζων ὁ μισθός, ὑμῖν δὲ πλέον τὸ κρίμα. Ἵν' οὖν μὴ γένηται πλέον, διὰ τοῦτο οὐ παύσομαι λέγων· ἴσως γάρ, ἴσως τῇ συνεχείᾳ καθάψομαι. Διὸ παρακαλῶ, ἵνα μὴ εἰς κρίμα ταῦτα ποιῶμεν, θρέψωμεν τοῦ Χριστοῦ, ποτίσωμεν, ἐνδύσωμεν. Ταῦτα τῆς τραπέζης ἐκείνης ἄξια. Ἤκουσας ὕμνων ἱερῶν; εἶδες γάμον πνευματικόν; τραπέζης βασιλικῆς; ἐνεπλήσθης Πνεύματος ἁγίου; Συνεχόρευσας τοῖς Σεραφίμ; κοινωνὸς ἐγένου τῶν ἄνω δυνάμεων; Μὴ ῥίψῃς χαρὰν τοσαύτην, μὴ ἐκχέῃς τὸν θησαυρόν, μὴ ἐπεισαγάγῃς μέθην τὴν τῆς ἀθυμίας μητέρα, τὴν τοῦ διαβόλου χαράν, τὴν μυρία τίκτουσαν κακά. Καὶ γὰρ ὕπνος θανάτῳ ἐοικὼς ἐντεῦθεν, καὶ καρηβαρίαι, καὶ νόσοι, καὶ λήθη, καὶ νεκρότητος εἰκών.

ραν ἐκείνην κατὰ τὴν ὁποίαν κατηξιώθης νὰ ἐγγίσῃς μὲ τὴν γλῶσσαν σου τὰς σάρκας του.

Τί νὰ κάνω λοιπόν, διὰ νὰ μὴ γίνωνται αὐτά; Συλλογίσου τὴν δεξιάν σου, τὴν γλῶσσαν, τὰ χείλη, τὰ ὁποῖα ἔγιναν πρόθυρα εἰς τὸ νὰ ἔλθῃ εἰς σὲ ὁ Χριστός. Σκέψου τὴν ὥραν κατὰ τὴν ὁποίαν προσέρχεσαι, καὶ ἐνῷ ἔχεις παραθέσει τράπεζαν ὑλικήν, ὕψωσε τὸν νοῦν εἰς ἐκείνην τὴν τράπεζαν, πρὸς τὸ κυριακὸν δεῖπνον, πρὸς τὴν ἀγρυπνίαν τῶν μαθητῶν τὴν ἱερὰν ἐκείνην νύκτα. Μᾶλλον δέ· ἐὰν κανεὶς ἐξετάσῃ μὲ ἀκρίβειαν, καὶ ἡ παροῦσα ζωὴ εἶναι νύξ. Ἂς ἀγρυπνῶμεν λοιπὸν μαζὶ μὲ τὸν δεσπότην, ἂς ὁδηγηθῶμεν εἰς κατάνυξιν μαζὶ μὲ τοὺς μαθητάς. Εἶναι καιρὸς διὰ προσευχάς, ὄχι διὰ μέθην, πάντοτε βέβαια, περισσότερον ὅμως κατὰ τὴν ἑορτήν. Διότι ἡ ἑορτὴ δι' αὐτὸ γίνεται, ὄχι διὰ ν' ἀσχημονῶμεν, ὄχι διὰ νὰ συσσωρεύωμεν ἁμαρτήματα, ἀλλὰ διὰ νὰ ἐξαλείφωμεν καὶ τὰ ὑπάρχοντα.

Καὶ γνωρίζω βέβαια ὅτι μάταια τὰ λέγω αὐτά, ἀλλὰ δὲν θὰ παύσω νὰ τὰ λέγω. Διότι, καὶ ἂν δὲν ὑπακούσητε ὅλοι, ὁπωσδήποτε ὅμως οὔτε θὰ παρακούσετε ὅλοι, μᾶλλον δέ, καὶ ἂν ὅλοι παρακούσετε, εἰς ἐμὲ μὲν θὰ εἶναι μεγαλύτερος ὁ μισθός, εἰς ἐσᾶς δὲ μεγαλυτέρα ἡ ἁμαρτία. Διὰ νὰ μὴ γίνῃ λοιπὸν μεγαλυτέρα ἡ ἁμαρτία· δι' αὐτὸ δὲν θὰ παύσω νὰ σᾶς τὰ λέγω· ἴσως λοιπόν, ἴσως εἰς τὴν συνέχειαν νὰ σᾶς προσβάλω. Δι' αὐτὸ παρακαλῶ, διὰ νὰ μὴ κάμνωμεν αὐτὰ νὰ μᾶς κρίνουν, ἂς θρέξωμεν τὸν Χριστόν, ἂς τὸν ποτίσωμεν, ἂς τὸν ἐνδύσωμεν. Αὐτὰ εἶναι ἄξια ἐκείνης τῆς τραπέζης. Ἤκουσες ὕμνους ἱερούς; εἶδες γάμον πνευματικόν; ἀπήλαυσες βασιλικὴν τράπεζαν; ἐγέμισες ἀπὸ ἅγιον Πνεῦμα; συνέψαλες μὲ τὰ Σεραφίμ; ἔγινες κοινωνὸς τῶν οὐρανίων δυνάμεων; Μὴ ἀπορρίψῃς τόσην χαράν, μὴ διασκορπίσῃς τὸν θησαυρόν, μὴ ἀνοίξῃς τὴν θύραν εἰς τὴν μέθην τὴν μητέρα τῆς θλίψεως, τὴν χαρὰν τοῦ διαβόλου, ποὺ γεννᾷ ἄπειρα κακά. Διότι καὶ ὁ ὕπνος ἀπὸ ἐδῶ εἶναι ὅμοιος τοῦ θανάτου, καὶ οἱ κεφαλόπονοι καὶ οἱ νόσοι καὶ ἡ λήθη, καὶ εἶναι εἰκὼν νεκρότητος.

Εἶτα φίλῳ μὲν οὐκ ἂν ἕλοιο συντυχεῖν οἰνωμένος, τὸν δὲ Χριστὸν ἔνδον ἔχων τολμᾷς, εἰπέ μοι, τοσαύτην ἐπεμβαλεῖν μέθην; Ἀλλὰ τρυφῆς ἐρᾷς; Οὐκοῦν διὰ τοῦτο παῦσαι μεθύων. Καὶ γὰρ ἐγώ σε βούλομαι τρυφᾶν, ἀλλὰ τὴν ὄντως τρυφήν, τὴν οὐδέποτε μαραινομένην. Τίς οὖν ἡ ὄντως τρυφὴ καὶ διηνεκῶς ἀνθοῦσα; Κάλεσον ἐπ' ἄριστον τὸν Χριστόν, μετάδος αὐτῷ τῶν σῶν, μᾶλλον δὲ τῶν αὐτοῦ· τοῦτο τὴν ἡδονὴν ἀπέραντον ἔχει καὶ ἀκμάζουσαν διηνεκῶς. Ἀλλ' οὐ τὰ αἰσθητὰ τοιαῦτα, ἀλλ' ὁμοῦ τε ἐφάνη καὶ ἠφανίσθη, καὶ ὁ τρυφήσας οὐδὲν ἄμεινον διακείσεται τοῦ μὴ τρυφήσαντος, μᾶλλον δὲ καὶ χεῖρον. Ὁ μὲν γὰρ ὥσπερ ἐν λιμένι κάθηται, οὗτος δὲ χειμάρρουν τινὰ καὶ πολιορκίαν νοσημάτων δεξάμενος, οὐδὲ ἐνεγκεῖν τὴν ζάλην ταύτην δύναται. Ἵν' οὖν μὴ ταῦτα γίνηται, τὴν συμμετρίαν διώκωμεν. Οὕτω γὰρ καὶ τὸ σῶμα εὖ διακεισόμεθα, καὶ τὴν ψυχὴν ἐν ἀσφαλείᾳ καταστήσομεν, καὶ τῶν παρόντων καὶ τῶν μελλόντων ἀπαλλαγησόμεθα κακῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἀπαλλαγέντας, τῆς βασιλείας ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἄλλωστε, ἐνῷ δὲν θὰ ἤθελες νὰ συναντήσῃς μεθυσμένος κάποιον φίλον, τολμᾷς, εἰπέ μου, καθ' ἣν στιγμὴν ἔχεις μέσα σου τὸν Χριστόν, νὰ παραδοθῇς εἰς τόσην μέθην; Ἀλλ' ἀγαπᾷς τὴν ἀπόλαυσιν; Λοιπὸν δι' αὐτὸ παῦσε νὰ μεθύῃς. Διότι καὶ ἐγὼ θέλω ν' ἀπολαμβάνῃς, ἀλλὰ τὴν ἀληθινὴν ἀπόλαυσιν, ἡ ὁποία οὐδέποτε μαραίνεται. Ποία εἶναι λοιπὸν ἡ ἀληθινὴ ἀπόλαυσις ἡ ὁποία καὶ ἀνθεῖ αἰωνίως; Κάλεσε διὰ γεῦμα τὸν Χριστόν, δῶσε εἰς αὐτὸν ἀπὸ τὰ ἰδικά σου, μᾶλλον δὲ ἀπὸ τὰ ἰδικά του· αὐτὸ δίδει τὴν ἀπέραντον καὶ συνεχῶς ἀκμαίαν ἡδονήν. Ἐνῷ τὰ αἰσθητὰ δὲν εἶναι τέτοια, ἀλλὰ μόλις ἐμφανισθοῦν ἐξαφανίζονται, καὶ αὐτὸς ποὺ ἀπήλαυσε δὲν θὰ εἶναι καθόλου καλύτερα ἀπὸ αὐτὸν ποὺ δὲν ἀπήλαυσε, μᾶλλον δὲ καὶ χειρότερα θὰ εἶναι. Διότι, ὁ μὲν ἕνας ὡσὰν εἰς λιμένα κάθηται, ὁ δὲ ἄλλος, ἀφοῦ δεχθῇ κάποιον ὁρμητικὸν χείμαρρον καὶ πολιορκίαν ἀπὸ νόσους, οὔτε νὰ ὑποφέρῃ δύναται αὐτὴν τὴν ζάλην. Διὰ νὰ μὴ γίνουν λοιπὸν αὐτά, ἂς ἐπιδιώκωμεν τὸ μέτρον εἰς ὅλα. Διότι ἔτσι θὰ διατηρήσωμεν καὶ τὴν ὑγείαν τοῦ σώματος καὶ τὴν ψυχὴν θὰ ἔχωμεν εἰς ἀσφάλειαν, καὶ ἀπὸ τὰ παρόντα καὶ τὰ μέλλοντα κακὰ θ' ἀπαλλαγῶμεν, ἀπὸ τὰ ὁποῖα ἀφοῦ ἀπαλλαγῶμεν ὅλοι, εἴθε νὰ ἐπιτύχωμεν τὴν βασιλείαν, μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ ΚΗ΄
Α΄ Κορ. 11, 24-34

«Δοκιμαζέτω δὲ ἄνθρωπος ἑαυτόν, καὶ οὕτως ἐκ τοῦ ἄρτου ἐσθιέτω καὶ ἐκ τοῦ ποτηρίου πινέτω».

1. Τί βούλεται ταῦτα τὰ ῥήματα, ἑτέρας ὑποθέσεως τῆς προκειμένης οὔσης; Ἔθος τοῦτο τῷ Παύλῳ, ὥσπερ καὶ ἔμπροσθεν ἔφθην εἰπών, μὴ μόνον ἐκεῖνα ἐργάζεσθαι, ἅπερ ἐστὶν αὐτῷ προκείμενα, ἀλλὰ κἂν ἕτερος παρεμπέσῃ λόγος τῇ ὑποθέσει, καὶ τούτῳ μετὰ πολλῆς ἐπεξιέναι τῆς σπουδῆς, καὶ μάλιστα ὅταν περὶ σφόδρα ἀναγκαίων καὶ κατεπειγόντων ᾖ. Καὶ γὰρ ὅτε τοῖς γεγαμηκόσι διελέγετο, καὶ ὁ τῶν οἰκετῶν αὐτῷ παρενέπεσε λόγος, σφόδρα γενναίως καὶ διὰ πολλῶν αὐτὸν κατεσκεύασε· καὶ ὅτε περὶ τοῦ μὴ δεῖν κρίνεσθαι ἐν τοῖς δικαστηρίοις ἔλεγε, καὶ τότε εἰς τὴν περὶ πλεονεξίας ἐμπεσὼν νουθεσίαν, πολλὰ καὶ περὶ ταύτης διελέχθη τῆς ὑποθέσεως· ὃ δὴ καὶ ἐνταῦθα πεποίηκεν.

Ἐπειδὴ γὰρ ἅπαξ τῆς τῶν μυστηρίων ἐδεήθη μνήμης, ἀναγκαῖον εἶναι ἐνόμισεν ἐπεξελθεῖν τῇ ὑποθέσει· οὐδὲ γὰρ ἡ τυχοῦσα ἦν. Διὸ καὶ σφόδρα φοβερῶς περὶ αὐτῆς διελέχθη, τὸ κεφάλαιον τῶν ἀγαθῶν κατασκευάζων, τὸ μετὰ καθαροῦ προσιέναι συνειδότος αὐτοῖς. Ὅθεν οὔτε τοῖς ἔμπροσθεν εἰρημένοις ἠρκέσθη μόνον, ἀλλὰ καὶ ταῦτα προστίθησι λέγων· «Δοκιμαζέτω δὲ ἄνθρωπος ἑαυτόν»· ὃ καὶ ἐν τῇ δευτέρᾳ φησίν· «Ἑαυτοὺς πειράζετε, ἑαυτοὺς δοκιμάζετε»[1]· οὐ καθάπερ ἡμεῖς ποιοῦμεν νῦν, καιρῷ προσιόντες μᾶλλον, ἢ σπουδῇ

1. Β΄ Κορ. 13, 5.

ΛΟΓΟΣ ΚΗ΄
Α΄ Κορ. 11, 24-34

«῞Ας ἐξετάζῃ ὁ ἄνθρωπος τὸν ἑαυτόν του καὶ ἔτσι ἄς τρώγῃ ἀπὸ τὸν ἄρτον καὶ ἄς πίνῃ ἀπὸ τὸ ποτήριον».

1. Τί θέλουν νὰ εἰποῦν αὐτοὶ οἱ λόγοι, ἀφοῦ εἶναι ἄλλο τὸ θέμα ποὺ ἐξετάζομεν τώρα; Εἶναι σύνηθες αὐτὸ εἰς τὸν Παῦλον, ὅπως καὶ προηγουμένως εἶπον, νὰ μὴ ἐπεξεργάζεται μόνον ἐκεῖνα διὰ τὰ ὁποῖα κάμνει λόγον, ἀλλὰ καὶ ἄν παρεμπιπτόντως θιγῇ καὶ ἄλλο θέμα εἰς τὸν λόγον, ν' ἀναλύῃ καὶ αὐτὸ μὲ πολλὴν ἐπιμέλειαν, καὶ μάλιστα ὅταν πρόκειται διὰ πολὺ ἀναγκαῖα καὶ κατεπίγοντα πράγματα. Διότι καὶ ὅταν ὡμίλει διὰ τοὺς ἐγγάμους καὶ συνέπεσε νὰ θίξῃ εἰς τὸν λόγον τὸ θέμα τῶν ὑπηρετῶν, μὲ πολλὴν γενναιοψυχίαν καὶ μὲ πολλὰ ἐπιχειρήματα ἐπεξεργάσθη αὐτό· καὶ ὅταν ἔλεγε διὰ τὸ ὅτι δὲν πρέπει νὰ καταφεύγουν εἰς τὰ δικαστήρια διὰ νὰ κρίνωνται, καὶ τότε ἐπειδὴ συνέβη νὰ κάνῃ νουθεσίαν περὶ πλεονεξίας, πολλὰ εἶπε καὶ δι' αὐτὴν τὴν ὑπόθεσιν, πρᾶγμα βέβαια ποὺ ἔκανε καὶ ἐδῶ εἰς τὴν περίπτωσιν αὐτήν.

᾿Επειδὴ λοιπὸν ἐχρειάσθη μίαν φορὰν νὰ μνημονεύσῃ τὰ μυστήρια, ἐθεώρησεν ἀναγκαῖον ν' ἀναπτύξῃ λεπτομερῶς τὸ θέμα· διότι δὲν ἦτο τυχαῖον θέμα. Δι' αὐτὸ καὶ μὲ πάρα πολὺ φοβερὸν τρόπον ὡμίλησε δι' αὐτό, ἀποδεικνύων τὸ κορύφωμα τῶν ἀγαθῶν, δηλαδὴ τὸ νὰ προσέρχεται κανεὶς εἰς αὐτὰ μὲ καθαρὰν συνείδησιν. Δι' αὐτὸ δὲν ἠρκέσθη οὔτε εἰς ὅσα εἶπεν πρὶν μόνον, ἀλλὰ προσθέτει καὶ αὐτὰ μὲ τοὺς λόγους· «῞Ας ἐξετάζῃ ὁ ἄνθρωπος τὸν ἑαυτόν του», πρᾶγμα ποὺ λέγει καὶ εἰς τὴν δευτέραν ἐπιστολήν· «᾿Εξετάζετε τὸν ἑαυτόν σας, ἐὰν ἵστασθε εἰς τὴν πίστιν, δοκιμάζετε τὸν ἑαυτόν σας»[1]· ὄχι ὅπως πράττομεν ἐμεῖς τώρα, οἱ ὁποῖοι προσερχόμεθα μᾶλλον κατὰ τὸν καιρὸν τῶν ἑορτῶν, καὶ ὄχι μὲ ἐπιμελῆ ἐξέτασιν καὶ προετοι-

γνώμης. Οὐ γὰρ ὅπως παρεσκευασμένοι καὶ τὰ κακὰ ἑαυτῶν ἐκκαθάραντες, κατανύξεως πληρωθέντες προσέλθοιμεν σκοποῦμεν, ἀλλ' ὅπως ἐν ἑορταῖς, καὶ ἡνίκα ἂν ἅπαντες.

Ἀλλ' οὐχ οὕτως ὁ Παῦλος ἐκέλευσεν, ἀλλ' ἕνα καιρὸν οἶδε προσόδου καὶ κοινωνίας, τοῦ συνειδότος τὴν καθαρότητα. Εἰ γὰρ αἰσθητῆς οὐκ ἄν ποτε μεταλάβοιμεν τραπέζης πυρέττοντες καὶ χυμῶν γέμοντες πονηρῶν, ὥστε μὴ ἀπολέσθαι· πολλῷ μᾶλλον ταύτης ἅπτεσθαι ἡμῖν οὐ θέμις μετὰ ἐπιθυμιῶν ἀτόπων, αἳ πυρετῶν εἰσι χαλεπώτεραι. Ὅταν δὲ ἐπιθυμίας ἀτόπους εἴπω, καὶ τὰς τῶν σωμάτων λέγω, καὶ τὰς τῶν χρημάτων, καὶ τὰς τῆς ὀργῆς, καὶ τὰς τῆς μνησικακίας, καὶ πάσας ἁπλῶς τὰς ἀτόπους. Καὶ δεῖ τὸν προσιόντα, πάντα ἐξαντλήσαντα ταῦτα, οὕτω τῆς καθαρᾶς ἐκείνης ἅπτεσθαι θυσίας· καὶ μήτε ῥαθύμως διακείμενον καὶ ταλαιπώρως, ἀναγκάζεσθαι διὰ τὴν ἑορτὴν προσιέναι, μήτε αὖ κατανυγέντα καὶ παρεσκευασμένον, κωλύεσθαι διὰ τὸ μὴ εἶναι ἑορτήν. Ἑορτὴ γὰρ ἔργων ἀγαθῶν ἐστιν ἐπίδειξις, καὶ ψυχῆς εὐλάβεια, καὶ πολιτείας ἀκρίβεια· κἂν ταῦτα ἔχῃς, διαπαντὸς ἑορτάζειν δυνήσῃ, καὶ διαπαντὸς προσιέναι. Διὰ τοῦτό φησι, «Δοκιμαζέτω δὲ ἑαυτὸν ἕκαστος», καὶ τότε προσίτω. Καὶ οὐχ ἕτερον ἑτέρῳ κελεύει δοκιμάσαι, ἀλλ' αὐτὸν ἑαυτόν, ἀδημοσίευτον ποιῶν τὸ δικαστήριον, ἀμάρτυρον τὸν ἔλεγχον.

«Ὁ γὰρ ἐσθίων καὶ πίνων ἀναξίως τοῦ Κυρίου, κρίμα ἑαυτῷ ἐσθίει καὶ πίνει». Τί λέγεις, εἰπέ μοι; Ἡ τοσούτων ἀγαθῶν αἰτία, καὶ ζωὴν βρύουσα τράπεζα, αὕτη κρίμα γίνεται; Οὐ παρὰ τὴν αὐτῆς φύσιν, φησίν, ἀλλὰ παρὰ τὴν τοῦ προσιόντος προαίρεσιν. Ὥσπερ γὰρ ἡ παρουσία αὐτοῦ, ἡ τὰ μεγάλα ἐκεῖνα καὶ ἀπόρρητα κομίσασα ἡμῖν ἀγαθά, τοὺς μὴ δεξαμένους αὐτὴν μᾶλλον κατέκρινεν· οὕτω καὶ τὰ

μασίαν. Διότι δὲν ἐπιδιώκομεν νὰ προσέλθωμεν ἀφοῦ προετοιμασθῶμεν καὶ καθαρίσωμεν τὰ κακὰ ἀπὸ τοὺς ἑαυτούς μας καὶ ἀφοῦ γεμίσωμεν ἀπὸ κατάνυξιν, ἀλλ' ὅταν εἶναι ἑορτὴ καὶ ὅποτε προσέρχονται ὅλοι.

Ὁ Παῦλος ὅμως δὲν παρήγγειλεν αὐτό, ἀλλ' ἕνα καιρὸν γνωρίζει κατάλληλον διὰ νὰ προσέλθῃ καὶ νὰ κοινωνήσῃ κανείς, ὅταν ἔχῃ καθαρὰν συνείδησιν. Διότι, ἐὰν ὅταν ἔχωμεν πυρεττὸν καὶ εἴμεθα γεμᾶτοι ἀπὸ χυμοὺς νοσηροὺς δὲν τρώγωμεν ὑλικὴν τροφὴν διὰ νὰ μὴ ἀποθάνωμεν, πολὺ περισσότερον δὲν εἶναι ἐπιτρεπτὸν νὰ ἐγγίζωμεν τὴν θείαν κοινωνίαν ἐνῷ εἴμεθα κυριευμένοι ἀπὸ ἐμπαθεῖς ἐπιθυμίας, αἱ ὁποῖαι εἶναι χειρότεραι ἀπὸ τοὺς πυρετούς. Ὅταν δὲ λέγω ἐμπαθεῖς ἐπιθυμίας, ἐννοῶ καὶ τὰς ἐπιθυμίας τῶν σωμάτων καὶ τὰς τῶν χρημάτων καὶ τὰς τοῦ θυμοῦ καὶ τὰς τῆς μνησικακίας, καὶ ὅλας γενικῶς τὰς ἐμπαθεῖς. Καὶ πρέπει αὐτὸς ποὺ προσέρχεται, ἀφοῦ ἐκβάλῃ ὅλα αὐτά, ἔτσι νὰ ἐγγίζῃ τὴν καθαρὰν ἐκείνην θυσίαν· καὶ οὔτε, ἐνῷ εὑρίσκεται εἰς ἀθλίαν κατάστασιν καὶ φιληδονίαν, ν' ἀναγκάζεται νὰ προσέλθῃ λόγῳ τῆς ἑορτῆς, οὔτε πάλιν, ἐνῷ ἔχει κατανυχθῆ καὶ προετοιμασθῆ, νὰ ἐμποδίζεται διὰ τὸ ὅτι δὲν εἶναι ἑορτή. Διότι ἑορτὴ εἶναι ἐπίδειξις ἔργων ἀγαθῶν καὶ εὐλάβεια ψυχῆς καὶ ἀκρίβεια εἰς τὸν ὀρθὸν τρόπον ζωῆς· καὶ ἐὰν ἔχῃς αὐτά, θὰ ἠμπορῇς νὰ ἑορτάζῃς συνεχῶς καὶ διαρκῶς νὰ προσέρχεσαι. Δι' αὐτὸ λέγει, «Ἂς ἐξετάζῃ ὁ καθεὶς τὸν ἑαυτόν του», καὶ τότε νὰ προσέρχεται. Καὶ δὲν λέγει νὰ ἐξετάζῃ ὁ ἕνας τὸν ἄλλον, ἀλλ' ὁ καθεὶς τὸν ἑαυτόν του, διὰ νὰ κάμνῃ τὴν κρίσιν κατ' ἰδίαν, καὶ τὸν ἔλεγχον ὄχι ἐνώπιον μαρτύρων.

«Διότι ἐκεῖνος ποὺ τρώγει καὶ πίνει κατὰ τρόπον ἀνάξιον, τρώγει καὶ πίνει τὴν καταδίκην τοῦ ἑαυτοῦ του». Εἰπέ μου, τί λέγεις; Ἡ τράπεζα ποὺ εἶναι αἰτία τόσων ἀγαθῶν καὶ ἀναβλύζει ζωήν, αὐτὴ γίνεται καταδίκη; Ὄχι ἀπὸ τὴν φύσιν της, λέγει· ἀλλ' ἀπὸ τὴν προαίρεσιν τοῦ προσερχομένου. Ὅπως ἀκριβῶς δηλαδὴ ἡ παρουσία τοῦ Κυρίου, ἡ ὁποία ἔφερεν ἐκεῖνα τὰ μεγάλα καὶ μυστικὰ ἀγαθά, ἐκείνους ποὺ δὲν ἐδέχθησαν αὐτὴν μὲ πίστιν τοὺς κατεδί-

μυστήρια μείζονος ἐφόδια κολάσεως γίνεται τοῖς ἀναξίως μετέχουσι. Διὰ τί δὲ κρίμα ἑαυτῷ ἐσθίει; Μὴ διακρίνων τὸ σῶμα τοῦ Κυρίου»· τουτέστι, μὴ ἐξετάζων, μὴ ἐννοῶν, ὡς χρή, τὸ μέγεθος τῶν προκειμένων, μὴ λογιζόμενος τὸν ὄγκον τῆς δωρεᾶς. Εἰ γὰρ μάθοις ἀκριβῶς τίς ποτέ ἐστιν ὁ προκείμενος, καὶ τίς ὢν τίνι ἑαυτὸν δίδωσιν, οὐδενὸς ἑτέρου δεήσῃ λόγου, ἀλλ' ἀρκεῖ σοι τοῦτο εἰς ἅπασαν νῆψιν, εἰ μὴ σφόδρα εἴης ἀναπεπτωκώς.

2. «Διὰ τοῦτο ἐν ὑμῖν πολλοὶ ἀσθενεῖς καὶ ἄρρωστοι, καὶ κοιμῶνται ἱκανοί». Ἐνταῦθα λοιπὸν οὐκέτι ἀπὸ ἑτέρων τὰ παραδείγματα φέρει, ὥσπερ ἐπὶ τῶν εἰδωλοθύτων ἐποίησε, τὰς παλαιὰς διηγούμενος ἱστορίας καὶ τὰς ἐν τῇ ἐρήμῳ πληγάς, ἀλλ' ἀπ' αὐτῶν τῶν Κορινθίων, ὅπερ καὶ πληκτικώτερον ἐποίει τὸν λόγον. Ἐπειδὴ γὰρ ἔλεγε, «κρίμα ἑαυτῷ ἐσθίει» καί, «ἔνοχός ἐστιν», ἵνα μὴ δοκῇ ῥήματα λέγειν, καὶ ἔργα δείκνυσι, καὶ μάρτυρας αὐτοὺς καλεῖ, ὅπερ μᾶλλον τοῦ ἀπειλῆσαι καθικνεῖται, τῷ δεῖξαι εἰς ἔργον τὴν ἀπειλὴν ἐξελθοῦσαν. Οὐ μὴν τούτοις ἠρκέσθη μόνοις, ἀλλ' ἀπὸ τούτων καὶ τὸν περὶ τῆς γεέννης εἰσήγαγε καὶ ἐπιστώσατο λόγον, ἀμφοτέρωθεν φοβῶν, καὶ ζήτημα πανταχοῦ περιφερόμενον λύων. Ἐπειδὴ γὰρ πολλοὶ πρὸς ἀλλήλους ἀποροῦσι, πόθεν οἱ ἄωροι θάνατοι, πόθεν αἱ μακραὶ νόσοι, λέγει ὅτι ἐξ ἁμαρτημάτων πολλὰ τούτων τῶν ἀδοκήτων τὴν ὑπόθεσιν ἔχει.

Τί οὖν; οἱ ὑγιαίνοντες, φησί, διηνεκῶς, καὶ εἰς γῆρας ἐρχόμενοι λιπαρόν, οὐχ ἁμαρτάνουσι; Καὶ τίς ἂν τοῦτο εἴποι; Πῶς οὖν, φησίν, οὐ διδόασι δίκην; Ὅτι ἐκεῖ δώσουσι χαλεπωτέραν. Ἡμεῖς δέ, εἰ ἐβουλόμεθα, οὐδ' ἂν ἐνταῦθα, οὐδ'

κασεν περισσότερον, ἔτσι καὶ τὰ μυστήρια γίνονται ἐφόδια διὰ φοβερώτερον κολασμὸν εἰς ὅσους μετέχουν ἀναξίως. Διατί δὲ τρώγει τὴν καταδίκην τοῦ ἑαυτοῦ του; «Ἐπειδὴ δὲν διακρίνει τὸ σῶμα τοῦ Κυρίου»· δηλαδή, δὲν ἐξετάζει, δὲν ἀντιλαμβάνεται ὅπως πρέπει τὴν ἀξίαν τῶν ὅσων προσφέρονται, καθ' ὅσον δὲν συλλογίζεται τὸ μέγεθος τῆς δωρεᾶς. Διότι ἐὰν γνωρίσῃς ποῖος ἀκριβῶς εἶναι ὁ προσφερόμενος καὶ εἰς ποῖον δίδει τὸν ἑαυτόν του παρ' ὅ,τι εἶναι αὐτὸς ποὺ εἶναι, δὲν θὰ χρειασθῇ κανένα ἄλλον λόγον, ἀλλὰ σοῦ εἶναι ἀρκετὸν αὐτὸ διὰ νὰ εἶσαι πνευματικῶς ἄγρυπνος, ἐὰν δὲν εὑρίσκεσαι εἰς ἀνεπανόρθωτον πτῶσιν.

2. «Δι' αὐτὸ μεταξύ σας ὑπάρχουν πολλοὶ ἀδύνατοι καὶ ἄρρωστοι καὶ ἀρκετοὶ ἔχουν ἀποθάνει». Ἐδῶ λοιπὸν δὲν ἀντλεῖ τὰ παραδείγματα ἀπὸ ἀλλοῦ, ὅπως ἔκανε μὲ τὰ εἰδωλόθυτα, ὅπου διηγεῖτο περιστατικὰ ἀπὸ τὴν παλαιὰν Διαθήκην καὶ τὰς τιμωρίας εἰς τὴν ἔρημον, ἀλλ' ἀπὸ αὐτοὺς τοὺς ἰδίους τοὺς Κορινθίους, πρᾶγμα ποὺ ἔκαμε τὸν λόγον νὰ κτυπᾷ καὶ περισσότερον. Διότι, ἐπειδὴ ἔλεγε, «τρώγει τὴν καταδίκην του» καὶ «εἶναι ἔνοχος», διὰ νὰ μὴ νομισθῇ ὅτι λέγει κενοὺς λόγους, δεικνύει καὶ ἔργα, καὶ καλεῖ μάρτυρας αὐτούς, πρᾶγμα ποὺ προσβάλλει περισσότερον ἀπὸ τοῦ ν' ἀπειλήσῃ, μὲ τὸ νὰ δείξῃ ὅτι ἡ ἀπειλὴ ἔχει πραγματοποιηθῆ. Δὲν ἠρκέσθη ὅμως εἰς αὐτὰ μόνον, ἀλλ' ἀπὸ αὐτὰ ἔλαβεν ἀφορμὴν διὰ νὰ ὁμιλήσῃ καὶ νὰ βεβαιώσῃ διὰ τὴν κόλασιν, καὶ φοβίζει ἔτσι καὶ ἀπὸ τὰς δύο πλευράς, καὶ λύει πρόβλημα ποὺ ἐγίνετο ζήτημα παντοῦ. Ἐπειδὴ δηλαδὴ πολλοὶ ἀποροῦν μεταξύ των, εἰς τί ὀφείλονται οἱ πρόωροι θάνατοι, αἱ μακροχρόνιοι ἀσθένειαι, λέγει ὅτι πολλὰ ἀπὸ αὐτὰ τὰ ἀπροσδόκητα προέρχονται ἀπὸ τὰς ἁμαρτίας.

Τί λοιπόν; Αὐτοὶ ποὺ ὑγιαίνουν συνεχῶς, θὰ εἴπῃ κάποιος, καὶ φθάνουν εὐτυχεῖς εἰς τὰ γηρατεῖα, δὲν ἔχουν ἁμαρτίας; Καὶ ποῖος θὰ ἠμποροῦσε νὰ τὸ εἴπῃ αὐτό; Πῶς λοιπόν, θὰ εἴπῃ πάλιν, δὲν καταδικάζονται; Διότι ἐκεῖ θὰ καταδικασθοῦν πολὺ σκληρότερον. Ἐμεῖς ὅμως, ἐὰν θέλωμεν, ἠμποροῦμεν νὰ μὴ καταδικασθῶμεν οὔτε ἐδῶ, οὔτε

ἐκεῖσε ἐδώκαμεν. «Εἰ γὰρ ἑαυτοὺς ἐκρίνομεν», φησίν, «οὐκ ἂν ἐκρινόμεθα». Καὶ οὐκ εἶπεν, εἰ ἐκολάζομεν ἑαυτούς, εἰ ἐτιμωρούμεθα, ἀλλ' εἰ μόνον ἐπιγνῶναι τὰ ἁμαρτήματα ἐβουλήθημεν, εἰ καταδικάσαι ἑαυτούς, εἰ καταγνῶναι τῶν πεπλημμελημένων, ἀπηλλάγημεν ἂν καὶ τῆς ἐνταῦθα καὶ τῆς ἐκεῖσε τιμωρίας. Ὁ γὰρ καταγνοὺς ἑαυτοῦ, διπλῇ τὸν Θεὸν ἐξιλεοῦται, καὶ τῷ ἐπιγνῶναι τὰ ἁμαρτήματα, καὶ τῷ πρὸς τὸ μέλλον ὀκνηρότερος γίνεσθαι. Ἐπειδὴ δὲ οὐδὲ τοῦτο τὸ κοῦφον βουλόμεθα ποιεῖν, ὡς χρὴ ποιεῖν, οὐδὲ οὕτως ἡμᾶς μετὰ τῆς οἰκουμένης κολάζειν ἀνέχεται, ἀλλὰ καὶ οὕτω φείδεται, ἐνταῦθα δίκην ἀπαιτῶν, οὗ πρόσκαιρος ἡ τιμωρία, καὶ πολλὴ ἡ παραμυθία, καὶ ἁμαρτημάτων ἀπαλλαγὴ τὸ γινόμενον, καὶ χρηστὴ τῶν μελλόντων ἐλπὶς κουφίζουσα τὰ παρόντα.

Ταῦτα δὲ λέγει, ὁμοῦ μὲν παραμυθούμενος τοὺς ἀρρώστους, ὁμοῦ δὲ τοὺς ἄλλους σπουδαιοτέρους ποιῶν. Διό φησι· «Νυνὶ δὲ κρινόμενοι, ὑπὸ Κυρίου παιδευόμεθα». Οὐκ εἶπε, κολαζόμεθα, οὐκ εἶπε, τιμωρούμεθα, ἀλλά, «παιδευόμεθα». Νουθεσίας γὰρ μᾶλλόν ἐστιν ἢ καταδίκης τὸ γινόμενον, ἰατρείας ἢ τιμωρίας, διορθώσεως ἢ κολάσεως. Οὐ ταύτῃ δὲ μόνον, ἀλλὰ καὶ τῇ ἀπειλῇ τοῦ μείζονος κοῦφον ποιεῖ τὸ παρόν, λέγων· «Ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν». Εἶδες πῶς καὶ τὴν γέενναν ἐπέστησε, καὶ τὸ φρικτὸν ἐκεῖνο δικαστήριον, καὶ ἀναγκαίαν ἔδειξε καὶ πάντως ἐσομένην τὴν ἐξέτασιν ἐκείνην καὶ τὴν τιμωρίαν; Εἰ γὰρ οἱ πιστοὶ καὶ τῷ Θεῷ περισπούδαστοι οὐκ ἀτιμωρητὶ διαφεύγουσιν ἐν οἷς ἂν πλημμελήσωσι, καὶ δῆλον ἐκ τῶν παρόντων, πολλῷ μᾶλλον οἱ ἄπιστοι καὶ οἱ τὰ ἀνήκεστα καὶ ἀνίατα ἁμαρτά-

ἐκεῖ. Διότι, «ἐὰν ἐκρίναμεν τοὺς ἑαυτούς μας ὅπως πρέπει», λέγει, «δὲν θὰ ἐκρινόμεθα». Καὶ δὲν εἶπεν, ἐὰν ἐκολάζομεν τοὺς ἑαυτούς μας, ἐὰν ἐτιμωρούμεθα, ἀλλ' ἐὰν ἠθέλαμεν μόνον νὰ ἔχωμεν ἐπίγνωσιν τῶν ἁμαρτημάτων, νὰ κατεδικάζομεν τὸν ἑαυτόν μας, ἐὰν κατεκρίναμεν τὰ πλημμελήματα, θ' ἀπηλλασσόμεθα καὶ ἀπὸ τὴν ἐδῶ καὶ ἀπὸ τὴν ἐκεῖ τιμωρίαν. Διότι αὐτὸς ποὺ κατακρίνει τὸν ἑαυτόν του μὲ διπλοῦν τρόπον ἐξιλεώνει τὸν Θεόν, καὶ μὲ τὸ ὅτι ἀπέκτησεν ἐπίγνωσιν τῶν ἁμαρτημάτων καὶ μὲ τὸ ὅτι γίνεται περισσότερον δυσκίνητος πρὸς τὴν ἁμαρτίαν εἰς τὸ μέλλον. Ἐπειδὴ ὅμως οὔτε αὐτὸ τὸ ἀσήμαντον θέλομεν νὰ πράττωμεν, ὅπως πρέπει νὰ τὸ πράττωμεν, οὔτε ἔτσι ἀνέχεται ὁ Θεὸς νὰ μᾶς κολάζῃ μαζὶ μὲ τοὺς ἀπίστους, ἀλλὰ καὶ ἔτσι μᾶς λυπεῖται καὶ μᾶς καταδικάζει εἰς τὴν παροῦσαν ζωήν, ὅπου εἶναι πρόσκαιρος ἡ τιμωρία καὶ πολλὴ ἡ παρηγορία, καὶ αὐτὸ εἶναι ἀπαλλαγὴ ἀπὸ τὰ ἁμαρτήματα καὶ σωτηρία ἐλπὶς διὰ τὰ μέλλοντα ποὺ ἀνακουφίζει τὰς δοκιμασίας αὐτῆς τῆς ζωῆς.

Λέγει δὲ αὐτὰ διὰ νὰ παρηγορήσῃ τοὺς ἀρρώστους καὶ συγχρόνως νὰ κάνῃ τοὺς ἄλλους ν' ἀγωνισθοῦν μὲ περισσότερον ζῆλον. Δι' αὐτὸ λέγει· «Τώρα ὅμως ὅταν κρινώμεθα ὑπὸ τοῦ Κυρίου, παιδαγωγούμεθα». Δὲν εἶπε, κολαζόμεθα, οὔτε, τιμωρούμεθα, ἀλλά, «παιδαγωγούμεθα». Διότι αὐτὸ ποὺ γίνεται, γίνεται διὰ νὰ νουθετήσῃ μᾶλλον, παρὰ διὰ νὰ καταδικάσῃ, διὰ νὰ ἰατρεύσῃ παρὰ διὰ νὰ τιμωρήσῃ, διὰ νὰ διορθώσῃ παρὰ διὰ νὰ κολάσῃ. Ὄχι μόνον ἀπὸ αὐτὸ δέ, ἀλλὰ καὶ μὲ τὴν ἀπειλὴν τοῦ χειροτέρου κάμνει ἐλαφρὸν τὸ παρόν, μὲ τοὺς λόγους· «Διὰ νὰ μὴ κατακριθῶμεν μαζὶ μὲ τὸν κόσμον». Εἶδες πῶς καὶ παρέστησε τὴν γέενναν καὶ τὸ φρικτὸν ἐκεῖνο δικαστήριον καὶ ἔδειξεν ὅτι εἶναι ἀναγκαία καὶ ὅτι ὁπωσδήποτε θὰ γίνῃ ἐκείνη ἡ ἐξέτασις καὶ ἡ τιμωρία; Διότι, ἐὰν οἱ πιστοὶ καὶ ἐπιθυμοῦντες μὲ πολλὴν σπουδὴν ν' ἀπολαύσουν τὸν Θεὸν δὲν διαφεύγουν τὴν κόλασιν χωρὶς τιμωρίαν διὰ τὰ πλημμελήματά των, καὶ αὐτὸ εἶναι φανερὸν ἀπὸ τὴν παροῦσαν ζωήν, πολὺ περισσότερον οἱ ἄπιστοι καὶ ὅσοι ἔπραξαν θανάσιμα καὶ

νοντες.

3. «Ὥστε συνερχόμενοι εἰς τὸ φαγεῖν, ἀλλήλους ἐκδέχεσθε». Ἔτι γὰρ ἀκμάζοντος αὐτοῖς τοῦ φόβου, καὶ τοῦ τρόμου μένοντος τοῦ τῆς γεέννης, βούλεται πάλιν καὶ ὑπὲρ τῶν πενήτων εἰσαγαγεῖν παραίνεσιν, δι' ἣν ἅπαντα ταῦτα εἴρηκε, δεικνὺς ὅτι τοῦτο μὴ ποιοῦντας ἀναξίως ἐστὶ μεταλαμβάνειν. Εἰ δὲ τὸ μὴ μεταδοῦναι τῶν ὄντων εἴργει τῆς τραπέζης ἐκείνης, πολλῷ μᾶλλον τὸ ἁρπάζειν. Καὶ οὐκ εἶπεν, ὥστε συνερχόμενοι μετάδοτε τοῖς δεομένοις, ἀλλ' ὃ σεμνότερον ἦν, «ἀλλήλους ἐκδέχεσθε». Τοῦτο γὰρ καὶ ἐκεῖνο κατεσκεύαζε καὶ ἠνίττετο, καὶ μετὰ τοῦ πρέποντος σχήματος τὴν παραίνεσιν εἰσήγαγεν.

Εἶτα λοιπὸν ἐντρεπτικῶς· «Εἰ δέ τις πεινᾷ, ἐν οἴκῳ ἐσθιέτω». Ἐπιτρέψας ἐκώλυσε, καὶ σφοδρότερον ἢ εἰ ἀπηγόρευσε. Τῆς γὰρ ἐκκλησίας αὐτὸν ἐξήγαγε, καὶ εἰς τὴν οἰκίαν παρέπεμψε, ταύτῃ καθαπτόμενος σφοδρῶς, καὶ κωμῳδῶν αὐτοὺς ὡς δούλους γαστρὸς καὶ ἀκαρτερήτους. Οὐδὲ γὰρ εἶπεν, εἴ τις ὑπερορᾷ τῶν πενήτων, ἀλλ', «εἴ τις πεινᾷ», ὡς πρὸς παιδία δυσανασχετοῦντα διαλεγόμενος, ὡς πρὸς ἄλογα γαστρὶ δουλεύοντα. Καὶ γὰρ πολὺς ὁ γέλως, εἰ διὰ τὸ πεινῆν ἔμελλον οἴκοι ἐσθίειν. Ἀλλ' οὐκ ἠρκέσθη τούτῳ, ἀλλὰ καὶ ἐπήγαγεν ἕτερον φοβερώτερον, λέγων· «Ἵνα μὴ εἰς κρίμα συνέρχεσθε»· ἵνα μὴ εἰς κόλασιν, ἵνα μὴ εἰς τιμωρίαν, τὴν ἐκκλησίαν ὑβρίζοντες, τὸν ἀδελφὸν καταισχύνοντες. Καὶ γὰρ διὰ τοῦτο συνέρχεσθε, φησίν, ἵνα στέργητε ἀλλήλους, ἵνα ὠφελῆσθε, ἵνα ὠφελῆτε· εἰ δὲ τοὐναντίον γίνεται, βέλτιον ὑμᾶς οἴκοι σιτεῖσθαι. Τοῦτο δὲ ἔλεγεν, ἵνα ἐφελκύσηται πλέον. Διὰ γὰρ τοῦτο καὶ τὸ βλάβος ἔδειξε τὸ ἐντεῦθεν, καὶ κρίμα ἔφησεν εἶναι οὐ μικρόν, καὶ πανταχόθεν ἐφόβησεν,

ἀνίατα ἁμαρτήματα.

3. «Ὥστε ὅταν συγκεντρώνεσθε διὰ νὰ φάγετε, περιμένετε ὁ ἕνας τὸν ἄλλον». Ἐνῷ λοιπὸν ὁ φόβος των εὑρίσκεται ἀκόμη εἰς τὴν ἀκμήν του καὶ παραμένει ὁ τρόμος διὰ τὴν γέενναν, θέλει πάλιν νὰ κάνῃ παραίνεσιν ὑπὲρ τῶν πτωχῶν, ἐξ αἰτίας τῆς ὁποίας εἶπεν ὅλα αὐτά, δεικνύων ὅτι ἐὰν δὲν κάμνουν αὐτό εἶναι ἀνάξιοι νὰ μεταλαμβάνουν. Ἐὰν δὲ τὸ νὰ μὴ δίδῃ κανεὶς ἀπὸ τὰ ὑπάρχοντά του τὸν ἀποκλείῃ ἀπὸ τὴν τράπεζαν ἐκείνην, πολὺ περισσότερον τὸ ν' ἁρπάσσῃ ἐπὶ πλέον. Καὶ δὲν εἶπεν, ὥστε ἀφοῦ συνέρχεσθε νὰ δίδετε εἰς ὅσους ἔχουν ἀνάγκην, ἀλλά, πρᾶγμα ποὺ ἦτο τιμητικώτερον διὰ τοὺς πτωχούς, «περιμένετε ὁ εἷς τὸν ἄλλον». Διότι αὐτὸ καὶ προητοίμαζε καὶ ὑπηνίσσετο ἐκεῖνο, καὶ μὲ εὐπρεπῆ μορφὴν ἔκανε τὴν παραίνεσιν.

Εἰς τὴν συνέχειαν πλέον ὁμιλεῖ μὲ τρόπον ποὺ προκαλεῖ ἐντροπήν· «Καὶ ἐὰν κανεὶς πεινᾷ, ἂς τρώγῃ εἰς τὴν οἰκίαν του». Ἐνῷ ἐπέτρεψεν, ἠμπόδισε, καὶ περισσότερον ἐντόνως ἀπὸ ὅσον ἐὰν εἶχεν ἀπαγορεύσει. Διότι ἐξέβαλεν αὐτὸν ἀπὸ τὴν ἐκκλησίαν καὶ τὸν ἀπέστειλεν εἰς τὴν οἰκίαν, κατηγορῶν μὲ αὐτὸ ἐντόνως, καὶ διακωμῳδῶν αὐτοὺς ὡς δούλους τῆς κοιλίας καὶ ἀκρατεῖς. Διότι δὲν εἶπεν, ἐὰν κάποιος παραβλέπῃ τοὺς πτωχούς, ἀλλά, «ἐὰν κάποιος «πεινᾷ», ὡσὰν ν' ἀπηυθύνετο πρὸς παιδιά, ποὺ δὲν ὑπομένουν, πρὸς ἄλογα ζῶα, ποὺ εἶναι δοῦλα εἰς τὴν κοιλίαν. Διότι ἦτο ἄξιον πολλοῦ γέλωτος τὸ νὰ τρώγουν εἰς τὴν οἰκίαν διὰ τὸ ὅτι ἐπείνων. Δὲν ἠρκέσθη ὅμως εἰς αὐτό, ἀλλὰ προσέθεσε καὶ ἄλλο φοβερώτερον μὲ τοὺς λόγους· «διὰ νὰ μὴ καταλήξῃ ἡ συγκέντρωσίς σας εἰς καταδίκην»· νὰ μὴ καταλήξῃ εἰς κόλασιν, εἰς τιμωρίαν, διὰ τὸ ὅτι προσβάλλετε τὴν ἐκκλησίαν καὶ κατεντροπιάζετε τὸν ἀδελφόν. Διότι δι' αὐτὸ συγκεντρώνεσθε, λέγει, διὰ ν' ἀγαπᾶσθε μεταξύ σας, διὰ νὰ ὠφελῆσθε, διὰ νὰ ὠφελῆτε· ἐὰν ὅμως γίνεται τὸ ἀντίθετον, εἶναι καλύτερον νὰ τρώγετε εἰς τὴν οἰκίαν. Ἔλεγεν δὲ αὐτὸ διὰ νὰ τοὺς προσελκύσῃ περισσότερον. Διότι δι' αὐτὸ καὶ ἔδειξε τὴν βλάβην ποὺ προέρχεται ἀπὸ αὐτὸ καὶ εἶπεν ὅτι εἶναι ἁμαρτία ὄχι μικρὰ καὶ ἐφό-

ἀπὸ τῶν μυστηρίων, ἀπὸ τῶν ἀρρώστων, ἀπὸ τῶν τετελευτηκότων, ἀπὸ τῶν ἄλλων τῶν ἔμπροσθεν εἰρημένων.

Εἶτα καὶ ἑτέρως πάλιν φοβεῖ, λέγων· «Τὰ δὲ λοιπά, ὡς ἂν ἔλθω, διατάξομαι»· ἢ εἰς ἕτερά τινα, ἢ εἰς αὐτὸ τοῦτο. Ἐπειδὴ γὰρ εἰκὸς ἦν αὐτοὺς καὶ αἰτίας λέγειν τινάς, καὶ οὐκ ἐνῆν πάντα διὰ γραμμάτων κατορθοῦν, ἃ μὲν παρήνεσα, φυλαττέσθω τέως, φησίν· εἰ δέ τι ἕτερον ἔχοιτε λέγειν, ἐκεῖνο τῇ παρουσίᾳ τηρείσθω τῇ ἐμῇ· ἢ περὶ τούτου τοῦ πράγματος λέγων, ὡς ἔφην, ἢ περὶ ἑτέρων τινῶν οὐ σφόδρα κατεπειγόντων. Ποιεῖ δὲ τοῦτο, ἵνα κἀντεῦθεν σπουδαιοτέρους ἐργάσηται· μεριμνῶντες γὰρ αὐτοῦ τὴν παρουσίαν, ἔμελλον διορθοῦν τὸ ἡμαρτημένον. Οὐδὲ γὰρ τὸ τυχὸν ἦν ἡ Παύλου ἐπιδημία· καὶ τοῦτο δεικνὺς ἔλεγεν, «Ὡς μὴ ἐρχομένου δέ μου πρὸς ὑμᾶς, ἐφυσιώθησάν τινες»· καὶ ἀλλαχοῦ πάλιν, «Μὴ ὡς ἐν τῇ παρουσίᾳ μου μόνον, ἀλλὰ πολλῷ μᾶλλον ἐν τῇ ἀπουσίᾳ μου, μετὰ φόβου καὶ τρόμου τὴν ἑαυτῶν σωτηρίαν κατεργάζεσθε». Διὰ τοῦτο οὐδὲ ἁπλῶς ἐπηγγείλατο ἥξειν, ἵνα μὴ ἀπιστήσωσι καὶ ῥαθυμότεροι γένωνται, ἀλλὰ καὶ αἰτίαν τίθησι τῇ ἐπιδημίᾳ ἀναγκαίαν, λέγων, ὅτι «Τὰ λοιπά, ὡς ἂν ἔλθω, διατάξομαι»· δεικνὺς ὅτι ἡ τῶν λειπόντων διόρθωσις, εἰ καὶ μὴ ἐσπουδάκει πάντως, αὐτὸν εἷλκεν ἐκεῖσε.

4. Ταῦτα τοίνυν ἀκούοντες ἅπαντα, καὶ τῶν πενήτων πολλὴν ποιώμεθα σπουδήν, καὶ γαστρὸς κατέχωμεν, καὶ μέθης ἀπαλαττώμεθα, καὶ μυστηρίων ἀξίως σπουδάζωμεν μεταλαμβάνειν, καὶ ἐφ' οἷς ἂν πάθωμεν, μὴ ἀλγῶμεν, μήτε ἐφ' ἑαυτοῖς, μήτε ἐφ' ἑτέροις· οἷον ὅταν ἄωροι γίνωνται θάνατοι, ὅταν ἀρρωστίαι μακραί. Τοῦτο γὰρ ἀπαλλαγὴ κο-

2. Φιλιπ. 2, 12.

βισεν ἀπὸ κάθε πλευράν, ἀπὸ τὰ μυστήρια, ἀπὸ τοὺς ἀρρώστους, ἀπὸ αὐτοὺς ποὺ ἀπέθανον, ἀπὸ τὰ ἄλλα ποὺ ἐλέχθησαν εἰς τὴν ἀρχήν.

Ὕστερον καὶ μὲ ἄλλον τρόπον πάλιν φοβίζει μὲ τοὺς λόγους· «Τὰ ὑπόλοιπα δὲ θὰ τὰ κανονίσω ὅταν ἔλθω»· εἴτε ἄλλα θέματα, εἴτε αὐτὸ τὸ ἴδιον. Ἐπειδὴ δηλαδὴ ἦτο φυσικὸν αὐτοὶ ν' ἀνέφερον καὶ ἄλλας καταγγελίας καὶ δὲν ἦτο δυνατὸν ν' ἀπαντήσῃ εἰς ὅλα μὲ ἐπιστολάς, αὐτὰ μὲν ποὺ σᾶς παρήγγειλα ἄς τηροῦνται ἕως τότε, λέγει· ἐὰν δὲ ἔχετε νὰ εἰπῆτε κάτι ἄλλο, ἐκεῖνο ἄς κρατηθῇ ἕως ὅτου ἔλθω· ὁμιλῶν, ὅπως εἶπον, ἢ δι' αὐτὴν τὴν ὑπόθεσιν ἢ δι' ἄλλα μερικὰ ποὺ δὲν ἦσαν πολὺ ἐπείγοντα. Κάμνει δὲ αὐτὸ διὰ νὰ καταστήσῃ αὐτοὺς περισσότερον ἐπιμελεῖς· διότι καθὼς θὰ ἐσκέπτοντο τὴν παρουσίαν του ἐκεῖ, θὰ προσεπάθουν καὶ θὰ διώρθονον τὴν ἁμαρτίαν. Διότι δὲν ἦτο κάτι τυχαῖον ἡ ἐπίσκεψις τοῦ Παύλου· καὶ ἐδείκνυεν αὐτὸ ὅταν ἔλεγεν, «Μερικοὶ ὅμως ὑπερηφανεύθησαν ὡσὰν νὰ μὴν ἐπρόκειτο νὰ ἔλθω εἰς ἐσᾶς»· καὶ ἀλλοῦ πάλιν, «Ὄχι μόνον ἐπειδὴ ἤμουν παρών, ἀλλὰ καὶ τώρα πολὺ περισσότερον ποὺ εἶμαι ἀπών, μὲ φόβον καὶ τρόμον νὰ κατεργάζεσθε τὴν σωτηρίαν σας»[2]. Δι' αὐτὸ δὲν ἀνήγγειλεν ἁπλῶς ὅτι θὰ ὑπάγῃ, διὰ νὰ μὴ ἀπιστήσουν εἰς αὐτὸ καὶ γίνουν περισσότερον ῥάθυμοι, ἀλλὰ καὶ ἐκθέτει λόγον ποὺ τὸν ἀναγκάζει νὰ τοὺς ἐπισκεφθῇ, μὲ τοὺς λόγους, «Τὰ δὲ ὑπόλοιπα θὰ τὰ κανονίσω ὅταν ἔλθω»· διὰ νὰ δείξῃ ὅτι ἡ διόρθωσις τῶν ὑπολοίπων, καὶ ἂν ἀκόμη δὲν τὸν ἔκαμνε νὰ θέλῃ μὲ βιασύνην νὰ μεταβῇ ἐκεῖ, ὁπωσδήποτε ὅμως τὸν προσήλκυε πρὸς τὰ ἐκεῖ.

4. Ἀκούοντες λοιπὸν ὅλα αὐτά, καὶ τοὺς πτωχοὺς ἄς φροντίζωμεν πολὺ καὶ ἄς ἐξουσιάζωμεν τὴν κοιλίαν μας καὶ ἀπὸ τὴν συνήθειαν τῆς μέθης ἄς ἀπαλλασσώμεθα καὶ ἄς ἀγωνιζώμεθα νὰ μετέχωμεν ἀξίως τῶν μυστηρίων, καὶ δι' ὅσα καὶ ἂν πάθωμεν, ἄς μὴ λυπούμεθα, εἴτε συμβοῦν εἰς ἐμᾶς, εἴτε εἰς ἄλλους ἰδικούς μας, ὅπως λόγου χάριν ὅταν ἔρχωνται πρόωροι θάνατοι ἢ μακροχρόνιοι ἀσθένειαι. Διότι αὐτὸ εἶναι ἀπαλλαγὴ ἀπὸ τὴν κόλασιν, αὐτὸ εἶναι

λάσεως, τοῦτο διόρθωσις, τοῦτο νουθεσία ἀρίστη. Τίς ταῦτά φησιν; Ὁ τὸν Χριστὸν ἔχων ἐν ἑαυτῷ λαλοῦντα. Ἀλλ' ὅμως καὶ μετὰ ταῦτα οὕτω πολλαὶ τῶν γυναικῶν ἀναισθήτως διάκεινται, ὡς καὶ τοὺς ἀπίστους παρατρέχειν τῇ τοῦ πένθους ὑπερβολῇ. Καὶ αἱ μὲν ὑπὸ τοῦ πάθους ἐσκοτωμέναι τοῦτο ποιοῦσιν, αἱ δὲ πρὸς ἐπίδειξιν καὶ ὑπὲρ τοῦ τὰ τῶν ἔξωθεν διαφεύγειν ἐγκλήματα, ἃς μάλιστα πάσης συγγνώμης ἀπεστερῆσθαί φημι. Ἵνα γὰρ μὴ ὁ δεῖνα ἐγκαλέσῃ, φησίν, ἐγκαλείτω ὁ Θεός· ἵνα μὴ ἄνθρωποι τῶν ἀλόγων ἀνοητότεροι καταγνῶσιν, ὁ τοῦ βασιλέως τῶν ὅλων πατείσθω νόμος.

Καὶ πόσων οὐκ ἄξια ταῦτα σκηπτῶν; Κἂν μὲν εἰς περίδειπνόν σέ τις καλέσῃ μετὰ τὸ πένθος, οὐδεὶς ὁ ἀντερῶν, ἐπειδὴ νόμος ἀνθρώπων ἐστὶν ὁ ταῦτα κελεύων· Θεοῦ δὲ νομοθετοῦντος μὴ πενθεῖν, οὕτω πάντες ἀντιφθέγγονται. Οὐκ ἐννοεῖς τὸν Ἰώβ, ὦ γύναι; Οὐκ ἀναμιμνήσκῃ τῶν ῥημάτων αὐτοῦ τῶν ἐπὶ τῇ συμφορᾷ τῶν παίδων, ἃ μυρίων στεφάνων μᾶλλον ἀνέδησε τὴν ἁγίαν κεφαλὴν ἐκείνην, καὶ σαλπίγγων πολλῶν λαμπρότερον ἀνεκήρυξεν; Οὐ λογίζῃ τὸ μέγεθος τῆς συμφορᾶς, καὶ τὸ καινὸν ἐκεῖνο ναυάγιον, καὶ τὴν ξένην καὶ παράδοξον τραγῳδίαν; Σὺ μὲν γὰρ ἴσως ἕνα ἀπώλεσας, ἢ δεύτερον, ἢ τρίτον· ἐκεῖνος δὲ τοσούτους καὶ τοσαύτας, καὶ ὁ πολύπαις ἐξαίφνης ἄπαις ἐγίνετο· καὶ οὐδὲ κατὰ μικρὸν αὐτῷ τὰ σπλάγχνα ἀνηλίσκετο, ἀλλ' ἀθρόον ἅπας ὁ καρπὸς ἀνηρπάζετο· καὶ οὐδὲ τῷ κοινῷ τῆς φύσεως νόμῳ, οὐδὲ εἰς γῆρας ἐλθόντες, ἀλλὰ καὶ ἀώρῳ καὶ βιαίῳ θανάτῳ, καὶ πάντες ὁμοῦ· καὶ οὐδὲ παρόντος οὐδὲ παρακαθημένου· ἵνα κἂν ἐσχάτων ἀκούσας ῥημάτων ἔχῃ τινὰ παραμυθίαν τῆς οὕτω πικρᾶς τελευτῆς, ἀλλὰ παρ' ἐλπίδα πᾶσαν, καὶ

διόρθωσις, αὐτὸ εἶναι ἀρίστη νουθεσία. Ποῖος λέγει αὐτά; Αὐτὸς ποὺ ἔχει μέσα του τὸν Χριστὸν νὰ ὁμιλῇ. Καὶ ὅμως ἀκόμη καὶ μετὰ ἀπὸ αὐτὰ πολλαὶ γυναῖκες εὑρίσκονται εἰς κατάστασιν ἀναισθησίας, ὥστε νὰ ὑπερβαίνουν καὶ τοὺς ἀπίστους ὅταν πενθοῦν ὑπερβολικά. Καὶ ἄλλαι μὲν κάμνουν αὐτὸ ἐπειδὴ εὑρίσκονται εἰς σκότωσιν ἀπὸ τὸ πάθος, ἄλλαι δὲ διὰ νὰ κάνουν ἐπίδειξιν καὶ διὰ ν' ἀποφεύγουν τὰς κατηγορίας τῶν ἄλλων, διὰ τὰς ὁποίας λέγω μάλιστα ὅτι ἔχουν στερήσει τὸν ἑαυτόν των ἀπὸ κάθε συγγνώμην. Διότι διὰ νὰ μὴ κατηγορήσῃ ὁ τάδε, λέγουν, ἄς κατηγορῇ ὁ Θεός· προκειμένου νὰ κατακρίνουν ἄνθρωποι ἀνοητότεροι ἀπὸ τὰ ζῶα, ἄς πατηθῇ ὁ νόμος τοῦ βασιλέως τῶν ὅλων.

Καὶ πόσα φοβερὰ καὶ αἰφνίδια κτυπήματα ὡς τιμωρίαν δὲν ἀξίζουν αὐτά; Καὶ ἐὰν μὲν μετὰ τὴν κηδείαν σὲ καλέσῃ κάποιος εἰς δεῖπνον πρὸς παρηγορίαν, κανεὶς δὲν θὰ εἰπῇ τίποτε ἐνάντιον, ἐπειδὴ ὑπάρχει νόμος εἰς τοὺς ἀνθρώπους ποὺ παραγγέλει νὰ γίνωνται αὐτά· ἐνῷ εἰς τὸν Θεὸν ποὺ νομοθετεῖ νὰ μὴ πενθῶμεν, ὅλοι ἀντιλέγουν. Δὲν σκέπτεσαι τὸν Ἰώβ, γυναῖκα; Δὲν ἐνθυμεῖσαι τοὺς λόγους του ὅταν τὸν ἐκτύπησεν ἡ συμφορὰ καὶ ἔχασε τὰ τέκνα του, τὰ ὁποῖα περισσότερον ἀπὸ ἀπείρους στεφάνους ἐστεφάνωσαν τὴν ἁγίαν ἐκείνην κεφαλὴν καὶ τὸν ἐπήνεσαν εἰς ὅλους περισσότερον ἀπὸ πολλὰς σάλπιγγας; Δὲν ἀναλογίζεσαι τὸ μέγεθος τῆς συμφορᾶς καὶ τὸ ἀσύνηθες ἐκεῖνο ναυάγιον καὶ τὴν παράξενον καὶ παράδοξον τραγῳδίαν; Διότι σὺ μὲν ἴσως ἔχασες ἕνα ἢ δύο ἢ τρεῖς, ἐκεῖνος ὅμως τόσους καὶ τόσας, καὶ ὁ πολύτεκνος ἐξαφνικὰ ἔγινεν ἄτεκνος· καὶ οὔτε ὀλίγον κατ' ὀλίγον ἐθανατώνοντο τὰ σπλάγχνα του, ἀλλὰ διὰ μιᾶς ἡρπάγησαν ὅλα τὰ τέκνα του· καὶ οὔτε σύμφωνα μὲ τὸν γενικὸν δι' ὅλους φυσικὸν νόμον, οὔτε ἀφοῦ πρῶτον ἐγήρασαν, ἀλλὰ καὶ μὲ πρόωρον καὶ βίαιον θάνατον καὶ ὅλα μαζί· καὶ χωρὶς νὰ εἶναι παρών, οὔτε νὰ παρευρίσκεται, διὰ νὰ ἔχῃ τοὐλάχιστον κάποιαν παρηγορίαν διὰ τὸν τόσον πικρὸν θάνατον ἀφοῦ ἀκούσῃ κάποιον τελευταῖον λόγον ἀπὸ τὸ στόμα των, ἀλλ' ἀντιθέτως πρὸς κάθε ἐλπίδα καὶ χωρὶς νὰ γνωρίζῃ

μηδὲν τῶν γινομένων εἰδότος, ἀθρόον ἅπαντες κατεχώννυντο, καὶ ἡ οἰκία τάφος αὐτοῖς ἐγίνετο καὶ παγίς.

Οὐκ ἄωρος θάνατος μόνον, ἀλλὰ καὶ πολλὰ μετὰ τούτου τὰ λυποῦντα ἦν, οἷον τὸ ἐν ἀκμῇ πάντας εἶναι, τὸ ἐναρέτους πάντας, τὸ φιλικούς, τὸ πάντας ὁμοῦ, τὸ τῆς φύσεως ἑκατέρας, τὸ μηδὲ ἕνα περιλειφθῆναι, τὸ μὴ τῷ κοινῷ νόμῳ τῆς φύσεως, τὸ μετὰ τοσαύτην ζημίαν, τὸ μηδὲν ἑαυτῷ συνειδότα πονηρὸν μηδὲ ἐκείνοις ταῦτα παθεῖν. Τούτων γὰρ ἕκαστον ἱκανὸν μὲν καὶ καθ' ἑαυτὸ θορυβῆσαι· ὅταν δὲ καὶ ὁμοῦ φαίνηται συντρέχοντα, ἐννόησον ὅσον τῶν κυμάτων τὸ ὕψος, ὅση τοῦ χειμῶνος ἡ ὑπερβολή. Καὶ τὸ δὴ μεῖζον καὶ τοῦ πένθους χεῖρον, ὅτι οὐδὲ ᾔδει τίνος ἕνεκεν ταῦτα ἐγίνετο. Διὰ δὴ τοῦτο, οὐκ ἔχων οὐδεμίαν αἰτίαν ἐπιθεῖναι τῇ συμφορᾷ, ἐπὶ τὸ τῷ Θεῷ δοκοῦν ἀναβαίνει, καί φησιν· «Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο· ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτω καὶ ἐγένετο· εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον εἰς τοὺς αἰῶνας».

Καὶ ταῦτα ἔλεγεν, ἑαυτὸν μὲν ἐν τοῖς ἐσχάτοις ὄντα ὁρῶν τὸν πᾶσαν ἐπελθόντα ἀρετήν, πονηροὺς δὲ ἀνθρώπους καὶ γόητας εὐημεροῦντας, τρυφῶντας, κομῶντας πάντοθεν. Καὶ οὐκ εἶπεν οὐδὲν τοιοῦτον, οἷον εἰκός τινας τῶν ἀσθενεστέρων εἰπεῖν· ἐπὶ τούτοις ἔθρεψα τοὺς παῖδας, καὶ μετὰ ἀκριβείας ἤσκησα ἁπάσης; ἐπὶ τούτοις ἀνέῳξα τὴν οἰκίαν τοῖς παριοῦσιν, ἵνα μετὰ τοὺς πολλοὺς δρόμους ἐκείνους τοὺς ὑπὲρ τῶν δεομένων, τοὺς ὑπὲρ τῶν γυμνῶν, τοὺς ὑπὲρ τῶν ὀρφανῶν, ταύτας ἀπολάβω τὰς ἀμοιβάς; Ἀλλ' ἀντὶ τούτων τὰ πάσης θυσίας κρείττονα ῥήματα ἀνήνεγκεν ἐκεῖνα, λέγων· «Αὐτὸς γυμνὸς ἐξῆλθον ἐκ κοιλίας μητρός μου, γυμνὸς καὶ ἀπελεύσομαι».

Εἰ δὲ διέρρηξε τὰ ἱμάτια, καὶ τὴν κόμην ἀπεκείρατο, μὴ θαυμάσῃς· πατὴρ γὰρ ἦν, καὶ πατὴρ φιλόστοργος, καὶ ἔδει καὶ τὴν τῆς φύσεως δειχθῆναι συμπάθειαν, καὶ τὴν τῆς

3. Ἰώβ 1, 21.

τίποτε ἀπ' ὅσα ἔγιναν, διὰ μιᾶς ὅλοι ἐθάπτοντο καὶ ἡ οἰκία ἔγινε δι' αὐτοὺς παγὶς καὶ τάφος.

Δὲν ἦτο ὅμως μόνον ὁ πρόωρος θάνατος, ἀλλὰ καὶ πολλὰ τὰ θλιβερὰ μετὰ ἀπὸ αὐτό, ὅπως τὸ ὅτι ἦσαν ὅλοι εἰς τὴν ἀκμὴν τῆς ἡλικίας, τὸ ὅτι ἦσαν ὅλοι ἐνάρετοι, ἀγαπητοί, ὅλοι μαζί, καὶ ἀπὸ τὰ δύο φῦλα, τὸ ὅτι δὲν ἀπέμεινε κανείς, τὸ ὅτι δὲν ἀπέθανον ἀπὸ φυσικὸν θάνατον, τὸ ὅτι ἀπέθανον μετὰ ἀπὸ τόσην ζημίαν, τὸ ὅτι δὲν τὸν ἔτυπτε διὰ τίποτε κακὸν ἡ συνείδησίς του, οὔτε ἐκείνους διὰ νὰ πάθουν αὐτά. Τὸ καθὲν λοιπὸν ἀπὸ ὅλα αὐτὰ ἦτο ἀρκετὸν νὰ τὸν ταράξῃ καὶ ἀπὸ μόνον του, ὅταν ὅμως ἔρχωνται καὶ ὅλα μαζί, σκέψου πόσον ὑψηλὰ ἦσαν τὰ κύματα, πόσον ὑπερβολικὰ μεγάλη ἡ τρικυμία. Καὶ τὸ ἀκόμη μεγαλύτερον καὶ χειρότερον ἀπὸ τὸ πένθος, ὅτι οὔτε ἐγνώριζε διατί ἐγίνοντο αὐτά. Δι' αὐτὸ λοιπόν, ἐπειδὴ δὲν εἶχε ν' ἀποδώσῃ εἰς καμμίαν αἰτίαν τὴν συμφοράν, προχωρεῖ εἰς τὸ θέλημα τοῦ Θεοῦ καὶ λέγει· «Ὁ Κύριος τὰ ἔδωσεν, ὁ Κύριος τὰ ἐπῆρεν· ὅπως ἔκρινεν ὁ Θεός, ἔτσι καὶ ἔγινεν· ἂς εἶναι τὸ ὄνομα τοῦ Κυρίου εὐλογημένον αἰωνίως»*.

Καὶ αὐτὰ τὰ ἔλεγεν, αὐτὸς ποὺ ἔβλεπε τὸν ἑαυτόν του νὰ εἶναι εἰς τὸ ἀποκορύφωμα κάθε ἀρετῆς, ἐνῷ τοὺς ἄλλους νὰ εἶναι ἄνθρωποι πονηροὶ καὶ μάγοι καὶ νὰ εὐημεροῦν, ν' ἀπολαμβάνουν καὶ νὰ εὑρίσκωνται εἰς ἄνθησιν εἰς τὸ κάθε τι. Καὶ δὲν εἶπε τίποτε τέτοιον, ποὺ θὰ ἦτο φυσικὸν νὰ εἴπῃ κάποιος ἀπὸ τοὺς ἀσθενεστέρους· δι' αὐτὸ ἀνέθρεψα τὰ παιδιὰ καὶ τὰ ἤσκησα μὲ κάθε ἀκρίβειαν εἰς τὸ θέλημα τοῦ Θεοῦ; δι' αὐτὸ ἐφιλοξένησα ὅσους ἦσαν περαστικοί, διὰ νὰ λάβω αὐτὰς τὰς ἀμοιβὰς μετὰ ἀπὸ τὸ πολὺ ἐκεῖνο τρέξιμον πρὸς χάριν ὅσων εἶχον ἀνάγκην, διὰ τοὺς γυμνούς, διὰ τὰ ὀρφανά; Ἀλλ' ἀντὶ δι' αὐτὰ ἀνέφερε τοὺς ἀνωτέρους ἀπὸ κάθε θυσίαν ἐκείνους λόγους· «Ἐγὼ γυμνὸς ἐξῆλθον ἀπὸ τὴν κοιλίαν τῆς μητρός μου, γυμνὸς καὶ θὰ φύγω ἀπὸ αὐτὴν τὴν ζωήν».

Διὰ τὸ ὅτι δὲ ἐξέσχισε τὰ ἐνδύματά του καὶ ἔκοψε τὴν κώμην του, μὴν ἀπορήσῃς· διότι ἦτο πατήρ, καὶ μάλιστα πατὴρ στοργικός, καὶ ἔπρεπε νὰ δειχθῇ καὶ ἡ φυσικὴ

γνώμης φιλοσοφίαν. Εἰ γὰρ μηδὲ τοῦτο ἐποίησε, τάχα καὶ ἀναισθησίας ἐνόμισεν ἄν τις εἶναι τὴν φιλοσοφίαν ταύτην. Διὰ τοῦτο καὶ τὰ σπλάγχνα δείκνυσι καὶ τὴν εὐσεβείας τὴν ἀκρίβειαν, καὶ ἀλγήσας οὐ περιετράπη· ἀλλὰ καὶ περαιτέρω προϊόντος αὐτῷ τοῦ ἀγῶνος, πάλιν ἑτέρους ἀναδεῖται στεφάνους ἐκ τῶν πρὸς τὴν γυναῖκα ρημάτων, λέγων· «Εἰ τὰ ἀγαθὰ ἐδεξάμεθα παρὰ Κυρίου, τὰ κακὰ οὐχ ὑποίσομεν;». Καὶ γὰρ ἡ γυνὴ μόνη λοιπὸν ὑπελείφθη, πάντων ἀφανισθέντων αὐτῷ, καὶ τῶν παίδων καὶ τῶν κτημάτων καὶ αὐτοῦ τοῦ σώματος, καὶ αὕτη πρὸς πεῖραν καὶ ἐπιβουλήν.

Διὰ τοῦτο αὐτὴν μετὰ τῶν τέκνων οὐκ ἠφάνισεν ὁ διάβολος, οὐδὲ ᾔτησεν αὐτῆς τὴν σφαγήν, ἐπειδὴ προσεδόκησε μεγάλα αὐτῷ συντελεῖν πρὸς τὴν ἐπιβουλὴν τοῦ ἁγίου τούτου. Διὰ τοῦτο ὥσπερ τι μέγιστον ὅπλον αὐτὴν αὐτῷ κατέλιπεν. Εἰ γὰρ παραδείσου, φησί, δι' αὐτῆς ἐξέβαλον, πολλῷ μᾶλλον ἀπὸ κοπρίας ὑποσκελίσαι δυνήσομαι. Καὶ θέα τὴν κακουργίαν. Οὐδὲ γὰρ τῶν βοῶν ἀπολομένων προσήγαγε τὸ μηχάνημα τοῦτο, οὐδὲ τῶν ὄνων, οὐδὲ τῶν καμήλων, ἀλλ' οὐδὲ τῆς οἰκίας κατενεχθείσης, οὐδὲ τῶν παίδων καταχωσθέντων, ἀλλὰ σιγᾷ τέως, καὶ ἡσυχάζειν ἐᾷ τὸν ἀθλητὴν ὁρῶν. Ὅτε δὲ τῶν σκωλήκων ἀνέβλυσεν ἡ πηγή, καὶ σηπόμενον τὸ δέρμα κατέρρει, καὶ δαπανώμεναι αἱ σάρκες ἰχῶρα πολλῆς γέμοντα δυσωδίας ἐποίουν, καὶ τηγάνων καὶ καμίνων καὶ πάσης φλογὸς ὀδυνηρότερον αὐτὸν ἡ τοῦ διαβόλου κατανήλισκε χείρ, θηρίου παντὸς χαλεπώτερον διατρώγουσα πάντοθεν καὶ κατεσθίουσα τὸ σῶμα, καὶ ἐν ταύτῃ τῇ συμφορᾷ πολὺς προῆλθε χρόνος, τότε αὐτὴν προσάγει ἤδη τεταριχευμένῳ καὶ κατεργασθέντι. Εἰ γὰρ παρὰ τὰ προοίμια προσῆλθε τῆς συμφορᾶς, οὐδ' ἂν ἐκεῖνον εὗρεν οὕτως ἐκνενευρισμένον, οὐδ' ἂν αὕτη τὴν συμφορὰν ἔσχεν ἐξογκῶσαι οὕτω καὶ ἐπᾶραι

4. Ἰὼβ 2, 10.

συμπάθεια καὶ ἡ σοφὴ στάσις. Διότι, ἐὰν δὲν ἔκαμνεν οὔτε αὐτό, θὰ ἐνόμιζε κανεὶς ὅτι αὐτὴ ἡ σοφὴ συμπεριφορὰ ἦτο ἀποτέλεσμα ἀναισθησίας. Δι᾽ αὐτὸ καὶ τὴν εὐσπλαγχνίαν δεικνύει καὶ τὴν τελείαν εὐσέβειαν, καί, ἐνῷ ἐπόνεσε πολύ, δὲν ἐκλονίσθη· ἀλλὰ καὶ ἀργότερον, ἐνῷ προχωρεῖ ὁ ἀγών του, πάλιν μὲ ἄλλους στεφάνους στεφανοῦται ἀπὸ τοὺς λόγους εἰς τὴν γυναῖκα του ὅταν λέγῃ· «Ἐφ᾽ ὅσον ἐδέχθημεν τὰ ἀγαθὰ ἀπὸ τὸν Κύριον, τὰς δοκιμασίας δὲν θὰ τὰς ὑπομείνωμεν;»[4]. Διότι μόνον ἡ γυναῖκα τοῦ ἀπέμεινε πλέον, ἐνῷ ὅλοι καὶ ὅλα τὰ ἰδικά του ἠφανίσθησαν, καὶ τὰ τέκνα καὶ τὰ κτήματα καὶ αὐτὸ τὸ σῶμά του, καὶ αὐτὴ τοῦ ἔμεινε πρὸς δοκιμασίαν καὶ δόλον.

Δι᾽ αὐτὸ ὁ διάβολος δὲν ἐθανάτωσεν αὐτὴν μαζὶ μὲ τὰ τέκνα του, οὔτε ἐζήτησε τὴν σφαγήν της, ἐπειδὴ ἀνέμενε νὰ συντελέσῃ πολὺ διὰ λογαριασμόν του εἰς τὴν πτῶσιν αὐτοῦ τοῦ ἁγίου. Δι᾽ αὐτὸ ἄφησεν αὐτὴν εἰς αὐτὸν ὡσὰν μέγιστον ὅπλον. Διότι, ἐὰν διὰ μέσου γυναικὸς ἐξέβαλον τὸν Ἀδὰμ ἀπὸ τὸν Παράδεισον, ἐσκέφθη, πολὺ περισσότερον θὰ ἠμπορέσω νὰ καταβάλω αὐτὸν ποὺ κείτεται ἐπάνω εἰς τὴν κοπριάν. Καὶ πρόσεξε τὴν κακίαν. Διότι δὲν ἐφήρμοσεν αὐτὸ τὸ τέχνασμα ὅταν ἐχάθησαν τὰ βόδια, οὔτε οἱ ὄνοι, οὔτε αἱ κάμηλοι, ἀλλ᾽ οὔτε ὅταν κατεκρημνίσθη ἡ οἰκία, οὔτε ὅταν κατεπλακώθησαν ἀπὸ αὐτὴν τὰ παιδιά, ἀλλὰ σιωπᾷ ἕως τότε καὶ ὅταν βλέπῃ τὸν ἀθλητὴν νὰ ἡσυχάζῃ τὸν ἀφήνει, ὅταν ὅμως ἀνέβλυσεν ἀπὸ τὸ σῶμά του ἡ πηγὴ τῶν σκωλήκων καὶ ἔπιπτε τὸ δέρμα του ποὺ ἐσάπιζε καὶ ἐνῷ αἱ σάρκες του κατετρώγοντο καὶ ἐγέμιζον ἀπὸ πύον καὶ ἐμύριζον καὶ τὸ χέρι τοῦ διαβόλου τὸν κατεβασάνιζεν ὀδυνηρότερον ἀπὸ τηγάνια καὶ καμίνους καὶ ἀπὸ κάθε φλόγα, καὶ κατεσπάρασσε καὶ κατέτρωγε τὸ σῶμα ἀπὸ παντοῦ χειρότερον ἀπὸ κάθε θηρίον, καὶ πολὺς χρόνος εἶχε περάσει εἰς αὐτὴν τὴν συμφοράν, τότε φέρει τὴν γυναῖκα του, ὅταν πλέον ἔλειωνε καὶ κατεπονεῖτο ἀπὸ τὴν ταλαιπωρίαν. Διότι ἐὰν προσήρχετο ἀπὸ τὴν ἀρχὴν τῆς συμφορᾶς, δὲν θὰ τὸν εὕρισκε τόσον καταβεβλημένον, οὔτε θὰ ἠμποροῦσε νὰ κάνῃ τόσον μεγαλυτέραν τὴν συμ-

τῷ λόγῳ· νυνὶ δὲ ὅτε αὐτὸν εἶδε διὰ τὸ μῆκος τοῦ χρόνου διψῶντα ἀπαλλαγῆς, καὶ ἐπιθυμοῦντα τῆς τῶν ἐπικειμένων λύσεως, σφοδρῶς τότε προσέρχεται. Ὅτι γὰρ σφόδρα κατειργασμένος ἦν, καὶ οὐδὲ ἀναπνεῖν λοιπὸν εἶχεν, ἀλλὰ καὶ ἀποθανεῖν ἐπιθύμει, ἄκουσον τί φησιν· «Εἰ γὰρ δυναίμην ἐμαυτὸν χειρώσασθαι, ἢ δεηθῆναι ἑτέρου, καὶ ποιήσει μοι τοῦτο».

5. Καὶ θέα μοι τὴν κακουργίαν τῆς γυναικός, πόθεν εὐθέως προοιμιάζεται, ἀπὸ τοῦ πλήθους τοῦ χρόνου, «Μέχρι τίνος καρτερήσεις;», λέγουσα. Εἰ δὲ πολλάκις καὶ πραγμάτων οὐκ ὄντων λόγοι μόνον ἴσχυσαν μαλάξαι, ἐννόησον τί ποτε πάσχειν αὐτὸν εἰκὸς ἦν, μετὰ τῶν ῥημάτων τούτων καὶ τῶν πραγμάτων ὀδυνώντων αὐτόν. Καὶ τὸ δὴ πάντων χεῖρον, ὅτι καὶ γυνὴ ἡ ταῦτα λέγουσα ἦν, καὶ γυνὴ ἀναπεσοῦσα καὶ ἀπαγορεύουσα, καὶ διὰ τοῦτο σπουδάζουσα καὶ αὐτὸν εἰς ἀπόγνωσιν ἐμβαλεῖν.

Πλὴν ἀλλ' ἵνα σαφέστερον ἴδωμεν τὸ μηχάνημα τῷ ἀδαμαντίνῳ τούτῳ προσαγόμενον τείχει, καὶ αὐτῶν ἀκούσωμεν τῶν ῥημάτων. Τίνα οὖν ταῦτά ἐστι; «Μέχρι τίνος καρτερήσεις λέγων· ἰδοὺ ἀναμένω χρόνον ἔτι μικρὸν προσδεχόμενος τὴν ἐλπίδα τῆς σωτηρίας μου;». Ἤλεγξε γάρ σου, φησί, τὰ ῥήματα ὁ χρόνος, μακρότερος μὲν γινόμενος, λύσιν δὲ οὐδεμίαν ἐμφαίνων. Ταῦτα δὲ ἔλεγεν, οὐκ εἰς ἀπόγνωσιν αὐτὸν ἐμβάλλουσα μόνον, ἀλλὰ καὶ ὀνειδίζουσα καὶ κωμῳδοῦσα. Καὶ γὰρ ἐκεῖνος ἐνοχλοῦσαν ἀεὶ παραμυθούμενος καὶ διακρουόμενος τοιαῦτα ἐφθέγγετο· ἀνάμεινον ἔτι μικρόν, καὶ ταχέως ἔσται τούτων τὸ τέλος. Ὀνειδίζουσα τοίνυν αὐτόν, φησί· μὴ καὶ νῦν τὸ αὐτὸ ἐρεῖς; πολὺς γὰρ ἤδη χρόνος παρέδραμε, καὶ τέλος τούτων οὐδὲν ἀνεφάνη.

---

5. Ἰὼβ 2, 9.
6. Ἰὼβ 2, 9.

φορὰν καὶ νὰ τὸν παροργίσῃ μὲ τοὺς λόγους της, τώρα ὅμως ὅταν εἶδεν αὐτὸν ὁ διάβολος νὰ ποθῇ ν' ἀπαλλαγῇ ἐξ αἰτίας τοῦ ὅτι ἐκράτησεν ἡ δοκιμασία πολὺν χρόνον, καὶ νὰ ἐπιθυμῇ νὰ τελειώσουν αἱ συμφοραί, τότε ἐπέρχεται μὲ σφοδρότητα. Διότι διὰ τὸ ὅτι ἦτο πάρα πολὺ καταταλαιπωρημένος καὶ δὲν ἠμποροῦσε οὔτε ν' ἀναπνεύσῃ πλέον, ἀλλ' ἐπεθύμει καὶ ν' ἀποθάνῃ, ἄκουσε τί λέγει· «Μήπως λοιπὸν θὰ ἠμποροῦσα νὰ θανατώσω τὸν ἑαυτόν μου ἢ πρέπει νὰ εὕρω ἄλλον διὰ νὰ μοῦ τὸ κάνῃ αὐτό;».

5. Καὶ πρόσεξε τὴν κακίαν τῆς γυναικός, ἀπὸ ποῦ ἀρχίζει ἀμέσως, ἀπὸ τὸ ὅτι παρῆλθε πολὺς χρόνος, μὲ τοὺς λόγους, «Ἕως πότε θὰ ὑπομένῃς;»[5]. Ἐὰν δὲ πολλὰς φορὰς καὶ ἐνῷ δὲν συμβαίνει κάτι μόνον τὸ νὰ τὸ εἰπῇ κανεὶς εἶναι δυνατὸν νὰ καταβάλῃ, σκέψου τί ἔπρεπε νὰ ἔπασχε τότε ὁ Ἰώβ, ὅταν μαζὶ μὲ τοὺς λόγους αὐτοὺς τὸν κατέθλιβον καὶ τὰ πράγματα. Καὶ τὸ ἀκόμη χειρότερον ἀπὸ ὅλα, ὅτι αὐτὴ ποὺ ἔλεγεν αὐτὰ ἦτο καὶ γυναῖκα του καὶ μάλιστα γυναῖκα ποὺ εἶχε χάσει τὸ θάρρος της καὶ εἶχεν ἀποκάμει καὶ παραιτηθῇ ἀπὸ τὴν προσπάθειαν καὶ δι' αὐτὸ προσεπάθει νὰ ρίψῃ καὶ αὐτὸν εἰς ἀπόγνωσιν.

Ἀλλ' ἂς ἴδωμεν σαφέστερον τὸ τέχνασμα ποὺ ἐφηρμόσθη ἐναντίον αὐτοῦ τοῦ ἀδαμαντίνου τείχους καὶ ἂς ἀκούσωμεν αὐτοὺς τοὺς λόγους. Ποῖοι λοιπὸν εἶναι αὐτοί; «Μέχρι πότε θὰ ὑπομείνῃς καὶ θὰ λέγῃς· ἰδού, θὰ ὑπομείνω ὀλίγον χρόνον ἀκόμη μὲ τὴν προσδοκίαν ὅτι θὰ πραγματοποιηθῇ ἡ ἐλπίς μου, ὅτι θὰ λυτρωθῶ;»[6]. Διότι ὁ χρόνος διέψευσε τοὺς λόγους σου, θέλει νὰ εἰπῇ, μὲ τὸ νὰ διαρκέσῃ περισσότερον ἀπὸ τὴν προσδοκίαν σου, χωρὶς νὰ δώσῃ τέλος εἰς τὴν δοκιμασίαν σου. Αὐτὰ δὲ τὰ ἔλεγεν ὄχι μόνον διὰ νὰ τὸν ἀπελπίσῃ, ἀλλὰ καὶ διὰ νὰ τὸν κατηγορήσῃ καὶ νὰ τὸν περιπαίξῃ. Διότι ἐκεῖνος, ὅταν αὐτὴ τὸν ἠνόχλει, πάντοτε τὴν κατεπράϋνε καὶ τὴν ἀπέκρουε μὲ τέτοιους λόγους· Κάνε ὑπομονὴν ὀλίγον ἀκόμη καὶ σύντομα θὰ τελειώσουν αὐτά. Κατηγοροῦσα τώρα πλέον αὐτόν, λέγει· «Μήπως καὶ τώρα θὰ εἰπῇς τὸ ἴδιο; ἤδη παρῆλθε πολὺς χρόνος καὶ δὲν ἐφάνη τὸ τέλος εἰς αὐτά.

Καὶ θέα τὴν κακουργίαν. Οὐδὲ γὰρ μέμνηται τῶν βοῶν, οὐ τῶν προβάτων, οὐδὲ τῶν καμήλων (ᾔδει γὰρ οὐ σφόδρα αὐτὸν τούτοις δακνόμενον), ἀλλ' ἐπὶ τὴν φύσιν εὐθέως ἔρχεται καὶ τῶν παίδων ἀναμιμνήσκει· ἐπ' αὐτοῖς γὰρ εἶδεν καὶ τὴν ἐσθῆτα διαρρήξαντα, καὶ τὴν κόμην ἀποκειράμενον. Καὶ οὐκ εἶπεν, ἀπώλετό σου τὰ παιδία, ἀλλὰ σφόδρα περιπαθῶς· «Ἠφάνισταί σου τὸ μνημόσυνον ἀπὸ τῆς γῆς», δι' ὃ καὶ τὰ παιδία ποθεινά. Εἰ γὰρ καὶ νῦν, ἀναστάσεως φανείσης, ἐντεῦθέν ἐστι τὰ παιδία ἐπέραστα, ἀπὸ τοῦ τὴν μνήμην τῶν ἀπελθόντων διατηρεῖν, πολλῷ μᾶλλον τότε. Διὰ τοῦτο καὶ ἡ ἀρὰ ἐντεῦθεν γίνεται πικροτέρα. Οὐδὲ γὰρ ἐκεῖ, τὰ παιδία, ὁ ἐπαρώμενος εἶπεν, ἐξολοθρευθείη, ἀλλά, «Τὸ μνημόσυνον αὐτοῦ ἀπὸ τῆς γῆς».

«Οἱ υἱοί σου καὶ αἱ θυγατέρες σου». Εἰποῦσα γάρ, «τὸ μνημόσυνον», μετὰ ἀκριβείας πάλιν ἑκατέρας τῆς φύσεως μέμνηται. Εἰ δέ σοι, φησίν, οὐ μέλει τούτων, κἂν τὸ ἐμὸν σκόπει. «Τῆς ἐμῆς κοιλίας ὠδῖνες καὶ πόνοι, οὓς εἰς τὸ κενὸν ἐκοπίασα μετὰ μόχθων». Ὃ δὲ λέγει, τοῦτό ἐστιν· ἡ τὸ πλέον ἐνεγκοῦσα ἠδίκημαι διὰ σέ, καὶ τοὺς μὲν πόνους ὑπέστην, τῶν δὲ καρπῶν ἀπεστέρημαι. Καὶ ὅρα πῶς οὔτε τίθησι τὴν ζημίαν τῶν χρημάτων, οὔτε σιγᾷ αὐτὴν καὶ παρατρέχει, ἀλλ' ὡς ἐνῆν καὶ περιπαθῶς αὐτὴν ἀπαγγεῖλαι, οὕτως αἰνίττεται. Ὅταν γὰρ εἴπῃ, «Κἀγὼ πλανῆτις καὶ λάτρις, τόπον ἐκ τόπου καὶ οἰκίαν ἐξ οἰκίας περιερχομένη», καὶ τὴν ζημίαν αἰνίττεται, καὶ πολλὴν τὴν περιπάθειαν δείκνυσι. Καὶ γὰρ καὶ αἱ λέξεις αὐταὶ ἱκαναὶ ἐπᾶραι τὴν συμφοράν· ἐπὶ γὰρ τὰς ἑτέρων ἔρχομαι θύρας, φησίν. Οὐδὲ γὰρ προσαιτῶ μόνον, ἀλλὰ καὶ πλανῶμαι, καὶ δουλεύω δουλείαν ξένην καὶ καινήν, πανταχοῦ περιιοῦσα, καὶ τὰ σύμβολα τῆς συμφορᾶς περιφέρουσα, καὶ πάντας διδάσκουσα τὰ ἐμὰ κακά· ὃ πάντων ἐστὶν ἐλεεινότερον, τὸ οἰκίαν ἐξ οἰκίας ἀμείβειν.

---

7. Ἰὼβ 18, 17.

Καὶ κοίταξε τὴν κακίαν. Διότι δὲν ἐνθυμίζει τὰ βόδια οὔτε τὰ πρόβατα, οὔτε τὰς καμήλους (καθ' ὅσον ἐγνώριζεν ὅτι αὐτὰ δὲν τὸν ἐστενοχώρουν πολύ), ἀλλ' ἔρχεται ἀμέσως εἰς αὐτὰ ποὺ ἐγέννησαν καὶ τοῦ ἐνθυμίζει τὰ παιδιά τους, διότι δι' αὐτὰ τὸν εἶδε νὰ σχίζῃ τὰ ἐνδύματα καὶ νὰ κόπτῃ τὴν κώμην του. Καὶ δὲν εἶπεν, ἐχάθησαν τὰ παιδιά σου, ἀλλὰ τό πάρα πολὺ δυσάρεστον˙ «ἐξηφανίσθη ἡ μνήμη σου ἀπὸ τὴν γῆν», δι' αὐτὸ καὶ τὰ παιδιὰ ἦσαν πολὺ ποθητά. Διότι, ἐὰν καὶ τώρα ἀκόμη, ποὺ ἔχει γίνει ἡ ἀνάστασις τοῦ Χριστοῦ, τὰ παιδιὰ εἶναι πολὺ ἀγαπητὰ εἰς αὐτὴν τὴν ζωήν, διότι διατηροῦν τὴν μνήμην τῶν προγόνων των ποὺ ἔχουν ἀποθάνει, πολὺ περισσότερον τότε. Διότι οὔτε ἐκεῖ αὐτὸς ποὺ κατηρᾶτο εἶπε νὰ ἐξολοθρευθοῦν τὰ παιδιά, ἀλλά, «ἡ μνήμη του ἀπὸ τὴν γῆν»[7].

«Οἱ υἱοί σου καὶ αἱ θυγατέρες σου». Ἀφοῦ λοιπὸν εἶπεν, «ἡ μνήμη σου», μὲ ἀκρίβειαν πάλιν ἐνθυμίζει καὶ τὰ δύο φῦλα τῶν τέκνων. Ἐὰν δὲ δὲν σὲ ἐνδιαφέρῃ, λέγει, διὰ τὸν ἑαυτόν σου, τοὐλάχιστον σκέψου ἐμένα. «Πόνοι τοκετοῦ τῆς ἰδικῆς μου κοιλίας, τοὺς ὁποίους μάταια ὑπέμεινα μαζὶ μὲ τοὺς κόπους». Αὐτὸ ποὺ ἐννοεῖ δὲ εἶναι τὸ ἑξῆς˙ ἐγὼ ἡ ὁποία ὑπέφερα περισσότερον ἠδικήθην ἐξ αἰτίας σου, καὶ τοὺς μὲν κόπους ὑπέμεινα, ἀλλ' ἐστερήθην τοὺς καρπούς. Καὶ κοίταξε πῶς οὔτε ἐκθέτει εὐθέως τὴν ὑλικὴν ζημίαν, οὔτε ἀποσιωπᾷ καὶ τὴν ἀντιπαρέρχεται, ἀλλ' ὅσον ἦτο δυνατόν, νὰ τὴν τονίσῃ μὲ πάθος, ἔτσι τὴν ὑπαινίσσεται. Διότι ὅταν λέγῃ, «Καὶ ἐγὼ κατήντησα περιπλανωμένη καὶ ὑπηρέτρια, νὰ περιέρχωμαι ἀπὸ τόπον εἰς τόπον καὶ ἀπὸ οἰκίαν εἰς οἰκίαν», καὶ τὴν ζημίαν ὑπαινίσσεται καὶ πολὺ πάθος δεικνύει. Καθ' ὅσον ἀκόμη καὶ αἱ λέξεις αὐταὶ ἦσαν ἱκαναὶ διὰ νὰ τονίσουν τὴν συμφοράν˙ διότι, λέγει, καταφεύγω εἰς τὰς θύρας τῶν ξένων. Ὄχι μόνον δηλαδὴ ζητῶ ἐλεημοσύνην, ἀλλὰ καὶ περιπλανῶμαι καὶ εἶμαι δούλη εἰς δουλείαν παράξενον καὶ παράδοξον καὶ περιέρχομαι παντοῦ καὶ περιφέρω τὰ σημάδια τῆς συμφορᾶς καὶ δεικνύων εἰς ὅλους τὰς δυστυχίας μας˙ αὐτὸ εἶναι τὸ χειρότερον ἀπὸ ὅλα, τὸ νὰ μεταβαίνω ἀπὸ οἰκίαν εἰς οἰκίαν.

Καὶ οὐδὲ ἐνταῦθα ἔστη τῶν θρήνων, ἀλλ' ἐπήγαγε λέγουσα· «Προσδεχομένη τὸν ἥλιον πότε δύσει, καὶ ἀναπαύσομαι τῶν μόχθων μου καὶ τῶν περιεχουσῶν με ὀδυνῶν, αἵ με νῦν συνέχουσιν». Ὃ γὰρ τοῖς ἄλλοις ἐστὶν ἡδύ, φησί, τὸ τὴν ἀκτῖνα ὁρᾶν, τοῦτο ἐμοὶ βαρύ· ποθεινὸν δὲ ἡ νὺξ καὶ τὸ σκότος. Αὕτη γάρ με ἀναπαύει τῶν ἱδρώτων μόνη, αὕτη μοι παραμυθία γίνεται τῶν κακῶν. «Ἀλλ' εἰπόν τι ῥῆμα πρὸς κύριον, καὶ τελεύτα». Εἶδες κἀνταῦθα τὴν κακουργίαν; πῶς οὐδὲ ἐν αὐτῇ τῇ συμβουλῇ εὐθέως εἰσήγαγε τὴν ὀλεθρίαν παραίνεσιν, ἀλλὰ διηγησαμένη πρῶτον ἐλεεινῶς τὰς συμφοράς, καὶ ἐκτείνασα τὴν τραγῳδίαν, ἐν βραχεῖ τίθησι τὴν παραίνεσιν, καὶ οὐδὲ ἐμφαίνει σαφῶς αὐτήν, ἀλλὰ συσκιάσασα ἐκείνην, τὴν ἀπαλλαγὴν αὐτῷ προτείνει τὴν μάλιστα ποθεινήν, καὶ ἐπαγγέλλεται τελευτήν, ὃ μάλιστα ἐπεθύμει;

Καὶ σκόπει κἀντεῦθεν τοῦ διαβόλου τὴν κακουργίαν. Ἐπειδὴ γὰρ ᾔδει τὸν πόθον τοῦ Ἰὼβ τὸν περὶ τὸν Θεόν, οὐκ ἀφίησι τὴν γυναῖκα κατηγορῆσαι τοῦ Θεοῦ, ἵνα μὴ ὡς ἐχθρὰν εὐθέως ἀποστραφῇ. Διὰ τοῦτο αὐτοῦ μὲν οὐδαμοῦ μέμνηται, τὰ δὲ συμβάντα ἄνω καὶ κάτω στρέφει. Σὺ δὲ μετὰ τῶν εἰρημένων, ὅτι καὶ γυνὴ ἦν ἡ ταῦτα συμβουλεύουσα, προστίθει, δεινὸς καταγοητεῦσαι ῥήτωρ τοὺς μὴ προσέχοντας. Πολλοὶ γοῦν καὶ χωρὶς συμφορῶν ἀπὸ γυναικῶν συμβουλῆς κατηνέχθησαν μόνης. Τί οὖν ὁ μακάριος οὗτος, καὶ ἀδάμαντος στερρότερος; Βλέψας εἰς αὐτὴν πικρόν, καὶ πρὸ τῆς φωνῆς ἀπὸ τῆς ὄψεως διεκρούσατο τὰ μηχανήματα. Ἐκείνη μὲν γὰρ προσεδόκησε δακρύων κινήσειν πηγάς· οὗτος δὲ λέοντος σφοδρότερος γέγονε, θυμοῦ πληρωθεὶς καὶ ἀγανακτήσεως, οὐχ ὑπὲρ ὧν ἔπασχεν, ἀλλ' ὑπὲρ ὧν ἐκείνη διαβολικῶς συνεβούλευε, καὶ τῷ βλέμματι τὸν θυμὸν ἐνδειξάμενος, μεμετρημένην ποιεῖται τὴν ἐπιτίμησιν· καὶ γὰρ καὶ

Καὶ οὔτε ἐδῶ ἐσταμάτησε τοὺς θρήνους, ἀλλ' ἐσυνέχισε μὲ τοὺς λόγους· «Περιμένω τὸν ἥλιον πότε θὰ δύσῃ διὰ ν' ἀναπαυθῶ ἀπὸ τοὺς κόπους μου καὶ τοὺς πόνους ποὺ μὲ περισφίγγουν καὶ μὲ βασανίζουν τώρα». Αὐτὸ ποὺ εἶναι δηλαδὴ γλυκὺ εἰς τοὺς ἄλλους, λέγει, τὸ νὰ βλέπουν τὸ φῶς, αὐτὸ εἰς ἐμὲ εἶναι βαρύ· καὶ εἶναι ποθητὸν ἡ νὺξ καὶ τὸ σκότος. Διότι αὐτὴ μόνον μὲ ἀναπαύει ἀπὸ τοὺς ἱδρῶτας, αὐτὴ γίνεται παρηγορία μου εἰς τὰς δυστυχίας. «Ἀλλ' εἰπὲ κάποιον λόγον κατὰ τοῦ Κυρίου διὰ ν' ἀποθάνῃς». Εἶδες καὶ ἐδῶ τὴν κακίαν; Πῶς οὔτε εἰς αὐτὴν τὴν συμβουλὴν ἐνέβαλεν εὐθέως τὴν καταστρεπτικὴν παραίνεσιν, ἀλλ' ἀφοῦ πρῶτον διηγήθη μὲ τρόπον ποὺ νὰ προκαλῇ οἶκτον τὰς συμφοράς, καὶ ἀφοῦ ἐμεγέθυνε τὴν τραγωδίαν, συντόμως προβάλλει τὴν παρότρυνσιν, καὶ οὔτε πάλιν τὴν παρουσιάζει καθαρά, ἀλλ' ἀφοῦ τὴν ἐκάλυψε, προτείνει εἰς αὐτὸν τὴν πάρα πολὺ ποθητὴν ἀπαλλαγὴν καὶ ὑπόσχεται θάνατον, πρᾶγμα ποὺ ἐπεθύμει πάρα πολύ;

Καὶ παρατήρησε καὶ ἐδῶ τὴν κακίαν τοῦ διαβόλου. Ἐπειδὴ δηλαδὴ ἐγνώριζε τὴν ἀγάπην τοῦ Ἰὼβ διὰ τὸν Θεόν, δὲν ἀφήνει τὴν γυναῖκα νὰ κατηγορήσῃ τὸν Θεόν, διὰ νὰ μὴ τὴν ἀποστραφῇ ἀμέσως ὡς ἐχθρὰν τοῦ Θεοῦ. Δι' αὐτὸ πουθενὰ δὲν ὁμιλεῖ μὲν διὰ τὸν Θεόν, ἐνῷ τὰ ὅσα συνέβησαν ἀναφέρει συνεχῶς. Σὺ δὲ μαζὶ μὲ τὰ λεχθέντα νὰ προσθέσῃς ὅτι αὐτὴ ποὺ λέγει αὐτὰ εἶναι καὶ γυναῖκα, ποὺ εἶναι φοβερὸς ῥήτωρ εἰς τὸ νὰ γοητεύσῃ καὶ νὰ ἐξαπατήσῃ ὅσους δὲν προσέχουν. Πολλοὶ πράγματι καὶ χωρὶς συμφορὰς κατεστράφησαν μόνον ἀπὸ συμβουλὴν γυναικός. Τί ἔκανε λοιπὸν ὁ μακάριος αὐτὸς καὶ στερεότερος ἀπὸ ἀδάμαντα; Ἀφοῦ τὴν ἐκοίταξε μὲ βλέμμα σκληρόν, καὶ πρὶν τῆς ὁμιλήσῃ ἀπέκρουσε μὲ τὴν ὄψιν τὰ τεχνάσματα. Διότι ἐκείνη μὲν ἀνέμενεν ὅτι θὰ κάνῃ νὰ τρέξουν κρουνοὶ δακρύων· αὐτὸς ὅμως ἔγινεν ὁρμητικώτερος ἀπὸ λέοντα, καὶ ἀφοῦ ἐγέμισεν ἀπὸ θυμὸν καὶ ἀγανάκτησιν, ὄχι δι' ὅσα ἔπασχεν, ἀλλὰ δι' ὅσα ἐκείνη συνεβούλευε διαβολικῶς, καὶ ἀφοῦ ἔδειξε τὸν θυμὸν μὲ τὸ βλέμμα, κάμνει συγκρατημένην τὴν ἐπίπληξιν· διότι καὶ μέσα εἰς τὰς

ἐν συμφοραῖς σώφρων ἦν.

Καὶ τί φησιν; «Ἵνα τί ὥσπερ μία τῶν ἀφρόνων γυναικῶν ἐλάλησας;». Οὐχ οὕτω σε ἐπαίδευσα, φησίν, οὐχ οὕτω σε ἐξέθρεψα· ὅθεν οὐδὲ ἐπιγινώσκω τὴν σύνοικον τὴν ἐμήν. Τὰ γὰρ ῥήματα ταῦτα ἀνοήτου γυναικὸς καὶ παραπαιούσης ἡ συμβουλή. Εἶδες τομὴν σύμμετρον, καὶ πληγὴν ἱκανὴν διορθῶσαι τὸ νόσημα; Εἶτα μετὰ τὴν ἐπίπληξιν καὶ συμβουλὴν εἰσάγει πάλιν ἀρκοῦσαν αὐτὴν παραμυθήσασθαι καὶ πολὺ τὸ εὔλογον ἔχουσαν, λέγων· «Εἰ τὰ ἀγαθὰ ἐδεξάμεθα παρὰ Κυρίου, τὰ κακὰ οὐχ ὑποίσομεν;». Ἀναμνίσθητι γάρ, φησί, τῶν προτέρων ἐκείνων, καὶ λογίζου τὸν αἴτιον, καὶ οἴσεις καὶ ταῦτα γενναίως. Εἶδες μετριοφροσύνην ἀνδρός; Οὐδὲ γὰρ τῇ ἀνδρείᾳ αὐτοῦ λογίζεται τὴν ὑπομονήν, ἀλλὰ τῆς τῶν πραγμάτων ἀκολουθίας αὐτὴν εἶναί φησιν. Ἀντὶ τίνων γὰρ ἐκεῖνα ἡμῖν ἔδωκεν ὁ Θεός; ποίαν ἐκτιννὺς ἀμοιβήν; Οὐδεμίαν· ἀλλ' ἐξ ἀγαθότητος μόνης. Δωρεὰ γὰρ ἦν, οὐκ ἀμοιβή, καὶ χάρις, οὐκ ἀντίδοσις.

Οὐκοῦν καὶ ταῦτα φέρωμεν γενναίως. Τοῦτον καὶ ἄνδρες καὶ γυναῖκες τὸν λόγον ἀνάγραπτον ἔχωμεν, καὶ τὰ ῥήματα ταῦτα ἐγκολάψωμεν τῇ διανοίᾳ, καὶ ταῦτα καὶ τὰ πρὸ τούτων· καὶ τὴν ἱστορίαν αὐτοῦ τῶν παθημάτων καθάπερ εἰκόνα ἐπὶ τῆς διανοίας ὑπογράψαντες, τὴν ζημίαν λέγω τῶν χρημάτων, τὴν ἀφαίρεσιν τῶν παίδων, τὴν πληγὴν τοῦ σώματος τὰ ὀνείδη, τὰς χλευασίας, τὰς τῆς γυναικὸς μηχανάς, τὴν τοῦ διαβόλου ἐπιβουλήν, πάντα ἁπλῶς μετὰ ἀκριβείας τὰ πάθη τοῦ δικαίου, λιμένα κατασκευάσωμεν μέγιστον ἡμῖν· ἵνα ἅπαντα γενναίως καὶ εὐχαρίστως φέροντες, καὶ ἐν τῷ παρόντι βίῳ πᾶσαν ἀποκρουσώμεθα ἀθυμίαν, καὶ τοὺς περὶ τῆς εὐφημίας ταύτης ἀπολάβωμεν μισθούς, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

8. Ἰὼβ 2, 10.

συμφορὰς ἦτο σώφρων.

Καὶ τί λέγει; «Διατί ὡμίλησες ὡσὰν μία ἀπὸ τὰς ἀνοήτους γυναῖκας;»[8]. Δὲν σὲ ἐδίδαξα ἔτσι, λέγει, δὲν σὲ ἀνέθρεψα ἔτσι· δι' αὐτὸ δὲν ἀναγνωρίζω τὴν ἰδικήν μου γυναῖκα. Διότι αὐτοὶ οἱ λόγοι εἶναι ἀνοήτου γυναικὸς καὶ ἡ συμβουλὴ τρελλῆς. Εἶδες τομὴν ποὺ γίνεται μὲ μέτρον καὶ κτύπημα ἱκανὸν νὰ διορθώσῃ τὴν νόσον; Ὕστερον μετὰ τὴν ἐπίπληξιν δίδει καὶ συμβουλὴν ποὺ εἶναι ἀρκετὴ πάλιν διὰ νὰ τὴν παρηγορήσῃ καὶ ποὺ ἔχει πολλὴν φρόνησιν καὶ λέγει· «Ἐφ' ὅσον ἐδέχθημεν τὰ ἀγαθὰ ἀπὸ τὸν Κύριον, δὲν θὰ ὑπομείνωμεν τὰς δοκιμασίας;». Ἐνθυμήσου λοιπόν, λέγει, ἐκεῖνα τὰ προηγούμενα, καὶ σκέψου τὸν αἴτιον, καὶ θὰ ὑπομείνῃς καὶ αὐτὰ μὲ γενναότητα. Εἶδες πόσην μετριοφροσύνην ἔχει ὁ ἄνδρας; Διότι δὲν ἀποδίδει τὴν ὑπομονὴν εἰς τὴν ἀνδρείαν του, ἀλλὰ λέγει ὅτι αὐτὴ ἔρχεται ὡς ἐπακόλουθον τῆς δυστυχίας. Ἔναντι ποίων, λοιπόν, πραγμάτων μᾶς ἔδωσεν ἐκεῖνα ὡς ἀνταμοιβὴν ὁ Θεός; διὰ νὰ πληρώσῃ ποίαν ἀμοιβήν; Καμμίαν· ἀλλὰ μόνον ἀπὸ ἀγαθότητα. Διότι δωρεὰ ἦτο, ὄχι ἀμοιβή, καὶ χάρισμα, ὄχι πληρωμή.

Λοιπὸν καὶ αὐτὰ ἂς τὰ ὑποφέρωμεν μὲ γενναιότητα. Αὐτὸν τὸν λόγον καὶ ἄνδρες καὶ γυναῖκες ἂς τὸν ἔχωμεν φυλαγμένον καλὰ μέσα μας καὶ τοὺς λόγους αὐτοὺς ἂς τοὺς ἐγχαράξωμεν εἰς τὸν νοῦν μας, καὶ αὐτοὺς καὶ τοὺς πρὶν ἀπὸ αὐτούς· καὶ τὴν ἱστορίαν τῶν παθημάτων του ἀφοῦ ζωγραφίσωμεν ὡσὰν εἰκόνα εἰς τὸν νοῦν μας, ἐννοῶ τὴν ὑλικὴν ζημίαν του, τὴν ἀπώλειαν τῶν παιδιῶν του, τὴν νόσον τοῦ σώματός του, τὰς κατηγορίας, τοὺς χλευασμούς, τὴν πανουργίαν τῆς γυναικός, τὸ μῖσος τοῦ διαβόλου, ὅλα γενικῶς μὲ ἀκρίβειαν τὰ πάθη τοῦ δικαίου, ἂς κατασκευάσωμεν διὰ τὸν ἑαυτόν μας πολυτιμότατον λιμένα, ὥστε, ὑπομένοντες ὅλα μὲ γενναιότητα καὶ εὐχαρίστως, καὶ εἰς τὴν παροῦσαν ζωὴν ν' ἀποδιώξωμεν κάθε μικροψυχίαν καὶ τοὺς μισθοὺς διὰ τὴν εὐλάβειαν αὐτὴν ν' ἀπολαύσωμεν, μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΛΟΓΟΣ ΚΘ΄
Α΄ Κορ. 12, 1 - 12

«*Περὶ δὲ τῶν πνευματικῶν, ἀδελφοί, οὐ θέλω ὑμᾶς ἀγνοεῖν. Οἴδατε, ὅτι ὅτε ἔθνη ἦτε, πρὸς τὰ εἴδωλα τὰ ἄφωνα, ὡς ἂν ἤγεσθε, ἀπαγόμενοι*».

1. Τοῦτο ἅπαν τὸ χωρίον σφόδρα ἐστὶν ἀσαφές· τὴν δὲ ἀσάφειαν ἡ τῶν πραγμάτων ἄγνοιά τε καὶ ἔλλειψις ποιεῖ τῶν τότε μὲν συμβαινόντων, νῦν δὲ οὐ γινομένων. Καὶ τίνος ἕνεκεν οὐ γίνεται νῦν; Ἰδοὺ γὰρ καὶ ἡ αἰτία πάλιν τῆς ἀσαφείας ἕτερον ἡμῖν ζήτημα ἔτεκε. Τί δήποτε γὰρ τότε μὲν ἐγίνετο, νῦν δὲ οὐκέτι; Ἀλλὰ τοῦτο μὲν αὖθις ἀναβαλούμεθα, τέως δὲ τὰ συμβαίνοντα τότε λέγωμεν. Τί οὖν τότε συνέβαινεν; Εἴ τις ἐβαπτίσατο, γλώσσαις εὐθέως ἐλάλει, καὶ οὐ γλώσσαις μόνον, ἀλλὰ πολλοὶ καὶ προεφήτευον, τινὲς δὲ καὶ ἑτέρας πλείους δυνάμεις ἐπεδείκνυντο. Ἐπειδὴ γὰρ ἀπὸ τῶν εἰδώλων προσιόντες, οὐδὲν εἰδότες σαφῶς, οὐδὲ ταῖς παλαιαῖς ἐντραφέντες βίβλοις, βαπτισθέντες εὐθέως Πνεῦμα ἐλάμβανον, τὸ δὲ Πνεῦμα οὐχ ἑώρων· ἀόρατον γάρ ἐστιν· αἰσθητόν τινα ἔλεγχον ἐδίδου τῆς ἐνεργείας ἐκείνης ἡ χάρις· καὶ ὁ μὲν τῇ Περσῶν, ὁ δὲ τῇ Ρωμαίων, ὁ δὲ τῇ Ἰνδῶν, ὁ δὲ ἑτέρᾳ τινὶ τοιαύτῃ εὐθέως ἐφθέγγετο γλώσσῃ· καὶ τοῦτο ἐφανέρου τοῖς ἔξωθεν, ὅτι Πνεῦμά ἐστιν ἐν αὐτῷ τῷ φθεγγομένῳ.

Διὸ καὶ οὕτως αὐτὸ καλεῖ λέγων· «Ἑκάστῳ δὲ ἡ φανέρωσις τοῦ πνεύματος δίδοται πρὸς τὸν συμφέρον»· τὰ χα-

ΛΟΓΟΣ ΚΘ΄
Α΄ Κορ. 12, 1 - 12

«Ὡς πρὸς τὰ πνευματικά, ἀδελφοί, δὲν θέλω νὰ εὑρίσκεσθε εἰς ἄγνοιαν. Γνωρίζετε ὅτι ὅταν ἤσασθε εἰδωλολάτραι, ἐφέρεσθε πρὸς τὰ βωβὰ εἴδωλα, ὡσὰν νὰ σᾶς ἔσυρον».

1. Αὐτὸ τὸ χωρίον ὁλόκληρον εἶναι πολὺ ἀσαφές· ἡ δὲ ἀσάφεια ὀφείλεται εἰς τὴν ἄγνοιαν τῶν πραγμάτων καὶ τὴν ἔλλειψιν τῶν ὅσων συνέβαινον τότε, τὰ ὁποῖα τώρα δὲν συμβαίνουν. Καὶ διατί δὲν συμβαίνουν τώρα; Ἰδοὺ λοιπὸν καὶ ἡ αἰτία τῆς ἀσαφείας μᾶς ἐδημιούργησε πάλιν ἄλλο ζήτημα. Διότι τί ἆρά γε συνέβαινε μὲν τότε, τώρα δὲ δὲν συμβαίνει; Ἀλλ' αὐτὸ μὲν ἂς τὸ ἀναβάλωμεν πρὸς τὸ παρόν, καὶ ἂς ἀσχοληθῶμεν τώρα μὲ αὐτὰ ποὺ συνέβαινον τότε. Τί λοιπὸν συνέβαινε τότε; Ἐὰν κάποιος ἐβαπτίζετο, ἀμέσως ὡμίλει γλώσσας, καὶ ὄχι μόνον γλώσσας, ἀλλὰ πολλοὶ καὶ προεφήτευον, μερικοὶ δὲ ἐπεδείκνυον καὶ ἄλλα μεγαλύτερα χαρίσματα. Διότι, μόλις προσήρχοντο ἀπὸ τὴν εἰδωλολατρείαν εἰς τὴν πίστιν, χωρὶς νὰ γνωρίζουν τίποτε σαφῶς καὶ χωρὶς νὰ ἔχουν ἀνατραφῆ μὲ τὰ βιβλία τῆς Παλαιᾶς Διαθήκης, καὶ ἐβαπτίζοντο, ἀμέσως ἐλάμβανον Πνεῦμα, τὸ δὲ Πνεῦμα δὲν τὸ ἔβλεπον, διότι εἶναι ἀόρατον, ἔδιδε δὲ ἡ χάρις κάποιαν αἰσθητὴν ἀπόδειξιν ἐκείνης τῆς ἐνεργείας· καὶ ἄλλος μὲν τὴν γλῶσσαν τῶν Περσῶν, ἄλλος τῶν Ρωμαίων, ἄλλος τῶν Ἰνδῶν, ἄλλος δὲ κάποιαν ἄλλην γλῶσσαν ὡμίλει ἀμέσως· καὶ αὐτὸ ἔκαμνε φανερὸν εἰς τοὺς μὴ πιστούς, ὅτι ὑπάρχει Πνεῦμα εἰς αὐτὸν ποὺ ὁμιλεῖ.

Δι' αὐτὸ καὶ ὀνομάζει ἔτσι αὐτὸ μὲ τοὺς λόγους· «Εἰς τὸν καθένα δίδεται ἡ φανέρωσις τοῦ Πνεύματος διὰ κάποιο καλόν», ἐννοῶν μὲ τὰς λέξεις 'φανέρωσιν πνεύματος'

ρίσματα φανέρωσιν πνεύματος ὀνομάζων. Ἐπειδὴ γὰρ καὶ οἱ ἀπόστολοι τοῦτο πρῶτον σημεῖον ἔλαβον, καὶ οἱ πιστοὶ τοῦτο ἐλάμβανον τὸ τῶν γλωσσῶν, καὶ οὐχὶ τοῦτο μόνον, ἀλλὰ καὶ ἕτερα πλείω. Καὶ γὰρ καὶ νεκροὺς ἤγειρον πολλοί, καὶ δαίμονας ἤλαυνον, καὶ ἄλλα πολλὰ τοιαῦτα ἐθαυματούργουν· καὶ χαρίσματα δὲ εἶχον, οἱ μὲν ἐλάττονα, οἱ δὲ μείζονα. Πλέον δὲ πάντων τὸ τῶν γλωσσῶν ἦν παρ' αὐτοῖς χάρισμα· καὶ τοῦτο αἴτιον σχίσματος αὐτοῖς ἐγένετο, οὐ παρὰ τὴν οἰκείαν φύσιν, ἀλλὰ παρὰ τὴν ἀγνωμοσύνην τῶν εἰληφότων. Οἵ τε γὰρ τὰ μείζονα ἔχοντες ἐπῄροντο κατὰ τῶν τὰ ἐλάττονα κεκτημένων· οὗτοι δ' αὖ πάλιν ἤλγουν, καὶ τοῖς τὰ μείζονα ἔχουσιν ἐφθόνουν. Πλέον δὲ πάντων τὸ τῶν γλωσσῶν ἦν παρ' αὐτοῖς χάρισμα. Καὶ τοῦτο προϊὼν δείκνυσιν αὐτὸς ὁ Παῦλος.

Ἐπεὶ οὖν ἐντεῦθεν καιρίαν ἐλάμβανον πληγήν, διαλυομένης αὐτοῖς τῆς ἀγάπης, πολλὴν σπουδὴν ποιεῖται, ὥστε αὐτὸ διορθῶσαι. Συνέβη μὲν γὰρ τοῦτο καὶ ἐν τῇ Ρώμῃ, ἀλλ' οὐχ οὕτω. Διόπερ καὶ ἐν τῇ πρὸς Ρωμαίους ἐπιστολῇ κινεῖ μὲν αὐτό, συνεσκιασμένως δὲ καὶ ἐν βραχεῖ, λέγων οὕτω· «Καθάπερ γὰρ ἐν ἑνὶ σώματι μέλη πολλὰ ἔχομεν, τὰ δὲ μέλη πάντα οὐ τὴν αὐτὴν ἔχει πρᾶξιν· οὕτως οἱ πολλοὶ ἓν σῶμά ἐσμεν ἐν Χριστῷ, ὁ δὲ καθ' εἷς, ἀλλήλων μέλη. Ἔχοντες δὲ χαρίσματα κατὰ τὴν χάριν τὴν δοθεῖσαν ἡμῖν διάφορα, εἴτε προφητείαν, κατὰ τὴν ἀναλογίαν τῆς πίστεως· εἴτε διακονίαν, ἐν τῇ διακονίᾳ· εἴτε ὁ διδάσκων, ἐν τῇ διδασκαλίᾳ». Ὅτι δὲ καὶ ἐκεῖνοι εἰς ἀπόνοιαν ἐνέπιπτον, ἀρχόμενος ἠνίξατο τοῦτο, οὕτως εἰπών· «Λέγω γὰρ διὰ τῆς χάριτος τῆς δοθείσης μοι παντὶ τῷ ὄντι ἐν ὑμῖν μὴ ὑπερφρονεῖν παρ' ὃ δεῖ φρονεῖν, ἀλλὰ φρονεῖν εἰς τὸ σωφρονεῖν, ἑκάστῳ ὡς ὁ Θεὸς ἐμέρισε μέτρον πίστεως».

---

1. Ρωμ. 12. 4-7.
2. Ρωμ. 12, 3.

τὰ χαρίσματα. Διότι, ἐπειδὴ καὶ οἱ ἀπόστολοι αὐτὸ ἔλαβον ὡς πρῶτον σημεῖον καὶ οἱ πιστοὶ αὐτὸ ἐλάμβανον, τὸ νὰ ὁμιλοῦν γλώσσας, καὶ ὄχι μόνον αὐτό, ἀλλὰ καὶ ἄλλα περισσότερα. Καθ' ὅσον πολλοὶ ἀνέσταινον καὶ νεκροὺς καὶ δαίμονας ἐξέβαλλον, καὶ ἄλλα πολλὰ τέτοια θαύματα ἔκαμνον' καὶ εἶχον μὲν χαρίσματα, ἄλλοι μὲν μικρότερα, ἄλλοι δὲ μεγαλύτερα. Μεγαλύτερον δὲ ἀπὸ ὅλα ἦτο δι' αὐτοὺς τὸ χάρισμα τῶν γλωσσῶν' καὶ αὐτὸ ἐγίνετο εἰς αὐτοὺς αἰτία διὰ σχίσμα, ὄχι ἀπὸ τὴν φύσιν του, ἀλλ' ἀπὸ τὴν ἀχαριστίαν ἐκείνων ποὺ τὸ ἔλαβον. Διότι καὶ αὐτοὶ ποὺ εἶχον τὰ μεγαλύτερα ὑπερηφανεύοντο εἰς βάρος αὐτῶν ποὺ εἶχον τὰ μικρότερα, καὶ αὐτοὶ πάλιν ποὺ εἶχον τὰ μικρότερα ἐστενοχωροῦντο καὶ ἐφθόνουν αὐτοὺς ποὺ εἶχον τὰ μεγαλύτερα. Μεγαλύτερον δὲ ἀπὸ ὅλα τὰ χαρίσματα ἦτο δι' αὐτοὺς τὸ χάρισμα τῶν γλωσσῶν. Καὶ αὐτὸ δεικνύει ὁ ἴδιος ὁ Παῦλος παρακάτω.

Ἐπειδὴ λοιπὸν ἐπληγώνοντο θανασίμως ἀπὸ αὐτό, ἐφ' ὅσον κατελύετο εἰς αὐτοὺς ἡ ἀγάπη, καταβάλλει πολλὴν προσπάθειαν διὰ νὰ τὸ διορθώσῃ. Διότι συνέβη μὲν αὐτὸ καὶ εἰς τὴν Ρώμην, ἀλλ' ὄχι ἔτσι. Δι' αὐτὸ καὶ εἰς τὴν πρὸς Ρωμαίους ἐπιστολὴν θίγει μὲν αὐτό, ἀλλὰ συντόμως καὶ ὄχι σαφῶς καὶ λέγει τὰ ἑξῆς' «Διότι ὅπως εἰς ἓν σῶμα ἔχομεν πολλὰ μέρη, ἀλλ' ὅλα τὰ μέλη δὲν ἔχουν τὴν ἰδίαν λειτουργίαν, ἔτσι ἐμεῖς οἱ πολλοὶ ἀποτελοῦμεν ἓν σῶμα ἐν Χριστῷ καὶ ὁ καθεὶς εἴμεθα μέλη ὁ ἕνας τοῦ ἄλλου. Ἔχοντες δὲ χαρίσματα διαφορετικά, συμφώνως μὲ τὴν χάριν ποὺ μᾶς ἐδόθη, ἂς τὰ χρησιμοποιήσωμεν, ἐὰν προφητείαν, ἀναλόγως μὲ τὴν πίστιν μας, ἐὰν ὑπηρεσίαν, εἰς τὸ ἔργον τῆς ὑπηρεσίας, ὁ διδάσκαλος εἰς τὴν διδασκαλίαν»[1]. Τὸ ὅτι δὲ καὶ ἐκεῖνοι ἔπιπτον ἀπὸ αὐτὸ εἰς παραφροσύνην, τὸ ὑπηνίχθη ὅταν ἤρχιζε τὴν ἐπιστολὴν μὲ τοὺς ἑξῆς λόγους' «Διὰ τῆς χάριτος ποὺ μοῦ ἐδόθη, λέγω εἰς τὸν καθένα ἀπὸ σᾶς νὰ μὴ ἔχῃ διὰ τὸν ἑαυτόν του μεγαλυτέραν ἰδέαν ἀπὸ ἐκείνην ποὺ πρέπει νὰ ἔχῃ, ἀλλὰ νὰ σκέπτεται μὲ μετριοφροσύνην ἀναλόγως μὲ τὸ μέτρον πίστεως ποὺ ἐμοίρασεν ὁ Θεὸς εἰς τὸν καθένα»[2].

Ἐκείνοις μὲν οὖν· οὐδὲ γὰρ πολὺ τὸ νόσημα ἦν τῆς διαστάσεως καὶ ἀπονοίας· οὕτω διείλεκται· ἐνταῦθα δὲ μετὰ πολλῆς τῆς σπουδῆς· καὶ γὰρ σφοδρὰ τοῦ πάθους ἦν ἡ νομή. Καὶ οὐδὲ τοῦτο μόνον αὐτοὺς ἐθορύβει, ἀλλὰ καὶ μάντεις ἦσαν αὐτόθι πολλοί, ἅτε Ἑλληνικώτερον τῆς πόλεως διακειμένης, καὶ μετὰ τῶν ἄλλων καὶ τοῦτο αὐτοὺς ὑπεσκέλιζε καὶ ἐτάραττε. Διὸ καὶ ἀρχόμενος, πρῶτον τὸ μέσον μαντείας καὶ προφητείας τίθησι. Διὰ τοῦτο καὶ διακρίσεις ἔλαβον πνευμάτων, ὥστε διακρίνειν καὶ εἰδέναι, τίς μὲν ὁ Πνεύματι φθεγγόμενος καθαρῷ, τίς δὲ ἀκαθάρτῳ. Ἐπειδὴ γὰρ αὐτόθεν οὐκ ἦν παρασχεῖν τῶν λεγομένων τὴν ἀπόδειξιν· προφητεία γὰρ οὐκ ἐν τῷ καιρῷ, ᾧ λέγεται, ἀλλ' ἐν τῷ καιρῷ τῆς ἐκβάσεως παρέχεται τῆς οἰκείας ἀληθείας τὸν ἔλεγχον· καὶ οὐκ ἦν εὔκολον αὐτὴν διαγνῶναι, τίς μὲν ὁ προφητεύων, τίς δὲ ὁ ψευδόμενος (καὶ γὰρ μιαρὸς ὢν ὁ διάβολος ἐπισῄει τοῖς προφητεύουσι, ψευδοπροφήτας εἰσάγων ὡς δῆθεν τὰ μέλλοντα προλέγοντας καὶ αὐτούς)· εἶτα ἐπειδὴ τέως ὑπεύθυνα ἦν τὰ λεγόμενα, οὔπω τῶν πραγμάτων ἐκβάντων περὶ ὧν προελέγετο, καὶ ῥᾳδίως παρεκρούετο· τὸν γὰρ ψευδόμενον καὶ τὸν ἀληθεύοντα τὸ τέλος ἤλεγχεν· ἵνα δὲ μηδὲ πρὸ τοῦ τέλους ἀπατῶνται οἱ ἀκροαταί, δίδωσιν αὐτοῖς σημεῖον, ὃ καὶ πρὸ τῆς ἐκβάσεως ἐδείκνυ τοῦτον κἀκεῖνον· καὶ ἐντεῦθεν λαβὼν ἀκολουθίαν καὶ ἀρχήν, οὕτω καὶ εἰς τὸν περὶ τῶν χαρισμάτων ἐκβαίνει λόγον, καὶ τὴν φιλονεικίαν διορθοῦται τὴν καὶ ἐντεῦθεν γινομένην.

Τέως μέντοι τοῦ περὶ τῶν μάντεων ἄρχεται λόγου οὕτω λέγων· «Περὶ δὲ τῶν πνευματικῶν οὐ θέλω ὑμᾶς ἀγνοεῖν, ἀδελφοί»· πνευματικὰ τὰ σημεῖα καλῶν, ὅτι μάλιστα ταῦτα ἔργα τοῦ Πνεύματος μόνου, οὐδὲν ἀνθρωπίνης ἐπεισφερούσης σπουδῆς εἰς τὸ τὰ τοιαῦτα θαυματουργεῖν. Καὶ μέλλων περὶ αὐτῶν διαλέγεσθαι, πρότερον, ὅπερ ἔφην, τὴν

Εἰς ἐκείνους μὲν λοιπόν, ἐπειδὴ δὲν ἦτο προχωρημένη ἡ νόσος τῆς διαιρέσεως καὶ τῆς παραφροσύνης, ἔτσι ὡμίλησεν, ἐδῶ ὅμως μὲ πολλὴν βαρύτητα· διότι τὸ πάθος τοὺς κατέτρωγε πολύ. Καὶ δὲν τοὺς ἐτάρασσεν αὐτὸ μόνον, ἀλλ' ἦσαν καὶ πολλοὶ μάντεις ἐκεῖ, ἐπειδὴ ἡ πόλις ἦτο εἰδωλολατρικωτέρα, καὶ μαζὶ μὲ τὰ ἄλλα καὶ αὐτὸ τοὺς ἐξηπάτει καὶ τοὺς ἐτάρασσε. Δι' αὐτὸ καὶ εἰς τὴν ἀρχὴν πρῶτον διὰ τὴν μαντείαν καὶ τὴν προφητείαν ὁμιλεῖ. Δι' αὐτὸ καὶ ἔλαβον τὸ χάρισμα νὰ διακρίνουν τὰ πνεύματα, διὰ νὰ διακρίνουν καὶ νὰ γνωρίζουν, ποῖος μὲν ὁμιλεῖ μὲ καθαρὸν πνεῦμα, ποῖος δὲ μὲ ἀκάθαρτον. Διότι, ἐπειδὴ δὲν ἦτο δυνατὸν νὰ δοθῇ ἀμέσως ἡ ἀπόδειξις τῶν λεγομένων, ἀφοῦ ἡ προφητεία ἀποδεικνύεται ἀληθὴς ὄχι ὅταν λέγεται, ἀλλ' ὅταν πραγματοποιῆται, καὶ δὲν ἦτο εὔκολον νὰ διαπιστωθῇ ποῖος ὁ προφήτης καὶ ποῖος ὁ ψευδοπροφήτης (καθ' ὅσον ὁ ἀποτρόπαιος διάβολος ἐπεισήρχετο εἰς τοὺς προφητεύοντας καὶ εἰσῆγε μεταξὺ αὐτῶν ψευδοπροφήτας ποὺ προέλεγον δῆθεν τὸ μέλλον καὶ αὐτοί)· ἐν συνεχείᾳ, ἐπειδὴ ἕως ἐκεῖνον τὸν καιρὸν ἦσαν ἀνεύθυνα ὅσα ἐλέγοντο, ἀφοῦ ἀκόμη δὲν εἶχεν ἔλθει ὁ καιρὸς διὰ νὰ πραγματοποιηθοῦν αὐτὰ ποὺ προεφητεύοντο, εὐκόλως τοὺς ἐξηπάτει· διότι αὐτὸν ποὺ ἐψεύδετο καὶ αὐτὸν ποὺ ἔλεγε τὴν ἀλήθειαν τοὺς ἀπεδείκνυε τὸ τέλος· διὰ νὰ μὴ ἐξαπατῶνται ὅμως οἱ ἀκροαταὶ πρὶν ἀπὸ τὸ τέλος, δίδει εἰς αὐτοὺς σημεῖον, τὸ ὁποῖον ἀπεκάλυπτε καὶ πρὶν τὴν πραγματοποίησιν τῶν προφητειῶν καὶ τὸν προφήτην καὶ τὸν ψευδοπροφήτην· καὶ ἀφοῦ ἔλαβε καὶ τὴν ἀρχὴν καὶ τὴν συνέχειαν ἀπὸ αὐτό, εἰσέρχεται καὶ εἰς τὸν λόγον περὶ τῶν χαρισμάτων καὶ τὴν φιλονεικίαν διορθώνει ἡ ὁποία προήρχετο ἀπὸ ἐδῶ.

Ἐν τῷ μεταξὺ ὅμως ἀρχίζει τὸν λόγον διὰ τοὺς μάντεις μὲ τοὺς ἑξῆς λόγους· «Ὡς πρὸς τὰ πνευματικά, ἀδελφοί, δὲν θέλω νὰ εὑρίσκεσθε εἰς ἄγνοιαν», καὶ ἐννοεῖ πνευματικὰ τὰ σημεῖα, διότι αὐτὰ εἶναι κατ' ἐξοχὴν ἔργα μόνον τοῦ ἁγίου Πνεύματος, ἐνῷ ἡ ἀνθρωπίνη δύναμις δὲν ἠμπορεῖ τίποτε νὰ προσφέρῃ εἰς τὸ νὰ γίνωνται τέτοια θαύματα. Καὶ ἐπειδὴ πρόκειται νὰ ὁμιλήσῃ δι' αὐτά, πρώτην, ὅπως

διαφορὰν τῆς μαντείας καὶ τῆς προφητείας τίθησιν, οὕτω λέγων· «Οἴδατε ὅτι ὅτε ἔθνη ἦτε, πρὸς τὰ εἴδωλα τὰ ἄφωνα, ὡς ἂν ἤγεσθε, ἀπαγόμενοι». Ὃ δὲ λέγει, τοῦτό ἐστιν· ἐν τοῖς εἰδώλοις, φησίν, εἴποτε κατεσχέθη τις ὑπὸ πνεύματος ἀκαθάρτου καὶ ἐμαντεύετο, ὥσπερ ἀπαγόμενος, οὕτως εἵλκετο ὑπὸ τοῦ πνεύματος δεδεμένος, οὐδὲν εἰδὼς ὧν λέγει. Τοῦτο γὰρ μάντεως ἴδιον, τὸ ἐξεστηκέναι, τὸ ἀνάγκην ὑπομένειν, τὸ ὠθεῖσθαι, τὸ ἕλκεσθαι, τὸ σύρεσθαι ὥσπερ μαινόμενον. Ὁ δὲ προφήτης οὐχ οὕτως, ἀλλὰ μετὰ διανοίας νηφούσης, καὶ σωφροσύνης καὶ καταστάσεως, καὶ εἰδὼς ἃ φθέγγεται, ἅπαντά φησιν. Ὥστε καὶ πρὸ τῆς ἐκβάσεως κἀντεῦθεν γνώριζε τὸν μάντιν καὶ τὸν προφήτην.

2. Καὶ σκόπει πῶς ἀνύποπτον ποιεῖ τὸν λόγον· αὐτοὺς μάρτυρας καλεῖ τοὺς ἐν τῇ πείρᾳ τοῦ πράγματος γενομένους. Ὅτι γὰρ οὐ ψεύδομαι, φησίν, οὐδὲ ἁπλῶς διασύρω τὰ τῶν ἐθνῶν, ὡς ἐχθρὸς πλάττων, αὐτοὶ ὑμεῖς μοι μαρτυρήσατε. Καὶ γὰρ οἴδατε, ὅτε Ἕλληνες ἦτε, πῶς ἀπήγεσθε ἑλκόμενοι τότε. Εἰ δέ τις καὶ τούτους ὡς πιστοὺς ὑπόπτους εἶναι φαίη, φέρε καὶ ἐκ τῶν ἔξωθεν τοῦτο ὑμῖν ποιήσω φανερόν. Ἄκουσον γοῦν Πλάτωνος λέγοντος οὕτως· «Ὥσπερ οἱ χρησμῳδοὶ καὶ οἱ θεομάντεις λέγουσι μὲν πολλὰ καὶ καλά, ἴσασι δὲ οὐδὲν ὧν λέγουσιν». Ἄκουσον γοῦν καὶ ἑτέρου ποιητοῦ ταῦτα αὐτὰ ἐνδεικνυμένου. Ἐπειδὴ γὰρ τελεταῖς τισι καὶ μαγγανείαις κατέδησε δαίμονά τις εἰς ἄνθρωπον, καὶ ἐμαντεύετο ἐκεῖνος, καὶ μαντευόμενος ἐρριπτεῖτο καὶ ἐσπαράττετο, καὶ ἐνεγκεῖν τοῦ δαίμονος τὴν ὁρμὴν οὐκ ἠδύνατο, ἀλλ' ἔμελλε διασπώμενος οὕτως ἀπόλλυσθαι, τοῖς τὰ τοιαῦτα μαγγανεύουσί φησι·

Λύσατε λοιπόν, ἄνακτα βροτὸς Θεὸν οὐκέτι χωρεῖ

καὶ πάλιν,

εἶπον, παρουσιάζει τὴν διαφορὰν τῆς μαντείας ἀπὸ τὴν προφητείαν, μὲ τοὺς λόγους· «Γνωρίζετε ὅτι ὅταν ἤσασθε εἰδωλολάτραι, ἐφέρεσθε πρὸς τὰ βωβὰ εἴδωλα, ὡσὰν νὰ σᾶς ἔσυρον». Αὐτὸ ποὺ ἐννοεῖ δέ, εἶναι τὸ ἑξῆς· εἰς τὰ εἴδωλα, λέγει, ὅποιος κατείχετο ἀπὸ ἀκάθαρτον πνεῦμα καὶ ἦτο μάντις, ὡσὰν νὰ ἐκλέπτετο, ἔτσι ἐσύρετο δεμένος ἀπὸ τὸ πνεῦμα, χωρὶς νὰ γνωρίζῃ τίποτε ἀπὸ ὅσα λέγει. Διότι αὐτὸ εἶναι γνώρισμα τοῦ μάντεως, τὸ ὅτι εἶναι ἐκτὸς ἑαυτοῦ, τὸ ὅτι ἀναγκαστικῶς ὑφίσταται ὅ,τι συμβαίνει, τὸ ὅτι ὠθεῖται, τὸ ὅτι ἕλκεται, τὸ ὅτι σύρεται ὡσὰν νὰ εἶναι μανιακός. Ὁ προφήτης ὅμως δὲν εἶναι ἔτσι, ἀλλὰ μὲ νηφάλιον νοῦν καὶ σωφροσύνην καὶ ἠρεμίαν, καὶ μὲ γνῶσιν τῶν ὅσων λέγει, προφητεύει πάντοτε. Ὥστε καὶ πρὶν πραγματοποιηθοῦν αἱ προφητεῖαι, γνώριζε καὶ ἀπὸ αὐτὸ τὸν μάντιν καὶ τὸν προφήτην.

2. Καὶ πρόσεξε πῶς κάνει τὸν λόγον νὰ μὴ ἀφήνῃ ὑποψίαν· καλεῖ αὐτοὺς τοὺς ἰδίους μάρτυρας οἱ ὁποῖοι εἶχον πεῖραν τοῦ πράγματος. Διότι διὰ τὸ ὅτι δὲν ψεύδομαι, λέγει, οὔτε διασύρω ἐπιπολαίως τὰ τῶν εἰδωλολατρῶν, μὲ τὸ νὰ ἐπινοῶ ψεύδη ὡσὰν ἐχθρός, σεῖς οἱ ἴδιοι εἴσθε μάρτυρες. Διότι γνωρίζετε πῶς σᾶς ὡδήγουν συρομένους, ὅταν ἤσασθε εἰδωλολάτραι. Ἐὰν δὲ κάποιος εἰπῇ, ὅτι καὶ αὐτοὶ ἴσως εἶναι πιστοί, περίμενε καὶ θὰ κάνω αὐτὸ φανερὸν καὶ ἀπὸ τοὺς εἰδωλολάτρας. Ἄκουσε λοιπὸν τὸν Πλάτωνα ποὺ λέγει· «Ὅπως αὐτοὶ ποὺ δίδουν χρησμοὺς καὶ οἱ μάντεις λέγουν μὲν πολλὰ καὶ καλά, ἀλλὰ δὲν γνωρίζουν τίποτε ἀπὸ ὅσα λέγουν». Ἄκουσε λοιπὸν καὶ ἄλλον ποιητὴν ποὺ δεικνύει αὐτά. Ἐπειδὴ δηλαδὴ μὲ ὡρισμένας τελετὰς καὶ μαγείας κάποιος ἔδεσε δαίμονα εἰς ἄνθρωπον καὶ ἐκεῖνος ἐμάντευε, καὶ καθὼς ἐμάντευεν ἔπιπτε κάτω καὶ ἐσπαράσσετο καὶ δὲν ἠμποροῦσε νὰ ὑπομείνῃ τὴν ὁρμὴν τοῦ δαίμονος, ἀλλ' ἐπρόκειτο ν' ἀποθάνῃ ἀφοῦ θὰ κατατεμαχίζετο, λέγει εἰς τοὺς διαπράττοντας τέτοια μαγικά·

Ἐλευθερώσατε λοιπόν, βασιλέα θεὸν θνητὸς δὲν ἠμπορεῖ νὰ χωρέσῃ,

καὶ πάλιν·

Λύσατέ μοι στεφάνους, καί μευ πόδας ὕδατι λευκῷ
Ράνατε, καὶ γραμμὰς ἀπαλείψατε, καί γε μολοῖμι.

Ταῦτα γὰρ καὶ τὰ τοιαῦτα· καὶ γάρ ἐστι πολλῷ πλείονα εἰπεῖν· ἀμφότερα ταῦτα ἡμῖν ἐνδείκνυται, καὶ τὴν ἀνάγκην ἣν κατεχόμενοι δουλεύουσιν οἱ δαίμονες, καὶ τὴν βίαν ἣν ὑπομένοντες οἱ καθάπαξ ἑαυτοὺς ἐκδόντες αὐτοῖς, καὶ τῶν κατὰ φύσιν ἐξίστανται φρενῶν. Καὶ ἡ Πυθία δὲ (ἀναγκάζομαι γὰρ καὶ ἑτέραν αὐτῶν ἀσχημοσύνην ἐκπομπεῦσαι νῦν, ἣν καλὸν μὲν ἦν παρεαθῆναι διὰ τὸ ἡμῖν ἀπρεπὲς εἶναι καὶ τὰ τοιαῦτα λέγειν· ὥστε δὲ σαφέστερον αὐτῶν μαθεῖν τὴν αἰσχύνην, ἀναγκαῖον εἰπεῖν, ἵνα κἀντεῦθεν μάθητε τὴν παράνοιαν καὶ τὸν πολὺν γέλωτα τῶν τοῖς μάντεσι κεχρημένων), Λέγεται τοίνυν αὕτη ἡ Πυθία γυνή τις οὖσα ἐπικαθῆσθαι τῷ τρίποδί ποτε τοῦ Ἀπόλλωνος, διαιροῦσα τὰ σκέλη· εἶθ' οὕτω πνεῦμα πονηρὸν κάτωθεν ἀναδιδόμενον, καὶ διὰ τῶν γεννητικῶν αὐτῆς διαδυόμενον μορίων, πληροῦν τὴν γυναῖκα τῆς μανίας, καὶ ταύτην τὰς τρίχας λύουσαν λοιπὸν ἐκβακχεύεσθαί τε, καὶ ἀφρὸν τοῦ στόματος ἀφιέναι, καὶ οὕτως ἐν παροινίᾳ γενομένην τὰ τῆς μανίας φθέγγεσθαι ῥήματα. Οἶδα ὅτι ᾐσχύνθητε καὶ ἠρυθριάσατε ταῦτα ἀκούσαντες· ἀλλ' ἐκεῖνοι καὶ μέγα φρονοῦσι καὶ διὰ τὴν ἀσχημοσύνην καὶ διὰ τὴν μανίαν ταύτην.

Ταῦτα οὖν καὶ τὰ τοιαῦτα ὁ Παῦλος ἅπαντα ἀνακινῶν ἔλεγεν· «Οἴδατε, ὅτι ἔθνη ἦτε, πρὸς τὰ εἴδωλα τὰ ἄφωνα, ὡς ἂν ἤγεσθε, ἀπαγόμενοι». Καὶ ἐπειδὴ πρὸς εἰδότας διελέγετο, οὐ τίθησι πάντα μετὰ ἀκριβείας, μὴ βουλόμενος αὐτοῖς ἐνοχλεῖν, ἀλλ' ἀναμνήσας μόνον καὶ εἰς ἔννοιαν ἁπάντων αὐτοὺς ἀγαγών, ἀπαλλάττεται ταχέως, πρὸς τὸ προκείμενον ἐπειγόμενος. Τί δέ ἐστι, «πρὸς τὰ εἴδωλα τὰ ἄφωνα»; Οὗτοι οἱ μάντεις πρὸς ἐκεῖνα ἤγοντο ἑλκόμενοι. Εἰ δὲ αὐτὰ

Προσφέρατέ μου στεφάνους καὶ τὰ πόδια μου μὲ καθαρὸν ὕδωρ ραντίσατε, καὶ ἐξαλείψατε τὰ δεσμὰ καὶ ἐγὼ θὰ φύγω.

Αὐτὰ λοιπὸν καὶ τὰ παρόμοια μὲ αὐτά· διότι εἶναι δυνατὸν νὰ εἰποῦμεν πολὺ περισσότερα· καὶ τὰ δύο αὐτὰ μᾶς δεικνύουν καὶ τὴν ἀνάγκην ποὺ ὑπηρετοῦν ἀφοῦ κατέχονται ἀπὸ αὐτὴν οἱ δαίμονες, καὶ τὴν βίαν ποὺ ὑπομένουν ὅσοι ἔδωσαν μίαν φορὰν τὸν ἑαυτόν των εἰς αὐτούς, χάνοντες καὶ τὰ λογικά των. Καὶ ἡ Πυθία (καθ' ὅσον ἀναγκάζομαι τώρα νὰ διαπομπεύσω καὶ ἄλλην ἀσχημίαν των, τὴν ὁποίαν θὰ ἦτο μὲν καλὸν νὰ ἀποφύγωμεν, διότι εἶναι ἀπρεπὲς δι' ἐμᾶς νὰ λέγωμεν τέτοια, ἀλλὰ διὰ νὰ γνωρίσωμεν σαφέστερον τὴν ἐντροπήν των, εἶναι ἀνάγκη νὰ τὸ εἰπῶ, ὥστε καὶ ἀπὸ αὐτὸ νὰ γνωρίσετε τὴν παραφροσύνην καὶ τὴν γελοιότητα ὅλων ἐκείνων ποὺ ἔπραττον οἱ μάντεις). Λέγεται λοιπὸν ὅτι αὐτὴ ἡ Πυθία, ποὺ ἦτο γυναῖκα, ἐκάθησε κάποτε εἰς τὸν τρίποδα τοῦ Ἀπόλλωνος μὲ ἀνοικτὰ τὰ σκέλη· ἐσυνηθίζετο ἔτσι κάποιο πονηρὸν πνεῦμα τὸ ὁποῖον ἀπὸ κάτω ἀνέβαινε πρὸς τὰ ἄνω καὶ ἀφοῦ διήρχετο διὰ τῶν γεννητικῶν της ὀργάνων, νὰ γεμίζῃ τὴν γυναῖκα ἀπὸ μανίαν, καὶ αὐτή, ἀφοῦ ἔλυε τὰ μαλλιά της ἐν συνεχείᾳ, κατελαμβάνετο ἀπὸ βακχικὴν μανίαν καὶ ὅτι ἐξέβαλλεν ἀφρὸν ἀπὸ τὸ στόμα, καὶ ἔτσι, ἀφοῦ ἔφθανεν εἰς μέθην, ἔλεγε τοὺς λόγους ποὺ ἦσαν λόγοι μανίας. Γνωρίζω ὅτι ἐνοιώσατε ἐντροπὴν καὶ ἐκοκκινίσατε ποὺ ἠκούσατε αὐτά· ἐκεῖνοι ὅμως εἶχον καὶ διὰ καύχημα αὐτὴν τὴν ἀσχημίαν καὶ τὴν μανίαν.

Ἀνακινῶν λοιπὸν ὅλα αὐτὰ καὶ τὰ παρόμοια ὁ Παῦλος ἔλεγεν· «Γνωρίζετε, ὅτι ὅταν ἦσασθε εἰδωλολάτραι, ἐφέρεσθε πρὸς τὰ βωβὰ εἴδωλα ὡσὰν νὰ ἐσύρεσθε». Καὶ ἐπειδὴ ὡμίλει εἰς γνώστας αὐτῶν τῶν πραγμάτων, δὲν ἐκθέτει ὅλα λεπτομερῶς, διότι δὲν θέλει νὰ τοὺς ἐνοχλήσῃ, ἀλλ' ἀφοῦ τοὺς τὰ ὑπενθύμισε μόνον καὶ τοὺς ὡδήγησεν εἰς τὴν σκέψιν ὅλων αὐτῶν, ἀμέσως ἀπομακρύνεται καὶ ἔρχεται εἰς τὸ θέμα διὰ τὸ ὁποῖον ὁμιλεῖ. Τί σημαίνει δὲ «πρὸς τὰ βωβὰ εἴδωλα»; Αὐτοὶ οἱ μάντεις συρόμενοι ὡδηγοῦντο εἰς ἐκεῖνα. Ἐὰν ὅμως αὐτὰ ἦσαν βωβά, πῶς ἔδιδον χρη-

ἄφωνα, πῶς ἑτέροις ἔχρα; τίνος δὲ ἕνεκεν τοῖς ξοάνοις αὐτοὺς προσῆγεν ὁ δαίμων; Ὡς αἰχμαλώτους καὶ δεσμίους· ὁμοῦ δὲ καὶ τὴν πλάνην πιθανὴν ἐργαζόμενος. Ἵνα γὰρ μὴ δόξῃ ὁ λίθος ἄφωνος εἶναι, ἐσπούδαζον τοῖς εἰδώλοις προσηλοῦν τοὺς ἀνθρώπους, ἵνα τὰ αὐτῶν ἐκείνοις ἐπιγράφηται.

Ἀλλ' οὐ τὰ ἡμέτερα τοιαῦτα. Ἀλλ' οὐκ ἔθηκε τὰ ἡμέτερα, τὰ τῶν προφητῶν λέγω· καὶ γὰρ δῆλα ἦν αὐτοῖς ἅπασι, καὶ ἐν αὐτοῖς προεφήτευον, ὡς αὐτοῖς πρέπον ἦν, μετὰ συνέσεως καὶ ἐλευθερίας ἁπάσης. Διά τοι τοῦτο καὶ τοῦ εἰπεῖν καὶ τοῦ μὴ εἰπεῖν ἦσαν κύριοι· οὐ γὰρ ἀνάγκῃ κατείχοντο, ἀλλ' ἐξουσίᾳ ἦσαν τετιμημένοι. Διὰ τοῦτο καὶ Ἰωνᾶς ἔφυγε, διὰ τοῦτο καὶ Ἰεζεκιὴλ ἀνεβάλλετο, διὰ τοῦτο καὶ Ἰερεμίας παρῃτεῖτο. Ὁ δὲ Θεὸς οὐ μετὰ ἀνάγκης αὐτοὺς ὤθει, ἀλλὰ συμβουλεύων, παραινῶν, ἀπειλῶν, οὐ σκοπῶν τὴν διάνοιαν. Δαίμονος μὲν γὰρ ἴδιον, τὸ θόρυβον καὶ μανίαν ποιεῖν, καὶ πολὺν τὸν ζόφον, Θεοῦ δὲ τὸ φωτίζειν, καὶ μετὰ συνέσεως διδάσκειν τὰ δέοντα.

3. Πρώτη μὲν οὖν αὕτη διαφορὰ μάντεως καὶ προφήτου· δευτέρα δὲ ἑτέρα, ἣν ἐφεξῆς τίθησι, λέγων· «Διὸ γνωρίζω ὑμῖν, ὅτι οὐδεὶς Πνεύματι Θεοῦ λαλῶν, λέγει ἀνάθεμα Ἰησοῦ». Εἶτα καὶ ἑτέραν· «Καὶ οὐδεὶς δύναται εἰπεῖν Κύριον Ἰησοῦν εἰ μὴ ἐν Πνεύματι ἁγίῳ». Ὅταν οὖν ἴδῃς, φησί, τινὰ μὴ φθεγγόμενον αὐτοῦ τὸ ὄνομα, ἢ καὶ ἀναθεματίζοντα, νόησον ὅτι μάντις ἐστί. Πάλιν, ὅταν ἴδῃς ἕτερον μετὰ τοῦ ὀνόματος αὐτοῦ πάντα φθεγγόμενον, νόησον ὅτι πνευματικός ἐστι. Τί οὖν, φησί, περὶ τῶν κατηχουμένων ἂν εἴποιμεν; Εἰ γὰρ οὐδεὶς δύναται εἰπεῖν Κύριον Ἰησοῦν, εἰ μὴ ἐν Πνεύματι ἁγίῳ, τί ἂν εἴποιμεν περὶ τούτων, ὀνομαζόντων μὲν αὐτοῦ τὸ ὄνομα, Πνεύματος δὲ ἀπεστερημένων; Ἀλλ' οὐ περὶ τούτων ὁ λόγος αὐτῷ νῦν· οὐ γὰρ ἦσαν κατη-

σμὸν εἰς ἄλλους; Διατί δὲ ὁ δαίμων ὡδήγει αὐτοὺς εἰς τὰ ξόανα; Ἐπειδὴ ἦσαν αἰχμάλωτοι καὶ δεσμῶται καὶ συγχρόνως διὰ νὰ κάνῃ τὴν πλάνην πιστευτήν. Διὰ νὰ μὴ φανῇ δηλαδὴ ὅτι ὁ λίθος εἶναι ἄφωνος, προσεπάθουν νὰ προσηλώσουν τοὺς ἀνθρώπους εἰς τὰ εἴδωλα, διὰ νὰ γράφουν ἐπάνω εἰς αὐτὰ τὰ ἰδικά των.

Ἀλλὰ τὰ ἰδικά μας δὲν εἶναι τέτοια. Δὲν ἐξέθεσεν ὅμως τὰ ἰδικά μας, δηλαδὴ τὰ τῶν προφητῶν· διότι ἦσαν φανερὰ εἰς ὅλους καὶ μεταξὺ αὐτῶν προεφήτευον, ὅσον ἔπρεπεν εἰς αὐτούς, μὲ κάθε σύνεσιν καὶ ἐλευθερίαν. Διὰ τοῦτο ἦσαν ἐλεύθεροι καὶ νὰ εἰποῦν καὶ νὰ μὴ εἰποῦν· διότι δὲν κατείχοντο ἀπὸ κάποιαν ἀνάγκην, ἀλλ' εἶχον τιμηθῆ μὲ ἐξουσίαν. Δι' αὐτὸ καὶ ὁ Ἰωνᾶς ἔφυγε, διὰ τοῦτο καὶ ὁ Ἰεζεκιὴλ ἀνέβαλλε, διὰ τοῦτο καὶ ὁ Ἰερεμίας παρῃτεῖτο. Ὁ Θεὸς δὲ δὲν παρώτρυνεν αὐτοὺς μὲ βίαν, ἀλλὰ συνεβούλευε, παρώτρυνε, ὑπέσχετο, δὲν ἐσκότιζε τὸν νοῦν. Διότι γνώρισμα μὲν τοῦ δαίμονος εἶναι τὸ νὰ κάμνῃ θόρυβον καὶ νὰ φέρῃ μανίαν καὶ πολὺ σκότος, ἐνῷ τοῦ Θεοῦ, τὸ νὰ φωτίζῃ καὶ νὰ διδάσκῃ τὰ πρέποντα μέσῳ συμβολῶν.

3. Πρώτη μὲν διαφορὰ μάντεως καὶ προφήτου εἶναι λοιπὸν αὐτή, δευτέρα δὲ ἄλλη, τὴν ὁποίαν ἐκθέτει ἀκολούθως μὲ τοὺς λόγους· «Διὰ τοῦτο σᾶς κάνω γνωστὸν ὅτι κανεὶς ποὺ ὁμιλεῖ διὰ τοῦ Πνεύματος τοῦ Θεοῦ δὲν λέγει ἀνάθεμα τὸν Ἰησοῦν». Ὕστερον καὶ ἄλλην· «Καὶ κανεὶς δὲν ἠμπορεῖ νὰ εἰπῇ Κύριον τὸν Ἰησοῦν παρὰ διὰ τοῦ ἁγίου Πνεύματος». Ὅταν λοιπὸν ἰδῇς, λέγει, κάποιον ποὺ δὲν λέγει τὸ ὄνομα τοῦ Ἰησοῦ ἢ καὶ νὰ τὸν ἀναθεματίζῃ, γνώριζε ὅτι εἶναι μάντις. Πάλιν, ὅταν ἰδῇς ἄλλον ποὺ νὰ λέγῃ ὅλα μαζὶ μὲ τὸ ὄνομα τοῦ Χριστοῦ, γνώριζε ὅτι εἶναι πνευματικός. Τί λοιπόν, θὰ ἐρωτήσῃ κάποιος, θὰ εἰποῦμεν δι' ὅσους εὑρίσκονται εἰς τὸ στάδιον τῆς κατηχήσεως; Διότι ἐὰν κανεὶς δὲν ἠμπορῇ νὰ εἰπῇ Κύριον τὸν Ἰησοῦν, παρὰ μόνον διὰ τοῦ ἁγίου Πνεύματος, τί θὰ εἰποῦμεν δι' αὐτοὺς ποὺ λέγουν τὸ ὄνομα τοῦ Χριστοῦ, ἀλλὰ στεροῦνται τῆς χάριτος τοῦ ἁγίου Πνεύματος; Ἀλλ' αὐτὸς τώρα δὲν ὁμιλεῖ δι' αὐτούς, διότι δὲν ὑπῆρχον τότε

χούμενοι τότε· ἀλλὰ περὶ πιστῶν καὶ ἀπίστων.

Τί οὖν; οὐδεὶς δαίμων ὀνομάζει τὸν Θεόν; οὐχὶ οἱ δαιμονῶντες ἔλεγον, «Οἴδαμέν σε τίς εἶ, ὁ Υἱὸς τοῦ Θεοῦ»; οὐχὶ Παύλῳ ἔλεγον, «Οὗτοι οἱ ἄνθρωποι δοῦλοι τοῦ Θεοῦ τοῦ ὑψίστου εἰσίν»; Ἀλλὰ μαστιζόμενοι, ἀλλ' ἀναγκαζόμενοι· ἑκόντες δὲ καὶ μὴ μαστιγούμενοι, οὐδαμοῦ. Ἄξιον δὲ ἐνταῦθα ζητῆσαι, διὰ τί καὶ ὁ δαίμων ταῦτα ἐφθέγγετο, καὶ Παῦλος ἐπετίμησε. Τὸν διδάσκαλον τὸν ἑαυτοῦ μιμούμενος· καὶ γὰρ καὶ ὁ Χριστὸς ἐπετίμησεν· οὐδὲ γὰρ ἐβούλετο παρ' ἐκείνων τὴν μαρτυρίαν ἔχειν. Τίνος δὲ ἕνεκεν καὶ ὁ δαίμων ἐποίει τοῦτο; Βουλόμενος συγχεῖν τῶν πραγμάτων τὴν τάξιν, καὶ ἁρπάσαι τῶν ἀποστόλων τὸ ἀξίωμα, καὶ πεῖσαι πολλοὺς προσέχειν αὐτοῖς· ὅπερ εἰ ἐγεγόνει, ῥᾳδίως ἂν ἐντεῦθεν ἀξιόπιστοι φανέντες, καὶ τὰ παρ' ἑαυτῶν ἐπεισήγαγον ἄν. Ἵν' οὖν μὴ τοῦτο γένηται, μηδὲ ἀρχὴν ἡ ἀπάτη λάβῃ, καὶ τὰ ἀληθῆ λέγοντας ἐπιστομίζει, ὥστε ἐν τοῖς ψευδέσι μηδ' ὅλως τινὰ αὐτοῖς προσέχειν, ἀλλὰ καθόλου πρὸς τὰ λεγόμενα παρ' αὐτῶν ἀποφράττειν τὰς ἀκοάς.

Δήλους τοίνυν ποιήσας τοὺς μάντεις καὶ τοὺς προφήτας ἀπό τε τοῦ προτέρου καὶ τοῦ δευτέρου σημείου, λοιπὸν περὶ τῶν θαυμάτων διαλέγεται, οὐχ ἁπλῶς εἰς τοῦτον προελθὼν τὸν λόγον, ἀλλ' ὥστε τὴν ἐντεῦθεν γενομένην διάστασιν ἀνελεῖν, καὶ πεῖσαι καὶ τοὺς τὸ ἔλαττον ἔχοντας μὴ ἀλγεῖν, καὶ τοὺς τὰ μείζονα κεκτημένους μὴ ἐπαίρεσθαι. Διὸ καὶ οὕτως ἤρξατο· «Διαιρέσεις δὲ χαρισμάτων εἰσί, τὸ δὲ αὐτὸ πνεῦμα»· καὶ θεραπεύων πρῶτον τὸν τὸ ἔλαττον ἔχοντα χάρισμα, καὶ διὰ τοῦτο ἀλγοῦντα. Τίνος γὰρ ἕνεκεν, φησίν, ἀθυμεῖς; ὅτι οὐκ ἔλαβες ὅσον ἕτερος; Ἀλλ' ἐννόησον ὅτι χάρισμά ἐστι, καὶ οὐκ ὀφειλή, καὶ παραμυθήσῃ τὴν ὀδύνην. Διὰ τοῦτο εὐθέως οὕτως εἶπε· «Διαιρέσεις δὲ χαρισμάτων εἰσί». Καὶ

3. Μάρκ. 1, 24.
4. Πράξ. 16, 17.

κατηχούμενοι, ἀλλὰ διὰ τοὺς πιστοὺς καὶ τοὺς μὴ πιστούς.

Τί λοιπόν; Κανεὶς δαίμων δὲ προφέρει τὸ ὄνομα τοῦ Θεοῦ; μήπως οἱ δαιμονισμένοι δὲν ἔλεγον, «Γνωρίζομεν ποῖος εἶσαι, ὁ Υἱὸς τοῦ Θεοῦ»[3]; δὲν ἔλεγον εἰς τὸν Παῦλον, «Αὐτοὶ οἱ ἄνθρωποι εἶναι δοῦλοι τοῦ Θεοῦ τοῦ ὑψίστου»[4]; Ναί, ἀλλ' ἐπειδὴ ἐμαστιγώνοντο, ἐπειδὴ ἠναγκάζοντο· ἐνῷ μὲ τὴν θέλησίν των καὶ χωρὶς νὰ μαστιγώνωνται ἀπὸ τὴν δύναμιν τοῦ Θεοῦ, πουθενά. Ἀξίζει ἐδῶ νὰ ἐρευνήσωμεν, διατί, ἐνῷ ὁ δαίμων ἔλεγεν αὐτά, ὁ Παῦλος τὸν ἐπετίμησεν. Ἐπειδὴ ἐμιμεῖτο τὸν διδάσκαλόν του· διότι καὶ ὁ Χριστὸς τὸν ἐπετίμησεν· καθ' ὅσον δὲν ἤθελε νὰ ἔχῃ τὴν μαρτυρίαν ἀπὸ ἐκείνους. Ἀλλὰ διατί καὶ ὁ δαίμων ἔκαμνεν αὐτό; Διότι ἤθελε νὰ ἀνατρέψῃ τὴν τάξιν τῶν πραγμάτων καὶ νὰ ἁρπάσῃ τὸ ἀξίωμα τῶν ἀποστόλων καὶ νὰ πείσῃ πολλοὺς νὰ προσέχουν εἰς αὐτούς· πρᾶγμα ποὺ ἐὰν ἐγίνετο, ἀφοῦ εὐκόλως ἀπὸ αὐτὸ θὰ ἐφαίνοντο ἀξιόπιστοι, θὰ εἰσήγαγον καὶ τὰ ἰδικά των μαζὶ μὲ τὴν ἀλήθειαν. Διὰ νὰ μὴ γίνῃ λοιπὸν αὐτό, διὰ νὰ μὴ ὑπάρξῃ δυνατότης οὔτε διὰ ν' ἀρχίσῃ ἡ ἀπάτη, κλείει τὸ στόμα των, ἂν καὶ λέγουν τὴν ἀλήθειαν, ὥστε εἰς τὰ ψευδῆ νὰ μὴ τοὺς προσέχῃ κανείς, ἀλλὰ νὰ φράσσουν τὴν ἀκοήν των τελείως εἰς ὅσα λέγονται ἀπὸ αὐτούς.

Ἀφοῦ λοιπὸν ἀπεκάλυψε τοὺς μάντεις καὶ τοὺς προφήτας καὶ ἀπὸ τὸ προηγούμενον καὶ ἀπὸ τὸ δεύτερον σημεῖον, ὁμιλεῖ λοιπὸν διὰ τὰ θαύματα, ἀφοῦ ἦλθεν εἰς αὐτὸ τὸ θέμα ὄχι τυχαίως, ἀλλὰ διὰ νὰ ἐξαλείψῃ τὴν διάστασιν ποὺ προήρχετο ἀπὸ ἐδῶ, καὶ νὰ πείσῃ καὶ αὐτοὺς ποὺ ἔχουν μικρὸν χάρισμα νὰ μὴ στενοχωροῦνται, καὶ αὐτοὺς ποὺ ἔχουν τὰ μεγαλύτερα νὰ μὴ ὑπερηφανεύωνται. Δι' αὐτὸ καὶ ἤρχισεν ἔτσι· «Ὑπάρχουν βεβαίως ποικιλίαι χαρισμάτων, ἀλλὰ τὸ Πνεῦμα εἶναι τὸ ἴδιον»· καὶ θεραπεύει πρῶτον αὐτὸν ποὺ ἔχει τὸ μικρὸν χάρισμα καὶ στενοχωρεῖται δι' αὐτό. Διότι, διατί, λέγει, στενοχωρεῖσαι; Διότι δὲν ἔλαβες ὅσον ἔλαβεν ἄλλος; Ἀλλὰ σκέψου ὅτι εἶναι χάρισμα καὶ ὄχι ὀφειλὴ καὶ θὰ παρηγορήσῃς τὴν ὀδύνην. Διὰ τοῦτο ἀμέσως εἶπε τὰ ἑξῆς· «Ὑπάρχουν βεβαίως ποικιλίαι χαρι-

οὐκ εἶπε, σημείων, οὐδὲ θαυμάτων, ἀλλά, «χαρισμάτων», τῷ ὀνόματι τῆς δωρεᾶς πείθων αὐτὸν μὴ μόνον ἀλγεῖν, ἀλλὰ καὶ χάριν εἰδέναι. Καὶ μετὰ τούτου κἀκεῖνο λογίζου, φησίν, ὅτι εἰ καὶ τῷ μέτρῳ ἠλάττωσαι τοῦ δοθέντος, τῷ καταξιωθῆναι λαβεῖν ἐκεῖθεν, ὅθεν καὶ ὁ τὸ πλέον λαβών, τὴν ἴσην ἔχεις τιμήν. Οὐ γὰρ δήπου ἔχοις ἂν εἰπεῖν, ὅτι ἐκείνῳ μὲν τὸ Πνεῦμα ἐχαρίσατο, σοὶ δὲ ἄγγελος· καὶ γὰρ καὶ σοὶ κἀκείνῳ καὶ τὸ Πνεῦμα. Διὸ ἐπήγαγε, «τὸ δὲ αὐτὸ Πνεῦμα». Ὥστε εἰ καὶ ἐν τῇ δόσει διαφορά, ἀλλ' οὐκ ἐν τῷ δεδωκότι διαφορά· ἀπὸ γὰρ τῆς αὐτῆς πηγῆς καὶ σὺ κἀκεῖνος ἀρύεσθε. «Καὶ διαιρέσεις διακονιῶν εἰσιν, ὁ δὲ αὐτὸς Κύριος». Λιπαίνων γὰρ τὴν παραμυθίαν, καὶ τὸν Υἱὸν καὶ τὸν Πατέρα προστίθησι. Καὶ ἑτέρῳ πάλιν ὀνόματι καλεῖ τὰς δωρεὰς ταύτας, πλείονα κἀντεῦθεν παραμυθίαν ἐπινοῶν· διὸ καὶ οὕτως εἶπε, «Διαιρέσεις δὲ διακονιῶν εἰσιν, ὁ δὲ αὐτὸς Κύριος». Ὁ μὲν γὰρ χάρισμα ἀκούσας, καὶ ἔλαττον λαβών, ἴσως ἂν ἀλγήσει· ὁ δὲ διακονίαν, οὐχ ὁμοίως· πόνου γὰρ ἐνδεικτικὸν τὸ πρᾶγμα καὶ ἱδρῶτος. Τί τοίνυν ἀλγεῖς, φησίν, εἰ ἕτερον πλείονα πονέσαι ἐκέλευσε, σοῦ φεισάμενος; «Καὶ διαιρέσεις ἐνεργημάτων εἰσίν, ὁ δὲ αὐτὸς Θεὸς ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσιν. Ἑκάστῳ δὲ δίδοται ἡ φανέρωσις τοῦ Πνεύματος πρὸς τὸ συμφέρον». Καὶ τί ἐστιν ἐνέργημα; τί δὲ χάρισμα, φησί; τί δὲ διακονία; Ὀνομάτων διαφοραὶ μόνον, ἐπεὶ πράγματα τὰ αὐτά. Ὃ γάρ ἐστι χάρισμα, τοῦτο διακονία, τοῦτο καὶ ἐνέργειαν λέγει. «Τὴν» γὰρ «διακονίαν σου», φησί, «πληροφόρησον»· καί, «Τὴν διακονίαν μου δοξάζω. Καὶ Τιμοθέῳ γράφων φησί· «Δι' ἣν αἰτίαν ἀναμιμνήσκω σε ἀναζωπυρεῖν τὸ χάρισμα τοῦ Θεοῦ,

5. Β' Τιμ. 4, 5.
6. Ρωμ. 11, 13.

σμάτων». Καὶ δὲν εἶπε, σημείων, οὔτε θαυμάτων, ἀλλά, «χαρισμάτων», ὥστε νὰ πείσῃ αὐτόν, μὲ τὴν λέξιν δωρεά, ὄχι μόνον νὰ μὴ στενοχωρῆται, ἀλλὰ καὶ ν' ἀναγνωρίζῃ ὅτι ὀφείλει εὐγνωμοσύνην. Καὶ μαζὶ μὲ αὐτὸ νὰ σκέπτεσαι καὶ ἐκεῖνο, λέγει, ὅτι ἂν καὶ ὑστερεῖς ὡς πρὸς τὸ μέτρον, τὸ ὅτι κατηξιώθης νὰ λάβῃς ἀπὸ ἐκεῖ, ἀπὸ ὅπου ἔλαβε καὶ αὐτὸς ποὺ ἔλαβε τὸ μεγαλύτερον, σοῦ δίδει ἴσην τιμὴν μὲ ἐκεῖνον. Διότι δὲν θὰ ἔχῃς βεβαίως νὰ εἰπῇς, ὅτι εἰς ἐκεῖνον μὲν ἐχάρισεν τὸ ἅγιον Πνεῦμα, ἐνῷ εἰς ἐσένα ἄγγελος· διότι καὶ εἰς ἐσένα καὶ εἰς ἐκεῖνον τὸ ἅγιον Πνεῦμα ἐδώρησε. Δι' αὐτὸ προσέθεσεν «ἀλλὰ τὸ Πνεῦμα εἶναι τὸ ἴδιον». Ὥστε καὶ ἂν ὑπάρχῃ διαφορὰ εἰς τὴν δωρεάν, δὲν ὑπάρχει διαφορὰ εἰς τὸν δωρητήν· διότι ἀπὸ τὴν αὐτὴν πηγὴν λαμβάνετε καὶ σὺ καὶ ἐκεῖνος.

«Ὑπάρχουν καὶ ποικιλίαι ὑπηρεσιῶν, ἀλλ' ὁ Κύριος εἶναι ὁ ἴδιος». Διὰ ν' αὐξήσῃ λοιπὸν τὴν παρηγορίαν προσθέτει καὶ τὸν Υἱὸν καὶ τὸν Πατέρα. Καὶ μὲ ἄλλο πάλιν ὄνομα ὀνομάζει τὰς δωρεὰς αὐτάς, προβάλλων μεγαλυτέραν παρηγορίαν ἀπὸ ἐδῶ· δι' αὐτὸ καὶ εἶπεν ἔτσι, «Ὑπάρχουν καὶ ποικιλίαι ὑπηρεσιῶν, ἀλλ' ὁ Κύριος εἶναι ὁ ἴδιος». Διότι αὐτὸς μὲν ποὺ θ' ἀκούσῃ νὰ ὁμιλῇ διὰ χάρισμα ἐνῷ ἔχει λάβει μικρὸν χάρισμα, ἴσως στενοχωρηθῇ, ἐνῷ ὅταν ἀκούσῃ νὰ ὁμιλῇ δι' ὑπηρεσίαν, δὲν θὰ στενοχωρηθῇ· διότι ἡ λέξις ὑπηρεσία δεικνύει κόπον καὶ ἱδρῶτα. Διατί λοιπὸν θλίβεσαι, θέλει νὰ εἰπῇ, ποὺ διέταξεν ἄλλον νὰ κοπιάσῃ περισσότερον διότι σὲ ἐλυπήθη; «Καὶ διάφορα εἴδη ἐνεργειῶν ὑπάρχουν, ἀλλ' ὁ Θεὸς εἶναι ὁ ἴδιος ποὺ ἐνεργεῖ ὅλα εἰς ὅλους. Εἰς τὸν καθένα δίδεται ἡ φανέρωσις τοῦ Πνεύματος διὰ κάποιο καλόν». Καὶ τί εἶναι ἐνέργεια; τί δὲ χάρισμα; λέγει, τί δὲ ὑπηρεσία; Διαφορὰ λέξεων μόνον, διότι τὰ πράγματα εἶναι τὰ ἴδια. Καθ' ὅσον αὐτὸ ποὺ εἶναι χάρισμα, αὐτὸ εἶναι διακονία, καὶ αὐτὸ ὀνομάζει καὶ ἐνέργειαν. Διότι λέγει, «τὴν ὑπηρεσίαν σου κάνε εἰς τὴν ἐντέλειαν»[5]· καί, «τιμῶ τὴν ὑπηρεσίαν μου»[6]. Καὶ εἰς τὸν Τιμόθεον γράφων λέγει· «Διὰ τὸν λόγον αὐτὸν σοῦ ὑπενθυμίζω νὰ ἀναζωπυρῇς τὴν φλόγα τοῦ χαρίσματος τοῦ

ὅ ἐστιν ἐν σοί»· καὶ Γαλάταις πάλιν ἐπιστέλλων ἔλεγε· «Ὁ γὰρ ἐνεργήσας Πέτρῳ εἰς ἀποστολήν, ἐνήργησε κἀμοὶ εἰς τὰ ἔθνη».

Ὁρᾷς ὅτι οὐδεμίαν διαφορὰν δείκνυσιν ἐν ταῖς δωρεαῖς Πατρὸς καὶ Υἱοῦ καὶ Πνεύματος ἁγίου; οὐ τὰς ὑποστάσεις συναλείφων, μὴ γένοιτο, ἀλλὰ τῆς οὐσίας τὴν ὁμοτιμίαν ἐμφαίνων. Ὅπερ γὰρ τὸ Πνεῦμα χαρίζεται, τοῦτο καὶ τὸν Θεὸν ἐνεργεῖν, τοῦτο καὶ τὸν Υἱὸν διατάττειν καὶ παρέχειν φησί. Καίτοιγε εἰ ἔλαττον ἦν τοῦτο ἐκείνου, ἢ ἐκεῖνο τούτου, οὐκ ἂν οὕτως αὐτὸ τέθεικεν, οὐδ' ἂν ταύτῃ παρεμυθήσατο τὸν ἀλγοῦντα. Μετὰ δὲ ταῦτα καὶ ἑτέρῳ τινὶ τρόπῳ αὐτὸν παρακαλεῖ, τῷ καὶ συμφέρειν αὐτῷ τὸ δοθὲν μέτρον, εἰ καὶ ἔλαττον εἴη. Εἰπὼν γάρ, ὅτι τὸ αὐτὸ Πνεῦμα, καὶ ὁ αὐτὸς Κύριος, καὶ ὁ αὐτὸς Θεός, καὶ ταύτῃ αὐτὸν ἀνακτησάμενος, ἐπάγει πάλιν ἑτέραν παράκλησιν, οὕτω λέγων· «Ἑκάστῳ δὲ ἡ φανέρωσις τοῦ Πνεύματος δίδοται πρὸς τὸ συμφέρον». Ἵνα γὰρ μὴ λέγῃ τις, τί γάρ, εἰ καὶ ὁ αὐτὸς Κύριος, καὶ τὸ αὐτὸ Πνεῦμα, καὶ ὁ αὐτὸς Θεός, ἀλλ' ἐγὼ ἔλαττον ἔλαβον; φησίν, ὅτι οὕτω συνέφερε. Φανέρωσιν δὲ Πνεύματος τὰ σημεῖα καλεῖ, εἰκότως. Ἐμοὶ μὲν γὰρ τῷ πιστῷ δῆλος ὁ Πνεῦμα ἔχων ἀπὸ τοῦ βαπτισθῆναι· τῷ δὲ ἀπίστῳ οὐδαμόθεν ἔσται τοῦτο καταφανές, ἀλλ' ἢ ἀπὸ τῶν σημείων· ὥστε κἀντεῦθεν πάλιν οὐ μικρὰ παραμυθία. Εἰ γὰρ καὶ τὰ χαρίσματα διάφορα, ἀλλ' ἡ ἔνδειξις μία· κἂν γὰρ πολὺ ἔχῃς, κἂν ὀλίγον, ὁμοίως εἶ δῆλος. Ὥστε εἰ τοῦτο σπουδάζεις ἐπιδείξασθαι, ὅτι Πνεῦμα ἔχεις, ἀρκοῦσαν ἔχεις τὴν ἀπόδειξιν. Ὅταν οὖν καὶ εἷς ὁ δεδοκὼς ᾖ, καὶ χάρισμα τὸ δοθέν, καὶ ἡ φανέρωσις κἀντεῦθεν γίνηται, καὶ τοῦτο μᾶλλόν σοι συμφέρῃ, μὴ ἄλγει ὡς καταφρονηθείς. Οὐ γὰρ ἀτιμάζων σε, οὐδὲ καταδεέστερον ἑτέρου ἀποφαίνων ἐποίησεν,

---

7. Β' Τιμ. 1, 6.
8. Γαλ. 2, 8.

Θεοῦ, ποὺ εἶναι μέσα σου»[7]. Καὶ εἰς τοὺς Γαλάτας πάλιν γράφων λέγει· «Ἐκεῖνος ὁ ὁποῖος ἐνήργησεν εἰς τὸν Πέτρον, ὥστε νὰ γίνῃ ἀπόστολος τῶν περιτμημένων, ἐνήργησε καὶ εἰς ἐμὲ διὰ νὰ γίνω ἀπόστολος εἰς τὰ ἔθνη»[8].

Βλέπεις πῶς δεικνύει ὅτι δὲν ὑπάρχει καμμία διαφορὰ εἰς τὰς δωρεὰς τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος; Ὄχι ὅτι συγχέει τὰς ὑποστάσεις, μὴ γένοιτο, ἀλλ' ἐμφανίζει ὅτι ἡ οὐσία των εἶναι ὁμότιμος. Δηλαδὴ ὅ,τι χαρίζει τὸ ἅγιον Πνεῦμα, αὐτὸ καὶ ὁ Πατὴρ ἐνεργεῖ, αὐτό, λέγει, καὶ ὁ Υἱὸς διατάσσει καὶ δίδει. Ἀλλ' ἐὰν βεβαίως αὐτὸ ἦτο μικρότερον ἀπὸ ἐκεῖνο ἢ ἐκεῖνο ἀπὸ αὐτό, δὲν θὰ ἔλεγεν αὐτὸ ἔτσι, οὔτε θὰ ἐδοκίμαζε νὰ παρηγορήσῃ μὲ αὐτὸ ὅποιον στενοχωρεῖται. Μετὰ ἀπὸ αὐτὰ δὲ καὶ μὲ ἄλλον τρόπον παρηγορεῖ αὐτόν, μὲ τὸ ὅτι δηλαδὴ εἶναι καὶ συμφέρον του τὸ μέτρον εἰς τὸ ὁποῖον τοῦ ἐδόθη τὸ χάρισμα, ἂν καὶ εἶναι μικρότερον. Ἀφοῦ εἶπε δηλαδή, ὅτι τὸ ἅγιον Πνεῦμα εἶναι τὸ ἴδιον καὶ ὁ ἴδιος Κύριος Ἰησοῦς καὶ ὁ ἴδιος Θεὸς Πατὴρ καὶ μὲ αὐτὸ ἀφοῦ τὸν ἐνίσχυσε, προσθέτει πάλιν ἄλλην παρηγορίαν μὲ τοὺς λόγους· «Εἰς τὸν καθένα δίδεται ἡ φανέρωσις τοῦ Πνεύματος διὰ τὸ συμφέρον». Διὰ νὰ μὴ λέγῃ δηλαδὴ κανείς, τί λοιπὸν καὶ ἂν εἶναι ὁ ἴδιος Κύριος καὶ τὸ ἴδιον Πνεῦμα καὶ ὁ ἴδιος Θεός, ἀφοῦ ἐγὼ ἔλαβον μικρότερον χάρισμα; λέγει ὅτι ἔτσι συνέφερε. Φανέρωσιν Πνεύματος δὲ ὀνομάζει τὰ σημεῖα καὶ πολὺ ὀρθῶς. Διότι εἰς ἐμὲ τὸν πιστὸν εἶναι φανερὸς αὐτὸς ποὺ ἔχει ἅγιον Πνεῦμα ἀπὸ τὸ ὅτι ἐβαπτίσθη, ἐνῷ εἰς τὸν ἄπιστον ἀπὸ πουθενὰ δὲν φαίνεται αὐτό, παρὰ ἀπὸ τὰ σημεῖα· ὥστε καὶ ἀπὸ ἐδῶ πάλιν δὲν ἦτο μικρὰ ἡ παρηγορία. Διότι ἂν καὶ εἶναι ποικίλα τὰ χαρίσματα, ἓν πρᾶγμα δεικνύουν· δηλαδὴ εἴτε πολὺ ἔχεις, εἴτε ὀλίγον, ὁμοίως ἔχεις τὴν ἀπόδειξιν. Ὥστε ἐὰν φροντίζῃς νὰ ἐπιδείξῃς αὐτό, ὅτι ἔχεις δηλαδὴ ἅγιον Πνεῦμα, ἔχεις ἀρκετὴν τὴν ἀπόδειξιν. Ὅταν λοιπὸν καὶ ἕνας εἶναι ὁ δωρητής, καὶ χάρισμα αὐτὸ ποὺ ἐδόθη, καὶ ἡ φανέρωσις ἀπὸ αὐτὸ γίνεται, καὶ αὐτὸ συμφέρει περισσότερον εἰς σέ, μὴ θλίβεσαι ὡσὰν νὰ ἔχῃς καταφρονηθῆ. Διότι ὄχι ἐπειδὴ σὲ

ἀλλὰ φειδόμενός σου, καὶ τὸ λυσιτελές σοι σκοπῶν. Τὸ γὰρ μεῖζον λαβεῖν τὸν οὐ δυνάμενον ἐνεγκεῖν, τοῦτο καὶ ἀσύμφωρον καὶ βλάβην ἔχον καὶ ἀθυμίας ἄξιον.

4. «Ὧ μὲν γὰρ διὰ τοῦ Πνεύματος δίδοται λόγος σοφίας, ἄλλῳ δὲ λόγος γνώσεως, κατὰ τὸ αὐτὸ Πνεῦμα· ἑτέρῳ δὲ πίστις, ἐν τῷ αὐτῷ Πνεύματι· ἄλλῳ δὲ χαρίσματα ἰαμάτων, ἐν τῷ αὐτῷ Πνεύματι». Ὁρᾷς πῶς πανταχοῦ ταύτην ποιεῖται τὴν προσθήκην, «ἐν τῷ αὐτῷ Πνεύματι», λέγων, καὶ «κατὰ τὸ αὐτὸ Πνεῦμα»; Οἶδε γὰρ μεγάλην οὖσαν τὴν ἐντεῦθεν παράκλησιν. «Ἄλλῳ δὲ ἐνεργήματα δυνάμεων, ἄλλῳ δὲ προφητεῖαι, ἄλλῳ δὲ διακρίσεις πνευμάτων, ἑτέρῳ δὲ γένη γλωσσῶν, ἄλλῳ δὲ ἑρμηνεία γλωσσῶν». Ἐπειδὴ γὰρ ἐν τούτῳ μέγα ἐφρόνουν διὰ τοῦτο αὐτὸ ὕστερον τέθεικε, καὶ ἐπήγαγε· «Πάντα δὲ ταῦτα ἐνεργεῖ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα. Τὸ φάρμακον τὸ καθολικὸν τῆς παραμυθίας, τὸ ἐκ τῆς αὐτῆς ῥίζης, ἐκ τῶν αὐτῶν θησαυρῶν, ἐκ τῶν αὐτῶν ναμάτων πάντας λαμβάνειν. Διὸ καὶ συνεχῶς ἐπαντλῶν τῷ ῥήματι τούτῳ, τὴν δοκοῦσαν ἀνωμαλίαν εἶναι ἐξισοῖ καὶ παραμυθεῖται. Καὶ ἀνωτέρω μὲν καὶ τὸ Πνεῦμα καὶ τὸν Υἱὸν καὶ τὸν Πατέρα δείκνυσι χορηγοῦντα τὰ χαρίσματα, ἐνταῦθα δὲ τὸ Πνεῦμα εἰπὼν ἠρκέσθη, ἵνα μάθῃς κἀντεῦθεν πάλιν τὴν αὐτὴν ἀξίαν οὖσαν.

Τί δέ ἐστι, «λόγος σοφίας»; Ὃν εἶχεν ὁ Παῦλος, ὃν εἶχεν Ἰωάννης ὁ υἱὸς τῆς βροντῆς. Τί δέ, «λόγος γνώσεως»; Ὃν εἶχον οἱ πολλοὶ τῶν πιστῶν, γνῶσιν μὲν ἔχοντες, διδάσκειν δὲ οὕτως οὐ δυνάμενοι, οὐδὲ εἰς ἕτερον εὐκόλως ἐξενεγκεῖν, ἅπερ ᾔδεσαν. «Ἑτέρῳ δὲ πίστις»· πίστιν οὐ ταύτην λέγων τὴν τῶν δογμάτων, ἀλλὰ τὴν τῶν σημείων, περὶ ἧς φησιν· «Ἐὰν ἔχητε πίστιν ὡς κόκκον σινάπεως, ἐρεῖτε τῷ ὄρει τούτῳ, μετάβηθι, καὶ μεταβήσεται». Καὶ οἱ

9. Ματθ. 17, 20.

ὑποτιμᾷ, οὔτε διὰ νὰ σὲ ἐμφανίσῃ κατώτερον ἀπὸ ἄλλον σοῦ ἔδωσεν αὐτό, ἀλλ' ἐπειδὴ σὲ λυπεῖται καὶ ἀποσκοπεῖ εἰς τὴν ὠφέλειάν σου. Καθ' ὅσον τὸ νὰ λάβῃ κανεὶς μεγαλύτερον ἀπὸ ὅσον ἠμπορεῖ νὰ βαστάσῃ, αὐτὸ εἶναι καὶ ἀσύμφορον καὶ ἐπιβλαβὲς καὶ ἄξιον λύπης.

4. «Εἰς τὸν ἕνα δίδεται διὰ τοῦ Πνεύματος λόγος σοφίας, εἰς ἄλλον λόγος γνώσεως κατὰ τὸ αὐτὸ Πνεῦμα, εἰς ἄλλον πίστις διὰ τοῦ αὐτοῦ Πνεύματος, εἰς ἄλλον χαρίσματα θεραπειῶν διὰ τοῦ αὐτοῦ Πνεύματος». Βλέπεις πῶς παντοῦ προσθέτει «διὰ τοῦ αὐτοῦ Πνεύματος» καὶ «κατὰ τὸ αὐτὸ Πνεῦμα»; Ἐπειδὴ γνωρίζει ὅτι εἶναι μεγάλη ἡ παρηγορία ποὺ προέρχεται ἀπὸ αὐτό. «Εἰς ἄλλον δὲ θαυματουργικαὶ δυνάμεις, εἰς ἄλλον προφητικὸν χάρισμα, εἰς ἄλλον τὸ νὰ διακρίνῃ τὰ πνεύματα, εἰς ἄλλον διάφορα εἴδη γλωσσολαλιᾶς, εἰς ἄλλον ἡ ἑρμηνεία γλωσσῶν». Ἐπειδὴ εἶχον αὐτὸ περὶ πολλοῦ, διὰ τοῦτο ἔθεσεν αὐτὸ τελευταῖον καὶ ἐσυνέχισεν· «Ὅλα αὐτὰ δὲ τὰ ἐνεργεῖ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα». Τὸ γενικὸν φάρμακον τῆς παρηγορίας, τὸ ὅτι ἀπὸ τὴν ἰδίαν ῥίζαν, ἀπὸ τοὺς ἰδίους θησαυρούς, ἀπὸ τὰς αὐτὰς πηγὰς λαμβάνουν ὅλοι. Δι' αὐτὸ μὲ τὸ νὰ ἐπαναλαμβάνῃ συνεχῶς αὐτὸν τὸν λόγον, ἐξομαλύνει αὐτὸ ποὺ ἐνομίζετο ὡς ἀνωμαλία καὶ παρηγορεῖ. Καὶ προηγουμένως μὲν ἔδειξεν ὅτι καὶ τὸ ἅγιον Πνεῦμα καὶ ὁ Υἱὸς καὶ ὁ Πατὴρ χορηγοῦν τὰ χαρίσματα, ἐνῷ ἐδῶ ἀφοῦ εἶπε τὸ ἅγιον Πνεῦμα ἠρκέσθη εἰς αὐτό, διὰ νὰ μάθῃς καὶ ἀπὸ ἐδῶ πάλιν ὅτι πρόκειται διὰ τὴν ἰδίαν ἀξίαν.

«Τί σημαίνει δὲ «λόγος σοφίας»; Αὐτὸν ποὺ εἶχεν ὁ Παῦλος, αὐτὸν ποὺ εἶχεν ὁ Ἰωάννης ὁ υἱὸς τῆς βροντῆς. Τί σημαίνει δέ, λόγος γνώσεως»; Αὐτὸν ποὺ εἶχον οἱ περισσότεροι ἀπὸ τοὺς πιστούς, οἱ ὁποῖοι εἶχον μὲν γνῶσιν, ἀλλὰ δὲν ἠμποροῦσαν ἔτσι νὰ διδάξουν, οὔτε εἰς ἄλλον νὰ ἐκφράσουν εὐκόλως ὅσα ἐγνώρισαν. «Εἰς ἄλλον δὲ πίστις»· δὲν ἐννοεῖ τὴν πίστιν εἰς τὰ δόγματα, ἀλλ' αὐτὴν ποὺ ἔκαμνε σημεῖα, διὰ τὴν ὁποίαν ἐλέχθη· «Ἐὰν ἔχετε πίστιν ὡσὰν τὸν σπόρον τοῦ σιναπιοῦ, θὰ εἰπῆτε εἰς τὸ ὄρος αὐτό, μετατοπίσου, καὶ θὰ μετατοπισθῇ». Καὶ οἱ ἀπόστολοι δὲ

ἀπόστολοι δὲ περὶ αὐτῆς ἠξίουν λέγοντες, «Πρόσθες ἡμῖν πίστιν». Αὕτη γὰρ μήτηρ τῶν σημείων ἐστίν. Ἐνεργήματα δὲ δυνάμεων κεκτῆσθαι, καὶ χαρίσματα ἰαμάτων, οὐκ ἔστι ταὐτόν. Ὁ μὲν γὰρ ἔχων χάρισμα ἰαμάτων, ἐθεράπευε μόνον, ὁ δὲ ἐνεργήματα δυνάμεων κεκτημένος, καὶ ἐτιμωρεῖτο. Δύναμις γάρ ἐστιν οὐ τὸ ἰάσασθαι μόνον, ἀλλὰ καὶ τὸ κολάσαι, ὥσπερ ὁ Παῦλος ἐπήρωσεν, ὥσπερ ὁ Πέτρος ἀνεῖλεν.

«Ἄλλῳ δὲ προφητεῖαι, ἄλλῳ δὲ διακρίσεις πνευμάτων». Τί ἐστι, «διακρίσεις πνευμάτων»; Τὸ εἰδέναι τίς ὁ πνευματικός, καὶ τίς ὁ μὴ πνευματικός· τίς ὁ προφήτης, καὶ τίς ὁ ἀπατεών· ὃ καὶ Θεσσαλονικεῦσιν ἔλεγε, «Προφητείας μὴ ἐξουθενεῖτε· πάντα δὲ δοκιμάζετε, τὸ καλὸν κατέχετε». Καὶ γὰρ πολλὴ τότε τῶν ψευδοπροφητῶν ἦν ἡ φορά, τοῦ διαβόλου φιλονεικοῦντος παρυποστῆσαι τῇ ἀληθείᾳ τὸ ψεῦδος. «Ἄλλῳ δὲ γένη γλωσσῶν, ἄλλῳ δὲ ἑρμηνεία γνωσσῶν»· Ὁ μὲν γὰρ ᾔδει τὸ τί ἔλεγεν αὐτός, ἑτέρῳ δὲ ἑρμηνεῦσαι οὐκ ἠδύνατο, ὁ δὲ καὶ ἀμφότερα ταῦτα ἐκέκτητο, ἢ τούτων θάτερον. Ἐδόκει δὲ τοῦτο χάρισμα μέγα εἶναι, ἐπειδὴ καὶ πρῶτον αὐτὸ ἔλαβον οἱ ἀπόστολοι, καὶ παρὰ Κορινθίοις οἱ πλείους τοῦτο ἐκέκτηντο· ὁ δὲ τῆς διδασκαλίας λόγος οὐχ οὕτω. Διὸ ἐκεῖνο μὲν πρῶτον τίθησι, τοῦτο δὲ ἔσχατον. Καὶ γὰρ καὶ τοῦτο δι᾽ ἐκεῖνο, καὶ τὰ ἄλλα πάντα, καὶ προφητεῖαι καὶ ἐνεργήματα δυνάμεων καὶ γένη γλωσσῶν καὶ ἑρμηνεία γλωσσῶν. Οὐδὲν γὰρ τούτου ἴσον· διὸ καὶ ἔλεγεν, «Οἱ καλῶς προεστῶτες πρεσβύτεροι διπλῆς τιμῆς ἀξιούσθωσαν, μάλιστα οἱ κοπιῶντες ἐν λόγῳ καὶ διδασκαλίᾳ». Καὶ τῷ Τιμοθέῳ ἐπέστελλε λέγων· «Πρόσεχε τῇ ἀναγνώσει, τῇ παρακλήσει, τῇ διδασκαλίᾳ· μὴ ἀμέλει τοῦ ἐν σοὶ χαρίσματος». Ὁρᾷς πῶς καὶ χάρισμα αὐτὸ καλεῖ;

Εἶτα ἣν ἀνωτέρω τέθεικε παραμυθίαν εἰπών, «τὸ αὐτὸ

10. Λουκᾶ 17, 5.
11. Α΄ Θεσ. 5. 20, 21.
12. Α΄ Τιμ. 5, 17.
13. Α΄ Τιμ. 4. 13-14.

δι' αὐτὴν παρεκάλουν ὅταν ἔλεγον, «Πρόσθεσε εἰς ἐμᾶς πίστιν»[10]. Τὸ νὰ ἔχῃ δὲ λάβει κανεὶς θαυματουργικὰς δυνάμεις καὶ χαρίσματα θεραπειῶν, δὲν εἶναι τὸ ἴδιον. Διότι αὐτὸς μὲν ποὺ εἶχε χάρισμα νὰ θεραπεύῃ, ἐθεράπευε μόνον, ἐνῷ αὐτὸς ποὺ εἶχε θαυματουργικὰς δυνάμεις ἐπὶ πλέον καὶ ἐτιμώρει. Διότι δύναμις εἶναι ὄχι μόνον τὸ νὰ θεραπεύσῃ κανείς, ἀλλὰ καὶ τὸ νὰ τιμωρήσῃ, ὅπως ὁ Παῦλος ἐτύφλωσεν, ὅπως ὁ Πέτρος ἐθανάτωσεν.

«Εἰς ἄλλον προφητικὸν χάρισμα, εἰς ἄλλον τὸ νὰ διακρίνῃ τὰ πνεύματα». Τί σημαίνει «τὸ νὰ διακρίνῃ τὰ πνεύματα»; Τὸ νὰ γνωρίζῃ ποῖος εἶναι ὁ πνευματικὸς καὶ ποῖος ὁ μὴ πνευματικός· ποῖος ὁ προφήτης καὶ ποῖος ὁ ἀπατεών· πρᾶγμα ποὺ ἔγραφε καὶ εἰς τοὺς Θεσσαλονικεῖς, «Προφητείας μὴ περιφρονῆτε· ὅλα νὰ τὰ δοκιμάζετε καὶ νὰ κρατῆτε ὅ,τι εἶναι καλόν»[11]. Διότι ἦτο πολὺ τὸ πλῆθος τῶν ψευδοπροφητῶν τότε, ἐπειδὴ ὁ διάβολος ἠγωνίζετο νὰ προσθέσῃ ὡς παράσιτον εἰς τὴν ἀλήθειαν τὸ ψεῦδος. «Εἰς ἄλλον διάφορα εἴδη γλωσσολαλιᾶς, εἰς ἄλλον ἡ ἑρμηνεία γλωσσῶν». Δηλαδὴ ὁ μὲν ἐγνώριζε τὸ τί ἔλεγε κάποιος, ἀλλὰ δὲν ἠμποροῦσε νὰ τὸ ἑρμηνεύσῃ εἰς ἄλλον, ἐνῷ ὁ ἄλλος καὶ τὰ δύο αὐτὰ εἶχεν ἢ τὸ ἓν ἐκ τῶν δύο. Ἐθεωρεῖτο δὲ αὐτὸ ὅτι ἦτο μέγα χάρισμα, ἐπειδὴ καὶ οἱ ἀπόστολοι πρῶτον αὐτὸ ἔλαβον καὶ οἱ περισσότεροι ἀπὸ τοὺς Κορινθίους εἶχον λάβει αὐτό, ὁ λόγος τῆς διδασκαλίας ὅμως δὲν εἶχεν ἔτσι. Δι' αὐτὸ θέτει ἐκεῖνο μὲν πρῶτον, αὐτὸ δὲ τελευταῖον. Διότι καὶ αὐτὸ εἰς ἐκεῖνο χρησιμεύει, καὶ τὰ ἄλλα ὅλα, καὶ αἱ προφητεῖαι καὶ αἱ θαυματουργικαὶ δυνάμεις καὶ τὰ εἴδη γλωσσολαλιᾶς καὶ ἡ ἑρμηνεία γλωσσῶν. Τίποτε δὲ δὲν εἶναι ἴσον μὲ αὐτό· δι' αὐτὸ καὶ ἔλεγεν, «Οἱ πρεσβύτεροι, οἱ ὁποῖοι εἶναι καλοὶ προϊστάμενοι, πρέπει νὰ κρίνωνται ἄξιοι διπλῆς τιμῆς, μάλιστα ἐκεῖνοι ποὺ κοπιάζουν μὲ τὸ κήρυγμα καὶ τὴν διδασκαλίαν»[12]. Καὶ εἰς τὸν Τιμόθεον ἔγραφε· «Προσηλώσου εἰς τὴν ἀνάγνωσιν, τὸ κήρυγμα, τὴν διδασκαλίαν. Μὴ παραμελῇς τὸ χάρισμα ποὺ εἶναι μέσα σου»[13]. Βλέπεις πῶς ὀνομάζει αὐτὸ καὶ χάρισμα;

Ἐν συνεχείᾳ τὴν παρηγορίαν ποὺ δίδει ἀνωτέρω ὅταν

Πνεῦμα», ταύτην καὶ ἐνταῦθα τίθησι λέγων· «Πάντα δὲ ταῦτα ἐνεργεῖ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ, καθὼς βούλεται». Οὐ παραμυθεῖται δὲ μόνον, ἀλλὰ καὶ ἐπιστομίζει τὸν ἀντιλέγοντα ἐνταῦθα λέγων, «διαιροῦν ἰδίᾳ ἑκάστῳ, καθὼς βούλεται». Δεῖ γὰρ καὶ ἐπιστύφειν, οὐχὶ θεραπεύειν μόνον, ὥσπερ καὶ ἐν τῇ πρὸς Ρωμαίους ποιεῖ, ὅταν λέγῃ· «Σὺ τίς εἶ ὁ ἀνταποκρινόμενος τῷ Θεῷ;». Οὕτω καὶ ἐνταῦθα, «διαιροῦν ἰδίᾳ ἑκάστῳ, καθὼς βούλεται». Καὶ ὃ τοῦ Πατρὸς ἦν, τοῦτο καὶ τοῦ Πνεύματος ἔδειξεν ὄν. Ὥσπερ γὰρ περὶ αὐτοῦ φησιν, «Ὁ δὲ αὐτὸς Θεὸς ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσιν», οὕτω καὶ περὶ τοῦ Πνεύματος· «Πάντα δὲ ταῦτα ἐνεργεῖ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα».

Ἀλλ' ἐνεργούμενον, φησίν, ὑπὸ τοῦ Θεοῦ. Ἀλλ' οὐδαμοῦ τοῦτο εἴρηκεν, ἀλλὰ σὺ πλάττεις. Ὅταν γὰρ λέγῃ, «ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσι», περὶ ἀνθρώπων λέγει· οὐ δήπου μετὰ τῶν ἀνθρώπων καὶ τὸ Πνεῦμα ἀριθμεῖ, κἂν μυριάκις ᾖς παραπαίων, κἂν μυριάκις μαινόμενος. Ἐπειδὴ γὰρ εἶπε, «διὰ τοῦ Πνεύματος», ἵνα τό, 'διά', τοῦτο μὴ νομίσῃς ἐλαττώσεως εἶναι, μηδὲ τοῦ ἐνεργεῖσθαι, ἐπήγαγεν, ὅτι ἐνεργεῖ τὸ Πνεῦμα, οὐκ ἐνεργεῖται, καὶ ἐνεργεῖ ὡς βούλεται, οὐ καθὼς κελεύεται. Καθάπερ γὰρ περὶ τοῦ Πατρὸς ὁ Υἱὸς λέγει, ὅτι ἐγείρει τοὺς νεκροὺς καὶ ζωοποιεῖ, ὁμοίως καὶ περὶ ἑαυτοῦ, ὅτι οὓς θέλει ζωοποιεῖ· οὕτω καὶ περὶ τοῦ Πνεύματος, ἀλλαχοῦ μὲν ὅτι μετ' ἐξουσίας πάντα ἐργάζεται, καὶ τὸ κωλύον οὐδέν· τὸ γάρ, «Ὅπου θέλει πνεῖ», εἰ καὶ περὶ τοῦ ἀνέμου εἴρηται, τούτου ἐστὶ κατασκευαστικόν· ἐνταῦθα δέ, ὅτι πάντα ἐνεργεῖ καθὼς βούλεται.

Καὶ ἑτέρωθεν δὲ ὅτι οὐχὶ τῶν ἐνεργουμένων ἐστίν, ἀλλὰ τῶν ἐνεργούντων, μάνθανε. «Τίς γὰρ οἶδε», φησί, «τὰ τοῦ ἀνθρώπου, εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου; Οὕτω καὶ τὰ τοῦ Θεοῦ οὐδεὶς οἶδεν, εἰ μὴ τὸ Πνεῦμα τοῦ Θεοῦ».

---

14. Ρωμ. 9, 20.
15. Ἰω. 3, 8.

λέγῃ, «τὸ ἴδιον Πνεῦμα», αὐτὴν θέτει καὶ ἐδῶ μὲ τοὺς λόγους· «Ὅλα αὐτὰ ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα, τὸ ὁποῖον τὰ διανέμει εἰς τὸν καθένα ἰδιαιτέρως, ὅπως αὐτὸ θέλει». Διότι πρέπει ὄχι μόνον νὰ θεραπεύῃ, ἀλλὰ καὶ νὰ τιμωρῇ, ὅπως κάνει καὶ εἰς τὴν πρὸς Ρωμαίους ὅταν λέγῃ· «Ἀλλὰ ποῖος εἶσαι σύ, ἄνθρωπε, ποὺ ἀντιλέγεις εἰς τὸν Θεόν;»[14]. Ἔτσι καὶ ἐδῶ, «τὸ ὁποῖον τὰ διανέμει εἰς τὸν καθένα ἰδιαιτέρως, ὅπως αὐτὸ θέλει». Καὶ αὐτὸ ποὺ ἔδειξεν ὅτι εἶναι ἔργον τοῦ Πατρός, αὐτὸ ἔδειξεν ὅτι εἶναι καὶ τοῦ Πνεύματος. Ὅπως δηλαδὴ λέγει διὰ τὸν Πατέρα, «ἀλλ' ὁ Θεὸς εἶναι ὁ ἴδιος ποὺ ἐνεργεῖ ὅλα εἰς ὅλους», ἔτσι καὶ διὰ τὸ Πνεῦμα· «Ὅλα αὐτὰ ἐνεργεῖ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα».

Ἀλλ' αὐτὸ εἶναι, λέγει, ἐνέργεια τοῦ Πατρός. Πουθενὰ ὅμως δὲν εἶπεν ἔτσι, ἀλλὰ σὺ τὸ πλάθεις αὐτό. Διότι ὅταν λέγῃ «ὁ Πατὴρ εἶναι ποὺ ἐνεργεῖ ὅλα εἰς ὅλους», τὸ λέγει διὰ τοὺς ἀνθρώπους· δὲν συγκαταλέγει ὅμως μαζὶ μὲ τοὺς ἀνθρώπους καὶ τὸ ἅγιον Πνεῦμα, καὶ δὲν ἠμπορεῖς νὰ εἰπῇς αὐτὸ ἀκόμη καὶ ἂν εἶσαι τελείως παράφρων καὶ τρελλός. Διότι, ἐπειδὴ εἶπε, «διὰ τοῦ Πνεύματος», διὰ νὰ μὴ νομίσῃς ὅτι τό, 'διά', φανερώνει κατωτερότητα, οὔτε ὅτι τὸ ἅγιον Πνεῦμα εἶναι ἐνέργεια τοῦ Πατρός, προσέθεσεν ὅτι ἐνεργεῖ τὸ ἅγιον Πνεῦμα, δὲν ὑπόκειται εἰς ἐνέργειαν, καὶ ἐνεργεῖ ὅπως θέλει, ὄχι ὅπως διατάσσεται. Ὅπως δηλαδὴ ὁ Υἱὸς λέγει διὰ τὸν Πατέρα ὅτι ἀνιστᾷ τοὺς νεκροὺς καὶ τοὺς ζωοποιεῖ ἔτσι καὶ διὰ τὸν ἑαυτόν του, ὅτι ὅποιους θέλει ζωοποιεῖ· ἔτσι καὶ διὰ τὸ ἅγιον Πνεῦμα, ἀλλοῦ μὲν ὅτι ἐνεργεῖ τὰ πάντα μὲ ἐξουσίαν καὶ δὲν ὑπάρχει κανὲν ἐμπόδιον εἰς αὐτό· διότι τὸ «ὅπου θέλει πνέει»[15], ἂν καὶ ἐλέχθη διὰ τὸν ἄνεμον, αὐτὸ τὸ πρᾶγμα ἀποδεικνύει· ἐδῶ δέ, ὅτι ἐνεργεῖ τὰ πάντα ὅπως θέλει.

Ἀλλὰ καὶ ἀπὸ ἀλλοῦ γνώριζε ὅτι τὸ ἅγιον Πνεῦμα δὲν εἶναι ἀπὸ τὰ ἐνεργούμενα, ἀλλ' ἀπὸ τὰ ἐνεργοῦντα. «Διότι ποῖος γνωρίζει τὸ ἐσωτερικὸν τοῦ ἀνθρώπου», λέγει, «παρὰ τὸ πνεῦμα τοῦ ἀνθρώπου; Ἔτσι καὶ τὰ τοῦ Θεοῦ κανεὶς δὲν γνωρίζει, παρὰ τὸ Πνεῦμα τοῦ Θεοῦ».

Ὅτι δὲ τὸ πνεῦμα τοῦ ἀνθρώπου, τουτέστιν, ἡ ψυχή, οὐ δεῖται ἐνεργείας, ἵνα εἰδῇ τὰ ἑαυτῆς, παντί που δῆλον. Οὐκοῦν οὐδὲ τὸ Πνεῦμα τὸ ἅγιον, ἵνα εἰδῇ τὰ τοῦ Θεοῦ. Οὕτω γάρ, φησί, τὰ τοῦ Θεοῦ οἶδεν ἀπόρρητα τὸ Πνεῦμα τὸ ἅγιον, ὡς ἡ ψυχὴ τοῦ ἀνθρώπου τὰ ἀπόρρητα τὰ ἑαυτῆς. Εἰ δὲ εἰς τοῦτο οὐκ ἐνεργεῖται, πολλῷ μᾶλλον τὸ ἐπιστάμενον τοῦ Θεοῦ τὰ βάθη, καὶ οὐκ ἐνεργούμενον εἰς τοῦτο, εἰς τὸ δοῦναι χαρίσματα τοῖς ἀποστόλοις ἐνεργείας οὐκ ἂν ἐδεήθη. Χωρὶς δὲ τούτων κἀκεῖνο, ὅπερ ἔμπροσθεν εἶπον, ἐρῶ καὶ νῦν. Ποῖον δὴ τοῦτο; Ὅτι εἰ ἔλαττον τὸ Πνεῦμα καὶ ἑτέρας οὐσίας, οὐδὲν ὤνησεν ἡ παραμυθία, οὐδὲ τὸ ἀκοῦσαι, «τὸ αὐτὸ Πνεῦμα». Ὁ μὲν γὰρ παρὰ τοῦ βασιλέως λαβὼν μεγίστην ἂν ταύτην σχοίη παραμυθίαν, ὅτι αὐτὸς αὐτῷ ἔδωκεν, ὁ δὲ παρὰ τοῦ δούλου, τότε μᾶλλον ἀλγεῖ, ὅταν τοῦτό τις αὐτῷ προενέγκῃ. Ὥστε κἀντεῦθεν δῆλον, ὅτι οὐ τῆς δουλικῆς, ἀλλὰ τῆς βασιλικῆς οὐσίας τὸ Πνεῦμα τὸ ἅγιον. Διὸ καθάπερ αὐτοὺς παρεμυθήσατο εἰπών, ὅτι «Διαιρέσεις διακονιῶν εἰσιν, ὁ δὲ αὐτὸς Κύριος· καὶ διαιρέσεις ἐνεργημάτων, ὁ δὲ αὐτὸς Θεός»· οὕτω καὶ ἀνωτέρω εἰπών, «Διαιρέσεις χαρισμάτων εἰσί, τὸ δὲ αὐτὸ Πνεῦμα»· καὶ μετὰ ταῦτα πάλιν εἰπών, «Πάντα δὲ ταῦτα ἐνεργεῖ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ καθὼς βούλεται».

5. Μὴ τοίνυν ἀλύωμεν, φησί, μηδὲ ἀλγῶμεν λέγοντες, διὰ τί τὸ ἔλαβον καὶ τὸ οὐκ ἔλαβον; μηδὲ εὐθύνας ἀπαιτῶμεν τὸ Πνεῦμα τὸ ἅγιον. Εἰ γὰρ οἶδας, ὅτι ἀπὸ κηδεμονίας ἐχαρίσατο, ἐννοήσας ὅτι ἀπὸ τῆς αὐτῆς κηδεμονίας καὶ τὸ μέτρον ἔδωκε, στέργε καὶ χαῖρε ὑπὲρ ὧν ἔλαβες· καὶ μὴ δυσχέραινε ὑπὲρ ὧν οὐκ εἴληφας, ἀλλὰ καὶ ὁμολόγει χάριν, ὅτι μὴ μείζονα ἔλαβες τῆς δυνάμεως τῆς σῆς. Εἰ δὲ ἐν τοῖς

Τὸ ὅτι δὲ τὸ πνεῦμα τοῦ ἀνθρώπου, δηλαδὴ ἡ ψυχή, δὲν χρειάζεται ἄλλην ἐνέργειαν διὰ νὰ γνωρίσῃ τὰ ὅσα ὑπάρχουν μέσα της, εἶναι ὁλοφάνερον. Λοιπὸν οὔτε τὸ ἅγιον Πνεῦμα, διὰ νὰ γνωρίσῃ τὰ τοῦ Θεοῦ. Διότι ἔτσι γνωρίζει τὰ ἀπόρρητα τοῦ Θεοῦ τὸ ἅγιον Πνεῦμα, λέγει, ὅπως ἡ ψυχὴ τοῦ ἀνθρώπου τὰ ἰδικά της ἀπόρρητα. Ἐὰν δὲ εἰς αὐτὸ δὲν ὑπόκειται εἰς ἐνέργειαν ἡ ψυχή, τὸ ἅγιον Πνεῦμα ποὺ γνωρίζει τὰ βάθη τοῦ Θεοῦ καὶ δὲν χρειάζεται ἄλλην ἐνέργειαν δι' αὐτό, πολὺ περισσότερον δὲν ὑπόκειται εἰς ἐνέργειαν διὰ νὰ δίδῃ χαρίσματα εἰς τοὺς ἀποστόλους. Ἀλλ' ἐκτὸς ἀπὸ αὐτὰ θὰ εἰπῶ καὶ ἐκεῖνο ποὺ εἶπον εἰς τὴν ἀρχήν. Ποῖον λοιπὸν εἶναι αὐτό; Ὅτι ἐὰν τὸ ἅγιον Πνεῦμα ἦτο κατώτερον καὶ διαφορετικῆς οὐσίας ἀπὸ τὸν Πατέρα, θὰ ἦτο ἀνώφελος ἡ παρηγορία, καθὼς καὶ τὸ ν' ἀκούσουν, «τὸ Πνεῦμα εἶναι τὸ ἴδιον». Διότι αὐτὸς ποὺ λαμβάνει κάτι ἀπὸ τὸν βασιλέα, θὰ εἶχεν αὐτὸ ὡς μεγίστην παρηγορίαν, ὅτι δηλαδὴ ὁ βασιλεὺς τοῦ τὸ ἔδωσεν, ἐνῷ αὐτὸς ποὺ λαμβάνει ἀπὸ δοῦλον, τότε στενοχωρεῖται περισσότερον, ὅταν τοῦ ἀναφέρῃ κανεὶς δι' αὐτό. Ὥστε καὶ ἀπὸ ἐδῶ εἶναι φανερόν, ὅτι τὸ ἅγιον Πνεῦμα δὲν εἶναι τῆς δουλικῆς, ἀλλὰ τῆς βασιλικῆς οὐσίας. Δι' αὐτὸ ὡσὰν παρηγορίαν εἶπεν εἰς αὐτοὺς τὸ ὅτι «ὑπάρχουν ποικιλίαι ὑπηρεσιῶν, ἀλλ' ὁ Κύριος εἶναι ὁ ἴδιος, καὶ διάφορα εἴδη ἐνεργειῶν ὑπάρχουν, ἀλλ' ὁ Θεὸς εἶναι ὁ ἴδιος»· ἔτσι καὶ ἀνωτέρω ὅταν εἶπεν, «ὑπάρχουν ποικιλίαι χαρισμάτων, ἀλλὰ τὸ Πνεῦμα εἶναι τὸ ἴδιον»· καὶ μετὰ ἀπὸ αὐτὰ πάλιν ὅταν εἶπεν «Ὅλα αὐτὰ ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα, ποὺ διανέμει εἰς τὸν καθένα ἰδιαιτέρως ὅπως αὐτὸ θέλει».

5. Ἂς μὴ παραπονούμεθα λοιπόν, οὔτε νὰ θλιβώμεθα καὶ νὰ λέγωμεν, διατί αὐτὸ ἔλαβον καὶ ἐκεῖνο δὲν ἔλαβον; Οὔτε νὰ ζητοῦμεν λογαριασμὸν ἀπὸ τὸ ἅγιον Πνεῦμα. Διότι ἐφ' ὅσον γνωρίζεις ὅτι ἀπὸ πρόνοιαν ἐχάρισεν, ἀφοῦ κατανοήσῃς ὅτι ἀπὸ τὴν ἰδίαν πρόνοιαν ἔδωσε καὶ τὸ μέτρον τῶν χαρισμάτων, νὰ ἀρκῆσαι καὶ νὰ χαίρεσαι δι' ὅσα ἔλαβες· καὶ μὴ δυσαρεστῆσαι δι' ὅσα δὲν ἔλαβες, ἀλλ' ἐπὶ πλέον καὶ νὰ εὐγνωμονῇς διὰ τὸ ὅτι δὲν ἔλαβες περισσό-

πνευματικοῖς οὐ χρὴ περιεργάζεσθαι, πολλῷ μᾶλλον ἐν τοῖς σαρκικοῖς, ἀλλ' ἡσυχάζειν, καὶ μὴ ἀλύειν, διὰ τί ὁ δεῖνα πλούσιος, καὶ ὁ δεῖνα πένης. Μάλιστα μὲν γὰρ οὐχ ἕκαστος ἀπὸ Θεοῦ πλουτεῖ, ἀλλὰ πολλοὶ καὶ ἐξ ἀδικίας καὶ ἁρπαγῆς καὶ πλεονεξίας. Ὁ γὰρ κελεύσας μὴ πλουτεῖν, πῶς ἂν ἔδωκεν ὅπερ ἐκώλυσε μὴ λαβεῖν;

Ἵνα δὲ ἐκ πλείονος ἐπιστομίσω τῆς περιουσίας τοὺς ὑπὲρ τούτων ἀντιλέγοντας ἡμῖν, φέρε ἀνωτέρω τὸν λόγον ἀγάγωμεν, ἡνίκα παρὰ τοῦ Θεοῦ ὁ πλοῦτος ἐδίδοτο, καὶ ἀπόκριναί μοι· τίνος ἕνεκεν ὁ Ἀβραὰμ ἐπλούτει, ὁ δὲ Ἰακὼβ καὶ ἄρτου ἐδεῖτο; Οὐχὶ δίκαιος καὶ οὗτος ἦν, καὶ ἐκεῖνος; οὐχὶ ὁμοίως περὶ τῶν τριῶν φησιν, «Ἐγὼ ὁ Θεὸς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ». Διὰ τί τοίνυν ὁ μὲν ἐπλούτει, ὁ δὲ ἐθήτευε; μᾶλλον δὲ διὰ τί ὁ μὲν Ἠσαῦ ἐπλούτει ἄδικος ὢν καὶ ἀδελφοκτόνος, οὗτος δὲ ἐν δουλείᾳ ἦν χρόνον τοσοῦτον; Διὰ τί πάλιν ὁ μὲν Ἰσαὰκ μετὰ ἀδείας ἔζησε τὸν ἅπαντα χρόνον, ὁ δὲ Ἰακὼβ ἐν μόχθοις καὶ ταλαιπωρίαις· διὸ καὶ ἔλεγε, «Μικραὶ καὶ πονηραὶ αἱ ἡμέραι μου»; Διὰ τί ὁ μὲν Δαυῒδ προφήτης ὢν καὶ βασιλεύς, καὶ αὐτὸς τὸν ἅπαντα χρόνον ἐν πόνοις ἔζησεν, ὁ δὲ Σολομῶν ὁ υἱὸς τούτου τεσσαράκοντα ἔτη πάντων ἀνθρώπων ἀδεέστερον διῆγεν, εἰρήνης ἀπολύων βαθείας, δόξης, τιμῆς, καὶ τρυφῆς ἅπαν ἐπιὼν εἶδος; Τί δήποτε καὶ ἐν τοῖς προφήταις ὁ μὲν μειζόνως, ὁ δὲ ἐλαττόνως ἐθλίβετο; Ὅτι ἑκάστῳ οὕτω συμφέρον ἦν. Διὸ καὶ ἑκάστῳ ἐπιλέγειν χρή, «Τὰ κρίματά σου ἄβυσσος πολλή». Εἰ γὰρ τοὺς μεγάλους ἐκείνους καὶ θαυμαστοὺς οὐχ ὁμοίως ἐγύμναζεν ὁ Θεός, ἀλλὰ τὸν μὲν διὰ πενίας, τὸν δὲ διὰ πλούτου, καὶ τὸν μὲν δι' ἀνέσεως, τὸν δὲ διὰ θλίψεως, πολλῷ μᾶλλον νῦν ταῦτα ἐννοεῖν χρή.

---

16. Ἐξ. 3, 6.
17. Γεν. 47, 9.
18. Ψαλμ. 35, 7.

τερα ἀπὸ τὴν δύναμίν σου. Ἐὰν δὲ εἰς τὰ πνευματικὰ δὲν πρέπει νὰ περιεργαζώμεθα, πολὺ περισσότερον εἰς τὰ σαρκικά, ἀλλὰ νὰ σιωπῶμεν καὶ νὰ μὴ παραπονούμεθα, διατί ὁ τάδε εἶναι πλούσιος καὶ ὁ τάδε πτωχός. Καθ᾽ ὅσον δὲν πλουτεῖ βέβαια ὁ καθεὶς συμφώνως πρὸς τὸ θέλημα τοῦ Θεοῦ, ἀλλὰ πολλοὶ καὶ ἀπὸ ἀδικίαν καὶ κλοπὴν καὶ πλεονεξίαν. Διότι ὁ Θεός, ὁ ὁποῖος παρήγγειλε νὰ μὴ ἀποκτῶμεν πλοῦτον, πῶς θὰ ἔδιδεν αὐτὸ ποὺ ἠμπόδισε νὰ λάβωμεν;

Ἀλλὰ διὰ ν᾽ ἀποστομώσω τελείως ὅσους ἀντιλέγουν εἰς αὐτά, ἐμπρὸς ἄς φέρωμεν τὸν λόγον εἰς τὴν παλαιὰν Διαθήκην, ὅταν ὁ πλοῦτος ἐδίδετο ἀπὸ τὸν Θεόν, καὶ ἀπάντησέ μου· διατί ὁ μὲν Ἀβραὰμ ἦτο πλούσιος, ὁ δὲ Ἰακὼβ ἐστερεῖτο καὶ τὸν ἄρτον; Δὲν ἦτο δίκαιος καὶ αὐτὸς καὶ ἐκεῖνος; δὲν εἶπε τὸ ἴδιον καὶ διὰ τοὺς τρεῖς «Ἐγὼ εἶμαι ὁ Θεὸς τοῦ Ἀβραὰμ καὶ τοῦ Ἰσαὰκ καὶ τοῦ Ἰακώβ»[16]; Διατί λοιπὸν ὁ μὲν ἕνας ἦτο πλούσιος, ἐνῷ ὁ ἄλλος ὑπηρέτης ὡς δοῦλος; Ἀκόμη περισσότερον δέ· διατί ὁ μὲν Ἠσαῦ, ἐνῷ ἦτο ἄδικος καὶ ἀδελφοκτόνος, εἶχε πλοῦτον, ἐνῷ αὐτὸς ἦτο δοῦλος διὰ τόσον χρόνον; Διατί πάλιν ὁ μὲν Ἰσαὰκ ἔζησε τὴν ζωήν του μὲ ἄνεσιν, ἐνῷ ὁ Ἰακὼβ μὲ μόχθους καὶ ταλαιπωρίας καὶ δι᾽ αὐτὸ καὶ ἔλεγεν, «Ὀλίγα καὶ γεμᾶτα βάσανα εἶναι τὰ ἔτη τῆς ζωῆς μου»[17]; Διατί ὁ μὲν Δαυΐδ, ἐνῷ ἦτο προφήτης καὶ βασιλεύς, ἔζησε καὶ αὐτὸς ὅλην τὴν ζωήν του μὲ στενοχωρίας, ἐνῷ ὁ Σολομών, ὁ υἱός του, ἐπὶ τεσσαράκοντα χρόνους ἔζη μέσα εἰς ἀφθονίαν περισσότερον ἀπὸ κάθε ἄνθρωπον καὶ ἀπελάμβανε βαθεῖαν εἰρήνην, δόξαν, τιμὴν καὶ κάθε εἴδους ἀπόλαυσιν; Διατί ἆρά γε καὶ εἰς τοὺς προφήτας ἄλλος μὲν περισσότερον, ἄλλος δὲ ὀλιγώτερον ἐβασανίζετο; Διότι εἰς τὸν καθένα ἔτσι συνέφερε. Δι᾽ αὐτὸ καὶ διὰ τὸν καθένα πρέπει νὰ λέγωμεν ὡς ἐπίλογον, «Αἱ κρίσεις σου εἶναι ἀνεξερεύνητοι, ὅπως αἱ ἄβυσσοι τῶν ὠκεανῶν»[18]. Ἐὰν λοιπὸν ἐκείνους τοὺς μεγάλους καὶ θαυμαστοὺς δὲν ἐπαίδευεν ὁ Θεὸς μὲ τὸν ἴδιον τρόπον, ἀλλὰ τὸν μὲν διὰ τῆς πτωχείας, τὸν δὲ διὰ τοῦ πλούτου, καὶ τὸν μὲν διὰ τῆς ἀνέσεως, τὸν δὲ διὰ στενοχωρίας, πολὺ περισσότερον πρέπει νὰ κατανοοῦμεν αὐτὰ τώρα.

Μετὰ δὲ τούτου κἀκεῖνο λογίζεσθαι δεῖ, ὅτι πολλὰ τῶν συμβαινόντων οὐ κατὰ τὴν αὐτοῦ γίνεται γνώμην, ἀλλ' ἀπὸ τῆς ἡμετέρας κακίας. Μὴ τοίνυν λέγε, διὰ τί ὁ μὲν πλούσιος φαῦλος ὤν, ὁ δὲ πένης δίκαιος ὤν; Μάλιστα μὲν γὰρ καὶ τούτων ἔστι δοῦναι λόγον, καὶ εἰπεῖν, ὅτι οὔτε ὁ δίκαιος ἀπὸ τῆς πενίας ἔχει τι βλάβος, ἀλλὰ καὶ μείζονα προσθήκην εὐδοκιμήσεως, καὶ ὁ κακὸς ἐφόδιον τιμωρίας τὸν πλοῦτον, ἂν μὴ μεταβάληται, κέκτηται· καὶ πρὸ τῆς κολάσεως δὲ πολλάκις κακῶν αἴτιος αὐτῷ γέγονεν ὁ πλοῦτος πολλῶν, καὶ εἰς μυρία ἤγαγε βάραθρα. Ὁ δὲ Θεὸς ἀφίησιν, ὁμοῦ τε δεικνὺς τὸ αὐτεξούσιον τῆς προαιρέσεως, ὁμοῦ τε τοὺς ἄλλους παιδεύων μὴ μαίνεσθαι μηδὲ λυττᾶν περὶ τὰ χρήματα. Τί οὖν, ὅταν πονηρός τις ὢν πλουτῇ, καὶ μηδὲν πάσχῃ δεινόν, φησίν; Ἂν μὲν γὰρ ἀγαθὸς ὢν πλουτῇ, δικαίως, ἂν δὲ πονηρός, τί ἐροῦμεν; Ὅτι καὶ ταύτῃ ἐλεεινός. Πλοῦτος γὰρ πονηρίᾳ προσγενόμενος ἐπιτρίβει τὸ πάθος. Ἀλλ' ἀγαθός ἐστι, καὶ πένεται. Ἀλλ' οὐδὲν βλάπτεται. Ἀλλὰ πονηρός ἐστι καὶ πένεται. Οὐκοῦν δικαίως καὶ κατ' ἀξίαν, μᾶλλον δὲ καὶ χρησίμως αὐτῷ. Ἀλλ' ὁ δεῖνα, φησί, παρὰ προγόνων ἐδέξατο πλοῦτον, καὶ σκορπίζει τοῦτον εἰς πόρνας καὶ παρασίτους, καὶ οὐδὲν πάσχει δεινόν. Τί φής; πορνεύει, καὶ λέγεις, οὐδὲν πάσχει δεινόν; μεθύει, καὶ νομίζεις αὐτὸν τρυφᾶν; εἰς οὐδὲν δέον δαπανᾷ, καὶ ζηλωτὸν αὐτὸν εἶναι φής; καὶ τί χεῖρον γένοιτ' ἂν τούτου τοῦ τὴν ψυχὴν λυμαινομένου;

Σὺ δέ, εἰ μὲν τὸ σῶμα διέστραπτο καὶ πεπήρωτο, μυρίων ἂν ἔφης ἄξιον αὐτὸν εἶναι δακρύων, τὴν δὲ ψυχὴν αὐτοῦ πᾶσαν πεπηρωμένην ὁρῶν, καὶ μακάριον νομίζεις; Ἀλλ' οὐκ αἰσθάνεται, φησί. Καὶ δι' αὐτὸ μὲν οὖν τοῦτο πάλιν ἐλεεινός, ὥσπερ οἱ παραπαίοντες. Ὁ μὲν γὰρ εἰδώς, ὅτι νο-

Μαζὶ δὲ μὲ αὐτὸ πρέπει νὰ σκεπτώμεθα καὶ ἐκεῖνο, ὅτι πολλὰ ἀπὸ ὅσα συμβαίνουν, δὲν γίνονται διότι τὸ θέλει ὁ Θεός, ἀλλ᾽ ἐξ αἰτίας τῆς ἰδικῆς μας κακίας. Μὴ λέγῃς λοιπόν, διατί ὁ μὲν εἶναι πλούσιος ἐνῷ εἶναι κακός, ἐνῷ ὁ ἄλλος πτωχός, ἐνῷ εἶναι δίκαιος; Διότι εἶναι δυνατὸν νὰ παρουσιάσωμεν τὸν λόγον ποὺ συμβαίνουν αὐτὰ καὶ νὰ εἰποῦμεν, ὅτι καὶ ὁ δίκαιος δὲν βλάπτεται καθόλου ἀπὸ τὴν πτωχείαν, ἀλλ᾽ ἐπὶ πλέον εὐδοκιμεῖ περισσότερον, καὶ ὁ κακὸς κατέχει τὸν πλοῦτον ὡς αἰτίαν τιμωρίας ἐὰν δὲν διορθωθῇ˙ ἀλλὰ καὶ πρὶν ἀπὸ τὴν κόλασιν ἔγινε πολλὰς φορὰς αἰτία κακῶν δι᾽ αὐτὸν ὁ πλοῦτος καὶ ὡδήγησεν εἰς ἀμέτρητα βάραθρα. Ὁ Θεὸς ὅμως ἐπιτρέπει καὶ διὰ νὰ δείξῃ ὅτι ὁ ἄνθρωπος ἔχει αὐτεξούσιον προαίρεσιν, καὶ διὰ νὰ διδάσκῃ εἰς τοὺς ἄλλους νὰ μὴ κυριεύωνται ἀπὸ μανίαν οὔτε νὰ λυσσοῦν διὰ τὰ χρήματα. Τί λοιπόν, θὰ εἰπῇ, εἶναι δίκαιον ὅταν κάποιος, ἐνῷ εἶναι πονηρός, εἶναι πλούσιος καὶ δὲν πάσχει κανὲν κακόν; Διότι ἐὰν μὲν εἶναι ἀγαθὸς καὶ ἔχει πλοῦτον, δικαίως, ἐὰν ὅμως εἶναι πονηρὸς τί θὰ εἰποῦμεν; Ὅτι καὶ δι᾽ αὐτὸ εἶναι ἀξιολύπητος. Διότι ὅταν ὁ πλοῦτος προστίθεται εἰς τὴν κακίαν ἐρεθίζει τὸ πάθος περισσότερον. Ὁ ἄλλος ὅμως εἶναι ἀγαθὸς καὶ ζῇ εἰς πτωχείαν, θὰ εἰπῇς πάλιν. Ὅμως εἰς τίποτε δὲν βλάπτεται. Ἀλλ᾽ εἶναι κάποιος κακὸς καὶ εἶναι πτωχός. Λοιπὸν δικαίως καὶ ὅπως τοῦ ἀξίζει, μᾶλλον δὲ καὶ πρὸς ὠφέλειάν του. Ἀλλ᾽ ὁ τάδε, λέγεις, ἐκληρονόμησεν ἀπὸ τοὺς προγόνους του πλοῦτον καὶ σκορπίζει αὐτὸν εἰς πόρνας καὶ παρασίτους καὶ δὲν παθαίνει κανὲν κακόν. Τί λέγεις; Πορνεύει καὶ λέγεις ὅτι δὲν παθαίνει κανὲν κακόν; μεθύει καὶ νομίζεις ὅτι ἀπολαμβάνει καὶ εὐχαριστεῖται; δὲν ἐξοδεύει τίποτε ὅπως πρέπει καὶ θεωρεῖς αὐτὸν ἀξιοζήλευτον; καὶ τί χειρότερον ὑπάρχει ἀπὸ αὐτὸν ποὺ καταστρέφει τὴν ψυχήν του;

Σὺ ὅμως, ἐὰν μὲν παρεμορφώνετο καὶ ἐγίνετο ἀνάπηρον τὸ σῶμά του, θὰ ἔλεγες ὅτι αὐτὸς εἶναι ἄξιος πολλῶν δακρύων, τώρα ὅμως ποὺ βλέπεις τὴν ψυχήν του ὁλόκληρον κατεστραμμένην τὸν θεωρεῖς καὶ μακάριον; Ἀλλὰ δὲν τὸ αἰσθάνεται, λέγεις. Καὶ δι᾽ αὐτὸ λοιπὸν εἶναι πάλιν ἀξιολύπητος, ὅπως οἱ παράφρονες ποὺ δὲν αἰσθάνονται τὴν

σεῖ, καὶ τὸν ἰατρὸν ἐπιζητήσει πάντως, καὶ φαρμάκων ἀνέξεται, ὁ δὲ ἀγνοῶν, οὐδὲ ἀπαλλαγῆναι δυνήσεται. Τοῦτον οὖν μακαρίζεις, εἰπέ μοι; Ἀλλ' οὐδὲν θαυμαστόν· φιλοσοφίας γὰρ οἱ πλείους ἄπειροι. Διὰ τοῦτο τὴν ἐσχάτην τίνομεν δίκην, κολαζόμενοι, καὶ οὐδὲ ἀπαλλαττόμενοι τῆς τιμωρίας· διὰ τοῦτο θυμοὶ καὶ ἀθυμίαι καὶ θόρυβοι διηνεκεῖς, ἐπειδὴ βίον ἄλυπον δείξαντος ἡμῖν τοῦ Θεοῦ, τὸν τῆς ἀρετῆς, ἡμεῖς ταύτην ἀφέντες, ἑτέραν τέμνομεν ὁδὸν τὴν τοῦ πλούτου καὶ τῶν χρημάτων, τὴν μυρίων γέμουσαν κακῶν. Καὶ ταὐτὸν ποιοῦμεν, ὥσπερ ἂν εἴ τις σωμάτων οὐκ εἰδὼς διακρίνειν κάλλος, ἀλλὰ τὸ πᾶν τοῖς ἱματίοις τιθέμενος καὶ τῷ περικειμένῳ κόσμῳ, τὴν μὲν ὡραίαν γυναῖκα καὶ φυσικὸν κάλλος κεκτημένην ἰδὼν παραδράμοι· τὴν δὲ αἰσχρὰν καὶ δυσειδῆ καὶ τὸ σῶμα ἀνάπηρον, καλὰ ἱμάτια ἔχουσαν θεασάμενος, γυναῖκα ἀγάγοιτο. Τοιοῦτόν τι καὶ νῦν περὶ τὴν ἀρετὴν καὶ τὴν κακίαν πάσχουσιν οἱ πολλοί, τὴν μὲν αἰσχρὰν φύσει προσιέμενοι διὰ τὸν ἔξωθεν αὐτῆς κόσμον, τὴν δὲ ὡραίαν καὶ εὔμορφον ἀποστρεφόμενοι διὰ τὸ γυμνὸν αὐτῆς κάλλος, δι' ὃ μάλιστα αὐτὴν ἑλέσθαι ἐχρῆν.

6. Διὰ τοῦτο αἰσχύνομαι, ὅτι παρ' Ἕλλησι μὲν τοῖς ἀνοήτοις εἰσὶν οἱ ταῦτα φιλοσοφοῦντες, εἰ καὶ μὴ πράγμασιν, ἀλλὰ τῇ γνώμῃ γοῦν τέως, καὶ εἰδότες τὸ τῶν παρόντων ἐπίκηρον· παρ' ἡμῖν δὲ ἔνιοι οὐδὲ ταῦτα ἐπίστανται, ἀλλὰ καὶ τὴν κρίσιν αὐτὴν διεφθαρμένην ἔχουσι, καὶ ταῦτα ἄνω καὶ κάτω τῆς Γραφῆς ἐπᾳδούσης ἡμῖν καὶ λεγούσης· «Ἐξουδένωται ἐνώπιον αὐτοῦ πονηρευόμενος, τοὺς δὲ φοβουμένους τὸν Κύριον δοξάζει». «Φόβος Κυρίου ὑπὲρ πᾶν ὑπερέβαλε». «Τὸν Θεὸν φοβοῦ, καὶ τὰς ἐντολὰς αὐτοῦ φύ-

---

19. Ψαλμ. 14, 4.
20. Σοφ. Σειρ. 25, 11.

κατάστασίν των. Διότι αὐτὸς μὲν ποὺ γνωρίζει ὅτι ἀσθενεῖ, καὶ τὸν ἰατρὸν θ' ἀναζητήσῃ ὁπωσδήποτε καὶ φάρμακα θὰ δεχθῇ, ἐνῷ αὐτὸς ποὺ δὲν γνωρίζει ὅτι εἶναι ἄρρωστος, δὲν θὰ ἠμπορέσῃ ν' ἀπαλλαγῇ ἀπὸ τὴν ἀσθένειάν του. Λοιπόν, εἰπέ μου, αὐτὸν μακαρίζεις; Ἀλλὰ τίποτε ἄξιον ἀπορίας· διότι οἱ περισσότεροι δὲν γνωρίζουν τὸν ὀρθὸν τρόπον ζωῆς. Δι' αὐτὸ τιμωρούμεθα μὲ τὴν ἐσχάτην καταδίκην ὅταν κολαζώμεθα καὶ δὲν ἀπαλλασσόμεθα ἀπὸ τὴν τιμωρίαν· δι' αὐτὸ θυμοὶ καὶ θλίψεις καὶ συνεχεῖς ταραχαί, ἐπειδή, ἐνῷ ὁ Θεὸς μᾶς ἔδειξε τὴν ζωὴν ποὺ εἶναι ἀπηλλαγμένη ἀπὸ λύπην, δηλαδὴ τὴν ὁδὸν τῆς ἀρετῆς, ἐμεῖς, ἀφοῦ ἐγκατελείψαμεν αὐτήν, ἐκλέγομεν ἄλλην ὁδόν, τὴν ὁδὸν τοῦ πλούτου καὶ τῶν χρημάτων, ποὺ εἶναι γεμάτη ἀπὸ ἄπειρα κακά. Καὶ πράττομεν τὸ ἴδιον μὲ κάποιον ὁ ὁποῖος ἐνῷ δὲν δύναται νὰ διακρίνῃ τὸ κάλλος τῶν σωμάτων, ἀλλὰ ἐκτιμᾷ μόνον ἀπὸ τὰ ἐνδύματα καὶ τὸν ἐξωτερικὸν στολισμόν, ἀφοῦ ἰδῇ μὲν τὴν ὡραίαν γυναῖκα ποὺ ἔχει φυσικὸν κάλλος, τὴν παραβλέπει, ἐνῷ ὅταν ἰδῇ τὴν ἄσχημον καὶ ἀποκρουστικὴν καὶ ἀνάπηρον εἰς τὸ σῶμα, ἐπειδὴ ἔχει ὡραῖα ἐνδύματα τὴν παίρνει διὰ γυναῖκα του. Κάτι παρόμοιον καὶ τώρα πάσχουν πολλοὶ μὲ τὴν ἀρετὴν καὶ τὴν κακίαν, μὲ τὸ νὰ παραδέχωνται αὐτὴν ποὺ εἶναι φύσει ἄσχημος ἐξ αἰτίας τοῦ ἐξωτερικοῦ της στολισμοῦ, ἐνῷ ἀποστρέφονται τὴν ὡραίαν καὶ εὔμορφον ἐξ αἰτίας τοῦ γυμνοῦ της κάλλους, διὰ τὸ ὁποῖον περισσότερον θὰ ἔπρεπε νὰ τὴν προτιμοῦν.

6. Δι' αὐτὸ ἐντρέπομαι, διότι αὐτοὶ ποὺ φιλοσοφοῦν αὐτὰ προέρχονται ἀπὸ τοὺς ἀνοήτους εἰδωλολάτρας, ἂν καὶ ὄχι εἰς τὴν πρᾶξιν, ἀλλ' εἰς τὸ φρόνημα, καὶ γνωρίζουν ὅτι τὰ παρόντα εἶναι φθαρτά· ἐνῷ μεταξύ μας μερικοὶ οὔτε αὐτὰ γνωρίζουν, ἀλλὰ καὶ αὐτὴν τὴν κρίσιν τὴν ἔχουν κατεστραμμένην, καὶ αὐτὰ ἐνῷ παντοῦ ψάλλει δι' ἐμᾶς ἡ Γραφὴ καὶ λέγει· «Ἄξιος εἶναι αὐτὸς ποὺ περιφρονεῖ τὸν πονηρὸν ἄνθρωπον ἔστω καὶ πλούσιον, καὶ τιμᾷ τοὺς φοβουμένους τὸν Κύριον ἔστω καὶ πτωχούς»[19]. «Ὁ φόβος τοῦ Κυρίου εἶναι ὑπεράνω κάθε ἀρετῆς»[20]. «Νὰ φοβῆσαι τὸν Θεόν, νὰ φυλάττῃς τὰς ἐντολάς του, διότι αὐτὸς εἶναι ὁ προορισμὸς

λασσε, ὅτι τοῦτο πᾶς ἄνθρωπος». «Μὴ παραζήλου ἐν πονηρευομένοις». «Μὴ φοβοῦ, ὅταν πλουτήσῃ ἄνθρωπος». «Πᾶσα σὰρξ χόρτος, καὶ πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου». Ταῦτα γὰρ καὶ τὰ τοιαῦτα καθ' ἑκάστην ἀκούοντες τὴν ἡμέραν, ἔτι τῇ γῇ προσηλώμεθα. Καὶ καθάπερ παιδία ἀμαθῆ συνεχῶς τὰ στοιχεῖα μανθάνοντα, ἐπειδὰν διεσπαρμένως ἐξετάζηται περὶ τῆς ἐκείνων τάξεως, ἕτερα ἀνθ' ἑτέρου λέγοντα πολὺν κινεῖ τὸν λέγωτα· οὕτω καὶ ὑμεῖς, ὅταν μὲν ἐνταῦθα κατὰ τάξιν αὐτὰ ὑμῖν καταλέξωμεν, ὁπωσδήποτε παρακολουθεῖτε· ὅταν δὲ ἔξω διεσπαρμένως ὑμᾶς ἐρωτήσωμεν, ποῖα μὲν πρῶτα, ποῖα δὲ δεύτερα τῶν πραγμάτων τάττειν ἄξιον, καὶ τίνα μετὰ τίνα, οὐκ εἰδότες εἰπεῖν, καταγέλαστοι γίνεσθε. Ἦ οὐ πολλοῦ γέλωτος, εἰπέ μοι, ἀθανασίαν προσδοκῶντας, καὶ τὰ ἀγαθά, ἃ οὔτε ὀφθαλμὸς εἶδεν, οὔτε οὖς ἤκουσεν, οὔτε ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη, περὶ τῶν ἐνταῦθα μενόντων φιλονεικεῖν, καὶ ζηλωτὰ αὐτὰ εἶναι νομίζειν;

Εἰ γὰρ ἔτι ταῦτα χρείαν ἔχεις μανθάνειν, ὅτι οὐδὲν μέγα πλοῦτος, ὅτι σκιὰ τὰ παρόντα καὶ ὄναρ, ὅτι καπνοῦ δίκην διαλύεται καὶ ἀφίπταται, ἔξω τῶν ἀδύτων στῆθι τέως, ἐν τοῖς προπυλαίοις μένε· οὔπω γὰρ τῆς εἰσόδου τῆς πρὸς τὰ ἄνω βασίλεια ἄξιος γέγονας. Εἰ γὰρ τὴν φύσιν αὐτῶν διακρίνειν οὐκ οἶσθα τὴν ἄστατον κα διηνεκῶς ῥέουσαν, πότε αὐτῶν ὑπεριδεῖν δυνήσῃ; Εἰ δὲ λέγεις εἰδέναι, παῦσαι πολυπραγμονῶν κα περιεργαζόμενος, τί δήποτε ὁ δεῖνα πλούσιος, καὶ ὁ δεῖνα πένης. Ταὐτὸν γὰρ ποιεῖς ταῦτα ἐρωτῶν, ὡς ἂν εἰ περιιὼν ἐπυνθάνου, τί δήποτε ὁ δεῖνα λευκὸς καὶ ὁ δεῖνα μέλας, ἢ ὁ δεῖνα γρυπὸς καὶ ὁ δεῖνα σιμός. Ὥσπερ γὰρ οὐδὲν ταῦτα ἡμῖν διαφέρει, ἄν τε οὕτως ἄν τε ἐκείνως ἔχῃ, οὕτως οὐδὲ πένεσθαι καὶ πλουτεῖν, καὶ πολλῷ μᾶλλον

21. Ἐκκλ. 12, 13
22. Ψαλμ. 36, 1.
23. Ψαλμ. 48, 17.
24. Ἠσ. 40, 6.

κάθε ἀνθρώπου»[21]. «Μὴ ζηλεύῃς τὴν εὐτυχίαν ἐκείνων ποὺ ἀκολουθοῦν τὴν πονηρίαν»[22]. «Μὴ ταράσσεσαι ὅταν ὁ ἀσεβὴς ἄνθρωπος πλουτίζῃ»[23]. «Κάθε ἄνθρωπος εἶναι ὡσὰν χόρτον καὶ κάθε δόξα ἀνθρώπου ὡσὰν χόρτον μαραίνεται»[24]. Ἀλλ' ἂν καὶ ἀκούομεν αὐτοὺς καὶ παρομοίους μὲ αὐτοὺς λόγους καθ' ἡμέραν, εἴμεθα προσηλωμένοι εἰς τὴν γῆν. Καὶ ὅπως τὰ ἀμαθῆ παιδιά, ἐνῷ διδάσκονται συνεχῶς τὰ γράμματα τοῦ ἀλφαβήτου, ὅταν ἐξετάζωνται μὲ διεσκορπισμένα τὰ γράμματα διὰ τὸ ποῖα εἶναι ἡ τάξις των καὶ ἐπειδὴ λέγουν ἄλλα ἀντ' ἄλλων, προκαλοῦν πολὺν γέλωτα, ἔτσι καὶ σεῖς, ὅταν μὲν εἴπουμεν αὐτὰ μὲ τάξιν καὶ σειρὰν τὰ παρακολουθεῖτε ὁπωσδήποτε, ὅταν ὅμως σᾶς ἐρωτήσωμεν ἔξω ἀφοῦ ἀλλάξωμεν τὴν σειρὰν ποῖα εἶναι ἄξια νὰ τεθοῦν πρῶτα καὶ ποῖα δεύτερα, καὶ ποῖα μετὰ ἀπὸ ποῖα, ἐπειδὴ δὲν γνωρίζετε ν' ἀπαντήσετε, γίνεσθε καταγέλαστοι. Ἢ δὲν εἶναι ἄξιον πολλοῦ γέλωτος, εἰπέ μου, ἐνῷ προσδοκῶμεν ἀθανασίαν καὶ τὰ ἀγαθὰ τὰ ὁποῖα οὔτε ὀφθαλμὸς εἶδεν, οὔτε αὐτὶ ἤκουσεν, οὔτε συνέλαβε καρδία ἀνθρώπου, νὰ φιλονεικῶμεν δι' αὐτὰ ποὺ μένουν ἐδῶ καὶ νὰ θεωροῦμεν αὐτὰ ἀξιοζήλευτα;

Ἐὰν ὅμως ἔχῃς ἀνάγκην νὰ μαθαίνῃς ἀκόμη αὐτά, ὅτι δηλαδὴ δὲν εἶναι τίποτε μέγα ὁ πλοῦτος, ὅτι τὰ πράγματα αὐτῆς τῆς ζωῆς εἶναι σκιὰ καὶ ὄνειρον, ὅτι ὡσὰν καπνὸς διαλύονται καὶ χάνονται, τότε νὰ ἵστασαι ἔξω ἀπὸ τὸν ναόν, νὰ μένῃς εἰς τὰ πρόθυρα· καθ' ὅσον ἀκόμη δὲν ἔγινες ἄξιος νὰ εἰσέλθῃς εἰς τὴν ἄνω βασιλείαν. Διότι, ἐὰν δὲν γνωρίζῃς νὰ διακρίνῃς ὅτι ἡ φύσις αὐτῶν τῶν πραγμάτων εἶναι ἄστατος καὶ διαρκῶς μεταβάλλεται, πότε θὰ ἠμπορέσῃς νὰ τὰ περιφρονήσῃς; Ἐὰν ὅμως λέγῃς ὅτι τὸ γνωρίζεις, παῦσε νὰ ἐξετάζῃς καὶ νὰ περιεργάζεσαι, διατί ὁ τάδε εἶναι πλούσιος καὶ ὁ τάδε πτωχός. Διότι ὅταν ἐρωτᾷς δι' αὐτὰ κάνεις τὸ ἴδιο ὡσὰν νὰ ἐζήτεις, ἐνῷ περιήρχεσο, νὰ μάθῃς διατί ὁ τάδε εἶναι λευκὸς καὶ ὁ τάδε μαῦρος ἢ ὁ τάδε κυρτὸς καὶ ὁ τάδε κοῖλος. Ὅπως ἀκριβῶς, λοιπόν, καθόλου δὲν μᾶς ἐνδιαφέρουν αὐτά, ἐὰν ἔχουν ἔτσι ἢ ὄχι, ἔτσι δὲν μᾶς ἐνδιαφέρει οὔτε ἐὰν εἴμεθα πτωχοὶ ἢ πλούσιοι, καὶ πολὺ περισσότερον ἀπὸ ὅσον ἐκεῖνα,

ἢ ἐκεῖνα, ἀλλὰ τὸ πᾶν παρὰ τὸν τῆς χρήσεως γίνεται τρόπον. Κἂν πένης ᾖς, δύνασαι μετὰ εὐθυμίας ζῆν φιλοσοφῶν· κἂν πλούσιος ᾖς, πάντων ἀθλιώτερος εἶ φεύγων ἀρετήν.

Τὰ γὰρ διαφέροντα ἡμῖν ταῦτα, τὰ τῆς ἀρετῆς· κἂν ταῦτα μὴ προσῇ, τῶν ἄλλων οὐδὲν ὄφελος. Διὰ τοῦτο καὶ αἱ πυκναὶ αὗται ἐρωτήσεις, ὅτι τὰ μὲν ἀδιάφορα διαφέρειν αὐτοῖς νομίζουσιν οἱ πολλοί, τῶν δὲ διαφερόντων οὐδένα ποιοῦνται λόγον. Τὸ γὰρ διαφέρον ἡμῖν, ἀρετὴ καὶ φιλοσοφία. Ἐπεὶ οὖν ταύτης πόρρω που καὶ μακρὰν ἐσκήνωνται, διὰ τοῦτο θόρυβος τῶν λογισμῶν, διὰ τοῦτο τὰ πολλὰ κύματα, διὰ τοῦτο ἡ ζάλη. Ὅταν γὰρ τῆς ἄνω δόξης ἐκπέσωσι καὶ τοῦ τῶν οὐρανῶν ἔρωτος, τῆς παρούσης ἐφίενται, καὶ γίνονται δοῦλοι καὶ αἰχμάλωτοι. Καὶ πόθεν ταύτης ἐφιέμεθα, φησίν; Ἀπὸ τοῦ μὴ σφόδρα ἐκείνης ἐφίεσθαι. Αὐτὸ δὲ τοῦτο πόθεν συμβαίνει; Ἀπὸ ῥαθυμίας. Ἡ δὲ ῥαθυμία πόθεν; Ἀπὸ καταφρονήσεως. Ἡ δὲ καταφρόνησις πόθεν; Ἐξ ἀνοίας καὶ τοῦ τοῖς παροῦσι προστετηκέναι, καὶ μὴ βούλεσθαι τῶν πραγμάτων ἐξετάζειν μετὰ ἀκριβείας τὴν φύσιν. Αὐτὸ δὲ τοῦτο πόθεν συμβαίνει πάλιν; Ἐκ τοῦ μήτε γραφῶν ἀναγνώσει προσέχειν, μήτε ἀνδράσι συγγίνεσθαι ἁγίοις, καὶ τοὺς τῶν πονηρῶν συλλόγους διώκειν.

Ἵν' οὖν μὴ ἀεὶ τοῦτο γίνηται, καὶ κύματα ἐκ κυμάτων ἡμᾶς δεχόμενα εἰς τὸ πέλαγος ἀπαγάγῃ τῶν κακῶν, καὶ καταπνίξῃ καὶ ἀπολέσῃ πάντῃ, ἕως ἐστὶ καιρός, ἀνενέγκωμεν, καὶ ἐπὶ τῆς πέτρας στάντες, τῶν τοῦ Θεοῦ δογμάτων λέγω καὶ λόγων, κατίδωμεν τὸν σάλον τοῦ παρόντος βίου. Οὕτω γὰρ καὶ αὐτοὶ τοῦτον διαφευξόμεθα, καὶ ἑτέρους ναυαγοῦντας ἀνιμησάμενοι, τῶν μελλόντων ἐπιτευξόμεθα ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας. Ἀμήν.

ἀλλὰ τὸ πᾶν ἐξαρτᾶται ἀπὸ τὸν τρόπον μὲ τὸν ὁποῖον τὸ χρησιμοποιεῖ κανείς. Καὶ ἐὰν εἶσαι πτωχὸς ἠμπορεῖς νὰ ζῇς μὲ εὐθυμίαν φιλοσοφῶν τὴν ζωήν· καὶ ἐὰν εἶσαι πλούσιος, εἶσαι ἀθλιώτερος ἀπὸ ὅλους ἀποφεύγων τὴν ἀρετήν.

Αὐτὰ ποὺ μᾶς ἐνδιαφέρουν λοιπὸν εἶναι αὐτά, τὰ τῆς ἀρετῆς· καὶ ἐὰν δὲν ἔχωμεν σχέσιν μὲ αὐτά, δὲν ὑπάρχει κανὲν ὄφελος ἀπὸ τὰ ἄλλα. Δι' αὐτὸ καὶ αἱ συνεχεῖς αὐταὶ ἐρωτήσεις, διότι οἱ πολλοὶ νομίζουν ὅτι τοὺς ἐνδιαφέρουν μὲν αὐτὰ ποὺ εἶναι ἀδιάφορα, ἐνῷ δι' ὅσα πράγματι τοὺς ἀφοροῦν δὲν ὁμιλοῦν καθόλου. Καθ' ὅσον αὐτὸ ποὺ μᾶς ἐνδιαφέρει εἶναι ἡ ἀρετὴ καὶ ἡ ὀρθὴ πίστις καὶ ὁ τρόπος ζωῆς. Ἐπειδὴ λοιπὸν ζοῦν πολὺ μακρὰν ἀπὸ αὐτήν, δι' αὐτὸ ἐμφανίζεται ἡ ταραχὴ εἰς τὰς σκέψεις, δι' αὐτὸ αἱ πολλαὶ δοκιμασίαι, δι' αὐτὸ ἡ ζάλη. Διότι ὅταν ἐκπέσουν ἀπὸ τὴν ἄνω δόξαν καὶ ἀπὸ τὸν ἔρωτα τῶν οὐρανῶν, ποθοῦν τὴν παροῦσαν ζωὴν καὶ γίνονται δοῦλοι καὶ αἰχμάλωτοι. Καὶ διατί, θὰ εἴπῃ, ποθοῦμεν αὐτήν; Ἐπειδὴ δὲν ποθοῦμεν πολὺ ἐκείνην. Καὶ αὐτὸ διατί συμβαίνει; Ἐξ αἰτίας τῆς ῥαθυμίας. Ἡ δὲ ῥαθυμία ἀπὸ ποῦ προέρχεται; Ἀπὸ τὴν καταφρόνησιν. Ἡ δὲ καταφρόνησις ἀπὸ ποῦ; Ἀπὸ τὴν ἀνοησίαν καὶ ἀπὸ τὴν προσκόλλησιν εἰς τὰ παρόντα καὶ ἀπὸ τὸ ὅτι δὲν θέλει κανεὶς νὰ ἐξετάζῃ μὲ ἀκρίβειαν τὴν φύσιν τῶν πραγμάτων. Αὐτὸ δὲ ἀπὸ ποῦ συμβαίνει πάλιν; Ἀπὸ τὸ ὅτι οὔτε εἰς τὴν ἀνάγνωσιν τῶν Γραφῶν προσέχομεν, οὔτε συναναστρεφόμεθα μὲ ἁγίους ἄνδρας καὶ ἐπιδιώκομεν τὴν συντροφίαν τῶν κακῶν.

Διὰ νὰ μὴ γίνεται λοιπὸν αὐτὸ πάντοτε καὶ ἀλλεπάλληλα κύματα μᾶς παρασύρουν εἰς τὸ πέλαγος τῶν κακῶν καὶ μᾶς πνίξουν καὶ μᾶς καταστρέψουν τελείως, ὅσον εἶναι καιρὸς ἂς ἀναλάβωμεν καί, ἀφοῦ σταθῶμεν ἐπάνω εἰς τὴν πέτραν, δηλαδὴ ἐπάνω εἰς τὰ δόγματα καὶ τοὺς λόγους τοῦ Θεοῦ, ἂς κατανοήσωμεν τὸν σάλον τῆς παρούσης ζωῆς. Διότι ἔτσι καὶ ἐμεῖς θ' ἀποφύγωμεν αὐτόν, καὶ ἀφοῦ ἀνασύρωμεν καὶ ἄλλους οἱ ὁποῖοι ἔχουν ναυαγήσει, θὰ ἐπιτύχωμεν τὰ μέλλοντα ἀγαθά, μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΛΟΓΟΣ Λ'
Α' Κορ. 12, 12-20

«*Καθάπερ γὰρ τὸ σῶμα ἕν ἐστι, καὶ μέλη ἔχει πολλά, πάντα δὲ τὰ μέλη τοῦ σώματος πολλὰ ὄντα, ἕν ἐστι σῶμα· οὕτω καὶ ὁ Χριστός*».

1. Παραμυθησάμενος ἐκ τοῦ χάρισμα εἶναι τὸ διδόμενον, ἐκ τοῦ πάντας ἐξ ἑνὸς καὶ τοῦ αὐτοῦ Πνεύματος λαμβάνειν, ἐκ τοῦ πρὸς τὸ συμφέρον δίδοσθαι, ἐκ τοῦ διὰ τῶν ἐλαττόνων φανέρωσιν γίνεσθαι, καὶ μετὰ τούτων καὶ ἐπιστομίσας ἐκ τοῦ δεῖν παραχωρεῖν τῇ ἐξουσίᾳ τοῦ Πνεύματος· «Πάντα» γὰρ «ταῦτα», φησίν, «ἐνεργεῖ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ, καθὼς βούλεται»· διὸ οὐδὲ περιεργάζεσθαι θέμις· καὶ ἐξ ἑτέρου λοιπὸν αὐτοὺς παραμυθεῖται κοινοῦ παραδείγματος, καὶ ἐπὶ τὴν φύσιν αὐτὴν καταφεύγει, ὅπερ ἔθος αὐτῷ ποιεῖν. Καὶ γὰρ ἡνίκα περὶ τῆς κόμης διελέγετο τῶν ἀνδρῶν καὶ τῶν γυναικῶν, μετὰ τὰ ἄλλα καὶ ἐντεῦθεν αὐτοὺς ἐπαίδευσε, λέγων· «Ἢ οὐδὲ αὐτὴ ἡ φύσις ὑμᾶς διδάσκει, ὅτι ἀνὴρ μὲν ἐὰν κομᾷ, ἀτιμία αὐτῷ ἐστι, γυνὴ δὲ ἐὰν κομᾷ, δόξα αὐτῆς ἐστι;». Κα ὅτε περὶ τῶν εἰδωλοθύτων ἔλεγεν, ἀπαγορεύων αὐτῶν ἅπτεσθαι, καὶ ἀπὸ τῶν ἔξωθεν παραδειγμάτων ἐπεχείρει τῷ λόγῳ, Ὀλυμπικῶν τε ἀγώνων μεμνημένος, καὶ λέγων, ὅτι «Οἱ ἐν σταδίῳ τρέχοντες, πάντες μὲν τρέχουσιν, εἷς δὲ λαμβάνει τὸ βραβεῖον»· καὶ ἀπὸ ποιμένων καὶ στρατιωτῶν καὶ γεωργῶν ταῦτα κατασκευάζων. Διὸ δὴ καὶ ἐνταῦθα κοινὸν ὑπόδειγμα εἰς μέσον φέρει,

ΛΟΓΟΣ Λ΄
Α΄ Κορ. 12, 12-20

«Ὅπως ἀκριβῶς τὸ σῶμα εἶναι ἕν, ἀλλ' ἔχει πολλὰ μέλη, ὅλα δὲ τὰ μέλη τοῦ σώματος, ἂν καὶ εἶναι πολλά, ἀποτελοῦν ἓν σῶμα, ἔτσι καὶ ὁ Χριστός».

1. Ἀφοῦ ἐπαρηγόρησεν αὐτοὺς μὲ τὸ ὅτι εἶπεν ὅτι αὐτὸ ποὺ δίδεται εἶναι χάρισμα, ὅτι ὅλοι ἀπὸ τὸ ἴδιον Πνεῦμα λαμβάνουν, ὅτι κάθε τι δίδεται διὰ τὸ συμφέρον, ὅτι καὶ ἀπὸ τὰ μικρὰ χαρίσματα φανεροῦται κανεὶς ὅτι ἔχει ἅγιον Πνεῦμα καὶ μαζὶ μὲ αὐτά, ἀφοῦ ἀπεστόμωσε μὲ τὸ ὅτι πρέπει νὰ ἀφήνωμεν τὰ πάντα εἰς τὴν ἐξουσίαν τοῦ ἁγίου Πνεύματος˙ διότι «ὅλα αὐτά», λέγει, «ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα, τὸ ὁποῖον τὰ διανέμει εἰς τὸν καθένα ἰδιαιτέρως ὅπως αὐτὸ θέλει», δι' αὐτὸ δὲν ἐπιτρέπεται νὰ περιεργάζεται κανεὶς αὐτά, καὶ μὲ ἄλλο λοιπὸν παράδειγμα παρηγορεῖ αὐτοὺς καὶ καταφεύγει καὶ εἰς αὐτὴν τὴν φύσιν, ὅπως ἦτο συνήθειά του. Διότι καὶ ὅταν ὡμίλει διὰ τὴν κώμην τῶν ἀνδρῶν καὶ τῶν γυναικῶν, μαζὶ μὲ τὰ ἄλλα ἐδίδαξεν εἰς αὐτοὺς καὶ ἀπὸ τὴν φύσιν μὲ τοὺς λόγους˙ «Καὶ αὐτὴ ἡ φύσις δὲν σᾶς διδάσκει ὅτι ἐὰν ὁ ἄνδρας ἔχῃ μακρὰν κώμην δὲν εἶναι τιμητικὸν δι' αὐτόν, ἐνῷ ἐὰν ἡ γυναῖκα ἔχῃ μακρὰν κώμην, αὐτὸ εἶναι δόξα δι' αὐτήν;». Καὶ ὅταν ὡμίλει διὰ τὰ εἰδωλόθυτα καὶ ἀπηγόρευε νὰ τρώγουν ἀπὸ αὐτά, κατωχύρωνε τὸν λόγον καὶ ἀπὸ παραδείγματα ἀπὸ τὴν ζωὴν τῶν εἰδωλολατρῶν, μὲ τὸ νὰ ἀναφέρεται εἰς τοὺς Ὀλυμπιακοὺς ἀγῶνας καὶ νὰ λέγῃ, ὅτι, «αὐτοὶ ποὺ τρέχουν εἰς τὸ στάδιον τρέχουν μὲν ὅλοι, ἀλλ' ἕνας λαμβάνει τὸ βραβεῖον», καὶ ἐλάμβανεν ἐπίσης παραδείγματα διὰ ν' ἀποδείξῃ αὐτὰ καὶ ἀπὸ τὴν ζωὴν τῶν ποιμένων τῶν στρατιωτῶν καὶ τῶν γεωργῶν. Δι' αὐτὸ λοιπὸν καὶ ἐδῶ παρου-

δι' οὗ βιάζεται καὶ φιλονεικεῖ δεῖξαι οὐδένα ἠλαττωμένον, ὃ καὶ θαυμαστὸν ἦν καὶ παράδοξον δυνηθῆναι κατασκευάσαι, καὶ τοὺς ἀφελεστέρους ἱκανὸν ἀνακτήσασθαι, τὸ τοῦ σώματος λέγω. Τὸν γὰρ μικρόψυχον καὶ ἠλαττωμένον οὐδὲν οὕτω παραμυθεῖται καὶ πείθει μὴ ἀλγεῖν, ὡς τὸ μαθεῖν ὅτι οὐκ ἠλάττωται. Διόπερ καὶ αὐτὸς κατασκευάζων αὐτό, οὕτω φησί· «Καθάπερ γὰρ τὸ σῶμα ἕν ἐστι, καὶ μέλη ἔχει πολλά».

Εἶδες σύνεσιν ἠκριβωμένην; Τὸ αὐτὸ καὶ ἓν καὶ πολλὰ δείκνυσι. Διὸ καὶ ἐπάγει, μειζόνως ἐπαγωνιζόμενος τῷ προκειμένῳ· «Πάντα δὲ τὰ μέλη τοῦ σώματος τοῦ ἑνὸς πολλὰ ὄντα, ἕν ἐστι σῶμα». Οὐκ εἶπε, πολλὰ ὄντα τοῦ ἑνός ἐστι σώματος, ἀλλ' αὐτὸ τὸ ἓν σῶμα πολλά ἐστι, κἀκεῖνα τὰ πολλὰ μέλη τοῦτό ἐστι τὸ ἕν. Εἰ τοίνυν ἕν ἐστι τὰ πολλά, καὶ τὸ ἓν πολλά, ποῦ ἡ διαφορά; ποῦ τὸ ὑπερέχον; ποῦ τὸ ἔλαττον; Πάντα γάρ, φησίν, ἕν ἐστι, καὶ οὐχ ἁπλῶς ἕν, ἀλλὰ κατὰ τὸ κυριώτερον ἐξεταζόμενα, κατὰ τὸ σῶμα εἶναι, πάντα εὑρίσκεται ἓν ὄντα. Ὅταν δὲ τὸ κατὰ μέρος, τότε ἡ διαφορά, καὶ ἡ διαφορὰ ἐν πᾶσιν ὁμοίως. Οὐδὲν γὰρ αὐτῶν καθ' ἑαυτὸ σῶμα δύναται ποιεῖν, ἀλλ' ὁμοίως ἕκαστον λείπεται εἰς τὸ ποιεῖν σῶμα, καὶ δεῖ τῆς συνόδου. Ὅταν γὰρ τὰ πολλὰ ἓν γίνηται, τότε ἐστὶν ἓν σῶμα. Διὸ καὶ αὐτὸ τοῦτο αἰνιττόμενος, ἔλεγε· «Πάντα δὲ τὰ μέλη τοῦ σώματος πολλὰ ὄντα, ἕν ἐστι σῶμα». Καὶ οὐκ εἶπε, τὰ ὑπερέχοντα καὶ τὰ ἐλάττονα, ἀλλά, «πολλὰ ὄντα», ὃ κοινὸν πᾶσίν ἐστιν.

Καὶ πῶς δυνατὸν ἓν εἶναι; Ὅταν τὴν διαφορὰν ἐκβαλὼν τῶν μελῶν, τὸ σῶμα ἐξετάζῃς. Ὅπερ γάρ ἐστιν ὀφθαλμός, τοῦτο καὶ πούς, κατὰ τὸ μέλος εἶναι καὶ σῶμα ποιεῖν· οὐδεμία γὰρ ἐνταῦθα διαφορά. Οὐδ' ἂν ἔχοις εἰπεῖν, ὅτι τὸ

σιάζει γενικὸν παράδειγμα, μὲ τὸ ὁποῖον σπεύδει καὶ ἀγωνίζεται διὰ νὰ δείξῃ ὅτι κανεὶς δὲν ἔχει ὑποτιμηθῆ, τὸ ὁποῖον καὶ ἀξιοθαύμαστον καὶ παράδοξον ἦτο νὰ ἠμπορέσῃ ν' ἀποδείξῃ, καὶ ἀρκετὸν διὰ νὰ ξανακερδίσῃ καὶ τοὺς πλέον ἀφελεῖς, ἐννοῶ τὸ παράδειγμα ποὺ ἀναφέρεται εἰς τὸ σῶμα. Διότι ὁ μικρόψυχος καὶ αὐτὸς ποὺ λαμβάνει μικρότερον ἀπὸ ἄλλον χάρισμα, τίποτε δὲν τὸν παρηγορεῖ τόσον καὶ δὲν τὸν πείθει νὰ μὴ στενοχωρῆται, ὅσον τὸ νὰ γνωρίσῃ ὅτι δὲν ἔχει ὑποτιμηθῆ. Δι' αὐτὸ καὶ ὁ Παῦλος διὰ ν' ἀποδείξῃ αὐτό, λέγει τὰ ἑξῆς· «Ὅπως ἀκριβῶς τὸ σῶμα εἶναι ἕν, ἀλλ' ἔχει πολλὰ μέλη».

Εἶδες τελείαν σύνεσιν; Δεικνύει ὅτι τὸ ἴδιον πρᾶγμα εἶναι καὶ ἓν καὶ πολλά. Δι' αὐτὸ καὶ συνεχίζει, ἀγωνιζόμενος περισσότερον διὰ τὸ θέμα αὐτό· «ὅλα δὲ τὰ μέλη τοῦ σώματος, ἂν καὶ εἶναι πολλά, ἀποτελοῦν ἓν σῶμα». Δὲν εἶπεν, ἐνῷ εἶναι πολλὰ ἀνήκουν εἰς τὸ ἓν σῶμα, ἀλλ' αὐτὸ τὸ ἓν σῶμα εἶναι πολλά, καὶ ἐκεῖνα τὰ πολλὰ μέλη εἶναι αὐτὸ τὸ ἕν. Ἐὰν λοιπὸν εἶναι ἓν τὰ πολλὰ καὶ τὸ ἓν πολλά, ποῦ εἶναι ἡ διαφορά; ποῦ εἶναι αὐτὸ ποὺ ὑπερέχει; ποῦ εἶναι αὐτὸ ποὺ ὑστερεῖ; Διότι ὅλα, λέγει, εἶναι ἕν, καὶ ὄχι ἁπλῶς ἕν, ἀλλ' ἐὰν ἐξετασθοῦν ὡς πρὸς τὸ κυριώτερον, τὸ ὅτι δηλαδὴ εἶναι σῶμα, ὅλα εἶναι ἕν. Ὅταν δὲ ἐξετασθοῦν τὸ καθὲν μόνον του, τότε ἡ διαφορὰ μεταξύ των εἶναι ὁμοία εἰς ὅλα. Διότι κανὲν ἀπὸ αὐτὰ μόνον του δὲν ἠμπορεῖ νὰ κάνῃ σῶμα, ἀλλ' ἐξ ἴσου ὑπολείπεται τὸ καθὲν διὰ νὰ κάνῃ σῶμα, καὶ ἀπαιτεῖται ἡ συνένωσις ὅλων. Διότι ὅταν τὰ πολλὰ γίνουν ἕν, τότε εἶναι ἓν σῶμα. Δι' αὐτὸ καὶ ὑπαινισσόμενος αὐτὸ ἔλεγεν· «Ὅλα δὲ τὰ μέλη τοῦ σώματος, ἂν καὶ εἶναι πολλά, ἀποτελοῦν ἓν σῶμα». Καὶ δὲν εἶπε, τὰ ἀνώτερα καὶ τὰ κατώτερα, ἀλλά, «ἂν καὶ εἶναι πολλά», πρᾶγμα ποὺ ἰσχύει δι' ὅλα.

Καὶ πῶς εἶναι δυνατὸν νὰ εἶναι ἕν; Ὅταν, ἀφοῦ ἀφαιρέσῃς τὴν διαφορὰν ποὺ ἔχουν τὰ μέλη, ἐξετάζῃς τὸ σῶμα. Διότι αὐτὸ ποὺ εἶναι ὁ ὀφθαλμός, αὐτὸ εἶναι καὶ τὸ πόδι, ὡς πρὸς τὸ ὅτι εἶναι μέλος καὶ συγκροτεῖ τὸ σῶμα· οὐδεμία διαφορὰ λοιπὸν ὡς πρὸς αὐτό. Οὔτε ἠμπορεῖς νὰ εἴπῃς,

μὲν τῶν μελῶν ποιεῖ σῶμα καθ' ἑαυτό, τὸ δὲ οὐ ποιεῖ· πάντα γὰρ ἰσάζει ἐν τούτῳ, ἐπειδὴ καὶ πάντα ἕν ἐστι σῶμα. Εἰπὼν δὲ τοῦτο, καὶ ἀποδείξας σαφῶς ἀπὸ τῆς κοινῆς ἁπάντων ψήφου, ἐπήγαγεν· «Οὕτω καὶ ὁ Χριστός». Καὶ δέον εἰπεῖν, οὕτω καὶ ἡ Ἐκκλησία· τοῦτο γὰρ ἀκόλουθον ἦν· τοῦτο μὲν οὔ φησίν, ἀντ' ἐκείνης δὲ τὸν Χριστὸν τίθησιν, εἰς ὕψος ἀνάγων τὸν λόγον, καὶ μειζόνως τὸν ἀκροατὴν ἐντρέπων. Ὃ δὲ λέγει, τοῦτό ἐστιν· οὕτω καὶ τοῦ Χριστοῦ τὸ σῶμα, ὅπερ ἐστὶν ἡ Ἐκκλησία. Καθάπερ γὰρ καὶ σῶμα καὶ κεφαλὴ εἷς ἐστιν ἄνθρωπος, οὕτω τὴν Ἐκκλησίαν καὶ τὸν Χριστὸν ἓν ἔφησεν εἶναι. Διὸ καὶ τὸν Χριστὸν ἀντὶ τῆς Ἐκκλησίας τέθεικε, τὸ σῶμα αὐτοῦ οὕτως ὀνομάζων. Ὥσπερ οὖν, φησίν, ἕν τι ἐστὶ τὸ ἡμέτερον σῶμα, εἰ καὶ ἐκ πολλῶν σύγκειται· οὕτω καὶ ἐν τῇ Ἐκκλησίᾳ ἕν τι πάντες ἐσμέν. Εἰ γὰρ καὶ ἐκ πολλῶν αὕτη σύγκειται μελῶν, ἀλλὰ τὰ πολλὰ ταῦτα ἓν γίνεται σῶμα.

2. Ἀνακτησάμενος τοίνυν καὶ ἀναγαγὼν τὸν δοκοῦντα ἠλαττῶσθαι ἀπὸ τοῦ κοινοῦ τούτου παραδείγματος, πάλιν τὴν κοινὴν συνήθειαν ἀφίησι, καὶ ἐφ' ἕτερον ἔρχεται κεφάλαιον πνευματικὸν μείζονα φέρον παράκλησιν, καὶ πολλῆς ἰσοτιμίας ἐνδεικτικόν. Ποῖον δὴ τοῦτο; «Καὶ γὰρ ἐν ἑνὶ πνεύματι, φησί, πάντες ἡμεῖς εἰς ἓν σῶμα ἐβαπτίσθημεν, εἴτε Ἰουδαῖοι εἴτε Ἕλληνες, εἴτε δοῦλοι εἴτε ἐλεύθεροι. Ὃ δὲ λέγει, τοῦτό ἐστι· τὸ κατασκευάσαν ἡμᾶς σῶμα γενέσθαι, καὶ ἀναγεννῆσαν ἡμᾶς, ἕν ἐστιν Πνεῦμα· οὐ γὰρ ἐν ἄλλῳ μὲν οὗτος, ἐν ἄλλῳ δὲ ὁ ἕτερος ἐβαπτίσθη Πνεύματι. Οὐ μόνον δὲ τὸ βαπτίσαν ἡμᾶς ἕν, ἀλλὰ καὶ εἰς ὃ ἐβάπτισεν, τουτέστιν, ἐφ' ᾧ ἐβάπτισεν, ἕν. Οὐ γὰρ ἵνα διάφορα γένηται σώματα, ἀλλ' ἵνα πάντες τὴν ἑνὸς σώματος ἀκρίβειαν πρὸς ἀλλήλους διασώζωμεν, ἐβαπτίσθημεν· τουτέστιν, ἵνα πάντες ἓν σῶμα ὦμεν, εἰς τοῦτο ἐβαπτίσθημεν, ἐπὶ τὸ γενέσθαι τοῦτο ὃ ἐβαπτίσθημεν. Ὥστε καὶ ὁ κατασκευάσας, εἷς, καὶ εἰς ὃ κατεσκεύασεν,

ὅτι τὸ μὲν ἓν ἀπὸ τὰ μέλη ἡμπορεῖ μόνον του ν' ἀποτελέσῃ σῶμα, ἐνῷ τὸ ἄλλο δὲν ἡμπορεῖ· διότι ὅλα εἶναι ἴσα ὡς πρὸς αὐτό, ἐπειδὴ καὶ ὅλα εἶναι ἓν σῶμα. Ἀφοῦ δὲ εἶπεν αὐτὸ καὶ τὸ ἀπέδειξε σαφῶς ἀπὸ τὴν γνώμην ὅλων, προσέθεσεν· «ἔτσι καὶ ὁ Χριστός». Καὶ ἥρμοζε νὰ εἰπῇ, ἔτσι καὶ ἡ Ἐκκλησία· διότι αὐτὸ ἦτο φυσικὸν ἐπακόλουθον· δὲν λέγει μὲν αὐτό, ἀλλ' ἀντὶ τῆς ἐκκλησίας θέτει τὸν Χριστὸν ὥστε καὶ ἀναβιβάζει τὸν λόγον εἰς ὕψος καὶ προκαλεῖ περισσοτέραν ἐντροπὴν εἰς τὸν ἀκροατήν. Αὐτὸ ποὺ ἐννοεῖ δὲ εἶναι τὸ ἑξῆς· ἔτσι εἶναι καὶ τοῦ Χριστοῦ τὸ σῶμα, ποὺ εἶναι ἡ ἐκκλησία. Διότι ὅπως καὶ τὸ σῶμα καὶ ἡ κεφαλὴ εἶναι ἕνας ἄνθρωπος, ἔτσι καὶ ἡ ἐκκλησία καὶ ὁ Χριστὸς εἶπεν ὅτι εἶναι ἕν. Δι' αὐτὸ καὶ ἔθεσε τὸν Χριστὸν ἀντὶ τῆς ἐκκλησίας μὲ τὸ νὰ ὀνομάζῃ ἔτσι τὸ σῶμά του. Ὅπως ἀκριβῶς λοιπόν, λέγει, ἓν εἶναι τὸ σῶμά μας, ἂν καὶ συντίθεται ἀπὸ πολλὰ μέλη, τὰ πολλὰ αὐτὰ γίνονται ἓν σῶμα.

2. Ἀφοῦ λοιπὸν ἐπανέκτησε καὶ ἀνώρθωσεν αὐτὸν ποὺ νομίζει ὅτι ὑστερεῖ μὲ τὸ παράδειγμα αὐτὸ ποὺ ἰσχύει δι' ὅλους, πάλιν ἀφήνει τὴν κοινὴν συνήθειαν καὶ ἔρχεται εἰς ἄλλο πνευματικὸν κεφάλαιον ποὺ δίδει μεγαλυτέραν παρηγορίαν καὶ δεικνύει πολὺ σαφῶς τὴν ἰσοτιμίαν. Ποῖον λοιπὸν εἶναι αὐτό; «Διότι εἰς ἓν Πνεῦμα», λέγει, «ἐβαπτίσθημεν ὅλοι ἐμεῖς καὶ ἐγίναμεν ἓν σῶμα, εἴτε Ἰουδαῖοι εἴτε Ἕλληνες, εἴτε δοῦλοι εἴτε ἐλεύθεροι». Αὐτὸ ποὺ ἐννοεῖ δὲ εἶναι τὸ ἑξῆς· αὐτὸ ποὺ μᾶς συνεκρότησεν, ὥστε νὰ γίνωμεν ἓν σῶμα καὶ μᾶς ἀνεγέννησεν, εἶναι ἓν Πνεῦμα· διότι δὲν ἐβαπτίσθη ὁ μὲν εἰς ἄλλο, ὁ δὲ εἰς ἄλλο πνεῦμα. Ἀλλ' ὄχι μόνον αὐτὸ ποὺ μᾶς ἐβάπτισεν εἶναι ἕν, ἀλλὰ καὶ αὐτὸ διὰ τὸ ὁποῖον μᾶς ἐβάπτισεν, δηλαδή, ὁ σκοπὸς διὰ τὸν ὁποῖον μᾶς ἐβάπτισεν εἶναι ἕνας. Διότι δὲν μᾶς ἐβάπτισε διὰ νὰ γίνωμεν διάφορα σώματα, ἀλλὰ διὰ νὰ διασώζωμεν ὅλοι μεταξύ μας τὴν τελειότητα τοῦ ἑνὸς σώματος· δηλαδὴ διὰ νὰ εἴμεθα ὅλοι ἓν σῶμα, δι' αὐτὸ ἐβαπτίσθημεν, διὰ νὰ γίνωμεν αὐτὸ διὰ τὸ ὁποῖον ἐβαπτίσθημεν. Ὥστε καὶ αὐτὸς ποὺ μᾶς ἔκανε σῶμα εἶναι ἕνας, καὶ ὁ σκοπὸς διὰ τὸν ὁποῖον μᾶς ἥνωσεν, ἕνας. Καὶ

ἕν. Καὶ οὐκ εἶπε, τοῦ αὐτοῦ σώματος ἵνα γενώμεθα, ἀλλ', «ἵνα ἓν σῶμα πάντες»· ἀεὶ γὰρ φιλονεικεῖ τὰς ἐμφαντικωτέρας λέξεις τιθέναι.

Καὶ καλῶς εἶπε, «πάντες ἡμεῖς», καὶ ἑαυτὸν προστιθείς. Οὐδὲ γὰρ ἐγὼ ὁ ἀπόστολος σοῦ τι πλέον ἔχω κατὰ τοῦτο, φησί. Καὶ γὰρ σὺ σῶμα εἶ καθάπερ ἐγώ, καὶ ἐγὼ καθάπερ σύ, καὶ τὴν αὐτὴν ἅπαντες ἔχομεν κεφαλήν, καὶ τὰς αὐτὰς ἐλύσαμεν ὠδῖνας· διὸ καὶ τὸ αὐτὸ σῶμά ἐσμεν. Καὶ τί λέγω, φησίν, Ἰουδαίους; τοὺς γὰρ τοσοῦτον ἀφεστηκότας ἡμῶν Ἕλληνας εἰς ἑνὸς σώματος ἀκρίβειαν ἤγαγε. Διὸ εἰπών, «ἡμεῖς πάντες», οὐκ ἔστη μέχρι τούτου, ἀλλ' ἐπήγαγεν· «Εἴτε Ἰουδαῖοι εἴτε Ἕλληνες, εἴτε δοῦλοι εἴτε ἐλεύθεροι». Εἰ δὲ πρὸ τούτου τοσοῦτον ἀφεστηκότες ἡνώθημεν καὶ ἐγενόμεθα ἕν, πολλῷ μᾶλλον μετὰ τὸ γενέσθαι ἕν, οὐκ ἂν εἴημεν δίκαιοι λυπεῖσθαι καὶ ἀθυμεῖν· οὐδὲ γὰρ ἔχει χώραν ἡ διαφορά. Εἰ γὰρ Ἕλληνας καὶ Ἰουδαίους τῶν αὐτῶν ἠξίωσε, καὶ δούλους καὶ ἐλευθέρους, πῶς μετὰ τὸ ἀξιῶσαι διίστησιν, ὅτε πλείονα ἐκ τῆς τῶν χαρισμάτων χορηγίας τῆς ἑνώσεως τὴν ἀκρίβειαν ἐχαρίσατο;

«Καὶ πάντες ἓν Πνεῦμα ἐποτίσθημεν. Καὶ γὰρ τὸ σῶμα οὐκ ἔστιν ἓν μέλλος, ἀλλὰ πολλά». Τουτέστι, πρὸς τὴν αὐτὴν ἤλθομεν μυσταγωγίαν, τῆς αὐτῆς ἀπολαύομεν τραπέζης. Καὶ διὰ τί μὴ εἶπε, τὸ αὐτὸ σῶμα τρεφόμεθα, καὶ τὸ αὐτὸ αἷμα πίνομεν; Ὅτι Πνεῦμα εἰπών, ἀμφότερα ἐδήλωσε, καὶ τὸ αἷμα καὶ τὴν σάρκα· δι' ἀμφοτέρων γὰρ Πνεῦμα ποτιζόμεθα. Ἐμοὶ δὲ δοκεῖ νῦν ἐκείνην λέγειν τοῦ Πνεύματος τὴν ἐπιφοίτησιν, τὴν ἀπὸ τοῦ βαπτίσματος καὶ πρὸ τῶν μυστηρίων ἐγγινομένην ἡμῖν. «Ἐποτίσθημεν» δὲ εἶπεν, ἐπειδὴ ἡ μεταφορὰ τῆς λέξεως σφόδρα ἁρμόδιος αὐτῷ πρὸς τὴν προκειμένην ὑπόθεσιν. Ὡς ἂν εἰ ἐπὶ φυτῶν καὶ παραδείσου

δὲν εἶπε, διὰ νὰ γίνωμεν μέλη τοῦ ἰδίου σώματος, ἀλλ' «ἐγίναμεν ὅλοι ἓν σῶμα»· διότι πάντοτε προσπαθεῖ νὰ θέσῃ τὰς ἐκφραστικωτέρας λέξεις.

Καὶ ὀρθῶς εἶπεν, «ὅλοι ἐμεῖς», καὶ προσέθεσεν ἔτσι καὶ τὸν ἑαυτόν του. Διότι οὔτε ἐγὼ ὁ ἀπόστολος ἔχω κάτι περισσότερον ἀπὸ ἐσένα, λέγει, ὡς πρὸς αὐτό. Διότι καὶ σὺ σῶμα εἶσαι, ὅπως ἐγώ, καὶ ἐγὼ ὅπως ἐσύ, καὶ ὅλοι ἔχομεν τὴν ἰδίαν κεφαλήν, καὶ τοὺς ἰδίους πόνους τοκετοῦ διελύσαμεν· δι' αὐτὸ καὶ εἴμεθα τὸ ἴδιον σῶμα. Καὶ τί λέγω Ἰουδαίους; λέγει, ἀφοῦ αὐτοὺς τοὺς εἰδωλολάτρας, ποὺ τόσον πολὺ ἀπεμακρύνθησαν ἀπὸ ἐμᾶς, ὡδήγησεν εἰς τὴν τελειότητα ἑνὸς σώματος. Δι' αὐτό, ἀφοῦ εἶπεν «ἐμεῖς ὅλοι», δὲν ἐσταμάτησε μέχρις ἐδῶ, ἀλλὰ προσέθεσεν· «εἴτε Ἰουδαῖοι εἴτε Ἕλληνες, εἴτε δοῦλοι εἴτε ἐλεύθεροι». Ἐὰν δὲ πρὶν ἀπὸ αὐτό, ἐνῷ εἴχομεν ἀπομακρυνθῇ τόσον πολύ, ἐγίναμεν ἕν, πολὺ περισσότερον μετὰ τὴν ἕνωσίν μας, δὲν θὰ εἴχομεν δίκαιον νὰ λυπούμεθα καὶ νὰ στενοχωρούμεθα· διότι δὲν ἔχει θέσιν καμμία διαφορά. Διότι, ἐὰν καὶ τοὺς Ἕλληνας καὶ τοὺς Ἰουδαίους τοὺς ἠξίωσε νὰ λάβουν τὰ ἴδια, καθὼς καὶ τοὺς δούλους καὶ τοὺς ἐλευθέρους, πῶς ἀποχωρίζει μετὰ ἀπὸ αὐτό, ὅταν ἤδη ἐχάρισε μεγαλυτέραν τὴν τελειότητα τῆς ἑνώσεως, ἀπὸ τὴν χορήγησιν τῶν χαρισμάτων;

«Καὶ ὅλοι μὲ ἓν Πνεῦμα ἐποτίσθημεν. Τὸ σῶμα δὲν εἶναι ἓν μέλος, ἀλλὰ πολλά». Δηλαδὴ ἔχομεν προσέλθει εἰς τὰ ἴδια μυστήρια, ἀπολαμβάνομεν τὴν ἰδίαν τράπεζαν. Καὶ διατί δὲν εἶπε, τρεφόμεθα ἀπὸ τὸ ἴδιον σῶμα καὶ πίνομεν τὸ ἴδιον αἷμα; Διότι μὲ τὸ νὰ εἰπῇ Πνεῦμα, ἐδήλωσε καὶ τὰ δύο, καὶ τὸ αἷμα καὶ τὴν σάρκα· διότι καὶ διὰ τῶν δύο αὐτῶν ποτιζόμεθα μὲ ἅγιον Πνεῦμα. Ἐγὼ δὲ νομίζω ὅτι ἐδῶ ὁμιλεῖ διὰ τὴν ἐπιφοίτησιν ἐκείνην τοῦ ἁγίου Πνεύματος ἀπὸ τὸ βάπτισμα καὶ ποὺ ἔρχεται μέσα μας πρὶν μετάσχωμεν εἰς τὰ ἄλλα μυστήρια. Εἶπε δὲ «ἐποτίσθημεν», ἐπειδὴ ἡ μεταφορικὴ σημασία τῆς λέξεως ἦτο πολὺ ταιριαστὴ δι' αὐτὸν εἰς τὸ θέμα διὰ τὸ ὁποῖον ὡμίλει. Ὡσὰν νὰ ἔλεγε διὰ κῆπον καὶ φυτά, ὅτι ὅλα τὰ δένδρα

ἔλεγεν, ὅτι ἀπὸ τῆς αὐτῆς πηγῆς πάντα τὰ δένδρα ἄρδεται, ἀπὸ τοῦ αὐτοῦ ὕδατος· οὕτω δὴ καὶ ἐνταῦθα, τὸ αὐτὸ Πνεῦμα ἐπίομεν ἅπαντες, τῆς αὐτῆς ἀπελαύσαμεν χάριτος, φησίν. Εἰ τοίνυν καὶ ἓν Πνεῦμα ἡμᾶς κατεσκεύασε, καὶ εἰς ἓν σῶμα ἅπαντας ἡμᾶς συνήγαγε· τοῦτο γάρ ἐστιν, «εἰς ἓν σῶμα ἐβαπτίσθημεν»· καὶ μίαν τράπεζαν ἐχαρίσατο, καὶ τὴν αὐτὴν ἀρδείαν ἅπασιν ἔδωκε· τοῦτο γάρ ἐστιν, «εἰς ἓν Πνεῦμα ἐποτίσθημεν»· καὶ τοσοῦτον διεστῶτας ἥνωσε, καὶ τὰ πολλὰ τότε γίνεται σῶμα, ὅταν γένηται ἕν· τί μοι τὴν διαφορὰν ἄνω καὶ κάτω στρέφεις; Εἰ δὲ λέγοις, ὅτι πολλά ἐστι τὰ μέλη καὶ διάφορα, μάθε ὅτι αὐτὸ μὲν οὖν τοῦτό ἐστι τὸ θαυμαστόν, καὶ τοῦ σώματος τὸ ἐξαίρετον, ὅταν τὰ πολλὰ καὶ διάφορα ἓν ποιῇ. Εἰ δὲ μὴ πολλά, οὐχ οὕτω θαυμαστὸν ἦν καὶ παράδοξον τὸ ἓν εἶναι σῶμα· μᾶλλον δὲ οὐδ' ἂν ἦν σῶμα.

Ἀλλὰ τοῦτο μὲν ὕστερον τίθησι· τέως δὲ ἐπ' αὐτὰ τὰ μέλη χωρεῖ, λέγων οὕτως· «Ἐὰν εἴπῃ ὁ πούς, ὅτι οὐκ εἰμὶ χείρ, οὐκ εἰμὶ ἐκ τοῦ σώματος, οὐ παρὰ τοῦτο οὐκ ἔστιν ἐκ τοῦ σώματος; Καὶ ἐὰν εἴπῃ τὸ οὖς, οὐκ εἰμὶ ὀφθαλμός, οὐκ εἰμὶ ἐκ τοῦ σώματος, οὐ παρὰ τοῦτο οὐκ ἔστιν ἐκ τοῦ σώματος;». Εἰ γὰρ τὸ τὸν μὲν ἠλαττῶσθαι, τὸν δὲ ὑπερέχειν, οὐκ ἀφίησιν εἶναι ἐκ τοῦ σώματος, τὸ πᾶν ἀνῄρηται. Μὴ τοίνυν εἴπῃς, ὅτι οὐκ εἰμὶ σῶμα, ἐπειδὴ ἐλάττων εἰμί· καὶ γὰρ ὁ ποῦς τὴν ἐλάττονα τάξιν ἔχει, ἀλλὰ τοῦ σώματός ἐστι. Τὸ γὰρ ἐκ τοῦ σώματος εἶναι καὶ μὴ εἶναι, οὐκ ἀπὸ τοῦ τὸν μὲν ἐν τῷδε τῷ τόπῳ, τὸν δὲ ἐν τῷδε κεῖσθαι· τοῦτο γὰρ τόπου ποιεῖ διαφοράν· ἀλλ' ἀπὸ τοῦ συνῆφθαι ἢ ἀπεσχίσθαι. Τὸ γὰρ εἶναι ἢ μὴ εἶναι σῶμα, ἐκ τοῦ ἡνῶσθαι ἢ μὴ ἡνῶσθαι γίνεται.

Σὺ δέ μοι σκόπει τὴν σύνεσιν, πῶς αὐτῶν τὰ ῥήματα τοῖς μέλεσι περιτίθησι τοῖς ἡμετέροις. Ὥσπερ γὰρ ἀνωτέρω

ποτίζονται ἀπὸ τὴν ἰδίαν πηγήν, ἀπὸ τὸ ἴδιο νερό· ἔτσι λοιπὸν καὶ ἐδῶ, τὸ ἴδιον πνεῦμα ἔχομεν πιεῖ ὅλοι, τὴν ἰδίαν χάριν ἔχομεν ἀπολαύσει, λέγει. Ἐὰν λοιπὸν καὶ ἓν Πνεῦμα μᾶς ἐδημιούργησε καὶ μᾶς συνήνωσεν ὅλους εἰς ἓν σῶμα, διότι αὐτὸ σημαίνει «ἐβαπτίσθημεν καὶ ἐγίναμεν ἓν σῶμα», καὶ μίαν τράπεζαν μᾶς ἐχάρισε καὶ τὴν ἰδίαν ἄρδευσιν ἔδωσεν εἰς ὅλους· διότι αὐτὸ σημαίνει, «μὲ ἓν Πνεῦμα ἐποτίσθημεν»· καί, ἐνῷ ἤμεθα τόσον χωρισμένοι, μᾶς ἥνωσε, καὶ τὰ πολλὰ τότε γίνονται σῶμα ὅταν γίνουν ἕν, τί μοῦ ἀνακατεύεις συνεχῶς τὴν διαφορὰν εἰς τὰ χαρίσματα; Ἐὰν δὲ εἰπῇς ὅτι πολλὰ καὶ διάφορα εἶναι τὰ μέλη, μάθε ὅτι αὐτὸ ἀκριβῶς εἶναι τὸ ἀξιοθαύμαστον καὶ τὸ ἐξαιρετικὸν τοῦ σώματος, ὅτι τὰ πολλὰ καὶ διάφορα τὰ κάμνει ἕν. Ἐὰν δὲ δὲν ἦσαν πολλά, δὲν θὰ ἦτο τόσον θαυμαστὸν καὶ παράδοξον τὸ ὅτι εἶναι ἓν σῶμα· μᾶλλον δὲ οὔτε κἂν θὰ ἦτο σῶμα.

Ἀλλ' αὐτὸ μὲν ἐκθέτει εἰς τὴν συνέχειαν· ἐν τῷ μεταξὺ δὲ προχωρεῖ εἰς τὰ μέλη τοῦ σώματος καὶ λέγει ἔτσι· «Ἐὰν εἰπῇ τὸ πόδι· 'ἐπειδὴ δὲν εἶμαι χέρι δὲν ἀνήκω εἰς τὸ σῶμα', μήπως παύει μὲ αὐτὸ νὰ εἶναι μέλος τοῦ σώματος; Καὶ ἐὰν εἰπῇ τὸ αὐτί· 'ἐπειδὴ δὲν εἶμαι ὀφθαλμὸς δὲν ἀνήκω εἰς τὸ σῶμα', μήπως παύει μὲ αὐτὸ νὰ εἶναι μέλος τοῦ σώματος;». Διότι ἐάν, τὸ ὅτι ἄλλο ὑστερεῖ καὶ ἄλλο ὑπερέχει, δὲν ἐπιτρέπει τὸ καθὲν ν' ἀνήκῃ εἰς τὸ σῶμα, καταργοῦνται τὰ πάντα. Μὴ εἰπῇς λοιπὸν ὅτι δὲν εἶμαι σῶμα, ἐπειδὴ εἶμαι κατώτερος, διότι καὶ τὸ πόδι ἔχει τὴν κατωτέραν τάξιν, ἀλλ' ἀνήκει εἰς τὸ σῶμα. Διότι τὸ νὰ ἀνήκῃ ἢ νὰ μὴ ἀνήκῃ εἰς τὸ σῶμα κάτι, δὲν ἐξαρτᾶται ἀπὸ τὸ ὅτι τὸ μὲν εὑρίσκεται εἰς αὐτήν, τὸ δὲ εἰς τὴν ἄλλην θέσιν, διότι αὐτὸ προκαλεῖ διαφορὰν μόνον ὡς πρὸς τὴν θέσιν, ἀλλ' ἀπὸ τὸ ἐὰν εἶναι συνηνωμένον ἢ ἔχῃ ἀποχωρισθῇ. Διότι, τὸ ἐὰν ἀνήκῃ ἢ δὲν ἀνήκῃ εἰς τὸ σῶμα, κρίνεται ἀπὸ τὸ ἐὰν εἶναι ἢ δὲν εἶναι ἡνωμένον.

Σὺ δὲ πρόσεξε τὴν σύνεσιν, πῶς παρουσιάζει τὰ ἰδικά μας μέλη νὰ λέγουν τοὺς ἰδικούς των λόγους. Ὅπως

ἔλεγε, «Ταῦτα μετεσχημάτισα εἰς ἐμαυτὸν καὶ Ἀπολλῶ», οὕτω δὴ καὶ ἐνταῦθα, ὥστε ἀνεπαχθῆ ποιῆσαι τὸν λόγον καὶ εὐπαράδεκτον, τὰ μέλη εἰσάγει φθεγγόμενα· ἵν', ὅταν ἀκούσωσι τῆς φύσεως αὐτοῖς ἀποκρινομένης, ἀπὸ τῆς πείρας αὐτῆς ἐλεγχόμενοι καὶ τῆς κοινῆς ψήφου, μηδὲν λοιπὸν ἀντιλέγειν ἔχωσι. Κἂν γὰρ λέγητε, φησί, τοῦτο αὐτό, κἂν γογγίζητε, οὐ δύνασθε ἐκτὸς εἶναι τοῦ σώματος. Ὥσπερ γὰρ ὁ τῆς φύσεως νόμος, οὕτω καὶ πολλῷ πλέον ἡ τῆς χάριτος δύναμις φυλάττει πάντα καὶ διατηρεῖ. Καὶ ὅρα πῶς ἐφύλαξε τὸ ἀπέριττον, οὐκ ἐπὶ πάντων τῶν μελῶν τὸν λόγον γυμνάζων, ἀλλ' ἐπὶ δύο μόνων, καὶ τούτων τῶν ἄκρων. Καὶ γὰρ τὸ πάντων τιμιώτερον τέθεικε, τὸν ὀφθαλμόν, καὶ τὸ πάντων εὐτελέστερον, τοὺς πόδας. Καὶ οὐ ποιεῖ τὸν πόδα τῷ ὀφθαλμῷ διαλεγόμενον, ἀλλὰ τῇ ὀλίγον ἀναβεβηκυίᾳ χειρί, τὴν δὲ ἀκοὴν τοῖς ὀφθαλμοῖς. Ἐπειδὴ γὰρ οὐ τοῖς σφόδρα ὑπερέχουσιν, ἀλλὰ τοῖς ὀλίγον ἀναβεβηκόσι φθονεῖν εἰώθαμεν, διὰ τοῦτο καὶ αὐτὸς οὕτω ποιεῖται τὴν σύγκρισιν.

3. «Εἰ ὅλον τὸ σῶμα ὀφθαλμός, ποῦ ἡ ἀκοή; εἰ ὅλον ἀκοή, ποῦ ἡ ὄσφρησις;». Ἐπειδὴ γὰρ εἰς τὴν τῶν μελῶν ἐμπεσὼν διαφοράν, καὶ εἰπὼν πόδας καὶ χεῖρας καὶ ὀφθαλμοὺς καὶ ὦτα, εἰς ἔννοιαν αὐτοὺς τῆς ἐλαττώσεως καὶ τῆς ὑπεροχῆς ἤγαγεν· ὅρα πῶς πάλιν αὐτοὺς παραμυθεῖται, δεικνὺς ὅτι οὕτω συμφέρον ἦν, καὶ τὸ πολλοὺς εἶναι καὶ διαφόρους, τοῦτο μάλιστα ποιεῖ σῶμα εἶναι. Εἰ δὲ ἓν ἦσαν οἱ πάντες, οὐκ ἦσαν σῶμα. Διό φησιν, «Εἰ δὲ ἦν τὰ πάντα ἓν μέλος, ποῦ τὸ σῶμα;». Ἀλλὰ τοῦτο μὲν ὕστερον λέγει· ἐνταῦθα δέ τι καὶ πλέον δείκνυσιν, ὅτι οὐ μόνον σῶμα εἶναι οὐκ ἐγχωρεῖ, ἀλλ' οὐδὲ εἶναι τοὺς λοιπούς. «Εἰ ὅλον γὰρ ἦν ἀκοή, ποῦ ἡ ὄσφρησις;», φησίν.

Εἶτα ἐπειδὴ ἔτι καὶ οὕτως ἐθορυβοῦντο, ὅπερ ἀνωτέρω

δηλαδὴ ἀνωτέρω ἔλεγεν, «Αὐτὰ μετέτρεψα ὥστε νὰ ἐφαρμόζουν εἰς τὸν ἑαυτόν μου καὶ εἰς τὸν 'Απολλώ», ἔτσι λοιπὸν καὶ ἐδῶ, διὰ νὰ κάνῃ τὸν λόγον ἐλαφρὸν καὶ εὐκόλως παραδεκτόν, παρουσιάζει τὰ μέλη νὰ ὁμιλοῦν· ὥστε, ὅταν ἀκούσουν ν' ἀποκρίνεται εἰς αὐτοὺς ἡ φύσις, ἀφοῦ ἐλέγχονται ἀπὸ αὐτὴν τὴν πεῖραν καὶ τὴν κοινὴν γνώμην, νὰ μὴ ἔχουν τίποτε ν' ἀντιλέγουν. Διότι καὶ ἂν ἀκόμη λέγετε, θέλει νὰ εἰπῇ, αὐτὸ τὸ πρᾶγμα, καὶ ἂν γογγίζετε, δὲν ἠμπορεῖτε νὰ εἶσθε ἐκτὸς τοῦ σώματος. Διότι, ὅπως ὁ φυσικὸς νόμος, ἔτσι καὶ πολὺ περισσότερον φυλάττει καὶ διατηρεῖ τὰ πάντα ἡ δύναμις τῆς χάριτος. Καὶ κοίταξε πῶς διετήρησε τὴν ἁπλότητα μὲ τὸ ὅτι δὲν ἐφήρμοσε τὸν λόγον εἰς ὅλα τὰ μέλη, ἀλλὰ μόνον εἰς δύο, καὶ αὐτὰ ἀπὸ τὰ ἄκρα. Διότι ἐπαρουσίασε τὸ πολυτιμότερον ἀπὸ ὅλα, τὸν ὀφθαλμόν, καὶ τὸ εὐτελέστερον ἀπὸ ὅλα, τὰ πόδια. Καὶ δὲν θέτει τὸ πόδι νὰ ὁμιλῇ μὲ τὸν ὀφθαλμόν, ἀλλὰ μὲ τὸ χέρι ποὺ ὑπερέχει ὀλίγον, ἐνῷ τὴν ἀκοὴν νὰ ὁμιλῇ μὲ τοὺς ὀφθαλμούς. 'Επειδὴ συνήθως δὲν φθονοῦμεν αὐτοὺς ποὺ ὑπερέχουν πολύ, ἀλλ' αὐτοὺς ποὺ ἔχουν ἀνέλθει ὀλίγον, δι' αὐτὸ καὶ ὁ Παῦλος ἔτσι κάμνει τὴν σύγκρισιν.

3. «'Εὰν ὁλόκληρον τὸ σῶμα ἦτο ὀφθαλμός, ποῦ θὰ ἦτο ἡ ἀκοή; Καὶ ἂν ὁλόκληρον ἦτο ἀκοή, ποῦ ἡ ὄσφρησις;». 'Επειδὴ λοιπόν, ἀφοῦ ἀνεφέρθη εἰς τὴν διαφορὰν τῶν μελῶν καὶ ἀφοῦ ἀνέφερε πόδια καὶ χέρια καὶ ὀφθαλμοὺς καὶ αὐτιά, ὡδήγησεν αὐτοὺς εἰς τὴν ἔννοιαν τῆς ἀνωτερότητος καὶ τῆς κατωτερότητος, κοίταξε πῶς παρηγορεῖ πάλιν αὐτούς, δεικνύων ὅτι ἔτσι συνέφερε, δηλαδὴ καὶ πολλοὶ νὰ εἶναι καὶ διάφοροι, διότι αὐτὸ κατ' ἐξοχὴν κάμνει τὸ σῶμα νὰ εἶναι σῶμα. 'Εὰν δὲ ὅλοι ἦσαν ἕν, δὲν θὰ ἦσαν σῶμα. Δι' αὐτὸ λέγει, «'Εὰν ὅλα ἦσαν ἓν μέλος, ποῦ θὰ ἦτο τὸ σῶμα;». 'Αλλ' αὐτὸ μὲν τὸ λέγει μετά· ἐδῶ δὲ καὶ κάτι περισσότερον δεικνύει, ὅτι ὄχι μόνον δὲν ἐπιτρέπει αὐτὸ τὴν ὕπαρξιν σώματος, ἀλλ' οὔτε τὰ μέλη νὰ ὑπάρχουν. «'Εὰν ὅλον τὸ σῶμα ἦτο ἀκοή, ποῦ θὰ ἦτο», λέγει, «ἡ ὄσφρησις;».

'Εν συνεχείᾳ, ἐπειδὴ καὶ ἔτσι ἐστενοχωροῦντο, αὐτὸ

ἐποίησε, τοῦτο καὶ νῦν ποιεῖ. Ὥσπερ γὰρ ἐκεῖ διὰ τοῦ συμφέροντος παρακαλέσας, ὕστερον καὶ ἐπεστόμισε σφοδρῶς, εἰπών· «Ταῦτα δὲ πάντα ἐνεργεῖ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ καθὼς βούλεται»· οὕτω καὶ ἐνταῦθα λογισμοὺς θείς, καθ' οὓς ἔδειξε συμφέρον ὂν οὕτω γενέσθαι πάντα, πάλιν ἐπὶ τὴν τοῦ Θεοῦ βουλὴν ἀνάγει τὸ πᾶν λέγων· «Νυνὶ δὲ ὁ Θεὸς ἔθετο τὰ μέλη, ἓν ἕκαστον αὐτῶν ἐν τῷ σώματι καθὼς ἠθέλησε». Ὥσπερ περὶ τοῦ Πνεύματος εἶπε, «καθὼς βούλεται», οὕτω καὶ ἐνταῦθα, «καθὼς ἠθέλησε». Μὴ τοίνυν ἐξέταζε λοιπὸν τὴν αἰτίαν, διὰ τί οὕτω, καὶ διὰ τί οὐχ οὕτω. Κἂν γὰρ μυρίοις λόγοις ἔχωμεν εἰπεῖν, οὐχ οὕτω δυνησόμεθα δεῖξαι ὅτι καλῶς, ὡς ὅταν εἴπωμεν, ὅτι ὡς ὁ ἀριστοτέχνης ἠθέλησεν, οὕτω γέγονεν. Ὡς γὰρ συμφέρον ἐστίν, οὕτω βούλεται. Εἰ δὲ ἐν τῷ σώματι τούτῳ οὐ περιεργαζόμεθα τὰ μέλη, πολλῷ μᾶλλον ἐν τῇ Ἐκκλησίᾳ. Καὶ ὅρα αὐτοῦ τὴν σύνεσιν. Οὐ γὰρ τὴν ἀπὸ τῆς φύσεως τίθησι διαφοράν, οὐδὲ τὴν ἀπὸ τῆς ἐνεργείας, ἀλλὰ τὴν ἀπὸ τῆς θέσεως τῶν τόπων. «Νυνὶ» γάρ, φησίν, «ὁ Θεὸς ἔθετο τὰ μέλη, ἓν ἕκαστον αὐτῶν ἐν τῷ σώματι, καθὼς ἠθέλησεν». Καὶ καλῶς εἶπεν, «ἕκαστον», ἐπὶ πάντων τὸ λυσιτελὲς ἐνδεικνύμενος. Οὐ γὰρ ἂν ἔχοις εἰπεῖν, ὅτι τοῦτο μὲν αὐτὸς ἔταξεν, ἐκεῖνο δὲ οὐχί· ἀλλ' ἕκαστον κατὰ τὸ θέλημα αὐτοῦ, οὕτω κεῖται. Ὥστε καὶ τῷ ποδὶ συμφέρει τὸ οὕτω τετάχθαι, οὐχὶ τῇ κεφαλῇ μόνον· κἂν ἀνταλλάξῃ τὴν τάξιν, καὶ τὴν οἰκείαν χώραν ἀφείς, ἐφ' ἑτέραν ἔλθῃ, κἂν ἐπὶ μείζονα δοκῇ ἐληλυθέναι, τὸ πᾶν ἀπώλεσε καὶ διέφθειρε· τῆς τε γὰρ οἰκείας ἐκπίπτει, καὶ τῆς ἑτέρας οὐκ ἐπιτυγχάνει.

«Εἰ δὲ ἦν τὰ πάντα ἓν μέλος, ποῦ τὸ σῶμα; Νῦν δὲ πολλὰ μὲν μέλη, ἓν δὲ σῶμα». Ἐπιστομίσας γὰρ αὐτοὺς ἱκανῶς ἀπὸ τῆς τοῦ Θεοῦ διατάξεως, πάλιν λογισμοὺς τί-

πού ἔκανε προηγουμένως, αὐτὸ κάμνει καὶ τώρα. Ὅπως δηλαδὴ ἐκεῖ τοὺς παρώτρυνε διὰ τὸ συμφέρον των καὶ ὕστερον τοὺς ἀπεστόμωσε μὲ ἔντονον τρόπον μὲ τοὺς λόγους· «Ὅλα αὐτὰ ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα, τὸ ὁποῖον τὰ διανέμει εἰς τὸν καθένα ἰδιαιτέρως ὅπως αὐτὸ θέλει»· ἔτσι λοιπὸν καὶ ἐδῶ, ἀφοῦ παρέθεσε συλλογισμοὺς συμφώνως πρὸς τοὺς ὁποίους ἔδειξεν ὅτι εἶναι συμφέρον νὰ γίνουν ἔτσι ὅλα, πάλιν ἀναφέρει τὰ πάντα εἰς τὸ θέλημα τοῦ Θεοῦ καὶ λέγει· «Τώρα δὲ ὁ Θεὸς ἐτοποθέτησε τὸ καθὲν ἀπὸ τὰ μέλη εἰς τὸ σῶμα, καθὼς ἠθέλησεν». Ὅπως εἶπε διὰ τὸ Πνεῦμα «ὅπως θέλει», ἔτσι καὶ ἐδῶ, «καθὼς ἠθέλησεν». Μὴ ἐξετάζῃς λοιπὸν τὴν αἰτίαν, διατί ἔτσι καὶ διατί ὄχι ἔτσι. Διότι καὶ ἂν ἔχωμεν νὰ προβάλωμεν χιλιάδας λόγους, δὲν θὰ ἠμπορέσωμεν νὰ ἀποδείξωμεν μὲ τόσην δύναμιν ὅτι καλῶς ἔγιναν ὅλα, ὅσον ὅταν εἰποῦμεν ὅτι, ὅπως ἠθέλησεν ὁ ἀριστοτέχνης, ἔτσι ἔγινε. Διότι ὅπως συμφέρει, ἔτσι θέλει. Ἐὰν δὲ εἰς αὐτὸ τὸ σῶμα δὲν περιεργαζώμεθα τὰ μέλη, πολὺ περισσότερον εἰς τὴν ἐκκλησίαν. Καὶ πρόσεξε τὴν σύνεσίν του. Διότι δὲν προβάλλει τὴν διαφορὰν ἀπὸ τὴν φύσιν, οὔτε ἀπὸ τὴν ἐνέργειαν, ἀλλὰ τὴν διαφορὰν πού προκύπτει ἀπὸ τὴν τοποθέτησιν τῶν μελῶν. Διότι «Τώρα», λέγει, «ὁ Θεὸς ἐτοποθέτησε τὸ καθὲν ἀπὸ τὰ μέλη εἰς τὸ σῶμα, καθὼς ἠθέλησε». Καὶ ὀρθῶς εἶπε «τὸ καθέν», δεικνύων ἔτσι εἰς ὅλα τὴν ὠφέλειαν. Διότι δὲν θὰ ἠμπορῇς νὰ εἰπῇς ὅτι αὐτὸ μὲν ἔθεσεν ὁ Θεός, ἐνῷ ἐκεῖνο ὄχι· ἀλλὰ τὸ καθὲν ἔχει τοποθετηθῆ συμφώνως πρὸς τὸ θέλημά του. Ὥστε καὶ εἰς τὸ πόδι συμφέρει ἔτσι νὰ ἔχῃ τοποθετηθῆ, ὄχι μόνον εἰς τὴν κεφαλήν· καὶ ἐὰν ἀλλάξῃ τὴν τάξιν καί, ἀφοῦ ἐγκαταλείψῃ τὴν θέσιν του, ἔλθῃ εἰς ἄλλην, καὶ ἂν ἀκόμη νομίζῃ ὅτι ἦλθεν εἰς μεγαλυτέραν, ἔχασε καὶ κατέστρεψε τὸ πᾶν· διότι καὶ ἀπὸ τὴν ἰδικήν του ἐκπίπτει καὶ τὴν ἄλλην δὲν ἐπιτυγχάνει.

Ἐὰν ὅλα ἦσαν ἓν μέλος ποῦ θὰ ἦτο τὸ σῶμα; Τώρα ὑπάρχουν πολλὰ μέλη, ἀλλ' ἓν σῶμα». Ἀφοῦ λοιπὸν ἀπεστόμωσεν ἀρκούντως αὐτοὺς μὲ τὸ ὅτι ὁ Θεὸς ἔδωσεν

θησι· καὶ οὔτε τοῦτο ἀεὶ ποιεῖ, οὔτε ἐκεῖνο, ἀλλ' ἐναλλάσσων ποικίλλει τὸν λόγον. Ὅ τε γὰρ ἐπιστομίζων μόνον, τὸν ἀκροατὴν θορυβεῖ, ὅ τε δὲ ἐθίζων αὐτὸν πάντων αἰτίας ἀπαιτεῖν, εἰς τὸν τῆς πίστεως αὐτὸν παραβλάπτει λόγον. Διὰ δὴ τοῦτο καὶ τοῦτο κἀκεῖνο συνεχῶς ὁ Παῦλος ποιεῖ, ἵνα καὶ πιστεύσωσι καὶ μὴ θορυβῶνται· καὶ μετὰ τὸ ἐπιστομίσαι πάλιν καὶ λόγον παρέχει. Καὶ σκόπει τὴν φιλονεικίαν, καὶ τὴν περιουσίαν τῆς νίκης. Ἀφ' ὧν γὰρ ἐνόμιζον οὐκ εἶναι ἰσότιμοι, τοῦ πολλὴν ἐν αὐτοῖς εἶναι τὴν διαφοράν, ἀπὸ τούτου δείκνυσιν, ὅτι δι' αὐτὸ μὲν οὖν τοῦτο ἰσότιμοι. Πῶς, ἐγὼ λέγω. «Εἰ ἦν τὰ πάντα», φησίν, «ἓν μέλος, ποῦ τὸ σῶμα;». Ὃ δὲ λέγει, τοῦτό ἐστιν· εἰ μὴ ἦν, φησίν, ἐν ὑμῖν πολλὴ ἡ διαφορά, οὐκ ἂν ἦτε σῶμα· σῶμα δὲ οὐκ ὄντες, οὐκ ἂν ἦτε ἕν· ἓν δὲ οὐκ ὄντες, οὐκ ἂν ἦτε ἰσότιμοι. Ὥστε οὖν εἰ πάντες ἰσότιμοι ἦτε, οὐκ ἂν ἦτε σῶμα· οὐκ ὄντες δὲ σῶμα, οὐκ ἂν ἦτε ἕν· οὐκ ὄντες δὲ ἕν, πῶς ἦτε ἰσότιμοι; Νῦν μέντοι, ἐπειδὴ οὐκ ἐστὲ πάντες ἕν τι χάρισμα ἔχοντες, διὰ τοῦτο σῶμά ἐστε· σῶμα δὲ ὄντες, πάντες ἐστε ἕν, καὶ οὐδὲν ἀλλήλων διαφέρετε κατὰ τὸ σῶμα εἶναι. Ὥστε ἡ διαφορὰ αὕτη μάλιστά ἐστιν ἡ ποιοῦσι τὴν ἰσοτιμίαν. Διὸ καὶ ἐπήγαγε, «Νῦν δὲ πολλὰ μὲν μέλη, ἓν δὲ σῶμα».

4. Ταῦτ' οὖν ἐννοοῦντες καὶ ἡμεῖς πᾶσαν βασκανίαν ἐκβάλωμεν, καὶ μήτε φθονῶμεν τοῖς μείζονα χαρίσματα ἔχουσι, μήτε καταφρονῶμεν τῶν τὰ ἐλάττονα κεκτημένων· οὕτω γὰρ ὁ Θεὸς ἠθέλησε. Μὴ τοίνυν ἀντιτασσώμεθα. Εἰ δὲ ἔτι θορυβῇ, ἐννόησον ὅτι τὸ σὸν ἔργον ἐκεῖνος οὐ δύναται πολλάκις ἀνύειν. Ὥστε κἂν ἐλάττων ᾖς, τούτῳ πλεονεκτεῖς· κἂν μείζων ἐκεῖνος ᾖ, ἐλαττοῦται τούτῳ, καὶ οὕτως ἰσότης γίνεται. Καὶ γὰρ καὶ ἐν τῷ σώματι καὶ τὰ μικρὰ οὐ μικρὰ δοκεῖ

αὐτὴν τὴν διάταξιν, πάλιν ἐκθέτει συλλογισμούς· καὶ οὔτε αὐτὸ κάμνει, οὔτε ἐκεῖνο, ἀλλ' ἀφοῦ ἐναλλάσσει αὐτά, ποικίλλει τὸν λόγον. Διότι καὶ τὸ ν' ἀποστομώνῃ μόνον στενοχωρεῖ τὸν ἀκροατήν, καὶ τὸ νὰ συνηθίζῃ αὐτὸν νὰ ἀπαιτῇ τὰς αἰτίας εἰς ὅλα, τὸν βλάπτει εἰς τὸν λόγον διὰ τὴν πίστιν. Δι' αὐτὸν τὸν λόγον λοιπὸν καὶ αὐτὸ καὶ ἐκεῖνο κάμνει συνεχῶς ὁ Παῦλος, ὥστε καὶ νὰ πιστεύσουν καὶ νὰ μὴ στενοχωροῦνται· καὶ ὅταν ἀποστομώνῃ πάλιν δίδει καὶ ἐξήγησιν. Καὶ πρόσεξε τὸν ἀγῶνα καὶ τὸν θρίαμβον τῆς νίκης. Ἀπὸ αὐτὰ δηλαδὴ ποὺ ἐνόμιζον ὅτι δὲν εἶναι ἰσότιμοι, ὅτι ὑπῆρχε μεγάλη διαφορὰ μεταξύ των, ἀπὸ αὐτὸ δεικνύει ὅτι δι' αὐτὸν ἀκριβῶς τὸν λόγον εἶναι ἰσότιμοι. Μὲ ποῖον τρόπον, θὰ τὸ εἰπῶ ἐγώ. «Ἐὰν ὅλα», λέγει, «ἦσαν ἓν μέλος, ποῦ θὰ ἦτο τὸ σῶμα;». Αὐτὸ δὲ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· Ἐὰν δὲν ὑπῆρχε μεταξύ σας μεγάλη διαφορά, δὲν θὰ ἤσασθε σῶμα· ἐφ' ὅσον δὲ δὲν θὰ ἤσασθε σῶμα, δὲν θὰ ἤσασθε ἕν· ἐφ' ὅσον ὅμως δὲν θὰ ἤσασθε ἕν, δὲν θὰ ἤσασθε ἰσότιμοι. Ὥστε λοιπὸν ἐὰν ὅλοι ἤσασθε ἰσότιμοι, δὲν θὰ ἤσασθε σῶμα· ἐφ' ὅσον δὲ δὲν θὰ ἤσασθε σῶμα, δὲν θὰ ἤσασθε ἕν· ἐφ' ὅσον ὅμως δὲν θὰ ἤσασθε ἕν, πῶς θὰ ἤσασθε ἰσότιμοι; Τώρα ὅμως, ἐπειδὴ δὲν ἔχετε ὅλοι τὸ ἴδιον χάρισμα, δι' αὐτὸ εἶσθε σῶμα· ἀφοῦ δὲ εἶσθε σῶμα, ὅλοι εἶσθε ἕν, καὶ δὲν διαφέρετε καθόλου μεταξύ σας ὡς πρὸς τὸ ὅτι εἶσθε σῶμα. Ὥστε αὐτὴ ἡ διαφορὰ εἶναι κατ' ἐξοχὴν ποὺ φέρει τὴν ἰσοτιμίαν. Δι' αὐτὸ καὶ προσέθεσε, «Τώρα ὑπάρχουν πολλὰ μέλη, ἀλλ' ἓν σῶμα».

4. Αὐτὰ λοιπὸν ἀφοῦ κατανοήσωμεν καὶ ἐμεῖς, ἂς ἐκριζώσωμεν κάθε φθόνον καὶ οὔτε νὰ φθονῶμεν αὐτοὺς ποὺ ἔχουν μεγαλύτερα χαρίσματα, οὔτε νὰ περιφρονῶμεν αὐτοὺς ποὺ ἔχουν τὰ μικρότερα· διότι ἔτσι ἠθέλησεν ὁ Θεός. Ἂς μὴ ἀντιτασσώμεθα λοιπόν. Ἐὰν ὅμως ἀκόμη στενοχωρῆσαι, σκέψου ὅτι τὸ ἰδικόν σου ἔργον ἐκεῖνος πολλὰς φορὰς δὲν δύναται νὰ φέρῃ εἰς πέρας. Ὥστε καὶ ἐὰν εἶσαι κατώτερος, πλεονεκτεῖς ὡς πρὸς αὐτό· καὶ ἐὰν ἐκεῖνος εἶναι ἀνώτερος, εἶναι κατώτερος ὡς πρὸς αὐτό, καὶ ἔτσι ἐπέρχεται ἰσότης. Διότι καὶ εἰς τὸ σῶμα ἀκόμη

συντελεῖν, ἀλλὰ καὶ τοῖς μεγάλοις λυμαίνεται πολλάκις, ὅταν ἀποστῇ. Τί γὰρ τριχῶν εὐτελέστερον ἐν τῷ σώματι; ἀλλὰ τὰς εὐτελεῖς ταύτας ἂν ἀνέλῃς ἀπὸ τῶν ὀφρύων καὶ τῶν βλεφάρων, ὅλην ἠφάνισας τῆς ὄψεως τὴν ὥραν, καὶ ὀφθαλμὸς οὐκέτι ὁμοίως φανεῖται καλός. Καίτοιγε περὶ τὸ τυχόν ἐστιν ἡ ζημία, ἀλλ' ὅμως καὶ οὕτω πᾶσα διεφθάρη ἡ εὐμορφία· οὐχ ἡ εὐμορφία δὲ μόνον, ἀλλὰ καὶ πολὺ τῆς χρείας τῶν ὀφθαλμῶν. Τῶν γὰρ μελῶν ἡμῶν ἕκαστον καὶ ἰδίαν ἐνέργειαν ἔχει καὶ κοινήν, καὶ κάλλος ὁμοίως καὶ ἴδιον καὶ κοινόν ἐστιν ἐν ἡμῖν· καὶ δοκεῖ μὲν διῃρῆσθαι ταῦτα, συμπέπλεκται δὲ ἀκριβῶς, καὶ θατέρου διαφθαρέντος καὶ ἕτερον συναπόλλυται.

Σκόπει δέ. Ἔστωσαν ὀφθαλμοὶ λάμποντες, καὶ παρειὰ μειδιῶσα, καὶ χεῖλος ἐρυθρόν, καὶ ῥὶς εὐθεῖα, καὶ ὀφρὺς ἐκτεταμένη· ἀλλ' ὅμως κἂν τὸ τυχὸν ἐκ τούτων λυμήνῃ, τῷ κοινῷ πάντων ἐλυμήνω κάλλει, καὶ πάντα κατηφείας μεστά, καὶ πάντα αἰσχρὰ φανεῖται, τὰ πρὸ τούτου καλά. Ἂν γὰρ τὸ ἄκρον μόνον τῆς ῥινὸς συντρίψῃς, πάντων πολλὴν κατέχεις τὴν ἀμορφίαν, καίτοιγε ἑνὸς μέλους ἐστὶν ἡ πήρωσις· καὶ ἐπὶ χειρὸς ὁμοίως, ἂν ἑνὸς δακτύλου τὸν ὄνυχα ἐξέλῃς, τὸ αὐτὸ γινόμενον ὄψει. Εἰ δὲ καὶ ἐπὶ ἐνεργείας βουληθείης τὸ αὐτὸ συμβαῖνον ἰδεῖν, ἄνελε δάκτυλον ἕνα, καὶ τοὺς λοιποὺς ἀργοτέρους ὄψει, καὶ οὐκέτι τὰ αὐτῶν ποιοῦντας ὁμοίως. Ἐπεὶ οὖν κοινὸν αἶσχος ἡ τοῦ μέλους ζημία, καὶ κοινὸν κάλλος ἡ σωτηρία, μὴ ἐπαιρώμεθα, μηδὲ ἐπεμβαίνωμεν τοῖς πλησίον. Διὰ γὰρ ἐκεῖνο τὸ μικρὸν μέλος καὶ τὸ μέγα ἐστὶ καλὸν καὶ ὡραῖον καὶ διὰ τῶν βλεφαρίδων ὀφθαλμὸς καλλωπίζεται. Ὥστε ἑαυτῷ πολεμεῖ ὁ τῷ ἀδελφῷ πολεμῶν· οὐ γὰρ μέχρις ἐκείνου τὰ τῆς βλάβης, ἀλλὰ καὶ

καὶ τὰ μικρὰ δὲν συντελοῦν ὀλίγον, ἀλλὰ πολλὰς φορὰς βλάπτουν καὶ τὰ μεγάλα ὅταν ἀπομακρυνθοῦν ἀπὸ αὐτά. Διότι τί εἶναι εὐτελέστερον εἰς τὸ σῶμα ἀπὸ τὰς τρίχας; ἂν ὅμως ἀφαιρέσῃς αὐτὰς τὰς εὐτελεῖς ἀπὸ τὰ φρύδια καὶ τὰ βλέφαρα, θὰ ἀφανίσῃς ὅλην τὴν ὡραιότητα τοῦ προσώπου καὶ ὁ ὀφθαλμὸς δὲν θὰ φαίνεται καθόλου ὡραῖος ὅπως πρίν. Ἂν καὶ ἡ ζημία βεβαίως εἶναι ἀσήμαντος, ἀλλὰ καὶ ἔτσι κατεστράφη ὅλη ἡ εὐμορφία· ὄχι μόνον δὲ ἡ εὐμορφία, ἀλλὰ καὶ κάτι ποὺ εἶναι ἀπαραίτητον εἰς τοὺς ὀφθαλμούς. Διότι τὸ καθὲν ἀπὸ τὰ μέλη μας ἔχει καὶ ἰδιαιτέραν ἐνέργειαν καὶ κοινὴν καὶ ὡραιότης ἐπίσης καὶ ἰδιαιτέρα καὶ κοινὴ ὑπάρχει μέσα μας· καὶ φαίνεται μὲν ὅτι αὐτὰ εἶναι ἀνεξάρτητα, ἐνῷ εἶναι συνδεδεμένα μὲ τελειότητα, καὶ ὅταν καταστραφῇ τὸ ἕν, ἀφανίζεται μαζὶ καὶ τὸ ἄλλο.

Πρόσεχε δέ. Ἂς ὑποθέσωμεν ὅτι οἱ ὀφθαλμοὶ εἶναι λαμπεροί, ἡ παρειὰ χαμογελαστή, τὸ χεῖλος ἐρυθρὸν καὶ ἡ μύτη εὐθεῖα καὶ τὸ φρύδι μακρόν· ἐὰν ὅμως βλάψῃς ὁποιοδήποτε ἀπὸ αὐτά, ἔβλαψες ὅλην τὴν ὡραιότητα γενικῶς ἀπὸ ὅλα καὶ ὅλα ἐγέμισαν ἀπὸ λύπην καὶ ὅλα ὅσα πρὶν ἀπὸ αὐτὸ ἦσαν ὡραῖα, θὰ φανοῦν ἄσχημα. Διότι ἐὰν καταστρέψῃς μόνον τὸ ἄκρον τῆς μύτης, θὰ σκορπίσῃς πολλὴν ἀσχημίαν εἰς ὅλα, ἂν καὶ ἡ βλάβη ἐπῆλθε μόνον εἰς ἓν μέλος· καὶ εἰς τὸ χέρι ἐπίσης, ἂν ἀφαιρέσῃς τὸ νύχι ἀπὸ ἓν δάκτυλον, θὰ ἰδῇς νὰ γίνεται τὸ ἴδιον. Ἐὰν δὲ θέλῃς νὰ ἰδῇς νὰ συμβαίνῃ τὸ ἴδιον καὶ εἰς τὴν λειτουργίαν τοῦ χεριοῦ ἀφαίρεσε ἕνα δάκτυλον καὶ θὰ ἰδῇς τοὺς ὑπολοίπους ὀλιγώτερον ἀποδοτικοὺς καὶ νὰ μὴ ἠμποροῦν νὰ κάνουν μὲ τὸν ἴδιον τρόπον ὅσα κάμνουν. Ἐπειδὴ λοιπὸν ἡ ζημία ἑνὸς μέλους εἶναι κοινὴ ἀσχημία καὶ κοινὴ ὡραιότης ἡ σωτηρία, ἂς μὴ ὑπερηφανευώμεθα, οὔτε νὰ ἐπεμβαίνωμεν εἰς τὰ τῶν πλησίον. Διότι χάρις εἰς ἐκεῖνο τὸ μικρὸν μέλος εἶναι καλὸν καὶ ὡραῖον καὶ τὸ μέγα, καὶ διὰ τῶν βλεφαρίδων γίνεται ὡραῖος ὁ ὀφθαλμός. Ὥστε ὅποιος πολεμεῖ τὸν ἀδελφόν, τὸν ἑαυτόν του πολεμεῖ, διότι αἱ συνέπειαι τῆς βλάβης δὲν σταματοῦν εἰς ἐκεῖνον, ἀλλὰ καὶ ὁ

αὐτὸς οὐ μικρὰν ὑποστήσεται ζημίαν. Ἵν' οὖν μὴ τοῦτο γίνηται, ὡς ἑαυτῶν, οὕτω καὶ τῶν πλησίον φροντίζωμεν, καὶ ταύτην τὴν εἰκόνα τὴν τοῦ σώματος καὶ νῦν ἐπὶ τὴν Ἐκκλησίαν μεταγάγωμεν, καὶ προνοῶμεν ἁπάντων ὡς μελῶν οἰκείων. Καὶ γὰρ καὶ ἐν τῇ Ἐκκλησίᾳ μέλη πολλὰ καὶ διάφορα· καὶ τὰ μὲν τιμιώτερα, τὰ δὲ καταδεέστερα· οἷον, εἰσὶ παρθένων χοροί, εἰσὶ χηρῶν σύλλογοι, εἰσὶ τῶν ἐν γάμῳ σώφρονι λαμπόντων φρατρίαι, καὶ πολλοὶ τῆς ἀρετῆς οἱ βαθμοί.

Καὶ ἐπὶ τῆς ἐλεημοσύνης πάλιν ὁμοίως. Οἱ μὲν γὰρ τὰ πάντα ἐκένωσαν, οἱ δὲ τῆς αὐταρκείας ἐπιμελοῦνται μόνης, καὶ πλέον τῆς χρείας οὐδὲν ζητοῦσιν, οἱ δὲ ἐκ τοῦ περισσεύματος ἔδωκαν· ἀλλ' ὅμως οὗτοι πάντες ἀλλήλους κοσμοῦσι, κἂν ἐξουθενήσῃ τὸν ἐλάττονα ὁ μείζων, ἑαυτὸν τὰ μέγιστα ἔβλαψεν. Ἥ τε γὰρ παρθένος, ἂν ὑβρίσῃ τὴν ἐν γάμῳ, οὐ μικρὸν ὑπετέμετο τοῦ μισθοῦ· ὅ τε τὰ πάντα κενώσας, ἂν ὀνειδίσῃ τῷ μὴ τοῦτο πεποιηκότι, πολὺ τῶν αὐτοῦ πόνων ἐκένωσε. Καὶ τί λέγω παρθένους καὶ χήρας καὶ ἀκτήμονας ἄνδρας; Τί γὰρ τῶν προσαιτούντων εὐτελέστερον; ἀλλ' ὅμως καὶ οὗτοι χρείαν πληροῦσι μεγίστην ἐν Ἐκκλησίᾳ, προσηλωμένοι ταῖς θύραις τοῦ ναοῦ, καὶ κόσμον παρέχοντες μέγιστον, καὶ τούτων ἄνευ οὐκ ἂν ἀπαρτισθείη τὸ πλήρωμα τῆς Ἐκκλησίας. Ὅπερ οὖν καὶ οἱ ἀπόστολοι συνιδόντες ἐξ ἀρχῆς ἐνομοθέτησαν, ὥσπερ τὰ ἄλλα πάντα, οὕτω καὶ τὸ χήρας εἶναι· καὶ τοσαύτην ἐποιήσαντο περὶ τὸ πρᾶγμα σπουδήν, ὡς καὶ διακόνους αὐταῖς ἐπιστῆσαι ἑπτά. Ὥσπερ γὰρ ἐπισκόπους καὶ πρεσβυτέρους καὶ διακόνους καὶ παρθένους καὶ ἐγκρατευομένους ἀριθμῷ, τὰ μέλη τῆς Ἐκκλησίας καταλέγων, οὕτω καὶ χήρας. Οὐδὲ γὰρ τὴν τυχοῦσαν χρείαν αὗται πληροῦσι. Σὺ μὲν γὰρ ὅτε βούλει, παραγέγονας· αὗται δὲ καὶ ἡμέραν καὶ νύκτα ψάλλουσι καὶ πάρεισιν, οὐ τῆς ἐλεημοσύνης ἕνεκεν μόνης τοῦτο ποιοῦσαι·

ἴδιος δὲν θὰ πάθῃ μικροτέραν ζημίαν. Διὰ νὰ μὴ γίνεται λοιπὸν αὐτό, ἂς φροντίζωμεν τοὺς πλησίον ὅπως τὸν ἑαυτόν μας, καὶ αὐτὴν τὴν εἰκόνα τοῦ σώματος ἂς μεταφέρωμεν τώρα καὶ εἰς τὴν ἐκκλησίαν καὶ ἂς φροντίζωμεν δι' ὅλους ὡσὰν νὰ εἶναι ἰδικά μας μέλη. Διότι καὶ εἰς τὴν ἐκκλησίαν ὑπάρχουν πολλὰ καὶ διάφορα μέλη· καὶ ἄλλα μὲν εἶναι ἀνώτερα, ἄλλα δὲ κατώτερα· ὅπως, ὑπάρχουν κύκλοι παρθένων, ὑπάρχουν ὁμάδες χηρῶν, ὑπάρχουν χορεῖαι αὐτῶν ποὺ λάμπουν εἰς τὸν σώφρονα γάμον καὶ εἶναι πολλοὶ οἱ βαθμοὶ τῆς ἀρετῆς.

Καὶ εἰς τὴν ἐλεημοσύνην πάλιν ἐπίσης. Ἄλλοι μὲν δηλαδὴ ἐμοίρασαν ὅλα τὰ ὑπάρχοντά των, ἄλλοι φροντίζουν νὰ ἔχουν μόνον ὅσα τοὺς ἀρκοῦν καὶ δὲν ζητοῦν τίποτε περισσότερον ἀπὸ τὸ ἀναγκαῖον, ἄλλοι δὲ δίδουν αὐτὰ ποὺ τοὺς περισσεύουν· ἀλλ' ὅμως ὅλοι αὐτοὶ στολίζουν ὁ ἕνας τὸν ἄλλον καὶ ἂν ὁ μεγαλύτερος καταφρονήσῃ τὸν μικρότερον, βλάπτει πάρα πολὺ τὸν ἑαυτόν του. Καὶ ἡ παρθένος λοιπὸν ἐὰν ὑποτιμήσῃ τὴν ὑπανδρευμένην, πολὺν ἀπὸ τὸν μισθόν της θὰ στερηθῇ· καὶ αὐτὸς ποὺ ἐμοίρασε τὰ πάντα, ἐὰν κατηγορήσῃ αὐτὸν ποὺ δὲν ἔκανε τὸ ἴδιον, χάνει πολὺ ἀπὸ τοὺς κόπους του. Καὶ διατί λέγω διὰ παρθένους καὶ χήρας καὶ ἀκτήμονας; Διότι τί εἶναι περισσότερον εὐτελὲς ἀπὸ τοὺς ἐπαίτας; Καὶ ὅμως καὶ αὐτοὶ πληροῦν μεγίστην ἀνάγκην εἰς τὴν ἐκκλησίαν, ὅταν ἵστανται εἰς τὰς θύρας τοῦ ναοῦ καὶ δίδουν ὡραῖον στολισμὸν καὶ χωρὶς αὐτοὺς δὲν θὰ ἦτο ὁλοκληρωμένον τὸ πλήρωμα τῆς ἐκκλησίας. Ἐπειδὴ λοιπὸν ἐγνώριζον αὐτὸ ἀπὸ τὴν ἀρχὴν καὶ οἱ ἀπόστολοι ἔθεσαν νόμον, ὅπως δι' ὅλα τὰ ἄλλα, ἔτσι καὶ τὸ νὰ εἶναι αἱ χῆραι· καὶ τόσην φροντίδα ἔδειξαν δι' αὐτὸ τὸ πρᾶγμα, ὥστε καὶ νὰ τοποθετήσουν ἑπτὰ διακόνους δι' αὐτάς. Διότι ὅπως ἀριθμῶ ἐπισκόπους καὶ πρεσβυτέρους καὶ διακόνους καὶ παρθένους καὶ ἐγκρατευτὰς ὅταν ὑπολογίζω τὰ μέλη τῆς ἐκκλησίας, ἔτσι καὶ χήρας. Καθ' ὅσον δὲν πληροῦν ἀσήμαντον ἀνάγκην. Διότι σὺ μὲν ἔρχεσαι ὅταν θέλῃς· ἐνῷ ἐκεῖναι ψάλλουν καὶ παρευρίσκονται ἡμέραν καὶ νύκτα, καὶ δὲν πράττουν αὐτὸ μόνον διὰ νὰ ἐλεηθοῦν·

ἐπεὶ εἰ τοῦτο ἐβούλοντο, ἐξῆν κατὰ τὴν ἀγορὰν βαδίζειν, καὶ ἐν τοῖς στενωποῖς προσαιτεῖν· ἀλλ' ἔχουσί τι καὶ εὐλαβείας οὐ μικρόν.

Ὅρα γοῦν ἐν ὅσῃ καμίνῳ πενίας εἰσί· καὶ βλασφημουσῶν οὐκ ἄν ποτε αὐτῶν ἀκούσῃς, οὐδὲ ἀποδυσπετουσῶν, ἅπερ πολλαὶ τῶν πλουτούντων ποιοῦσιν. Καὶ αἱ μὲν αὐτῶν πεινῶσαι ἐκοιμήθησαν πολλάκις, αἱ δὲ καὶ διηνεκῶς ὑπὸ τοῦ κρυμοῦ διατελοῦσι, καὶ ὅμως ἐν εὐχαριστίᾳ καὶ δοξολογίᾳ διάγουσι. Κἂν ὀβολὸν δῷς, εὐχαριστοῦσι καὶ ὑπεύχονται μυρία τῷ δεδωκότι· κἂν μηδὲν δῷς, οὐ δυσχεραίνουσιν, ἀλλὰ καὶ οὕτως εὐλογοῦσι, καὶ ἀγαπῶσι τῆς ἐφημέρου τροφῆς ἀπολαύουσαι. Κἂν γὰρ μὴ βούλωνται, φησίν, ἀνάγκη φέρειν αὐτάς. Διὰ τί, εἰπέ μοι; τίνος ἕνεκεν τὸ πικρὸν τοῦτο ἐφθέγξω ῥῆμα; Οὐκ εἰσὶ τέχναι αἰσχραί, καὶ τοῖς γεγηρακόσι κέρδος ἔχουσαι καὶ ταῖς γεγηρακυίαις; Οὐκ ἠδύναντο, εἴπερ ἐβούλοντο τοῦ ζῆν ἐπιεικῶς ἀμελεῖν, κἀκεῖθεν μετὰ πολλῆς ἀποστρέφεσθαι τῆς περιουσίας; Οὐχ ὁρᾷς πόσοι τῶν ἐν ταύτῃ τῇ ἡλικίᾳ μαστροποὶ καὶ προαγωγοὶ γινόμενοι, καὶ ἕτερα τοιαῦτα ἄττα διακονούμενοι, καὶ τρέφονται καὶ τρυφῶσιν;

Ἀλλ' οὐχ οὗτοι, ἀλλ' αἱροῦνται λιμῷ διαφθείρεσθαι μᾶλλον, ἢ καταισχῦναι τὴν ἑαυτῶν ζωὴν καὶ προδοῦναι τὴν σωτηρίαν· καὶ κάθηνται δι' ἡμέρας ὅλης φάρμακόν σοι κατασκευάζοντες σωτηρίας. Οὐ γὰρ οὕτως ἰατρός, χεῖρα ἐκτείνων καὶ σιδήριον ἐπάγων, ἐκτέμνει τὰ σεσηπότα τῶν τραυμάτων, ὡς πένης, δεξιὰν ἐκτείνων καὶ ἐλεημοσύνην λαμβάνων, περιαιρεῖ τῶν τραυμάτων τοὺς μώλωπας. Καὶ τὸ δὴ θαυμαστόν, ὅτι χωρὶς ἀλγηδόνος καὶ ὀδύνης τὴν καλὴν ταύτην ἐργάζονται ἰατρείαν. Καὶ ἡμῶν τῶν τοῦ λαοῦ προκαθημένων καὶ παραινούντων ὑμῖν τὰ συμφέροντα, οὐκ ἔλαττον ἐκεῖνος διαλέγεται ὁ πρὸ τῶν θυρῶν τῆς ἐκκλησίας καθήμενος, διὰ

διότι ἐὰν ἤθελον μόνον αὐτό, ἠδύναντο νὰ πηγαίνουν εἰς τὴν ἀγορὰν καὶ νὰ ἐπαιτοῦν εἰς τὰς στενὰς ὁδούς· ἀλλ' ἔχουν καὶ εὐλάβειαν ὄχι μικράν.

Πρόσεχε λοιπὸν εἰς ποίαν κάμινον πτωχείας εὑρίσκονται· καὶ δὲν θ' ἀκούσῃς αὐτὰς νὰ βλασφημοῦν ποτέ, οὔτε ν' ἀπομακρύνωνται ἀπηλπισμέναι, πράγματα ποὺ κάμνουν πολλαὶ ἀπὸ τὰς πλουσίας. Καὶ ἄλλαι μὲν ἀπὸ αὐτὰς ἀπέθανον ἐνῷ ἐπείνων, ἄλλαι δὲ εὑρίσκονται παγωμέναι συνεχῶς ἀπὸ τὸ ὑπερβολικὸν ψῦχος, καὶ ὅμως εὐχαριστοῦν καὶ δοξολογοῦν τὸν Θεόν. Καὶ ἐὰν δώσῃς κάποιο μικρὸν νόμισμα εἰς αὐτάς, εὐχαριστοῦν καὶ εὔχονται τὰ πάντα δι' αὐτὸν ποὺ ἔδωσε· καὶ ἐὰν τίποτε δὲν δώσῃς δὲν δυσαnασχετοῦν, ἀλλὰ καὶ ἔτσι εὐλογοῦν καὶ εὐχαριστοῦνται ἐὰν ἀπολαύσουν τὴν τροφὴν τῆς ἡμέρας. Ἀλλὰ καὶ ἂν δὲν θέλουν, θὰ εἰπῇ κάποιος, εἶναι ἀνάγκη νὰ ὑπομένουν αὐτά. Διατί; εἰπέ μου. διατί εἶπες τὸν πικρὸν αὐτὸν λόγον; Δὲν ὑπάρχουν ἐπαγγέλματα αἰσχρὰ ποὺ ν' ἀποδίδουν κέρδος καὶ εἰς τοὺς γέροντας καὶ εἰς τὰς γραίας; Δὲν ἠμποροῦσαν ἐὰν ἤθελον ν' ἀδιαφοροῦν τελείως διὰ τὸν τρόπον ζωῆς καὶ νὰ τρέφωνται ἀπὸ αὐτὰ μὲ πολλὴν ἀφθονίαν; Δὲν βλέπεις πόσοι, ἀφοῦ ἔγιναν μαστρωποὶ καὶ προαγωγοὶ εἰς αὐτὴν τὴν ἡλικίαν καὶ ἐξυπηρετούμενοι καὶ ἀπὸ μερικὰ ἄλλα τέτοια, καὶ τρέφονται καὶ ἀπολαμβάνουν;

Δὲν κάνουν ὅμως ἔτσι αὐταί, ἀλλὰ προτιμοῦν μᾶλλον ν' ἀποθάνουν ἀπὸ τὴν πεῖναν, παρὰ νὰ κατεντροπιάσουν τὴν ζωήν των καὶ νὰ προδώσουν τὴν σωτηρίαν· καὶ κάθηνται ὁλόκληρον τὴν ἡμέραν διὰ νὰ σοῦ δίδουν φάρμακον σωτηρίας. Διότι οὔτε ὁ ἰατρὸς ποὺ ἁπλώνει τὸ χέρι καὶ ἐπιφέρει ἐγχειρίδιον κόπτει ἔτσι τὰ σάπια μέρη τῶν πληγῶν, ὅσον ὁ πτωχὸς ποὺ ἁπλώνει τὴν δεξιὰν καὶ λαμβάνει ἐλεημοσύνην ἀφαιρεῖ τὸ πρήξιμον ἀπὸ τὰ τραύματα. Καὶ τὸ πολὺ ἀξιοθαύμαστον εἶναι ὅτι χωρὶς πόνον καὶ ὀδύνην κατορθώνουν αὐτὴν τὴν ἰατρείαν. Καὶ ἐκεῖνος ὁ ὁποῖος κάθηται ἐμπρὸς εἰς τὰς θύρας τῆς ἐκκλησίας, μὲ τὴν σιωπὴν καὶ τὴν ἐξωτερικὴν μορφὴν δὲν ὁμιλεῖ ὀλιγώτερον ἀπὸ ἐμᾶς ποὺ εἴμεθα προκαθήμενοι τοῦ λαοῦ καὶ σᾶς προ-

τῆς σιγῆς καὶ τῆς ὄψεως. Καὶ γὰρ ἡμεῖς ταῦτα καθ' ἑκάστην ἐνηχοῦμεν ὑμῖν τὴν. ἡμέραν, λέγοντες, μὴ μέγα φρόνει, ἄνθρωπε· ὀξύρροπον καὶ εὐμετάπτωτον τῶν ἀνθρώπων ἡ φύσις· ἡ νεότης πρὸς γῆρας ἐπείγεται, τὸ κάλλος πρὸς ἀμορφίαν, ἡ ἰσχὺς πρὸς ἀσθένειαν, ἡ ὑγεία πρὸς ἀρρωστίαν μεταπίπτει, ἡ δόξα πρὸς εὐτέλειαν, ὁ πλοῦτος πρὸς πενίαν, ἡ τιμὴ πρὸς καταφρόνησιν· ῥεύματι σφοδρῷ τὰ ἡμέτερα ἔοικεν οὐδαμοῦ ἵστασθαι βουλομένῳ, ἀλλ' ἐπειγομένῳ πρὸς τὸ κάταντες.

Τὰ αὐτὰ καὶ ἐκεῖνοι, καὶ πλείονα τούτων διὰ τῆς ὄψεως συμβουλεύουσι, καὶ διὰ τῆς πείρας αὐτῆς, ἥτις καὶ σαφεστέρα ἐστὶ παραίνεσις. Πόσοι γοῦν τῶν ἔξω καθημένων νῦν ἤκμασαν ἐν νεότητι, καὶ μεγάλα εἰργάσαντο; πόσοι τῶν εἰδεχθῶν τούτων καὶ ἐπὶ τῇ τοῦ σώματος ἰσχύϊ καὶ ἐπὶ τῇ τῆς ὄψεως ὥρᾳ πολλοὺς παρήλασαν; Ἀλλὰ μὴ ἀπιστεῖτε, μηδὲ χλευάζετε· καὶ γὰρ μυρίων γέμει τοιούτων ὑποδειγμάτων ὁ βίος. Εἰ γὰρ βασιλεῖς ἐξ εὐτελῶν καὶ ταπεινῶν πολλοὶ πολλάκις ἐγένοντο, τί θαυμαστόν, εἰ ἐκ μεγάλων καὶ ἐνδόξων ταπεινοὶ καὶ εὐτελεῖς κατέστησαν; Καὶ γὰρ τὸ πολλῷ παραδοξότερον ἐκεῖνό ἐστι· τοῦτο δὲ τῶν ἀεὶ συμβαινόντων. Ὥστε οὐ χρὴ διαπιστεῖν, εἴ τινες τούτων καὶ ἐν τέχναις καὶ ἐν στρατείαις ἤνθησαν καὶ ἐν χρημάτων περιουσίαις, ἀλλὰ καὶ ἐλεεῖν αὐτοὺς καὶ μετὰ πολλῆς τῆς συμπαθείας, καὶ ὑπὲρ ἑαυτῶν δεδοικέναι, μή ποτε καὶ αὐτοὶ τὰ αὐτὰ πάθωμεν. Καὶ γὰρ καὶ ἡμεῖς ἄνθρωποι, καὶ ὑπὸ τὴν ὀξύρροπον ταύτην κείμεθα μεταβολήν.

5. Ἀλλ' ἴσως τῶν ἀγνωμόνων τις καὶ σκώπτειν εἰωθότων καὶ ἐπισκήψει τοῖς εἰρημένοις, καὶ κωμῳδήσει πάντως ἡμᾶς λέγων· μέχρι τίνος οὐ παύσῃ πένητας ἀεὶ καὶ πτωχοὺς ἐν τοῖς λόγοις εἰσάγων, καὶ συμφορὰς ἡμῖν προφητεύων, καὶ πενίαν προαναφωνῶν, καὶ πτωχοὺς ποιῆσαι σπουδάζων, ἄνθρωπε, ταῦτα λέγω, ἀλλὰ τοῦ οὐρανοῦ τὸν πλοῦτον

τρέπομεν εἰς αὐτὰ ποὺ σᾶς συμφέρουν. Διότι καὶ ἐμεῖς αὐτὰ σᾶς διδάσκομεν καθημερινῶς μὲ τὸ νὰ λέγωμεν, μὴ ὑψηλοφρονῇς, ἄνθρωπε· εἶναι εὐαίσθητος καὶ εὐμετάβλητος ἡ φύσις τῶν ἀνθρώπων· ἡ νεότης σπεύδει πρὸς γῆρας, ἡ ὡραιότης εἰς ἀσχημίαν, ἡ δύναμις πρὸς ἀδυναμίαν, ἡ ὑγεία μεταπίπτει εἰς νόσον, ἡ δόξα εἰς εὐτέλειαν, ὁ πλοῦτος εἰς πτωχείαν, ἡ τιμὴ πρὸς περιφρόνησιν· μὲ ὁρμητικὸν ρεῦμα ὁμοιάζουν τὰ ἀνθρώπινα, τὸ ὁποῖον δὲν θέλει νὰ σταθῇ πουθενά, ἀλλὰ τρέχει βιαστικὰ πρὸς τὸν κρημνόν.

Τὰ ἴδια καὶ περισσότερα ἀπὸ αὐτὰ συμβουλεύουν καὶ ἐκεῖνοι διὰ τῆς ἐξωτερικῆς των μορφῆς καὶ μὲ τὴν ἐμπειρίαν αὐτήν, ποὺ εἶναι ἡ σαφεστέρα παραίνεσις. Πόσοι λοιπὸν ἀπὸ αὐτοὺς ποὺ τώρα κάθηνται ἔξω ἦσαν εἰς ἀκμὴν κατὰ τὴν νεότητα καὶ κατώρθωσαν μεγάλα πράγματα; πόσοι ἀπὸ αὐτοὺς τοὺς ἀσχήμους καὶ ὡς πρὸς τὴν σωματικὴν δύναμιν καὶ ὡς πρὸς τὴν ὡραιότητα τῆς μορφῆς ὑπερέβησαν πολλούς; Ἀλλὰ μὴ ἀπιστεῖτε, οὔτε νὰ χλευάζετε δι' αὐτά· καθ' ὅσον εἶναι γεμάτη ἡ ζωὴ ἀπὸ τέτοια παραδείγματα. Διότι ἐὰν πολλοὶ καὶ πολλὰς φορὰς ἀπὸ τοὺς εὐτελεῖς καὶ τοὺς ταπεινοὺς ἔγιναν βασιλεῖς, ποῖον τὸ περίεργον ἐὰν μερικοὶ ἀπὸ τοὺς ἐνδόξους καὶ μεγάλους ἔγιναν ταπεινοὶ καὶ εὐτελεῖς; Διότι ἐκεῖνο εἶναι πολὺ περισσότερον παράξενον, ἐνῷ αὐτὸ συμβαίνει πάντοτε. Ὥστε δὲν πρέπει ν' ἀμφιβάλλωμεν διὰ τὸ ὅτι ὡρισμένοι ἀπὸ αὐτοὺς ἤκμασαν καὶ εἰς τέχνας καὶ εἰς ἐκστρατείας καὶ εἰς ἀφθονίαν χρημάτων, ἀλλὰ καὶ νὰ ἐλεῶμεν αὐτοὺς μὲ πολλὴν συμπάθειαν, καὶ διὰ τοὺς ἑαυτούς μας νὰ φοβώμεθα, μήπως καὶ ἐμεῖς πάθωμεν κάποτε τὰ ἴδια. Διότι καὶ ἐμεῖς εἴμεθα ἄνθρωποι καὶ ὑποκείμεθα εἰς αὐτὴν τὴν μεταβολὴν ποὺ ἐπέρχεται μὲ τὸ παραμικρόν.

5. Ἴσως ὅμως κάποιος ἀπὸ τοὺς ἀνοήτους καὶ αὐτοὺς ποὺ συνηθίζουν νὰ περιγελοῦν νὰ κατηγορήσῃ αὐτὰ ποὺ ἐλέχθησαν καὶ μὲ περιπαίξῃ κατὰ κάποιον τρόπον λέγων τὰ ἑξῆς· Ἕως πότε θὰ ὁμιλῇς συνεχῶς διὰ πτωχοὺς καὶ θὰ προφητεύῃς συμφορὰς δι' ἐμᾶς καὶ θὰ προλέγῃς πτωχείαν καὶ θὰ προσπαθῇς νὰ μᾶς κάνῃς πτωχούς; Δὲν λέ-

ὑμῖν ἀνοῖξαι σπεύδων. Ἐπεὶ καὶ πρὸς τὸν ὑγιαίνοντα ὁ τῶν ἀρρωστούντων μεμνημένος καὶ τὰς ἐκείνων διηγούμενος ὀδύνας, οὐχ ἵνα ἐπίνοσον ποιήσῃ, λέγει, ἀλλ' ἵνα ἐπὶ τῆς ὑγείας διατηρήσῃ, τῷ φόβῳ τῶν ἐκείνοις συμβαινόντων τὴν τούτου ῥαθυμίαν ἐκκόπτων. Φοβερὸν ὑμῖν ἡ πενία εἶναι δοκεῖ, καὶ φρικτὸν καὶ μέχρι προσηγορίας αὐτῆς. Διὰ γὰρ τοῦτο πένητές ἐσμεν, ὅτι πενίαν δεδοίκαμεν, κἂν μυρία ἔχωμεν τάλαντα. Οὐ γὰρ ὁ μηδὲν ἔχων, πένης, ἀλλ' ὁ πενίαν φρίττων. Ἐπεὶ καὶ ἐν ταῖς συμφοραῖς οὐ τοὺς τὰ μεγάλα πάσχοντας κακὰ δακρύομεν καὶ ἀθλίους ἡγούμεθα, ἀλλὰ τοὺς οὐκ εἰδότας αὐτὰ φέρειν, κἂν μικρὰ ὄντα τύχῃ· ὡς ὅ γε φέρειν εἰδὼς καὶ ἐπαίνων ἄξιος καὶ στεφάνων. Καὶ ὅτι τοῦτο τοῦτον ἔχει τὸν τρόπον, ἐν τοῖς ἀγῶσι τίνας ἐπαινοῦμεν; τοὺς πολλὰ τυπτομένους καὶ μὴ ἀλγοῦντας, ἀλλ' ὑψηλὸν τὸν αὐχένα ἔχοντας, ἢ τοὺς ἀπὸ τῶν πρώτων φεύγοντας πληγῶν; Οὐχὶ ἐκείνους μὲν καὶ στεφανοῦμεν, ὡς ἀνδρείους καὶ γενναίους, τούτους δὲ καὶ γελῶμεν, ὡς ἀνάνδρους καὶ δειλούς;

Οὕτω τοίνυν καὶ ἐπὶ τῶν τοῦ βίου πραγμάτων ποιῶμεν· τὸν μὲν εὐκόλως ἅπαντα φέροντα στεφανώσωμεν, καθάπερ ἐκεῖνον τὸν γενναῖον παγκρατιαστήν· τοῦτον δὲ δακρύωμεν τὸν δεδοικότα καὶ τρέμοντα τὰ δεινά, καὶ πρὶν ἢ δέξασθαι πληγὴν ἀποτεθνηκότα τῷ δέει. Καὶ γὰρ ἐπὶ τῶν ἀγώνων εἴ τις, πρὶν ἢ χεῖρας ἀνταῖραι, τὸν ἀντίπαλον ἰδὼν τὴν δεξιὰν τείνοντα μόνον ἀποφύγοι, κἂν μὴ δέξηται πληγήν, καταγέλαστος ἔσται, ὡς ἄτολμος καὶ μαλακὸς καὶ πόνων ἄπειρος τοιούτων. Οἷον καὶ ἐπὶ τούτων συμβαίνει τῶν πενίαν δεδοικότων, καὶ οὐδὲ τὴν προσδοκίαν αὐτῆς ἐνεγκεῖν δυναμένων. Οὐκ ἄρα ἡμεῖς ποιοῦμεν ὑμᾶς ἀθλίους, ἀλλ' ὑμεῖς ἑαυτούς. Πῶς γὰρ οὐ καταπαίξεταί σου λοιπὸν ὁ διά-

γω αὐτά, ἄνθρωπε, διότι θέλω νὰ σᾶς κάνω πτωχούς, ἀλλὰ διότι προσπαθῶ ν' ἀνοίξω δι' ἐσᾶς τὸν πλοῦτον τοῦ οὐρανοῦ. Διότι καὶ αὐτὸς ποὺ ὑπενθυμίζει τοὺς ἀρρώστους εἰς τὸν ὑγιῆ καὶ διηγεῖται τοὺς πόνους των, δὲν τὰ λέγει διὰ νὰ τὸν ἀρρωστήσῃ, ἀλλὰ διὰ νὰ τὸν διατηρήσῃ εἰς τὴν ὑγείαν μὲ τὸ νὰ ἐξαλείφῃ τὴν ῥαθυμίαν του διὰ τοῦ φόβου τῶν ὅσων συμβαίνουν εἰς ἐκεῖνον. Φοβερὸν πρᾶγμα φαίνεται εἰς ἐμᾶς ἡ πτωχεία καὶ φρικτὸν καὶ μόνον τὸ ὄνομά της. Ἀλλὰ δι' αὐτὸ εἴμεθα πτωχοί, διότι φοβούμεθα τὴν πτωχείαν ἀκόμη καὶ ἂν ἔχωμεν πολὺν πλοῦτον. Διότι πτωχὸς δὲν εἶναι αὐτὸς ποὺ δὲν ἔχει, ἀλλ' αὐτὸς ποὺ τρέμει τὴν πτωχείαν. Διότι καὶ εἰς τὰς συμφορὰς δὲν οἰκτείρομεν καὶ θεωροῦμεν ἀθλίους αὐτοὺς ποὺ πάσχουν μεγάλα κακά, ἀλλ' αὐτοὺς ποὺ δὲν γνωρίζουν νὰ ὑποφέρουν αὐτά, ἀκόμη καὶ ἂν τύχῃ νὰ εἶναι μικρά· διότι αὐτὸς ποὺ γνωρίζει νὰ ὑπομένῃ εἶναι βεβαίως ἄξιος ἐπαίνων καὶ στεφάνων. Καὶ ὅτι αὐτὸ τὸ πρᾶγμα ἔτσι ἔχει, εἰς τοὺς ἀγῶνας ποίους ἐπαινοῦμεν; αὐτοὺς πού, ἐνῷ κτυπῶνται πολύ, δὲν πονοῦν, ἀλλ' ἔχουν ὑψηλὰ τὴν κεφαλήν, ἢ αὐτοὺς ποὺ τρέπονται εἰς φυγὴν ἀπὸ τὰ πρῶτα κτυπήματα; Δὲν βραβεύομεν μὲν ἐκείνους μὲ στεφάνους ὡς ἀνδρείους καὶ γενναίους, ἐνῷ αὐτοὺς καὶ τοὺς περιγελῶμεν ὡς ἀνάνδρους καὶ δειλούς;

Ἔτσι λοιπὸν ἂς κάμνωμεν καὶ εἰς τὰ πράγματα τῆς ζωῆς· ἐκεῖνον μὲν ποὺ ὑπομένει ὅλα εὐκόλως ἂς στεφανώσωμεν, ὅπως ἐκεῖνον τὸν γενναῖον ἀθλητὴν τοῦ παγκρατίου, αὐτὸν δὲ ποὺ φοβεῖται καὶ τρέμει τὰς δυστυχίας καὶ πρὶν ἀκόμη δεχθῇ κτύπημα ἀποθνήσκει ἀπὸ τὸν φόβον, ἂς τὸν οἰκτείρωμεν. Διότι καὶ εἰς τοὺς ἀγῶνας, ἐὰν κάποιος, πρὶν σηκώσῃ τὰ χέρια, μόλις ἰδῇ τὸν ἀντίπαλον μόνον νὰ ἁπλώνῃ τὴν δεξιὰν φύγῃ, καὶ ἂν ἀκόμη δὲν κτυπηθῇ, θὰ εἶναι καταγέλαστος ὡς δειλὸς καὶ μαλθακὸς καὶ ἄπειρος εἰς τέτοιους πόνους. Αὐτὸ συμβαίνει καὶ μὲ αὐτοὺς ποὺ φοβοῦνται τὴν πτωχείαν καὶ δὲν ἠμποροῦν νὰ ὑπομείνουν οὔτε νὰ τὴν ἀναμείνουν ὡς ἐνδεχόμενον. Ἐπομένως δὲν σᾶς κάμνομεν ἐμεῖς δυστυχεῖς, ἀλλὰ σεῖς τοὺς ἑαυτούς σας. Πῶς λοιπὸν δὲν θὰ σὲ ἐμπαίξῃ ὁ διάβολος ὅταν σὲ

βολος, καὶ πρὸ τῆς πληγῆς τὴν ἀπειλὴν ὁρῶν δεδοικότα καὶ τρέμοντα; Μᾶλλον δέ, ὅταν ἀπειλὴν τοῦτο νομίζῃς, οὐ δεήσεται λοιπὸν οὐδὲ πλῆξαι, ἀλλ᾽ ἀφεὶς ἔχειν τὸν πλοῦτον, τῇ προσδοκίᾳ τῆς ἀφαιρέσεως κηροῦ παντὸς μαλακώτερόν σε ἐργάσεται. Καὶ γὰρ πεφύκαμεν, ὡς εἰπεῖν, ἅπερ δεδοίκαμεν, μετὰ τὸ παθεῖν οὐχ οὕτω νομίζειν εἶναι φοβερά, ὥσπερ ἔμπροσθεν καὶ πρὸ τῆς πείρας.

Ἵν᾽ οὖν μηδὲ ταύτην κτήσῃ τὴν ἀρετήν, ἐκ ἀκμάζοντί σε κατέχει φόβῳ, πρὸ τῆς πείρας τῷ φόβῳ τῆς πενίας ὥσπερ κηρὸν πυρὶ κατατήκων. Καὶ γὰρ κηροῦ παντὸς μαλακώτερος ὁ τοιοῦτος, καὶ αὐτοῦ τοῦ Κάιν ἀθλιώτερον βίον ζῶν, ὑπὲρ μὲν ὧν πλεονεκτεῖ δεδοικώς, ὑπὲρ δὲ ὧν οὐκ ἔχει ἀλγῶν· καὶ ὑπὲρ ὧν ἔχει τρέμων πάλιν, ἅτε δραπέτην ἀγνώμονα κατέχων ἔνδον τὸν πλοῦτον, καὶ ποικίλοις τισὶ καὶ ἀτόποις πολιορκούμενος πάθεσι. Καὶ γὰρ ἐπιθυμία ἄτοπος, καὶ φόβος πολυειδής, καὶ ἀγωνία καὶ τρόμος πανταχόθεν αὐτοὺς χειμάζουσι· καὶ ἐοίκασι πλοίῳ πάντοθεν ἐναντίοις ἀνέμοις ἐλαυνομένῳ, καὶ πολλὰς ὑπομένοντι τὰς τρικυμίας. Καὶ πόσῳ βέλτιον τὸν τοιοῦτον ἀπελθεῖν, ἢ διηνεκῆ φέρειν χειμῶνα; ἐπεὶ καὶ τὸν Κάιν ἀνεκτότερον ἦν ἀποθανεῖν, ἢ διαπαντὸς τρέμειν.

Ἵν᾽ οὖν μὴ καὶ ἡμεῖς ταῦτα πάσχωμεν, καταγελάσωμεν τῆς τοῦ διαβόλου μηχανῆς, διαρρήξωμεν αὐτοῦ τὰ σχοινία, διακόψωμεν τοῦ χαλεποῦ δόρατος τὴν αἰχμήν, καὶ πᾶσαν ἔφοδον ἀποτειχίσωμεν. Ἂν γὰρ χρημάτων καταγελάσῃς, οὐκ ἔχει ποῦ πλῆξαι, οὐκ ἔχει πόθεν ἐπιλάβηται· τὴν γὰρ ῥίζαν ἀνέσπασας τῶν κακῶν· ῥίζης δὲ οὐκ οὔσης, οὐδὲ καρπὸς βλαστήσει πονηρός. Ταῦτα λέγομεν μὲν ἀεί, καὶ λέγοντες οὐ παυόμεθα, εἰ δέ τι λέγοντες ἀνύομεν, ἡ ἡμέρα δείξει ἐκείνη ἡ ἐν πυρὶ ἀποκαλυπτομένη, ἡ τὸ ἑκάστου ἔργον δοκι-

βλέπῃ νὰ φοβῆσαι καὶ νὰ τρέμῃς καὶ πρὶν ἀκόμη ἀπὸ τὴν ἀπειλὴν τοῦ κτυπήματος; Μᾶλλον δὲ ὅταν νομίζῃς ἀπειλὴν αὐτό, δὲν θὰ χρειασθῇ πλέον οὔτε νὰ κτυπήσῃ, ἀλλ', ἀφοῦ σὲ ἀφήσῃ νὰ ἔχῃς τὸν πλοῦτον, μὲ τὴν σκέψιν ὅτι ἠμπορεῖ νὰ σοῦ τὸν ἀφαιρέσῃ, θὰ σὲ κάνῃ μαλακώτερον καὶ ἀπὸ τὸν κηρόν. Διότι ἐκ φύσεως, διὰ νὰ εἰπῶ ἔτσι, αὐτὰ ποὺ φοβούμεθα ὅταν τὰ πάθωμεν καὶ μετά, δὲν νομίζομεν ὅτι εἶναι τόσον φοβερά, ὅσον προηγουμένως καὶ πρὶν λάβωμεν πεῖραν αὐτῶν.

Διὰ νὰ μὴ ἀποκτήσῃς λοιπὸν αὐτὴν τὴν ἀρετήν, ἐνόσῳ ἀκμάζεις σὲ κυριεύει μὲ φόβον, καὶ πρὶν δοκιμάσῃς τὴν πτωχείαν μὲ τὸν φόβον τῆς πτωχείας σὲ λειώνει ὅπως ἡ φωτιὰ τὸ κηρί. Διότι αὐτὸς εἶναι μαλακώτερος ἀπὸ τὸ κηρὶ καὶ ζῇ ἀθλιωτέραν ζωὴν καὶ ἀπὸ αὐτὸν ἀκόμη τὸν Κάϊν, καθ' ὅσον δι' ὅσα μὲν κερδίζει μὲ πλεονεξίαν φοβεῖται, δι' ὅσα δὲ δὲν ἔχει, στενοχωρεῖται· καὶ δι' ὅσα ἔχει πάλιν τρέμει, ἐπειδὴ κατέχει τὸν πλοῦτον ὡσὰν ἀχάριστον δραπέτην καὶ πολιορκεῖται ἀπὸ ποικίλα καὶ ἄτοπα πάθη. Διότι ἄτοπος ἐπιθυμία καὶ πολύμορφος φόβος καὶ ἀγωνία καὶ τρόμος συνταράσσουν αὐτοὺς ἀπὸ παντοῦ· καὶ ὁμοιάζουν μὲ πλοῖον τὸ ὁποῖον δέρεται καὶ διώκεται ἀπὸ παντοῦ ἀπὸ ἀντιθέτους ἀνέμους καὶ ὑφίσταται πολλὰς τρικυμίας. Καὶ πόσον καλύτερον εἶναι δι' αὐτὸν ν'.ἀποθάνῃ, παρὰ νὰ ὑπομένῃ διαρκῶς χειμῶνα; διότι καὶ ὁ Κάϊν προτιμώτερον ἦτο ν' ἀποθάνῃ, παρὰ νὰ τρέμῃ παντοτινά.

Διὰ νὰ μὴ πάσχωμεν λοιπὸν αὐτὰ καὶ ἐμεῖς, ἂς περιγελάσωμεν τὴν πολιορκητικὴν μηχανὴν τοῦ διαβόλου, ἂς κόψωμεν τὰ σχοινιά του, ἂς καταστρέψωμεν τὴν αἰχμὴν τοῦ φοβεροῦ δόρατος καὶ ἂς ἀποκρούσωμεν κάθε ἔφοδον εἰς τὰ τείχη. Διότι ἐὰν καταγελάσῃς τὰ χρήματα, δὲν ἔχει ποῦ νὰ κτυπήσῃ, δὲν ἔχει ποῦ νὰ προσβάλῃ· καθ' ὅσον ἔχεις ἐκβάλει τὴν 'ρίζαν τῶν κακῶν' ὅταν δὲ δὲν ὑπάρχῃ 'ρίζα, οὔτε κακὸς καρπὸς θὰ βλαστήσῃ. Αὐτὰ μὲν τὰ λέγομεν συνεχῶς καὶ δὲν θὰ παύσωμεν νὰ τὰ λέγωμεν, ἐὰν ὅμως, μὲ τὸ νὰ τὰ λέγωμεν, φέρωμεν κάποιο ἀποτέλεσμα, θὰ τὸ δείξῃ ἐκείνη ἡ ἡμέρα, ποὺ ἀποκαλύπτει μέσα εἰς τὸ πῦρ,

μάζουσα, ἢ τὰς λαμπάδας δεικνύουσα τὰς λαμπρὰς καὶ τὰς οὐ τοιαύτας. Τότε καὶ ὁ ἔχων τὸ ἔλαιον, καὶ ὁ μὴ ἔχων, δῆλος ἔσται. Ἀλλὰ μηδένα γένοιτο τότε εὑρεθῆναι ταύτης ἔρημον τῆς παραμυθίας, ἀλλὰ πάντας δαψιλῆ τὴν φιλανθρωπίαν ἐπιφερομένους, καὶ φαιδρὰς ἔχοντας τὰς λαμπάδας, συνεσελθεῖν τῷ νυμφίῳ· ὡς οὐδὲν τῆς φωνῆς ἐκείνης φοβερώτερον καὶ ὀδυνηρότερον, ἣν οἱ χωρὶς ἐλεημοσύνης δαψιλοῦς ἀπιόντες τότε ἀκούσονται τοῦ νυμφίου λέγοντος, «Οὐκ οἶδα ὑμᾶς». Ἀλλὰ μήποτε ταύτης ἀκούσαιμεν τῆς φωνῆς, ἀλλὰ τῆς ἡδίστης ἐκείνης καὶ ποθεινοτάτης. «Δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου». Οὕτω γὰρ καὶ τὸν μακάριον ζησόμεθα βίον, καὶ τῶν ἀγαθῶν ἀπολαυσόμεθα πάντων τῶν καὶ νοῦν ὑπερβαινόντων ἀνθρώπινον· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

---

1. Ματθ. 25, 12.
2. Ματθ. 25, 34.

πού δοκιμάζει τὸ ἔργον τοῦ καθενός, πού δεικνύει τὰς λαμπάδας ἐκείνας πού εἶναι ἀνημμέναι καὶ αὐτὰς πού δὲν εἶναι. Τότε καὶ αὐτὸς πού ἔχει τὸ ἔλαιον καὶ αὐτὸς πού δὲν ἔχει, θὰ φανερωθῇ. Ἀλλ' εἴθε νὰ μὴ εὑρεθῇ κανεὶς ἐστερημένος ἀπὸ αὐτὴν τὴν παρηγορίαν, ἀλλ' ἀφοῦ φέρουν ὅλοι πλουσίαν τὴν φιλανθρωπίαν καὶ ἔχοντες ἀνημμένας τὰς λαμπάδας, νὰ εἰσέλθουν μαζὶ μὲ τὸν νυμφίον εἰς τὸν παράδεισον· διότι τίποτε δὲν εἶναι φοβερώτερον καὶ ὀδυνηρώτερον ἀπὸ ἐκείνην τὴν φωνὴν πού θ' ἀκούσουν τότε, ἀφοῦ ἀπέλθουν, ὅσοι δὲν ἔχουν πλουσίαν ἐλεημοσύνην καθὼς θὰ λέγῃ ὁ νυμφίος, «δὲν σᾶς γνωρίζω»[1]. Διὰ νὰ μὴ ἀκούσωμεν ὅμως ποτὲ αὐτὴν τὴν φωνήν, ἀλλ' ἐκείνην τὴν γλυκυτάτην καὶ ποθητάτην, «Ἐλᾶτε οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν βασιλείαν, ἡ ὁποία εἶναι ἡτοιμασμένη δι' ἐσᾶς ἀπὸ τὸν καιρὸν τῆς δημιουργίας τοῦ κόσμου»[2]. Διότι ἔτσι θὰ ζήσωμεν καὶ τὴν μακαρίαν ζωήν, καὶ θ' ἀπολαύσωμεν ὅλα τ' ἀγαθὰ πού ὑπερβαίνουν καὶ τὸν νοῦν τοῦ ἀνθρώπου· τὰ ὁποῖα εἴθε νὰ ἐπιτύχωμεν ὅλοι μας μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα αἰωνίως. Ἀμήν.

ΛΟΓΟΣ ΛΑ΄
Α΄ Κορ. 12, 21 - 27

«Οὐ δύναται δὲ ὁ ὀφθαλμὸς εἰπεῖν τῇ χειρί, χρείαν σου οὐκ ἔχω· ἢ πάλιν ἡ κεφαλὴ τοῖς ποσί, χρείαν ὑμῶν οὐκ ἔχω.

1. Καταστείλας τῶν ἐλαττόνων τὸν φθόνον, καὶ τὴν ἀθυμίαν αὐτῶν ἐξελών, ἣν εἰκὸς ἔχειν αὐτοὺς ἐκ τοῦ μειζόνων ἑτέρους καταξιῶσθαι χαρισμάτων, ταπεινοῖ καὶ τούτων τὸν τῦφον τῶν τὰ μείζονα εἰληφότων χαρίσματα· ποιήσας μὲν αὐτὸ καὶ ἐν οἷς πρὸς ἐκείνους διελέγετο· τὸ γὰρ λέγειν, ὅτι χάρισμά ἐστι, καὶ οὐ κατόρθωμα, τοῦτο ἐμφαίνοντος ἦν· νυνὶ δὲ αὐτὸ καὶ σφοδρότερον πάλιν ποιεῖ, ἐπὶ τῆς αὐτῆς μένων εἰκόνος. Ἀπὸ γὰρ τοῦ σώματος λοιπὸν καὶ τῆς ἐκεῖθεν ἑνότητος ἐπ' αὐτὴν τῶν μελῶν χωρεῖ τὴν σύγκρισιν· ὃ μάλιστα ἐζήτουν ἐκεῖνοι μαθεῖν· ἐπειδὴ οὐχ οὕτως ἱκανὸν ἦν αὐτοὺς παραμυθήσασθαι τὸ πάντας ἓν σῶμα εἶναι, ὡς τὸ μαθεῖν ὅτι καὶ ἐν αὐτοῖς, οἷς εἶχον, οὐδὲν μέγα ἠλαττοῦντο. Καί φησιν· «Οὐ δύναται δὲ ὁ ὀφθαλμὸς εἰπεῖν τῇ χειρί, χρείαν σου οὐκ ἔχω· ἢ πάλιν ἡ κεφαλὴ ποσί, χρείαν ὑμῶν οὐκ ἔχω». Εἰ γὰρ καὶ ἔλαττον τὸ χάρισμα, ἀλλ' ἀναγκαῖον· καὶ ὥσπερ οὐκ ὄντος ἐκείνου πολλὰ ἐμποδίζεται, οὕτω καὶ τούτου χωρὶς χωλεύει τὸ πλήρωμα τῆς Ἐκκλησίας.

Καὶ οὐκ εἶπεν, οὐκ ἐρεῖ, ἀλλ' ὅτι «οὐ δύναται εἰπεῖν». Ὥστε κἂν θέλῃ, κἂν λέγῃ, οὐκ ἐνδέχεται, οὐδὲ ἔχει τὸ πρᾶγμα φύσιν. Διὰ τοῦτο λαβὼν ἑκάτερα τὰ ἄκρα, ἐν αὐτοῖς γυμνάζει τὸν λόγον, πρῶτον μὲν ἐπὶ χειρὸς καὶ ὀφθαλμοῦ,

ΛΟΓΟΣ ΛΑ΄
Α΄ Κορ. 12, 21 - 27

«Δὲν ἠμπορεῖ ὁ ὀφθαλμὸς νὰ εἰπῇ εἰς τὸ χέρι· 'δὲν σὲ ἔχω ἀνάγκην', ἢ ἡ κεφαλὴ εἰς τὰ πόδια· 'Δὲν σᾶς χρειάζομαι'».

1. Ἀφοῦ κατεπράϋνε τὸν φθόνον τῶν κατωτέρων καὶ ἀφοῦ ἐξέβαλε τὴν στενοχωρίαν των, τὴν ὁποίαν πιθανῶς εἶχον ἀπὸ τὸ ὅτι ἄλλοι κατηξιώθησαν μεγαλυτέρων χαρισμάτων, ταπεινώνει καὶ τὴν ὑπερηφάνειαν αὐτῶν ποὺ εἶχον λάβει τὰ μεγαλύτερα χαρίσματα· ἔκανε μὲν αὐτὸ καὶ μὲ ὅσα εἶπεν ὅταν ὡμίλει πρὸς ἐκείνους· διότι τὸ νὰ εἰπῇ ὅτι εἶναι χάρισμα καὶ ὄχι κατόρθωμα, αὐτὸ ἐδείκνυε· τώρα ὅμως πάλιν κάμνει αὐτὸ καὶ ἐντονώτερον, παραμένων εἰς τὴν ἰδίαν εἰκόνα. Διότι ἀπὸ τὸ σῶμα καὶ τὴν ἀπὸ αὐτὸ ἑνότητα προχωρεῖ εἰς τὴν σύγκρισιν τῶν μελῶν· πρᾶγμα ποὺ πάρα πολὺ ἐπεθύμουν ἐκεῖνοι νὰ μάθουν· ἐπειδὴ δὲν ἦτο τόσον ἀρκετὸν δι' αὐτοὺς διὰ νὰ τοὺς παρηγορήσῃ τὸ ὅτι εἶναι ὅλοι ἓν σῶμα, ὅσον τὸ νὰ μάθουν ὅτι καὶ εἰς αὐτὰ τὰ ὁποῖα εἶχον, δὲν ὑστεροῦσαν πολύ. Καὶ λέγει· «Δὲν ἠμπορεῖ ὁ ὀφθαλμὸς νὰ εἰπῇ εἰς τὸ χέρι· 'δὲν σὲ ἔχω ἀνάγκην', ἢ ἡ κεφαλὴ εἰς τὰ πόδια· 'Δὲν σᾶς χρειάζομαι'». Διότι ἂν καὶ εἶναι μικρότερον τὸ χάρισμα, εἶναι ὅμως ἀπαραίτητον· καὶ ὅπως χωρὶς τὴν ὕπαρξιν ἐκείνου ἐμποδίζονται πολλά, ἔτσι καὶ χωρὶς αὐτὸ γίνεται χωλὸν τὸ πλήρωμα τῆς Ἐκκλησίας.

Καὶ δὲν λέγει, δὲν θὰ εἰπῇ, ἀλλὰ ὅτι «δὲν ἠμπορεῖ νὰ εἰπῇ». Ὥστε καὶ ἂν ἀκόμη θέλῃ, καὶ ἂν ἀκόμη τὸ λέγῃ, δὲν ἠμπορεῖ νὰ γίνῃ, οὔτε εἶναι κατὰ φύσιν τὸ πρᾶγμα. Δι' αὐτό, ἀφοῦ ἔλαβε καὶ τὰ δύο ἄκρα, ἐφαρμόζει εἰς αὐτὰ τὸν λόγον, πρῶτον μὲν εἰς τὸ χέρι καὶ τὸν ὀφθαλμόν,

δεύτερον δὲ ἐπὶ κεφαλῆς καὶ ποδῶν, αὔθων τὸ παράδειγμα. Τί γὰρ ποδῶν εὐτελέστερον, ἢ τί κεφαλῆς τιμιώτερον καὶ ἀναγκαιότερον; τοῦτο γὰρ μάλιστά ἐστιν ἄνθρωπος, ἡ κεφαλή. Ἀλλ' ὅμως οὐκ ἔστιν αὐτάρκης, οὐδὲ τὰ πάντα αὐτὴ δύναιτ' ἂν ἀνύειν· ἐπεὶ εἰ τοῦτο ἦν, περιττῶς ἡμῖν οἱ πόδες προσέκειντο. Καὶ οὐδὲ ἔστη μέχρι τούτου, ἀλλὰ καὶ ἑτέραν ὑπερβολὴν ζητεῖ· ὅπερ ἀεὶ ποιεῖν εἴωθεν, οὐ μέχρι τοῦ ἴσου φιλονεικῶν, ἀλλὰ καὶ περαιτέρω προβαίνων. Διὸ καὶ ἐπάγει λέγων· «Ἀλλὰ πολλῷ μᾶλλον τὰ δοκοῦντα μέλη τοῦ σώματος ἀσθενέστερα ὑπάρχειν, ἀναγκαῖά ἐστι· καὶ ἃ δοκοῦμεν ἀτιμότερα εἶναι τοῦ σώματος, τούτοις τιμὴν περισσοτέραν περιτίθεμεν· καὶ τὰ ἀσχήμονα ἡμῶν εὐσχημοσύνην περισσοτέραν ἔχει»· πανταχοῦ τὴν τοῦ σώματος προσθήκην τιθείς, καὶ ταύτῃ κἀκείνου παραμυθούμενος καὶ τοῦτον καταστέλλων. Οὐ γὰρ τοῦτο λέγω, φησίν, ὅτι οὐ μόνον χρείαν ἔχει τὰ μείζονα τῶν ἐλαττόνων, ἀλλ' ὅτι καὶ πολλὴν χρείαν ἔχει. Εἴ τι γὰρ ἀσθενὲς ἐν ἡμῖν, εἴ τι ἄτιμον, τοῦτο καὶ ἀναγκαῖον καὶ τιμῆς ἀπολαύει πλείονος.

Καὶ καλῶς εἶπε, «τὰ δοκοῦντα», καί, «ἃ δοκοῦμεν», δεικνὺς ὅτι οὐ τῆς φύσεως τῶν πραγμάτων, ἀλλὰ τῆς τῶν πολλῶν ὑπονοίας ἡ ψῆφος. Οὐδὲν γὰρ ἐν ἡμῖν ἄτιμον· Θεοῦ γὰρ ἔργον ἐστί. Τί γὰρ τῶν μορίων τῶν γεννητικῶν ἀτιμότερον ἐν ἡμῖν εἶναι δοκεῖ; Ἀλλ' ὅμως πλείονος ἀπολαύει τιμῆς· καὶ οἱ σφόδρα πένητες, κἂν τὸ λοιπὸν γυμνὸν ἔχωσι σῶμα, οὐκ ἂν ἀνάσχοιντο ἐκεῖνα τὰ μέλη δεῖξαι γυμνά. Καίτοιγε οὐχ αὕτη τῶν ἀτίμων ἡ τάξις, ἀλλὰ μᾶλλον τῶν ἄλλων καταφρονεῖσθαι ἔδει. Καὶ γὰρ ἐν οἰκίᾳ ὁ ἠτιμωμένος οἰκέτης οὐ μόνον οὐκ ἀπολαύει πλείονος θεραπείας, ἀλλ' οὐδὲ τῶν αὐτῶν ἀξιοῦται.

δεύτερον δὲ εἰς τὴν κεφαλὴν καὶ τὰ πόδια, ὅπου αὐξάνει τὸ παράδειγμα. Διότι τί εἶναι εὐτελέστερον ἀπὸ τὰ πόδια, ἢ τί πολυτιμώτερον καὶ ἀναγκαιότερον ἀπὸ τὴν κεφαλήν; διότι αὐτὸ εἶναι κυρίως ἄνθρωπος, ἡ κεφαλή. Καὶ ὅμως δὲν εἶναι αὐτάρκης, οὔτε ἠμπορεῖ νὰ κάνῃ αὐτὴ τὰ πάντα· διότι ἐὰν συνέβαινεν αὐτό, εἶναι περιττὸν νὰ ἔχωμεν πόδια. Καὶ δὲν ἐσταμάτησε μέχρις ἐδῶ, ἀλλὰ ζητεῖ καὶ ἄλλην ὑπερβολήν· πρᾶγμα ποὺ συνηθίζει νὰ κάμνῃ πάντοτε, μὲ τό νὰ ἐπεκτείνεται ὄχι μόνον μέχρι ἐκεῖ ποὺ πρέπει, ἀλλὰ καὶ νὰ προχωρῇ περαιτέρω. Δι' αὐτὸ καὶ συνεχίζει μὲ τοὺς λόγους· «Ἀντιθέτως, τὰ μέλη ποὺ φαίνονται ὅτι εἶναι ἀσθενέστερα, εἶναι ἀναγκαῖα· καὶ ἐκεῖνα τὰ μέλη τοῦ σώματος ποὺ τὰ θεωροῦμεν ἄξια ὀλιγωτέρας τιμῆς, εἰς αὐτὰ προσδίδομεν μεγαλυτέραν τιμήν, καὶ τὰ μὴ ἐμφανίσιμα ἔχουν μεγαλυτέραν εὐπρέπειαν»· καὶ ἐκθέτει παντοῦ τὴν βοήθειαν ἀπὸ τὸ σῶμα, καὶ μὲ αὐτὸ καὶ ἐκεῖνον παρηγορεῖ, καὶ αὐτὸν ταπεινώνει. Διότι δὲν ἐννοῶ, λέγει, ὅτι αὐτὰ μόνον, τὰ μεγαλύτερα ἔχουν ἀνάγκην ἀπὸ τὰ μικρότερα, ἀλλ' ὅτι ἔχουν καὶ μεγάλην ἀνάγκην. Καθ' ὅσον ὅ,τι εἶναι ἀσθενὲς εἰς ἐμᾶς, ὅ,τι τιμᾶται ὀλίγον, αὐτὸ εἶναι καὶ ἀναγκαῖον καὶ ἀπολαμβάνει μεγαλυτέρας τιμῆς.

Καὶ καλῶς εἶπε, «ποὺ φαίνονται», καὶ «ποὺ τὰ θεωροῦμεν», καὶ ἔδειξεν ὅτι αὐτὸ δὲν ἀπορρέει ἀπὸ τὴν φύσιν τῶν πραγμάτων, ἀλλ' ἀπὸ τὴν ἀπόφασιν τῆς κοινῆς γνώμης. Διότι δὲν ὑπάρχει τίποτε ἄτιμον εἰς ἐμᾶς· καθ' ὅσον εἶναι ἔργον τοῦ Θεοῦ. Διότι τί μᾶς φαίνεται ὀλιγώτερον ἄξιον τιμῆς ἀπὸ τὰ γεννητικὰ ὄργανα; Αὐτὰ ὅμως ἀπολαμβάνουν περισσοτέραν τιμήν· καὶ οἱ περισσότερον πτωχοί, ἀκόμη καὶ ἂν ἔχουν γυμνὸν τὸ ὑπόλοιπον σῶμα, δὲν ἀνέχονται νὰ δείξουν γυμνὰ ἐκεῖνα τὰ μέλη. Καὶ ὅμως δὲν εἶναι αὐτὴ ἡ τάξις τῶν ὅσων δὲν τιμῶνται, ἀλλὰ θὰ ἔπρεπε νὰ περιφρονοῦνται περισσότερον ἀπὸ τὰ ἄλλα. Διότι καὶ εἰς τὴν οἰκίαν ὁ ὑπηρέτης, ὁ ὁποῖος δὲν ἀπολαμβάνει καμμίαν τιμήν, ὄχι μόνον δὲν ἀπολαμβάνει περισσοτέραν περιποίησιν, ἀλλὰ δὲν ἀξιοῦται οὔτε τὰ ὅσα τοῦ ἀνήκουν.

Ὥστε εἰ καὶ τοῦτο ἄτιμον ἦν, οὐ μόνον μειζόνων ἀπολαύειν οὐκ ἔδει, ἀλλ' οὐδὲ τῶν αὐτῶν· νυνὶ δὲ πλείονος ἀπολαύει τιμῆς, καὶ τοῦτο τῆς τοῦ Θεοῦ σοφίας ἐργασαμένης. Τοῖς μὲν γὰρ ἐν τῇ φύσει τὸ μὴ δεῖσθαι ἔδωκε· τοῖς δέ, ἐπειδὴ ἐν τῇ φύσει οὐκ ἔδωκεν, ἡμᾶς παρέχειν ἠνάγκασεν. Ἀλλ' οὐ διὰ τοῦτο ἄτιμα· ἐπεὶ καὶ τὰ ζῶα ἐν τῇ φύσει τὸ ἀνενδεὲς ἔχει, καὶ οὔτε ἱματίων δεῖται οὔτε ὑποδημάτων οὔτε ὀρόφου τὰ πλείονα αὐτῶν· ἀλλ' οὐ διὰ τοῦτο ἀτιμότερον αὐτῶν τὸ σῶμα τὸ ἡμέτερον, ἐπειδὴ πάντων δεῖται τούτων. Καὶ γὰρ εἴ τις ἀκριβῶς ἐξετάσειε, καὶ αὐτῇ τῇ φύσει τίμιά τε καὶ ἀναγκαῖά ἐστιν. Ὃ δὴ καὶ αὐτὸς ἠνίξατο, οὐκ ἀπὸ τῆς ἡμετέρας ἐπιμελείας καὶ τοῦ πλείονος ἀπολαύειν τιμῆς, ἀλλὰ καὶ ἀπὸ τῆς τῶν πραγμάτων φύσεως αὐτοῖς ψηφισάμενος. Διό, ὅταν μὲν ἀσθενῆ λέγῃ καὶ ἄτιμα, «τὰ δοκοῦντα», λέγει· ὅταν δὲ ἀναγκαῖα, οὐκέτι προστίθησι, τὰ δοκοῦντα, ἀλλ' αὐτὸς ἀποφαίνεται λέγων, ὅτι ἀναγκαῖά ἐστι· καὶ μάλα εἰκότως. Καὶ γὰρ πρὸς παιδοποιΐαν καὶ τὴν τοῦ γένους ἡμῶν διαδοχὴν χρήσιμα.

Διὰ τοῦτο καὶ οἱ νομοθέται Ρωμαίων τοὺς ταῦτα ἀκρωτηριάζοντας τὰ μέλη καὶ ποιοῦντας εὐνούχους κολάζουσιν, ἅτε τῷ κοινῷ γένει λυμαινομένους, καὶ αὐτῇ ἐπηρεάζοντας τῇ φύσει. Ἀλλ' ἀπόλοιντο οἱ ἀκόλαστοι, οἱ τοῦ Θεοῦ τὰ δημιουργήματα διαβάλλοντες. Ὥσπερ γὰρ τῷ οἴνῳ πολλοὶ διὰ τοὺς μεθύοντας κατηράσαντο, καὶ τῇ φύσει τῶν γυναικῶν διὰ τὰς μοιχευομένας· οὕτω καὶ τὰ μέλη ταῦτα αἰσχρὰ εἶναι ἐνόμισαν διὰ τοὺς οὐκ εἰς δέον αὐτοῖς χρωμένους. Ἀλλ' οὐκ ἐχρῆν· οὐ γὰρ τῇ φύσει τοῦ πράγματος ἡ ἁμαρτία συγκεκλήρωται, ἀλλ' ἀπὸ τῆς προαιρέσεως τίκτεται τοῦ τολμῶντος τὸ πλημμέλημα. Τινὲς δὲ τὰ ἀσθενέστερα καὶ ἄτιμα καὶ ἀναγκαῖα καὶ τιμῆς ἀπολαύοντα πλείονος περὶ ὀφθαλμῶν

Ὥστε ἐὰν καὶ αὐτὰ ἦσαν ἄτιμα, ὄχι μόνον δὲν θὰ ἔπρεπε ν' ἀπολαμβάνουν περισσότερα, ἀλλ' οὔτε ὅσα τοὺς ἀνήκουν· τώρα ὅμως ἀπολαμβάνουν περισσοτέρας τιμῆς καὶ αὐτὸ ὀφείλεται εἰς τὴν σοφίαν τοῦ Θεοῦ. Διότι εἰς ἄλλα μὲν εἰς τὴν φύσιν ἔδωσε νὰ μὴ ἔχουν ἀνάγκην, εἰς ἄλλα δέ, ἐπειδὴ δὲν ἔδωσεν εἰς τὴν φύσιν ὅ,τι χρειάζονται, ἠνάγκασε νὰ τὸ δίδωμεν ἐμεῖς. Ἀλλὰ δὲν εἶναι ἀνάξια τιμῆς δι' αὐτό· διότι καὶ τὰ ζῶα ἔχουν εἰς τὴν φύσιν των τὴν ἰδιότητα νὰ μὴ χρειάζωνται τίποτε, καὶ οὔτε ἀπὸ ἐνδύματα ἔχουν ἀνάγκην, οὔτε ἀπὸ ὑποδήματα, οὔτε ἀπὸ στέγην τὰ περισσότερα ἀπὸ αὐτά· ἀλλὰ δὲν εἶναι ἀναξιώτερον τιμῆς τὸ ἰδικόν μας σῶμα ἐπειδὴ ἔχει ἀνάγκην ἀπὸ ὅλα αὐτά. Διότι ἐὰν ἐξετάσῃ κανεὶς μὲ ἀκρίβειαν, καὶ δι' αὐτὴν τὴν φύσιν εἶναι πολύτιμα καὶ ἀναγκαῖα. Πρᾶγμα ποὺ καὶ αὐτὸς ὑπηνίχθη, ὄχι ἀπὸ τὸ ὅτι ἐμεῖς τὰ ἐπιμελούμεθα καὶ ὅτι ἀπολαμβάνουν μεγαλυτέρας τιμῆς, ἀλλ' ἀφοῦ ἀπέδειξεν αὐτὸ ἀπὸ τὴν φύσιν τῶν πραγμάτων. Δι' αὐτό, ὅταν μὲν ὁμιλῇ δι' ἀσθενῆ καὶ ἄσχημα, ἐννοεῖ αὐτὰ «ποὺ τὰ θεωροῦμεν» τέτοια, ὅταν ὅμως λέγῃ, ἀναγκαῖα, δὲν προσθέτει ὅτι, τὰ θεωροῦμεν, ἀλλ' ὁ ἴδιος ὁμιλεῖ μὲ βεβαιότητα καὶ λέγει ὅτι εἶναι ἀναγκαῖα· καὶ κατὰ πολὺ φυσικὸν λόγον. Διότι εἶναι χρήσιμα διὰ τὴν τεκνογονίαν καὶ τὴν διαδοχὴν τοῦ γένους μας.

Δι' αὐτὸν τὸν λόγον καὶ οἱ Ρωμαῖοι νομοθέται αὐτοὺς ποὺ ἀκρωτηριάζουν αὐτὰ τὰ μέλη καὶ αὐτοευνουχίζονται τοὺς τιμωροῦν, ἐπειδὴ βλάπτουν τὸ κοινὸν γένος καὶ προσβάλουν καὶ αὐτὴν τὴν φύσιν. Ἀλλ' εἴθε νὰ χαθοῦν οἱ αὐθάδεις ποὺ κατηγοροῦν τὰ δημιουργήματα τοῦ Θεοῦ. Διότι ὅπως πολλοὶ κατηράσθησαν τὸν οἶνον ἐξ αἰτίας αὐτῶν ποὺ μεθύουν, καὶ τὴν φύσιν τῶν γυναικῶν ἐξ αἰτίας αὐτῶν ποὺ μοιχεύουν, ἔτσι καὶ αὐτὰ τὰ μέλη τὰ ἐθεώρησαν αἰσχρὰ ἐξ αἰτίας αὐτῶν ποὺ τὰ χρησιμοποιοῦν ὄχι ὅπως πρέπει. Ἀλλὰ δὲν ἔπρεπε· διότι ἡ ἁμαρτία δὲν τίθεται εἰς τὴν αὐτὴν κρίσιν μὲ τὴν φύσιν, ἀλλ' ἡ ἁμαρτία γεννᾶται ἀπὸ τὴν προαίρεσιν ἐκείνου ποὺ τὴν τολμᾷ. Μερικοὶ δὲ τὰ ἀσθενέστερα καὶ ἄσχημα καὶ ἀναγκαῖα καὶ ποὺ ἀπολαμβάνουν πε-

καὶ ποδῶν εἰρῆσθαι τῷ Παύλῳ νομίζουσι, καὶ ἀσθενέστερα καὶ ἀναγκαῖα τοὺς ὀφθαλμοὺς λέγειν, ὅτι ἐλαττούμενοι τῇ δυνάμει, πλεονεκτοῦσι τῇ χρείᾳ, τὰ δὲ ἀτιμότερα τοὺς πόδας· καὶ γὰρ καὶ οὗτοι πολλῆς ἀπολαύουσι προνοίας.

2. Εἶτα ἵνα μὴ πάλιν ἄλλην ὑπερβολὴν ἐργάσηται, φησί· «Τὰ δὲ εὐσχήμονα ἡμῶν οὐ χρείαν ἔχει». Ἵνα γὰρ μή τις λέγῃ, καὶ ποῖος οὗτος λόγος; τῶν μὲν τιμίων καταφρονεῖν, τοῖς δὲ ἀτίμοις προσεδρεύειν; οὐχὶ καταφρονοῦντες τοῦτο ποιοῦμεν, φησίν, ἀλλ' ἐπειδὴ αὐτὰ οὐ δεῖται. Καὶ ὅρα ἡλίκον ἐγκώμιον ἐν βραχεῖ θεὶς παρέδραμε, συμφερόντως τοῦτο καὶ χρησίμως ποιῶν. Καὶ οὐδὲ ἀρκεῖται τούτῳ, ἀλλὰ καὶ αἰτίαν προστίθησι λέγων· «Ἀλλ' ὁ Θεὸς συνεκέρασε τὸ σῶμα, τῷ ὑστεροῦντι περισσοτέραν δοὺς τιμήν, ἵνα μὴ σχίσμα ᾖ ἐν τῷ σώματι». Εἰ δὲ συνεκέρασεν, οὐκ ἀφῆκε τὸ ἀτιμότερον φαίνεσθαι. Τὸ γὰρ κιρνώμενον ἓν γίνεται, καὶ οὐ φαίνεται τί πρὸ τούτου ἦν· ἐπεὶ οὐδ' ἂν κεκρᾶσθαι αὐτὸ φαίημεν ἄν.

Καὶ ὅρα πῶς συνετῶς τὰ ἐλαττώματα παρατρέχει λέγων, «τῷ ὑστεροῦντι». Οὐκ εἶπε, τῷ ἀτίμῳ, τῷ ἀσχήμονι, ἀλλά, «τῷ ὑστεροῦντι». Ὑστεροῦντι, πῶς; Κατὰ φύσιν. «Περισσοτέραν δοὺς τιμήν». Καὶ διὰ τί; «Ἵνα μὴ ᾖ σχίσμα ἐν τῷ σώματι». Ἐπειδὴ γὰρ μυρίας παραμυθίας ἀπολαύοντες ἤλγουν ὅμως, ἅτε ἐλάττονα λαβόντες, δείκνυσιν ὅτι μᾶλλον ἐτιμήθησαν. «Τῷ γὰρ ὑστεροῦντι», φησί, «περισσοτέραν δοὺς τιμήν». Εἶτα καὶ τὸν λόγον ἐπάγει, δεικνὺς ὅτι συμφερόντως καὶ ὑστερεῖν ἐποίησε, καὶ μειζόνως ἐτίμησε. Τίς δὲ ὁ λόγος; «Ἵνα μὴ σχίσμα», φησίν, «ἐν τῷ σώματι». Καὶ οὐκ εἶπεν, ἐν τοῖς μέλεσιν, ἀλλ', «ἐν τῷ σώματι». Καὶ γὰρ πολλὴ ἔμελλεν ἡ πλεονεξία εἶναι, εἰ τὰ μὲν καὶ ἀπὸ τῆς φύσεως καὶ ἀπὸ τῆς ἡμετέρας ἐθεραπεύετο προνοίας, τὰ δὲ οὐδὲ

ρισσοτέρας τιμῆς νομίζουν ὅτι ἐλέχθησαν ἀπὸ τὸν Παῦλον διὰ τοὺς ὀφθαλμούς, διότι, ἐνῷ ὑστεροῦν εἰς δύναμιν, πλεονεκτοῦν εἰς ἀναγκαιότητα, καὶ ὅτι ὀλιγώτερον τιμώμενα εἶναι τὰ πόδια˙ διότι καὶ αὐτὰ ἀπολαμβάνουν πολλῆς φροντίδος.

2. Εἰς τὴν συνέχειαν διὰ νὰ μὴ κάνῃ πάλιν ἄλλην ὑπερβολήν, λέγει˙ «Τὰ δὲ εὔσχημα μέλη μας δὲν ἔχουν ἀνάγκην νὰ τὰ σκεπάσωμεν». Διότι διὰ νὰ μὴ λέγῃ κανείς, καὶ ποῖος λόγος ὑπάρχει δι' αὐτό; τὰ μὲν εὔσχημα νὰ καταφρονῶμεν, τὰ δὲ ἄσχημα νὰ περιποιούμεθα προσεκτικά; δὲν τὸ κάμνομεν αὐτὸ ἐπειδὴ τὰ περιφρονοῦμεν, λέγει, ἀλλ' ἐπειδὴ αὐτὰ δὲν ἔχουν ἀνάγκην. Καὶ κοίταξε πόσον μέγα ἐγκώμιον παρῆλθεν ὁμιλήσας ἐν συντομίᾳ, καὶ τὸ ἔκαμεν αὐτὸ διότι συμφέρει καὶ ὠφελεῖ. Καὶ δὲν ἀρκεῖται εἰς αὐτό, ἀλλὰ παραθέτει καὶ τὴν αἰτίαν μὲ τοὺς λόγους˙ «Ὁ Θεὸς ὅμως συνέμιξε τὸ σῶμα καὶ ἔδωσε μεγαλυτέραν τιμὴν εἰς τὸ μέλος ποὺ ὑστερεῖ, διὰ νὰ μὴ ὑπάρχῃ διαίρεσις εἰς τὸ σῶμα». Ἀφοῦ ὅμως συνέμιξε τὰ μέλη, δὲν ἄφησε νὰ φαίνεται αὐτὸ ποὺ τιμᾶται ὀλιγώτερον. Διότι αὐτὸ ποὺ συμμίγνυται γίνεται ἕν, καὶ δὲν φαίνεται τί ἦτο πρὶν ἀπὸ αὐτό, διότι ἐὰν δὲν συνέβαινεν ἔτσι, δὲν θὰ ἠμπορούσαμεν νὰ εἰποῦμεν ὅτι ἔγινε σύμμιξις.

Καὶ πρόσεχε πῶς προσπερνᾷ μὲ σύνεσιν αὐτὰ ποὺ δὲν τιμῶνται μὲ τοὺς λόγους˙ «εἰς τὸ μέλος ποὺ ὑστερεῖ εἰς τιμήν». Ὑστερεῖ, μὲ ποῖον τρόπον; Κατὰ φύσιν. «Καὶ ἔδωσεν μεγαλυτέραν τιμήν». Καὶ διατί; «Διὰ νὰ μὴ ὑπάρχῃ διαίρεσις εἰς τὸ σῶμα». Ἐπειδὴ δηλαδή, ἐνῷ ἀπήλαυσαν πολλὰς παρηγορίας, ἐστενοχωροῦντο ὅμως ἐπειδὴ ἔλαβον μικρότερα χαρίσματα, δεικνύει ὅτι περισσότερον ἐτιμήθησαν. Ὕστερον προσθέτει καὶ τὸν λόγον, καὶ δεικνύει ὅτι διὰ τὸ συμφέρον του τὰ ἔκανε καὶ νὰ ὑστεροῦν καὶ περισσότερον τὰ ἐτίμησε. Ποῖος δὲ ὁ λόγος; «Διὰ νὰ μὴ ὑπάρχῃ», λέγει, «διαίρεσις εἰς τὸ σῶμα». Καὶ δὲν εἶπεν, «εἰς τὰ μέλη», ἀλλ' «εἰς τὸ σῶμα». Διότι πολλὴ θὰ ἦτο ἡ ὑπεροχή, ἐὰν τὰ μὲν ἐδέχοντο περιποίησιν καὶ ἀπὸ τὴν φύσιν καὶ ἀπὸ τὴν ἰδικήν μας πρόνοιαν, ἐνῷ τὰ ἄλλα ἀπὸ πουθε-

ἑτέρωθεν· καὶ ἀπεσχίσθη ἂν ἀλλήλων, οὐ δυνάμενα φέρειν τὸν σύνδεσμον· ἀποσχισθέντων δὲ τούτων, καὶ τοῖς λοιποῖς ἐγίνετο βλάβη.

Εἶδες πῶς ἔδειξεν ἀναγκαίως μείζονα τῷ ὑστεροῦντι δεδομένην τιμήν; Εἰ γὰρ μὴ τοῦτο γέγονε, κοινὴ πάντων ἂν ἡ λύμη γεγόνει, φησί. Καὶ γὰρ εἰ μὴ πολλῆς ταῦτα παρ' ἡμῶν ἀπέλαυσε προνοίας, ἐπηρεάσθη ἂν μὴ ἔχοντα τὴν ἀπὸ τῆς φύσεως βοήθειαν· ἐπηρεασθέντα δέ, ἀπώλετο ἄν· ἀπολυόμενα δέ, ἔσχισεν ἂν τὸ σῶμα· σχισθέντος δὲ τοῦ σώματος, καὶ τὰ λοιπὰ ἂν ἀπώλετο τὰ πολλῷ μείζονα τούτου. Ὁρᾷς ὅτι καὶ τῆς ἐκείνων προνοίας ἔχεται ἡ τούτων ἐπιμέλεια; Οὐ γὰρ οὕτως ἐν τῇ οἰκείᾳ φύσει τὸ εἶναι ἔχουσιν, ὡς ἐν τῷ σώματι εἶναι ἕν. Διὰ δὴ τοῦτο, ἂν μὲν τὸ σῶμα ἀπόληται, οὐδὲν αὐτοῖς κέρδος τῆς καθ' ἕκαστον ὑγείας· ἀλλ', ἄν τε ὀφθαλμὸς μένῃ, ἄν τε ῥὶς διατηροῦσα τὸ οἰκεῖον, τοῦ συνδέσμου λυθέντος, ὄφελος οὐδὲν ἔσται λοιπόν· ἂν δέ, τούτου μένοντος, ἐκεῖνα βλαβῇ, καὶ διαβαστάζεται καὶ πρὸς ὑγίειαν ἐπάνεισι ταχέως.

Ἀλλ' ἴσως εἴποι τις ἄν· τοῦτο μὲν ἐν τῷ σώματι λόγον ἔχει, ὅτι τὸ ὑστεροῦν περισσοτέραν ἔλαβε τιμήν, ἐπὶ δὲ τῶν ἀνθρώπων πῶς ἂν τοῦτο φανείη; Ἐπὶ τῶν ἀνθρώπων μὲν οὖν μάλιστα ἂν ἴδοις τοῦτο συμβαῖνον. Καὶ γὰρ οἱ περὶ τὴν ἑνδεκάτην ὥραν, πρῶτοι τὸν μισθὸν ἔλαβον· καὶ τὸ πλανηθὲν πρόβατον ἔπεισε τὸν ποιμένα τὰ ἐνενηκονταεννέα καταλιπεῖν, καὶ ἐπ' αὐτὸ δραμεῖν, καὶ εὑρηθὲν ἐβαστάζετο, οὐκ ἠλαύνετο· καὶ ὁ ἄσωτος υἱὸς πλείονος τοῦ εὐδοκιμηκότος τῆς τιμῆς ἀπέλαυσε· καὶ ὁ λῃστὴς πρὸ τῶν ἀποστόλων ἐστεφανοῦτο καὶ ἀνεκηρύττετο. Καὶ ἐπὶ τῶν ταλάντων δὲ τοῦτο ἴδοις ἂν γινόμενον. Καὶ γὰρ ὁ τὰ πέντε τάλαντα λαβὼν καὶ ὁ τὰ δύο, τῶν αὐτῶν ἠξιώθησαν, καὶ αὐτῷ τῷ τὰ δύο λαβεῖν πολλῆς ἀπέλαυσε μᾶλλον τῆς προνοίας. Εἰ

νά· καὶ θὰ εἶχον διαιρεθῆ μεταξύ των, ἐπειδὴ δὲν θὰ ἠμποροῦσαν νὰ ὑποφέρουν τὸν σύνδεσμον· ἀφοῦ θὰ διηροῦντο δὲ αὐτά, θὰ ἐπήρχετο βλάβη καὶ εἰς τὰ ὑπόλοιπα μέλη

Εἶδες πῶς ἔδειξεν ὅτι κατ' ἀνάγκην ἐδόθη περισσοτέρα τιμὴ εἰς αὐτὸ ποὺ ὑστερεῖ; Διότι, ἐὰν δὲν ἐγίνετο αὐτό, κοινὴ θὰ ἦτο, λέγει, ἡ βλάβη ὅλων. Διότι, ἐὰν δὲν ἀπελάμβανον αὐτὰ πολλῆς φροντίδος ἀπὸ ἐμᾶς, θὰ ἐβλάπτοντο ἀφοῦ δὲν θὰ εἶχον τὴν βοήθειαν τῆς φύσεως· ἀφοῦ θὰ ἐβλάπτοντο δέ, θὰ κατεστρέφοντο· ἀφοῦ δὲ θὰ κατεστρέφοντο, θὰ διῃρεῖτο τὸ σῶμα· ἀφοῦ ὅμως θὰ διῃρεῖτο τὸ σῶμα, θὰ κατεστρέφοντο καὶ τὰ ἄλλα ποὺ εἶναι πολὺ ἀνώτερα ἀπὸ αὐτά. Βλέπεις ὅτι ἡ φροντὶς αὐτῶν ἔχει ἄμεσον σχέσιν μὲ τὴν πρόνοιαν ἐκείνων; Διότι δὲν ἔχουν τὴν ὕπαρξιν τὸ καθὲν εἰς τὴν ἰδικήν του φύσιν ἐπειδὴ εἶναι ἓν εἰς τὸ σῶμα. Δι' αὐτὸ βεβαίως, ἐὰν καταστραφῇ τὸ σῶμα, κανὲν κέρδος δὲν θὰ ἔχουν αὐτὰ ἀπὸ τὸ ὅτι τὸ καθὲν ἔχει ὑγείαν· ἀλλ', ἐὰν παραμένῃ ὁ ὀφθαλμὸς καὶ ἂν ἡ μύτη διατηρῇ τὸν ἑαυτόν της, ἀφοῦ διελύθη ὁ σύνδεσμος κανὲν ὄφελος πλέον δὲν ὑπάρχει· ἐνῷ ἐάν, ἀφοῦ παραμένει τὸ σῶμα, βλαβοῦν τὰ μέλη, καὶ συγκρατοῦνται καὶ ἐπανέρχονται συντόμως εἰς ὑγείαν.

Ἀλλ' ἴσως νὰ εἴπῃ κάποιος· αὐτὸ μὲν εἰς τὸ σῶμα δικαιολογεῖται, δηλαδὴ αὐτὸ ποὺ ὑστερεῖ εἰς τιμὴν ἔλαβε περισσοτέραν τιμήν, ἀλλ' εἰς τοὺς ἀνθρώπους πῶς ν' ἀποδειχθῇ αὐτό; Εἰς τοὺς ἀνθρώπους λοιπὸν περισσότερον θὰ ἰδῇς νὰ συμβαίνῃ αὐτό. Διότι αὐτοὶ ποὺ προσῆλθον εἰς τὴν ἑνδεκάτην ὥραν ἔλαβον πρῶτοι τὸν μισθόν· καὶ τὸ πρόβατον ποὺ ἐπλανήθη ἔπεισε τὸν ποιμένα νὰ ἀφήσῃ τὰ ἐνενήντα ἐννέα καὶ νὰ τρέξῃ πρὸς αὐτό, καὶ ἀφοῦ εὑρέθη, ἐκρατήθη, δὲν ἐδιώχθη· καὶ ὁ ἄσωτος υἱὸς ἀπήλαυσε περισσοτέρας τιμῆς ἀπὸ ἐκεῖνον ποὺ ηὐδοκίμει· καὶ ὁ λῃστὴς πρὶν ἀπὸ τοὺς ἀποστόλους ἐστεφανώθη καὶ ἀνεκηρύχθη. Καὶ εἰς τὰ κάλαντα δὲ θὰ ἰδῇς νὰ γίνεται αὐτό. Διότι αὐτὸς ποὺ ἔλαβε τὰ πέντε καὶ αὐτὸς ποὺ ἔλαβε τὰ δύο, ἠξιώθησαν τοῦ ἰδίου μισθοῦ, καὶ αὐτὸς ποὺ ἔλαβε τὰ δύο ἀπήλαυσε περισσοτέρας προνοίας. Διότι ἐὰν

γὰρ τὰ πέντε ἐνεχειρίσθη, μὴ δυνάμενος, τοῦ παντὸς ἂν ἐξέπεσε· δεξάμενος δὲ τὰ δύο, καὶ τὰ παρ' ἑαυτοῦ πληρώσας, τῶν αὐτῶν ἠξιώθη τῷ τὰ πέντε ἐργασαμένῳ, τοσούτῳ πλεονεκτήσας, ὅσῳ ἀπ' ἐλαττόνων πόνων τῶν αὐτῶν ἐπέτυχε στεφάνων. Καίτοι καὶ αὐτὸς ἄνθρωπος ἦν, ὥσπερ ὁ τὰ πέντε· ἀλλ' ὅμως οὐδὲν πρὸς αὐτὸν ὁ δεσπότης ἀκριβολογεῖται, οὐδὲ ἀναγκάζει τὰ αὐτὰ πονεῖν τῷ συνδούλῳ, οὐδὲ λέγει, διὰ τί μὴ δύνασαι τὰ πέντε ἐργάσασθαι; δικαίως ἂν εἰπών· ἀλλὰ καὶ αὐτὸν ἐστεφάνου.

3. Ταῦτ' οὖν εἰδότες, μὴ ἐπεμβαίνετε τοῖς ἐλάττοσιν οἱ μείζους, ἵνα μὴ πρὸ ἐκείνων ἑαυτοὺς βλάψητε· ἀποσχιζομένων γὰρ αὐτῶν, τὸ πᾶν διαφθείρεται σῶμα. Τί γὰρ ἄλλο ἐστὶ σῶμα, ἢ τὸ πολλὰ εἶναι μέλη; καθὼς καὶ αὐτός φησιν, ὅτι «Τὸ σῶμα οὐκ ἔστιν ἓν μέλος, ἀλλὰ πολλά». Εἰ τοίνυν τοῦτό ἐστι σῶμα, φροντίζωμεν τοῦ τὰ πολλὰ μένειν πολλά· ὡς ἐὰν μὴ τοῦτο διασώζηται, περὶ τὰ καίρια ἡ πληγὴ γίνεται. Διὸ καὶ αὐτὸς οὐ τοῦτο μόνον ἀπαιτεῖ, τὸ μὴ ἀποσχίζεσθαι ἀλλήλων, ἀλλὰ καὶ τὸ σφόδρα συνῆφθαι. Εἰπὼν γοῦν. «Ἵνα μὴ ᾖ σχίσμα ἐν τῷ σώματι», οὐκ ἠρκέσθη τούτῳ, ἀλλ' ἐπήγαγεν· «Ἵνα τὸ αὐτὸ ὑπὲρ ἀλλήλων μεριμνῶσι τὰ μέλη»· ἑτέραν καὶ ταύτην αἰτίαν προστιθεὶς τοῦ τὰ ἐλάττονα πλείονος ἀπολαύειν τιμῆς. Οὐ γὰρ ἵνα μὴ ἀποσχίζηται μόνον ἀλλήλων, οὕτως ᾠκονόμησεν ὁ Θεός, ἀλλ' ἵνα καὶ ἀγάπη ᾖ πολλὴ καὶ ὁμόνοια. Εἰ γὰρ ἐν τῇ τοῦ πλησίον σωτηρίᾳ τὸ εἶναι ἑκάστῳ, μή μοι τὸ ἔλαττον καὶ τὸ πλέον εἴπῃς· ἐνταῦθα γὰρ οὐκ ἔστι πλέον καὶ ἔλαττον. Μένοντος γὰρ τοῦ σώματος δυνατὸν καὶ τὴν διαφορὰν ἰδεῖν· ἀπολλυμένου δέ, οὐκέτι·

ἐλάμβανε τὰ πέντε, ἐνῷ δὲν ἠμποροῦσε νὰ βαστάσῃ αὐτά, θὰ ἔχανε τὰ πάντα· ἀφοῦ ἔλαβεν ὅμως τὰ δύο καὶ ἀφοῦ συνεισέφερεν ὅσα ἔπρεπεν ὁ ἴδιος, ἠξιώθη τοῦ ἰδίου μισθοῦ μὲ ἐκεῖνον ὁ ὁποῖος ἐπεξειργάσθη τὰ πέντε καὶ εὑρέθη εἰς τόσον πλεονεκτικὴν θέσιν, ὅσον ἀπὸ ὀλιγωτέρους κόπους ἐπέτυχε τοὺς ἰδίους στεφάνους. Καὶ ὅμως καὶ αὐτὸς ἄνθρωπος ἦτο, ὅπως ἐκεῖνος ποὺ εἶχε τὰ πέντε· ὁ δεσπότης ὅμως δὲν ἐξετάζει καθόλου μὲ ἀκρίβειαν αὐτόν, οὔτε ἀναγκάζει νὰ κοπιάζῃ ἐξ ἴσου μὲ τὸν σύνδουλόν του, οὔτε λέγει, διατί δὲν ἠμπορεῖς νὰ ἐπεξεργασθῇς τὰ πέντε; πρᾶγμα ποὺ δικαίως θὰ τὰ ἔλεγεν· ἀλλὰ καὶ αὐτὸν τὸν ἐστεφάνωσε.

3. Γνωρίζοντες λοιπὸν αὐτά, μὴ ἐπεμβαίνετε σεῖς ποὺ ἔχετε μεγαλύτερα χαρίσματα εἰς αὐτοὺς ποὺ ἔχουν μικρότερα, διὰ νὰ μὴ βλάψετε τοὺς ἑαυτούς σας πρὶν ἀπὸ ἐκείνους· καθ' ὅσον ὅταν ἀποκόπτωνται αὐτοί, ὁλόκληρον τὸ σῶμα καταστρέφεται. Διότι τί ἄλλο εἶναι σῶμα, παρὰ τὸ νὰ εἶναι πολλὰ μέλη; καθὼς καὶ ὁ ἴδιος λέγει, ὅτι «τὸ σῶμα δὲν εἶναι ἓν μέλος, ἀλλὰ πολλά». Ἀφοῦ λοιπὸν αὐτὸ εἶναι σῶμα, ἂς φροντίζωμεν ὥστε τὰ πολλὰ νὰ μένουν πολλά· διότι ἐὰν αὐτὸ δὲν διασώζεται, τὸ κτύπημα γίνεται θανατηφόρον. Δι' αὐτὸ καὶ ὁ Παῦλος δὲν ἀπαιτεῖ μόνον αὐτό, τὸ νὰ μὴ διαιροῦνται μεταξύ των, ἀλλὰ καὶ νὰ εἶναι πολὺ συνδεδεμένοι. Ἀφοῦ λοιπὸν εἶπεν, «διὰ νὰ μὴ ὑπάρχῃ διαίρεσις εἰς τὸ σῶμα», δὲν ἠρκέσθη εἰς αὐτό, ἀλλ' ἐσυνέχισεν· «Ὥστε νὰ ἔχουν τὰ μέλη τὴν ἰδίαν φροντίδα τὸ ἓν διὰ τὸ ἄλλο»· καὶ προσέθεσεν ἔτσι καὶ αὐτὴν τὴν αἰτίαν διὰ ν' ἀπολαμβάνουν τὰ μικρότερα περισσοτέρας τιμῆς. Διότι ὄχι μόνον διὰ νὰ μὴ διαιροῦνται μεταξύ των ἐπρονόησεν ἔτσι ὁ Θεός, ἀλλὰ καὶ διὰ νὰ ὑπάρχῃ πολλὴ ἀγάπη καὶ ὁμόνοια. Διότι ἐὰν ἡ ὕπαρξις τοῦ καθενὸς εὑρίσκεται εἰς τὴν σωτηρίαν τοῦ πλησίον, μὴ μοῦ λέγῃς διὰ τὸ μικρότερον καὶ τὸ μεγαλύτερον· καθ' ὅσον ἐδῶ δὲν ὑπάρχει μεγαλύτερον καὶ μικρότερον. Διότι ὅταν παραμένῃ τὸ σῶμα εἶναι δυνατὸν νὰ ἰδῇ κανεὶς καὶ τὴν διαφοράν· ἐνῷ ὅταν καταστρέφεται, καθόλου· θὰ καταστραφῇ δέ, ἐὰν δὲν

ἀπολεῖται δέ, ἂν μὴ καὶ ἐλάττονα μένῃ. Εἰ τοίνυν καὶ τὰ μεγάλα ἀπολεῖται τῶν μικρῶν ἀπορραγέντων, ὁμοίως ὀφείλει ταῦτα τῶν μικρῶν φροντίζειν, καὶ οὕτως ὡς ἑαυτῶν, ἅτε ἐν τῇ τούτων σωτηρίᾳ καὶ τῶν μειζόνων μενόντων.

Ὥστε κἂν μυριάκις λέγῃς, ὅτι ἄτιμον τὸ μέλος καὶ ἔλαττον, ἀλλ' ἐὰν μὴ ὁμοίως προνοῇς, ὡς καὶ σαυτοῦ, ἀλλ' ὡς ἐλάττονος ἀμελῇς, ἡ βλάβη εἰς σὲ διαβήσεται. Διὰ τοῦτο οὐκ εἶπεν, ἵνα ὑπὲρ ἀλλήλων μόνον μεριμνῶσι τὰ μέλη, ἀλλὰ προσέθηκεν, «ἵνα τὸ αὐτὸ ὑπὲρ ἀλλήλων μεριμνῶσι», τουτέστιν, ὁμοίως, καὶ τῆς αὐτῆς τῷ μεγάλῳ καὶ ὁ μικρὸς ἀπολαύῃ προνοίας. Μὴ τοίνυν εἴπῃς, ὅτι ὁ δεῖνα ὁ τυχών ἐστιν, ἀλλ' ἐννόησον ὅτι μέλος ἐστὶν τοῦ σώματος τοῦ τὸ πᾶν συγκροτοῦντος· καὶ ὥσπερ ὁ ὀφθαλμός, οὕτω καὶ οὗτος ποιεῖ τὸ σῶμα εἶναι σῶμα. Ἔνθα γὰρ ἂν τὸ σῶμα οἰκοδομῆται, οὐδεὶς οὐδὲν τοῦ πλησίον ἔχει πλέον. Οὐδὲ γὰρ τοῦτο ποιεῖ σῶμα, τὸ εἶναι τὸ μὲν μεῖζον, τὸ δὲ ἔλαττον, ἀλλὰ τὸ πολλὰ εἶναι καὶ διάφορα. Ὥσπερ γὰρ σύ, ἐπειδὴ μείζων εἶ, τὸ σῶμα συνέστησας, οὕτω καὶ οὗτος, ἐπειδὴ ἐλάττων. Ὥστε ἡ ἐλάττωσις αὐτοῦ, ὅταν δέῃ τὸ σῶμα οἰκοδομεῖν, ἰσότιμός σοι γίνεται εἰς τὸν καλὸν τοῦτον ἔρανον· τὸ γὰρ αὐτό σοι δύναται· καὶ δῆλον ἐκεῖθεν.

Μὴ ἔστω ἔλλατόν τι καὶ μεῖζον μέλος, μηδὲ τίμιον καὶ ἀτιμότερον, ἀλλ' ἔστω πάντα ὀφθαλμός, ἢ πάντα κεφαλή· οὐκ ἀπολεῖται τὸ σῶμα; Παντί που δῆλον. Πάλιν ἂν πάντα ἐλάττονα ᾖ, τὸ αὐτὸ συμβήσεται· ὥστε καὶ ταύτῃ ἰσοῦται τὰ ἐλάττω. Εἰ δὲ δεῖ τι καὶ πλέον εἰπεῖν, ἵνα μένῃ σῶμα, ἐλάττων ἐστὶν ὁ ἐλάττων· ὥστε διὰ σέ ἐστιν ἐλάττων, ἵνα σὺ μένῃς μέγας ὤν. Διὰ τοῦτο καὶ τὴν αὐτὴν ἀπαιτεῖ παρὰ πάντων πρόνοιαν. Καὶ εἰπών, «Τὸ αὐτὸ ὑπὲρ ἀλλήλων μεριμνῶσι

μένουν εἰς αὐτὸ καὶ τὰ μικρότερα. Ἐὰν λοιπὸν ὅταν ἀποσχισθοῦν τὰ μικρὰ θὰ καταστραφοῦν καὶ τὰ μεγάλα, ὀφείλει κανεὶς ἐξ ἴσου νὰ φροντίζῃ τὰ μικρὰ καὶ τὰ μεγάλα, καὶ ὡς ἰδικά του, ἐπειδὴ εἰς τὴν σωτηρίαν αὐτῶν διασώζονται καὶ τὰ μεγαλύτερα.

Ὥστε καὶ ἂν λέγῃς ἀπείρους φοράς, ὅτι τὸ μέλος εἶναι ἄσχημον καὶ κατώτερον, ἐὰν ὅμως δὲν φροντίζῃς ὁμοίως δι' ὅλα, ὅπως καὶ διὰ τὸν ἑαυτόν σου, ἀλλ' ἀμελεῖς δι' αὐτὸ ὡσὰν νὰ εἶναι κατώτερον, ἡ βλάβη εἰς ἐσένα μεταβαίνει. Δι' αὐτὸ δὲν εἶπε μόνον νὰ ἔχουν τὰ μέλη τὴν φροντίδα τὸ ἓν διὰ τὸ ἄλλο», δηλαδή, καθ' ὅμοιον τρόπον, καὶ ὁ μικρὸς ν' ἀπολαμβάνῃ τῆς ἰδίας προνοίας μὲ τὸν μεγάλον. Μὴ εἴπῃς λοιπὸν ὅτι ὁ τάδε εἶναι τυχαῖος, ἀλλὰ σκέψου ὅτι εἶναι μέλος ἐκείνου τοῦ σώματος ποὺ συγκροτεῖ τὸ πᾶν· καὶ ὅπως ὁ ὀφθαλμός, ἔτσι καὶ αὐτὸς ὡς μέλος κάμνει τὸ σῶμα νὰ εἶναι σῶμα. Διότι ὅπου οἰκοδομεῖται τὸ σῶμα, κανεὶς δὲν ἔχει τίποτε περισσότερον ἀπὸ τὸν πλησίον. Καθ' ὅσον δὲν εἶναι αὐτὸ ποὺ κάμνει τὸ σῶμα, δηλαδὴ τὸ νὰ εἶναι ἄλλο μὲν μεγαλύτερον, ἄλλο δὲ μικρότερον, ἀλλὰ τὸ νὰ εἶναι πολλὰ καὶ διάφορα. Ὅπως δηλαδὴ ἐσύ, ἐπειδὴ εἶσαι μεγαλύτερος, συνιστᾷς τὸ σῶμα, ἔτσι καὶ αὐτός, ἐπειδὴ εἶναι μικρότερος. Ὥστε ἡ κατωτερότης αὐτοῦ, ἀφοῦ εἶναι ἀπαραίτητη διὰ νὰ οἰκοδομήσῃ τὸ σῶμα, γίνεται δι' ἐσὲ ἰσότιμος εἰς τὴν ὡραίαν αὐτὴν συνεισφοράν· διότι ἔχει δι' ἐσὲ τὴν ἰδίαν δυνατότητα· καὶ εἶναι φανερὸν ἀπὸ ἐκεῖ.

Ἔστω ὅτι δὲν ὑπάρχει κατώτερον καὶ ἀνώτερον μέλος, οὔτε τιμώμενον καὶ μὴ τιμώμενον, ἀλλ' εἶναι ὅλα ὀφθαλμὸς ἢ ὅλα κεφαλή· δὲν θὰ καταστραφῇ τὸ σῶμα; Εἶναι ὁλοφάνερον. Πάλιν ἂν ὅλα εἶναι κατώτερα, τὸ ἴδιον θὰ συμβῇ· ὥστε καὶ δι' αὐτὸ εἶναι ἴσα τὰ κατώτερα. Ἐὰν δὲ πρέπει νὰ εἰποῦμεν καὶ κάτι περισσότερον, διὰ νὰ ὑπάρχῃ τὸ σῶμα εἶναι κατώτερος ὁ κατώτερος· ὥστε διὰ σὲ εἶναι κατώτερος, διὰ νὰ εἶσαι σὺ μέγας. Δι' αὐτὸ καὶ ἀπαιτεῖ τὴν ἰδίαν φροντίδα ἀπὸ ὅλους. Καὶ ὅταν εἶπε «νὰ ἔχουν τὰ μέλη τὴν ἰδίαν φροντίδα τὸ ἓν διὰ τὸ ἄλλο», ἐξηγεῖ

τὰ μέλη», ἑρμηνεύει, «τὸ αὐτό», τοῦτο πάλιν, λέγων· «Καὶ εἴτε πάσχει ἓν μέλος, συμπάσχει πάντα τὰ μέλη· εἴτε δοξάζεται ἓν μέλος, συγχαίρει πάντα τὰ μέλη». Διὰ γὰρ τοῦτο φησί, καὶ τὴν πρόνοιαν κοινὴν ἐποίησεν, ἐν τοσαύτῃ διαφορᾷ κατασκευάσας ἕνωσιν, ἵνα καὶ τῶν ἀποβαινόντων πολλὴ ἡ κοινωνία ᾖ. Εἰ γὰρ ἡ τοῦ πλησίον πρόνοια σωτηρία κοινή ἐστιν, ἀνάγκη καὶ τὴν δόξαν καὶ τὴν ἀθυμίαν εἶναι κοινήν.

Τρία τοίνυν ἐνταῦθα ἀπαιτεῖ· τὸ μὴ σχίζεσθαι, ἀλλ' ἡνῶσθαι μετὰ ἀκριβείας, τὸ προνοεῖν ὁμοίως ἀλλήλων, τὸ κοινὰ τὰ συμβαίνοντα ἡγεῖσθαι. Καὶ ἀνωτέρω μέν φησιν, ὅτι περισσοτέραν ἔδωκε τιμὴν τῷ ὑστεροῦντι διὰ τὸ δεῖσθαι, δεικνὺς ὅτι αὐτὸ τὸ ἡλαττῶσθαι μείζονος τιμῆς πρόξενον γέγονεν· ἐνταῦθα δὲ καὶ κατὰ τὸν τῆς προνοίας ἐξισοῖ λόγον αὐτὰ τῆς ὑπ' ἀλλήλων γινομένης. Διὰ γὰρ τοῦτο καὶ μείζονος ἐποίησεν ἀπολαῦσαι τιμῆς, φησίν, ἵνα μὴ ἐλάττονος ἀπολαύῃ προνοίας. Οὐκ ἐντεῦθεν δὲ μόνον, ἀλλὰ καὶ ἐκ τῶν συμβαινόντων λυπηρῶν καὶ χρηστῶν ἀλλήλοις συνδέδεται τὰ μέλη. Καὶ γὰρ τῇ πτέρνῃ πολλάκις προσπαγείσης ἀκάνθης, ὅλον τὸ σῶμα αἰσθάνεται καὶ μεριμνᾷ· καὶ νῶτος κάμπτεται, καὶ γαστὴρ καὶ μηροὶ συστέλλονται, καὶ χεῖρες, καθάπερ δορυφόροι καὶ ὑπηρέται προσιόντες ἀνέλκουσι τὸ παγέν, καὶ κεφαλὴ ἐπικύπτει, καὶ ὀφθαλμοὶ μετὰ πολλῆς ὁρῶσι τῆς φροντίδος. Ὥστε εἰ καὶ ἔλαττον ἔχει τῷ μὴ δύνασθαι ἀνελθεῖν ὁ πούς, ἀλλὰ τῷ τὴν κεφαλὴν καταγαγεῖν τὸ ἴσον ἔσχε, καὶ τῆς αὐτῆς ἀπέλευσε τιμῆς, καὶ μάλιστα ὅταν μὴ χάριτι καταφέρωσιν αὐτὴν οἱ πόδες, ἀλλ' ὀφειλῇ. Ὥστε εἰ τῷ τιμιωτέρα εἶναι πλεονεκτεῖ, τῷ καὶ τοιαύτη οὖσα τῷ ἐλάττονι τὴν τιμὴν ὀφείλειν καὶ τὴν κηδεμονίαν, καὶ τῷ ὁμοίως αὐτῷ συναλγεῖν, ἰσότητα δείκνυσι πολλήν. Τί γὰρ πτέρνης εὐτελέστερον; τί δὲ κεφαλῆς τιμιώτερον; Ἀλλὰ τοῦτο πρὸς ἐκεῖνο βαδίζει τὸ μέλος, καὶ πάντα μεθ' ἑαυτῆς συγκινεῖ.

«τὴν ἰδίαν» μὲ τοὺς ἑξῆς πάλιν λόγους· «Ἐὰν πάσχῃ ἓν μέλος, συμπάσχουν ὅλα τὰ μέλη· ἐὰν τιμᾶται ἓν μέλος, χαίρουν μαζὶ ὅλα τὰ μέλη». Διότι δι' αὐτό, λέγει, ἔκανε κοινὴν καὶ τὴν φροντίδα μὲ τὸ ὅτι ἐδημιούργησεν ἕνωσιν μέσα εἰς τόσην διαφοράν, ὥστε καὶ εἰς ὅσα συμβαίνουν νὰ ὑπάρχῃ στενὴ σύνδεσις καὶ κοινωνία. Διότι, ἐὰν ἡ φροντὶς διὰ τὸν πλησίον εἶναι κοινὴ σωτηρία, κατ' ἀνάγκην καὶ ἡ τιμὴ καὶ ἡ λύπη πρέπει νὰ εἶναι κοινή.

Τρία πράγματα λοιπὸν ἀπαιτεῖ ἐδῶ· τὸ νὰ μὴ διαιροῦνται, ἀλλὰ νὰ εἶναι συνηνωμένοι τελείως, τὸ νὰ φροντίζουν ἐξ ἴσου ὁ ἕνας διὰ τὸν ἄλλον καὶ νὰ θεωροῦν ὅσα τοὺς συμβαίνουν κοινά. Καὶ προηγουμένως μὲν εἶπεν, ὅτι ἔδωσε περισσοτέραν τιμὴν εἰς αὐτὸ ποὺ τὴν στερεῖται διὰ τὴν κοινὴν ἀνάγκην, καὶ ἔδειξεν ὅτι αὐτὸ τὸ γεγονός, ὅτι εἶναι κατώτερον, ἔγινεν αἰτία διὰ νὰ τιμᾶται περισσότερον· ἐδῶ δὲ ἐξισώνει τὸ κατώτερον μὲ τὸ ἀνώτερον καὶ ὡς πρὸς τὴν φροντίδα ποὺ δεικνύεται μεταξύ των. Διότι δι' αὐτὸ καὶ ἔκανε ν' ἀπολαμβάνῃ ὀλιγωτέραν φροντίδα. Ὄχι δὲ μόνον ἀπὸ αὐτό, ἀλλὰ καὶ ἀπὸ τὰ συμβαίνοντα λυπηρὰ καὶ εὐχάριστα συνδέονται μεταξύ των τὰ μέλη. Διότι καὶ εἰς τὴν πτέρναν πολλὰς φορὰς ὅταν ἐμβῇ κάποιο ἀγκάθι, ὅλον τὸ σῶμα πονᾷ καὶ φροντίζει· καὶ ἡ ράχις λυγίζει, καὶ ἡ κοιλία καὶ οἱ μηροὶ συστέλλονται, καὶ τὰ χέρια ὡσὰν ἀκόλουθοι καὶ ὑπηρέται, ἀφοῦ πλησιάσουν, βγάζουν τὸ ἀγκάθι, καὶ ἡ κεφαλὴ σκύπτει, καὶ οἱ ὀφθαλμοὶ βλέπουν μὲ πολλὴν φροντίδα. Ὥστε ἂν καὶ ὑστερεῖ εἰς τὸ ὅτι δὲν ἠμπορεῖ ν' ἀνέλθῃ τὸ πόδι, γίνεται ὅμως ἴσο εἰς τὸ ὅτι καταβιβάζει τὴν κεφαλὴν καὶ ἀπολαμβάνει τῆς ἰδίας τιμῆς, καὶ μάλιστα ἀφοῦ κατεβάζουν αὐτὴν τὰ πόδια ὄχι ὡσὰν νὰ εὐεργετῇ, ἀλλ' ὡσὰν νὰ ὀφείλῃ. Ὥστε, ἐὰν ὑπερέχῃ εἰς τὸ ὅτι τιμᾶται περισσότερον, τὸ ὅτι, ἂν καὶ εἶναι τέτοια, ὀφείλει τὴν τιμὴν καὶ τὴν φροντίδα καὶ τὸ νὰ συμπάσχῃ ἐξ ἴσου μὲ τὸ πόδι, δεικνύει σαφῶς τὴν ἰσότητα. Διότι τί εἶναι εὐτελέστερον ἀπὸ τὴν πτέρναν; τί πολυτιμώτερον δὲ ἀπὸ τὴν κεφαλήν; Καὶ ὅμως αὐτὸ τὸ μέλος πλησιάζει εἰς ἐκεῖνο καὶ κινεῖ μαζί της ὅλα τὰ ἄλλα μέλη.

Πάλιν ἂν ὀφθαλμοί τι πάθωσι, πάντα ἀλγεῖ, καὶ πάντα ἐν ἀργίᾳ· καὶ οὔτε πόδες βαδίζουσιν, οὔτε χεῖρες ἐργάζονται, οὔτε γαστὴρ ἀπολαύει τῶν εἰωθότων· καίτοι τὸ πάθος τῶν ὀφθαλμῶν ἐστι. Τί τήκεις τὴν γαστέρα; τί κατέχεις τοὺς πόδας; τί δεσμεῖς τὰς χεῖρας; Ὅτι ἐκείνοις συνδέδεται, καὶ ἀρρήτως τὸ πᾶν πάσχει σῶμα. Εἰ γὰρ μὴ συνέπασχεν, οὐδ' ἂν ἠνέσχετο κοινωνεῖν τῆς προνοίας. Διόπερ εἰπών, «Ἵνα τὸ αὐτὸ ὑπὲρ ἀλλήλων μεριμνῶσι τὰ μέλη», ἐπήγαγεν· «Εἴτε πάσχει ἓν μέλος, συμπάσχει πάντα τὰ μέλη· εἴτε δοξάζεται ἓν μέλος, συγχαίρει πάντα τὰ μέλη». Καὶ πῶς συγχαίρει, φησί; Στεφανοῦται κεφαλή, καὶ ἅπας ὁ ἄνθρωπος δοξάζεται· λέγει τὸ στόμα, καὶ γελῶσιν ὀφθαλμοὶ καὶ εὐφραίνονται· καίτοι οὐ τοῦ κάλλους τῶν ὀφθαλμῶν, ἀλλὰ τῆς γλώττης ἡ εὐδοκίμησις. Πάλιν ὀφθαλμῶν καλῶν φαινομένων, ἡ πᾶσα γυνὴ καλλωπίζεται· ὥσπερ οὖν καὶ οὗτοι, καὶ ῥινὸς εὐθείας καὶ αὐχένος ὀρθοῦ καὶ ἑτέρων μελῶν ἐγκωμιαζομένων, γεγήθασι καὶ φαιδροὶ γίνονται· καὶ δακρύουσι πάλιν μετὰ πολλῆς τῆς δαψιλείας ἐν ταῖς ὀδύναις αὐτῶν καὶ ταῖς συμφοραῖς, κἂν ἀσινεῖς αὐτοὶ διαμένωσι.

4. Ταῦτ' οὖν ἅπαντα ἐννοήσαντες, μιμησώμεθα τὴν ἀγάπην τῶν μελῶν τούτων, μηδὲ τἀναντία ποιῶμεν, ἐπεμβαίνοντες τοῖς τοῦ πλησίον κακοῖς, καὶ φθονοῦντες τοῖς τοῦ πλησίον ἀγαθοῖς· μαινομένων γὰρ τοῦτο καὶ ἐξεστηκότων. Καὶ γὰρ ὁ τὸν ὀφθαλμὸν ἐξορύττων, παραφροσύνης μέγιστον δεῖγμα ἐξήνεγκε· καὶ ὁ τὴν χεῖρα κατεσθίων, λαμπρᾶς μανίας παρέχεται ἔλεγχον. Εἰ δὲ ἐπὶ τῶν μελῶν τοῦτο, καὶ ἐπὶ τῶν ἀδελφῶν ὁμοίως γινόμενον παραφροσύνης περιτίθησι δόξαν, καὶ βλάβην οὐ τὴν τυχοῦσαν ἐπάγει. Ἕως μὲν γὰρ ἂν ἐκεῖνος λάμπῃ, καὶ ἡ σὴ εὐμορφία φαίνεται, καὶ ὅλον καλλωπίζεται τὸ σῶμα· οὐδὲ γὰρ εἰς ἑαυτὸν μόνον τὸ κάλλος περιΐστησιν, ἀλλὰ καὶ σοὶ δίδωσι σεμνύνεσθαι. Ἂν δὲ κατα-

Πάλιν, ἐὰν οἱ ὀφθαλμοὶ πάθουν κάτι, ὅλα πονοῦν καὶ ὅλα ἀδρανοῦν· καὶ οὔτε τὰ πόδια βαδίζουν, οὔτε τὰ χέρια ἐργάζονται, οὔτε ἡ κοιλία ἀπολαμβάνει τὰ συνήθη, ἂν καὶ ἡ πάθησις εἶναι τῶν ὀφθαλμῶν. Διατί φθείρεις τὴν κοιλίαν; διατί ἐμποδίζεις τὰ πόδια; διατί δεσμεύεις τὰ χέρια; Διότι οἱ ὀφθαλμοὶ εἶναι συνδεδεμένοι μὲ ἐκεῖνα, καὶ κατὰ τρόπον ἄρρητον πάσχει ὅλον τὸ σῶμα. Διότι, ἐὰν δὲν συνέπασχε, δὲν θὰ ἐδέχετο νὰ φροντίζῃ ἐξ ἴσου δι' ὅλα τὰ μέλη. Δι' αὐτὸ ὅταν εἶπε, «νὰ ἔχουν τὰ μέλη τὴν ἰδίαν φροντίδα τὸ ἓν διὰ τὸ ἄλλο», προσέθεσεν, «ἐὰν πάσχῃ ἓν μέλος, συμπάσχουν ὅλα τὰ μέλη· ἐὰν τιμᾶται ἓν μέλος, χαίρουν μαζὶ ὅλα τὰ μέλη». Καὶ πῶς χαίρουν μαζί; θὰ εἰπῇ κάποιος· Στεφανοῦται ἡ κεφαλὴ καὶ δοξάζεται ὁ ὅλος ἄνθρωπος· ὁμιλεῖ τὸ στόμα καὶ γελοῦν καὶ εὐφραίνονται οἱ ὀφθαλμοί· ἂν καὶ ἡ τιμὴ εἶναι τῆς γλώσσης καὶ ὄχι τῆς ὡραιότητος τῶν ὀφθαλμῶν. Πάλιν, ὅταν οἱ ὀφθαλμοὶ εἶναι ὡραῖοι ἡ ὅλη γυνὴ ὀμορφαίνει· ὅπως ἀκριβῶς βέβαια καὶ αὐτοί, ὅταν ἐπαινοῦνται καὶ ἡ εὐθεῖα μύτη καὶ ὁ ὀρθὸς αὐχήν, χαίρουν καὶ λάμπουν· καὶ δακρύουν πάλιν πάρα πολὺ εἰς τὰς ὀδύνας καὶ τὰς συμφορὰς τῶν ἄλλων μελῶν, καὶ ἂν ἀκόμη οἱ ἴδιοι παραμένουν ἀβλαβεῖς.

4. Ἀφοῦ λοιπὸν κατανοήσωμεν βαθειὰ ὅλα αὐτά, ἂς μιμηθῶμεν τὴν ἀγάπην αὐτῶν τῶν μελῶν καὶ ἂς μὴ πράττωμεν τὰ ἀντίθετα μὲ τὸ νὰ βλάπτωμεν τὸν πλησίον εἰς τὰς συμφοράς του καὶ νὰ φθονοῦμεν τὰ ἀγαθά του· καθ' ὅσον αὐτὸ εἶναι ἔργον ἀνθρώπων μανιακῶν καὶ παραφρόνων. Διότι καὶ αὐτὸς ποὺ ἐκβάλλει τὸν ὀφθαλμόν του δίδει τρανὴν ἀπόδειξιν ὅτι εἶναι παράφρων· καὶ αὐτὸς ποὺ τρώγει τὸ χέρι του, δίδει λαμπρὰν ἀπόδειξιν ὅτι κατέχεται ἀπὸ μανίαν. Ἐὰν δὲ αὐτὸ ἰσχύῃ διὰ τὰ μέλη, ὅταν γίνεται καὶ εἰς τοὺς ἀδελφοὺς μὲ τὸν ἴδιον τρόπον περιβάλλει μὲ φήμην παραφροσύνης καὶ προκαλεῖ σοβαρὰν ζημίαν. Διότι ὅσον λάμπει μὲν ἐκεῖνος, φαίνεται καὶ ἡ δική σου ὀμορφιὰ καὶ ὀμορφαίνει ὅλον τὸ σῶμα· καθ' ὅσον ἡ ὡραιότης δὲν σταματᾷ μόνον εἰς τὸν ἑαυτόν της, ἀλλὰ δίδει καὶ εἰς ἐσὲ τὴν δυνατότητα νὰ καυχᾶσαι. Ἐὰν ὅμως σβήσῃς αὐτὸν τε-

Πάλιν ἂν ὀφθαλμοί τι πάθωσι, πάντα ἀλγεῖ, καὶ πάντα ἐν ἀργίᾳ· καὶ οὔτε πόδες βαδίζουσιν, οὔτε χεῖρες ἐργάζονται, οὔτε γαστὴρ ἀπολαύει τῶν εἰωθότων· καίτοι τὸ πάθος τῶν ὀφθαλμῶν ἐστι. Τί τήκεις τὴν γαστέρα; τί κατέχεις τοὺς πόδας; τί δεσμεῖς τὰς χεῖρας; Ὅτι ἐκείνοις συνδέδεται, καὶ ἀρρήτως τὸ πᾶν πάσχει σῶμα. Εἰ γὰρ μὴ συνέπασχεν, οὐδ' ἂν ἠνέσχετο κοινωνεῖν τῆς προνοίας. Διόπερ εἰπών, «Ἵνα τὸ αὐτὸ ὑπὲρ ἀλλήλων μεριμνῶσι τὰ μέλη», ἐπήγαγεν· «Εἴτε πάσχει ἓν μέλος, συμπάσχει πάντα τὰ μέλη· εἴτε δοξάζεται ἓν μέλος, συγχαίρει πάντα τὰ μέλη». Καὶ πῶς συγχαίρει, φησί; Στεφανοῦται κεφαλή, καὶ ἅπας ὁ ἄνθρωπος δοξάζεται· λέγει τὸ στόμα, καὶ γελῶσιν ὀφθαλμοὶ καὶ εὐφραίνονται· καίτοι οὐ τοῦ κάλλους τῶν ὀφθαλμῶν, ἀλλὰ τῆς γλώττης ἡ εὐδοκίμησις. Πάλιν ὀφθαλμῶν καλῶν φαινομένων, ἡ πᾶσα γυνὴ καλλωπίζεται· ὥσπερ οὖν καὶ οὗτοι, καὶ ῥινὸς εὐθείας καὶ αὐχένος ὀρθοῦ καὶ ἑτέρων μελῶν ἐγκωμιαζομένων, γεγήθασι καὶ φαιδροὶ γίνονται· καὶ δακρύουσι πάλιν μετὰ πολλῆς τῆς δαψιλείας ἐν ταῖς ὀδύναις αὐτῶν καὶ ταῖς συμφοραῖς, κἂν ἀσινεῖς αὐτοὶ διαμένωσι.

4. Ταῦτ' οὖν ἅπαντα ἐννοήσαντες, μιμησώμεθα τὴν ἀγάπην τῶν μελῶν τούτων, μηδὲ τἀναντία ποιῶμεν, ἐπεμβαίνοντες τοῖς τοῦ πλησίον κακοῖς, καὶ φθονοῦντες τοῖς τοῦ πλησίον ἀγαθοῖς· μαινομένων γὰρ τοῦτο καὶ ἐξεστηκότων. Καὶ γὰρ ὁ τὸν ὀφθαλμὸν ἐξορύττων, παραφροσύνης μέγιστον δεῖγμα ἐξήνεγκε· καὶ ὁ τὴν χεῖρα κατεσθίων, λαμπρᾶς μανίας παρέχεται ἔλεγχον. Εἰ δὲ ἐπὶ τῶν μελῶν τοῦτο, καὶ ἐπὶ τῶν ἀδελφῶν ὁμοίως γινόμενον παραφροσύνης περιτίθησι δόξαν, καὶ βλάβην οὐ τὴν τυχοῦσαν ἐπάγει. Ἕως μὲν γὰρ ἂν ἐκεῖνος λάμπῃ, καὶ ἡ σὴ εὐμορφία φαίνεται, καὶ ὅλον καλλωπίζεται τὸ σῶμα· οὐδὲ γὰρ εἰς ἑαυτὸν μόνον τὸ κάλλος περιΐστησιν, ἀλλὰ καὶ σοὶ δίδωσι σεμνύνεσθαι. Ἂν δὲ κατα-

Πάλιν, ἐὰν οἱ ὀφθαλμοὶ πάθουν κάτι, ὅλα πονοῦν καὶ ὅλα ἀδρανοῦν· καὶ οὔτε τὰ πόδια βαδίζουν, οὔτε τὰ χέρια ἐργάζονται, οὔτε ἡ κοιλία ἀπολαμβάνει τὰ συνήθη, ἂν καὶ ἡ πάθησις εἶναι τῶν ὀφθαλμῶν. Διατί φθείρεις τὴν κοιλίαν; διατί ἐμποδίζεις τὰ πόδια; διατί δεσμεύεις τὰ χέρια; Διότι οἱ ὀφθαλμοὶ εἶναι συνδεδεμένοι μὲ ἐκεῖνα, καὶ κατὰ τρόπον ἄρρητον πάσχει ὅλον τὸ σῶμα. Διότι, ἐὰν δὲν συνέπασχε, δὲν θὰ ἐδέχετο νὰ φροντίζῃ ἐξ ἴσου δι' ὅλα τὰ μέλη. Δι' αὐτὸ ὅταν εἶπε, «νὰ ἔχουν τὰ μέλη τὴν ἰδίαν φροντίδα τὸ ἓν διὰ τὸ ἄλλο», προσέθεσεν, «ἐὰν πάσχῃ ἓν μέλος, συμπάσχουν ὅλα τὰ μέλη· ἐὰν τιμᾶται ἓν μέλος, χαίρουν μαζὶ ὅλα τὰ μέλη». Καὶ πῶς χαίρουν μαζί; θὰ εἰπῇ κάποιος· Στεφανοῦται ἡ κεφαλὴ καὶ δοξάζεται ὁ ὅλος ἄνθρωπος· ὁμιλεῖ τὸ στόμα καὶ γελοῦν καὶ εὐφραίνονται οἱ ὀφθαλμοί· ἂν καὶ ἡ τιμὴ εἶναι τῆς γλώσσης καὶ ὄχι τῆς ὡραιότητος τῶν ὀφθαλμῶν. Πάλιν, ὅταν οἱ ὀφθαλμοὶ εἶναι ὡραῖοι ἡ ὅλη γυνὴ ὀμορφαίνει· ὅπως ἀκριβῶς βέβαια καὶ αὐτοί, ὅταν ἐπαινοῦνται καὶ ἡ εὐθεῖα μύτη καὶ ὁ ὀρθὸς αὐχήν, χαίρου[illegible] καὶ λάμπουν· καὶ δακρύουν πάλιν πάρα πολὺ εἰς τὰς ὀ[illegible]γας καὶ τὰς συμφορὰς τῶν ἄλλων μελῶν, καὶ ἂν ἀκό[illegible] οἱ ἴδιοι παραμένουν ἀβλαβεῖς.

4. Ἀφοῦ λοιπὸν κατανοήσωμεν βαθειὰ ὅλ[illegible] μιμηθῶμεν τὴν ἀγάπην αὐτῶν τῶν μελῶν καὶ [illegible] τωμεν τὰ ἀντίθετα μὲ τὸ νὰ βλάπτωμεν τὸν [illegible] τὰς συμφοράς του καὶ νὰ φθονοῦμεν τὰ ἀγαθὰ [illegible] σον αὐτὸ εἶναι ἔργον ἀνθρώπων μανιακῶν κα[illegible] νων. Διότι καὶ αὐτὸς ποὺ ἐκβάλλει τὸν ὀφθαλμ[illegible] δει τρανὴν ἀπόδειξιν ὅτι εἶναι παράφρων· καὶ [illegible] τρώγει τὸ χέρι του, δίδει λαμπρὰν ἀπόδειξιν ὅτι [illegible] ἀπὸ μανίαν. Ἐὰν δὲ αὐτὸ ἰσχύῃ διὰ τὰ μέλη, ὅτ[illegible] καὶ εἰς τοὺς ἀδελφοὺς μὲ τὸν ἴδιον τρόπον περι[illegible] φήμην παραφροσύνης καὶ προκαλεῖ σοβαρὰν ζημ[illegible] ὅσον λάμπει μὲν ἐκεῖνος, φαίνεται καὶ ἡ δική σου καὶ ὀμορφαίνει ὅλον τὸ σῶμα· καθ' ὅσον ἡ ὡραιό[illegible] σταματᾷ μόνον εἰς τὸν ἑαυτόν της, ἀλλὰ δίδει καὶ τὴν δυνατότητα νὰ καυχᾶσαι. Ἐὰν ὅμως σβήσῃς αὐ[illegible]

σβέσῃς αὐτόν, ὅλῳ τῷ σώματι κοινὸν τὸ σκότος εἰργάσω, καὶ πᾶσι τοῖς μέλεσι τὴν συμφορὰν ἐπήγαγες· ὥσπερ οὖν ἐὰν διατηρῇς λάμποντα, ὁλοκλήρῳ τῷ σώματι τὴν ὥραν διατηρεῖς. Οὐδεὶς γάρ φησιν, ὅτι καλὸς ὁ ὀφθαλμός, ἀλλά, τί καλὴ ἡ δεῖνα· ἂν δὲ καὶ αὐτὸς ἐπαινῆται, μετὰ τὸ κοινὸν ἐγκώμιον ἐπαινεῖται.

Οὕτω καὶ ἐν τῇ Ἐκκλησίᾳ συμβαίνει· ἂν γὰρ ὦσί τινες οἱ εὐδοκιμοῦντες, τὸ κοινὸν καρποῦται τὴν εὐφημίαν. Οἱ γὰρ ἐχθροὶ οὐ διαιροῦσι τὰ ἐγκώμια, ἀλλὰ συνάπτουσι. Κἂν ᾖ τις ἐν τῷ λέγειν λάμπων, οὐκ αὐτὸν ἐγκωμιάζουσι μόνον, ἀλλὰ καὶ τὴν ἐκκλησίαν ἅπασαν. Οὐδὲ γάρ φασι, τί θαυμαστὸς ὁ δεῖνα, μόνον, ἀλλά, τί θαυμαστὸν ἔχουσι διδάσκαλον Χριστιανοί· καὶ κοινὸν τὸ κτῆμα ποιοῦσιν. Εἶτα Ἕλληνες μὲν συνάπτουσι, σὺ δὲ διαιρεῖς, καὶ πολεμεῖς τῷ σαυτοῦ σώματι, καὶ κατὰ τῶν οἰκείων ἵστασαι μελῶν; Οὐκ οἶσθα, ὅτι τοῦτο πάντα ἀνατρέπει; καὶ γὰρ «Βασιλεία», φησίν, «ἐφ' ἑαυτὴν μερισθεῖσα οὐ σταθήσεται». Οὐδὲν δὲ οὕτω μερίζει καὶ διΐστησιν, ὡς φθόνος καὶ βασκανία, τὸ χαλεπὸν τοῦτο νόσημα, καὶ πάσης ἀπεστερημένον συγγνώμης, καὶ τῆς τῶν κακῶν ῥίζης κατά τι χαλεπώτερον. Ὁ μὲν γὰρ φιλάργυρος τότε ἥδεται, ὅταν αὐτὸς λάβῃ, ὁ δὲ βάσκανος τότε ἥδεται, ὅταν ἕτερος μὴ λάβῃ, οὐχ ὅταν αὐτὸς λάβῃ. Εὐεργεσίαν γὰρ οἰκείαν νομίζει τὴν ἑτέρων κακοπραγίαν, οὐ τὴν οἰκείαν εὐημερίαν, κοινός τις ἐχθρὸς τῆς τῶν ἀνθρώπων περιερχόμενος φύσεως, καὶ τὰ τοῦ Χριστοῦ μέλη τύπτων· οὗ τί γένοιτ' ἂν μανικώτερον;

Ὁ δαίμων φθονεῖ μέν, ἀλλ' ἀνθρώποις, δαίμονι δὲ οὐδενί, σὺ δὲ ἄνθρωπος ὤν, ἀνθρώποις φθονεῖς, καὶ πρὸς τὸ ὁμόφυλον ἵστασαι καὶ ὁμογενές, ὅπερ οὐδὲ ὁ δαίμων ποιεῖ. Καὶ ποίας τεύξῃ συγγνώμης, ποίας δὲ ἀπολογίας, ὅταν ἴδῃς

---

1. Ματθ. 12, 25.

λείως, ὅλον τὸ σῶμα γενικῶς σκοτίζεις καὶ προκαλεῖς εἰς ὅλα τὰ μέλη τὴν συμφοράν· ὅπως ἀκριβῶς βέβαια, ἐὰν διατηρῇς αὐτὸν λαμπερόν, διατηρεῖς τὴν ὡραιότητα δι' ὅλον τὸ σῶμα. Διότι κανεὶς δὲν λέγει ὅτι εἶναι ὡραῖος ὁ ὀφθαλμὸς ἀλλά, τί ὡραία ἡ τάδε· ἐὰν ἐπαινῆται δὲ καὶ ὁ ὀφθαλμός, ἐπαινεῖται μετὰ ἀπὸ τὸ ἐγκώμιον ποὺ γίνεται δι' ὅλον τὸ σῶμα.

Τὸ ἴδιο συμβαίνει καὶ εἰς τὴν ἐκκλησίαν· ἐὰν δηλαδὴ ὑπάρχουν μερικοὶ ποὺ τιμῶνται, ὅλοι ὠφελοῦνται ἀπὸ τὴν καλὴν φήμην. Διότι οἱ ἐχθροὶ δὲν κάνουν διάκρισιν εἰς τοὺς ἐπαίνους, ἀλλὰ τοὺς συνδέουν μὲ ὅλους. Καὶ ἂν ὑπάρχῃ κανεὶς λαμπρὸς ὁμιλητής, δὲν ἐπαινοῦν μόνον αὐτόν, ἀλλὰ καὶ ὅλην τὴν ἐκκλησίαν. Διότι δὲν λέγουν, τί ἀξιοθαύμαστος ὁ τάδε, μόνον, ἀλλά, τί ἀξιοθαύμαστον διδάσκαλον ἔχουν οἱ Χριστιανοί· καὶ κάμνουν τὸν ἔπαινον κοινὸν κτῆμα. Καὶ οἱ μὲν εἰδωλολάτραι συνδέουν τοὺς ἐπαίνους μὲ ὅλους τοὺς πιστούς, ἐσὺ δὲ κάνεις διάκρισιν εἰς τοὺς ἐπαίνους διὰ τὸν ἑαυτόν σου καὶ πολεμεῖς τὸ ἰδικόν σου σῶμα καὶ πολεμεῖς ἐναντίον τῶν ἰδικῶν σου μελῶν; Δὲν γνωρίζεις ὅτι αὐτὸ ἀνατρέπει τὰ πάντα; διότι «Κάθε βασίλειον», λέγει, «ὅταν χωρισθῇ εἰς ἀντιμαχόμενα μέρη, ἐξαφανίζεται»[1]. Τίποτε δὲ δὲν διαιρεῖ καὶ δὲν ἐπιφέρει διάστασιν τόσον, ὅσον ὁ φθόνος καὶ ἡ ζηλοτυπία, ἡ φοβερὰ αὕτη νόσος ποὺ δὲν ἀξίζει καθόλου συγχώρησιν καὶ ποὺ εἶναι φοβερωτέρα ἀπὸ τὴν ρίζαν τῶν κακῶν. Διότι ὁ μὲν φιλάργυρος εὐχαριστεῖται καὶ ἱκανοποιεῖται τότε, ὅταν λάβῃ, ἐνῷ ὁ φθονερὸς τότε εὐχαριστεῖται, ὅταν ἄλλος δὲν λάβῃ, ὄχι ὅταν λάβῃ αὐτός. Διότι θεωρεῖ ἰδικήν του εὐτυχίαν τὴν δυστυχίαν τῶν ἄλλων, ὄχι τὴν ἰδικήν του εὐημερίαν, καὶ περιφέρεται ὡς κάποιος κοινὸς ἐχθρὸς τῆς ἀνθρωπίνης φύσεως καὶ κτυπᾷ τὰ μέλη τοῦ Χριστοῦ· ποῖος λοιπὸν θὰ ἠμποροῦσε νὰ ὑπάρξῃ περισσότερον μανιακός;

Ὁ δαίμων φθονεῖ μέν, ἀλλὰ φθονεῖ ἀνθρώπους, κανένα ὅμως δαίμονα, ἐνῷ σύ, ἂν καὶ εἶσαι ἄνθρωπος, φθονεῖς ἀνθρώπους καὶ πολεμεῖς πλάσματα τῆς ἰδίας φυλῆς καὶ τοῦ ἰδίου γένους, πρᾶγμα ποὺ οὔτε ὁ δαίμων πράττει. Καὶ

ἀδελφὸν εὐημεροῦντα τρέμων καὶ ὠχριῶν, στεφανοῦσθαι δέον καὶ χαίρειν καὶ ἀγάλλεσθαι; Εἰ δὲ καὶ ζηλοῦν ἐθέλεις, οὐ κωλύω· ζήλωσον, ἀλλ' ἵνα κατ' ἐκεῖνον γένῃ τὸν εὐδοκιμοῦντα· μὴ ἵνα αὐτὸν καταβιβάσῃς, ἀλλ' ἵνα πρὸς τὴν αὐτὴν φθάσῃς κορυφήν, ἵνα τὴν αὐτὴν ἀρετὴν ἐπιδείξῃ. Τοῦτο ζῆλος καλός, τὸ μιμεῖσθαι καὶ μὴ πολεμεῖν, τὸ μὴ ἀλγεῖν ἐπὶ τοῖς ἑτέρων ἀγαθοῖς, ἀλλὰ δάκνεσθαι ἐπὶ τοῖς οἰκείοις κακοῖς· οὗ τὸ ἐναντίον ὁ φθόνος ποιεῖ· τῶν γὰρ οἰκείων κακῶν ἀμελῶν, ἐπὶ τοῖς ἀλλοτρίοις τήκεται καλοῖς. Καὶ γὰρ ὁ πένης οὐχ οὕτω τῇ οἰκείᾳ δάκνεται πενίᾳ, ὡς τῇ τοῦ πλησίον εὐπορίᾳ, οὗ τί γένοιτ' ἂν χαλεπώτερον; Οὗτος γὰρ κατὰ τοῦτο, ὥσπερ ἔφθην εἰπών, καὶ τοῦ πλεονέκτου χείρων. Ὁ μὲν γὰρ ὅταν αὐτός τι λάβῃ, χαίρει· ὁ δέ, ὅταν ἕτερος μὴ λάβῃ, τότε εὐφραίνεται.

5. Διὸ παρακαλῶ τὴν πονηρὰν ταύτην ἀφέντας ὁδόν, καὶ μεταβαλόντας πρὸς ζῆλον καλόν· (καὶ γάρ ἐστι σφοδρὸν καὶ πυρὸς παντὸς θερμότερον ὁ ζῆλος ὁ τοιοῦτος)· μεγάλα ἐντεῦθεν καρπώσασθαι ἀγαθά. Οὕτω καὶ Παῦλος τοὺς ἀπὸ Ἰουδαίων ἐπὶ τὴν πίστιν ἐχειραγώγει, λέγων· «Εἴ πως παραζηλώσω μου τὴν σάρκα, καὶ σώσω τινὰς ἐξ αὐτῶν». Ὁ γὰρ οὕτω ζηλῶν, ὡς ἐκεῖνος ἐβούλετο, οὐ τήκεται ὅταν τὸν ἕτερον εὐδοκιμοῦντα ἴδῃ, ἀλλ' ὅταν ἑαυτὸν ἀπολιμπανόμενον. Ὁ δὲ φθονερὸς οὐχ οὕτως, ἀλλ' ὅταν ἕτερον εὖ πράττοντα ἴδῃ· καὶ καθάπερ κηφήν τίς ἐστι τοῖς ἀλλοτρίοις λυμαινόμενος πόνοις, καὶ αὐτὸς μὲν οὐδέποτε ἀναστῆναι σπουδάζων, δακρύων δὲ ὅταν ἕτερον ἀναστάντα ἴδῃ, καὶ πάντα ποιῶν ὥστε αὐτὸν καταβαλεῖν.

Τίνι οὖν ἄν τις τοῦτο παραβάλοι τὸ πάθος; Ὅμοιον εἶναί μοι δοκεῖ τοῦτο, οἷον ἂν εἰ νωθὴς ὄνος καὶ πολυσαρ-

2. Ρωμ. 11, 14.

ποίας συγγνώμης θὰ τύχῃς, ποίας ἀπολογίας, ὅταν, ἐνῷ πρέπει νὰ στεφανοῦσαι καὶ νὰ χαίρῃς καὶ νὰ ἀγάλλεσαι διὰ τὴν εὐημερίαν τοῦ ἀδελφοῦ, σὺ ὅμως τρέμεις καὶ ὠχριᾷς; Ἐὰν ὅμως θέλῃς καὶ νὰ γίνῃς ἐφάμιλλος μὲ αὐτόν, δὲ σὲ ἐμποδίζω· ἀνταγωνίσου, ἀλλὰ διὰ νὰ γίνῃς ὅπως ἐκεῖνος ποὺ προοδεύει· ὄχι διὰ νὰ τὸν καταβιβάσῃς, ἀλλὰ διὰ νὰ φθάσῃς εἰς τὴν ἰδίαν κορυφήν, διὰ νὰ ἐπιδείξῃς τὴν ἰδίαν ἀρετήν. Αὐτὸ εἶναι ζῆλος καλός, τὸ νὰ μιμῆσαι καὶ νὰ μὴ πολεμῇς, τὸ νὰ μὴ στενοχωρῆσαι διὰ τ᾿ ἀγαθὰ τῶν ἄλλων, ἀλλὰ νὰ πονῇς διὰ τὰ ἰδικά σου κακά, πρᾶγμα ποὺ ὁ φθόνος κάμνει τὸ ἀντίθετον· ἀδιαφορῶν δηλαδὴ διὰ τὰς ἰδικάς του δυστυχίας, λειώνει διὰ τὰ καλὰ τῶν ἄλλων. Διότι ὁ πτωχὸς δὲν στενοχωρεῖται τόσον διὰ τὴν ἰδικήν του πτωχείαν, ὅσον διὰ τὸν πλοῦτον τοῦ πλησίον, πρᾶγμα ἀπὸ τὸ ὁποῖον τί θὰ ἠμποροῦσε νὰ ὑπάρξῃ χειρότερον; Διότι αὐτός, ὅπως εἶπον ὡς πρὸς αὐτό, εἶναι χειρότερος καὶ ἀπὸ τὸν πλεονέκτην. Καθ᾿ ὅσον ὁ μὲν πλεονέκτης, ὅταν κερδίσῃ κάτι ὁ ἴδιος, χαίρει· ἐνῷ ὁ φθονερός, ὅταν ἄλλος δὲν κερδίσῃ, τότε εὐχαριστεῖται.

5. Δι᾿ αὐτὸ παρακαλῶ, ἀφοῦ ἐγκαταλείψωμεν αὐτὴν τὴν πονηρὰν ὁδὸν καὶ μετατρέψωμεν τὸν φθόνον εἰς ζῆλον καλὸν (διότι εἶναι ἰσχυρὸς καὶ θερμότερος ἀπὸ κάθε πῦρ αὐτὸς ὁ ζῆλος) θὰ καρπωθῶμεν ἀπὸ αὐτὸ μεγάλα ἀγαθά. Ἔτσι καὶ ὁ Παῦλος ἐχειραγώγει τοὺς Ἰουδαίους εἰς τὴν πίστιν, πρᾶγμα ποὺ δηλώνει μὲ τοὺς λόγους «διὰ νὰ κεντήσω τὸν ζῆλον τῶν ὁμοεθνῶν μου καὶ νὰ σώσω μερικοὺς ἀπὸ αὐτούς»[2]. Διότι αὐτὸς ποὺ ἔχει τέτοιον ζῆλον, δὲν λειώνει ὅταν ἰδῇ τὸν ἄλλον νὰ προοδεύῃ, ἀλλ᾿ ὅταν ἰδῇ τὸν ἑαυτόν του νὰ μένῃ ὀπίσω. Ἐνῷ ὁ φθονερὸς δὲν αἰσθάνεται ἔτσι, παρὰ ὅταν ἰδῇ τὸν ἄλλον νὰ προκόπτῃ· καὶ ὁμοιάζει μὲ κηφῆνα ὁ ὁποῖος καταστρέφει τοὺς ξένους κόπους, καὶ ὁ ἴδιος μὲν ποτὲ δὲν προσπαθεῖ νὰ σηκωθῇ, δακρύζει δὲ ὅταν ἰδῇ ἄλλον νὰ ἔχῃ σηκωθῇ καὶ πράττει τὰ πάντα διὰ νὰ τὸν μειώσῃ.

Μὲ τί θὰ ἠμποροῦσε λοιπὸν νὰ παρομοιάσῃ κανεὶς αὐτὸ τὸ πάθος; Νομίζω ὅτι αὐτὸ εἶναι ὅμοιον μὲ τὸ νὰ εἶναι

κία βεβαρημένος ἵππῳ πτηνῷ συνεζευγμένος, μήτε αὐτὸς διανίστασθαι βούλοιτο, καὶ ἐκεῖνον τῷ βάρει τῶν σαρκῶν καθέλκειν ἐπιχειροίη. Καὶ γὰρ καὶ οὗτος, ὅπως μὲν αὐτὸς ἀπαλλαγείη τοῦ βαθέος ὕπνου τούτου, οὐδὲν οὔτε ἐννοεῖ, οὔτε σπουδάζει· πάντα δὲ ποιεῖ ὥστε τὸν εἰς τὸν οὐρανὸν ἱπτάμενον ὑποσκελίσαι καὶ καταβαλεῖν, ἀκριβὴς τοῦ διαβόλου ζηλωτὴς γινόμενος. Καὶ γὰρ ἐκεῖνος ὁρῶν τὸν ἄνθρωπον ἐν παραδείσῳ, οὐκ αὐτὸς ἐσπούδασε μεταβαλέσθαι, ἀλλ' ἐκεῖνον ἐκβαλεῖν τοῦ παραδείσου. Καὶ πάλιν ἰδὼν αὐτὸν ἐν οὐρανῷ καθήμενον, καὶ τοὺς ἄλλους ἐπειγομένους ἐκεῖ, τῆς αὐτῆς ἔχεται μελέτης, τοὺς ἐκεῖ σπεύδοντας ὑποσκελίζων, καὶ πλείονα ἐντεῦθεν ἑαυτῷ σωρεύων τὴν κάμινον. Καὶ γὰρ ἁπανταχοῦ τοῦτο συμβαίνει· ὁ μὲν φθονούμενος, ἂν νήφῃ, λαμπρότερος γίνεται, ὁ δὲ βασκαίνων πλείονα ἑαυτῷ συνάγει κακά. Οὕτω καὶ ὁ Ἰωσὴφ ἐγένετο λαμπρός· οὕτως Ἀαρὼν ὁ ἱερεύς· ἡ γὰρ τῶν φθονούντων ἐπιβουλὴ καὶ ἅπαξ καὶ δὶς ψηφίσασθαι αὐτῷ τὸν Θεὸν ἐποίησε, καὶ τὴν ῥάβδον βλαστῆσαι παρεσκεύασεν. Οὕτως ὁ Ἰακὼβ τῆς πολλῆς εὐπορίας ἀπέλαυσε, καὶ τῶν ἄλλων ἁπάντων. Οὕτως οἱ βασκαίνοντες μυρίοις ἑαυτοὺς περιέπειραν κακοῖς. Ἅπερ εἰδότες ἅπαντα, φύγωμεν τὸν τοιοῦτον ζῆλον. Τίνος γὰρ ἕνεκεν, εἰπέ μοι, φθονεῖς; ὅτι χάριν ἔλαβε πνευματικὴν ὁ ἀδελφός; Καὶ παρὰ τίνος ἔλαβεν, εἰπέ μοι; οὐ παρὰ Θεοῦ; Οὐκοῦν πρὸς ἐκεῖνον τὴν ἀπέχθειαν ἀναδέχῃ τὸν δεδωκότα τὴν δωρεάν.

Εἶδες ποῖ τὸ κακὸν ἕρπει, καὶ οἷον τῶν ἁμαρτημάτων τὸν κολοφῶνα ἐπάγει, καὶ ὅσον ἀνορύττει βάραθρον τιμωρίας; Φεύγωμεν τοίνυν, ἀγαπητοί, καὶ μήτε φθονῶμεν, καὶ τῶν φθονούντων ὑπερευχώμεθα, καὶ πάντα ποιῶμεν ὥστε αὐτῶν κατασβέσαι τὸ πάθος· ἀλλὰ μὴ τὰ τῶν ἀνοήτων πάσχωμεν, οἵ, βουλόμενοι δίκην αὐτοὺς ἀπαιτῆσαι, πάντα ποι-

ἐζευγμένος κάποιος νωθρὸς καὶ βαρὺς ἀπὸ τὴν πολυσαρκίαν ὄνος μαζὶ μὲ κάποιον ἵππον πτερωτόν, καὶ ὄχι μόνον νὰ μὴ θέλῃ αὐτὸς νὰ σηκωθῇ, ἀλλὰ καὶ νὰ προσπαθῇ νὰ τὸν σύρῃ πρὸς τὰ κάτω. Διότι καὶ αὐτός, οὔτε σκέπτεται, οὔτε προσπαθεῖ καθόλου διὰ ν' ἀπαλλαγῇ ἀπὸ τὸν βαθὺν αὐτὸν ὕπνον· κάμνει δὲ τὰ πάντα διὰ νὰ ρίψῃ καὶ νὰ κατεβάσῃ αὐτὸν ποὺ πετᾷ εἰς τὸν οὐρανόν, ἀφοῦ ἔχει γίνει ἀκριβῶς ζηλωτὴς τοῦ διαβόλου. Καθ' ὅσον καὶ ἐκεῖνος, ὅταν εἶδε τὸν ἄνθρωπον εἰς τὸν παράδεισον, δὲν προσεπάθησεν ὁ ἴδιος νὰ διορθωθῇ, ἀλλὰ νὰ ἐκβάλῃ ἐκεῖνον ἀπὸ τὸν παράδεισον. Καὶ πάλιν ὅταν ἰδῇ αὐτὸν νὰ κάθηται εἰς τὸν οὐρανὸν καὶ τοὺς ἄλλους νὰ σπεύδουν νὰ φθάσουν ἐκεῖ, τὸ ἴδιον πρᾶγμα μελετᾷ, δηλαδὴ αὐτοὺς ποὺ ἀγωνίζονται νὰ φθάσουν ἐκεῖ νὰ τοὺς ρίψῃ, καὶ ἐξ αἰτίας αὐτοῦ σωρεύει διὰ τὸν ἑαυτόν του περισσότερον πῦρ. Καὶ πράγματι παντοῦ αὐτὸ συμβαίνει· αὐτὸς μὲν ποὺ φθονεῖται, ἐὰν ἀγρυπνᾷ, γίνεται λαμπρότερος, ἐνῷ αὐτὸς ποὺ φθονεῖ περισσότερα κακὰ ἐπισωρεύει εἰς τὸν ἑαυτόν του. Ἔτσι καὶ ὁ Ἰωσὴφ ἀνεδείχθη λαμπρός· ἔτσι ὁ Ἀαρὼν ὁ ἱερεύς· διότι ἡ ἔχθρα τῶν φθονούντων καὶ μίαν καὶ δύο φορὰς ἔκαμε τὸν Θεὸν νὰ ἐκλέξῃ αὐτὸν καὶ ἔκανε τὴν ράβδον νὰ βλαστήσῃ. Ἔτσι ὁ Ἰακὼβ ἀπήλαυσε τὸν πολὺν πλοῦτον καὶ ὅλα τὰ ἄλλα. Ἔτσι ὅσοι φθονοῦν διατρυποῦν τὸν ἑαυτόν των μὲ ἄπειρα κακά, τὰ ὁποῖα, ἀφοῦ τὰ ἐγνωρίσαμεν ὅλα, ἂς ἀποφύγωμεν αὐτὴν τὴν κακὴν ζηλοτυπίαν. Διότι, εἰπέ μου, διατί φθονεῖς; διότι ἔλαβεν ὁ ἀδελφὸς πνευματικὴν χάριν; Καὶ ἀπὸ ποῖον ἔλαβεν; εἰπέ μου, ὄχι ἀπὸ τὸν Θεόν; Λοιπὸν πρὸς ἐκεῖνον μεταβαίνει ἡ ἔχθρα σου, ὁ ὁποῖος ἔδωσε τὴν δωρεάν.

Εἶδες ποῦ σύρεται κρυφίως τὸ κακὸν καὶ εἰς ποῖον ἀποκορύφωμα ἁμαρτίας ὁδηγεῖ καὶ πόσον βαθὺ βάραθρον τιμωρίας σκάπτει; Ἂς ἀποφεύγωμεν αὐτὸ λοιπόν, ἀγαπητοί, καὶ ἂς μὴ φθονῶμεν καὶ δι' ὅσους φθονοῦν ἂς προσευχώμεθα καὶ ἂς κάμνωμεν τὰ πάντα διὰ νὰ σβήσωμεν τὸ πάθος των· ἀλλ' ἂς μὴ παθαίνωμεν αὐτὰ ποὺ παθαίνουν οἱ ἀνόητοι οἱ ὁποῖοι, ἐπειδὴ θέλουν νὰ τιμωρήσουν αὐτούς, πράττουν

οὖσιν ὥστε αὐτῶν ἀνάψαι τὴν φλόγα. Ἀλλὰ μὴ ἡμεῖς οὔτως, ἀλλὰ δακρύωμεν αὐτοὺς καὶ θρηνῶμεν. Αὐτοὶ γάρ εἰσιν οἱ ἠδικημένοι, σκώληκα ἔχοντες διηνεκῆ διατρώγοντα αὐτῶν τὴν καρδίαν, καὶ πηγὴν ἰοῦ συνάγοντες πάσης χολῆς πικροτέραν.

Παρακαλῶμεν τοίνυν τὸν φιλάνθρωπον Θεὸν καὶ ἐκείνοις τὸ πάθος μεταβαλεῖν, καὶ ἡμᾶς μήποτε ἐμπεσεῖν τῷ νοσήματι. Καὶ γὰρ ἄβατος ὁ οὐρανὸς τῷ ταύτην ἔχοντι τὴν τηκεδόνα· καὶ πρὸ τοῦ οὐρανοῦ δὲ καὶ ὁ παρὼν βίος ἀβίωτος. Οὐδὲ γὰρ οὕτω ξύλον καὶ ἔριον σὴς ἐγκαθήμενος καὶ σκώληξ διατρώγειν εἴωθεν, ὡς ὁ τῆς βασκανίας πυρετὸς αὐτὰ κατεσθίει τὰ ὀστᾶ τῶν βασκαινόντων καὶ τῆς ψυχῆς τὴν σωφροσύνην λυμαίνεται. Ἵν' οὖν καὶ ἑαυτοὺς καὶ ἑτέρους τῶν μυρίων ἀπαλλάξωμεν κακῶν, ἀπελάσωμεν τὸν πονηρὸν τοῦτον ἐξ ἡμῶν πυρετόν, τὸν πάσης τηκεδόνος χαλεπώτερον· ἵνα πνευματικὴν ἀναλαβόντες ἰσχύν, καὶ τὸν παρόντα διανύσωμεν ἀγῶνα, καὶ τῶν μελλόντων ἐπιτύχωμεν στεφάνων· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ σὺν τῷ ἁγίῳ καὶ ἀγαθῷ Πνεύματι ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

τὰ πάντα καὶ ἀνάπτουν τὴν φλόγα των. Ἐμεῖς ὅμως ἂς μὴ ἐνεργοῦμεν ἔτσι, ἀλλ' ἂς δακρύωμεν καὶ ἂς θρηνῶμεν δι' αὐτούς. Διότι αὐτοὶ δεινοπαθοῦν, ἀφοῦ ἔχουν μέσα των σκώληκα, ὁ ὁποῖος κατατρώγει παντοτεινὰ τὴν καρδίαν των, καὶ πηγὴν δηλητηρίου πικροτέρου καὶ ἀπὸ τὴν χολήν.

Ἂς παρακαλοῦμεν λοιπὸν τὸν φιλάνθρωπον Θεὸν καὶ εἰς ἐκείνους νὰ μεταβάλῃ τὸ πάθος εἰς ἀγάπην, καὶ ἐμεῖς ποτὲ νὰ μὴ πέσωμεν εἰς αὐτὴν τὴν νόσον. Διότι εἶναι ἀπάτητος ὁ οὐρανὸς δι' ὅποιον ἔχει αὐτὴν τὴν νόσον ποὺ τὸν λειώνει, ἀλλὰ καὶ πρὶν ἀπὸ τὸν οὐρανὸν καὶ ἡ παροῦσα ζωὴ εἶναι ἀβίωτος. Διότι οὔτε ὁ σκῶρος καὶ ὁ σκώληξ, ἀφοῦ εἰσέλθῃ εἰς τὸ ξύλον καὶ τὸ ἔνδυμα, τρώγει αὐτὰ ἔτσι, ὅσον ὁ πυρετὸς τοῦ φθόνου κατατρώγει τὰ ἴδια τὰ ὀστᾶ αὐτῶν ποὺ φθονοῦν καὶ φθείρει τὴν σωφροσύνην τῆς ψυχῆς. Διὰ ν' ἀπαλλάξωμεν λοιπὸν καὶ τοὺς ἑαυτούς μας καὶ ἄλλους ἀπὸ τὰ ἀμέτρητα κακά, ἂς ἀποδιώξωμεν ἀπὸ ἐμᾶς αὐτὸν τὸν κακὸν πυρετόν, ποὺ εἶναι φοβερώτερος ἀπὸ κάθε φθοράν· ὥστε, ἀφοῦ ἀναλάβωμεν πνευματικὴν δύναμιν καὶ τελειώσωμεν τὸν ἀγῶνα τῆς παρούσης ζωῆς, νὰ ἐπιτύχωμεν καὶ τοὺς στεφάνους τῆς μελλούσης ζωῆς, τοὺς ὁποίους εἴθε νὰ ἐπιτύχωμεν ὅλοι, μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖον εἰς τὸν Πατέρα καὶ τὸ ἅγιον καὶ ἀγαθὸν Πνεῦμα ἀνήκει ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΛΟΓΟΣ ΛΒ´
Α´ Κορ. 12, 27 - 13, 3

«Ὑμεῖς δέ ἐστε σῶμα Χριστοῦ, καὶ μέλη ἐκ μέρους».

1. Ἵνα γὰρ μή τις λέγῃ, καὶ τί πρὸς ἡμᾶς τοῦ σώματος τὸ ὑπόδειγμα; ἐκεῖνο μὲν γὰρ φύσει δουλεύει, τὰ δὲ ἡμέτερα προαιρέσεώς ἐστι κατορθώματα· προσάγων αὐτὸ τοῖς καθ' ἡμᾶς πράγμασι, καὶ δεικνὺς ὅτι τοσαύτην ἀπὸ γνώμης ὀφείλομεν ἔχειν ὁμόνοιαν, ὅσην ἀπὸ φύσεως ἐκεῖνα, φησίν, «Ὑμεῖς δέ ἐστε σῶμα Χριστοῦ». Εἰ δὲ τὸ ἡμέτερον οὐ δεῖ στασιάζειν σῶμα, πολλῷ μᾶλλον τὸ τοῦ Χριστοῦ, καὶ τοσούτῳ μᾶλλον, ὅσῳ φύσεως χάρις δυνατωτέρα. «Καὶ μέλη ἐκ μέρους». Οὐ γὰρ δὴ σῶμα μόνον, φησίν, ἀλλὰ καὶ μέλη ἐσμέν. Περὶ γὰρ ἀμφοτέρων τούτων ἀνωτέρω διελέχθη, τοὺς πολλοὺς εἰς ἓν συναγαγών, καὶ δεικνὺς ἅπαντας ἕν τι κατὰ τὴν τοῦ σώματος εἰκόνα γινομένους, καὶ τὸ ἓν τοῦτο διὰ τῶν πολλῶν συνιστάμενον, καὶ ἐν τοῖς πολλοῖς ὄν, καὶ τὰ πολλὰ ἐκ τούτου συνεχόμενα καὶ δυνάμενα εἶναι πολλά.

Τί δέ ἐστι τό, «ἐκ μέρους»; Τό γε εἰς ὑμᾶς ἧκον, καὶ ὅσον εἰκὸς ἐξ ὑμῶν οἰκοδομηθῆναι μέρος. Ἐπειδὴ γὰρ εἶπε, «σῶμα», τὸ δὲ πᾶν σῶμα ἦν, οὐχὶ ἡ παρὰ Κορινθίοις ἐκκλησία, ἀλλ' ἡ πανταχοῦ τῆς οἰκουμένης, διὰ τοῦτο ἔφησεν, «ἐκ μέρους»· τουτέστιν, ὅτι ἡ ἐκκλησία ἡ παρ' ὑμῖν μέρος ἐστὶ τῆς πανταχοῦ κειμένης ἐκκλησίας, καὶ τοῦ σώματος τοῦ διὰ πασῶν συνισταμένου τῶν ἐκκλησιῶν· ὥστε οὐχὶ πρὸς ἀλλήλους μόνον, ἀλλὰ καὶ πρὸς πᾶσαν τὴν κατὰ τὴν οἰκουμένην ἐκκλησίαν εἰρηνεύειν ἂν εἴητε δίκαιοι, εἴγε παντός ἐστε μέλη τοῦ σώματος.

ΛΟΓΟΣ ΛΒ΄
Α΄ Κορ. 12, 27 - 13, 3

«Σεῖς εἶσθε σῶμα τοῦ Χριστοῦ, καὶ ὁ καθεὶς εἶναι μέλος τοῦ σώματος εἰς ἓν μέρος του».

1. Διὰ νὰ μὴ λέγῃ λοιπὸν κανείς, καὶ τί μᾶς ἐνδιαφέρει τὸ παράδειγμα τοῦ σώματος; διότι ἐκεῖνο μὲν ἐκ φύσεως ὑπηρετεῖ, ἐνῷ τὰ ἰδικά μας εἶναι κατορθώματα ἐλευθέρας προαιρέσεως· ἀφοῦ πλησιάζει αὐτὸ εἰς τὰ ἰδικά μας πράγματα καὶ δεικνύει ὅτι τόσην ὁμόνοιαν ὀφείλομεν νὰ ἔχωμεν ἀπὸ ἰδικήν μας προαίρεσιν, ὅσην ἐκεῖνα ἐκ φύσεως, λέγει, «Σεῖς εἶσθε σῶμα τοῦ Χριστοῦ». Ἐφ' ὅσον δὲ τὸ ἰδικόν μας σῶμα δὲν πρέπει νὰ ἐπαναστατῇ, πολὺ περισσότερον τὸ σῶμα τοῦ Χριστοῦ, καὶ τόσον περισσότερον, ὅσον δυνατωτέρα εἶναι ἡ χάρις ἀπὸ τὴν φύσιν. «Καὶ ὁ καθεὶς εἶναι μέλος τοῦ σώματος». Δηλαδή, λέγει, ὄχι μόνον σῶμα, ἀλλὰ καὶ μέλη εἴμεθα. Διότι καὶ διὰ τὰ δύο αὐτὰ ὡμίλησε προηγουμένως, ὅταν συνήνωσε τοὺς πολλοὺς εἰς ἓν καὶ δεικνύει ὅτι ὅλοι γίνονται ἓν συμφώνως πρὸς τὴν εἰκόνα τοῦ σώματος, καὶ αὐτὸ τὸ ἓν συνίσταται ἀπὸ τὰ πολλά, καὶ ἐνῷ εἶναι εἰς τὰ πολλὰ καὶ τὰ πολλὰ ἀπὸ αὐτὸ συνέχονται καὶ ἠμποροῦν νὰ εἶναι πολλά.

Τί σημαίνει δὲ τὸ «ἐκ μέρους»; Αὐτὸ ποὺ ἀνήκει εἰς ἐσᾶς καὶ ὅσον εἶναι δυνατὸν νὰ οἰκοδομηθῇ ἀπὸ σᾶς. Ἐπειδὴ δηλαδὴ εἶπε, «σῶμα», ἀλλὰ σῶμα εἶναι ὁλόκληρος, ὄχι μόνον ἡ ἐκκλησία τῶν Κορινθίων, ἀλλ' αὐτὴ ποὺ εἶναι ἐξηπλωμένη εἰς ὅλην τὴν οἰκουμένην, δι' αὐτὸ εἶπεν, «ἐκ μέρους»· δηλαδή, ὅτι ἡ ἰδική σας ἐκκλησία εἶναι μέρος τῆς ἐκκλησίας ποὺ εὑρίσκεται παντοῦ καὶ τοῦ σώματος ποὺ συνίσταται ἀπὸ ὅλας τὰς ἐκκλησίας· ὥστε ὄχι μόνον μεταξύ σας, ἀλλὰ καὶ πρὸς ὅλην τὴν ἐκκλησίαν τῆς οἰκουμένης θὰ εἰρηνεύετε ἐὰν εἶσθε ἐνάρετοι, ἀφοῦ βεβαίως εἶσθε μέλη ὅλου τοῦ σώματος.

«Καὶ οὓς μὲν ἔθετο ὁ Θεὸς ἐν τῇ ἐκκλησίᾳ, πρῶτον ἀποστόλους, δεύτερον προφήτας, τρίτον διδασκάλους, ἔπειτα δυνάμεις, ἔπειτα χαρίσματα ἰαμάτων, ἀντιλήψεις, κυβερνήσεις, γένη γλωσσῶν». Ὅπερ γὰρ ἔφθην εἰπών, τοῦτο καὶ νῦν ποιεῖ· ἐπειδὴ μέγα ἐφρόνουν ἐπὶ ταῖς γλώτταις, ἔσχατον αὐτὸ τίθησι πανταχοῦ. Τὸ γὰρ πρῶτον ἐνταῦθα καὶ δεύτερον οὐχ ἁπλῶς εἴρηκεν, ἀλλ' ὑποτάττων, τὸ προτιμότερον καὶ τὸ καταδεέστερον δεικνύς. Διὸ καὶ τοὺς ἀποστόλους προὔθηκεν, οἳ πάντα ἐν ἑαυτοῖς εἶχον τὰ χαρίσματα. Καὶ οὐκ εἶπεν, ὅτι οὓς μὲν ἔθετο ὁ Θεὸς ἐν τῇ ἐκκλησίᾳ ἀποστόλους, ἁπλῶς, ἢ προφήτας, ἀλλὰ πρῶτον καὶ δεύτερον καὶ τρίτον τίθησι, τὸ αὐτὸ τοῦτο, ὅπερ εἶπον, ἐμφαίνων.

«Δεύτερον προφήτας». Προεφήτευον γάρ, ὡς αἱ θυγατέρες Φιλίππου, ὡς ὁ Ἄγαβος, ὡς αὐτοὶ οὗτοι οἱ παρὰ Κορινθίοις, περὶ ὧν φησι, «Προφῆται δὲ δύο ἢ τρεῖς λαλείτωσαν». Καὶ Τιμοθέῳ δὲ γράφων ἔλεγε, «Μὴ ἀμέλει τοῦ ἐν σοὶ χαρίσματος, ὃ ἐδόθη σοι διὰ προφητείας». Καὶ πολλῷ πλείους τότε ἦσαν, ἢ ἐπὶ τῆς παλαιᾶς. Οὐ γὰρ εἰς δέκα καὶ εἴκοσι καὶ πεντήκοντα καὶ ἑκατὸν περιειστήκει τὸ χάρισμα, ἀλλ' ἐξεχεῖτο δαψιλῶς ἡ χάρις αὕτη, καὶ ἑκάστη ἐκκλησία πολλοὺς εἶχε τοὺς προφητεύοντας. Εἰ δέ φησιν ὁ Χριστός, ὅτι «Ὁ νόμος καὶ οἱ προφῆται ἕως Ἰωάννου», περὶ ἐκείνων φησὶ τῶν προφητῶν τῶν τὴν παρουσίαν αὐτοῦ προαναφωνησάντων.

«Τρίτον διδασκάλους». Ὁ μὲν γὰρ προφητεύων, πάντα ἀπὸ τοῦ Πνεύματος φθέγγεται· ὁ δὲ διδάσκων, ἔστιν ὅπου καὶ ἐξ οἰκείας διανοίας διαλέγεται. Διὸ καὶ ἔλεγεν, «Οἱ καλῶς προεστῶτες πρεσβύτεροι διπλῆς τιμῆς ἀξιούσθωσαν, μάλιστα οἱ κοπιῶντες ἐν λόγῳ καὶ διδασκαλίᾳ». Ὁ δὲ Πνεύ-

1. Α' Κορ. 14, 29.
2. Α' Τιμ. 4, 14.
3. Ματθ. 11, 13.
4. Α' Τιμ. 5, 17.

«Καὶ ὁ Θεὸς ἐτοποθέτησεν εἰς τὴν ἐκκλησίαν πρῶτον ἀποστόλους, δεύτερον προφήτας, τρίτον διδασκάλους, ἔπειτα ἔρχονται αἱ θαυματουργικαὶ δυνάμεις, ἔπειτα τὰ θεραπευτικὰ χαρίσματα, παροχαὶ βοηθείας, διοικητικαὶ ἱκανότητες, διάφορα εἴδη γλωσσολαλιῶν». Αὐτὸ δηλαδή, ποὺ ἤδη εἶπον, αὐτὸ κάμνει καὶ τώρα· ἐπειδὴ ἐθεώρουν μέγα χάρισμα τὸ νὰ ὁμιλοῦν γλώσσας, αὐτὸ θέτει παντοῦ τελευταῖον. Διότι ἐδῶ τὸ πρῶτον καὶ δεύτερον δὲν τὰ ἀνέφερε τυχαῖα, ἀλλ' ἱεραρχῶν αὐτά, διὰ νὰ δείξῃ τὸ ἀνώτερον καὶ τὸ κατώτερον. Δι' αὐτὸ καὶ ἔθεσε πρώτοις τοὺς ἀποστόλους, οἱ ὁποῖοι εἶχον εἰς τοὺς ἑαυτούς των ὅλα τὰ χαρίσματα. Καὶ δὲν εἶπεν, ὅτι ὁ Θεὸς ἐτοποθέτησεν εἰς τὴν ἐκκλησίαν ἀποστόλους, ἔτσι ἁπλῶς, ἢ προφήτας, ἀλλὰ θέτει πρῶτον καὶ δεύτερον καὶ τρίτον, διὰ νὰ δείξῃ αὐτὸ ἀκριβῶς ποὺ εἶπον.

«Δεύτερον προφήτας». Διότι προεφήτευον, ὅπως αἱ θυγατέρες τοῦ Φιλίππου, ὅπως ὁ Ἄγαθος, ὅπως αὐτοὶ οἱ ἴδιοι οἱ Κορίνθιοι, ὅσοι προεφήτευον, διὰ τοὺς ὁποίους λέγει, «Προφῆται δὲ δύο ἢ τρεῖς ἂς ὁμιλοῦν»[1]. Καὶ εἰς τὸν Τιμόθεον δὲ ὅταν γράφῃ λέγει, «Μὴ παραμελῇς τὸ χάρισμα ποὺ εἶναι μέσα σου καὶ ποὺ σοῦ ἐδόθη διὰ προφητείας»[2]. Καὶ πολὺ περισσότεροι ἦσαν τότε, παρὰ εἰς τὴν παλαιὰν διαθήκην. Διότι τὸ χάρισμα δὲν ἐδίδετο εἰς δέκα καὶ εἴκοσι καὶ πενήντα καὶ ἑκατόν, ἀλλ' ἐξηπλοῦτο πλουσίως αὐτὴ ἡ χάρις καὶ κάθε ἐκκλησία εἶχε πολλοὺς οἱ ὁποῖοι προεφήτευον. Ἐὰν δὲ λέγῃ ὁ Χριστὸς ὅτι «ὅλοι οἱ προφῆται καὶ ὁ νόμος μέχρι τοῦ Ἰωάννου προεφήτευσαν»[3], ὁμιλεῖ δι' ἐκείνους τοὺς προφήτας ποὺ προεῖπον τὴν ἰδικήν του παρουσίαν.

«Τρίτον διδασκάλους». Διότι αὐτὸς μὲν ποὺ προφητεύει, ὅλα τὰ λέγει ἐπειδὴ φωτίζεται ἀπὸ τὸ ἅγιον Πνεῦμα, ἐνῷ αὐτὸς ποὺ διδάσκει, κάπου - κάπου ὁμιλεῖ καὶ ἀπὸ ἰδικήν του σκέψιν. Δι' αὐτὸ καὶ ἔλεγεν, «Οἱ πρεσβύτεροι, οἱ ὁποῖοι εἶναι καλοὶ προϊστάμενοι, πρέπει νὰ κρίνωνται ἄξιοι διπλῆς τιμῆς, μάλιστα ἐκεῖνοι ποὺ κοπιάζουν μὲ τὸ κήρυγμα καὶ τὴν διδασκαλίαν»[4]. Ἀλλ' αὐτὸς ποὺ λέγει τὰ

ματι πάντα φθεγγόμενος, οὐ κοπιᾷ. Διὰ δὴ τοῦτο καὶ μετὰ τὸν προφήτην αὐτὸν τέθεικεν· ὅτι τὸ μὲν ὅλον ἐστὶ χάρισμα, τὸ δὲ καὶ ἀνθρώπινος πόνος. Καὶ γὰρ καὶ οἴκοθεν πολλὰ φθέγγεται, συμβαίνοντα μέντοι ταῖς θείαις Γραφαῖς.

«Ἔπειτα δυνάμεις, ἔπειτα χαρίσματα ἰαμάτων». Ὁρᾷς πῶς πάλιν διαιρεῖ τὰ ἰάματα ἀπὸ τῆς δυνάμεως, ὅπερ καὶ ἔμπροσθεν ἐποίησεν; ἡ γὰρ δύναμις πλέον τῆς ἰάσεως. Ὁ μὲν γὰρ δύναμιν ἔχων, καὶ κολάζει καὶ ἰᾶται, ὁ δὲ χάρισμα ἰαμάτων, θεραπεύει μόνον. Καὶ ὅρα πῶς ἀρίστη κέχρηται τῇ τάξει, τὴν προφητείαν τῶν δυνάμεων καὶ τῶν ἰαμάτων προτιθείς. Ἀνωτέρω μὲν γάρ, ἔνθα ἔλεγεν, ὅτι «Τῷ μὲν διὰ τοῦ Πνεύματος δίδοται λόγος σοφίας, καὶ ἄλλῳ λόγος γνώσεως», οὐ κατὰ τάξιν τιθεὶς ἔλεγεν, ἀλλ' ἀδιαφόρως· ἐνταῦθα μέντοι προτίθησι καὶ ὑποτάττει.

Τίνος οὖν ἕνεκεν τὴν προφητείαν προτίθησιν; Ὅτι καὶ ἐν τῇ παλαιᾷ ταύτην ἔχει τὸ πρᾶγμα τὴν τάξιν. Ὅτε γοῦν ὁ Ἠσαΐας πρὸς Ἰουδαίους διελέγετο, καὶ τῆς τοῦ Θεοῦ δυνάμεως παρεῖχεν ἀπόδειξιν, καὶ τῆς τῶν δαιμόνων εὐτελείας τὸν ἔλεγχον παρῆγεν εἰς μέσον, καὶ τοῦτο τῆς θεότητος αὐτοῦ ἔφησεν εἶναι δεῖγμα μέγιστον, τὸ λέγειν τὰ μέλλοντα. Καὶ ὁ Χριστὸς δὲ τοσαῦτα σημεῖα ποιήσας, οὐ μικρὸν τοῦτό φησιν αὐτοῦ τῆς θεότητος εἶναι σημεῖον· καὶ ἐπιλέγει συνεχῶς. «Ταῦτα δὲ εἴρηκα ὑμῖν, ἵνα, ὅταν γένηται, πιστεύσητε ὅτι ἐγώ εἰμι».

Ἀλλὰ προφητείας μὲν εἰκότως τὰ χαρίσματα τῶν ἰαμάτων δεύτερα· διὰ τί δὲ καὶ διδασκαλίας; Ὅτι οὐκ ἔστιν ἴσον, λόγον καταγγέλλειν κηρύγματος· καὶ σπείρειν τὴν εὐσέβειαν εἰς τὰς τῶν ἀκουόντων ψυχάς, καὶ δυνάμεις ποι-

5. Ἰω. 13, 19.

πάντα ἀπὸ τὸ ἅγιον Πνεῦμα, δὲν κοπιάζει. Δι' αὐτὸ λοιπὸν καὶ ἔθεσε τὸν διδάσκαλον μετὰ ἀπὸ τὸν προφήτην καθ' ὅσον ἐκεῖνο μὲν εἶναι ἐξ ὁλοκλήρου χάρισμα, ἐνῷ αὐτὸ ἔχει καὶ ἀνθρώπινον κόπον. Διότι καὶ ἐφ' ἑαυτοῦ λέγει πολλά, ποὺ ὅμως συμφωνοῦν μὲ τὰς ἁγίας Γραφάς.

«Ἔπειτα ἔρχονται αἱ θαυματουργικαὶ δυνάμεις, ἔπειτα τὰ θεραπευτικὰ χαρίσματα». Βλέπεις πῶς διακρίνει πάλιν τὰ θεραπευτικὰ χαρίσματα ἀπὸ τὰς θαυματουργικὰς δυνάμεις, πρᾶγμα ποὺ ἔκανε καὶ προηγουμένως; Καθ' ὅσον ἡ θαυματουργικὴ δύναμις εἶναι ἀνωτέρα ἀπὸ τὸ θεραπευτικὸν χάρισμα. Διότι αὐτὸς μὲν ποὺ ἔχει δύναμιν καὶ τιμωρεῖ καὶ θεραπεύει, ἐνῷ αὐτὸς ποὺ ἔχει θεραπευτικὸν χάρισμα, μόνον θεραπεύει. Καὶ πρόσεχε πῶς χρησιμοποιεῖ ἀρίστην τάξιν, θέτων τὴν προφητείαν πρὶν ἀπὸ τὰς θαυματουργικὰς δυνάμεις καὶ τὸ θεραπευτικὸν χάρισμα. Διότι προηγουμένως μέν, ἐκεῖ ὅπου ἔλεγεν ὅτι, «Εἰς τὸν ἕνα δίδεται διὰ τοῦ ἁγίου Πνεύματος λόγος σοφίας, εἰς ἄλλον λόγος γνώσεως», δὲν ἔλεγεν αὐτὰ μὲ τάξιν, ἀλλ' ὅπως τύχῃ· ἐδῶ ὅμως προτάσσει καὶ ὑποτάσσει.

Διατί λοιπὸν προτάσσει τὴν προφητείαν; Διότι καὶ εἰς τὴν παλαιὰν διαθήκην αὐτὴν τὴν τάξιν ἔχουν τὰ χαρίσματα. Ὅταν λοιπὸν ὁ Ἠσαΐας ὡμίλει πρὸς τοὺς Ἰουδαίους καὶ ἔδιδεν ἀπόδειξιν τῆς δυνάμεως τοῦ Θεοῦ καὶ ἐπαρουσίαζεν σαφὲς σημεῖον τῆς μηδαμινότητος τῶν δαιμόνων, εἶπεν ὅτι καὶ αὐτὸ εἶναι μέγιστον δεῖγμα τοῦ μεγαλείου τῆς θεότητος, τὸ νὰ προλέγῃ κανεὶς τὰ μέλλοντα. Καὶ ὁ Χριστὸς δὲ ποὺ ἔκανε τόσα θαύματα, λέγει ὅτι αὐτὸ δὲν εἶναι μικρὸν σημεῖον τῆς θεότητος· καὶ λέγει συνεχῶς ὡς ἐπίλογον, «Σᾶς λέγω αὐτὰ ἀπὸ τώρα, πρὶν γίνουν, ὥστε ὅταν γίνουν νὰ πιστέψετε ὅτι ἐγὼ εἶμαι ὁ Χριστός»[5].

Ἀλλ' ἀπὸ τὴν μὲν προφητείαν ὀρθῶς εἶναι κατώτερα τὰ θεραπευτικὰ χαρίσματα· διατί ὅμως καὶ ἀπὸ τὴν διδασκαλίαν; Διότι δὲν εἶναι ἴσον τὸ νὰ κηρύττῃς τὸν λόγον τοῦ Θεοῦ καὶ νὰ σπείρῃς τὴν εὐσέβειαν εἰς τὰς ψυχὰς αὐτῶν ποὺ ἀκούουν, μὲ τὸ νὰ κάμνῃς θαύματα

εἶν· ἐπεὶ καὶ αὗται δι' ἐκεῖνον γίνονται. Ὅταν οὖν τις καὶ λόγῳ παιδεύῃ καὶ βίῳ, πάντων ἐστὶ μείζων. Διδασκάλους γὰρ τούτους φησί, τοὺς καὶ τοῖς ἔργοις διδάσκοντας καὶ τῷ λόγῳ παιδεύοντας. Τοῦτο γοῦν καὶ τοὺς ἀποστόλους εἶναι ἐποίησε. Κἀκεῖνα μὲν καὶ ἕτεροί τινες οὐ πολλοῦ ἄξιοι παρὰ τὴν ἀρχὴν εἰλήφασιν, ὡς ἐκεῖνοι οἱ εἰρηκότες. «Κύριε, οὐχὶ τῷ σῷ ὀνόματι προεφητεύσαμεν, καὶ δυνάμεις πολλὰς ἐποιήσαμεν»; καὶ μετὰ ταῦτα ἀκούσαντες, «Οὐδέποτε ἔγνων ὑμᾶς· πορεύεσθε ἀπ' ἐμοῦ οἱ ἐργαζόμενοι τὴν ἀνομίαν». Τὸν δὲ τῆς διδασκαλίας λόγον τὸν διπλοῦν τοῦτον, τὸν διὰ τῶν ἔργων καὶ τῶν λόγων, οὐκ ἂν ἀναδέξαιτό ποτε πονηρὸς ἄνθρωπος. Εἰ δὲ τοὺς προφήτας προτίθησι, μὴ θαυμάσῃς· οὐ γὰρ ἁπλῶς προφήτας λέγει, ἀλλὰ τοὺς διὰ τῆς προφητείας καὶ διδάσκοντας καὶ εἰς τὸ κοινῇ συμφέρον ἅπαντα λέγοντας· ὅπερ προϊὼν σαφέστερον ἡμῖν ποιεῖ.

«Ἀντιλήψεις, κυβερνήσεις». Τί ἐστιν, «ἀντιλήψεις»; Ὥστε ἀντέχεσθαι τῶν ἀσθενῶν. Τοῦτο οὖν χάρισμα, εἰπέ μοι; Μάλιστα μὲν καὶ τοῦτο τῆς τοῦ Θεοῦ δωρεᾶς, τὸ προστατικὸν εἶναι, τὸ πράγματα οἰκονομεῖν πνευματικά· ἄλλως δὲ πολλὰ καὶ τῶν ἡμετέρων κατορθωμάτων χαρίσματα καλεῖ, οὐκ ἀναπίπτειν ἡμᾶς βουλόμενος, ἀλλὰ δεικνὺς ὅτι τῆς τοῦ Θεοῦ πανταχοῦ δεόμεθα βοηθείας, καὶ παρασκευάζων εὐχαρίστους εἶναι, καὶ προθυμοτέρους ταύτῃ ποιῶν, καὶ διεγείρων αὐτῶν τὰ φρονήματα. «Γένη γνωσσῶν». Εἶδες ποῦ τέθεικε τουτὶ τὸ χάρισμα, καὶ πῶς πανταχοῦ τὴν ἐσχάτην αὐτῷ νέμει τάξιν;

2. Εἶτα ἐπειδὴ πάλιν ἐκ τοῦ καταλόγου τούτου πολλὴν ἔδειξε διαφοράν, καὶ τὸ νόσημα ἐκεῖνο διήγειρε τὸ τῶν ἐλάττονα ἐχόντων χαρίσματα· λοιπὸν μετὰ πολλῆς αὐτοῖς ἐπιπηδᾷ τῆς σφοδρότητος, διὰ τὸ πολλὰς αὐτοῖς παρασχεῖν τὰς ἀπο-

6. Ματθ. 7. 22-23.

καθ' ὅσον καὶ αὐτὰ δι' ἐκεῖνον τὸν σκοπὸν γίνονται. Ὅταν λοιπὸν κάποιος διδάσκῃ καὶ μὲ τὸν λόγον καὶ μὲ τὸν τρόπον ζωῆς, εἶναι ἀνώτερος ἀπὸ ὅλους. Διότι διδασκάλους αὐτοὺς λέγει, οἱ ὁποῖοι καὶ μὲ τὰ ἔργα διδάσκουν καὶ μὲ τὸν λόγον παιδεύουν. Αὐτὸ λοιπὸν ἔκαμε καὶ τοὺς ἀποστόλους νὰ εἶναι ἀπόστολοι. Καὶ ἐκεῖνα μὲν τὰ χαρίσματα ἔλαβον εἰς τὴν ἀρχὴν καὶ μερικοὶ ποὺ δὲν ἤξιζαν, ὅπως ἐκεῖνοι ποὺ εἶπον, «Κύριε, δὲν ἐπροφητεύσαμεν εἰς τὸ ὄνομά σου καὶ εἰς τὸ ὄνομά σου δὲν ἐκάναμε πολλὰ θαύματα;»[6], καὶ ποὺ μετὰ ἀπὸ αὐτὰ ἤκουσαν, «Ποτὲ δὲν σᾶς ἐγνώρισα· φύγετε ἀπὸ ἐμὲ σεῖς οἱ ἐργάται τῆς ἀνομίας»[6]. Ἐνῷ τὸν λόγον τῆς διδασκαλίας, ποὺ γίνεται μὲ τὸν διπλὸν αὐτὸν τρόπον, καὶ μὲ τὰ ἔργα καὶ μὲ τοὺς λόγους, δὲν εἶναι δυνατὸν ποτὲ νὰ λάβῃ ἀνάξιος ἄνθρωπος. Διὰ τὸ ὅτι δὲ προτάσσει τοὺς προφήτας, μὴ ἀπορρήσῃς· διότι δὲν ἐννοεῖ ἁπλῶς προφήτας, ἀλλ' ἐκείνους οἱ ὁποῖοι διὰ τῆς προφητείας συγχρόνως διδάσκουν καὶ λέγουν ὅλα διὰ τὸ συμφέρον ὅλων· πρᾶγμα ποὺ λέγει σαφέστερον εἰς τὴν συνέχειαν.

«Παροχαὶ βοηθείας, διοικητικαὶ ἱκανότητες». Τί εἶναι, «Ἀντιλήψεις; Τὸ νὰ βοηθῇ κανεὶς τοὺς ἀσθενεῖς. Αὐτὸ λοιπὸν εἶναι χάρισμα; Βεβαίως, καὶ μάλιστα καὶ αὐτὸ εἶναι δωρεὰ τοῦ Θεοῦ, τὸ νὰ προΐσταται κανείς, τὸ νὰ διοικῇ πνευματικὰ πράγματα· ἀλλὰ καὶ πολλὰ ἀπὸ τὰ ἰδικά μας κατορθώματα ὀνομάζει χαρίσματα, ὄχι διότι θέλει νὰ ἐπαναπαυθῶμεν καὶ νὰ ἀμελῶμεν, ἀλλὰ διὰ νὰ δείξῃ ὅτι παντοῦ ἔχομεν ἀνάγκην τῆς βοηθείας τοῦ Θεοῦ, καὶ νὰ μᾶς κάνῃ νὰ εἴμεθα εὐγνώμονες καὶ πρεσβύτεροι καὶ νὰ ἐνθαρρύνῃ καὶ ἐγκαρδιώσῃ αὐτούς. «Χαρίσματα διαφόρων γλωσσῶν». Εἶδες ποὺ ἔθεσεν αὐτὸ τὸ χάρισμα. καὶ πῶς παντοῦ δίδει εἰς αὐτὸ τὴν τελευταίαν θέσιν;

2. Ἐν συνεχείᾳ ἐπειδὴ ἔδειξεν ὅτι ὑπάρχει μεγάλη διαφορὰ εἰς τὰ χαρίσματα μὲ αὐτὸν τὸν κατάλογον καὶ ἠρέθησε τὴν νόσον ἐκείνων ποὺ εἶχον τὰ κατώτερα χαρίσματα, μὲ πολλὴν πλέον ὁρμὴν τοὺς προσβάλλει, διότι ἔδωσεν εἰς αὐτοὺς πολλὰς ἀποδείξεις διὰ τὸ ὅτι αὐτοὶ

δείξεις τοῦ μὴ σφόδρα ἐλαττοῦσθαι αὐτούς. Ἐπειδὴ γὰρ εἰκὸς ἦν ταῦτα ἀκούσαντας αὐτοὺς λέγειν· καὶ διὰ τί μὴ πάντες ἀπόστολοι ἐγενόμεθα; ἀνωτέρω μὲν παρακλητικωτέρῳ λόγῳ κέχρηται, διὰ πολλῶν ἀποδεικνὺς ἀναγκαίως τοῦτο γενόμενον, καὶ ἀπὸ τῆς τοῦ σώματος εἰκόνος· «Τὸ γὰρ σῶμα», φησίν, «οὐκ ἔστιν ἓν μέλος»· καὶ πάλιν, «Εἰ δὲ ἦν τὰ πάντα ἓν μέλος, ποῦ τὸ σῶμα;»· καὶ ἀπὸ τοῦ συμφερόντως δεδόσθαι· «Ἑκάστῳ» γάρ, φησίν, «ἡ φανέρωσις τοῦ Πνεύματος δίδοται πρὸς τὸ συμφέρον»· καὶ ἀπὸ τοῦ πάντας ἀπὸ τοῦ Πνεύματος ἀρύεσθαι τοῦ αὐτοῦ, καὶ ἀπὸ τοῦ χάρισμα εἶναι τὸ διδόμενον, ἀλλὰ μὴ ὀφειλήν· «Διαιρέσεις» γάρ, φησί, «χαρισμάτων εἰσί, τὸ δὲ αὐτὸ Πνεῦμα»· καὶ ἀπὸ τοῦ φανέρωσιν ὁμοίως γίνεσθαι διὰ πάντων τοῦ Πνεύματος· «Ἑκάστῳ γὰρ ἡ φανέρωσις», φησί, «δίδοται διὰ τοῦ Πνεύματος»· καὶ ἀπὸ τοῦ κατὰ τὸ δοκοῦν τῷ Πνεύματι καὶ τῷ Θεῷ ταῦτα τετυπῶσθαι· «Πάντα» γὰρ «ταῦτα», φησίν, «ἐνεργεῖ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ, καθὼς βούλεται»· καί, «Ἔθετο ὁ Θεὸς τὰ μέλη ἓν ἕκαστον αὐτῶν ἐν τῷ σώματι, καθὼς ἠθέλησε»· καὶ ἀπὸ τοῦ ἀναγκαῖα εἶναι καὶ τὰ ἐλάττονα· «Τὰ γὰρ δοκοῦντα», φησίν, «ἀσθενέστερα ὑπάρχειν, ἀναγκαῖά ἐστιν»· ἀπὸ τοῦ ὁμοίως ἀναγκαῖα εἶναι, ἐν τῷ ὁμοίως τὸ σῶμα κατασκευάζειν τοῖς μείζοσι· «Τὸ γὰρ σῶμα», φησίν, «οὐκ ἔστιν ἓν μέλος, ἀλλὰ πολλά»· ἀπὸ τοῦ καὶ τὰ μείζονα τῶν ἐλαττόνων δεῖσθαι· «Οὐ δύναται» γάρ, φησίν, «ἡ κεφαλὴ τοῖς ποσὶν εἰπεῖν, χρείαν ὑμῶν οὐκ ἔχω»· ἀπὸ τοῦ καὶ πλείονος ταῦτα ἀπολαύειν τιμῆς· «Τῷ γὰρ ὑστεροῦντι», φησί, «περισσοτέραν ἔδωκε τιμήν»· ἀπὸ τοῦ κοινὴν αὐτῶν εἶναι τὴν φροντίδα καὶ ἴσην· «Τὸ γὰρ αὐτὸ ὑπὲρ ἀλλήλων μεριμνῶσι πάντα τὰ μέλη»· καὶ ἀπὸ τοῦ μίαν εἶναι τὴν δόξαν καὶ τὴν ἀλγηδόνα αὐτῶν ἁπάντων· «Εἴτε γὰρ πάσχει», φησίν, «ἓν μέλος, συμπάσχει πάντα τὰ μέλη· εἴτε δοξάζεται ἓν μέλος, συγχαίρει πάντα τὰ μέλη».

Ἀνωτέρω μὲν οὖν παρεκάλεσε διὰ τούτων· ἐνταῦθα δὲ

δὲν ὑστεροῦν πολύ. Ἐπειδὴ δηλαδὴ ἦτο πιθανόν, ἀφοῦ ἀκούσουν αὐτά, νὰ λέγουν· Καὶ διατί δὲν ἐγίναμεν ὅλοι ἀπόστολοι; Προηγουμένως μὲν ὡμίλησε μὲ τρόπον παρηγορητικώτερον καὶ ἀπέδειξε μὲ πολλὰ ἐπιχειρήματα ὅτι κατ᾽ ἀνάγκην ἔγινεν αὐτό, καὶ χρησιμοποιῶν ὡς παράδειγμα τὸ σῶμα· διότι «τὸ σῶμα», λέγει, «δὲν εἶναι ἓν μέλος»· καὶ πάλιν, «Ἐὰν ὅλα ἦσαν ἓν μέλος, ποῦ θὰ ἦτο τὸ σῶμα;»· καὶ ἀπὸ τὸ ὅτι ἐδόθησαν πρὸς συμφέρον τὰ χαρίσματα· ὅτι «Εἰς τὸν καθένα», λέγει, «δίδεται ἡ φανέρωσις τοῦ Πνεύματος διὰ κάποιο καλόν»· καὶ ἀπὸ τὸ ὅτι ὅλοι ἀπὸ τὸν ἴδιον Πνεῦμα ἀντλοῦν, καὶ ἀπὸ τὸ ὅτι αὐτὸ ποὺ δίδεται εἶναι χάρισμα καὶ ὄχι ὀφειλή· διότι, «Ὑπάρχουν βεβαίως ποικιλίαι χαρισμάτων», λέγει, «ἀλλὰ τὸ Πνεῦμα εἶναι τὸ ἴδιον»· καὶ ἀπὸ τὸ ὅτι ἡ φανέρωσις γίνεται ὁμοίως εἰς ὅλους διὰ τοῦ ἁγίου Πνεύματος· διότι «Εἰς τὸν καθένα», λέγει, «δίδεται ἡ φανέρωσις τοῦ Πνεύματος»· καὶ ἀπὸ τὸ ὅτι αὐτὰ ἔχουν διαμορφωθῆ συμφώνως πρὸς τὸ θέλημα τοῦ Θεοῦ Πατρὸς καὶ τοῦ ἁγίου Πνεύματος· «διότι «Ὅλα αὐτά», λέγει, «ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα, τὸ ὁποῖον τὰ διανέμει εἰς τὸν καθένα ἰδιαιτέρως ὅπως αὐτὸ θέλει»· καί, «Ὁ Θεὸς ἐτοποθέτησε τὸ καθὲν ἀπὸ τὰ μέλη εἰς τὸ σῶμα, καθὼς ἠθέλησε»· καὶ ἀπὸ τὸ ὅτι καὶ τὰ κατώτερα εἶναι ἀναγκαῖα· διότι «τὰ μέλη ποὺ φαίνονται ὅτι εἶναι ἀσθενέστερα», λέγει, εἶναι ἀναγκαῖα»· ἀπὸ τὸ ὅτι εἶναι ἐξ ἴσου ἀναγκαῖα διότι ἀπαρτίζουν τὸ σῶμα ἐξ ἴσου μὲ τὰ ἀνώτερα μέλη· διότι «τὸ σῶμα», λέγει, «δὲν εἶναι ἓν μέλος, ἀλλὰ πολλά»· ἀπὸ τὸ ὅτι καὶ τὰ ἀνώτερα ἔχουν ἀνάγκην τῶν κατωτέρων· διότι «δὲν ἠμπορεῖ», λέγει, «ἡ κεφαλὴ νὰ εἰπῇ εἰς τὰ πόδια, δὲν σᾶς ἔχω ἀνάγκην»· ἀπὸ τὸ ὅτι αὐτὰ τὰ μέλη ἀπολαμβάνουν καὶ περισσοτέρας τιμῆς· διότι «ἔδωσε», λέγει, «μεγαλυτέραν τιμὴν εἰς τὸ μέλος ποὺ τὴν στερεῖται»· καὶ ἀπὸ τὸ ὅτι μία εἶναι ἡ τιμὴ καὶ ὁ πόνος ὅλων αὐτῶν· διότι «ἐὰν ἓν μέλος πάσχῃ» λέγει, «συμπάσχουν ὅλα τὰ μέλη· ἐὰν ἓν μέλος τιμᾶται, χαίρουν μαζὶ ὅλα τὰ μέλη».

Ἀνωτέρω λοιπὸν μὲ αὐτὰ ἐπαρηγόρησεν· ἐδῶ ὅμως

καταφορικῶς καὶ ἐπιτιμητικῶς κέχρηται τῷ λόγῳ λοιπόν. Ὅπερ γὰρ ἔφην, οὔτε ἀεὶ παρακαλεῖν δεῖ, οὔτε ἐπιστομίζειν ἀεί. Διὰ τοῦτο καὶ αὐτός, ἐπειδὴ διὰ πολλῶν αὐτοὺς παρεκάλεσε, σφοδρῶς λοιπὸν ἐπιτίθεται, λέγων· «Μὴ πάντες ἀπόστολοι; μὴ πάντες προφῆται; μὴ πάντες χαρίσματα ἔχουσιν ἰαμάτων;». Καὶ οὐχ ἵσταται μέχρι τοῦ πρώτου καὶ τοῦ δευτέρου χαρίσματος, ἀλλὰ μέχρις ἐσχάτων πρόεισιν· ἢ τοῦτο λέγων, ὅτι οὐ δυνατὸν πάντας εἶναι πάντα· ὥσπερ ἐκεῖ φησιν, «Εἰ ἦν τὰ πάντα ἓν μέλος, ποῦ τὸ σῶμα;», ἢ καὶ ἕτερόν τι μετὰ τούτων κατασκευάζων εἰς παραμυθίας λόγον πάλιν. Ποῖον δὴ τοῦτο; Τὸ δεῖξαι καὶ τὰ ἐλάττονα ὁμοίως τοῖς μείζοσι περιμάχητα, ἐκ τοῦ μηδὲ ταῦτα ἁπλῶς πᾶσι δεδόσθαι. Τί γάρ, φησίν, ἀλγεῖς, ὅτι οὐκ ἔχεις χαρίσματα ἰαμάτων; Ἐννόησον ὅτι ὅπερ ἔχεις σύ, κἂν ἔλαττον ᾖ, πολλάκις ὁ τὸ μεῖζον ἔχων οὐκ ἔχει. Διὰ τοῦτό φησι· «Μὴ πάντες γλώσσαις λαλοῦσι; μὴ πάντες διερμηνεύουσιν;». Ὥσπερ γὰρ τὰ μεγάλα οὐ πᾶσιν ἐχαρίσατο ὁ Θεὸς πάντα, ἀλλὰ τοῖς μὲν τοῦτο, τοῖς δὲ ἐκεῖνο· οὕτω καὶ ἐπὶ τῶν ἐλαττόνων ἐποίησεν, οὐδὲ ταῦτα πᾶσι προθείς. Ἐποίησε δὲ τοῦτο, πολλὴν ἐκ τούτου τὴν συμφωνίαν καὶ τὴν ἀγάπην οἰκονομῶν, ἵνα ἕκαστος τοῦ πλησίον δεόμενος συνάγηται πρὸς τὸν ἀδελφόν. Τοῦτο καὶ ἐν ταῖς τέχναις ᾠκονόμησε, τοῦτο καὶ ἐν τοῖς στοιχείοις, τοῦτο καὶ ἐν τοῖς φυτοῖς, καὶ ἐν τοῖς μέλεσι τοῖς ἡμετέροις, καὶ ἐν πᾶσιν ἁπλῶς.

3. *Εἶτα ἐπάγει λοιπὸν τὴν κυριωτάτην παραμυθίαν, καὶ ἱκανὴν αὐτοὺς ἀνακτήσασθαι καὶ ἀναπαῦσαι τὴν ὀδυνωμένην ψυχήν. Τίς δὲ αὕτη ἐστί; «Ζηλοῦτε», φησί, «τὰ χαρίσματα τὰ κρείττονα, καὶ ἔτι καθ' ὑπερβολὴν ὁδὸν ὑμῖν δείκνυμι». Τοῦτο δὲ εἰπὼν ἠρέμα ᾐνίξατο αἰτίους ὄντας τοῦ τὰ ἐλάττονα λαμβάνειν, καὶ κυρίους, εἰ βούλοιντο, τοῦ τὰ μείζονα*

ὁμιλεῖ μὲ τρόπον σφοδρὸν καὶ ἐπιτιμητικόν. Διότι, ὅπως εἶπον, οὔτε νὰ παρηγορῇ πάντοτε πρέπει, οὔτε νὰ ἀποστομώνῃ πάντοτε κανείς. Διὰ τοῦτο καὶ αὐτός, ἀφοῦ τοὺς ἐπαρηγόρησε μὲ πολλά, τώρα πλέον ἐπιτίθεται ὁρμητικὰ μὲ τοὺς λόγους· «Μήπως ὅλοι εἶναι ἀπόστολοι; μήπως ὅλοι εἶναι προφῆται; μήπως ὅλοι ἔχουν θεραπευτικὰ χαρίσματα;». Καὶ δὲν σταματᾷ μέχρι τὸ πρῶτον καὶ τὸ δεύτερον χάρισμα, ἀλλὰ προχωρεῖ μέχρι τὸ τέλος· ἢ ἐπειδὴ θέλει νὰ εἰπῇ ὅτι δὲν εἶναι δυνατὸν ὅλοι νὰ εἶναι ὅλα, ὅπως λέγει ἐκεῖ, «Ἐὰν ὅλα ἦσαν ἓν μέλος, ποὺ θὰ ἦτο τὸ σῶμα;», ἢ ἐπειδὴ μαζὶ μὲ αὐτὰ ἑτοιμάζει πάλιν καὶ κάτι ἄλλο διὰ νὰ τοὺς παρηγορήσῃ καὶ πάλιν. Ποῖον λοιπὸν εἶναι αὐτό; Τὸ νὰ δείξῃ ὅτι καὶ τὰ κατώτερα εἶναι πολὺ ἐπιθυμητά, διότι αὐτὰ δὲν ἐδόθησαν τυχαίως εἰς ὅλους. Διατί λοιπὸν στενοχωρεῖσαι, λέγει, ποὺ δὲν ἔχεις θεραπευτικὰ χαρίσματα; Σκέψου ὅτι αὐτὸ ποὺ ἔχεις ἐσύ, ἔστω καὶ ἂν εἶναι κατώτερον, πολλὰς φορὰς αὐτὸς ποὺ ἔχει τὸ μεγαλύτερον δὲν τὸ ἔχει. Δι' αὐτὸ λέγει· «Μήπως ὅλοι ἔχουν χάρισμα νὰ ὁμιλοῦν γλώσσας; μήπως ὅλοι διερμηνεύουν;». Διότι, ὅπως τὰ μεγάλα δὲν τὰ ἐχάρισεν ὁ Θεὸς ὅλα εἰς ὅλους, ἀλλ' εἰς τοὺς μὲν αὐτό, εἰς τοὺς δὲ ἐκεῖνο, ἔτσι ἔκανε καὶ εἰς τὰ κατώτερα, ποὺ οὔτε αὐτὰ ἔδωσεν εἰς ὅλους. Ἔκαμε δὲ αὐτὸ ἀπὸ πρόνοιαν διὰ νὰ ὑπάρχῃ πολλὴ συμφωνία καὶ ἀγάπη, ὥστε ὁ καθεὶς ἐπειδὴ θὰ ἔχῃ ἀνάγκην τὸν πλησίον νὰ συσφίγγεται μαζί του εἰς κοινὸν δεσμόν. Αὐτὸ ἔθεσεν ὡς νόμον καὶ εἰς τὰ ἐπαγγέλματα, καὶ εἰς τὰ διάφορα φυσικὰ στοιχεῖα καὶ εἰς τὰ φυτὰ καὶ εἰς τὰ ἰδικά μας μέλη καὶ εἰς ὅλα γενικῶς.

3. Ἀκολούθως προσθέτει πλέον τὴν κυριωτέραν παρηγορίαν, ποὺ ἦτο ἀρκετὴ διὰ νὰ τοὺς ἐνισχύσῃ καὶ ν' ἀναπαύσῃ τὴν ψυχήν των, ἡ ὁποία ᾐσθάνετο πόνον. Ποία δὲ εἶναι αὐτή; «Νὰ ἔχετε ζῆλον», λέγει, «πρὸς τὰ ὠφελιμώτερα χαρίσματα. Καὶ σᾶς δεικνύω μίαν ὁδὸν ὑπέροχον μὲ τὴν ὁποίαν ἀποκτῶνται αὐτά». Μὲ τὸ ὅτι δὲ εἶπεν αὐτὸ ὑπηνίσθη μὲ ἠρεμίαν, ὅτι αὐτοὶ εἶναι αἴτιοι ποὺ λαμβάνουν κατώτερα χαρίσματα, καὶ ἔχουν τὴν δυνατότητα, ἐὰν θέ-

λαβεῖν. Ὅταν γὰρ εἴπῃ, «καὶ ζηλοῦτε», τὴν παρ' ἐκείνων σπουδὴν ἀπαιτεῖ καὶ τὴν ἐπιθυμίαν τὴν περὶ τὰ πνευματικά. Καὶ οὐκ εἶπε, τὰ μείζονα, ἀλλά, «τὰ κρείττονα», τουτέστι, τὰ χρησιμώτερα, τὰ συμφέροντα. Ὃ δὲ λέγει, τοῦτό ἐστι· μένετε ἐπιθυμοῦντες χαρισμάτων, καὶ δείκνυμι πηγὴν χαρισμάτων ὑμῖν. Οὐδὲ γὰρ εἶπε, χάρισμα, ἀλλ', ὁδόν, ἵνα μειζόνως ἐπάρῃ τοῦτο, ὃ μέλλει λέγειν. Οὐ γὰρ ἓν καὶ δύο καὶ τρία δείκνυμι χαρίσματα, ἀλλ' ὁδὸν μίαν τὴν ἐπὶ πάντα ταῦτα φέρουσαν· καὶ οὐχ ἁπλῶς ὁδόν, ἀλλὰ καὶ μεθ' ὑπερβολῆς, καὶ κοινῇ πᾶσι προκειμένην. Οὐ γὰρ ὥσπερ τὰ χαρίσματα τοῖς μὲν ταῦτα, τοῖς δὲ ἐκεῖνα, ἀλλ' οὐ πᾶσι πάντα δέδοται, οὕτω καὶ τοῦτο· ἀλλὰ καθολικὸν δῶρόν ἐστι. Διὸ καὶ πάντας εἰς τοῦτο καλεῖ. «Ζηλοῦτε» γάρ, φησί, «τὰ χαρίσματα τὰ κρείττονα, καὶ ἔτι καθ' ὑπερβολὴν ὁδὸν ὑμῖν δείκνυμι»· τὴν ἀγάπην λέγων τὴν πρὸς τὸν πλησίον.

Εἶτα μέλλων ἐμβαίνειν εἰς τὸν περὶ αὐτῆς λόγον καὶ τὸ ἐγκώμιον τοῦ κατορθώματος τούτου, πρῶτον καθαιρεῖ ταῦτα τῇ πρὸς ἐκείνην συγκρίσει, οὐδὲν ὄντα δεικνὺς ταύτης χωρίς, σφόδρα συνετῶς. Εἰ γὰρ εὐθέως περὶ ἀγάπης διελέχθη, καὶ εἰπών, ὁδὸν ὑμῖν δείκνυμι, ἐπήγαγεν, αὕτη δέ ἐστιν ἡ ἀγάπη, καὶ μὴ κατὰ σύγκρισιν τὸν λόγον προήγαγε, κἂν ἐμυκτήρισάν τινες τὸ λεχθέν, οὐκ εἰδότες σαφῶς τοῦ πράγματος τὴν ἰσχύν, ἀλλ' ἔτι πρὸς ταῦτα κεχηνότες. Διόπερ οὐκ εὐθέως αὐτὴν ἀνακαλύπτει, ἀλλὰ πρῶτον τῇ ἐπαγγελίᾳ τὸν ἀκροατὴν ἐπάρας, καὶ εἰπών, «καθ' ὑπερβολὴν ὁδὸν ὑμῖν δείκνυμι», καὶ εἰς ἐπιθυμίαν αὐτὸν ἀγαγών, οὐδὲ οὕτως εὐθέως εἰς αὐτὴν ἐμβαίνει, ἀλλ' αὔξων ἔτι καὶ ἐπιτείνων τὴν ἐπιθυμίαν αὐτῶν περὶ τούτων αὐτῶν διαλέγεται πρῶτον, καὶ δείκνυσιν ἐκείνης οὐκ οὔσης οὐδέν ὄντα, εἰς μεγίστην αὐτοὺς ἀνάγκην τοῦ φιλεῖν ἀλλήλους καθιστάς· ἐπει-

λουν, νὰ λάβουν τὰ ἀνώτερα. Διότι ὅταν λέγῃ, «νὰ ἔχετε ζῆλον», ζητεῖ τὴν ἰδικήν των προσπάθειαν καὶ τὴν ἐπιθυμίαν διὰ τὰ πνευματικά. Καὶ δὲν εἶπε, τὰ μεγαλύτερα, ἀλλά, «τὰ ὠφελιμώτερα», δηλαδή, τὰ πλέον χρήσιμα, τὰ συμφέροντα. Αὐτὸ ποὺ θέλει δὲ νὰ εἰπῇ εἶναι τὸ ἑξῆς· Ἐπιθυμεῖτε σεῖς τὰ χαρίσματα καὶ σᾶς δεικνύω πηγὴν χαρισμάτων. Διότι δὲν εἶπε χάρισμα, ἀλλ' ὁδόν, διὰ νὰ ὑψώσῃ περισσότερον αὐτὸ ποὺ πρόκειται νὰ εἰπῇ. Διότι δὲν δεικνύω ἓν καὶ δύο ἢ καὶ τρία χαρίσματα, ἀλλὰ μίαν ὁδόν, αὐτὴν ποὺ ὁδηγεῖ εἰς ὅλα αὐτά· καὶ ὄχι ἁπλῶς ὁδόν, ἀλλὰ καὶ μὲ ὑπερβολήν, δηλαδὴ ὁδὸν ποὺ εἶναι ἔμπροσθεν ὅλων. Δηλαδὴ ὄχι ὅπως τὰ χαρίσματα ποὺ εἰς ἄλλους μὲν αὐτά, εἰς ἄλλους δὲ ἐκεῖνα, καὶ ποὺ δὲν ἔχουν δοθῆ ὅλα εἰς ὅλους, ἀλλ' εἶναι δῶρον ποὺ ἀνήκει γενικῶς εἰς ὅλους. Δι' αὐτὸ καὶ ὅλους καλεῖ εἰς αὐτό. Διότι λέγει· «Νὰ ἔχετε ζῆλον πρὸς τὰ ὠφελιμώτερα χαρίσματα, καὶ σᾶς δεικνύω μίαν ὁδὸν ὑπέροχον μὲ τὴν ὁποίαν ἀποκτῶνται αὐτά».

Ὕστερον, ἐπειδὴ πρόκειται νὰ εἰσέλθῃ εἰς τὸν λόγον δι' αὐτὴν τὴν ὁδὸν καὶ νὰ ἐγκωμιάσῃ αὐτὸ τὸ κατόρθωμα, ἀφαιρεῖ κάθε ἀξίαν ἀπὸ αὐτὰ τὰ χαρίσματα μὲ τὸ νὰ τὰ συγκρίνῃ μὲ ἐκείνην τὴν ὁδόν, καὶ δεικνύει ὅτι χωρὶς αὐτὴν δὲν εἶναι τίποτε αὐτά, καὶ πολὺ συνετῶς. Διότι, ἐὰν ἀμέσως ὡμίλει διὰ τὴν ἀγάπην καὶ ἀφοῦ ἔλεγε, σᾶς δεικνύω κάποιαν ὁδόν, προσέθετεν ἐκεῖ, αὐτὴ δὲ εἶναι ἡ ἀγάπη, καὶ δὲν ἀνέπτυσσε τὸν λόγον μὲ σύγκρισιν, μερικοὶ τοὐλάχιστον θὰ περιεγέλουν τὸ λεχθέν, ἐπειδὴ δὲν ἐγνώριζαν σαφῶς τὴν δύναμιν τοῦ πράγματος, ἀλλ' ἀκόμη ἵσταντο μὲ τὸ στόμα ἀνοικτὸν πρὸς τὰ χαρίσματα. Δι' αὐτὸ δὲν ἀποκαλύπτει αὐτὴν ἀμέσως, ἀλλ' ἀφοῦ πρῶτον ἀνύψωσε τὸν ἀκροατὴν μὲ τὴν ὑπόσχεσιν καὶ εἶπεν «σᾶς δεικνύω μίαν ὁδὸν ὑπέροχον μὲ τὴν ὁποίαν ἀποκτῶνται αὐτά», καὶ ἀφοῦ ὡδήγησεν αὐτὸν εἰς ἐπιθυμίαν αὐτῆς τῆς ὁδοῦ, οὔτε ἔτσι εἰσέρχεται εἰς αὐτὴν ἀμέσως, ἀλλ' ἀφοῦ αὐξάνει καὶ ἐντείνει τὴν ἐπιθυμίαν των, ὁμιλεῖ πρῶτον δι' αὐτὰ τὰ χαρίσματα καὶ δεικνύει, ὅτι χωρὶς αὐτὴν δὲν εἶναι τίποτε αὐτά, διὰ νὰ τοὺς κάμῃ ἔτσι ποὺ ν' ἀναγκασθοῦν νὰ

δὴ καὶ ἐκ τοῦ ταύτην ἠμελῆσθαι ἡ αἰτία τῶν κακῶν ἁπάντων ἦν. Ὥστε καὶ κατὰ τοῦτο εἰκότως ἂν μεγάλη φανείη, εἴγε τὰ μὲν χαρίσματα οὐ μόνον αὐτοὺς οὐ συνήγαγεν, ἀλλὰ καὶ ἡνωμένους διέστησεν· αὕτη δὲ τοὺς δι' ἐκείνων διαστάντας δι' ἑαυτῆς μέλλοι συνάγειν καὶ σῶμα ποιεῖν ἕν. Ἀλλ' οὐ λέγει τοῦτο εὐθέως, ἀλλ' ὃ μάλιστα ἐπόθουν, τοῦτο τίθησιν· οἷον ὅτι χάρισμα τὸ πρᾶγμά ἐστι, καὶ τῶν χαρισμάτων ἁπάντων ὁδὸς μεθ' ὑπερβολῆς. Ὥστε εἰ καὶ μὴ διὰ τὸ φιλεῖν βούλει τὸν ἀδελφὸν ἀγαπᾶν, διὰ τὸ κρείττονος ἐπιλαμβάνεσθαι σημείου καὶ χαρίσματος δαψιλοῦς κατάδεξαι τὴν ἀγάπην.

4. Καὶ ὅρα πόθεν ἔρχεται· πρῶτον ἀπὸ τοῦ θαυμαστοῦ δοκοῦντος εἶναι παρ' αὐτοῖς καὶ μεγάλου, τῶν γλωσσῶν. Καὶ ἀγαγὼν εἰς μέσον τὸ χάρισμα, οὐ τοσοῦτον τίθησιν, ὅσον εἶχον, ἀλλὰ πολλῷ πλέον. Οὐδὲ γὰρ εἶπεν, ἐὰν γλώσσαις λαλῶ, ἀλλ', «Ἐὰν ταῖς γλώσσαις τῶν ἀνθρώπων λαλῶ». Τί ἐστι «τῶν ἀνθρώπων»; Πάντων τῶν πανταχοῦ τῆς οἰκουμένης ἐθνῶν. Καὶ οὐδὲ ταύτῃ ἠρκέσθη τῇ ὑπερβολῇ, ἀλλὰ καὶ ἑτέραν πολλῷ μείζονα τίθησιν, ἐπάγων καὶ λέγων, «Καὶ τῶν ἀγγέλων, ἀγάπην δὲ μὴ ἔχω, γέγονα χαλκὸς ἠχῶν ἢ κύμβαλον ἀλαλάζον». Εἶδες ποῦ τὸ χάρισμα ἐπάρας, ποῦ καθεῖλεν αὐτὸ καὶ κατέρρηξεν; Οὐδὲ γὰρ ἁπλῶς εἶπεν, ὅτι οὐδέν εἰμι, ἀλλ' ὅτι γέγονα χαλκὸς ἠχῶν, ἀναίσθητόν τι καὶ ψυχον.

Πῶς δὲ χαλκὸς ἠχῶν; Φωνὴν μὲν ἀφιείς, εἰκῆ δὲ καὶ μάτην, καὶ εἰς οὐδὲν δέον. Πρὸς γὰρ τῷ μηδὲν ἀνύειν, καὶ παρενοχλεῖν δοκῶ, καὶ φορτικός τις εἶναι καὶ ἐπαχθὴς τοῖς πολλοῖς. Ὁρᾷς πῶς ὁ ἀγάπης ἀπεστερημένος τοῖς ἀψύχοις προσέοικε καὶ ἀναισθήτοις; Γλῶτταν δὲ ἀγγέλων ἐνταῦθά φησιν, οὐχὶ σῶμα περιτιθεὶς ἀγγέλοις, ἀλλ' ὃ λέγει, τοιοῦτόν ἐστι· κἂν οὕτω φθέγγωμαι, ὡς ἀγγέλοις νόμος πρὸς

πεισθοῦν ὅτι πρέπει ἀπαραιτήτως ν' ἀγαπῶνται μεταξύ των˙ ἐπειδὴ τὸ ὅτι εἶχον παραμελήσει τὴν ἀγάπην αὐτὸ ἦτο ἡ αἰτία ὅλων τῶν κακῶν. Ὥστε καὶ κατὰ τοῦτο φυσικὸν ἦτο νὰ φανῇ μεγάλη, ἀφοῦ βεβαίως τὰ μὲν χαρίσματα ὄχι μόνον δὲν συνήνωσαν αὐτούς, ἀλλὰ καὶ ἐνῷ ἦσαν ἡνωμένοι τοὺς διῄρεσαν˙ ἐνῷ ἡ ἀγάπη αὐτοὺς ποὺ ἐχώρισαν ἐξ αἰτίας τῶν χαρισμάτων θὰ τοὺς συνενώσῃ καὶ θὰ τοὺς κάνῃ ἓν σῶμα. Δὲν λέγει ὅμως ἀμέσως αὐτό, ἀλλ' αὐτὸ ποὺ ἐπόθουν πάρα πολύ, αὐτὸ θέτει˙ ὅπως ὅτι τὸ πρᾶγμα εἶναι χάρισμα, καὶ ὁδὸς ποὺ ὁδηγεῖ εἰς ὅλα τὰ χαρίσματα μὲ ἀφθονίαν. Ὥστε καὶ ἂν δὲν θέλῃς ν' ἀγαπᾷς τὸν ἀδελφὸν διὰ τὴν ἀγάπην, δέξου τοὐλάχιστον νὰ τὸν ἀγαπᾷς διὰ τὸ ὅτι θὰ λάβῃς σημεῖον θείας δυνάμεως ἀνώτερον καὶ πλούσιον χάρισμα.

4. Καὶ πρόσεξε ἀπὸ ποῦ ἀρχίζει˙ πρῶτον ἀπὸ αὐτὸ ποὺ ἐθεωρεῖτο ἀπὸ αὐτοὺς θαυμαστὸν καὶ μέγα, τὸ χάρισμα τῶν γλωσσῶν. Καὶ ἀφοῦ ἐπαρουσίασε τὸ χάρισμα, δὲν δεικνύει τόσον ὅσον εἶχον αὐτοί, ἀλλὰ πολὺ περισσότερον. Διότι δὲν εἶπεν, ἐὰν ὁμιλῶ γλῶσσαν, ἀλλ', «Ἐὰν ὁμιλῶ τὰς γλώσσας τῶν ἀνθρώπων». Τί σημαίνει «τῶν ἀνθρώπων»; Ὅλων τῶν ἐθνῶν τῆς οἰκουμένης. Καὶ οὔτε εἰς αὐτὴν τὴν ὑπερβολὴν ἠρκέσθη, ἀλλὰ θέτει καὶ ἄλλην πολὺ μεγαλυτέραν, καθὼς συνεχίζει καὶ λέγει, «καὶ τῶν ἀγγέλων, ἀλλὰ δὲν ἔχω ἀγάπην, ἔγινα χαλκὸς ποὺ ἠχεῖ ἢ κύμβαλον ποὺ κροτεῖ». Εἶδες ποῦ ἀνύψωσε τὸ χάρισμα καὶ ποῦ τὸ ἐκρήμνισε καὶ τὸ κατεβίβασε; Διότι δὲν εἶπεν ἁπλῶς, ὅτι δὲν εἶμαι τίποτε, ἀλλ' ὅτι «ἔγινα χαλκὸς ποὺ ἠχεῖ», κάτι ἀναίσθητον καὶ ἄψυχον.

Πῶς ἐννοεῖ δὲ τὸ «χαλκὸς ποὺ ἠχεῖ»; Ὁ ὁποῖος φωνάζει μέν, ἀλλ' ἀσκόπως καὶ ματαίως καὶ χωρὶς νὰ χρησιμεύῃ εἰς τίποτε. Διότι θὰ φανῶ ὅτι σπεύδω διὰ τὸ τίποτε, ἀλλὰ καὶ ἐνοχλῶ καὶ γίνομαι φορτικὸς καὶ βαρετὸς εἰς τοὺς πολλούς. Βλέπεις πῶς αὐτὸς ποὺ δὲν ἔχει ἀγάπην ὁμοιάζει μὲ ἄψυχον καὶ ἀναίσθητον πρᾶγμα; Γλῶσσαν δὲ ἀγγέλων ἐδῶ λέγει, ὄχι διότι θεωρεῖ ὅτι οἱ ἄγγελοι ἔχουν σῶμα, ἀλλ' αὐτὸ ποὺ λέγει σημαίνει τὸ ἑξῆς˙ Καὶ ἂν ὁμιλῶ

ἀλλήλους διαλέγεσθαι, ταύτης ἄνευ οὐδέν εἰμι, ἀλλὰ καὶ ἐπαχθὴς καὶ φορτικός. Οὕτω γοῦν καὶ ἀλλαχοῦ ὅταν λέγῃ, ὅτι «Αὐτῷ κάμψει πᾶν γόνυ ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων», οὐ γόνατα καὶ ὀστᾶ περιτιθεὶς τοῖς ἀγγέλοις ταῦτα λέγει, ἄπαγε, ἀλλὰ τὴν ἐπιτεταμένην προσκύνησιν διὰ τοῦ παρ' ἡμῖν σχήματος αἰνίξασθαι βούλεται. Οὕτω καὶ ἐνταῦθα γλῶσσαν ἐκάλεσεν, οὐ σαρκὸς ὄργανον δηλῶν, ἀλλὰ τὴν πρὸς ἀλλήλους αὐτῶν ὁμιλίαν τῷ γνωρίμῳ παρ' ἡμῖν τρόπῳ ἐνδείξασθαι βουλόμενος.

Εἶτα ὥστε εὐπαράδεκτον γενέσθαι τὸν λόγον, οὐ μέχρι τῶν γλωσσῶν ἵσταται, ἀλλὰ καὶ ἐπὶ τὰ λοιπὰ πρόεισι χαρίσματα, καὶ πάντα τῇ αὐτῆς ἀπουσίᾳ καθελών, τότε αὐτῆς ὑπογράφει τὴν εἰκόνα. Καὶ ἐπειδὴ αὔξησιν ποιῆσαι προῄρηται τοῦ λόγου, ἀπὸ τῶν ἐλαττόνων ἀρχόμενος ἄνεισιν ἐπὶ τὰ μείζω. Ὅπερ γάρ, ἡνίκα τὴν τάξιν αὐτῶν ἐνέφηνεν, ὕστερον τέθεικε τὸ τῶν γλωσσῶν, τοῦτο πρῶτον ἀριθμεῖ νῦν, κατὰ μικρόν, ὅπερ ἔφην, ἐπὶ τὰ μείζονα ἀναβαίνων. Εἰπὼν γὰρ περὶ τῶν γλωσσῶν, ἐπὶ τὴν προφητείαν εὐθέως ἐκβαίνει, καί φησι· «Καὶ ἐὰν ἔχω προφητείαν»· καὶ ταύτην πάλιν μεθ' ὑπερβολῆς. Ὥσπερ γὰρ ἐκεῖ οὐ γλώσσας ἔθηκεν, ἀλλὰ τὰς πάντων τῶν ἀνθρώπων γλώσσας, καὶ προϊὼν τὰς τῶν ἀγγέλων, καὶ τότε ἔδειξεν οὐδὲν ὂν τὸ χάρισμα ἀγάπης χωρίς· οὕτω καὶ ἐνταῦθα οὐ τὴν προφητείαν τίθησι μόνον, ἀλλὰ καὶ τὴν ὑψηλοτάτην προφητείαν. Εἰπὼν γάρ, «Ἐὰν ἔχω προφητείαν», ἐπήγαγε· «Καὶ εἰδῶ τὰ μυστήρια πάντα, καὶ πᾶσαν τὴν γνῶσιν»· μετ' ἐπιτάσεως τιθεὶς καὶ τοῦτο τὸ χάρισμα.

Εἶτα μετὰ τοῦτο καὶ ἐπὶ τὰ λοιπὰ χαρίσματα προβαίνει. Καὶ ἵνα μὴ καθ' ἕκαστον αὐτῶν λέγω δοκῇ πάλιν ἐνοχλεῖν,

---

7. Φιλιπ. 2, 10.

ἔτσι, ὅπως ἐπικρατεῖ νόμος νὰ ὁμιλοῦν μεταξύ των οἱ ἄγγελοι, χωρὶς τὴν ἀγάπην δὲν εἶμαι τίποτε, ἀλλ' ἐπὶ πλέον εἶμαι καὶ φορτικὸς καὶ βαρετός. Ἔτσι χρησιμοποιεῖ λοιπὸν καὶ ἀλλοῦ τὰς λέξεις, ὅπως ὅταν λέγῃ ὅτι «Εἰς τὸ ὄνομα τοῦ Ἰησοῦ θὰ κάμψῃ κάθε γόνυ τῶν ἐπουρανίων καὶ τῶν ἐπιγείων καὶ τῶν καταχθονίων»[7], ὄχι διότι ἀποδίδει γόνατα καὶ ὀστᾶ εἰς τοὺς ἀγγέλους, μὴ γένοιτο, ἀλλὰ μὲ τὴν ἀνθρωπίνην αὐτὴν εἰκόνα θέλει νὰ δείξῃ καὶ νὰ τονίσῃ τὴν προσκύνησιν. Ἔτσι καὶ ἐδῶ εἶπε γλῶσσαν, ὄχι διὰ νὰ δηλώσῃ τὸ σαρκικὸν ὄργανον τῆς γλώσσης, ἀλλὰ διότι θέλει νὰ δείξῃ μὲ τὸν γνωστὸν εἰς ἐμᾶς τρόπον τὴν μεταξὺ τῶν ἀγγέλων συνομιλίαν.

Ἀκολούθως διὰ νὰ γίνῃ ὁ λόγος εὐχαρίστως δεκτός, δὲν σταματᾷ εἰς τὸ χάρισμα τῶν γλωσσῶν, ἀλλὰ προχωρεῖ καὶ εἰς τὰ ὑπόλοιπα χαρίσματα, καὶ κρίνων αὐτὰ ὡς ἐστερημένα κάθε ἀξίας χωρὶς αὐτήν, τότε παρουσιάζει τὴν εἰκόνα της. Καὶ ἐπειδὴ ἠθέλησε νὰ αὐξήσῃ προοδευτικῶς τὸν λόγον, ἀφοῦ ἀρχίζει ἀπὸ τὰ κατώτερα ἀναβαίνει πρὸς τὰ ἀνώτερα. Αὐτὸ δηλαδὴ τὸ ὁποῖον ἔθεσε τελευταῖον, ὅταν ἐπαρουσίασε τὴν τάξιν τῶν χαρισμάτων, δηλαδὴ τὸ χάρισμα τῶν γλωσσῶν, αὐτὸ τώρα ἀριθμεῖ πρῶτον, καθ' ὅτι, ὅπως εἶπον, ἀναβαίνει ὀλίγον. Διότι, ἀφοῦ εἶπε διὰ τὸ χάρισμα τῶν γλωσσῶν, ἀμέσως μεταβαίνει εἰς τὸ χάρισμα τῆς προφητείας καὶ λέγει· «Καὶ ἐὰν ἔχω χάρισμα προφητείας»· καὶ αὐτὸ πάλιν μὲ ὑπερβολήν. Ὅπως ἀκριβῶς δηλαδὴ προηγουμένως δὲν εἶπεν ἁπλῶς γλώσσας, ἀλλὰ τὰς γλώσσας ὅλων τῶν ἀνθρώπων, καὶ καθὼς ἐπροχώρει, τὰς γλώσσας τῶν ἀγγέλων, καὶ τότε ἔδειξεν ὅτι τὸ χάρισμα δὲν εἶναι τίποτε χωρὶς τὴν ἀγάπην, ἔτσι καὶ ἐδῶ δὲν λέγει μόνον διὰ τὴν προφητείαν, ἀλλὰ διὰ τὴν προφητείαν εἰς τὸν μέγιστον βαθμόν. Διότι ἀφοῦ εἶπεν, «Ἐὰν ἔχω χάρισμα προφητείας», προσέθεσε· «καὶ γνωρίζω ὅλα τὰ μυστήρια καὶ ὅλην τὴν γνῶσιν», ἀφοῦ ἐπαρουσίασε μὲ ἔμφασιν καὶ αὐτὸ τὸ χάρισμα.

Ἐν συνεχείᾳ προχωρεῖ καὶ εἰς τὰ ἄλλα χαρίσματα. Καὶ διὰ νὰ μὴ φανῇ ὅτι ἐνοχλεῖ μὲ τὸ νὰ λέγῃ πάλιν τὸ

τὴν μητέρα καὶ πηγὴν ἁπάντων τίθησι, καὶ αὐτὴν πάλιν μεθ' ὑπερβολῆς, οὕτω λέγων· «Καὶ ἐὰν ἔχω πᾶσαν τὴν πίστιν». Καὶ οὐδὲ ἠρκέσθη τούτῳ, ἀλλὰ καὶ ὅπερ ὡς μέγιστον εἶπεν ὁ Χριστός, καὶ τοῦτο προσέθηκεν εἰπών· «Ὥστε ὄρη μεθιστάνειν, ἀγάπην δὲ μὴ ἔχω, οὐδέν εἰμι». Καὶ σκόπει πῶς πάλιν κἀνταῦθα καθαιρεῖ τῶν γλωσσῶν τὸ ἀξίωμα. Ἐπὶ μὲν γὰρ τῆς προφητείας δείκνυσι πολὺ τὸ κέρδος τὸ ἀπ' αὐτῆς, τὸ εἰδέναι τὰ μυστήρια καὶ τὴν γνῶσιν ἔχειν πᾶσαν, καὶ ἐπὶ τῆς πίστεως ἔργον οὐ μικρόν, τὸ τὰ ὄρη μεθιστάνειν· ἐπὶ δὲ τῶν γλωσσῶν αὐτὸ μόνον εἰπὼν τὸ χάρισμα, ἀνεχώρησε.

Σὺ δέ μοι κἀκεῖνο σκόπει, πῶς ἐν βραχεῖ πάντα περιέλαβε τὰ χαρίσματα, προφητείαν εἰπὼν καὶ πίστιν. Ἢ γὰρ ἐν λόγοις, ἢ ἐν ἔργοις ἐστὶ τὰ θαύματα. Καὶ πῶς ὁ Χριστός φησιν ἐλάχιστον μέρος τῆς πίστεως εἶναι τὸ δυνάμενον ὄρος μεταστῆσαι· ὡς γὰρ ἐλάχιστον λέγων, οὕτως ἔθηκεν εἰπών, «Ἐὰν ἔχητε πίστιν ὡς κόκκον σινάπεως, ἐρεῖτε τῷ ὄρει τούτῳ, μετάβηθι, καὶ μεταβήσεται»· ὁ δὲ Παῦλος πᾶσαν τὴν πίστιν ταύτην εἶναί φησι; Τί οὖν ἐστιν εἰπεῖν; Ἐπειδὴ μέγα ἦν τοῦτο, τὸ ὄρος μεταστῆσαι, διὰ τοῦτο καὶ αὐτοῦ ἐμνημόνευσεν, οὐχ ὡς τοῦτο μόνον δυναμένης πάσης τῆς πίστεως, ἀλλ' ἐπειδὴ τοῦτο μέγα εἶναι ἐδόκει τοῖς παχυτέροις διὰ τὸν ὄγκον τοῦ σώματος, κἀντεῦθεν ἐπαίρει τὸ προκείμενον. Ὃ δὲ λέγει, τοῦτό ἐστιν· ἐὰν ἔχω πᾶσαν τὴν πίστιν, καὶ ἐὰν δύνωμαι ὄρη μεθιστάνειν, ἀγάπην δὲ μὴ ἔχω, οὐδέν εἰμι.

5. «Καὶ ἐὰν ψωμίσω πάντα τὰ ὑπάρχοντά μου, καὶ παραδῶ τὸ σῶμά μου ἵνα καυθήσομαι, ἀγάπην δὲ μὴ ἔχω, οὐδὲν ὠφελοῦμαι». Βαβαὶ τῆς ὑπερβολῆς· καὶ γὰρ καὶ ταῦτα μετὰ προσθήκης ἑτέρας τίθησιν. Οὐ γὰρ εἶπεν, ἐὰν δῶ πένησι τὴν ἡμίσειαν μοῖραν τῶν ὄντων, ἢ τὰς δύο ἢ τὰς τρεῖς μοίρας,

---

8. Ματθ. 17, 20.

καθὲν ἀπὸ αὐτά, παρουσιάζει τὴν μητέρα καὶ πηγὴν τῶν χαρισμάτων, καὶ αὐτὴν πάλιν μὲ ὑπερβολήν, καὶ λέγει· «καὶ ἐὰν ἔχω ὅλην τὴν πίστιν». Καὶ δὲν ἠρκέσθη οὔτε εἰς αὐτό, ἀλλὰ προσέθεσε καὶ αὐτὸ ποὺ εἶπεν ὁ Χριστὸς ὡς μέγιστον πρᾶγμα· «ὥστε νὰ μεταθέτω ὄρη, ἀλλὰ δὲν ἔχω ἀγάπην, δὲν εἶμαι τίποτε»[8]. Καὶ κοίταξε πῶς πάλιν καὶ ἀπὸ ἐδῶ μειώνει τὴν ἀξίαν ποὺ ἀπέδιδον εἰς τὸ χάρισμα τῶν γλωσσῶν. Διότι εἰς μὲν τὸ χάρισμα τῆς προφητείας δεικνύει ὅτι εἶναι πολὺ τὸ κέρδος ἀπὸ αὐτήν, τὸ νὰ γνωρίζῃ ὅλα τὰ μυστήρια καὶ ὅλην τὴν γνῶσιν, καὶ εἰς τὴν πίστιν δεικνύει τὴν δύναμίν της, τὸ νὰ μεταθέτῃ ὄρη· ἐνῷ εἰς τὸ χάρισμα τῶν γλωσσῶν ἀφοῦ μόνον ἀνέφερεν αὐτό, τὸ ἐπροσπέρασεν.

Σὺ ὅμως πρόσεχε καὶ ἐκεῖνο, πῶς εἰς σύντομον λόγον συμπεριέλαβεν ὅλα τὰ χαρίσματα μὲ τὸ νὰ εἰπῇ τὸ χάρισμα τῆς προφητείας καὶ τῆς πίστεως. Διότι ἢ εἰς τοὺς λόγους ἢ εἰς τὰ ἔργα εὑρίσκονται τὰ θαύματα. Καὶ πῶς ὁ Χριστὸς λέγει ὅτι τὸ μικρότερον δεῖγμα τῆς δυνάμεως τῆς πίστεως εἶναι τὸ νὰ ἠμπορῇ νὰ μεταθέσῃ ὄρος· διότι ὡς τὸ ἐλάχιστον τῆς πίστεως ἔδειξεν αὐτὸ ὅταν εἶπεν, «Ἐὰν ἔχετε πίστιν ὡσὰν τὸν κόκον σινάπεως, θὰ εἰπῆτε εἰς τὸ ὄρος τοῦτο, «Μετατοπίσου, καὶ θὰ μετατοπισθῇ»· ἐνῷ ὁ Παῦλος λέγει ὅτι ὅλη ἡ πίστις αὐτὴ εἶναι; Τί λοιπὸν θέλει νὰ εἰπῇ; Ἐπειδὴ αὐτὸ ἦτο μέγα κατόρθωμα, τὸ νὰ μετατοπίσῃ κανεὶς ὄρος, δι' αὐτὸ καὶ ἐμνημόνευσεν αὐτό, ὄχι διότι ὅλη ἡ πίστις ἠμπορεῖ μόνον αὐτό, ἀλλ' ἐπειδὴ εἰς τοὺς πλέον σαρκικοὺς αὐτὸ ἐφαίνετο ὅτι εἶναι μέγα, ἐξ αἰτίας τοῦ μεγέθους τοῦ πράγματος καὶ ἀπὸ αὐτὸ τονίζει τὸ θέμα αὐτό. Αὐτὸ ποὺ ἐννοεῖ εἶναι τὸ ἑξῆς· ἐὰν ἔχω ὅλην τὴν πίστιν, καὶ ἐὰν ἠμπορῶ νὰ μετατοπίζω καὶ ὄρη, ἀλλὰ δὲν ἔχω ἀγάπην, δὲν εἶμαι τίποτε.

5. «Καὶ ἐὰν θρέψω τοὺς πτωχοὺς μὲ ὅλην μου τὴν περιουσίαν, καὶ ἐὰν παραδώσω τὸ σῶμά μου διὰ νὰ καῇ, ἀλλὰ δὲν ἔχω ἀγάπην, καμμίαν ὠφέλειαν δὲν ἔχω». Πώ, πώ, τί ὑπερβολή! Διότι καὶ αὐτὰ προσθέτει ἐπὶ πλέον εἰς τὰ ἄλλα. Διότι δὲν εἶπεν, ἐὰν δώσω εἰς τοὺς πτωχοὺς τὴν ἡμίσειαν μερίδα τῆς περιουσίας ἢ τὰς δύο, ἢ τὰς τρεῖς

ἀλλ', «ἐὰν πάντα μου τὰ ὑπάρχοντα». Καὶ οὐκ εἶπε, δῶ, ἀλλά, «ψωμίσω», ὡς προσκεῖσθαι τῇ δαπάνῃ καὶ τὴν διακονίαν τὴν μετ' ἐπιμελείας ἁπάσης. «Καὶ ἐὰν παραδῶ τὸ σῶμά μου ἵνα καυθήσομαι». Οὐκ εἶπεν, ἐὰν ἀποθάνω, ἀλλὰ καὶ τοῦτο μεθ' ὑπερβολῆς. Τὸν γὰρ πάντων χαλεπώτερον θάνατον θείς, τὸ ζῶντα κατακαῆναι, καὶ τοῦτον χωρὶς ἀγάπης οὐδὲν μέγα ἔφησεν εἶναι. Ἐπήγαγε γοῦν, «οὐδὲν ὠφελοῦμαι».

Ἀλλ' οὐδέπω τὴν πᾶσαν ὑπερβολὴν ἔδειξα, ἕως ἂν τοῦ Χριστοῦ τὰς μαρτυρίας τὰς περὶ ἐλεημοσύνης καὶ θανάτου εἰρημένας εἰς μέσον ἀγάγω. Τίνες οὖν εἰσιν αἱ μαρτυρίαι; Τῷ πλουσίῳ φησίν, «Εἰ θέλεις τέλειος εἶναι, πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς, καὶ δεῦρο ἀκολούθει μοι»· καὶ περὶ ἀγάπης δὲ διαλεγόμενος τῆς εἰς τὸν πλησίον φησί, «Μείζονα ταύτης ἀγάπην οὐδεὶς ἔχει, ἵνα τις τὴν ψυχὴν αὐτοῦ θῇ ὑπὲρ τῶν φίλων αὐτοῦ». Ὅθεν δῆλον, ὅτι καὶ ἐπὶ Θεοῦ τοῦτο πάντων μέγιστόν ἐστιν. Ἀλλ' ἐγὼ λέγω, φησὶν ὁ Παῦλος, κἂν ὑπὲρ τοῦ Θεοῦ θῶμεν αὐτήν, καὶ μηδὲ ἁπλῶς θῶμεν, ἀλλ' ὥστε καὶ ἐμπρησθῆναι· τοῦτο γάρ ἐστιν, «Ἐὰν παραδῶ τὸ σῶμά μου ἵνα καυθήσομαι»· οὐ μέγα ἔσται κέρδος ἡμῖν τὸν πλησίον οὐκ ἀγαπῶσι.

Τὸ μὲν οὖν λέγειν τὰ χαρίσματα οὐδὲν μέγα ὠφελεῖν ἀπούσης ἀγάπης, θαυμαστὸν οὐδέν· ἐπεὶ καὶ τοῦ βίου δεύτερά ἐστι τὰ χαρίσματα. Πολλοὶ γοῦν χαρίσματα ἐπιδειξάμενοι, ἐπειδὴ φαῦλοι γεγόνασιν, ἐκολάσθησαν, ὡς ἐκεῖνοι οἱ τῷ ὀνόματι αὐτοῦ προφητεύσαντες καὶ δαιμόνια πολλὰ ἐκβαλόντες καὶ δυνάμεις πολλὰς ποιήσαντες, ὡς Ἰούδας ὁ προδότης· ἕτεροι δὲ βίον παρασχόμενοι πιστοὶ καθαρόν, οὐδενὸς ἐδεήθησαν ἑτέρου πρὸς τὸ σωθῆναι. Τὸ μὲν οὖν τὰ χαρίσματα, ὅπερ ἔφην, δεῖσθαι ταύτης, θαυμαστὸν οὐδέν· τὸ δὲ καὶ βίον ἠκριβωμένον μηδὲν ἰσχύειν ταύτης ἄνευ,

---

9. Ματθ. 19, 21.
10. Ἰω. 15, 13.

μερίδας, ἀλλ', «ἐὰν ὅλην μου τὴν περιουσίαν». Καὶ δὲν εἶπεν, ἐὰν δώσω, ἀλλά, «ἐὰν θρέψω», διὰ νὰ προστίθεται εἰς τὴν δαπάνην καὶ ἡ ὑπηρεσία μὲ κάθε φροντίδα εἰς τοὺς ἔχοντας ἀνάγκην. «Καὶ ἐὰν παραδώσω τὸ σῶμά μου διὰ νὰ καῇ». Δὲν εἶπεν, ἐὰν ἀποθάνω, ἀλλὰ καὶ αὐτὸ μὲ ὑπερβολήν. Διότι ἀφοῦ ἔλαβε τὸν χειρότερον ἀπὸ ὅλους θάνατον ὡς παράδειγμα, τὸ νὰ καῇ ζῶν, καὶ αὐτὸς εἶπεν ὅτι χωρὶς ἀγάπην δὲν εἶναι τίποτε. Προσέθεσε λοιπόν, «καμμίαν ὠφέλειαν δὲν ἔχω».

'Αλλ' ἀκόμη δὲν ἔδειξα ὅλην τὴν ὑπερβολήν, ἀφοῦ δὲν ἐπαρουσίασα τὰς μαρτυρίας τοῦ ἰδίου τοῦ Χριστοῦ διὰ τὴν ἐλεημοσύνην καὶ τὸν θάνατον. Ποῖαι λοιπὸν εἶναι αἱ μαρτυρίαι; Εἰς τὸν πλούσιον λέγει, «'Εὰν θέλῃς νὰ εἶσαι τέλειος, πήγαινε καὶ πώλησε ὅσα ἔχεις καὶ μοίρασέ τα εἰς τοὺς πτωχούς, καὶ ἔλα ἀκολούθει με»[9]· καὶ διὰ τὴν ἀγάπην δὲ διὰ τὸν πλησίον ὅταν ὁμιλῇ λέγει, «Δὲν ἔχει κανεὶς μεγαλυτέραν ἀγάπην ἀπὸ αὐτήν, ἀπὸ τὸ νὰ θυσιάσῃ τὴν ζωήν του διὰ τοὺς φίλους του»[10]. 'Απὸ τὸ ὁποῖον εἶναι φανερὸν ὅτι καὶ διὰ τὸν Θεὸν αὐτὸ εἶναι τὸ μέγιστον ὅλων. 'Αλλ' ἐγὼ λέγω, λέγει ὁ Παῦλος, ὅτι καὶ ἂν ἀκόμη διὰ τὸν Θεὸν θυσιάσωμεν τὴν ζωήν μας, καὶ ὄχι ἁπλῶς τὴν θυσιάσωμεν, ἀλλὰ καὶ καῶμεν — διότι αὐτὸ σημαίνει τὸ «ἐὰν παραδώσω τὸ σῶμά μου διὰ νὰ καῇ» — δὲν ἔχομεν μέγα κέρδος ἀπὸ αὐτὸ ἐὰν δὲν ἀγαπῶμεν τὸν πλησίον.

Τὸ νὰ λέγωμεν λοιπὸν διὰ τὰ χαρίσματα ὅτι δὲν ὠφελοῦν καθόλου ὅταν λείπῃ ἡ ἀγάπη, δὲν ὑπάρχει τίποτε ἀξιοθαύμαστον εἰς αὐτό· διότι καὶ ἀπὸ τὴν ζωὴν ἔρχονται δεύτερα τὰ χαρίσματα. Πολλοὶ βεβαίως οἱ ὁποῖοι ἐπαρουσίασαν χαρίσματα, ἐπειδὴ ἔγιναν κακοί, ἐκολάσθησαν, ὅπως ἐκεῖνοι οἱ ὁποῖοι εἰς τὸ ὄνομα τοῦ Χριστοῦ ἐπροφήτευσαν καὶ ἐξέβαλον πολλὰ δαιμόνια καὶ ἔκαναν πολλὰ θαύματα, ὅπως ὁ 'Ιούδας ὁ προδότης· ἐνῷ ἄλλοι πιστοὶ οἱ ὁποῖοι ἔζησαν καθαρὸν βίον, δὲν ἐχρειάσθησαν τίποτε ἄλλο διὰ νὰ σωθοῦν. Τὸ ὅτι μὲν λοιπὸν τὰ χαρίσματα ἔχουν ἀνάγκην τῆς ἀγάπης, δὲν εἶναι καθόλου ἄξιον ἀπορίας· ἀλλὰ τὸ ὅτι καὶ ἡ ἄμεμπτος καὶ τελεία ζωὴ καθόλου δὲν ὠφελεῖ χωρὶς

τοῦτό ἐστι τὸ τὴν ὑπερβολὴν ἐμφαῖνον καὶ πολλὴν ποιοῦν τὴν ἀπορίαν, καὶ μάλιστα ὅταν ὁ Χριστὸς ἀμφοτέροις τούτοις τὰ μεγάλα φαίνηται ψηφιζόμενος, τῇ τε ἀκτημοσύνῃ λέγω, καὶ τοῖς τοῦ μαρτυρίου κινδύνοις. Καὶ γὰρ τῷ πλουσίῳ φησίν, ὅπερ ἔφθην εἰπών, «Εἰ θέλεις τέλειος εἶναι, πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς, καὶ δεῦρο ἀκολούθει μοι»· καὶ τοῖς μαθηταῖς περὶ μαρτυρίου διαλεγόμενος ἔλεγεν, «Ὃς ἂν ἀπολέσῃ τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ, εὑρήσει αὐτήν»· καί, «Ὃς ἐὰν ὁμολογήσῃ με ἔμπροσθεν τῶν ἀνθρώπων, ὁμολογήσω κἀγὼ αὐτὸν ἔμπροσθεν τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς». Καὶ γὰρ πολὺς ὁ τοῦ κατορθώματος τούτου πόνος, καὶ αὐτὴν σχεδὸν ὑπερβαίνων τὴν φύσιν· καὶ τοῦτο ἴσασιν οἱ καταξιωθέντες τῶν στεφάνων τούτων καλῶς· λόγος γὰρ οὐδεὶς αὐτὸ παραστῆσαι δυνήσεται. Οὕτω γενναίας τὸ πρᾶγμά ἐστι ψυχῆς, καὶ μεθ' ὑπερβολῆς θαυμαστόν.

Ἀλλ' ὅμως τὸ θαυμαστὸν τοῦτο οὐδὲν μέγα ἔφησεν ὠφελεῖν ἀγάπης χωρὶς ὁ Παῦλος, κἂν τὴν ἀκτημοσύνην συνεζευγμένην ἔχῃ. Τίνος οὖν ἕνεκεν οὕτως εἴρηκε; Τοῦτο ἤδη δεῖξαι πειράσομαι, πρότερον ἐκεῖνο ζητήσας, πῶς ὁ τὰ ὑπάρχοντα ψωμίζων πάντα δύναται μὴ ἔχειν ἀγάπην. Τὸν μὲν γὰρ ἕτοιμον ὄντα καῆναι καὶ τὰ χαρίσματα ἔχοντα ἐγχωρεῖ ἴσως καὶ μὴ ἀγαπῆσαι· ὁ δὲ μὴ μόνον διδοὺς τὰ ὑπάρχοντα, ἀλλὰ καὶ ψωμίζων, πῶς οὐκ ἀγαπᾷ; Τί οὖν ἐστιν εἰπεῖν; Ἢ ὅτι τὸ οὐκ ὂν ὡς ὂν ὑπέθετο, ὅπερ ἀεὶ φιλεῖ ποιεῖν, ὅταν ὑπερβολὴν παραστῆσαι βουληθῇ· ὡς ὅταν Γαλάταις γράφων λέγῃ· «Ἐὰν ἡμεῖς ἢ ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίζηται ὑμῖν παρ' ὃ παρελάβετε, ἀνάμεθα ἔστω». Καίτοι οὔτε αὐτός, οὔτε ἄγγελος ἔμελλε τοῦτο ποιεῖν· ἀλλ' ἵνα

11. Ματθ. 16, 25.
12. Ματθ. 10, 32.
13. Γαλ. 1, 8.

αὐτήν, αὐτὸ εἶναι ποὺ δείχνει τὴν ὑπερβολὴν καὶ προκαλεῖ πολλὴν ἀπορίαν, καὶ μάλιστα ὅταν ὁ Χριστὸς καὶ τὰ δύο αὐτὰ δεικνύει ὅτι τὰ ἐκτιμᾷ ὡς μεγάλα, δηλαδὴ τὴν ἀκτημοσύνην καὶ τοὺς πόνους τοῦ μαρτυρίου. Διότι καὶ εἰς τὸν πλούσιον λέγει, ὅπως ἤδη ἀνέφερον, «Ἐὰν θέλῃς νὰ εἶσαι τέλειος, πήγαινε καὶ πώλησε ὅσα ἔχεις καὶ μοίρασέ τα εἰς τοὺς πτωχοὺς καὶ ἔλα ἀκολούθει με»· καὶ εἰς τοὺς μαθητάς του ὅταν ὡμίλει διὰ τὸ μαρτύριον, ἔλεγεν, «Ἐκεῖνος ποὺ θὰ χάσῃ τὴν ζωήν του ἐξ αἰτίας μου, αὐτὸς θὰ τὴν εὕρῃ»[11]· καί· «Ὅποιος μὲ ὁμολογήσῃ ἐμπρὸς εἰς τοὺς ἀνθρώπους, θὰ ὁμολογήσω καὶ ἐγὼ δι' αὐτὸν ἐμπρὸς εἰς τὸν Πατέρα μου τὸν οὐράνιον»[12]. Διότι εἶναι πολὺς ὁ κόπος αὐτοῦ τοῦ κατορθώματος καὶ ὑπερβαίνει σχεδὸν καὶ αὐτὴν τὴν φύσιν· καὶ τὸ γνωρίζουν αὐτὸ καλῶς ὅσοι ἠξιώθησαν αὐτῶν τῶν στεφάνων, καὶ κανεὶς λόγος δὲν θὰ ἠμπορέσῃ νὰ τὸ περιγράψῃ αὐτό. Τόσον γενναίας ψυχῆς ἔργον εἶναι καὶ ὑπερβολικὰ θαυμαστόν.

Ἀλλ' αὐτό, ποὺ εἶναι ἄξιον θαυμασμοῦ, δὲν ὠφελεῖ πολύ, εἶπεν ὁ Παῦλος, χωρὶς τὴν ἀγάπην, ἀκόμη καὶ ἂν ἔχῃ συνηνωμένην τὴν ἀκτημοσύνην. Διατί λοιπὸν ὡμίλησεν ἔτσι; Αὐτὸ τώρα θὰ ἐπιχειρήσω νὰ δείξω, ἀφοῦ προηγουμένως ἐξετάσω πῶς, ἐκεῖνος ποὺ δίδει ὅλα του τὰ ὑπάρχοντα διὰ νὰ θρέψῃ πτωχούς, ἠμπορεῖ νὰ μὴ ἔχῃ ἀγάπην. Διότι αὐτὸς μὲν ποὺ εἶναι ἕτοιμος νὰ καῇ καὶ ἔχει τὰ χαρίσματα εἶναι δυνατὸν ἴσως καὶ νὰ μὴ ἔχῃ ἀγάπην, ἐνῷ αὐτὸς ποὺ ὄχι μόνον δίδει τὰ ὑπάρχοντά του ἀλλὰ καὶ τρέφει μὲ αὐτά, πῶς δὲν ἀγαπᾷ; Τί πρέπει λοιπὸν νὰ εἰποῦμεν; Ἢ ὅτι ἔκανε μίαν ὑπόθεσιν καὶ ἐξέλαβεν αὐτὸ ποὺ δὲν ἠμπορεῖ νὰ γίνῃ, ὡσὰν νὰ γίνεται, πρᾶγμα ποὺ ἀγαπᾷ νὰ κάμνῃ πάντοτε, ὅταν θέλῃ νὰ παραστήσῃ κάτι μὲ κάποιαν ὑπερβολήν, ὅπως ὅταν γράφῃ εἰς τοὺς Γαλάτας καὶ λέγει· «Ἀλλὰ καὶ ἂν ἐμεῖς οἱ ἴδιοι ἢ κάποιος ἄγγελος ἀπὸ τὸν οὐρανὸν σᾶς κηρύξῃ διαφορετικὸν εὐαγγέλιον ἀπὸ ἐκεῖνο ποὺ σᾶς ἐκηρύξαμεν ἡμεῖς, αὐτὸς ἂς εἶναι ἀνάθεμα»[13]. Ἂν καὶ οὔτε αὐτός, οὔτε κανεὶς ἄγγελος ἐπρόκειτο νὰ κάνῃ αὐτό· ἀλλὰ διὰ νὰ δείξῃ τὴν ὑπερβολικὴν ση-

δείξῃ τὴν ὑπερβολὴν τοῦ πράγματος, καὶ τὸ μηδ᾽ ὅλως ἐσόμενον τέθεικε.

Καὶ πάλιν ὅταν Ρωμαίοις ἐπιστέλλῃ καὶ λέγῃ, «Οὔτε ἄγγελοι, οὔτε ἀρχαί, οὔτε δυνάμεις δυνήσονται ἡμᾶς χωρίσαι ἀπὸ τῆς ἀγάπης τοῦ Θεοῦ». Οὐδὲ γὰρ τοῦτο ἔμελλον ποιεῖν ἄγγελοι, ἀλλὰ κἀνταῦθα τὸ μὴ ὂν ὑποτίθεται, ὥσπερ οὖν καὶ τὸ ἑξῆς λέγων· «οὔτε κτίσις ἑτέρα». Καίτοιγε ἑτέρα οὐκ ἔστι κτίσις· πᾶσαν γὰρ αὐτὴν περιέλαβε, καὶ τὰ ἄνω καὶ τὰ κάτω πάντα εἰπών· ἀλλ᾽ ὅμως κἀνταῦθα τὸ μὴ ὂν καθ᾽ ὑπόθεσιν τίθησιν, ὥστε δεῖξαι τὸν μεθ᾽ ὑπερβολῆς αὐτοῦ πόθον. Ὃ δὴ καὶ ἐνταῦθα ποιεῖ λέγων, ὅτι κἂν πάντα τις δῷ, ἀγάπην δὲ μὴ ἔχῃ οὐδὲν ὠφελεῖται. Ἢ τοῦτο οὖν ἐστιν εἰπεῖν, ἢ ὅτι βούλεται τοὺς παρέχοντας καὶ συγκεκολλῆσθαι τοῖς λαμβάνουσι, καὶ μὴ ἁπλῶς διδόναι ἀσυμπαθῶς, ἀλλ᾽ ἐλεοῦντας καὶ κατακαμπτομένους, ἐπικλωμένους καὶ συναλγοῦντας τοῖς δεομένοις.

6. Διὰ τοῦτο γὰρ καὶ ἡ ἐλεημοσύνη παρὰ τοῦ Θεοῦ νενομοθέτηται. Καὶ γὰρ ἠδύνατο τοὺς πένητας διατρέφειν ὁ Θεὸς καὶ χωρὶς τούτου, ἀλλ᾽ ἵνα ἡμᾶς εἰς τὴν ἀγάπην συνδήσῃ, καὶ ἵνα διαθερμανώμεθα πρὸς ἀλλήλους, παρ᾽ ἡμῶν αὐτοὺς ἐκέλευσε τρέφεσθαι. Διὰ τοῦτο καὶ ἀλλαχοῦ φησι· «Κρείσσων λόγος ἀγαθός, ἢ δόσις»· καί, «Ἰδοὺ λόγος ὑπὲρ δόμα ἀγαθόν». Καὶ αὐτός φησιν, «Ἔλεον θέλω, καὶ οὐ θυσίαν». Ἐπειδὴ γὰρ ἔθος τούς τε εὐεργετουμένους φιλεῖν, τούς τε εὖ πάσχοντας πρὸς τοὺς εὐεργετοῦντας οἰκειότερον διακεῖσθαι, σύνδεσμον φιλίας ποιῶν, τοῦτο ἐνομοθέτησεν. Ἀλλὰ τὸ ζητούμενον ἐκεῖνό ἐστι, πῶς, τοῦ Χριστοῦ ἀμφότερα ταῦτα τελειότητος εἶναι φήσαντος, οὗτος χωρὶς ἀγάπης ἀτελῆ ταῦτα εἶναί φησιν. Οὐκ ἀντιφθεγγόμενος αὐτῷ, μὴ γένοιτο, ἀλλὰ καὶ σφόδρα αὐτῷ συνᾴδων. Καὶ γὰρ ἐπὶ τοῦ

14. Ρωμ. 8, 39.
15. Σοφ. Σειρὰχ 18. 16-17.
16. Ματθ. 9, 13.

μασίαν τοῦ πράγματος, εἶπε καὶ αὐτὸ ποὺ καθόλου δὲν ἐπρόκειτο νὰ γίνῃ.

Καὶ πάλιν ὅταν γράφῃ εἰς τοὺς Ρωμαίους λέγει, «Οὔτε ἄγγελοι, οὔτε ἀρχαί, οὔτε δυνάμεις δὲν θὰ ἠμπορέσουν νὰ μᾶς χωρίσουν ἀπὸ τὴν ἀγάπην τοῦ Θεοῦ»[14]. Οὔτε αὐτὸ βεβαίως ἐπρόκειτο νὰ κάνουν οἱ ἄγγελοι, ἀλλὰ καὶ ἐδῶ ὑποθέτει τὸ ἀδύνατον, ὅπως καὶ τὸ ἑπόμενον ὅταν ἀναφέρῃ· «οὔτε κανὲν ἄλλο δημιούργημα». Ἂν καὶ δὲν ὑπάρχει ἄλλο δημιούργημα, διότι ὅλην τὴν δημιουργίαν συμπεριέλαβε, ἀφοῦ εἶπεν ὅλα καὶ ὅσα εἶναι εἰς τὰ ὕψη καὶ ὅσα εἶναι εἰς τὰ βάθη, ἀλλὰ καὶ ἐδῶ ὑποθέτει τὸ ἀδύνατον νὰ γίνῃ, διὰ νὰ δείξῃ τὸν ὑπερβολικόν του πόθον διὰ τὸν Θεόν. Αὐτὸ λοιπὸν κάμνει καὶ ἐδῶ ὅταν λέγῃ, ὅτι καὶ ἂν κανεὶς δώσῃ τὰ πάντα, ἀλλὰ δὲν ἔχῃ ἀγάπην, δὲν ὠφελεῖται καθόλου. Ἢ αὐτὸ λοιπὸν εἶναι πιθανὸν ὅτι ἐννοεῖ, ἢ ὅτι θέλει αὐτοὺς ποὺ δίδουν, νὰ συνδέωνται ἐπὶ πλέον μὲ αὐτοὺς ποὺ λαμβάνουν, καὶ ὄχι ἁπλῶς νὰ δίδουν χωρὶς νὰ συμπάσχουν, ἀλλὰ ὅταν ἐλεοῦν καὶ νὰ θλίβωνται καὶ νὰ συντρίβωνται καὶ νὰ συμπονοῦν μὲ αὐτοὺς ποὺ ἔχουν ἀνάγκην.

6. Δι' αὐτὸν λοιπὸν τὸν λόγον ἐτέθη καὶ ἡ ἐλεημοσύνη ὡς νόμος ἀπὸ τὸν Θεόν. Διότι ἠμποροῦσε ὁ Θεὸς νὰ τρέφῃ τοὺς πτωχοὺς καὶ χωρὶς αὐτό, ἀλλὰ διὰ νὰ μᾶς συνδέσῃ εἰς τὴν ἀγάπην καὶ διὰ νὰ ἔχωμεν πολὺ θερμὴν διάθεσιν μεταξύ μας, ἐνομοθέτησεν ἀπὸ ἐμᾶς νὰ τρέφωνται αὐτοί. Δι' αὐτὸ λέγει καὶ ἀλλοῦ· «ὁ καλὸς λόγος εἶναι ἀνώτερος ἀπὸ τὴν δωρεάν»[15]· καί· «Ἰδού, ὁ λόγος εἶναι καλύτερος ἀπὸ τὴν δωρεάν»[15]. Καὶ ὁ ἴδιος ὁ Χριστὸς λέγει, «Ἀγάπην θέλω καὶ ὄχι θυσίαν»[16]. Διότι ἐπειδὴ συνήθως καὶ αὐτοὺς ποὺ εὐεργετοῦνται ἀγαποῦν, καὶ αὐτοὶ ποὺ εὐεργετοῦνται διάκεινται φιλικῶς πρὸς τοὺς εὐεργέτας των, ἐνομοθέτησεν αὐτὸ διὰ νὰ δημιουργήσῃ σύνδεσμον φιλίας. Ἀλλ' αὐτὸ τὸ ὁποῖον ζητοῦμεν εἶναι, πῶς, ἀφοῦ ὁ Χριστὸς εἶπεν ὅτι καὶ τὰ δύο αὐτὰ εἶναι γνωρίσματα τελειότητος, ὁ Παῦλος λέγει ὅτι αὐτὰ χωρὶς ἀγάπην εἶναι γνωρίσματα ἀτελείας. Ὄχι βέβαια διότι ἀντιλέγει εἰς τὸν Χριστόν, μὴ γένοιτο, ἀλλὰ καὶ ἀπολύτως συμφωνεῖ. Διότι εἰς τὸν πλού-

πλουσίου οὐχ ἁπλῶς εἶπε, «Πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς», ἀλλ' ἐπήγαγε, «καὶ δεῦρο ἀκολούθει μοι». Ἡ δὲ ἀκολούθησις αὐτοῦ, οὐδὲν οὕτω μαθητὴν ἀποδείκνυσι τοῦ Χριστοῦ, ὡς τὸ ἀλλήλους ἀγαπᾶν. «Ἐν» γὰρ «τούτῳ γνώσονται πάντες», φησίν, «ὅτι μαθηταί μου ἐστέ, ἐὰν ἀγαπᾶτε ἀλλήλους».

Καὶ ὅταν δὲ λέγῃ, «Ὃς ἂν ἀπολέσῃ τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ, εὑρήσει αὐτήν»· καί, «Ὃς ἂν ὁμολογήσῃ με ἔμπροσθεν τῶν ἀνθρώπων, ὁμολογήσω κἀγὼ αὐτὸν ἔμπροσθεν τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς»· οὐ τοῦτό φησιν, ὅτι οὐ δεῖ ἀγαπᾶν, ἀλλὰ τὸν μισθὸν τὸν ἀποκείμενον τοῖς πόνοις τούτοις δηλοῖ. Ἐπεὶ ὅτι μετὰ τοῦ μαρτυρίου καὶ τοῦτο ζητεῖ, ἀλλαχοῦ σφόδρα τοῦτο ᾐνίξατο, οὕτως εἰπών· «Τὸ μὲν ποτήριόν μου πίεσθε, καὶ τὸ βάπτισμα, ὃ ἐγὼ βαπτίζομαι, βαπτισθήσεσθε»· τουτέστι, μαρτυρήσετε, σφαγήσεσθε ὑπὲρ ἐμοῦ· «τὸ δὲ καθίσαι ἐκ δεξιῶν καὶ ἐξ εὐωνύμων»· οὐχ ὡς τινων καθημένων ἐκ δεξιῶν καὶ ἐξ εὐωνύμων, ἀλλὰ τὴν ἀνωτάτω λέγων προεδρίαν τε καὶ τιμήν· «οὐκ ἔστιν ἐμὸν δοῦναι», φησίν, «ἀλλ' οἷς ἡτοίμασται».

Εἶτα δεικνὺς τίσιν ἡτοίμασται, καλέσας αὐτούς φησιν· «Ὃς ἐὰν θέλῃ ἐν ὑμῖν εἶναι πρῶτος, ἔστω πάντων ὑμῶν διάκονος»· ταπεινοφροσύνην δηλῶν καὶ ἀγάπην. Ἀγάπην ἐπιτεταμένην ἀπαιτεῖ. Διὰ δὴ τοῦτο οὐδὲ μέχρι τούτου ἔστη, ἀλλὰ καὶ ἐπήγαγεν· «Ὥσπερ ὁ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἦλθε διακονηθῆναι, ἀλλὰ διακονῆσαι, καὶ δοῦναι τὴν ψυχὴν αὐτοῦ λύτρον ἀντὶ πολλῶν»· δεικνὺς ὅτι οὕτω δεῖ φιλεῖν, ὡς καὶ σφάττεσθαι ὑπὲρ τῶν τῶν ἀγαπωμένων· τοῦτο γὰρ μάλιστα αὐτόν ἐστι φιλεῖν. Διὸ καὶ τῷ Πέτρῳ φησίν, «Εἰ φιλεῖς με, ποίμανε τὰ πρόβατά μου». Καὶ ἵνα μάθητε

17. Ἰω. 13, 35.
18. Ματθ. 20, 23.
19. Ματθ. 20, 26.
20. Ματθ. 20, 28.
21. Ἰω. 21, 16.

σιον καὶ ὁ Χριστὸς δὲν εἶπεν ἁπλῶς, «πώλησε ὅσα ἔχεις καὶ μοίρασέ τα εἰς τοὺς πτωχούς», ἀλλὰ προσέθεσε, «καὶ ἔλα ἀκολούθει με». Εἰς τὸ ν' ἀκολουθῶμεν δὲ τὸν Χριστόν, τίποτε δὲν μᾶς ἀποδεικνύει τόσον μαθητὰς τοῦ Χριστοῦ, ὅσον τὸ ν' ἀγαπώμεθα μεταξύ μας. Διότι «Ἀπὸ αὐτὸ θὰ γνωρίζουν ὅλοι», λέγει, «ὅτι εἶσθε μαθηταί μου, ἐὰν δηλαδὴ ἔχετε ἀγάπην μεταξύ σας»[17].

Καὶ ὅταν λέγῃ δέ, «Ἐκεῖνος ποὺ θὰ χάσῃ τὴν ζωήν του ἐξ αἰτίας μου αὐτὸς θὰ τὴν εὕρῃ», καί, «Ὅποιος μὲ ὁμολογήσῃ ἐμπρὸς εἰς τοὺς ἀνθρώπους, θὰ τὸν ὁμολογήσω καὶ ἐγὼ ἐμπρὸς εἰς τὸν Πατέρα μου τὸν οὐράνιον», δὲν ἐννοεῖ ὅτι δὲν πρέπει ν' ἀγαπῶμεν, ἀλλὰ φανερώνει τὸν μισθὸν ποὺ ἀναμένει αὐτοὺς τοὺς κόπους. Διότι, τὸ ὅτι ζητεῖ καὶ τὴν ἀγάπην μαζὶ μὲ τὸ μαρτύριον, εἰς ἄλλο σημεῖον ὑπῃνίχθη σαφῶς, ὅταν εἶπεν τὰ ἑξῆς· «Τὸ μὲν ποτήριον ποὺ θὰ πίω ἐγώ, θὰ τὸ πίετε καὶ σεῖς, καὶ τὸ βάπτισμα ποὺ πρόκειται νὰ βαπτισθῶ μέσα εἰς τὰ παθήματά μου, θὰ τὸ βαπτισθῆτε» δηλαδὴ θὰ μαρτυρήσετε, θὰ σφαγιασθῆτε ἐξ αἰτίας μου· «Τὸ νὰ καθήσετε ὅμως εἰς τὰ δεξιά μου καὶ εἰς τὰ ἀριστερά μου», ὄχι ἐπειδὴ θὰ ἐκάθηντο κάποιοι εἰς τὰ ἀριστερὰ καὶ εἰς τὰ δεξιά, ἀλλ' ἔτσι λέγει τὴν οὐράνιον πρωτοκαθεδρίαν καὶ τὴν ὑψίστην τιμήν, «δὲν ἀνήκει εἰς ἐμένα νὰ τὸ δώσω, ἀλλὰ θὰ δοθῇ εἰς ἐκείνους διὰ τοὺς ὁποίους ἔχει ἑτοιμασθῇ ἀπὸ τὸν Πατέρα μου»[18].

Ἐν συνεχείᾳ διὰ νὰ δείξῃ διὰ ποίους ἔχει ἑτοιμασθῇ, ἀφοῦ τοὺς ἐκάλεσεν εἶπεν· «Ἐκεῖνος ποὺ θέλει μεταξύ σας νὰ γίνῃ μέγας, ἂς εἶναι ὑπηρέτης ὅλων»[19]· καὶ φανερώνει τὴν ταπεινοφροσύνην καὶ τὴν ἀγάπην. Ἀπαιτεῖ δὲ ἀγάπην δυνατήν. Διὰ τοῦτο βεβαίως οὔτε μέχρις ἐδῶ ἐστάθη, ἀλλὰ καὶ προσέθεσεν· «Ὅπως ἀκριβῶς ὁ Υἱὸς τοῦ ἀνθρώπου δὲν ἦλθε νὰ ὑπηρετηθῇ, ἀλλὰ νὰ ὑπηρετήσῃ καὶ νὰ δώσῃ τὴν ζωήν του λύτρον διὰ πολλούς»[20]· καὶ δεικνύει ὅτι τόσον πρέπει ν' ἀγαπῶμεν, ὥστε καὶ νὰ σφαγιαζώμεθα δι' αὐτοὺς ποὺ ἀγαπῶμεν· διότι αὐτὸ κυρίως εἶναι τὸ ν' ἀγαπῶμεν τὸν Θεόν. Δι' αὐτὸ καὶ εἰς τὸν Πέτρον λέγει, «Ἐὰν μὲ ἀγαπᾷς, ποίμαινε τὰ πρόβατά μου»[21]. Καὶ διὰ νὰ γνω-

ὅσον ἐστὶ τὸ κατόρθωμα, ὑπογράψωμεν αὐτὴν τῷ λόγῳ, ἐπειδὴ τοῖς πράγμασιν αὐτὴν οὐχ ὁρῶμέν που φαινομένην, καὶ ἐννοήσωμεν, εἰ πανταχοῦ μετὰ δαψιλείας ἦν αὕτη, πόσα ἂν ἐγένετο ἀγαθά. Οὔτε γὰρ νόμων οὔτε δικαστηρίων ἔδει, οὐ κολάσεων, οὐ τιμωριῶν, οὐκ ἄλλου τῶν τοιούτων οὐδενός. Εἰ γὰρ ἅπαντες ἠγάπων καὶ ἠγαπῶντο, οὐδὲν ἂν ἠδίκησεν οὐδείς, ἀλλὰ καὶ φόνοι καὶ μάχαι καὶ πόλεμοι καὶ στάσεις καὶ ἁρπαγαὶ καὶ πλεονεξίαι καὶ πάντα ἂν ἐκποδὼν ἐγεγόνει τὰ πονηρά, καὶ μέχρις ὀνόματος ἂν ἠγνοήθη ἡ κακία. Τὰ μέντοι σημεῖα οὐκ ἂν τοῦτο εἰργάσατο, ἀλλὰ καὶ εἰς κενοδοξίαν ἐπαίρει τοὺς μὴ προσέχοντας καὶ ἀπόνοιαν.

7. Καὶ τὸ δὴ θαυμαστὸν τῆς ἀγάπης, ὅτι τὰ μὲν ἄλλα ἀγαθὰ ἔχει παρεζευγμένα κακά· οἷον ὁ ἀκτήμων φυσᾶται πολλάκις, διὰ τοῦτο, ὁ λέγειν εἰδὼς καὶ δοξομανίαν νοσεῖ, ὁ ταπεινόφρων δι' αὐτὸ τοῦτο πολλάκις κατὰ τὸ συνειδὸς μέγα φρονεῖ· ἡ δὲ ἀγάπη πάσης τῆς τοιαύτης ἀπήλλακται λύμης· κατὰ γὰρ τοῦ ἀγαπωμένου οὐκ ἄν τις ἐπαρθείη ποτέ. Καὶ μή μοι θῇς ἕνα ἀγαπῶντα, ἀλλὰ πάντας ὁμοίως, καὶ τότε αὐτῆς ὄψει τὴν ἀρετήν· μᾶλλον δέ, εἰ βούλει, πρῶτον ἕνα ἀγαπώμενον καὶ ἕνα φιλοῦντα τίθει, φιλοῦντα μέντοι, ὡς φιλεῖν ἄξιον. Τὴν γὰρ γῆν οὗτος ὡς τὸν οὐρανὸν οἰκήσει, πανταχοῦ γαλήνης ἀπολαύων, καὶ μυρίους ἑαυτῷ πλέκων στεφάνους. Ὁ γὰρ τοιοῦτος καὶ φθόνου καὶ ὀργῆς καὶ βασκανίας καὶ ἀπονοίας καὶ κενοδοξίας καὶ πονηρᾶς ἐπιθυμίας καὶ παντὸς ἔρωτος ἀτόπου καὶ παντὸς νοσήματος καθαρεύουσαν διατηρήσει τὴν ἑαυτοῦ ψυχήν. Ὥσπερ γὰρ ἑαυτὸν οὐκ ἄν τις ἐργάσαιτό τι κακόν, οὕτως οὐδὲ τοὺς πλησίον οὗτος. Τοιοῦτος δὲ ὤν, μετ' αὐτοῦ στήσεται τοῦ Γαβριὴλ ἐπὶ τῆς γῆς βαδίζων.

Καὶ ὁ μὲν ἀγάπην ἔχων τοιοῦτος· ὁ δὲ σημεῖα ποιῶν

ρίσετε πόσον μέγα εἶναι τὸ κατόρθωμα, ἂς τὴν ζωγραφήσωμεν μὲ τὸν λόγον, διότι εἰς τὴν πραγματικότητα δὲν τὴν βλέπομεν νὰ φαίνεται πουθενά, καὶ ἂς σκεφθῶμεν, ἐὰν ὑπῆρχεν αὐτὴ παντοῦ πλουσία, πόσα ἀγαθὰ θὰ ἐγίνοντο. Διότι οὔτε νόμοι, οὔτε δικαστήρια θὰ ἐχρειάζοντο, οὔτε τιμωρίαι καὶ κολασμοί, οὔτε τίποτε ἄλλο ἀπὸ αὐτά. Διότι ἐὰν ὅλοι ἠγάπων καὶ ἠγαπῶντο, κανεὶς δὲν θὰ ἠδίκει εἰς τίποτε, ἀλλὰ καὶ φόνοι καὶ μάχαι καὶ πόλεμοι καὶ ἐπαναστάσεις καὶ κλοπαὶ καὶ πλεονεξίαι καὶ ὅλα τὰ κακὰ θὰ ἐξηφανίζοντο καὶ μέχρι καὶ τὸ ὄνομα τῆς κακίας θὰ ἐλησμονεῖτο καὶ θὰ ἐγίνετο ἄγνωστον. Τὰ χαρίσματα ὅμως δὲν ἐπιτυγχάνουν αὐτά, ἀλλ' ἐπὶ πλέον καὶ ὁδηγοῦν εἰς κενοδοξίαν καὶ ἀνοησίαν αὐτοὺς ποὺ δὲν προσέχουν.

7. Καὶ τὸ πολὺ ἀξιοθαύμαστον εἰς τὴν ἀγάπην εἶναι ὅτι τὰ μὲν ἄλλα ἀγαθὰ εἶναι συνδεδεμένα μὲ ἀντίστοιχα κακά· ὅπως δηλαδή, ὁ ἀκτήμων πολλὰς φορὰς πίπτει εἰς ὑπερηφάνειαν δι' αὐτό, αὐτὸς ποὺ λέγει ὅτι ἔχει γνῶσιν πάσχει ἀπὸ δοξομανίαν, ὁ ταπεινόφρων πολλὰς φορὰς ἐπαίρεται μέσα του διὰ τὴν ταπεινοφροσύνην του· ἐνῷ ἡ ἀγάπη εἶναι ἀπηλλαγμένη ἀπὸ ὅλην αὐτὴν τὴν ἀκαθαρσίαν· διότι δὲν ἠμπορεῖ κανεὶς νὰ ὑπερηφανευθῇ ποτὲ εἰς βάρος ἐκείνου τὸν ὁποῖον ἀγαπᾷ. Καὶ μὴ μοῦ παρουσιάσῃς ἕνα ποὺ ν' ἀγαπᾷ, ἀλλ' ὅλους, καὶ τότε θὰ ἴδῃς τὴν ἀρετὴν τῆς ἀγάπης· μᾶλλον δέ, ἐὰν θέλῃς, πρῶτον πάρε ὡς παράδειγμα ἕνα ποὺ ν' ἀγαπᾷ καὶ ἕνα ποὺ ν' ἀγαπᾶται, ἀλλὰ ποὺ ν' ἀγαπᾷ ὅπως πρέπει ν' ἀγαπᾷ. Αὐτὸς λοιπὸν θὰ κατοικήσῃ τὴν γῆν ὡσὰν οὐρανόν, ἀφοῦ παντοῦ θ' ἀπολαμβάνῃ γαλήνης καὶ θὰ πλέκῃ διὰ τὸν ἑαυτόν του ἀναριθμήτους στεφάνους. Διότι αὐτὸς θὰ κρατήσῃ τὴν ψυχήν του καθαρὰν καὶ ἀπὸ φθόνον καὶ ὀργὴν καὶ συκοφαντίαν καὶ ἀνοησίαν καὶ πονηρὰν ἐπιθυμίαν καὶ ἀπὸ κάθε ἄτοπον ἔρωτα. Διότι ὅπως εἰς τὸν ἑαυτόν του δὲν θὰ ἔκαμνε τίποτε κακόν, ἔτσι οὔτε αὐτὸς εἰς τὸν πλησίον. Ἐπειδὴ δὲ θὰ εἶναι τέτοιος θὰ ἵσταται εἰς τὸ ὕψος τοῦ Γαβριὴλ ἐνῷ θὰ βαδίζῃ ἐπάνω εἰς τὴν γῆν.

Καὶ αὐτὸς μὲν ποὺ ἔχει ἀγάπην εἶναι τέτοιος· ἐνῷ αὐ-

καὶ γνῶσιν ἔχων ἀπηρτισμένην, ταύτης ἄνευ, κἂν μυρίους ἐγείρῃ νεκρούς, οὐδὲν μέγα ὀνήσει, πάντων ἀπερρηγμένος καὶ οὐδὲν τῶν συνδούλων ἀναμιγνύναι ἑαυτὸν ἀνεχόμενος. Διὰ δὴ τοῦτο καὶ ὁ Χριστὸς τῆς εἰς αὐτὸν ἀκριβοῦς ἀγάπης σημεῖον ἔφησεν εἶναι, τὸ τὸν πλησίον φιλεῖν. «Εἰ γὰρ φιλεῖς με», φησίν, «ὦ Πέτρε, τούτων πλέον, ποίμανε τὰ πρόβατά μου». Εἶδες πῶς καὶ ἐντεῦθεν πάλιν ᾐνίξατο, ὅτι μαρτυρίου μεῖζον τοῦτο; Καὶ γὰρ εἴ παῖδά τις εἶχεν ἀγαπητόν, καὶ ὑπὲρ οὗ καὶ τὴν ψυχὴν ἂν ἐπέδωκεν, εἶτά τις τὸν μὲν πατέρα ἐφίλει, τῷ δὲ παιδὶ μηδ' ὅλως προσεῖχε, σφόδρα ἂν παρώξυνε τὸν πατέρα, καὶ οὐκ ἂν ᾔσθετο τῆς οἰκείας ἀγάπης διὰ τὴν τοῦ παιδὸς ὑπεροψίαν. Εἰ δὲ ἐπὶ πατρὸς καὶ παιδὸς τοῦτο συμβαίνει, πολλῷ μᾶλλον ἐπὶ Θεοῦ καὶ ἀνθρώπων. Καὶ γὰρ πατέρων ἁπάντων ἐστὶ φιλοστοργότερος ὁ Θεός. Διὰ δὴ τοῦτο εἰπών, «Πρώτη καὶ μεγάλη ἐντολή, ἀγαπήσεις Κύριον τὸν Θεόν σου», ἐπήγαγε, «Δευτέρα δέ», καὶ οὐκ ἐσίγησεν, ἀλλὰ προσέθηκεν, «ὁμοία αὐτῆς, ἀγαπήσεις τὸν πλησίον σου ὡς ἑαυτόν».

Καὶ ὅρα πῶς μετὰ τῆς αὐτῆς σχεδὸν ὑπερβολῆς ἀπαιτεῖ καὶ ταύτην. Περὶ μὲν γὰρ τοῦ Θεοῦ φησιν, «ἐξ ὅλης καρδίας σου»· περὶ δὲ τοῦ πλησίον, «ὡς ἑαυτόν», ὅπερ ἴσον ἐστὶ τῷ, «ἐξ ὅλης τῆς καρδίας σου». Καὶ γὰρ εἰ μετὰ ἀκριβείας τοῦτο ἐφυλάττετο, οὐ δοῦλος, οὐκ ἐλεύθερος ἦν, οὐκ ἄρχων, οὐκ ἀρχόμενος, οὐ πλούσιος, οὐ πένης, οὐ μικρός, οὐ μέγας, οὐ διάβολος ἂν ἐγνώσθη ποτέ· οὐ λέγω, οὗτος, ἀλλ' εἰ καὶ ἕτερος τοιοῦτος, μᾶλλον δὲ εἰ καὶ ἑκατὸν καὶ μυρίοι τοιοῦτοι ἦσαν, οὐδὲν ἂν ἴσχυσαν ἐκείνης οὔσης. Μᾶλλον γὰρ χόρτος ἤνεγκε πυρὸς ἐπαγωγήν, ἢ φλόγα ἀγάπης

22. Ματθ. 22, 38.

τὸς ποὺ κάμνει θαύματα καὶ ἔχει τελείαν γνῶσιν, χωρὶς τὴν ἀγάπην, ἀκόμη καὶ ἂν ἀναστήσῃ χιλιάδας νεκρούς, δὲν θὰ ὠφεληθῇ πολύ, καθὼς θὰ εἶναι ἀποκομμένος ἀπὸ ὅλους καὶ δὲν θὰ ἀνέχεται κοινωνίαν μὲ τοὺς συνδούλους του. Δι' αὐτὸ βεβαίως καὶ ὁ Χριστὸς εἶπεν ὅτι σημεῖον τῆς τελείας ἀγάπης εἶναι τὸ ν' ἀγαπᾷ κανεὶς τὸν πλησίον. Διότι, «ἐὰν μὲ ἀγαπᾷς, Πέτρε, περισσότερον ἀπὸ αὐτούς, ποίμαινε τὰ πρόβατά μου». Εἶδες πῶς καὶ ἐδῶ πάλιν ὑπηνίχθη ὅτι αὐτὸ εἶναι ἀνώτερον ἀπὸ τὸ μαρτύριον; Διότι ἐὰν κάποιος εἶχεν ἓν τέκνον ἀγαπητόν, διὰ τὸ ὁποῖον θὰ ἔδιδε καὶ τὴν ζωήν του, καὶ ὕστερον τὸν μὲν πατέρα ἠγάπα, ἐνῷ διὰ τὸ τέκνον ἐδείκνυεν ἀδιαφορίαν, θὰ ἐξώργιζε πολὺ τὸν πατέρα του καὶ δὲν θὰ ᾐσθάνετο τὴν ἀγάπην του ἐξ αἰτίας τοῦ ὅτι παραβλέπει τὸ τέκνον του. Ἐὰν δὲ συμβαίνῃ αὐτὸ εἰς τὴν περίπτωσιν πατρὸς καὶ παιδιοῦ, πολὺ περισσότερον εἰς τὸν Θεὸν καὶ τοὺς ἀνθρώπους. Διότι ὁ Θεὸς εἶναι περισσότερον φιλόστοργος ἀπὸ κάθε πατέρα. Δι' αὐτὸ βεβαίως ὅταν εἶπεν, «Πρώτη καὶ μεγάλη ἐντολὴ εἶναι ν' ἀγαπήσῃς Κύριον τὸν Θεόν σου μὲ ὅλην τὴν καρδίαν σου καὶ μὲ ὅλην τὴν ψυχήν σου καὶ μὲ ὅλον τὸν νοῦν σου», ἐσυνέχισε, «Δευτέρα δέ», καὶ δὲν ἐσιώπησεν, ἀλλὰ προσέθεσεν, «ὁμοία μὲ αὐτήν, νὰ ἀγαπήσῃς τὸν πλησίον σου ὅπως τὸν ἑαυτόν σου»[22].

Καὶ πρόσεχε πῶς ἀπαιτεῖ νὰ τηρῆται καὶ αὐτὴ μὲ τὴν ἰδίαν σχεδὸν ὑπερβολικὴν φροντίδα. Διότι διὰ τὸν Θεὸν μὲν λέγει, «μὲ ὅλην τὴν καρδίαν σου», διὰ τὸν πλησίον δέ, «ὅπως τὸν ἑαυτόν σου», πρᾶγμα ποὺ εἶναι ἴσον μὲ τό, «μὲ ὅλην τὴν καρδίαν σου». Διότι ἐὰν ἐτηρεῖτο αὐτὸ τελείως, οὔτε δοῦλος, οὔτε ἐλεύθερος θὰ ὑπῆρχεν, οὔτε ἄρχων, οὔτε ἀρχόμενος, οὔτε πλούσιος, οὔτε πτωχός, οὔτε μικρός, οὔτε μέγας, οὔτε ὁ διάβολος θὰ ἦτο ποτὲ γνωστός· δὲν λέγω μόνον δι' αὐτόν, ἀλλ' ἐὰν ὑπῆρχε καὶ ἄλλος τέτοιος, μᾶλλον δὲ ἐὰν ὑπῆρχον καὶ ἑκατὸν καὶ χιλιάδες τέτοιοι, τίποτε δὲν θὰ ἠμποροῦσαν νὰ κάνουν ἐὰν ὑπῆρχεν ἡ ἀγάπη. Διότι περισσότερον θὰ ἠμποροῦσε νὰ βαστάσῃ τὸ ξηρὸν χόρτον τὴν ἐφόρμησιν τῆς πυρᾶς, παρὰ ὁ διάβολος

διάβολος. Αὕτη τείχους ἰσχυροτέρα, αὕτη ἀδάμαντος στερροτέρα· κἂν ἑτέραν ταύτης ἰσχυροτέραν εἴπῃς ὕλην, πάντα ὑπερβάλλει τῆς ἀγάπης ἡ στερρότης. Ταύτην οὐ πλοῦτος, οὐ πενία νικᾷ· μᾶλλον δὲ οὐδ' ἂν ἦν πενία, οὐκ ἀμετρία πλούτου, εἰ ἀγάπη ἦν, ἀλλὰ τὰ ἐξ ἑκατέρων ἀγαθὰ μόνον. Καὶ γὰρ τὴν ἐξ ἐκείνου ἀφθονίαν ἐκαρπωσάμεθα ἄν, καὶ τὴν ἐκ ταύτης ἀμεριμνίαν· καὶ οὔτε τοῦ πλούτου τὰς φροντίδας, οὔτε τῆς πενίας τὸ δέος ὑπεμείναμεν ἄν.

Καὶ τί λέγω τὰ ἐξ αὐτῆς κέρδη; Αὐτὸ γὰρ καθ' ἑαυτὸ τὸ φιλεῖν ἐννόησον ἡλίκον ἐστί, πόσην φέρει τὴν εὐφροσύνην, ἐν πόσῃ καθίστησι χάριτι τὴν ψυχήν, ὃ μάλιστα αὐτῆς ἐστιν ἐξαίρετον. Τὰ μὲν γὰρ ἄλλα τῆς ἀρετῆς μέρη συνεζευγμένον ἔχει τὸν πόνον, οἷον νηστεία, σωφροσύνη, ἀγρυπνία, βασκανίαν, ἐπιθυμίαν, ὑπεροψίαν· ἡ δὲ ἀγάπη μετὰ τοῦ κέρδους πολλὴν ἔχει καὶ τὴν ἡδονήν, καὶ πόνον οὐδένα· καὶ καθάπερ μέλιττα ἀγαθή, τὰ πανταχόθεν συνάγουσα ἀγαθά, εἰς τὴν τοῦ φιλοῦντος κατατίθεται ψυχήν. Κἂν δουλεύῃ τις, ἡδίω τῆς ἐλευθερίας ἀποφαίνει τὴν δουλείαν. Ὁ γὰρ φιλῶν οὐχ οὕτως ἐπιτάττων, ὡς ἐπιταττόμενος χαίρει. Καίτοιγε τὸ ἐπιτάττειν ἡδύ· ἀλλὰ μετατίθησιν αὕτη τῶν πραγμάτων τὴν φύσιν, καὶ πάντα ἐν χερσὶν ἔχουσα παραγίνεται τὰ ἀγαθά, πάσης μητρὸς ἠπιωτέρα, πάσης βασιλίδος εὐπορωτέρα, καὶ τὰ ἐπίπονα κοῦφα καὶ ῥᾷστα ποιεῖ, τὴν μὲν ἀρετὴν εὔκολον, τὴν δὲ κακίαν πικροτάτην ἡμῖν ἀποφαίνουσα.

Σκόπει δέ. Τὸ δαπανᾶν λυπηρὸν εἶναι δοκεῖ, καὶ ποιεῖ αὐτὸ αὕτη ἡδύ· τὸ λαμβάνειν τὰ ἑτέρων ἡδύ, καὶ οὐκ ἀφίησιν αὐτὸ φαίνεσθαι ἡδύ, ἀλλὰ φεύγειν ὡς μοχθηρὸν παρασκευάζει. Πάλιν τὸ κακῶς λέγειν, γλυκὺ πᾶσιν εἶναι δοκεῖ· αὕτη τοῦτο μὲν πικρὸν ἀποφαίνει, τὸ δὲ καλῶς λέγειν, ἡδύ.

τὴν φλόγα τῆς ἀγάπης. Ἡ ἀγάπη εἶναι ἰσχυροτέρα ἀπὸ τὸ τεῖχος καὶ στερεοτέρα ἀπὸ τὸν ἀδάμαντα· καὶ ἐὰν εἴπῃς κάτι ἄλλο στερεότερον ἀπὸ τὸν ἀδάμαντα, ὅλα τὰ ὑπερβαίνει ἡ στερεότης τῆς ἀγάπης. Αὐτὴν οὔτε ὁ πλοῦτος, οὔτε ἡ πτωχεία τὴν νικᾷ· μᾶλλον δὲ οὔτε θὰ ὑπῆρχε πτωχεία, οὔτε πλοῦτος πέραν τοῦ μέτρου, ἐὰν ὑπῆρχεν ἀγάπη, ἀλλὰ μόνον τὰ ἀγαθὰ καὶ ἀπὸ τὰ δύο. Διότι θὰ ὠφελούμεθα καὶ τὴν ἀφθονίαν τοῦ πλούτου καὶ τὴν ἀμεριμνησίαν τῆς ἀγάπης· καὶ οὔτε τὰς φροντίδας τοῦ πλούτου, οὔτε τὴν στέρησιν τῆς πτωχείας θὰ ὑπεφέρομεν.

Καὶ τί λέγω τὰ κέρδη ἀπὸ αὐτήν; Διότι αὐτὸ καθ' ἑαυτὸ τὸ ν' ἀγαπᾷς σκέψου πόσον μέγα εἶναι, πόσην εὐφροσύνην φέρει, πόσην χάριν δίδει εἰς τὴν ψυχήν, πρᾶγμα ποὺ εἶναι ἐξαιρετικὸν καὶ μοναδικὸν γνώρισμα τῆς ἀγάπης. Διότι αἱ μὲν ἄλλαι ἀρεταὶ ἔχουν συνδεδεμένον τὸν κόπον, ὅπως ἡ νηστεία, ἡ καθαρότης ἀπὸ σαρκικὰς ἁμαρτίας, ἡ ἀγρυπνία, τὸν φθόνον, τὴν ἐπιθυμίαν, τὴν ὑπερηφάνειαν· ἐνῷ ἡ ἀγάπη μαζὶ μὲ τὸ κέρδος ἔχει πολλὴν καὶ τὴν ἡδονὴν καὶ κανένα κόπον· καὶ ὡσὰν καλὴ μέλισσα, ἀφοῦ συγκεντρώνει ἀπὸ παντοῦ τὰ ἀγαθά, τὰ ἀποταμιεύει εἰς τὴν ψυχὴν ἐκείνου ποὺ ἀγαπᾷ. Καὶ ἐὰν κανεὶς εἶναι δοῦλος, δεικνύει τὴν δουλείαν γλυκυτέραν τῆς ἐλευθερίας. Διότι αὐτὸς ποὺ ἀγαπᾷ δὲν χαίρει τόσον ὅταν διατάσσῃ, ὅσον ὅταν διατάσσεται. Ἂν καὶ βεβαίως τὸ νὰ διατάσσῃ κανεὶς εἶναι εὐχάριστον· ἀλλ' ἡ ἀγάπη μεταθέτει τὴν φύσιν τῶν πραγμάτων, καὶ ἔρχεται ἔχουσα εἰς τὰ χέρια ὅλα τὰ ἀγαθά, ἡμερωτέρα ἀπὸ κάθε μητέρα, πλουσιωτέρα ἀπὸ κάθε βασίλισσαν, καὶ κάμνει τὰ κοπιαστικὰ ἐλαφρὰ καὶ εὐκολώτατα καὶ δεικνύει εἰς ἐμᾶς τὴν μὲν ἀρετὴν εὔκολον, τὴν δὲ κακίαν πικροτάτην.

Πρόσεξε δέ· τὸ νὰ ἐξοδεύῃ κανεὶς δι' ἄλλους φαίνεται λυπηρόν, καὶ ἡ ἀγάπη τὸ κάμνει εὐχάριστον· τὸ νὰ παίρνῃ κανεὶς τὰ τῶν ἄλλων εὐχάριστον, καὶ δὲν ἀφήνει αὐτὸ νὰ φαίνεται γλυκύ, ἀλλὰ κάμνει αὐτὸν ποὺ ἀγαπᾷ νὰ τὸ ἀποφεύγῃ ὡς κακόν. Πάλιν τὸ νὰ κακολογῇ κανείς, φαίνεται γλυκὺ εἰς ὅλους· ἡ ἀγάπη δεικνύει ὅτι αὐτὸ μὲν εἶναι πι-

Οὐδὲν γὰρ οὕτως, ὡς τὸ τὸν φιλούμενον ἐγκωμιάζειν, ἡμῖν ἡδύ· Πάλιν ὁ θυμὸς ἔχει τινὰ ἡδονήν, ἀλλ' ἐνταῦθα οὐκέτι, ἀλλὰ πάντα αὐτοῦ τὰ νεῦρα ἀνῄρηται· κἂν λυπήσῃ τὸν φιλοῦντα ὁ ἀγαπώμενος, θυμὸς μὲν οὐδαμοῦ φαίνεται, δάκρυα δὲ καὶ παρακλήσεις καὶ ἱκετηρίαι· τοσοῦτον ἀπέχει τοῦ παροξυνθῆναι. Κἂν ἴδῃ ἁμαρτάνοντα, πενθεῖ καὶ ὀδυνᾶται· ἀλλὰ καὶ ἡ ὀδύνη αὕτη ἡδονὴν φέρει. Τῆς γὰρ ἀγάπης καὶ τὰ δάκρυα καὶ ἡ λύπη γέλωτος παντὸς ἡδίω καὶ χαρᾶς. Οὐχ οὕτω γοῦν ἀναπαύονται οἱ γελῶντες, ὡς οἱ ὑπὲρ φίλων κλαίοντες· κἂν ἀπιστῇς, ἐπίσχες αὐτῶν τὰ δάκρυα, καὶ ὡς τὰ ἀνήκεστα παθόντες, οὕτω δυσχεραίνουσιν.

8. Ἀλλ' ἡδονὴν ἔχει, φησίν, ἄτοπον τὸ φιλεῖν. Ἄπαγε, καὶ εὐφήμει, ἄνθρωπε. Οὐδὲν γὰρ οὕτως ἡδονῆς καθαρεύει τοιαύτης, ὡς ἀγάπη γνησία. Μὴ γάρ μοι ταύτης εἴπῃς τὴν δημώδη καὶ ἀγοραῖον, καὶ νόσον μᾶλλον ἢ ἀγάπην οὖσαν, ἀλλὰ ταύτην ἣν ὁ Παῦλος ἐπιζητεῖ, τὴν τὸ συμφέρον τῶν ἀγαπωμένων σκοποῦσαν, καὶ ὄψει ὅτι πατέρων οὗτοι φιλοστοργότεροι. Καὶ ὥσπερ οἱ χρήματα φιλοῦντες οὐκ ἂν ἕλοιντο δαπανῆσαι χρήματα, ἀλλ' ἥδιον ἂν ἐν στενοχωρίᾳ γένοιντο, ἢ ἐκεῖνα ἴδοιεν ἐλαττούμενα· οὕτω καὶ ὁ πρός τινα ἡδέως ἔχων, μυρία ἂν ἕλοιτο παθεῖν, ἢ τὸν ἀγαπώμενον καταβλαπτόμενον ἰδεῖν. Πῶς οὖν, φησί, τὸν Ἰωσὴφ ἡ Αἰγυπτία φιλοῦσα καθυβρίσαι ἠθέλησεν; Ὅτι ταύτην ἐφίλει τὴν ἀγάπην τὴν διαβολικήν. Ὁ μέντοι Ἰωσὴφ οὐ ταύτην, ἀλλ' ἣν ὁ Παῦλος ἐζήτει. Ἐννόησον γοῦν ὅσης ἀγάπης αὐτοῦ τὰ ῥήματα ἦν, καὶ τὰ πράγματα. Ἐκείνη ἔλεγε· καθύβρισόν σε καὶ ποίησον μοιχαλίδα, καὶ τὸν ἄνδρα ἀδίκησον, καὶ τὴν οἰκίαν ἀνάτρεψον ἅπασαν, καὶ σαυτὸν τῆς πρὸς τὸν Θεὸν ἔκβαλε παρρησίας· ἅπερ οὐ μόνον ἐκεῖνον, ἀλλ' οὐδὲ ἑαυτὴν φιλούσης ἦν. Οὗτος δὲ ἐπειδὴ γνησίως

κρόν, τὸ νὰ λέγῃ δὲ κανεὶς καλοὺς λόγους γλυκύ. Πάλιν ὁ θυμὸς ἔχει κάποιαν ἡδονήν, ἐδῶ ὅμως καθόλου, ἀλλὰ ὅλα του τὰ νεῦρα ἔχουν ἐκριζωθῆ˙ καὶ ἂν αὐτὸς ποὺ ἀγαπᾶται λυπήσῃ ἐκεῖνον ποὺ ἀγαπᾷ, πουθενὰ δὲν ἐμφανίζεται εἰς αὐτὸν θυμός, ἀλλὰ δάκρυα καὶ παρακλήσεις καὶ ἱκεσίαι˙ τόσον ἀπέχει ἀπὸ τοῦ νὰ ὀργισθῇ. Καὶ ἐὰν ἰδῇ κάποιον ν' ἁμαρτάνῃ, πενθεῖ καὶ πονᾷ˙ ἀλλὰ καὶ ὁ πόνος αὐτὸς φέρει ἡδονήν. Διότι τῆς ἀγάπης καὶ τὰ δάκρυα καὶ ἡ λύπη εἶναι γλυκύτερα ἀπὸ κάθε γέλωτα καὶ χαράν. Δὲν εὐχαριστοῦνται λοιπὸν τόσον αὐτοὶ ποὺ γελοῦν, ὅσον αὐτοὶ ποὺ κλαίουν διὰ τοὺς φίλους˙ καὶ ἂν δὲν πιστεύῃς, σταμάτησε τὰ δάκρυά τους καὶ θὰ τοὺς ἰδῇς νὰ στενοχωροῦνται ὡσὰν καὶ ἔπαθον κάτι ἀνεπανόρθωτον.

8. Ἀλλὰ τὸ ν' ἀγαπᾷς, θὰ εἰπῇ κάποιος, περιέχει ἄτοπον ἡδονήν. Φῦγε καὶ σιώπα, ἄνθρωπε. Καθ' ὅσον τίποτε δὲν καθαρίζει ἀπὸ τέτοιαν ἡδονήν, ὅσον ἡ γνησία ἀγάπη. Διότι μὴ μοῦ εἰπῇς δι' αὐτὴν τὴν κοινὴν καὶ κοσμικήν, καὶ ποὺ μᾶλλον νόσος εἶναι παρὰ ἀγάπη, ἀλλ' αὐτὴν ποὺ ἐπιζητεῖ ὁ Παῦλος, ἡ ὁποία ἀποσκοπεῖ εἰς τὸ συμφέρον αὐτῶν ποὺ ἀγαπῶνται, καὶ θὰ ἰδῇς ὅτι αὐτοὶ ποὺ ἀγαποῦν εἶναι περισσότερον φιλόστοργοι ἀπὸ τοὺς πατέρας. Καὶ ὅπως αὐτοὶ ποὺ ἀγαποῦν τὰ χρήματα δὲν θὰ ἤθελον νὰ ἐξοδεύσουν χρήματα, ἀλλὰ θὰ προετοίμων νὰ ὑστερηθοῦν, παρὰ νὰ ἰδοῦν ἐκεῖνα νὰ ἐλαττοῦνται, ἔτσι καὶ αὐτὸς ποὺ ἀγαπᾷ κάποιον, θὰ προετίμα νὰ πάθῃ ἄπειρα κακά, παρὰ νὰ ἰδῇ αὐτὸν ποὺ ἀγαπᾷ νὰ βλάπτεται. Πῶς λοιπόν, θὰ εἰπῇ, ἡ Αἰγυπτία ἀφοῦ ἠγάπα τὸν Ἰωσήφ, ἠθέλησεν νὰ τὸν βλάψῃ; Διότι ἠγάπα μὲ τὴν διαβολικὴν ἀγάπην. Ὁ Ἰωσὴφ ὅμως ἤθελεν ὄχι αὐτήν, ἀλλ' ἐκείνην ποὺ λέγει ὁ Παῦλος. Σκέψου λοιπὸν πόσης ἀγάπης ἦσαν οἱ λόγοι καὶ τὰ ἔργα του. Ἐκείνη ἔλεγεν, ἀτίμασέ με καὶ κάνε με μοιχαλίδα καὶ βλάψε τὸν ἄνδρα μου καὶ κατάστρεψε τὴν οἰκίαν μου καὶ τὸν ἑαυτόν σου ἀπομάκρυνέ τον ἀπὸ τοῦ νὰ ἔχῃ θάρρος ἔναντι τοῦ Θεοῦ διὰ τὴν τήρησιν τοῦ θελήματός του, πράγματα ποὺ ἦσαν δεῖγμα ὅτι ὄχι μόνον ἐκεῖνον, ἀλλ' οὔτε τὸν ἑαυτόν της ἠγάπα, ἐνῷ αὐτός, ἐπειδὴ ἠγάπα γνη-

ἐφίλει, τούτων πάντων ἀπῆγε.

Καὶ ἵνα μάθῃς, ὅτι αὐτῆς ἐκήδετο, ἐκ τῆς παραινέσεως αὐτὸ κατάμαθε. Οὐ γὰρ ἀπώσατο μόνον αὐτήν, ἀλλὰ καὶ παραίνεσιν εἰσήγαγε πᾶσαν δυναμένην σβέσαι πυράν. «Εἰ» γὰρ «ὁ κύριός μου», φησίν, οὐ γινώσκει δι' ἐμὲ οὐδὲν τῶν ἐν τῷ οἴκῳ αὐτοῦ». Εὐθέως αὐτὴν ἀνέμνησε τοῦ ἀνδρός, ἵνα ἐντρέψῃ. Καὶ οὐκ εἶπεν, ὁ ἀνήρ σου, ἀλλ' «ὁ κύριός μου», ὃ μᾶλλον ἱκανὸν ἦν αὐτὴν κατασχεῖν, καὶ πεῖσαι ἐννοῆσαι τίς οὖσα τίνος ἐρᾷ, ὅτι δέσποινα οὖσα, δούλου. Εἰ γὰρ ἐκεῖνος κύριος, καὶ σὺ κυρία. Αἰσχύνθητι τοίνυν τὴν πρὸς τὸν δοῦλον ὁμιλίαν, καὶ ἐννόησον τίνος οὖσα γυνή, τίνι βούλει συμπλακῆναι, καὶ περὶ τίνα ἀχάριστος γίνῃ καὶ ἀγνώμων, καὶ ὅτι ἐγὼ πλείονα αὐτῷ ἀπονέμω εὔνοιαν.

Καὶ ὅρα πῶς ἐπαίρει αὐτοῦ τὰς εὐεργεσίας. Ἐπειδὴ γὰρ οὐδὲν τῶν ὑψηλῶν ἐννοῆσαι ἠδύνατο ἡ βάρβαρος ἐκείνη καὶ ἀκόλαστος, ἀπὸ τῶν ἀνθρωπίνων αὐτὴν ἐντρέπει λέγων· «Οὐ γινώσκει δι' ἐμὲ οὐδέν»· τουτέστιν, εὐεργέτημαι μεγάλα, καὶ οὐ δύναμαι τὸν προστάτην ἐν τοῖς καιρίοις πλῆξαι. Ἐμὲ δεύτερον ἐποίησε δεσπότην τῆς οἰκίας, καὶ «οὐδεὶς ὑπεξήρηταί μου πλὴν σοῦ». Ἐνταῦθα ἐπαίρει αὐτῆς τὸ φρόνημα, ἵνα κἂν οὕτως αἰσχυνθῆναι παρασκευάσῃ, καὶ δείξῃ μεγάλην οὖσαν τὴν τιμήν. Καὶ οὐδὲ μέχρι τούτου ἔστη, ἀλλὰ καὶ ἐπήγαγεν ὄνομα ἱκανὸν αὐτὴν κατασχεῖν, λέγων· «Διὰ τὸ σὲ γυναῖκα αὐτοῦ εἶναι, καὶ πῶς ποιήσω τὸ ῥῆμα τὸ πονηρὸν τοῦτο;». Ἀλλὰ τί λέγεις; ὅτι οὐ πάρεστιν ὁ ἀνήρ, οὐδὲ οἶδεν ὅτι ἀδικεῖται; Ἀλλ' ὁ Θεὸς ἐπόψεται. Ἀλλ' οὐκ ἐκέρδανεν οὐδὲν ἀπὸ τῆς συμβουλῆς ἐκείνη,

---

23. Γεν. 39, 8.

σίως, ἀπεμακρύνθη ἀπὸ ὅλα αὐτά.

Καὶ διὰ νὰ γνωρίσῃς ὅτι δι' αὐτὴν ἐφρόντιζε, μάθε αὐτὸ ἀπὸ τὴν παραίνεσιν. Διότι ὄχι μόνον τὴν ἀπεμάκρυνεν, ἀλλὰ καὶ τὴν παρώτρυνε μὲ τρόπον ποὺ ἦτο ἱκανὸς νὰ σβήσῃ κάθε πυρὰν τοῦ πάθους. Διότι «ἀφοῦ ὁ κύριός μου», λέγει, «ἔχει εἰς ἐμὲ τόσην ἐμπιστοσύνην, ὥστε δὲν γνωρίζει τίποτε εἰς τὴν οἰκίαν του καὶ ὅλα ὅσα ἔχει τὰ παρέδωσεν εἰς τὴν διαχείρισίν μου»[23]. Ἀμέσως τῆς ἐνεθύμισε τὸν ἄνδρα της διὰ νὰ τὴν κάνῃ νὰ ἐντραπῇ. Καὶ δὲν εἶπεν, ὁ ἄνδρας σου, ἀλλ', «ὁ κύριός μου», πρᾶγμα ποὺ ἦτο περισσότερον ἱκανὸν νὰ τὴν συγκρατήσῃ καὶ νὰ τὴν πείσῃ νὰ ἐννοήσῃ ποία εἶναι καὶ ποῖον ἀγαπᾷ, ὅτι ἐνῷ εἶναι κυρία, ἀγαπᾷ δοῦλον. Διότι, ἀφοῦ ἐκεῖνος εἶναι κύριος καὶ σὺ εἶσαι κυρία. Νοιῶσε ἐντροπὴν λοιπὸν διὰ τὴν ἕνωσιν μὲ τὸν δοῦλον καὶ σκέψου τίνος γυναῖκα εἶσαι καὶ ποῖον θέλεις νὰ ἐναγκαλισθῇς καὶ εἰς ποῖον θέλεις νὰ γίνῃς ἀγνώμων καὶ ἀχάριστος καὶ ὅτι ἐγὼ ἀγαπῶ περισσότερον ἐκεῖνον καὶ δὲν τὸν προδίδω δι' ἐσέ.

Καὶ πρόσεξε πῶς ἐξυψώνει τὰς εὐεργεσίας τοῦ Κυρίου του. Ἐπειδὴ δηλαδὴ δὲν ἠμποροῦσε νὰ ἐννοήσῃ τίποτε ἀπὸ τὰ ὑψηλὰ ἐκείνη ἡ βάρβαρος καὶ ἀκόλαστος, προσπαθεῖ νὰ τὴν κάνῃ νὰ ἐντραπῇ ἀπὸ τὰ ἀνθρώπινα μὲ τοὺς λόγους· «δὲν γνωρίζει τίποτε εἰς τὴν οἰκίαν του καὶ ὅλα τὰ παρέδωσεν εἰς τὴν διαχείρισίν μου»· δηλαδή, ἔχω εὐεργετηθῆ πολὺ καὶ δὲν ἠμπορῶ νὰ κτυπήσω μὲ αὐτὸ τὸ καίριον πλῆγμα τὸν προστάτην μου. Μὲ κατέστησε δεύτερον οἰκοδεσπότην καὶ «τίποτε δὲν εὑρίσκεται ἐκτὸς τῆς δικαιοδοσίας μου ἐκτὸς ἀπὸ ἐσένα». Ἐδῶ ἀνορθώνει τὸ φρόνημά της, ὥστε τοὐλάχιστον ἔτσι νὰ τὴν κάνῃ νὰ ἐντραπῇ καὶ νὰ δείξῃ ὅτι ἡ τιμὴ εἶναι μεγάλη. Καὶ οὔτε μέχρις ἐδῶ ἐσταμάτησεν, ἀλλὰ καὶ προσέθεσεν ὄνομα ποὺ ἦτο ἱκανὸν νὰ τὴν συγκρατήσῃ, καθὼς λέγει· «διότι εἶσαι γυναῖκα του, πῶς θὰ κάνω τὸ κακὸν αὐτὸ πρᾶγμα;». Ἀλλὰ τί λέγεις, Ἰωσήφ; ἐπειδὴ δὲν εἶναι ἐκεῖ ὁ ἄνδρας αὐτῆς, οὔτε γνωρίζει ὅτι βλάπτεται, δι' αὐτὸ ἀρνεῖσαι; Ἀλλὰ θὰ ἰδῇ ὁ Θεὸς ἀπὸ ἐπάνω. Δὲν θὰ ἐκέρδιζεν ὅμως τί-

ἀλλ' ἐπεσπάσατο αὐτόν. Τὴν γὰρ οἰκείαν μανίαν πληρῶσαι βουλομένη, οὐ φιλοῦσα τὸν 'Ιωσήφ, ταῦτα ἔπραττε· καὶ δῆλον ἐξ ὧν μετὰ ταῦτα ἐποίησε. Καὶ γὰρ δικαστήριον καθίζει, καὶ κατηγορίαν εἰσάγει, καὶ τὰ ψευδῆ καταμαρτυρεῖ, καὶ ἐκδίδωσι θηρίῳ τὸν οὐδὲν ἠδικηκότα, καὶ εἰς δεσμωτήριον ἐμβάλλει· μᾶλλον δέ, τό γε αὐτῆς μέρος, καὶ ἀνεῖλεν· οὕτω τὸν δικαστὴν καθώπλισε.

Τί οὖν; ἆρα καὶ ὁ 'Ιωσὴφ τοιοῦτος; Τοὐναντίον μὲν οὖν ἅπαν· οὔτε γὰρ ἀντεῖπεν, οὔτε κατηγόρησε τῆς γυναικός. 'Ηπιστήθη γὰρ ἄν, φησί. Καὶ μὴν σφόδρα ἐφιλεῖτο, καὶ δῆλον οὐκ ἀπὸ τῆς ἀρχῆς, ἀλλὰ καὶ ἀπὸ τοῦ τέλους. Εἰ γὰρ μὴ σφόδρα αὐτὸν ὁ βάρβαρος ἐκεῖνος ἐφίλει, κἂν ἀπέκτεινε σιγῶντα καὶ οὐδὲν ἀντιλέγοντα. Καὶ γὰρ Αἰγύπτιος ἦν, καὶ ἄρχων καὶ περὶ εὐνὴν ἠδικημένος, ὡς ἐνόμιζε, καὶ παρὰ οἰκέτου καὶ οἰκέτου τοιαῦτα εὐεργετηθέντος. 'Αλλ' ἐνίκησε ταῦτα πάντα ὁ πόθος καὶ ἡ χάρις, ἣν ὁ Θεὸς αὐτοῦ κατέχεε. Μετὰ δὲ τῆς χάριτος καὶ τῆς ἀγάπης ταύτης καὶ τεκμήρια εἶχεν οὐ μικρά, εἰ δικαιολογεῖσθαι ἐβούλετο, αὐτὰ τὰ ἱμάτια. Εἰ γὰρ αὐτὴ ἦν ἡ βιασθεῖσα, τὸν χιτῶνα αὐτῆς περιερρῆχθαι ἔδει, τὴν ὄψιν κατεσπαράχθαι, οὐ τὰ ἐκείνου κατέχειν ἱμάτια. «'Αλλ' ἤκουσε», φησίν, «ὅτι ὕψωσα τὴν φωνήν, καὶ καταλιπὼν τὰ ἱμάτια αὐτοῦ, ἀπῆλθε». Τίνος οὖν ἕνεκεν καὶ ἀπέδυσας; Τῇ γὰρ παθούσῃ βίαν ἀγαπητὸν ἦν τὸ ἀπαλλαγῆναι τοῦ ἐνοχλοῦντος.

'Εγὼ δὲ οὐκ ἐντεῦθεν μόνον, ἀλλὰ καὶ ἐκ τῶν μετὰ ταῦτα δεῖξαι δυνήσομαι αὐτοῦ τὴν εὔνοιαν καὶ τὴν ἀγάπην. Καὶ γὰρ ὅτε εἰς ἀνάγκην ἐνέπεσε τοῦ τὴν αἰτίαν εἰπεῖν τοῦ δεσμωτηρίου καὶ τῆς ἐκεῖ διατριβῆς, οὐδὲ τότε ἐξεῖπε τὸ

---

24. Γεν. 39, 15.

ποτε ἀπὸ αὐτὴν τὴν συμβουλὴν ἐκείνη, ἀλλὰ τὸν ἐτράβηξε πλησίον της. Διότι ἔκαμνεν αὐτά, ὄχι διότι ἠγάπα τὸν Ἰωσήφ, ἀλλὰ διὰ νὰ ἱκανοποιήσῃ τὸν μανιώδη πόθον της· καὶ εἶναι φανερὸν ἀπὸ ὅσα ἔκανε μετὰ ἀπὸ αὐτά. Διότι καὶ δικαστήριον συγκροτεῖ καὶ τὸν κατηγορεῖ καὶ τὸν καταδικάζει μὲ ψευδῆ μαρτυρίαν καὶ παραδίδει εἰς θηρίον αὐτὸν ποὺ δὲν ἔπραξε κανὲν κακὸν καὶ τὸν ρίπτει εἰς φυλακήν· μᾶλλον δέ, ὅσον τῆς ἦτο δυνατόν, καὶ τὸν κατέστεψεν· ἔτσι ὥπλισεν ἐναντίον του τὸν δικαστὴν μὲ τὴν κατηγορίαν.

Τί λοιπόν; ἆρά γε τέτοιος ἦτο ὁ Ἰωσήφ; Τὸ ἐντελῶς ἀντίθετον βεβαίως· Καθ' ὅσον οὔτε ἔφερε καμμίαν ἀντίρρησιν εἰς αὐτά, οὔτε κατηγόρησε τὴν γυναῖκα. Ἀλλὰ δὲν θὰ ἐπιστεύετο, θὰ εἰπῇ. Καὶ βέβαια ἠγαπᾶτο πάρα πολύ, καὶ εἶναι φανερὸν ὄχι μόνον ἀπὸ τὴν ἀρχήν, ἀλλὰ καὶ ἀπὸ τὸ τέλος. Διότι, ἐὰν ἐκεῖνος ὁ ἀπαίδευτος δὲν τὸν ἠγάπα πολύ, θὰ τὸν ἐφόνευεν ὅταν τὸν ἔβλεπε νὰ σιωπᾷ καὶ νὰ μὴ ἔχῃ τίποτε νὰ ἀντείπῃ εἰς αὐτά. Καθ' ὅσον καὶ Αἰγύπτιος ἦτο καὶ ἄρχων καὶ προσβεβλημένος ὡς πρὸς τὴν γυναῖκα του, ὅπως ἐνόμιζε, καὶ μάλιστα ἀπὸ δοῦλον, καὶ δοῦλον ποὺ εὐηργετήθη τόσον πολύ. Ὅλ' αὐτὰ ὅμως τὰ ἐνίκησεν ἡ ἀγάπη καὶ ἡ χάρις τὴν ὁποίαν ἔδιδεν ὁ Θεὸς εἰς τὸν Ἰωσήφ. Ἀλλὰ μαζὶ μὲ αὐτὴν τὴν χάριν καὶ τὴν ἀγάπην εἶχε καὶ ἀποδείξεις ὄχι μικράς, ἐὰν ἤθελε νὰ δικαιολογηθῇ, αὐτὰ τὰ ἴδια τὰ ἐνδύματά του. Διότι ἐὰν αὐτὴ εἶχε βιασθῇ, θὰ ἔπρεπε τὰ ἰδικά της ἐνδύματα νὰ εἶχον σχισθῇ καὶ τὸ πρόσωπόν της νὰ εἶχε κατασπαραχθῇ, ὄχι νὰ κρατῇ τὰ ἰδικά του ἐνδύματα. «Ἀλλ' ἤκουσε», λέγει, «ὅτι ὕψωσα τὴν φωνήν μου καὶ ἔφυγεν, ἀφοῦ ἄφησε τὰ ἱμάτιά του»[24]. Διατί λοιπὸν τὸν ἐξέδυσες; Διότι αὐτὴ ποὺ θὰ ὑφίστατο βιασμὸν θὰ ἐπεθύμει ν' ἀπαλλαγῇ ἀπὸ αὐτὸν ποὺ τὴν ἠνόχλει.

Ἐγὼ ὅμως ὄχι μόνον ἀπὸ αὐτό, ἀλλὰ καὶ ἀπὸ ὅσα ἔγιναν μετὰ θὰ ἠμπορέσω νὰ ἀποδείξω τὴν εὔνοιαν καὶ τὴν ἀγάπην τοῦ Ἰωσήφ. Διότι καὶ ὅταν εὑρέθη εἰς τὴν ἀνάγκην νὰ εἰπῇ τὴν αἰτίαν τῆς φυλακίσεώς του καὶ τοῦ ὅτι εὑρίσκετο ἐκεῖ, οὔτε τότε ἐφανέρωσεν αὐτὸ ποὺ ἔγινεν, ἀλλὰ

δρᾶμα, ἀλλὰ τί φησι; «Καὶ ἐγὼ οὐκ ἐποίησα οὐδέν, ἀλλὰ κλοπῇ ἐκλάπην ἐκ γῆς Ἑβραίων»· καὶ οὐδαμοῦ μέμνηται τῆς μοιχαλίδος, οὐδὲ καλλωπίζεται ἐπὶ τῷ πράγματι, ὃ πᾶς τις οὖν ἂν ἔπαθεν, εἰ καὶ μὴ φιλοτιμίας ἕνεκεν, ἀλλ' ὥστε μὴ δόξαι πονηρᾶς ἕνεκεν αἰτίας εἰς τὸ οἴκημα ἐμβεβλῆσθαι ἐκεῖνο. Εἰ γὰρ καὶ ἁμαρτάνοντες ἄνθρωποι, οὐδὲ οὕτως ἀπέχονται τοῦ ταῦτα ἐκλαλεῖν, καίτοιγε αἰσχύνην τοῦ πράγματος φέροντος, πῶς οὐκ ἄξιον θαυμάσαι ἐκεῖνον, ὅτι καὶ καθαρὸς ὢν οὐκ εἶπε τὸν ἔρωτα τῆς γυναικός, οὐδὲ ἐξεπόμπευσε τὴν ἁμαρτίαν, οὐδὲ ἡνίκα ἐπὶ τὸν θρόνον ἀνέβη, καὶ τῆς Αἰγύπτου πάσης ἐγένετο βασιλεύς, ἐμνησικάκησε τῇ γυναικί, οὐδὲ ἀπῄτησε δίκην;

9. Εἶδες πῶς αὐτὸς μὲν ἐκήδετο, ἐκείνη δὲ οὐκ ἐφίλει, ἀλλ' ἐμαίνετο; Οὐ γὰρ τὸν Ἰωσὴφ ἐφίλει, ἀλλὰ τὴν ἀκολασίαν πληρῶσαι ἐβούλετο. Καὶ αὐτὰ δὲ τὰ ῥήματα εἴ τις ἐξετάσειεν ἀκριβῶς, μεστὰ θυμοῦ καὶ πολλοῦ φόνου. Τί γάρ φησιν; «Εἰσήγαγες παῖδα Ἑβραῖον ἐμπαίζειν ἡμῖν», ὀνειδίζουσα τὴν εὐεργεσίαν τῷ ἀνδρί· καὶ τὰ ἱμάτια ἐπεδείκνυ, θηρίου παντὸς ἀγριωτέρα γενομένη. Ἀλλ' οὐκ ἐκεῖνος οὕτω. Καὶ τί λέγω τὴν πρὸς ταύτην εὔνοιαν, ὅπου γε καὶ πρὸς τοὺς ἀνελόντας ἀδελφοὺς τοιοῦτος ἦν, καὶ οὐδὲν περὶ ἐκείνων οὐδέν ποτε εἶπε δυσχερές, οὐκ ἔνδον, οὐκ ἔξω; Διὰ τοῦτο ὁ Παῦλος τὴν μητέρα τῶν ἀγαθῶν ἁπάντων ταύτην εἶναί φησι, καὶ σημείων καὶ τῶν ἄλλων χαρισμάτων προτίθησιν. Ὥσπερ γὰρ χρυσῶν μὲν ἱματίων ὄντων καὶ ὑποδημάτων, δεόμεθα καὶ ἑτέρου τινὸς ἐνδείγματος, ὥστε τὸν βασιλέα μαθεῖν· ἂν δὲ τὴν ἁλουργίδα ἴδωμεν καὶ τὸ διάδημα, οὐδὲν ἕτερον ἐπιζητοῦμεν τῆς βασιλείας ἰδεῖν σημεῖον· οὕτω δὴ καὶ ἐνταῦθα· ὅταν τὸ τῆς ἀγάπης ἐπίκειται διάδημα, ἀρκεῖ δεῖξαι τοῦ Χριστοῦ τὸν ἀκριβῆ μαθητήν,

---

25. Γεν. 40, 15.
26. Γεν. 39, 17.

τί λέγει; «Διότι μὲ ἔκλεψαν κάποιοι ἄνθρωποι ἀπὸ τὴν χώραν τῶν Ἑβραίων, καὶ χωρὶς νὰ κάνω κακὸν μὲ ἐφυλάκισαν ἀδίκως»[25]· καὶ πουθενὰ δὲν ἀναφέρει τὴν μοιχαλίδα, οὔτε καυχᾶται διὰ τὸ γεγονός, πρᾶγμα ποὺ ὁ καθεὶς θὰ ἐπάθαινε, καὶ ἂν ὄχι ἐξ αἰτίας τῆς φιλοδοξίας, ὁπωσδήποτε ὅμως διὰ νὰ μὴ φανῇ ὅτι ἡ αἰτία διὰ νὰ φυλακισθῇ ἦτο κάποιο κακούργημα. Ἀλλ' ἐὰν καὶ ἄνθρωποι ποὺ ἁμαρτάνουν δὲν ἀποφεύγουν τόσον πολὺ νὰ διαλαλήσουν αὐτά, ἂν καὶ τὸ πρᾶγμα ἐντροπὴν φέρει, πῶς δὲν ἀξίζει νὰ θαυμάσωμεν ἐκεῖνον, διότι, παρ' ὅ,τι ἦτο καθαρός, δὲν ἀπεκάλυψε τὸν ἔρωτα τῆς γυναικός, οὔτε ἐδημοσίευσε τὴν ἁμαρτίαν πρὸς καταισχύνην, οὔτε ὅταν ἀνῆλθεν εἰς τὸν θρόνον καὶ ἔγινε βασιλεὺς ὅλης τῆς Αἰγύπτου ἐκράτησε κακίαν εἰς τὴν γυναῖκα, οὔτε τὴν ἐτιμώρησεν;

9. Εἶδες πῶς αὐτὸς μὲν ἐφρόντιζε δι' αὐτήν, ἐνῷ ἐκείνη δὲν ἠγάπα, ἀλλὰ κατείχετο ἀπὸ μανίαν; Διότι δὲν ἠγάπα τὸν Ἰωσήφ, ἀλλ' ἤθελε νὰ ἱκανοποιήσῃ τὸ ἀκόλαστον πάθος. Καὶ αὐτοὶ οἱ λόγοι της ἀκόμη, ἐὰν ἐξετάσῃ κανεὶς λεπτομερῶς, εἶναι γεμᾶτοι ἀπὸ θυμὸν καὶ κακουργίαν. Τί λέγει δηλαδή; «Ἔφερες μέσα εἰς τὴν οἰκίαν Ἑβραῖον δοῦλον διὰ νὰ μᾶς ἐξευτελίσῃ»[26], κατηγοροῦσα τὴν εὐεργεσίαν εἰς τὸν ἄνδρα της· καὶ ἐπεδείκνυε τὰ ἱμάτια, ἐνῷ εἶχε γίνει ἀγριωτέρα ἀπὸ κάθε θηρίον. Ἐκεῖνος ὅμως δὲν ἐφέρθη ἔτσι. Καὶ τί λέγω διὰ τὴν ἀγάπην πρὸς αὐτήν, ἀφοῦ καὶ πρὸς τοὺς ἀδελφούς του ποὺ τὸν κατέστρεψαν τέτοιος ἦτο καὶ οὔτε δι' ἐκείνους εἶπε τίποτε κακὸν ποτέ, οὔτε μέσα του, οὔτε εἰς κανένα ἄλλον; Δι' αὐτὸ ὁ Παῦλος λέγει ὅτι ἡ ἀγάπη εἶναι ἡ μητέρα ὅλων τῶν ἀγαθῶν καὶ θέτει πρώτην αὐτὴν ἀπὸ τὰ θαύματα καὶ τὰ ἄλλα χαρίσματα. Διότι, ὅπως ἀκριβῶς, ὅταν ὑπάρχουν μὲν χρυσᾶ ἱμάτια καὶ ὑποδήματα, ἔχομεν ἀνάγκην καὶ κάποιας ἄλλης ἀποδείξεως διὰ νὰ γνωρίσωμεν τὸν βασιλέα, ἐὰν ὅμως ἰδοῦμεν τὴν πορφύραν καὶ τὸ στέμμα, δὲν ζητοῦμεν κανὲν ἄλλο σημεῖον τῆς βασιλείας, ἔτσι λοιπὸν καὶ ἐδῶ· ὅταν ὑπάρχῃ εἰς τὴν κεφαλὴν τὸ στέμμα τῆς ἀγάπης, ἀρκεῖ διὰ νὰ δείξῃ εἰς ἐμᾶς τὸν τέλειον μαθητὴν τοῦ Χριστοῦ, ὄχι

οὐχ ἡμῖν μόνον, ἀλλὰ καὶ τοῖς ἀπίστοις. «Ἐν τούτῳ» γάρ, φησί, «γνώσονται πάντες, ὅτι μαθηταί μου ἐστέ, ἐὰν ἀγαπᾶτε ἀλλήλους».

Ὥστε σημεῖον τοῦτο σημείων ἁπάντων μεῖζον, εἴγε ἐν αὐτῷ γνωρίζεται ὁ μαθητής. Κἂν γὰρ μυρία ποιῶσί τινες σημεῖα, στασιάζωσι δὲ πρὸς ἀλλήλους, καταγέλαστοι παρὰ τοῖς ἀπίστοις ἔσονται· ὥσπερ κἂν μηδὲν ποιῶσι σημεῖον, ἀγαπῶσι δὲ ἀλλήλους ἀκριβῶς, καὶ αἰδέσιμοι καὶ ἀχείρωτοι πᾶσιν ὄντες διαμένουσιν. Ἐπεὶ καὶ Παῦλον διὰ τοῦτο θαυμάζομεν, οὐ διὰ τοὺς νεκροὺς οὓς ἤγειρεν, οὐδὲ διὰ τοὺς λεπροὺς οὓς ἐκαθάρισεν, ἀλλ' ἐπειδὴ ἔλεγε. «Τίς ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι;». Κἂν γὰρ μυρία πρὸς ταῦτα θῇς σημεῖα, οὐδὲν ἴσον ἐρεῖς. Ἐπεὶ καὶ αὐτὸς μισθὸν ἀποκεῖσθαι μέγαν ἔφησεν αὐτῷ, οὐκ ἐπειδὴ σημεῖα ἐποίει, ἀλλ' ἐπειδὴ τοῖς ἀσθενοῦσι γέγονεν ὡς ἀσθενής. «Τίς» γάρ «μου ἐστί», φησίν, «ὁ μισθός; Ἵνα εὐαγγελιζόμενος ἀδάπανον θήσω τὸ εὐαγγέλιον».

Καὶ ὅταν τῶν ἀποστόλων ἑαυτὸν προτιθῇ, οὐ λέγει, περισσότερα αὐτῶν σημεῖα ἐποίησα· ἀλλά, «Περισσότερον αὐτῶν ἐκοπίασα». Καὶ λιμῷ δὲ διὰ τοῦτο ἐβούλετο ἀποθανεῖν, διὰ τὴν σωτηρίαν τῶν μαθητῶν. «Καλὸν» γάρ «μοι», φησί, «μᾶλλον ἀποθανεῖν, ἢ τὸ καύχημά μου ἵνα τις κενώσῃ»· οὐκ ἐπειδὴ ἐκαυχᾶτο αὐτός, ἀλλ' ἵνα μὴ δόξῃ ὀνειδίζειν αὐτοῖς. Οὐδαμοῦ γὰρ οἶδε καυχᾶσθαι ἐπὶ τοῖς αὐτοῦ κατορθώμασι, μὴ καλοῦντος καιροῦ· ἀλλὰ κἂν ἀναγκασθῇ, ἄφρονα ἑαυτὸν καλεῖ. Εἰ δέ ποτε καὶ καυχᾶται, ἐν ἀσθενείαις, ἐν ὕβρεσιν, ἐν τῷ σφοδρῶς συναλγεῖν τοῖς ἐπηρεαζομένοις· ὥσπερ οὖν καὶ ἐνταῦθά φησι, «Τίς ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ;». Ταῦτα καὶ κινδύνων μείζω τὰ ῥήματα· διὸ καὶ ὕστερον αὐτὰ τίθησιν, αὔξων τὸν λόγον.

---

27. Ἰω. 13, 35.
28. Β΄ Κορ. 11, 29.
29. Α΄ Κορ. 9, 18.
30. Α΄ Κορ. 15, 10.
31. Α΄ Κορ. 9, 15.

μόνον εἰς ἐμᾶς, ἀλλὰ καὶ εἰς τοὺς ἀπίστους. Διότι, «ἀπὸ αὐτὸ θὰ γνωρίζουν ὅλοι», λέγει, «ὅτι εἶσθε μαθηταί μου, ἐὰν δηλαδὴ ἔχετε ἀγάπην μεταξύ σας»[27].

Ὥστε αὐτὸ εἶναι μεγαλύτερον ἀπὸ ὅλα τὰ σημεῖα, ἀφοῦ βεβαίως ἀπὸ αὐτὸ ἀναγνωρίζεται ὁ μαθητής. Καὶ ἂν ἀκόμη δηλαδὴ μερικοὶ κάμνουν ἀναρίθμητα θαύματα, ἀλλὰ πολεμοῦν μεταξύ των, θὰ γίνουν καταγέλαστοι εἰς τοὺς ἀπίστους· ὅπως καὶ ἂν δὲν κάμνουν κανὲν θαῦμα, ἀλλ' ἔχουν τελείαν ἀγάπην μεταξύ των, θὰ εἶναι πάντοτε σεβαστοὶ καὶ ἀπείρακτοι. Διότι καὶ τὸν Παῦλον δι' αὐτὸ τὸν θαυμάζομεν, ὄχι διὰ τοὺς νεκροὺς ποὺ ἀνέστησεν, οὔτε διὰ τοὺς λεπροὺς ποὺ ἐθεράπευσεν, ἀλλ' ἐπειδὴ ἔλεγε, «Ποῖος ἀσθενεῖ καὶ δὲν ἀσθενῶ καὶ ἐγώ; ποῖος πίπτει καὶ ἐγὼ δὲν καίομαι;»[28]. Διότι καὶ ἂν προσθέσῃς εἰς αὐτὰ ἀναρίθμητα θαύματα, δὲν θὰ εἰπῇς τίποτε ἴσον μὲ τὴν ἀγάπην. Καθ' ὅσον καὶ ὁ ἴδιος εἶπεν ὅτι τὸν ἀναμένει μισθός, ὄχι ἐπειδὴ ἔκαμνε θαύματα, ἀλλ' ἐπειδὴ μὲ τοὺς ἀσθενεῖς ἔγινεν ὡς ἀσθενής. Διότι «Ποῖος θὰ εἶναι», λέγει, «ὁ μισθός μου; Τὸ νὰ κάνω ἀδάπανον τὸ εὐαγγέλιον»[29].

Καὶ ὅταν θέτῃ τὸν ἑαυτόν του πρῶτον ἀπὸ τοὺς ἀποστόλους, δὲν λέγει, περισσότερα θαύματα ἔκανα ἀπὸ αὐτούς, ἀλλά, «Περισσότερον ἀπὸ ὅλους αὐτοὺς ἐκοπίασα»[30]. Καὶ δι' αὐτὸ δὲ προετίμα νὰ ἀποθάνῃ ἀπὸ τὴν πεῖναν διὰ τὴν σωτηρίαν τῶν μαθητῶν. Διότι «Μοῦ εἶναι προτιμότερον», λέγει, «ν' ἀποθάνω, παρὰ νὰ ματαιώσῃ κανεὶς τὸ καύχημά μου»[31]· ὄχι διότι ἤθελε νὰ καυχηθῇ, ἀλλὰ διὰ νὰ μὴ φανῇ ὅτι τοὺς κατηγορῇ. Διότι πουθενὰ δὲν καυχᾶται ποτὲ διὰ τὰ κατορθώματά του, ὅταν δὲν εἶναι ἀπαραίτητον· ἀλλὰ καὶ ἂν ἀκόμη ἀναγκασθῇ καὶ τὸ κάνῃ, ὀνομάζει τότε ἀνόητον τὸν ἑαυτόν του. Ἐὰν δὲ καὶ καυχᾶται κάποτε, καυχᾶται διὰ τὰς ἀσθενείας, τὰς ὕβρεις, διὰ τὸ ὅτι συμπάσχει καὶ πονᾷ πάρα πολὺ μὲ αὐτοὺς ποὺ ὑποφέρουν· ὅπως ἀκριβῶς καὶ ἐδῶ λοιπὸν λέγει, «Ποῖος ἀσθενεῖ καὶ δὲν ἀσθενῶ καὶ ἐγώ;». Αὐτοὶ οἱ λόγοι ἔχουν περισσοτέραν ἀξίαν καὶ ἀπὸ κινδύνους καὶ πόνους· δι' αὐτὸ καὶ θέτει αὐτὰ μετά, ὅταν ἐντείνῃ τὸν λόγον.

Τίνος οὖν ἂν εἴημεν ἄξιοι πρὸς ἐκεῖνον ἐξεταζόμενοι ἡμεῖς, οἱ μήτε χρημάτων καταφρονοῦντες δι' ἡμᾶς αὐτούς, μήτε τὰ περιττὰ προϊέμενοι τῶν ὄντων; Ἀλλ' οὐκ ἐκεῖνος οὕτως, ἀλλὰ καὶ τὴν ψυχὴν καὶ τὸ σῶμα ἐπεδίδου, ἵνα οἱ λιθάσαντες αὐτὸν καὶ ῥαπίσαντες βασιλείας ἐπιτύχωσιν. Οὕτω γάρ με, φησίν, ἀγαπᾶν ἐδίδαξεν ὁ Χριστός, ὁ τὴν καινὴν ἐντολὴν καταλιπὼν τὴν περὶ τῆς ἀγάπης, καὶ ἣν αὐτὸς διὰ τῶν ἔργων ἐπλήρωσε. Καὶ γὰρ βασιλεὺς τῶν ὅλων τυγχάνων, καὶ τῆς μακαρίας ἐκείνης φύσεως ὤν, ἀνθρώπους, οὓς ἐξ οὐκ ὄντων ἐποίησε, καὶ οὓς μυρία εὐηργέτησε, τούτους ὑβρίζοντας καὶ διαπτύοντας οὐκ ἀπεστράφη, ἀλλὰ καὶ ἄνθρωπος ἐγένετο δι' αὐτούς, καὶ συνανεστράφη πόρναις καὶ τελώναις, καὶ τοὺς νεκροὺς αὐτῶν ἀνέστησε, καὶ τοὺς δαιμονῶντας ἰάσατο, καὶ τὸν οὐρανὸν ἀπηγγείλατο.

Καὶ μετὰ ταῦτα πάντα λαβόντες αὐτὸν ἐρράπισαν, ἔδησαν, ἐμαστίγωσαν, κατεγέλασαν, τέλος ἐσταύρωσαν. Καὶ οὐδὲ οὕτως ἀπεστρέφετο, ἀλλὰ καὶ ἄνω ὢν ἐν τῷ σταυρῷ, φησί· «Πάτερ, ἄφες αὐτοῖς τὴν ἁμαρτίαν». Τὸν δὲ πρὸ τούτου κατηγοροῦντα λῃστὴν καὶ εἰς παράδεισον εἰσήγαγε, καὶ τὸν διώκτην Παῦλον ἀπόστολον ἐποίησε, καὶ τοὺς οἰκείους τοὺς αὐτοῦ καὶ διακειμένους αὐτῷ μαθητὰς εἰς θάνατον ἐξεδίδου διὰ τοὺς σταυρώσαντας αὐτὸν Ἰουδαίους. Ταῦτ' οὖν ἅπαντα παρ' ἑαυτοῖς συλλέγοντες, τὰ τοῦ Θεοῦ, τὰ τῶν ἀνθρώπων, ζηλώσωμεν, μιμησώμεθα ταῦτα τὰ κατορθώματα, καὶ τὴν χαρισμάτων ἁπάντων ἀνωτέραν κτησώμεθα ἀγάπην, ἵνα καὶ τῶν παρόντων καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ σὺν τῷ ἁγίῳ καὶ ἀγαθῷ Πνεύματι ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

---

32. Λουκᾶ 23, 34.

Εἰς τί λοιπὸν θὰ εἴμεθα ἄξιοι ἐμεῖς συγκρινόμενοι μὲ ἐκεῖνον, οἱ ὁποῖοι οὔτε χρήματα περιφρονοῦμεν διὰ τὸν ἑαυτόν μας, οὔτε αὐτὰ ποὺ περισσεύουν ἀπὸ τὰ ὑπάρχοντά μας δὲν δίδομεν; Ἐκεῖνος ὅμως δὲν ἦτο ἔτσι, ἀλλὰ καὶ τὴν ψυχὴν καὶ τὸ σῶμά του ἔδιδε, διὰ νὰ εἰσέλθουν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ αὐτοὶ ποὺ τὸν ἐλιθοβόλησαν καὶ τὸν ἐκτύπησαν. Διότι ἔτσι μὲ ἐδίδαξε, λέγει, ν' ἀγαπῶ ὁ Χριστός, ποὺ ἄφησε τὴν νέαν ἐντολὴν διὰ τὴν ἀγάπην, καὶ τὴν ὁποίαν ὁ ἴδιος ἐπραγματοποίησε μὲ τὰ ἔργα. Διότι ἐνῷ ἦτο βασιλεὺς τῶν πάντων καὶ τῆς μακαρίας θείας φύσεως, ἀνθρώπους τοὺς ὁποίους ἐδημιούργησεν ἀπὸ τὸ μηδὲν καὶ τοὺς ὁποίους ἀπείρως εὐηργέτησεν, αὐτοὺς ἀκόμη καὶ ὅταν τὸν ὕβριζον καὶ ὅταν τὸν ἔπτυον δὲν τοὺς ἐγκατέλειψεν, ἀλλὰ καὶ ἄνθρωπος ἔγινε δι' αὐτοὺς καὶ συνανεστρέφη μὲ πόρνας καὶ τελώνας καὶ τοὺς νεκρούς των ἀνέστησε καὶ τοὺς δαιμονιζομένους ἐθεράπευσε καὶ τὸν οὐρανὸν ὑπεσχέθη.

Καὶ μετὰ ἀπὸ ὅλα αὐτὰ ἀφοῦ τὸν συνέλαβον τὸν ἐκτύπησαν, τὸν ἔδεσαν, τὸν ἐμαστίγωσαν, τὸν περιεγέλασαν καὶ τέλος τὸν ἐσταύρωσαν. Καὶ οὔτε ἔτσι τοὺς ἐγκατέλειπεν, ἀλλὰ καὶ ἐνῷ ἦτο ἐπάνω εἰς τὸν σταυρόν, λέγει· «Πάτερ, συγχώρησέ τους, διότι δὲν γνωρίζουν τί κάμνουν»[12]. Τὸν δὲ ληστὴν ποὺ πρὶν ἀπὸ αὐτὸ τὸν ἐκατηγόρει τὸν ἔβαλε καὶ εἰς τὸν Παράδεισον καὶ τὸν Παῦλον ποὺ ἦτο διώκτης του τὸν ἔκανε ἀπόστολον καὶ τοὺς ἰδικούς του καὶ ἀφωσιωμένους εἰς αὐτὸν μαθητὰς παρέδιδεν εἰς θάνατον διὰ τὴν σωτηρίαν τῶν Ἰουδαίων ποὺ τὸν ἐσταύρωσαν. Αὐτὰ λοιπὸν ὅλα συλλέγοντες διὰ τὸν ἑαυτόν μας, δηλαδὴ τὰ ἔργα τῆς ἀγάπης τοῦ Θεοῦ καὶ τῶν ἀνθρώπων, ἂς δείξωμεν ζῆλον, ἂς μιμηθῶμεν αὐτὰ τὰ κατορθώματα καὶ ἂς ἀποκτήσωμεν τὴν ἀνωτέραν ἀπὸ ὅλα τὰ χαρίσματα ἀγάπην, διὰ νὰ ἐπιτύχωμεν καὶ τὰ παρόντα καὶ τὰ μέλλοντα ἀγαθά, τὰ ὁποῖα εἴθε νὰ ἐπιτύχωμεν ὅλοι, μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖον εἰς τὸν Πατέρα καὶ εἰς τὸ ἅγιον καὶ ἀγαθὸν Πνεῦμα ἀνήκει ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΛΟΓΟΣ ΛΓ΄
Α΄ Κορ. 13, 4-8

«Ἡ ἀγάπη μακροθυμεῖ, χρηστεύεται», οὐ ζηλεῖ, οὐ περπερεύεται, οὐ φυσιοῦται».

1. Ἐπειδὴ γὰρ ἀπεφήνατο, ὅτι καὶ πίστεως καὶ γνώσεως καὶ προφητείας καὶ γλωσσῶν καὶ χαρισμάτων καὶ ἰαμάτων καὶ βίου ἄκρου καὶ μαρτυρίου ταύτης ἀπούσης οὐδὲν μέγα ὄφελος, ἀναγκαίως λοιπὸν ὑπογράφει τὸ κάλλος αὐτῆς τὸ ἀμήχανον, καθάπερ τισὶ χρώμασι τοῖς μέρεσι τῆς ἀρετῆς τὴν εἰκόνα αὐτῆς κατακοσμῶν, καὶ τὰ μέλη αὐτῆς συντιθεὶς μετὰ ἀκριβείας ἅπαντα. Ἀλλὰ μὴ παραδράμῃς, ἀγαπητέ, τὰ λεγόμενα, ἀλλ' ἕκαστον αὐτῶν μετὰ πολλῆς ἐξέταζε τῆς ἐπιμελείας, ἵνα καὶ τοῦ πράγματος ἴδῃς τὸν θησαυρὸν καὶ τοῦ ζωγράφου τὴν τέχνην. Σκόπει γοῦν πόθεν εὐθέως ἤρξατο, καὶ τί τέθεικε πρῶτον· τὸ πάντων αἴτιον τῶν ἀγαθῶν. Τί δὲ τοῦτό ἐστι; Μακροθυμία. Αὕτη τῆς φιλοσοφίας ἡ ρίζα πάσης. Διὸ καί τις σοφὸς ἔλεγε· «Μακρόθυμος ἀνὴρ πολὺς ἐν φρονήσει, ὁ δὲ ὀλιγόψυχος ἰσχυρῶς ἄφρων»[1]. Καὶ πόλει δὲ παραλαβὼν αὐτὴν ἰσχυρᾷ, ἀσφαλεστέραν αὐτὴν ἔφησεν ἐκείνης εἶναι. Καὶ γὰρ ὅπλον ἐστὶν ἄμαχον, καὶ πύργος τις ἀρραγής, πάντα διακρουομένη ῥᾳδίως τὰ λυπηρά. Καὶ καθάπερ εἰς ἄβυσσον σπινθὴρ ἐμπεσὼν ἐκείνην μὲν οὐδὲν παρέβλαψεν, αὐτὸς δὲ ἐσβέσθη ῥᾳδίως· οὕτως εἰς μακρόθυμον ψυχὴν ὅπερ ἂν ἐμπέσῃ τῶν ἀδοκήτων, τοῦτο μὲν ἀφανίζεται ῥᾳδίως, ἐκείνην δὲ οὐ ταράττει. Καὶ γὰρ πάντων στερρότερον μακροθυμία· κἂν στρατόπεδα εἴπῃς, κἂν χρήματα, κἂν ἵππους, κἂν τείχη, κἂν ὅπλα, κἂν ὁτιοῦν,

---

1. Παρ. 14, 29.

ΛΟΓΟΣ ΛΓ΄
Α΄ Κορ. 13, 4-8

«Ἡ ἀγάπη εἶναι μακρόθυμος, εἶναι γεμάτη ἀπὸ εὐμένειαν, ἡ ἀγάπη δὲν εἶναι ζηλότυπος, ἡ ἀγάπη δὲν καυχᾶται, δὲν εἶναι ὑπερήφανη».

1. Ἐπειδὴ λοιπὸν εἶπεν ὅτι, ὅταν ἀπουσιάζῃ ἡ ἀγάπη καὶ ἡ πίστις καὶ ἡ γνῶσις καὶ αἱ γλῶσσαι καὶ τὰ χαρίσματα καὶ αἱ θεραπεῖαι καὶ ὁ τέλειος βίος καὶ τὸ μαρτύριον δὲν δίδουν κανὲν μέγα ὄφελος, κατ᾽ ἀνάγκην λοιπὸν ζωγραφίζει τὴν ἀκαταμάχητον ὡραιότητά της, ὡσὰν νὰ καταστολίζῃ τὴν εἰκόνα της μὲ χρώματα τῶν ἐπὶ μέρους ἀρετῶν καὶ ἀφοῦ συνέθεσεν ὅλα τὰ μέλη της μὲ κάθε τελειότητα. Μὴ προσπεράσῃς ὅμως, ἀγαπητέ, αὐτὰ ποὺ λέγονται, ἀλλὰ τὸ καθὲν ἀπὸ αὐτὰ ἐξέταζέ το μὲ πολλὴν ἐπιμέλειαν, διὰ νὰ ἴδῃς καὶ τὸν θησαυρὸν τῆς ἀγάπης καὶ τὴν τέχνην τοῦ ζωγράφου. Πρόσεχε λοιπὸν ἀπὸ ποῦ ἤρχισεν ἀμέσως καὶ τί ἔθεσε πρῶτον· τὸ αἴτιον ὅλων τῶν ἀγαθῶν. Ποῖον δὲ εἶναι αὐτό; Ἡ μακροθυμία. Αὐτὴ εἶναι ἡ ρίζα ὅλης τῆς εὐσεβείας. Δι᾽ αὐτὸ καὶ κάποιος σοφὸς ἔλεγεν· «Ὁ μακρόθυμος ἄνθρωπος εἶναι πολὺ συνετός, ὁ ὀλιγόψυχος ὅμως εἶναι πολὺ ἀνόητος»[1]. Καὶ ἀφοῦ συνέκρινεν αὐτὴν μὲ ἰσχυρὰν πόλιν, εἶπεν ὅτι αὐτὴ εἶναι περισσότερον ἀσφαλὴς ἀπὸ ἐκείνην. Διότι εἶναι καὶ ὅπλον ἀκαταμάχητον καὶ πύργος ἀκλόνητος, ποὺ ἀπομακρύνει εὐκόλως ὅλα τὰ λυπηρά. Καὶ ὅπως, ὅταν κάποιος σπινθὴρ πέσῃ μέσα εἰς τὴν θάλασσαν, ἐκείνην μὲν καθόλου δὲν βλάπτει, ἐνῷ αὐτὸς σβήνει εὐκόλως, ἔτσι καὶ εἰς τὴν μακρόθυμον ψυχήν, ὅ,τι ἀπροσδόκητον καὶ ἂν πέσῃ, αὐτὸ μὲν εὐκόλως ἐξαφανίζεται, ἐνῷ ἐκείνην δὲν τὴν ταράσσει. Διότι ἡ μακροθυμία εἶναι στερεοτέρα ἀπὸ ὅλα, εἴτε στρατόπεδα εἰπῇς, εἴτε χρήματα, εἴτε ἵππους, εἴτε τείχη, εἴτε ὅπλα, εἴτε ὁ,τιδήποτε ἄλλο, τίποτε δὲν εἶναι ἰσοδύναμον μὲ τὴν μα-

οὐδὲν ἴσον μακροθυμίας ἐρεῖς. Ὁ μὲν γὰρ ἐκεῖνα περιβεβλημένος, ὑπὸ θυμοῦ κρατηθεὶς πολλάκις, καθάπερ μειράκιον εὐτελές, περιτρέπεται, καὶ πάντα θορύβου πληροῖ καὶ ζάλης· οὗτος δὲ ὥσπερ ἐν λιμένι καθήμενος, βαθείας ἀπολαύει γαλήνης. Κἂν ζημίᾳ περιβάλῃς, οὐκ ἐκίνησας τὴν πέτραν, κἂν ὕβριν ἐπαγάγῃς, οὐκ ἔσεισας τὸν πύργον, κἂν πληγὰς προστρίψῃ, οὐκ ἔπληξας τὸν ἀδάμαντα. Καὶ γὰρ μακρόθυμος διὰ τοῦτο λέγεται ἐπειδὴ μακράν τινα καὶ μεγάλην ἔχει ψυχήν· τὸ γὰρ μακρὸν καὶ μέγα λέγεται.

Ἀλλὰ τοῦτο τὸ καλὸν ἀπὸ τῆς ἀγάπης φύεται, καὶ τοῖς κεκτημένοις καὶ τοῖς ἀπολαύουσι πολλὴν παρέχον τὴν ὠφέλειαν. Μὴ γάρ μοι τοὺς ἀπεγνωσμένους εἴπῃς, οἳ ποιοῦντες κακῶς καὶ μὴ πάσχοντες κακῶς, χείρους γίνονται. Ἐνταῦθα γὰρ οὐ παρὰ τὴν μακροθυμίαν τούτου, ἀλλὰ παρ' ἐκείνους τοὺς οὐκ εἰς δέον αὐτῇ χρωμένους τοῦτο συμβαίνει. Μὴ τοίνυν μοι τούτους εἴπῃς, ἀλλὰ τοὺς ἐπιεικεστέρους, οἳ μεγάλα ἐντεῦθεν κερδαίνουσιν. Ὅταν γὰρ κακῶς ποιήσαντες μὴ πάθωσι κακῶς, τὴν πραΰτητα τοῦ παθόντος θαυμάσαντες, μεγίστην ἐντεῦθεν καρποῦνται φιλοσοφίας διδασκαλίαν. Αὐτὸς δὲ οὐδὲ μέχρι τούτου ἵσταται, ἀλλὰ καὶ τὰ ἄλλα αὐτῆς ἐπάγει κατορθώματα, λέγων· «Χρηστεύεται». Ἐπειδὴ γάρ τινές εἰσιν, οἳ τῇ μακροθυμίᾳ οὐκ εἰς τὴν οἰκείαν κέχρηνται φιλοσοφίαν, ἀλλ' εἰς τὴν ἄμυναν τῶν παροξυνάντων, διαρρηγύντες αὐτούς, φησὶν ὅτι οὐδὲ τοῦτο ἔχει τὸ ἐλάττωμα. Διὸ καὶ ἐπήγαγε, «χρηστεύεται». Οὐ γὰρ ἐπὶ τῷ τὴν φλόγα ἀνάψαι τῶν ὑπὸ τῆς ὀργῆς ἐκκαιομένων ἠθικώτερον αὐτοῖς κέχρηνται, ἀλλ' ἐπὶ τῷ καταπραῧναι καὶ κατασβέσαι· καὶ οὐ μόνον τῷ φέρειν γενναίως, ἀλλὰ καὶ τῷ θεραπεύειν καὶ παρακαλεῖν τὸ ἕλκος ἰῶνται, καὶ τὸ τραῦμα θεραπεύουσι τοῦ θυμοῦ.

«Οὐ ζηλοῖ». Ἔστι γὰρ καὶ μακρόθυμόν τινα εἶναι καὶ

κροθυμίαν. Καθ' ὅσον ἐκεῖνος μὲν ποὺ κατέχει αὐτά, πολλὰς φορὰς ἀφοῦ κυριευθῇ ἀπὸ θυμόν, ὡσὰν εὐτελὲς παιδάκι θολοῦται καὶ γεμίζει τὰ πάντα μὲ ταραχὴν καὶ ζάλην, ἐνῷ αὐτὸς ὡσὰν νὰ κάθηται εἰς λιμένα, ἀπολαμβάνει βαθεῖαν γαλήνην. Καὶ ἐὰν τὸν ζημιώσῃς, δὲν ἐσάλευσες τὴν πέτραν, καὶ ἂν τὸν περιφρονήσῃς, δὲν ἔσεισες τὸν πύργον, καὶ ἂν τοῦ ἐπιφέρῃς κτυπήματα, δὲν ἐπλήγωσες τὸν ἀδάμαντα. Διότι καὶ μακρόθυμος δι' αὐτὸ λέγεται, ἐπειδὴ ἔχει μακρὰν καὶ μεγάλην ψυχήν· καθ' ὅτι τὸ μακρὸν καὶ μέγα λέγεται.

Ἀλλ' αὐτὸ τὸ καλὸν φύεται ἀπὸ τὴν ἀγάπην καὶ εἰς ὅσους τὸ ἔχουν καὶ τὸ ἀπολαμβάνουν δίδει πολλὴν ὠφέλειαν. Μὴ μοῦ εἰπῇς ὅμως διὰ τοὺς ἀπεγνωσμένους, καὶ ποὺ ἐνῷ κάμνουν κακὸν καὶ χωρὶς νὰ παθαίνουν κακόν, γίνονται χειρότεροι. Διότι ἐδῶ συμβαίνει αὐτό, ὄχι ἀπὸ τὴν μακροθυμίαν αὐτοῦ, ἀλλ' ἀπὸ ἐκείνους ποὺ δὲν χρησιμοποιοῦν αὐτὴν ὅπως πρέπει. Μὴ μοῦ εἰπῇς λοιπὸν δι' αὐτούς, ἀλλὰ τοὺς δικαιοτέρους, οἱ ὁποῖοι κερδίζουν πολλὰ ἀπὸ αὐτήν. Καθ' ὅσον ὅταν, ἐνῷ κάνουν κακόν, δὲν πάθουν κακόν, ἀφοῦ θαυμάσουν τὴν πραότητα ἐκείνου ποὺ ἔπαθε τὸ κακόν, ὠφελοῦνται ἀπὸ αὐτὸ καὶ διακομίζουν ὑψίστην φιλοσοφίαν. Ὁ Παῦλος ὅμως οὔτε μέχρις ἐδῶ σταματᾷ, ἀλλὰ προσθέτει καὶ τὰ ἄλλα της κατορθώματα, λέγων· «εἶναι γεμάτη ἀπὸ καλωσύνην». Ἐπειδὴ δηλαδὴ ὑπάρχουν μερικοὶ ποὺ δὲν χρησιμοποιοῦν τὴν μακροθυμίαν εἰς τὸν ὀρθὸν τρόπον ζωῆς ποὺ ἁρμόζει εἰς αὐτήν, ἀλλὰ διὰ νὰ ἐκδικηθοῦν ἐκείνους ποὺ τοὺς παρώργισαν, μὲ τὸ νὰ τοὺς κάνουν κακόν, λέγει ὅτι οὔτε αὐτὸ τὸ ἐλάττωμα ἔχει. Δι' αὐτὸ καὶ προσέθεσεν, «εἶναι γεμάτη ἀπὸ καλωσύνην». Διότι δὲν τὴν χρησιμοποιοῦν διὰ ν' ἀνάψουν ἐντονώτερον τὴν φλόγα αὐτῶν οἱ ὁποῖοι φλέγονται ἀπὸ ὀργήν, ἀλλὰ διὰ νὰ τὴν καταπραΰνουν καὶ νὰ τὴν σβήσουν τελείως· καὶ ὄχι μόνον μὲ τὸ νὰ ὑπομένουν καρτερικῶς, ἀλλὰ καὶ μὲ τὸ νὰ τιμοῦν καὶ νὰ ἐγκαρδιώνουν ἰατρεύουν τὴν πληγὴν καὶ θεραπεύουν τὸ τραῦμα τοῦ θυμοῦ.

«Δὲν εἶναι ζηλότυπος». Διότι εἶναι δυνατὸν νὰ εἶναι

βάσκανον, καὶ τούτῳ ἐκεῖνο διαφθείρεται τὸ κατόρθωμα. Ἀλλ' αὕτη καὶ τοῦτο διέφυγεν. «Οὐ περπερεύεται». Τουτέστιν, οὐ προπετεύεται· καὶ γὰρ συνετὸν ἐργάζεται τὸν ἀγαπῶντα, καὶ βαρὺν καὶ βεβηκότα. Τῶν μὲν γὰρ αἰσχρῶς φιλούντων ἴδιον τὸ ἐλάττωμα τοῦτο· ὁ δὲ ταύτην εἰδὼς τὴν ἀγάπην, τούτων μάλιστα πάντων ἀπήλλακται. Ὅταν γὰρ θυμὸς ἔνδον μὴ ᾖ, καὶ προπέτεια πᾶσα ἀνῄρηται καὶ ὕβρις. Καὶ γὰρ καθάπερ τις ἄριστος γεωργὸς ἔνδον ἐγκαθημένη τῇ ψυχῇ ἡ ἀγάπη, οὐκ ἀφίησιν οὐδὲν τούτων βλαστῆσαι τῶν ἀκανθῶν».

«Οὐ φυσιοῦται». Καὶ γὰρ ὁρῶμεν πολλοὺς ἐπ' αὐτοῖς τούτοις τοῖς κατορθώμασι μέγα φρονοῦντας, οἷον ὅτι μὴ ἔστι βάσκανος, μηδὲ πονηρός, μηδὲ ὀλιγόψυχος, μηδὲ προπετής. Οὐδὲ γὰρ πλούτῳ καὶ πενίᾳ παρυφέστηκε τὰ κακὰ ταῦτα μόνον, ἀλλὰ καὶ αὐτοῖς τοῖς φύσει καλοῖς. Ἀλλ' ἡ ἀγάπη μετὰ ἀκριβείας ἐκκαθαίρει πάντα. Σκόπει δέ. Ὁ μακρόθυμος οὐ πάντως καὶ χρηστός· ἂν δὲ μὴ ᾖ χρηστός, πονηρία τὸ πρᾶγμα γίνεται, καὶ κινδυνεύει εἰς μνησικακίαν ἐμπεσεῖν. Διὰ τοῦτο αὕτη τὸ φάρμακον δοῦσα, τὴν χρηστότητα λέγω, καθαρὰν διατηρεῖ τὴν ἀρετήν.

Πάλιν ὁ χρηστὸς πολλάκις εὔκολος γίνεται, ἀλλὰ καὶ τοῦτο αὕτη διορθοῦται. «Ἡ ἀγάπη» γάρ, φησίν, «οὐ περπερεύεται, οὐ φυσιοῦται». Ὁ χρηστὸς καὶ μακρόθυμος ἀλαζονεύεται πολλάκις· ἀλλὰ καὶ ταύτην ἀναιρεῖ τὴν κακίαν. Καὶ θέα πῶς αὐτὴν οὐκ ἀφ' ὧν ἔχει μόνον ἀλλὰ καὶ ἀφ' ὧν οὐκ ἔχει, κοσμεῖ. Καὶ γὰρ ἀρετὴν ἐπεισάγει, καὶ κακίαν ἐκκόπτει, φησί, μᾶλλον δὲ οὐδὲ ἀφίησι φῦναι τὴν ἀρχήν. Οὐδὲ γὰρ εἶπε, ζηλοῖ μέν, περιγίνεται δὲ τοῦ φθόνου, οὐδ' ὅτι ἀπονοεῖται μέν, κολάζει δὲ τὸ πάθος, ἀλλ' ὅτι «οὐ ζη-

κανεὶς καὶ μακρόθυμος καὶ ζηλότυπος, καὶ ἐκεῖνο τὸ κατόρθωμα καταστρέφεται ἀπὸ αὐτὸ τὸ ἐλάττωμα. Ἀλλ' ἡ μακροθυμία εἶναι ἀπηλλαγμένη καὶ ἀπὸ αὐτό. «Δὲν καυχᾶται». Δηλαδή, δὲν εἶναι αὐθάδης· διότι καθιστᾷ συνετὸν αὐτὸν ποὺ ἀγαπᾷ καὶ σοβαρὸν καὶ ἀνώτερον ἄνθρωπον. Διότι αὐτὸ τὸ ἐλάττωμα εἶναι γνώρισμα ἐκείνων ποὺ ἀγαποῦν μὲ αἰσχρὰν ἀγάπην· ἐνῷ αὐτὸς ποὺ ἔχει αὐτὴν τὴν ἀγάπην, εἶναι ἀπηλλαγμένος ἀπὸ ὅλα αὐτά. Διότι ὅταν δὲν ὑπάρχῃ θυμὸς εἰς τὴν ψυχήν, ἔχει ἐκριζωθῆ κάθε αὐθάδεια καὶ ἀλαζονεία. Καθ' ὅσον ὡσὰν ἄριστος γεωργὸς ποὺ εὑρίσκεται μέσα εἰς τὴν ψυχὴν ἡ ἀγάπη, δὲν ἀφήνει νὰ βλαστήσῃ καμμία ἀπὸ αὐτὰς τὰς ἀκάνθας.

«Δὲν εἶναι ὑπερήφανος». Διότι βλέπομεν πολλοὺς οἱ ὁποῖοι ὑψηλοφρονοῦν ὅταν κατορθώσουν αὐτά, ὅπως τὸ νὰ μὴ εἶναι ζηλότυποι, οὔτε πονηροί, οὔτε μικρόψυχοι, οὔτε αὐθάδεις. Διότι αὐτὰ τὰ κακὰ δὲν συνυπάρχουν μόνον μὲ τὸν πλοῦτον καὶ τὴν πτωχείαν, ἀλλὰ καὶ μὲ αὐτὰ ποὺ ἀπὸ τὴν φύσιν των εἶναι καλά. Ἡ ἀγάπη ὅμως καθαρίζει τὰ πάντα τελείως. Πρόσεχε δέ. Ὁ μακρόθυμος δὲν εἶναι ὁπωσδήποτε καὶ εὐμενὴς πρὸς τοὺς ἄλλους· ἐὰν ὅμως δὲν εἶναι ἔτσι, τότε τὸ πρᾶγμα καταντᾷ πονηρία καὶ κινδυνεύει νὰ πέσῃ εἰς μνησικακίαν. Διὰ τοῦτο ἡ ἀγάπη ἀφοῦ δίδει τὸ φάρμακον, δηλαδὴ τὴν καλωσύνην, διατηρεῖ τὴν ἀρετὴν καθαράν.

Πάλιν αὐτὸς ποὺ εἶναι εὐμενὴς καὶ εὐεργετικὸς εἰς τοὺς ἄλλους, πολλὰς φορὰς γίνεται περιποιητικὸς διὰ νὰ κερδίσῃ φήμην, ἀλλὰ καὶ αὐτὸ τὸ διορθώνει ἡ ἀγάπη. Διότι «ἡ ἀγάπη», λέγει, «δὲν καυχᾶται, δὲν εἶναι ὑπερήφανος». Αὐτὸς ποὺ εἶναι εὐεργετικὸς καὶ μακρόθυμος πολλὰς φορὰς γίνεται ἀλαζών· ἀλλὰ καὶ αὐτὴν τὴν κακίαν τὴν ἐξαλείφει. Καὶ κοίταξε πῶς στολίζει τὴν μακροθυμίαν, ὄχι μόνον ἀπὸ ὅσα ἔχει ἡ ἀγάπη, ἀλλὰ καὶ ἀπὸ ὅσα δὲν ἔχει. Διότι καὶ ἀρετὴν φέρει εἰς τὴν ψυχήν, καὶ τὴν κακίαν ἐκβάλλει, λέγει, ἢ μᾶλλον οὔτε ἀφήνει κἂν νὰ φυτρώσῃ ἀπὸ τὴν ἀρχήν. Διότι δὲν εἶπε, εἶναι μὲν ζηλότυπος, ἀλλὰ γίνεται κυρίαρχος τοῦ φθόνου, οὔτε ὅτι εἶναι μὲν ἀλαζών

λοῖ, οὐ περπερεύεται, οὐ φυσιοῦται»· ὃ δὴ μάλιστά ἐστι θαυμαστόν, ὅτι καὶ χωρὶς πόνων κατορθοῖ τὰ ἀγαθά, καὶ χωρὶς πολέμου καὶ παρατάξεως τὸ τρόπαιον ἵστησιν. Οὐ γὰρ ἀφίησιν ἱδρῶσαι τὸν ἔχοντα, καὶ οὕτω τὸν στέφανον λαβεῖν, ἀλλ' ἀπονητὶ κομίζει τὸ βραβεῖον αὐτῷ. Ἔνθα γὰρ οὐκ ἔστιν ἀντίπαλον πάθος τῷ σώφρονι λογισμῷ, τί ἂν γένοιτο πόνος;

2. «Οὐκ ἀσχημονῶ». Τί γὰρ λέγω, φησίν, ὅτι οὐ φυσιοῦται, ὅπου γε τοσοῦτον ἀπέχει τοῦ πάθους, ὅτι καὶ τὰ αἴσχιστα παθοῦσα διὰ τὸν ἀγαπώμενον, οὐδὲ ἀσχημοσύνην τὸ πρᾶγμα νομίζει; Οὐκ εἶπε πάλιν, ὅτι ἀσχομονεῖ μέν, φέρει δὲ τὴν αἰσχύνην γενναίως, ἀλλ' ὅτι οὐδὲ αἴσθησίν τινα λαμβάνει τῆς αἰσχύνης. Εἰ γὰρ οἱ φιλοχρήματοι πάντα ὑπομένοντες τὰ ἐπονείδιστα τῆς καπηλείας ἕνεκεν ἐκείνης, οὐ μόνον οὐκ ἐγκαλύπτονται, ἀλλὰ καὶ ἀγάλλονται, πολλῷ μᾶλλον ὁ τὴν ἐπαινετὴν ταύτην ἔχων ἀγάπην, ὑπὲρ τῆς τῶν φιλουμένων ἀσφαλείας οὐδὲν ὁτιοῦν παραιτήσεται, καὶ οὐ μόνον οὐ παραιτήσεται, ἀλλ' οὐδὲ πάσχων αἰσχύνεται. Ἀλλ' ἵνα μὴ ἀπὸ πονηροῦ πράγματος τὸ παράδειγμα φέρωμεν, ἐξετάσωμεν ἐπὶ τοῦ Χριστοῦ τοῦτο αὐτό, καὶ τότε ὀψόμεθα τοῦ λεχθέντος τὴν δύναμιν. Ὁ γὰρ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς καὶ ἐνεπτύετο καὶ ἐρραπίζετο παρὰ ἀνδραπόδων οἰκτρῶν· καὶ οὐ μόνον οὐκ ἐνόμιζεν ἀσχημονεῖν, ἀλλὰ καὶ ἠγάλλετο, καὶ δόξαν τὸ πρᾶγμα ἐκάλει· καὶ λῃστὴν καὶ ἀνδροφόνον μεθ' ἑαυτοῦ πρὸ τῶν ἄλλων εἰς τὸν παράδεισον εἰσάγων, καὶ πόρνῃ διαλεγόμενος, καὶ ταῦτα τῶν περιεστώτων ἁπάντων ἐγκαλούντων, οὐκ ἐνόμιζε τὸ πρᾶγμα εἶναι αἰσχρόν, ἀλλὰ καὶ φιλεῖν αὐτῇ τοὺς πόδας παρεῖχε τοὺς ἑαυτοῦ, καὶ βρέχειν τὸ σῶμα τοῖς δάκρυσι, καὶ ἀπομάσσειν

καὶ αὐθάδης, τιμωρεῖ τὸ πάθος ὅμως, ἀλλ' ὅτι, «δὲν εἶναι ζηλότυπος, δὲν καυχᾶται, δὲν εἶναι ὑπερήφανος»· πρᾶγμα ποὺ εἶναι πολὺ περισσότερον ἀξιοθαύμαστον, τὸ ὅτι δηλαδὴ καὶ χωρὶς κόπους κατορθώνει τὰ ἀγαθά, καὶ χωρὶς πόλεμον καὶ μάχην στήνει τὸ τρόπαιον τῆς νίκης. Διότι δὲν ἀφήνει αὐτὸν ποὺ τὴν ἔχει νὰ ἱδρώσῃ διὰ νὰ λάβῃ ἔτσι τὸν στέφανον, ἀλλὰ δίδει εἰς αὐτὸν τὸν βραβεῖον ἀκόπως. Διότι ὅπου δὲν ὑπάρχει ἀντίπαλον πάθος εἰς τὸν καθαρὸν λογισμόν, ποῖος κόπος χρειάζεται;

2. «Δὲν κάνει ἀσχημίας». Ἀλλὰ τί λέγω, λέγει, ὅτι δὲν εἶναι ὑπερήφανος, ἀφοῦ τόσον ἀπέχει ἀπὸ αὐτὸ τὸ πάθος, ποὺ ἀκόμη καὶ ὅταν ὑφίσταται τὰ πλέον ἀτιμωτικὰ ἐξ αἰτίας τοῦ ὅτι ἀγαπᾷ, δὲν θεωρεῖ τὸ πρᾶγμα οὔτε κἂν ἁπλῆν ἀσχημίαν; Δὲν εἶπε πάλιν ὅτι, κάμνει μὲν ἀσχημίας, ἀλλ' ὑπομένει μὲ γενναιότητα τὴν ἐντροπήν, ἀλλ' ὅτι οὔτε κἂν αἰσθάνεται τὴν ἐντροπήν. Διότι ἐὰν οἱ φιλοχρήματοι, ὅταν ὑφίστανται ὅλην τὴν κατηγορίαν καὶ τὴν ἐντροπὴν τῆς ἀπάτης ἐξ αἰτίας τῆς φιλαργυρίας, ὄχι μόνον δὲν κρύπτωνται ἀπὸ ἐντροπήν, ἀλλὰ καὶ εὐχαριστοῦνται, πολὺ περισσότερον αὐτὸς ποὺ ἔχει τὴν ἀξίαν κάθε ἐπαίνου ἀγάπην, ἀπὸ τίποτε παρόμοιον δὲν θὰ δειλιάσῃ καὶ δὲν θὰ παραιτηθῇ διὰ τὸ καλὸν ἐκείνων ποὺ ἀγαπᾷ, καὶ ὄχι μόνον δὲν θὰ παραιτηθῇ, ἀλλ' οὔτε ὅταν πάσχῃ ἐντρέπεται. Ἀλλὰ διὰ νὰ μὴ φέρωμεν τὸ παράδειγμα ἀπὸ πρᾶξιν κακήν, ἂς ἐξετάσωμεν αὐτὸ εἰς τὴν ζωὴν τοῦ Χριστοῦ καὶ τότε θὰ ἰδοῦμεν τὴν δύναμιν αὐτοῦ ποὺ ἐλέχθη. Ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς λοιπὸν καὶ ἐπτύετο καὶ ἐκτυπᾶτο ἀπὸ ἐλεεινοὺς δούλους· καὶ ὄχι μόνον δὲν ἐθεώρει ὅτι ἐντροπιάζεται, ἀλλὰ καὶ ἐθεώρει αὐτὸ ὡς καύχημα καὶ ὠνόμαζεν αὐτὸ δόξαν· καὶ ὅταν εἰσήγαγε ληστὴν καὶ δολοφόνον μαζί του εἰς τὸν Παράδεισον πρὶν ἀπὸ κάθε ἄλλον καὶ ὅταν ὡμίλει μὲ πόρνην, ἐνῷ ὅλοι ὅσοι παρευρίσκοντο ἐκατηγόρουν, δὲν ἐθεώρει ἐντροπιαστικὸν τὸ πρᾶγμα, ἀλλ' ἐπέτρεπεν εἰς αὐτὴν καὶ νὰ φιλῇ τὰ πόδια του καὶ νὰ βρέχῃ τὸ σῶμά του μὲ τὰ δάκρυα καὶ νὰ τὸ σφογγίζῃ μὲ τὰ μαλλιά·

ταῖς θριξί· καὶ ταῦτα ἐν μέσῳ θεάτρῳ τῶν ἐχθρῶν καὶ πολεμίων. Ἡ γὰρ ἀγάπη οὐκ ἀσχημονεῖ.

Διὰ τοῦτο καὶ πατέρες, κἂν ἁπάντων ὦσι φιλοσοφώτεροι καὶ ῥητορικώτεροι, οὐκ αἰσχύνονται τοῖς παισὶ συμψελλίζοντες· καὶ οὐδεὶς ἐγκαλεῖ τῶν ὁρώντων, ἀλλ' οὕτω καλὸν εἶναι τὸ πρᾶγμα δοκεῖ, ὡς καὶ εὐχῆς ἄξιον εἶναι. Κἂν πονηροὶ γένωνται πάλιν, οὗτοι μένουσι διορθοῦντες, ἐπιμελούμενοι, συστέλλοντες αὐτῶν τὰ ὀνείδη, καὶ οὐκ αἰσχύνονται. Ἡ γὰρ ἀγάπη οὐκ ἀσχημονεῖ, ἀλλὰ καθάπερ χρυσαῖς τισι πτέρυξι συγκαλύπτει πάντα τὰ ἁμαρτήματα τῶν ἀγαπωμένων. Οὕτω καὶ τὸν Δαυῒδ ὁ Ἰωνάθαν ἐφίλει, καὶ ἀκούων τοῦ πατρὸς λέγοντος, «Υἱὲ κορασίων αὐτομολούντων, γυναικοτραφῆ», οὐκ ᾐσχύνετο, καίτοιγε πολλῆς αἰσχρότητος τὰ ῥήματα γέμει. Ὃ γὰρ λέγει, τοῦτό ἐστιν· υἱὲ πορνιδίων ἐπιμαινομένων ἀνδράσιν, ἐπιτρεχόντων τοῖς παριοῦσιν, ἐκνενευρισμένε καὶ μαλακὲ καὶ μηδὲν ἔχων ἀνδρός, ἀλλ' ἐπ' αἰσχύνῃ σου καὶ τῆς τεκούσης σε μητρὸς ζῶν. Τί οὖν; ἤλγησεν ἐπὶ τούτοις καὶ ἐνεκαλύψατο, καὶ ἀπέστη τοῦ φιλουμένου; Τοὐναντίον μὲν οὖν ἅπαν, καὶ ἐκαλλωπίζετο τῷ φίλτρῳ· καίτοιγε ὁ μὲν βασιλεὺς ἦν τότε, καὶ βασιλέως υἱὸς ὁ Ἰωνάθαν, ὁ δὲ φυγὰς καὶ ἀλήτης ὁ Δαυΐδ. Ἀλλ' οὐδὲ οὕτως ᾐσχύνετο αὐτοῦ τῇ φιλίᾳ· ἡ γὰρ ἀγάπη οὐκ ἀσχημονεῖ. Καὶ γὰρ τὸ θαυμαστὸν αὐτῆς τοῦτό ἐστιν, ὅτι τὸν ὑβριζόμενον οὐ μόνον οὐκ ἀφίησιν ἀλγεῖν οὐδὲ δάκνεσθαι, ἀλλὰ καὶ χαίρειν παρασκευάζει. Διὰ δὴ τοῦτο καὶ ἐκεῖνος μετὰ ταῦτα ἅπαντα, ὥσπερ στέφανον περικείμενος, οὕτως ἀπελθὼν περιεχύθη τῷ Δαυΐδ. Οὐ γὰρ οἶδε τί ποτέ ἐστιν αἰσχύνη ἡ ἀγάπη· διὰ τοῦτο καὶ φιλοτιμεῖται, ἐφ' οἷς ἕτερος ἐγκαλύπτεται. Αἰσχύνη γὰρ τὸ μὴ εἰδέναι φιλεῖν, οὐ τὸ φιλοῦντα κινδυνεύειν καὶ πάντα ὑπομένειν ὑπὲρ τῶν φιλουμένων.

---

2. Α΄ Βασ. 20, 30.

καὶ ὅλα αὐτὰ μέσα εἰς τόπον ὅπου θεαταὶ ἦσαν ἐχθροὶ καὶ ἀντίπαλοι. Διότι ἡ ἀγάπη δὲν κάμνει, οὔτε νοιώθει ἀσχημίαν.

Δι' αὐτὸ καὶ οἱ πατέρες, ἀκόμη καὶ ἂν εἶναι σοφώτεροι καὶ ρητορικώτεροι ἀπὸ ὅλους, δὲν ἐντρέπονται ὅταν συλλαβίζουν μαζὶ μὲ τὰ παιδιά των· καὶ κανεὶς ἀπὸ ὅσους τοὺς βλέπουν δὲν τοὺς κατηγορεῖ, ἀλλὰ τόσον ὡραῖον φαίνεται τὸ πρᾶγμα, ὥστε εἶναι ἄξιον καὶ νὰ τὸ εὐχηθῇ κανείς. Καὶ ἂν ἀκόμη αὐτοὶ ποὺ ἀγαπῶνται γίνουν κακοί, αὐτοὶ ὑπομένουν καὶ τοὺς διορθώνουν, τοὺς φροντίζουν, κρύπτουν τὰς ἐντροπάς των καὶ δὲν ἐντρέπονται. Διότι ἡ ἀγάπη δὲν κάμνει ἀσχημίας, ἀλλὰ κρύπτει ὅπως τὰ χρυσᾶ πτερὰ ὅλα τὰ ἁμαρτήματα τῶν ἀγαπωμένων. Ἔτσι ἠγάπα καὶ ὁ Ἰωνάθαν τὸν Δαυΐδ, καὶ ἐνῷ ἤκουε τὸν πατέρα του νὰ λέγῃ, «Υἱὲ πορνιδίων γυναικῶν, γυναικοπρεπῆ»[2], δὲν ἐνετρέπετο, ἂν καὶ οἱ λόγοι εἶναι γεμᾶτοι ἀπὸ πολλὴν αἰσχρότητα. Διότι αὐτὸ ποὺ ἐννοεῖ εἶναι τὸ ἑξῆς· υἱὲ πορνιδίων ποὺ λυσσοῦν δι' ἄνδρας, ποὺ τρέχουν πρὸς τοὺς περαστικούς, χαῦνε καὶ μαλθακέ, ποὺ δὲν ἔχεις τίποτε ἀπὸ ἄνδρα, ἀλλὰ ζῇς πρὸς ἐντροπήν σου καὶ τῆς μητρὸς ποὺ σὲ ἐγέννησε. Τί λοιπόν; ἐστενοχωρήθη δι' αὐτὰ καὶ ἐκρύβη ἀπὸ ἐντροπὴν καὶ ἀπεμακρύνθη ἀπὸ αὐτὸν ποὺ ἠγάπα; Τὸ ἐντελῶς ἀντίθετον, καὶ ἐκαυχᾶτο διὰ τὴν φιλίαν· ἂν καὶ ὁ μὲν πατήρ του ἦτο βασιλεὺς τότε καὶ ὁ Ἰωνάθαν ἦτο υἱὸς βασιλέως, ἐνῷ ὁ Δαυΐδ ἐξόριστος καὶ περιπλανώμενος. Καὶ ὅμως δὲν ἐντρέπετο διὰ τὴν φιλίαν του μὲ αὐτόν· διότι ἡ ἀγάπη δὲν φέρεται ἀπρεπῶς. Καὶ μάλιστα τὸ πλέον ἀξιοθαύμαστον εἰς αὐτὴν αὐτὸ εἶναι, ὅτι αὐτὸν ποὺ περιφρονεῖται, ὄχι μόνον δὲν ἀφήνει νὰ στενοχωρῆται καὶ νὰ πληγώνεται, ἀλλὰ τὸν κάμνει καὶ νὰ χαίρῃ δι' αὐτό. Δι' αὐτὸ λοιπὸν καὶ ὁ Ἰωνάθαν μετὰ ἀπὸ ὅλα αὐτά, ὡσὰν νὰ ἐφόρει στέφανον, ἔτσι κατὰ τὴν φυγὴν ἐνηγκαλίσθη τὸν Δαυΐδ. Διότι ἡ ἀγάπη δὲν γνωρίζει τί εἶναι ἐντροπὴ δι' αὐτὸ καὶ καυχᾶται δι' αὐτὰ διὰ τὰ ὁποῖα ἄλλος ἐντρέπεται. Καθ' ὅσον ἐντροπὴ εἶναι τὸ νὰ μὴ γνωρίζῃ κανεὶς ν' ἀγαπᾷ, ὄχι τὸ νὰ κινδυνεύῃ ὅταν ἀγαπᾷ καὶ νὰ ὑπομένῃ τὰ πάντα δι' ἐκείνους ποὺ ἀγαπᾷ.

Πάντα δὲ ὅταν εἴπω, μὴ νομίσῃς καὶ τὰ ἐπιβλαβῆ λέγειν, οἷον εἴ τις λέγοι νέῳ συμπράττειν εἰς ἐρωμένην, εἴ τις ἕτερόν τι ἐπιβλαβὲς ἀξιοῖ διανύειν. Ὁ γὰρ τοιοῦτος οὐ φιλεῖ· καὶ τοῦτο πρώην ὑμῖν ἔδειξα ἀπὸ τῆς Αἰγυπτίας γυναικός. Καὶ γὰρ ἐκεῖνος μόνος ἐστὶν ὁ φιλῶν, ὁ τὰ συμφέροντα ζητῶν τῷ φιλουμένῳ· ὡς εἴ τις τοῦτο μὴ θηρεύοι τὸ καλόν, κἂν μυριάκις λέγῃ φιλεῖν, ἐχθρῶν ἐστι πολεμιώτερος πάντων. Οὕτω καὶ ἡ Ῥεβέκκα ποτέ, ἐπειδὴ σφόδρα ἐξήρτητο τοῦ παιδός, καὶ κλοπὴν εἰργάζετο, καὶ οὐκ ᾐσχύνετο μὴ ἁλῷ, οὐδὲ ἐδεδοίκει· καὶ γὰρ καὶ κίνδυνος ἦν οὐχ ὁ τυχών· ἀλλὰ καὶ τοῦ παιδὸς ἀκριβολογουμένου πρὸς αὐτήν, «Ἐπ' ἐμὲ ἡ κατάρα σου, τέκνον», ἔλεγεν. Εἶδες καὶ ἐν γυναικὶ ψυχὴν ἀποστολικήν; Καθάπερ γὰρ ὁ Παῦλος εἵλετο, ὡς ἂν εἰ μεγάλῳ τις μικρὸν παραβάλοι, ὑπὲρ Ἰουδαίων ἀνάθεμα γενέσθαι, οὕτω καὶ αὕτη, ἵνα ὁ παῖς εὐλογηθῇ, καὶ καταραθῆναι εἵλετο.

Καὶ τῶν μὲν ἀγαθῶν ἐκείνῳ παρεχώρει· οὐ γὰρ δὴ μετ' ἐκείνου εὐλογεῖσθαι ἔμελλε· τὰ δὲ κακὰ αὐτὴ μόνη παρεσκευάζετο ὑπομένειν· καὶ ὅμως ἔχαιρε καὶ ἠπείγετο, καὶ ταῦτα κινδύνου τοσούτου προκειμένου, καὶ τῇ μελλήσει τῶν πραγμάτων ἐδυσχέραινε. Καὶ γὰρ ἐδεδοίκει μὴ προλαβὼν ὁ Ἠσαῦ ματαίαν αὐτῆς ποιήσῃ τὴν σοφίαν. Διὸ καὶ συντέμνει τὰ ῥήματα, καὶ ἐπείγει τὸν νεανίσκον, καὶ ἀφεῖσα ἀντειπεῖν πρὸς τὰ εἰρημένα, λογισμὸν ἱκανὸν αὐτὸν πεῖσαι λέγει. Οὐδὲ γὰρ εἶπεν, εἰκῇ ταῦτα λέγεις καὶ μάτην δέδοικας, τοῦ πατρός σου γεγηρακότος καὶ τὸ τρανὸν τῆς αἰσθήσεως ἀφῃρημένον, ἀλλὰ τί; «Ἐπ' ἐμὲ ἡ κατάρα σου, τέκνον»· μόνον σὺ μὴ διαφθείρῃς τὸ δρᾶμα, μηδὲ ἀπολέσῃς τὸ θήραμα, μηδὲ τὸν θησαυρὸν προδῷς.

---

3. Γεν. 27, 13.

῞Οταν δὲ λέγω τὰ πάντα, μὴ νομίσῃς ὅτι ἐννοῶ καὶ τὰ ἐπιβλαβῆ, ὅπως δηλαδὴ ὅταν κάποιος λέγῃ εἰς νέον νὰ συμπράξῃ εἰς τὸ νὰ ἀποκτήσουν ἐρωμένην, ἢ ἐὰν κάποιος ζητῇ ἀπὸ κάποιον νὰ πράξῃ κάτι ἄλλο ἐπιβλαβές. Διότι ὅποιος εἶναι τέτοιος δὲν ἀγαπᾷ· καὶ αὐτὸ σᾶς τὸ ἔδειξα προηγουμένως ἀπὸ τὴν Αἰγυπτίαν ποὺ ἤθελε νὰ παρασύρῃ τὸν Ἰωσήφ. Διότι μόνον ἐκεῖνος ἀγαπᾷ ἀληθῶς, ὁ ὁποῖος ἐπιθυμεῖ καὶ ἐπιδιώκει αὐτὰ ποὺ συμφέρουν εἰς αὐτὸν ποὺ ἀγαπᾷ· διότι ἐὰν κάποιος δὲν ἐπιδιώκει αὐτὸ τὸ καλόν, ἀκόμη καὶ ἂν λέγῃ χιλιάδας φορὰς ὅτι ἀγαπᾷ, εἶναι περισσότερον ἐχθρὸς ἀπὸ ὅλους τοὺς ἐχθρούς. Ἔτσι κάποτε καὶ ἡ Ρεβέκκα, ἐπειδὴ ἦτο πολὺ ἀφωσιωμένη εἰς τὸν υἱόν της, καὶ κλοπὴν διέπραττε καὶ δὲν ἐντρέπετο, οὔτε ἐφοβεῖτο μήπως συλληφθῇ· διότι ὑπῆρχε καὶ κίνδυνος καὶ ὄχι μικρός· ἀλλὰ καὶ παρ' ὅ,τι ὁ υἱός της ἐξήταζε μὲ ἀκρίβειαν τὴν συμβουλήν της, «Ἂς πέσῃ εἰς ἐμὲ ἡ κατάρα δι' ἐσέ, τέκνον μου»[8], ἔλεγε. Εἶδες ὅτι, ἂν καὶ γυναῖκα, εἶχε ψυχὴν ἀποστολικήν; Διότι ὅπως ὁ Παῦλος προετίμα, διὰ νὰ συγκρίνωμεν μικρὸν μὲ μέγα, νὰ γίνῃ ἀνάθεμα χάριν τῶν Ἰουδαίων, ἔτσι καὶ αὐτή, προκειμένου νὰ λάβῃ τὴν εὐλογίαν ὁ υἱός της, προετίμα καὶ κατάραν νὰ ὑποστῇ.

Καὶ τὰ μὲν ἀγαθὰ ἔδιδεν εἰς τὸν υἱόν της, διότι δὲν ἐπρόκειτο νὰ εὐλογηθῇ μαζὶ μὲ ἐκεῖνον, ἐνῷ τὰ κακὰ ποὺ συνεπήγετο αὐτὸ ἡτοιμάζετο νὰ τὰ ὑπομείνῃ μόνη· καὶ ὅμως ἔχαιρε καὶ ἐβιάζετο, ἂν καὶ ὑπῆρχε τόσος κίνδυνος καὶ ἐστενοχωρεῖτο διότι ἐκαθυστέρουν τὰ πράγματα. Διότι ἐφοβεῖτο μήπως ἀφοῦ προλάβῃ ὁ Ἠσαῦ ματαιώσῃ τὸ τέχνασμά της. Δι' αὐτὸ καὶ συντομεύει τοὺς λόγους της καὶ βιάζει τὸν υἱόν της καὶ ἀφοῦ τὸν ἄφησε νὰ ἀντείπῃ εἰς ὅσα ἐκείνη τοῦ εἶπε, λέγει εἰς αὐτὸν τὸν συλλογισμόν της ποὺ ἦτο ἱκανὸς νὰ τὸν πείσῃ. Διότι δὲν εἶπεν ὅτι δὲν ὑπάρχει λόγος νὰ τὰ λέγῃς αὐτὰ καὶ ἄδικα φοβεῖσαι, ἀφοῦ ὁ πατήρ σου ἔχει γηράσει καὶ εἶναι τυφλός, ἀλλὰ τί; «Ἂς πέσῃ εἰς ἐμὲ ἡ κατάρα δι' ἐσέ, τέκνον μου»· μόνον σὺ μὴ καταστρέψῃς τὸ σχέδιον, καὶ μὴ χάσῃς τὸ θήραμα, οὔτε νὰ ἐγκαταλείψῃς τὸν θησαυρόν.

Αὐτὸς δὲ οὗτος ὁ Ἰακὼβ οὐχὶ ἐθήτευσε παρὰ τῷ συγγενεῖ δὶς ἑπτὰ ἔτη; οὐχὶ μετὰ τῆς δουλείας καὶ γέλωτα ὦφλεν ὑπὲρ τῆς ἀπάτης ἐκείνης; Τί οὖν; ἆρα ἤσθετο τοῦ γέλωτος; ἆρα ἀσχημονεῖν ἐνόμιζεν, ὅτι ἐλεύθερος ὢν καὶ ἐξ ἐλευθέρων καὶ τραφεὶς εὐγενῶς, τὰ τῶν δούλων ὑπέμεινε παρὰ τοῖς προσήκουσιν; ὃ μάλιστα δάκνειν εἴωθεν, ὅταν παρὰ τοῖς γνωρίμοις τις τὰ ἐπονείδιστα πάσχῃ. Οὐδαμῶς· τὸ δὲ αἴτιον ἡ ἀγάπη, ἣ καὶ τὸν χρόνον πολὺν ὄντα ὀλίγον ἀπέφηνεν. «Ἦσαν», γάρ, φησίν, «ἐνώπιον αὐτοῦ ὡσεὶ ἡμέραι ὀλίγαι». Τοσοῦτον ἀπεῖχε τοῦ δάκνεσθαι καὶ ἐρυθριᾶν ἐπὶ τῇ δουλείᾳ ταύτῃ. Εἰκότως ἄρα ἔλεγεν ὁ μακάριος Παῦλος, «Ἡ ἀγάπη οὐκ ἀσχημονεῖ».

3. «Οὐ ζητεῖ τὰ ἑαυτῆς, οὐ παροξύνεται». Εἰπὼν γάρ, ὅτι οὐκ ἀσχημονεῖ, δείκνυσι καὶ τὸν τρόπον, δι᾿ ὃν οὐκ ἀσχημονεῖ. Τίς δὲ ὁ τρόπος; Ὅτι οὐ ζητεῖ τὰ ἑαυτῆς. Τὸν γὰρ ἀγαπώμενον πάντα εἶναι νομίζει, καὶ τότε ἀσχημονεῖ, ὅταν μὴ δυνηθῇ ἀπαλλάξαι ἐκεῖνον ἀσχημονοῦντα· ὡς ἐὰν ἐξῇ διὰ τῆς ἀσχημοσύνης τῆς ἑαυτοῦ τὸν ἀγαπώμενον ὠφελῆσαι, οὐδὲ ἀσχημοσύνην τὸ πρᾶγμα εἶναι νομίζει· ἐκεῖνος γὰρ αὐτός ἐστι λοιπόν. Τοῦτο γάρ ἐστι φιλία, μηκέτι εἶναι τὸν φιλοῦντα καὶ τὸν φιλούμενον δύο διῃρημένους, ἀλλὰ ἕνα τινὰ ἄνθρωπον· ὅπερ οὐδαμόθεν, ἀλλ᾿ ἢ ἀπὸ τῆς ἀγάπης γίνεται. Μὴ τοίνυν ζήτει τὸ σόν, ἵνα εὕρῃς τὸ σόν. Ὁ γὰρ ζητῶν τὸ ἑαυτοῦ, οὐχ εὑρίσκει τὸ ἑαυτοῦ. Διὸ καὶ ὁ Παῦλος ἔλεγε, «Μηδεὶς τὸ ἑαυτοῦ ζητείτω, ἀλλὰ τὸ τοῦ πλησίον ἕκαστος». Τὸ γὰρ οἰκεῖον συμφέρον ἐν τῷ συμφέροντι κεῖται τοῦ πλησίον, καὶ τὸ ἐκείνου ἐν τούτῳ. Ὥσπερ οὖν εἴ τις

5. Ἑβρ. 11, 1.

Ὁ ἴδιος δὲ ὁ Ἰακὼβ δὲν ὑπηρέτει ἐπὶ μισθῷ ὡς ποιμὴν δεκατέσσαρα χρόνια εἰς τὸν συγγενῆ του; δὲν ἐπλήρωσε μαζὶ μὲ τὴν δουλείαν καὶ τὸ νὰ γελασθῇ ἐξ αἰτίας ἐκείνης τῆς ἀπάτης; Τί λοιπόν; ἆρά γε, ᾐσθάνθη ὅτι περιεπαίχθη; ἆρά γε εἶχε τὴν αἴσθησιν ὅτι ὑπετιμᾶτο, διότι, ἐνῷ ἦτο ἐλεύθερος καὶ ἀνετράφη μὲ εὐγένειαν ἀπὸ ἐλευθέρους γονεῖς, ὑπέμεινεν ὅσα ἁρμόζουν εἰς δούλους καὶ ὄχι εἰς ἐκεῖνον; Πρᾶγμα τὸ ὁποῖον πάρα πολὺ πληγώνει συνήθως, ὅταν πάσχῃ κανεὶς αὐτὰ ποὺ τὸν ἐντροπιάζουν ἀπὸ συγγενεῖς. Καθόλου δὲν ᾐσθάνθη ἔτσι· ἡ δὲ αἰτία ἦτο ἡ ἀγάπη, ἡ ὁποία καὶ τὸν χρόνον, ἐνῷ ἦτο πολύς, ἔκανε νὰ φαίνεται ὀλίγος. Διότι «τὰ ἔτη αὐτὰ ἐφάνησαν εἰς τὸν Ἰακὼβ ὡσὰν ὀλίγαι ἡμέραι»[4], λέγει. Τόσον μακρυὰ ἦτο ἀπὸ τοῦ νὰ πληγώνεται καὶ νὰ ἐντρέπεται διὰ τὴν δουλείαν αὐτήν. Ἄρα δικαίως ἔλεγεν ὁ μακάριος Παῦλος, «ἡ ἀγάπη δὲν διαπράττει ἀσχημίας».

3. «Δὲν ζητεῖ τὸ συμφέρον της, δὲν ὀργίζεται». Ἀφοῦ λοιπὸν εἶπεν ὅτι δὲν διαπράττει ἀσχημίας, λέγει καὶ τὸν τρόπον μὲ τὸν ὁποῖον ἐπιτυγχάνει αὐτό. Ποῖος δὲ εἶναι ὁ τρόπος; Ὅτι δὲν ζητεῖ τὸ συμφέρον της. Διότι αἰσθάνεται ὅτι αὐτὸς τὸν ὁποῖον ἀγαπᾷ εἶναι τὰ πάντα καὶ τότε διαπράττει ἀσχημίαν, ὅταν δὲν ἠμπορέσῃ νὰ ἀπαλλάξῃ ἀπὸ πράξεις ἀσχημίας ἐκεῖνον ποὺ ἀγαπᾷ· διότι ἐὰν εἶναι δυνατὸν νὰ πέσῃ ὁ ἴδιος εἰς περιφρόνησιν καὶ ἀσχημίαν διὰ νὰ ὠφελήσῃ αὐτὸν ποὺ ἀγαπᾷ, δὲν θεωρεῖ τὸ πρᾶγμα ἀσχημίαν· αὐτὸς ποὺ ἀγαπᾷ λοιπὸν τέτοιος εἶναι. Διότι αὐτὸ εἶναι φιλία, τὸ νὰ μὴ εἶναι δηλαδὴ αὐτὸς ποὺ ἀγαπᾷ καὶ αὐτὸς ποὺ ἀγαπᾶται δύο, ἀλλ' εἷς ἄνθρωπος· πρᾶγμα ποὺ μὲ τίποτε ἄλλο, παρὰ μόνον μὲ τὴν ἀγάπην γίνεται. Μὴ ζητῇς λοιπὸν τὸ συμφέρον σου, διὰ νὰ εὕρῃς τὸ συμφέρον σου. Διότι αὐτὸς ποὺ ζητεῖ τὸ συμφέρον του, δὲν τὸ εὑρίσκει. Δι' αὐτὸ καὶ ὁ Παῦλος ἔλεγε, «Κανεὶς νὰ μὴ ζητῇ τὸ ἰδικόν του συμφέρον, ἀλλ' ὁ καθεὶς τὸ συμφέρον τοῦ ἄλλου»[5]. Διότι τὸ συμφέρον τοῦ καθενὸς εὑρίσκεται εἰς τὸ συμφέρον τοῦ πλησίον καὶ τὸ συμφέρον ἐκείνου ἐπίσης. Ὅπως ἀκριβῶς λοιπὸν ἐὰν κάποιος ἔχει ἰδικὸν

χρυσίον ἴδιον ἐν τῇ οἰκίᾳ τῇ τοῦ πλησίον κατωρυγμένου εἰ παραιτοῖτο ἐλθὼν ἐκεῖ ζητεῖν καὶ ἀνορύττειν, οὐδέποτε αὐτὸ ὄψεται· οὕτω καὶ ἐνταῦθα ὁ μὴ βουλόμενος καὶ ἐν τῇ τοῦ πλησίον ὠφελείᾳ τὸ οἰκεῖον συμφέρον ζητεῖν, οὐκ ἐπιτεύξεται τῶν ὑπὲρ τούτου στεφάνων. Καὶ γὰρ ὁ Θεὸς διὰ τοῦτο οὕτως αὐτὸ κατέθηκεν, ἵνα ὦμεν ἀλλήλοις συνδεδεμένοι. Καὶ ὥσπερ τις παιδίον ὑπνηλὸν διεγείρων τῷ ἀδελφῷ κατακολουθεῖν, ὅταν οἴκοθεν μὴ βούληται, τὸ ἐπιθυμητὸν αὐτῷ καὶ ἐπέρασιον ἐγχειρίζει τῷ ἀδελφῷ, ἵνα ἐπιθυμίᾳ τοῦ λαβεῖν καταδιώκῃ τὸν κατέχοντα, ὃ δὴ καὶ γίνεται· οὕτω καὶ ἐνταῦθα τὸ ἑκάστῳ συμφέρον τῷ πλησίον ἔδωκεν, ἵνα ἀλλήλων ἐντεῦθεν κατατρέχωμεν, καὶ μὴ ὦμεν διεσπασμένοι.

Καὶ εἰ βούλει, τοῦτο καὶ ἐφ' ἡμῶν ἰδὲ τῶν λεγόντων· τὸ γὰρ ἐμοὶ συμφέρον ἐν σοὶ κεῖται, καὶ τὸ σοὶ λυσιτελοῦν ἐν ἐμοί. Καὶ γὰρ σοὶ συμφέρει τὸ διδάσκεσθαι τὰ τῷ Θεῷ δοκοῦντα, ἀλλὰ τοῦτο ἐπιστεύθην ἐγώ, ἵνα παρ' ἐμοῦ αὐτὸ λάβῃς, καὶ διὰ τοῦτο ἀναγκασθῇς δραμεῖν ἐπ' ἐμέ· καὶ ἐμοὶ συμφέρει, τὸ σὲ βελτίω γενέσθαι· μισθὸν γὰρ τούτου λήψομαι πολύν· ἀλλὰ τοῦτο πάλιν κεῖται ἐν σοί, καὶ διὰ τοῦτο ἀναγκάζομαί σε καταδιώκειν, ἵνα σὺ ᾖς βελτίων, καὶ τὸ ἐμοὶ συμφέρον παρὰ σοῦ λαμβάνω. Διὸ καὶ Παῦλος ἔλεγε, «Τίς γάρ μου ἐστὶν ἡ ἐλπίς; ἢ οὐχὶ καὶ ὑμεῖς;»· καὶ πάλιν, «Ἡ ἐλπίς μου καὶ ἡ χαρά μου, καὶ ὁ στέφανος τῆς καυχήσεώς μου». Ὥστε ἡ Παύλου χαρὰ οἱ μαθηταὶ ἦσαν, καὶ τὴν ἐκείνου χαρὰν ἐκεῖνοι εἶχον. Διὰ τοῦτο καὶ ἐδάκρυεν, εἴ ποτε εἶδεν ἀπολλυμένους. Πάλιν τὸ ἐκείνων συμφέρον ἐν τῷ Παύλῳ ἦν· διὸ καὶ ἔλεγεν, «Ὑπὲρ τῆς ἐλπίδος τοῦ Ἰσραὴλ τὴν ἅλυσιν ταύτην περίκειμαι»· καὶ πάλιν, «Ταῦτα πάσχω διὰ τοὺς ἐκλεκτούς, ἵνα ζωῆς αἰωνίου τύχωσι».

6. Α΄ Θεσ. 2. 19-20.
7. Πράξ. 28, 20.
8. Β΄ Τιμ. 2, 10.

του χρυσὸν παραχωμένον εἰς τὴν οἰκίαν τοῦ πλησίον, ἐὰν δὲν ἔλθῃ ποτὲ ἐκεῖ διὰ νὰ τὸν ζητήσῃ καὶ νὰ σκάψῃ δὲν θὰ τὸν ἰδῇ ποτέ, ἔτσι καὶ ἐδῶ αὐτὸς ποὺ δὲν θέλει νὰ ζητήσῃ τὸ ἰδικόν του συμφέρον εἰς τὴν ὠφέλειαν καὶ τοῦ πλησίον, δὲν θὰ ἐπιτύχῃ τοὺς στεφάνους διὰ τὸν ἑαυτόν του. Διότι καὶ ὁ Θεὸς δι' αὐτὸ ἔθεσεν αὐτὸν τὸν νόμον, διὰ νὰ εἴμεθα συνδεδεμένοι μεταξύ μας. Καὶ ὅπως ἀκριβῶς κάποιος ποὺ θέλει νὰ ἐξυπνίσῃ παιδὶ ποὺ νυστάζει διὰ ν' ἀκολουθήσῃ τὸν ἀδελφόν του, ὅταν ἀπὸ μόνον του δὲν θέλῃ, δίδει εἰς τὸν ἀδελφὸν αὐτὸ ποὺ εἶναι ἐπιθυμητὸν καὶ ἀγαπητὸν εἰς ἐκεῖνο, διὰ νὰ ἀκολουθῇ αὐτὸν ποὺ τὸ ἔχει μὲ τὴν ἐπιθυμίαν νὰ τὸ λάβῃ, ὅπως βεβαίως καὶ γίνεται, ἔτσι καὶ ἐδῶ ὁ Θεὸς ἔδωσε τὸ συμφέρον τοῦ καθενὸς εἰς τὸν πλησίον, διὰ νὰ τρέχωμεν ὁ ἕνας ὀπίσω τοῦ ἄλλου καὶ νὰ μὴ εἴμεθα διῃρημένοι.

Καὶ ἐὰν θέλῃς ἰδὲ αὐτὸ καὶ εἰς ἐμᾶς ποὺ τὸ λέγομεν· τὸ ἰδικόν μου συμφέρον δηλαδὴ εὑρίσκεται εἰς σέ, καὶ τὸ ὠφέλιμον δι' ἐσὲ εἰς ἐμένα. Διότι καὶ εἰς ἐσένα συμφέρει τὸ νὰ διδάσκεσαι αὐτὰ ποὺ εἶναι ἀρεστὰ εἰς τὸν Θεόν, ἀλλ' αὐτὸ εἶναι ἐμπιστευμένον εἰς ἐμένα, διὰ νὰ λάβῃς αὐτὸ ἀπὸ ἐμέ, καὶ δι' αὐτὸ ν' ἀναγκασθῇς νὰ τρέχῃς εἰς ἐμένα· καὶ εἰς ἐμένα συμφέρει τὸ νὰ γίνεσαι καλύτερος· διότι θὰ λάβω πολὺν μισθὸν δι' αὐτό· ἀλλ' αὐτὸ πάλιν εὑρίσκεται εἰς ἐσένα, καὶ δι' αὐτὸ ἀναγκάζομαι νὰ σὲ καταδιώκω, διὰ νὰ γίνῃς καλύτερος, καὶ ἔτσι λαμβάνω αὐτὸ ποὺ εἶναι συμφέρον μου ἀπὸ ἐσένα. Δι' αὐτὸ καὶ ὁ Παῦλος ἔλεγε, «Διότι ποία εἶναι ἡ ἐλπίς μου, παρὰ καὶ σεῖς μαζὶ μὲ τοὺς ἄλλους εἰς τοὺς ὁποίους ἐκηρύξαμεν»[5]· καὶ πάλιν, «Σεῖς εἶσθε ἡ ἐλπὶς καὶ ἡ χαρὰ καὶ ἡ δόξα μου»[6]. Ὥστε ἡ χαρὰ τοῦ Παύλου ἦσαν οἱ μαθηταί, καὶ τὴν ἰδικήν του χαρὰν ἐκεῖνοι κατεῖχον. Δι' αὐτὸ καὶ ἐδάκρυζεν ἐάν ποτε τοὺς ἔβλεπε νὰ χάνωνται. Καὶ πάλιν τὸ ἰδικόν των συμφέρον εὑρίσκετο εἰς τὸν Παῦλον· δι' αὐτὸ καὶ ἔλεγεν, «ἐξ αἰτίας τῆς ἐλπίδος τοῦ Ἰσραὴλ ἔχω δεθῆ μὲ αὐτὴν τὴν ἁλυσίδα»[7]· καὶ πάλιν, «Ὅλα αὐτὰ τὰ ὑπομένω χάριν τῶν ἐκλεκτῶν διὰ νὰ τύχουν τῆς αἰωνίου ζωῆς»[8].

Τοῦτο καὶ ἐπὶ τῶν βιωτικῶν ἴδοι τις ἄν. «Ἡ» γὰρ «γυνή», φησί, «τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, οὐδὲ ὁ ἀνήρ, ἀλλ' ἡ γυνὴ τοῦ ἀνδρός, καὶ ὁ ἀνὴρ τοῦ τῆς γυναικός». Οὕτω καὶ ἡμεῖς ὅταν τινὰς συνδῆσαι θελήσωμεν, τοῦτο ποιοῦμεν· οὐδένα ἑαυτοῦ κύριον ἀφίεμεν, ἀλλὰ μέσην ἅλυσιν ἐκτείνοντες, τοῦτον ὑπ' ἐκείνου καὶ ἐκεῖνον ὑπὸ τούτου κρατεῖσθαι παρασκευάζομεν. Βούλει καὶ ἐπὶ τῶν ἀρχόντων τοῦτο ἰδεῖν; Ὁ δικάζων οὐχ ἑαυτῷ κάθηται κρίνων, ἀλλὰ τὸ τοῦ πλησίον συμφέρον ζητῶν. Οἱ ἀρχόμενοι πάλιν τὸ τῷ ἄρχοντι συμφέρον ζητοῦσι διὰ τῆς θεραπείας, διὰ τῆς διακονίας, διὰ τῶν ἄλλων ἁπάντων. Οἱ στρατιῶται ὑπὲρ ἡμῶν ὅπλα τίθενται· δι' ἡμᾶς γὰρ κινδυνεύουσιν· ἡμεῖς ὑπὲρ ἐκείνων ταλαιπωρούμεθα· παρ' ἡμῶν γὰρ αὐτοῖς οἱ τροφαί. Εἰ δὲ λέγεις, ὅτι τὸ οἰκεῖον ζητῶν ἕκαστος τοῦτο ποιεῖ, τοῦτο καὶ ἐγὼ λέγω, ἀλλ' ὅτι διὰ τοῦ ἀλλοτρίου τὸ οἰκεῖον εὑρίσκεται. Ὅ τε γὰρ στρατιώτης, ἐὰν μὴ πολεμήσῃ ὑπὲρ τῶν τρεφόντων, οὐκ ἔχει τὸν εἰς τοῦτο διακονούμενον· αὐτός τε οὗτος πάλιν, ἐὰν μὴ θρέψῃ τὸν στρατιώτην, οὐκ ἔχει τὸν ὑπερασπίζοντα.

4. Εἶδες τὴν ἀγάπην πανταχοῦ διατεταμένην καὶ πάντα οἰκονομοῦσαν; Ἀλλὰ μὴ ἀποκάμῃς, ἕως ἂν ὁλόκληρον τὴν χρυσῆν ταύτην σειρὰν καταμάθῃς. Εἰπὼν γάρ, «Οὐ ζητεῖ τὰ ἑαυτῆς», λέγει πάλιν τὰ ἐκ τούτου τικτόμενα ἀγαθά. Τίνα δὲ ταῦτά ἐστιν; «Οὐ παροξύνεται, οὐ λογίζεται τὸ κακόν». Ὅρα πάλιν οὐ κρατοῦσαν τῆς κακίας μόνον, ἀλλ' οὐδὲ ἀφιεῖσαν αὐτὴν στῆναι τὴν ἀρχήν. Οὐ γὰρ εἶπε, παροξύνεται μέν, περιγίνεται δέ, ἀλλ' οὐδὲ παροξύνεται· καὶ οὐκ εἶπεν, οὐκ ἐργάζεται τὸ κακόν, ἀλλ' οὐδὲ λογίζεται. Οὐδὲν γὰρ πονηρὸν οὐ μόνον οὐ κατασκευάζει, ἀλλ' οὐδὲ ὑποπτεύει κατὰ τοῦ φιλουμένου. Πῶς οὖν ἂν ἐργάσαιτο ἢ πῶς ἂν παροξυνθείη ἡ μηδὲ ὑπόνοιαν πονηρὰν καταδέξασθαι ἀνεχομένη; ὅθεν ἡ πηγὴ τῆς ὀργῆς.

Αὐτὸ εἶναι δυνατὸν νὰ ἰδῇ κανεὶς καὶ εἰς τὰ τῆς καθημερινῆς ζωῆς. Διότι, «ἡ γυναῖκα», λέγει, «δὲν ἐξουσιάζει τὸ ἰδικόν της σῶμα· τὸ ἐξουσιάζει ὁ ἀνήρ. Ὁμοίως καὶ ὁ ἀνὴρ δὲν ἐξουσιάζει τὸ ἰδικόν του σῶμα· τὸ ἐξουσιάζει ἡ σύζυγος». Ἔτσι καὶ ἐμεῖς ὅταν θέλωμεν νὰ συνδέσωμεν κάποιους, αὐτὸ κάμνομεν· κανένα δὲν ἀφήνομεν νὰ εἶναι κύριος τοῦ ἑαυτοῦ του, ἀλλ' ἀφοῦ τεντώνομεν ἁλυσίδα εἰς τὴν μέσην, κάμνομεν αὐτὸν νὰ κυριαρχῆται ἀπὸ ἐκεῖνον καὶ ἐκεῖνον ἀπὸ αὐτόν. Θέλεις δὲ νὰ ἰδῇς αὐτὸ καὶ εἰς τοὺς ἄρχοντας; Αὐτὸς ποὺ δικάζει δὲν κάθηται διὰ νὰ κρίνῃ διὰ τὸν ἑαυτόν του, ἀλλ' ἐπειδὴ θέλει τὸ συμφέρον τοῦ πλησίον. Οἱ ὑπήκοοι πάλιν τὸ συμφέρον τῶν ἀρχόντων ἐπιζητοῦν μὲ τὴν περιποίησιν, τὴν ὑπηρεσίαν, μὲ ὅλα τὰ ἄλλα. Οἱ στρατιῶται δι' ἐμᾶς ὁπλίζονται· διότι δι' ἐμᾶς κινδυνεύουν· ἐμεῖς ὑποβαλλόμεθα εἰς θυσίας χάριν ἐκείνων· διότι ἀπὸ ἐμᾶς δίδονται δι' αὐτοὺς αἱ τροφαί. Ἐὰν δὲ ἰσχυρίζεσαι ὅτι ὁ καθεὶς κάμνει αὐτὸ διὰ τὸ ἰδικόν του συμφέρον, αὐτὸ λέγω καὶ ἐγώ, μὲ τὴν διαφορὰν ὅτι διὰ μέσου τοῦ συμφέροντος τοῦ ἄλλου εὑρίσκει τὸ ἰδικόν του. Διότι καὶ ὁ στρατιώτης, ἐὰν δὲν πολεμήσῃ ὑπὲρ ἐκείνων ποὺ τὸν τρέφουν δὲν θὰ ἔχῃ αὐτὸν ποὺ θὰ τὸν ἐξυπηρετῇ εἰς αὐτό· καὶ πάλιν ἐὰν αὐτὸς δὲν θρέψῃ τὸν στρατιώτην, δὲν θὰ ἔχῃ κανένα νὰ τὸν ὑπερασπίζῃ.

4. Εἶδες πῶς ἡ ἀγάπη ἁπλώνεται παντοῦ καὶ οἰκονομεῖ τὰ πάντα; Ἀλλὰ μὴ κουρασθῇς μέχρις ὅτου γνωρίσῃς καλῶς ὁλόκληρον αὐτὴν τὴν χρυσῆν σειράν. Ἀφοῦ λοιπὸν εἶπεν, «δὲν ζητεῖ τὸ συμφέρον της», λέγει ἐν συνεχείᾳ τὰ ἀγαθὰ ποὺ γεννῶνται ἀπὸ αὐτό. Ποῖα δὲ εἶναι αὐτά; «Δὲν ὀργίζεται, δὲν σκέπτεται τὸ κακόν». Κοίταξε πάλιν ὄχι μόνον νὰ ἐπικρατῇ τῆς κακίας, ἀλλὰ οὔτε νὰ ἀφήνῃ εἰς αὐτὴν νὰ θέσῃ κἂν ἀρχήν. Διότι δὲν εἶπεν, ὀργίζεται μέν, ἀλλὰ κυριαρχεῖ, ἀλλ' οὔτε κἂν σκέπτεται. Διότι κανὲν κακόν, ὄχι μόνον δὲν σχεδιάζει, ἀλλ' οὔτε ὑποπτεύεται ἐναντίον ἐκείνου ποὺ ἀγαπᾷ. Πῶς λοιπὸν θὰ τὸ ἔπραττεν ἢ πῶς θὰ ὠργίζετο αὐτὴ ποὺ δὲν ἀνέχεται οὔτε νὰ σκεφθῇ τὸ κακόν; διότι αὐτὸ εἶναι ἡ πηγὴ τοῦ θυμοῦ.

«Οὐ χαίρει ἐπὶ τῇ ἀδικίᾳ». Τουτέστιν, οὐκ ἐφήδεται τοῖς κακῶς πάσχουσι· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καί, ὃ πολλῷ μεῖζόν ἐστι, «Συγχαίρει τῇ ἀληθείᾳ». Συνήδεται, φησί, τοῖς εὐδοκιμοῦσιν· ὃ λέγει Παῦλος· «Χαίρειν μετὰ χαιρόντων, καὶ κλαίειν μετὰ κλαιόντων». Ἐντεῦθεν οὐ ζηλοῖ, ἐντεῦθεν οὐ φυσιοῦται· καὶ γὰρ οἰκεῖα τὰ ἀλλότρια νομίζει καλά. Εἶδες πῶς κατὰ μικρὸν ἄγγελον ποιεῖ τὸν αὐτῆς τρόφιμον ἡ ἀγάπη; Ὅταν γὰρ ἀόργητος ᾖ, καὶ βασκανίας καθαρός, καὶ παντὸς τυραννικοῦ πάθους ἐλεύθερος, ἐννόησον ὅτι καὶ τῆς ἀνθρωπίνης ἀπηλλάγη φύσεως λοιπόν, καὶ πρὸς αὐτὴν τῶν ἀγγέλων τὴν ἀπάθειαν μεθωρμίσατο. Ἀλλ' ὅμως οὐκ ἀρκεῖται τούτοις, ἀλλ' ἔχει τι καὶ τούτων πλεῖον εἰπεῖν· τὰ γὰρ ἰσχυρότερα ὕστερον τίθησι. Διό φησι, «Πάντα στέγει». Ἀπὸ τῆς μακροθυμίας, ἀπὸ τῆς χρηστότητος, κἂν φορτικὰ ᾖ, κἂν ἐπαχθῆ, κἂν ὕβρεις, κἂν πληγαί, κἂν θάνατος, κἂν ὁτιοῦν. Καὶ τοῦτο πάλιν ἀπὸ τοῦ μακαρίου Δαυῒδ συνιδεῖν δυνατόν. Τί γὰρ φορτικώτερον τοῦ υἱὸν ἰδεῖν ἐπανιστάμενον, καὶ τυραννίδος ἐφιέμενον, καὶ αἵματος διψῶντα πατρῴου; Ἀλλὰ καὶ τοῦτο ἔστεγεν ὁ μακάριος ἐκεῖνος, καὶ οὐδὲ οὕτως ἠνείχετο πικρὸν ῥῆμα ἐκβαλεῖν κατὰ τοῦ πατραλοίου, ἀλλὰ καὶ τοῖς στρατηγοῖς πάντα τὰ ἄλλα ἀφείς, ὑπὲρ τῆς ἐκείνου σωτηρίας ἐπέσκηπτεν. Ἰσχυρὰ γὰρ ἦν ἡ τῆς ἀγάπης κρηπίς· διὸ καὶ πάντα στέγει.

Καὶ τὴν μὲν δύναμιν αὐτῆς ἐντεῦθεν αἰνίττεται, τὴν δὲ ἀγαθότητα διὰ τῶν ἑξῆς. «Πάντα γὰρ ἐλπίζει», φησί, «πάντα πιστεύει, πάντα ὑπομένει». Τί ἐστι, «Πάντα ἐλπίζει»; Πάντα τὰ χρηστά, φησίν. Οὐκ ἀπογινώσκει τοῦ ἀγαπωμένου, ἀλλὰ κἂν φαῦλος ᾖ, παραμένει διορθουμένη, προνοοῦσα, ἐπιμελουμένη. «Πάντα πιστεύει». Οὐ γὰρ ἁπλῶς ἐλπίζει, φησίν, ἀλλὰ καὶ πιστεύει ἐκ τοῦ σφόδρα φιλεῖν.

9. Ρωμ. 12, 15.

«Δὲν χαίρει διὰ τὸ κακόν». Δηλαδὴ δὲν εὐχαριστεῖται δι' αὐτοὺς ποὺ ὑποφέρουν· καὶ ὄχι μόνον αὐτό, ἀλλὰ καὶ τὸ πολὺ μεγαλύτερον ἀπὸ αὐτό, «συγχαίρει εἰς τὴν ἀλήθειαν». Συνευχαριστεῖται, λέγει, μὲ αὐτοὺς ποὺ εὐημεροῦν· αὐτὸ ποὺ λέγει ὁ Παῦλος· «Νὰ χαίρετε μὲ ἐκείνους ποὺ χαίρουν καὶ νὰ κλαῖτε μὲ ἐκείνους ποὺ κλαίουν»*. Ἀπὸ αὐτὸ δὲν φθονεῖ, ἀπὸ αὐτὸ δὲν γίνεται ὑπερήφανος· διότι τὰ καλὰ τοῦ ἄλλου θεωρεῖ ἰδικά της. Εἶδες πῶς ἡ ἀγάπη κάμνει ἄγγελον εἰς σμικρογραφίαν ἐκεῖνον ποὺ τρέφεται ἀπὸ αὐτήν; Διότι, ὅταν δὲν εἶναι θυμώδης καὶ εἶναι καθαρὸς ἀπὸ φθόνον καὶ ἐλεύθερος ἀπὸ κάθε τυραννικὸν πάθος, νὰ θεωρῇς ὅτι ἔχει ἀπαλλαγῆ λοιπὸν καὶ ἀπὸ τὴν ἀνθρωπίνην φύσιν καὶ ἔχει ὁρμήσει καὶ πρὸς αὐτὴν ἀκόμη τὴν ἀπάθειαν τῶν ἀγγέλων. Δὲν ἀρκεῖται εἰς αὐτά, ἀλλ' ἔχει νὰ εἰπῇ κάτι μεγαλύτερον καὶ ἀπὸ αὐτά· διότι τὰ μεγαλύτερα τελευταῖα τὰ ἐκθέτει. Δι' αὐτὸ λέγει, «ὅλα τὰ ἀνέχεται». Ἀπὸ τὴν μακροθυμίαν, ἀπὸ τὴν καλὴν διάθεσιν, εἴτε σκληρὰ εἶναι, εἴτε βαρετά, εἴτε ἀτιμώσεις, εἴτε πληγαί, εἴτε θάνατος, εἴτε ὁ,τιδήποτε. Καὶ αὐτὸ εἶναι δυνατὸν νὰ κατανοήσωμεν πάλιν ἀπὸ τὸν μακάριον Δαυΐδ. Διότι τί σκληρότερον ἀπὸ τοῦ νὰ ἰδῇ τὸν υἱόν του νὰ ἐπαναστατῇ καὶ νὰ ἐπιθυμῇ τὴν βασιλείαν καὶ νὰ διψᾷ διὰ πατρικὸν αἷμα; Ἀλλὰ καὶ αὐτὸ τὸ ὑπέμενεν ἐκεῖνος ὁ μακάριος Δαυΐδ καὶ οὔτε τότε ἤθελε νὰ εἰπῇ πικρὸν λόγον κατὰ τοῦ πατροκτόνου, ἀλλὰ καὶ εἰς τοὺς στρατηγοὺς ἀφοῦ ἐπέτρεψε νὰ τοῦ κάνουν ὁ,τιδήποτε ἄλλο, τοὺς διέταξε νὰ φροντίσουν διὰ τὴν σωτηρίαν του. Διότι ἦτο ἰσχυρὸν τὸ θεμέλιον τῆς ἀγάπης· δι' αὐτὸ καὶ τὰ ἀνέχεται ὅλα.

Καὶ τὴν μὲν δύναμιν τῆς ἀγάπης ἐδῶ τὴν ὑπαινίσσεται, ἐνῷ τὴν ἀγαθότητά της μὲ τὰ ἑξῆς. «Ὅλα τὰ ἐλπίζει», λέγει, «ὅλα τὰ πιστεύει, ὅλα τὰ ὑπομένει». Τί σημαίνει, «Ὅλα τὰ ἐλπίζει»; Ὅλα τὰ ἀγαθά, ἐννοεῖ. Δὲν ἀπελπίζεται δι' αὐτὸν ποὺ ἀγαπᾷ, ἀλλὰ καὶ ἂν ἀκόμη εἶναι κακός, ἐπιμένει εἰς τὸ νὰ τὸν διορθώνῃ, νὰ προνοῇ καὶ νὰ φροντίζῃ δι' αὐτόν. «Ὅλα τὰ πιστεύει». Δηλαδὴ ὄχι μόνον ἐλπίζει, λέγει, ἀλλὰ καὶ πιστεύει ἀπὸ τὴν πολλὴν ἀγά-

Κἂν μὴ ἐκβαίνῃ κατὰ τὴν ἐλπίδα τὰ χρηστὰ ταῦτα, ἀλλ' ὅτι φορτικώτερος ἐκεῖνος ᾖ, καὶ ταῦτα φέρει. «Πάντα» γάρ, φησίν, «ὑπομένει».

«Ἡ ἀγάπη οὐδέποτε ἐκπίπτει». Εἶδες τὴν κορωνίδα πότε ἔθηκε, καὶ ὃ μάλιστά ἐστιν ἐξαίρετον τούτου τοῦ δώρου; Τί γάρ ἐστιν, «οὐκ ἐκπίπτει»; Οὐ διαλύεται, οὐ διακόπτεται τῷ φέρειν· στέργῃ γὰρ πάντα. Ὁ γὰρ φιλῶν οὐδέποτε μισῆσαι δύναται, κἂν ὁτιοῦν γένηται· τοῦτο γὰρ αὐτῆς τὸ μέγιστον ἀγαθόν. Τοιοῦτος ἦν ὁ Παῦλος· διὸ καὶ ἔλεγεν, «Εἴ πως παραζηλώσω μου τὴν σάρκα», καὶ ἔμενεν ἐλπίζων. Καὶ Τιμοθέῳ παρῄνει λέγων· «Δοῦλον δὲ κυρίου οὐ δεῖ μάχεσθαι, ἀλλ' ἤπιον εἶναι πρὸς πάντας, ἐν πραΰτητι παιδεύοντα τοὺς ἀντιδιατιθεμένους, μήποτε δῷ αὐτοῖς ὁ Θεὸς ἐπίγνωσιν ἀληθείας».

5. Τί οὖν, φησίν, ἂν ἐχθροὶ ὦσι οἱ Ἕλληνες, οὐ δεῖ μισεῖν; Μισεῖν μέν, οὐκ ἐκείνους δέ, ἀλλὰ τὸ δόγμα, οὐ τὸν ἄνθρωπον, ἀλλὰ τὴν πονηρὰν πρᾶξιν, τὴν διεφθαρμένην γνώμην. Ὁ μὲν γὰρ ἄνθρωπος ἔργον Θεοῦ, ἡ δὲ πλάνη ἔργον διαβόλου. Μὴ τοίνυν ἀναμίξῃς τὰ τοῦ Θεοῦ, καὶ τὰ τοῦ διαβόλου. Ἐπεὶ καὶ Ἰουδαῖοι καὶ βλάσφημοι ἦσαν καὶ διῶκται καὶ ὑβρισταί, καὶ μυρία τὸν Χριστὸν ἔλεγον κακά· ἆρ' οὖν ἐμίσει αὐτοὺς Παῦλος, ὁ μάλιστα πάντων τὸν Χριστὸν φιλῶν; Οὐδαμῶς, ἀλλὰ καὶ ἐφίλει, καὶ πάντα ὑπὲρ αὐτῶν ἔπραττε· καὶ νῦν μέν φησιν, «Ἡ μὲν εὐδοκία καὶ ἡ δέησίς μου πρὸς τὸν Θεόν, ὑπὲρ αὐτῶν ἐστιν εἰς σωτηρίαν· νῦν δέ, «Ηὐχόμην ἀνάθεμα εἶναι ἀπὸ τοῦ Χριστοῦ ὑπὲρ αὐτῶν». Οὕτω καὶ ὁ Ἰεζεκιὴλ ὁρῶν αὐτοὺς σφαζομένους ἔλεγεν· «Οἴμοι,

---

10. Ρωμ. 11, 14.
11. Β' Τιμ. 2. 24-25.
12. Ρωμ. 10, 1.
13. Ρωμ. 9, 3.

πην. Καὶ ἂν ἀκόμη αὐτὰ τὰ ἀγαθὰ ποὺ ἐλπίζει δὲν γίνωνται ὅπως ἐλπίζει, ἀλλ' ἀκόμη σκληρότερος γίνεται ἐκεῖνος, καὶ αὐτὸ τὸ ὑπομένει. Διότι, «ὅλα», λέγει, «τὰ ὑπομένει».

Ἡ ἀγάπη ποτὲ δὲν θὰ παύσῃ νὰ ὑπάρχῃ». Εἶδες πότε ἔθεσε τὸ ἀποκορύφωμα καὶ αὐτὸ ποὺ εἶναι τὸ πλέον ἐξαίρετον πρᾶγμα εἰς τὸ δῶρον τῆς ἀγάπης; Διότι τί σημαίνει «δὲν θὰ παύσῃ νὰ ὑπάρχῃ»; Δὲν καταλύεται, δὲν καταργεῖται ἀπὸ τὸ ὅτι ὑπομένει· Καθ' ὅσον ὑπομένει τὰ πάντα. Διότι αὐτὸς ποὺ ἀγαπᾷ δὲν ἠμπορεῖ ποτὲ νὰ μισήσῃ, ὅ,τι καὶ ἂν γίνῃ· αὐτὸ λοιπὸν εἶναι τὸ μέγιστον ἀγαθὸν τῆς ἀγάπης. Τέτοιος ἦτο ὁ Παῦλος· δι' αὐτὸ καὶ ἔλεγε, «διὰ νὰ κεντήσω τὸν ζῆλον τῶν ὁμοεθνῶν μου καὶ νὰ σώσω μερικοὺς ἀπὸ αὐτούς»[10], καὶ ἐξηκολούθει νὰ ἐλπίζῃ. Καὶ τὸν Τιμόθεον προέτρεπε μὲ τοὺς λόγους· «Ὁ δοῦλος ὅμως τοῦ Κυρίου δὲν πρέπει νὰ φιλονεικῇ, ἀλλὰ νὰ εἶναι ἤπιος πρὸς ὅλους, διδακτικός, ὑπομονητικός, νὰ διδάσκῃ μὲ πραότητα τοὺς ἀντιφρονοῦντας, μήπως μετανοήσουν καὶ νὰ δώσῃ εἰς αὐτοὺς ὁ Θεὸς νὰ γνωρίσουν τὴν ἀλήθειαν καὶ συνέλθουν»[11].

5. Ἀλλὰ τί λέγει ἐδῶ, αὐτοὺς ποὺ εἶναι ἐχθροὶ καὶ εἰδωλολάτραι, δὲν πρέπει νὰ τοὺς μισοῦμεν; Ναὶ μέν, νὰ μισοῦμεν, ὅμως ὄχι ἐκείνους, ἀλλὰ τὴν πίστιν, ὄχι τὸν ἄνθρωπον, ἀλλὰ τὴν κακὴν πρᾶξιν, τὴν διεφθαρμένην προαίρεσιν. Διότι ὁ μὲν ἄνθρωπος εἶναι ἔργον τοῦ Θεοῦ, ἐνῷ ἡ πλάνη ἔργον τοῦ διαβόλου. Μὴ κάνῃς σύγχυσιν λοιπὸν μεταξὺ τῶν ἔργων τοῦ Θεοῦ καὶ τοῦ διαβόλου. Διότι καὶ οἱ Ἰουδαῖοι καὶ βλάσφημοι ἦσαν καὶ διῶκται καὶ ὑβρισταὶ καὶ ἄπειρα κακὰ κατελόγιζον εἰς τὸν Χριστόν· ἆρά γε λοιπὸν τοὺς ἐμίσει αὐτοὺς ὁ Παῦλος ποὺ ἠγάπα τὸν Χριστὸν περισσότερον ἀπὸ ὅλους; Καθόλου, ἀλλ' ἐπὶ πλέον καὶ τοὺς ἠγάπα καὶ ἔκαμνε τὰ πάντα δι' αὐτούς· καὶ ἄλλοτε μὲν λέγει, «Ἡ ἐπιθυμία τῆς καρδιᾶς μου καὶ ἡ προσευχή μου εἰς τὸν Θεὸν εἶναι νὰ σωθοῦν οἱ Ἰσραηλῖται»[12]· ἄλλοτε δέ, «Θὰ ηὐχόμην μάλιστα νὰ εἶμαι ἐγὼ ὁ ἴδιος ἀνάθεμα, μακρυὰ ἀπὸ τὸν Χριστόν, χάριν τῶν ἀδελφῶν μου»[13]. Ἔτσι καὶ ὁ Ἰεζεκιὴλ ὅταν ἔβλεπε τοὺς Ἰσραηλίτας νὰ

Κύριε, ἐξαλείφεις σὺ τοὺς καταλοίπους τοῦ Ἰσραήλ;»· καὶ ὁ Μωϋσῆς, «Εἰ μὲν ἀφῇς αὐτοῖς τὴν ἁμαρτίαν, ἄφες». Τί οὖν φησιν ὁ Δαυΐδ, «Τοὺς μισοῦντάς σε, Κύριε, ἐμίσησα, καὶ ἐπὶ τοῖς ἐχθροῖς σου ἐξετηκόμην· τέλειον μῖσος ἐμίσουν αὐτούς»; Μάλιστα μὲν οὐ πάντα τὰ ἐν τοῖς ψαλμοῖς ὑπὸ τοῦ Δαυΐδ εἰρημένα, ἐκ προσώπου τοῦ Δαυΐδ εἴρηται. Καὶ γὰρ αὐτὸς οὗτός φησι, «Κατεσκήνωσα μετὰ τῶν σκηνωμάτων Κηδάρ»· καί, «Ἐπὶ τῶν ποταμῶν Βαβυλῶνος ἐκεῖ ἐκαθίσαμεν, καὶ ἐκλαύσαμεν»· οὔτε δὲ Βαβυλῶνα εἶδεν, οὔτε τὰ σκηνώματα Κηδάρ.

Ἄλλως δέ, καὶ πλείονα νῦν ἀπαιτούμεθα φιλοσοφίαν. Διὸ καὶ τῶν μαθητῶν ἀξιούντων κατενεχθῆναι πῦρ, ὡς ἐπὶ Ἠλιού, «Οὐκ οἴδατε», φησὶν ὁ Χριστός, «ποίου πνεύματός ἐστε». Τότε μὲν γὰρ οὐχὶ τὴν ἀσέβειαν μόνον, ἀλλὰ καὶ τοὺς ἀσεβοῦντας αὐτοὺς μισεῖν ἐκελεύοντο, ἵνα μὴ ἡ φιλία ἀφορμὴ γένηται παρανομίας αὐτοῖς· διὰ τοῦτο καὶ τὰς συγγενείας διέκοψε, καὶ τὰς ἐπιμιξίας, καὶ πάντοθεν αὐτοὺς ἀπετείχιζε· νῦν δέ, ἐπειδὴ πρὸς μείζονα ἡμᾶς ἤγαγε φιλοσοφίαν, καὶ ὑψηλοτέρους τῆς βλάβης ἐκείνης ἐποίησε, καὶ προσίεσθαι καὶ παρακαλεῖν κελεύει. Οὐ γὰρ ἡμῖν ἐξ ἐκείνων βλάβη, ἀλλ' ἐκείνοις ἐξ ἡμῶν ὠφέλεια γίνεται. Τί οὖν, φησίν; οὐ δεῖ μισεῖν; Οὐ μισεῖν, ἀλλ' ἐλεεῖν. Ἂν γὰρ μισήσῃς, πῶς ἐπιστρέψεις ῥαδίως τὸν πλανώμενον; πῶς εὔξῃ ὑπὲρ τοῦ ἀπίστου; Ὅτι γὰρ εὔχεσθαι δεῖ, ἄκουσον τί φησιν ὁ Παῦλος. «Παρακαλῶ οὖν πρῶτον πάντων ποιεῖσθαι δεήσεις, προσευχάς, ἐντεύξεις, εὐχαριστίας ὑπὲρ πάντων

---

14. Ἰεζ. 9, 8.
15. Ἐξ. 32, 32.
16. Ψαλμ. 138, 21-22.
17. Ψαλμ. 119, 5.
18. Ψαλμ. 136, 1.
19. Λουκᾶ 9, 55.
20. Α' Τιμ. 2, 1-4.

σφάζωνται ἔλεγεν· «Ἀλλοίμονον, Κύριε, σὺ ἐξολοθρεύεις ὅσους ἀπέμειναν ἀπὸ τὸν λαὸν τοῦ Ἰσραήλ;»[14]· καὶ ὁ Μωϋσῆς ἐπίσης, «Ἐὰν θέλῃς νὰ συγχωρήσῃς αὐτούς, συγχώρησέ τους, ἐὰν δὲν τοὺς συγχωρήσῃς ἐξάλειψε μαζί τους καὶ ἐμέ»[15]. Τί λέγει ὅμως ὁ Δαυΐδ; «Ἐμίσησα, Κύριε, αὐτοὺς ποὺ σὲ μισοῦν καὶ ἔλειωσα ὡσὰν κηρὶ ἀπὸ τὸ μῖσος μου δι' αὐτούς· μὲ ὅλην τὴν καρδίαν μου τοὺς ἐμίσησα»[16]. Ναὶ μέν, ἔτσι λέγει, ἀλλὰ δὲν ἐλέχθησαν ἀπὸ τὸν ἴδιον τὸν Δαυΐδ ὅσα φέρονται ὡς ἰδικά του. Διότι ὁ ἴδιος εἶναι ποὺ λέγει ἐπίσης, «Κατεσκήνωσα μαζὶ μὲ τοὺς σκηνίτας Κηδαρίτας»[17] καί, «Εἰς τὰς ὄχθας τῶν ποταμῶν τῆς Βαβυλῶνος ἐκαθήσαμεν καὶ ἐκλαύσαμεν»[18]· ἀλλ' οὔτε τὴν Βαβυλῶνα εἶδεν, οὔτε τοὺς Κηδαρίτας σκηνίτας.

Ἐξ ἄλλου τώρα μᾶς ζητεῖται χρηστότερος τρόπος ζωῆς. Δι' αὐτὸ καὶ ὅταν οἱ μαθηταὶ ἐζήτησαν νὰ καταβῇ φωτιὰ ἀπὸ τὸν οὐρανόν, ὅπως ἔγινε μὲ τὸν προφήτην Ἠλίαν, καὶ νὰ κάψῃ τοὺς Σαμαρείτας, ὁ Χριστὸς τοὺς εἶπε, «Δὲν γνωρίζετε ποίου πνεύματος εἶσθε»[19]. Διότι τότε μὲν ὄχι μόνον τὴν ἀσέβειαν, ἀλλὰ καὶ αὐτοὺς ποὺ διέπραττον ἀσέβειαν εἶχον ἐντολὴν νὰ τοὺς μισοῦν, διὰ νὰ μὴ γίνεται ἡ φιλία μὲ αὐτοὺς ἀφορμὴ παρανομίας· δι' αὐτὸ καὶ ἀπηγόρευσε νὰ δημιουργοῦν συγγενείας καὶ νὰ ἔρχωνται εἰς ἐπιμιξίαν καὶ ἀπὸ παντοῦ τοὺς προεφύλασσεν μὲ κάποιο τεῖχος· τώρα ὅμως, ἐπειδὴ μᾶς ὡδήγησεν εἰς ὑψηλότερον τρόπον ζωῆς καὶ μᾶς ἔκανεν ἀνωτέρους ἀπὸ τοῦ νὰ εἴμεθα τρωτοὶ εἰς ἐκείνην τὴν βλάβην, μᾶς δίδει ἐντολὴν καὶ νὰ τοὺς ὑπομένωμεν καὶ νὰ τοὺς πλησιάζωμεν. Διότι ἐμεῖς δὲν βλαπτόμεθα εἰς τίποτε ἀπὸ ἐκείνους, ἐνῷ ἐκεῖνοι ὠφελοῦνται ἀπὸ ἐμᾶς. Τί λέγει λοιπόν; Δὲν πρέπει νὰ μισοῦμεν; Ὄχι νὰ μισοῦμεν, ἀλλὰ νὰ ἐλεοῦμεν. Διότι ἐὰν τὸν μισήσῃς πῶς θὰ βοηθήσῃς νὰ ἐπιστρέψῃ εὐκόλως αὐτὸς ποὺ πλανᾶται; Πῶς θὰ προσευχηθῇς δι' αὐτὸν ποὺ δὲν ἔχει πιστεύσει; Διότι ἄκουσε τί λέγει ὁ Παῦλος διὰ τὸ ὅτι πρέπει νὰ προσευχώμεθα δι' αὐτούς. «Παρακαλῶ λοιπόν, πρῶτον ἀπὸ ὅλα νὰ κάμνετε δεήσεις, προσευχάς, παρακλήσεις, εὐχαριστίας δι' ὅλους τοὺς ἀνθρώπους»[20].

ἀνθρώπων». Ὅτι δὲ πάντες τότε οὐκ ἦσαν πιστοί, παντί που δῆλον. Καὶ πάλιν, «Ὑπὲρ βασιλέων, καὶ τῶν ἐν ὑπεροχῇ ὄντων». Ὅτι δὲ οὗτοι ἀσεβεῖς ἦσαν καὶ παράνομοι, καὶ τοῦτο δῆλον ὁμοίως.

Εἶτα καὶ τὴν αἰτίαν λέγων τῆς εὐχῆς, ἐπάγει· «Τοῦτο γὰρ καλὸν καὶ ἀποδεκτὸν ἐνώπιον τοῦ σωτῆρος ἡμῶν Θεοῦ, ὃς πάντας ἀνθρώπους θέλει σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν». Διὰ τοῦτο κἂν Ἑλληνίδα εὕρῃ γυναῖκα συνοικοῦσαν πιστῷ, οὐ διαζεύγνυσι τὸν γάμον. Καίτοιγε τί οἰκειότερον ἀνδρὸς γυναικί; «Ἔσονται» γὰρ «οἱ δύο εἰς σάρκα μίαν»· καὶ πολὺ τὸ φίλτρον ἐκεῖ, καὶ θερμὸς ὁ πόθος. Εἰ δὲ μέλλοιμεν ἀσεβεῖς μισεῖν καὶ παρανομοῦντας, προϊόντες καὶ ἁμαρτωλοὺς μισήσομεν, καὶ οὕτως ὁδῷ προβαίνων καὶ τῶν ἀδελφῶν ἀπορραγήσῃ τῶν πλειόνων, μᾶλλον δὲ πάντων. Οὐ γάρ ἐστιν, οὐκ ἔστιν οὐδεὶς ἁμαρτίας χωρίς. Εἰ γὰρ δεῖ τοὺς ἐχθροὺς τοῦ Θεοῦ μισεῖν, οὐχὶ ἀσεβεῖς δὲ μισεῖν μόνον, ἀλλὰ καὶ ἁμαρτωλούς· καὶ οὕτως ἐσόμεθα θηρίων χείρους, πάντας ἀποστρεφόμενοι, καὶ ἀπονοίᾳ φυσώμενοι, καθάπερ ὁ Φαρισαῖος ἐκεῖνος. Ἀλλ' οὐχ ὁ Παῦλος οὕτως ἐκέλευσεν, ἀλλὰ πῶς; «Νουθετεῖτε τοὺς ἀτάκτους, παραμυθεῖσθε τοὺς ὀλιγοψύχους, ἀντέχεσθε τῶν ἀσθενῶν, μακροθυμεῖτε πρὸς πάντας». Τί οὖν, ὅταν λέγῃ, φησίν, «Εἴ τις οὐχ ὑπακούει τῷ λόγῳ ἡμῶν διὰ τῆς ἐπιστολῆς, τοῦτον σημειοῦσθε, καὶ μὴ συναναμίγνυσθε αὐτῷ»; Μάλιστα μὲν περὶ ἀδελφῶν τοῦτο εἴρηται, πλὴν οὐδὲ τοῦτο ἁπλῶς, ἀλλὰ καὶ τοῦτο μετὰ ἡμερότητος. Μὴ γὰρ δὴ περικόψῃς τὰ ἑξῆς, ἀλλὰ καὶ τὰ μετὰ ταῦτα προστίθει. Καὶ γὰρ εἰπών, «Μὴ συναναμίγνυσθε», ἐπήγαγε, «Καὶ

---

21. Γεν. 2, 24.
22. Α΄ Θεσ. 5, 14.

Ἀλλὰ τὸ ὅτι τότε δὲν ἦσαν ὅλοι πιστοὶ ἀπὸ παντοῦ εἶναι φανερόν. Καὶ πάλιν, «διὰ τοὺς βασιλεῖς καὶ ὅλους ὅσοι εἶναι εἰς ὑψηλὰς θέσεις»[20]. Τὸ ὅτι ὅμως αὐτοὶ ἦσαν ἀσεβεῖς καὶ παράνομοι, καὶ αὐτὸ ἐπίσης εἶναι φανερόν.

Ἀκολούθως καθὼς λέγει καὶ τὸν λόγον διὰ τὸν ὁποῖον πρέπει νὰ προσευχώμεθα, προσθέτει· «Διότι αὐτὸ εἶναι καλὸν καὶ εὐπρόσδεκτον ἐνώπιον τοῦ σωτῆρος μας Θεοῦ, ὁ ὁποῖος θέλει νὰ σωθοῦν ὅλοι οἱ ἄνθρωποι καὶ νὰ λάβουν γνῶσιν τῆς ἀληθείας»[20]. Δι' αὐτὸν τὸν λόγον ἀκόμη καὶ ὅταν κάποια εἰδωλολάτρις εἶναι ὑπανδρευμένη μὲ πιστόν, λέγει νὰ μὴ διαλύεται ὁ γάμος. Καὶ ὅμως τί εἶναι περισσότερον οἰκεῖον εἰς τὸν ἄνδρα ἀπὸ τὴν γυναῖκα; Διότι «θὰ γίνουν οἱ δύο μία σάρξ»[21]· καὶ πολλὴ εἶναι ἡ ἀγάπη καὶ θερμὸς ὁ πόθος εἰς αὐτὴν τὴν σχέσιν. Ἐὰν δὲ πρόκειται νὰ μισοῦμεν ἀσεβεῖς καὶ παρανόμους, δὲν θὰ σταματήσωμεν ἐδῶ, ἀλλ' ἀφοῦ προχωρήσομεν θὰ μισήσωμεν καὶ τοὺς ἁμαρτωλούς, καὶ καθὼς θὰ προοδεύῃς ἔτσι θ' ἀποσχισθῇς καὶ ἀπὸ τοὺς περισσοτέρους ἀδελφούς, μᾶλλον δὲ ἀπὸ ὅλους. Διότι δὲν ὑπάρχει, κανεὶς δὲν εἶναι ἀναμάρτητος. Ἐὰν λοιπὸν πρέπει νὰ μισοῦμεν τοὺς ἐχθροὺς τοῦ Θεοῦ, δὲν πρέπει νὰ μισοῦμεν μόνον τοὺς ἀσεβεῖς, ἀλλὰ καὶ τοὺς ἁμαρτωλούς· καὶ ἔτσι θὰ καταντήσωμεν χειρότεροι ἀπὸ τὰ θηρία μὲ τὸ νὰ ἀποστρεφώμεθα ὅλους τοὺς ἀνθρώπους καὶ νὰ ὑπερηφανευώμεθα μὲ ἀνοησίαν ὅπως ἐκεῖνος ὁ Φαρισαῖος. Ὁ Παῦλος ὅμως δὲν παραγγέλλει ἔτσι, ἀλλὰ πῶς; «Σᾶς παρακαλοῦμεν, ἀδελφοί, νὰ νουθετῆτε τοὺς ἀτάκτους, νὰ παρηγορῆτε τοὺς ὀλιγοψύχους, νὰ βοηθῆτε τοὺς ἀδυνάτους ἢ νὰ μακροθυμῆτε πρὸς ὅλους»[22] Τί ἐννοεῖ λοιπὸν ὅταν λέγῃ, «Ἐὰν κάποιος δὲν ὑπακούῃ εἰς ὅσα λέγομεν εἰς τὴν ἐπιστολὴν αὐτήν, λάβετέ τον ὑπὸ σημείωσιν καὶ νὰ μὴ τὸν συναναστρέφεσθε»; Καὶ μάλιστα δι' ἀδελφοὺς ἐλέχθη αὐτό, ἀλλὰ καὶ αὐτὸ δὲν ἐλέχθη ἔτσι τυχαῖα καὶ ἐπιπόλαια, ἀλλὰ μὲ ἡμερότητα. Διότι μὴ ἀποκρύψῃς τὰ ἑπόμενα ἀπὸ αὐτά, ἀλλὰ νὰ προσθέσῃς καὶ ὅσα λέγονται μετά. Διότι ἀφοῦ εἶπε, «μὴ τὸν συναναστρέφεσθε», προσέθεσε, «καὶ νὰ μὴ τὸν θεωρῆτε ὡς ἐχθρόν,

μὴ ὡς ἐχθρὸν ἡγεῖσθε, ἀλλὰ νουθετεῖτε ὡς ἀδελφόν».

6. Ὁρᾷς πῶς τὸ ἔργον μισεῖν τὸ φαῦλον, οὐ τὸν ἄνθρωπον ἐκέλευσε; Καὶ γὰρ ἔργον τοῦ διαβόλου τὸ διασπᾶν ἡμᾶς ἀπ' ἀλλήλων, καὶ σφόδρα ἐσπούδακεν ἀνελεῖν τὴν ἀγάπην, ἵνα ἐκκόψῃ τῆς διορθώσεως τὴν ὁδόν, καὶ κατάσχῃ ἐκεῖνον μὲν οὖν ἐν πλάνῃ, σὲ δὲ ἐν ἀπεχθείᾳ, εἶθ' οὕτως ἀποτειχίσῃ τῆς ἐκείνου σωτηρίας τὴν ὁδόν. Ὅταν γὰρ καὶ ὁ ἰατρὸς μισῇ τὸν κάμνοντα καὶ φεύγῃ, καὶ ὁ κάμνων τὸν ἰατρὸν ἀποστρέφηται, πότε ἀναστήσεται ὁ νοσῶν, ὅταν μήτε ἐκεῖνος πρὸς αὐτὸν καλῇ, μήτε οὗτος πρὸς αὐτὸν ἀπίῃ; Τίνος δὲ ἕνεκεν, εἰπέ μοι, καὶ ἀποστρέφῃ καὶ φεύγεις αὐτόν; ὅτι ἀσεβής ἐστιν; Οὐκοῦν διὰ τοῦτο δεῖ προσίεσθαι καὶ θεραπεύειν, ἵνα ἀναστήσῃς νοσοῦντα. Εἰ δὲ ἀνίατα νοσεῖ, ἀλλὰ σὺ τὸ σαυτοῦ ποιεῖν ἐκελεύσθης. Ἐπεὶ καὶ ὁ Ἰούδας ἀνίατα ἐνόσει, καὶ οὐ διέλιπεν αὐτὸν ὁ Θεὸς θεραπεύων.

Μὴ τοίνυν μηδὲ σὺ ἀποκάμῃς. Κἂν γὰρ πολλὰ σπουδάσας μὴ ἀπαλλάξῃς τῆς ἀσεβείας αὐτόν, καὶ τοῦ ἀπαλλάξαντος λήψῃ τὸν μισθόν, καὶ παρασκευάσεις αὐτὸν θαυμάζειν σου τὴν ἡμερότητα, καὶ οὕτως εἰς τὸν Θεὸν ἡ δόξα ἅπασα διαβήσεται. Κἂν γὰρ θαύματα ποιῇς, κἂν νεκροὺς ἐγείρῃς, κἂν ὁτιοῦν ἐργάσῃ, οὐδέποτέ σε οὕτω θαυμάσονται Ἕλληνες, ὡς ὅταν ἴδωσι πρᾶον καὶ ἥμερον καὶ γλυκὺν παρεχόμενον τρόπον. Οὐ μικρὸν δὲ καὶ τοῦτο κατόρθωμα· πολλοὶ γὰρ καὶ τέλεον ἀπαλλαγήσονται τοῦ κακοῦ. Οὐδὲν γὰρ οὕτως ἐπισπάσασθαι δύναται, ὡς ἀγάπη. Ἐπ' ἐκείνοις μὲν γάρ σε ζηλοτυπήσουσι, τοῖς σημείοις λέγω καὶ τοῖς θαύμασιν, ἐπὶ τούτῳ δὲ καὶ θαυμάσονται καὶ φιλήσουσι· φιλοῦντες δὲ καὶ τῆς ἀληθείας ἐπιλήψονται ὁδῷ προβαίνοντες. Εἰ δὲ οὐκ εὐθέως γίνεται πιστός, μὴ θαύμαζε, μηδὲ ἐπείγου, μηδὲ ἅπαντα ὁμοῦ ζήτει, ἀλλ' ἔασον αὐτὸν τέως ἐπαινεῖν, φιλεῖν,

ἀλλὰ νὰ τὸν συμβουλεύετε ὡς ἀδελφόν».

6. Βλέπεις πῶς παρήγγειλε νὰ μισοῦμεν τὸ κακὸν ἔργον καὶ ὄχι τὸν ἄνθρωπον; Διότι ἔργον τοῦ διαβόλου εἶναι νὰ μᾶς διασπᾷ ἀπὸ τοὺς ἀδελφούς μας καὶ μὲ πολὺν ζῆλον προσπαθεῖ νὰ ἐξαλείψῃ τὴν ἀγάπην, διὰ νὰ καταστρέψῃ τὴν ὁδὸν τῆς διορθώσεως καὶ νὰ κυριεύσῃ ἐκεῖνον μὲν εἰς τὴν πλάνην, ἐσένα δὲ εἰς τὴν ἔχθραν, ὥστε ἔτσι νὰ κρημνίσῃ τὰ τείχη τῆς ὁδοῦ τῆς σωτηρίας ἐκείνου. Διότι, ὅταν καὶ ὁ ἰατρὸς μισῇ καὶ ἀποφεύγῃ τὸν ἄρρωστον, πότε θὰ ἀναλάβῃ αὐτὸς ποὺ νοσεῖ, ἐφ' ὅσον οὔτε αὐτὸς καλεῖ τὸν ἰατρόν, οὔτε ἐκεῖνος ἔρχεται εἰς τὸν ἀσθενῆ; Ἀλλὰ διὰ ποῖον λόγον, εἰπέ μου, τὸν ἀποστρέφεσαι καὶ τὸν ἀποφεύγεις; διότι εἶναι ἀσεβής; Λοιπὸν δι' αὐτὸ ἀκριβῶς πρέπει νὰ τὸν πλησιάζῃς καὶ νὰ τὸν περιποιῆσαι, διὰ νὰ τὸν σώσῃς ἀπὸ τὴν ἀσθένειαν. Ἐὰν δὲ ἡ ἀσθένειά του εἶναι ἀθεράπευτος, σὺ ὅμως ἔχεις ἐντολὴν νὰ πράξῃς τὸ καθῆκον σου. Διότι καὶ ὁ Ἰούδας ἦτο ἀθεράπευτα ἀσθενὴς καὶ ὅμως δὲν ἐγκατέλειψε τὴν θεραπείαν του ὁ Θεός.

Λοιπὸν οὔτε σὺ νὰ κουρασθῇς καὶ νὰ παραιτηθῇς. Διότι, καὶ ἂν ἀκόμη, ἀφοῦ προσπαθήσῃς πολύ, δὲν ἀπαλλάξῃς αὐτὸν ἀπὸ τὴν ἀσέβειαν, καὶ θὰ λάβῃς τὸν μισθόν, ποὺ θὰ ἐλάμβανες ἐὰν τὸν ἀπήλλασσες, καὶ θὰ κάνῃς αὐτὸν νὰ θαυμάζῃ τὴν ἡμερότητά σου, καὶ ἔτσι ὅλη ἡ δόξα θὰ ἀποδοθῇ εἰς τὸν Θεόν. Διότι, καὶ ἂν ἀκόμη κάμνῃς θαύματα, καὶ ἂν ἀνιστᾷς νεκρούς, καὶ ἐὰν κάμνῃς ὁ,τιδήποτε, ποτὲ δὲν θὰ σὲ θαυμάσουν ἔτσι οἱ εἰδωλολάτραι, ὅσον ὅταν σὲ ἰδοῦν νὰ συμπεριφέρεσαι μὲ πρᾶον καὶ ἥμερον καὶ γλυκὺν τρόπον. Δὲν εἶναι δὲ μικρὸν κατόρθωμα καὶ αὐτό· καθ' ὅσον πολλοὶ θ' ἀπαλλαγοῦν ἀπὸ τὸ κακὸν καὶ μάλιστα τελείως. Διότι τίποτε δὲν ἠμπορεῖ νὰ τοὺς προσελκύσῃ τόσον, ὅσον ἡ ἀγάπη. Καθ' ὅτι διὰ μὲν τὰ θαύματα καὶ τὰ σημεῖα ἐπὶ πλέον καὶ θὰ σὲ φθονήσουν, ἐνῷ δι' αὐτὸ καὶ θὰ σὲ θαυμάσουν καὶ θὰ σὲ ἀγαπήσουν, ἀφοῦ δὲ θὰ σ' ἀγαπήσουν, θὰ προχωρήσουν καὶ θὰ δεχθοῦν καὶ τὴν ἀλήθειαν τῆς πίστεως. Ἐὰν δὲ δὲν γίνεται ἀμέσως πιστός, μὴ ἀπορῇς, οὔτε νὰ βιάζεσαι, οὔτε νὰ ζητῇς ὅλα μαζί, ἀλλ' ἄφησε αὐτὸν ἐν τῷ μεταξὺ νὰ ἐπαινῇ, ν' ἀγαπᾷ,

καὶ εἰς τοῦτο ὁδῷ προϊὼν ἥξει.

Καὶ ἵνα μάθῃς σαφῶς ἡλίκον τοῦτό ἐστιν, ἄκουσον πῶς καὶ Παῦλος πρὸς δικαστὴν εἰσιὼν ἄπιστον ἀπελογεῖτο; «Μακάριον» γάρ, φησίν, «ἥγημαι ἐμαυτόν, μέλλων ἐπὶ σοῦ κρίνεσθαι». Ταῦτα δὲ ἔλεγεν, οὐ κολακεύων αὐτόν, ἄπαγε, ἀλλὰ διὰ τῆς ἡμερότητος κερδᾶναι βουλόμενος. Καὶ ἐκ μέρους ἐκέρδανε, καὶ τὸν δικαστὴν εἷλεν ὁ τέως κατάδικος εἶναι νομιζόμενος, καὶ τὴν νίκην αὐτὸς ὁ χειρωθεὶς ὁμολογεῖ λαμπρᾷ τῇ φωνῇ παρόντων ἁπάντων λέγων, «Ἐν ὀλίγῳ με πείθεις Χριστιανὸν γενέσθαι». Τί οὖν ὁ Παῦλος; «Ἐπὶ πλέον ἁπλοῖ τὴν σαγήνην καί φησιν· «Εὐξαίμην ἂν ἔγωγε μὴ μόνον σέ, ἀλλὰ καὶ τοὺς παρόντας ἅπαντας τοῦτο γενέσθαι ὅπερ ἐγώ, ἄνευ τῶν δεσμῶν τούτων».

Τί λέγεις, ὦ Παῦλε; «ἄνευ τῶν δεσμῶν»; Καί ποία σοι λοιπὸν παρρησία, εἰ ταῦτα αἰσχύνῃ καὶ φεύγεις, καὶ ταῦτα ἐπὶ δήμου τοσούτου; Οὐ πανταχοῦ τῶν ἐπιστολῶν ἐπὶ τῷ πράγματι τούτῳ καυχᾶσαι, καὶ δέσμιον σεαυτὸν καλεῖς, καὶ τὴν ἅλυσιν ἡμῖν ἀντὶ διαδήματος πανταχοῦ περιφέρεις; Τί τοίνυν γέγονε νῦν, ὅτι ἀπεύχῃ τὰ δεσμά; Οὐκ αὐτὸς ἀπεύχομαι, φησίν, οὐδὲ αἰσχύνομαι, ἀλλ' ἐκείνων τῇ ἀσθενείᾳ συγκαταβαίνω· οὔπω γὰρ χωροῦσι δέξασθαι τὸ καύχημα τὸ ἐμόν. Ἔμαθον δὲ παρὰ τοῦ δεσπότου μου μὴ ἐπιβάλλειν ἐπίβλημα ῥάκους ἀγνάφου ἐπὶ ἱματίῳ παλαιῷ· διὰ τοῦτο οὕτως εἶπον· Καὶ γὰρ διαβέβληνται πρὸς τὸ δόγμα τέως τὸ ἡμέτερον, καὶ πρὸς τὸν σταυρὸν ἀπεχθῶς ἔχουσιν. Ἂν τοίνυν καὶ τὰ δεσμὰ προσθῶ, μεῖζον τὸ μῖσος γίνεται. Διὰ τοῦτο ἀνεῖλον ταῦτα, ἵνα ἐκεῖνο εὐπαράδεκτον γένηται. Καὶ γὰρ ἐπονείδιστον αὐτοῖς εἶναι δοκεῖ τὸ δεδέσθαι, ἐπειδὴ μηδέπω τῆς παρ' ἡμῖν ἐγεύσαντο δόξης.

Δεῖ τοίνυν συγκαταβαίνειν. Ὅταν γὰρ μάθωσι φιλοσο-

23. Πράξ. 26, 2.
24. Πράξ. 26' 28.
25. Πράξ. 26, 29.

καὶ προχωρῶν αὐτὴν τὴν ὁδόν, θὰ φθάσῃ καὶ εἰς αὐτό.

Καὶ διὰ νὰ γνωρίσῃς σαφῶς πόσον μέγα εἶναι αὐτό, ἄκουσε πῶς ἀπελογήθη καὶ ὁ Παῦλος ὅταν ἐπαρουσιάσθη ἐνώπιον τοῦ δικαστοῦ. Διότι λέγει· «Θεωρῶ τὸν ἑαυτόν μου εὐτυχῆ διὰ τὸ ὅτι θὰ ἀπολογηθῶ ἐνώπιόν σου»[23]. Αὐτὰ δὲ τὰ εἶπεν ὄχι διὰ νὰ τὸν κολακεύσῃ, μακρὰν ἀπὸ αὐτό, ἀλλ' ἐπειδὴ ἤθελε νὰ τὸν κερδίσῃ μὲ τὸν ἥμερον τρόπον. Καὶ τὸν ἐκέρδισεν ὀλίγον καὶ ἐκυρίευσε τὸν δικαστὴν αὐτὸς ποὺ ἕως τότε ἐνομίζετο κατάδικος, καὶ τὴν νίκην αὐτὴν ὁμολογεῖ αὐτὸς ὁ ἴδιος ὁ ὁποῖος ὑπετάγη μεγαλοφώνως καὶ παρουσίᾳ ὅλων, λέγων· «Ἀκόμη ὀλίγον καὶ θὰ μὲ πείσῃς νὰ γίνω χριστιανός»[24]. Τί κάμνει λοιπὸν ὁ Παῦλος; Ἁπλώνει περισσότερον τὰ δίκτυα καὶ λέγει· «Θὰ ηὐχόμην εἰς τὸν Θεόν, εἴτε ἐντὸς ὀλίγου, εἴτε εἰς μακρὸν χρόνον, ὄχι μόνον ἐσύ, ἀλλὰ καὶ ὅλοι ὅσοι μὲ ἀκούσουν σήμερον, νὰ γίνουν τέτοιοι ὅπως εἶμαι ἐγώ, ἐκτὸς ἀπὸ αὐτὰς τὰς ἁλυσίδας»[25].

Τί λέγεις, Παῦλε; «ἐκτὸς ἀπὸ τὰς ἁλυσίδας»; Καὶ ποίαν οἰκειότητα καὶ θάρρος θὰ ἔχῃς πρὸς τὸν Θεὸν ὅταν ἐντρέπεσαι καὶ ἀποφεύγεις αὐτὰς καὶ μάλιστα ἐνώπιον τόσου λαοῦ; Δι' αὐτὸ τὸ πρᾶγμα δὲν καυχᾶσαι εἰς ὅλας τὰς ἐπιστολὰς καὶ ὀνομάζεις τὸν ἑαυτόν σου δέσμιον καὶ μᾶς παρουσιάζεις παντοῦ τὴν ἁλυσίδα ὡσὰν στέμμα; Τί ἔγινε τώρα λοιπὸν καὶ ἀπεύχεσαι τὰς ἁλυσίδας; Δὲν ἀπεύχομαι ὁ ἴδιος, λέγει, διὰ λογαριασμόν μου, οὔτε ἐντρέπομαι αὐτάς, ἀλλὰ κάμνω συγκατάβασιν εἰς τὴν ἀδυναμίαν ἐκείνων· διότι δὲν ἠμποροῦν νὰ ὑπομείνουν αὐτὸ ποὺ εἶναι καύχημα δι' ἐμέ. Ἀλλ' ἔχω διδαχθῆ ἀπὸ τὸν Κύριόν μου νὰ μὴ βάλλω συμπλήρωμα ἀπὸ καινουργὲς ὕφασμα διὰ νὰ ράψω παλαιὸν ἔνδυμα· δι' αὐτὸ εἶπον ἔτσι. Διότι εἶναι προκατειλημμένοι ἕως τώρα ἐναντίον τῆς πίστεώς μας καὶ διάκεινται ἐχθρικῶς πρὸς τὸν σταυρόν. Ἐὰν λοιπὸν προσθέσω καὶ τὰ δεσμά, τὸ μῖσος γίνεται μεγαλύτερον. Δι' αὐτὸ ἀφήρεσα αὐτά, διὰ νὰ γίνῃ εὐκόλως παραδεκτὴ ἡ πίστις. Διότι τὸ νὰ φυλακισθοῦν φαίνεται εἰς αὐτοὺς πολὺ ἐξευτελιστικόν, ἐπειδὴ οὐδέποτε ἐγεύθησαν τῆς ἰδικῆς μας δόξης.

Πρέπει λοιπὸν νὰ κάμνῃ συγκατάβασιν. Διότι ὅταν μά-

φεῖν, τότε εἴσονται καὶ τοῦ σιδήρου τούτου τὸ κάλλος, καὶ τὴν ἀπὸ τῶν δεσμῶν περιφάνειαν. Ἄλλοις γοῦν διαλεγόμενος, καὶ χάριν τὸ πρᾶγμα καλεῖ λέγων, ὅτι «Ἐδόθη ἡμῖν ἀπὸ Θεοῦ οὐ μόνον τὸ εἰς αὐτὸν πιστεύειν, ἀλλὰ καὶ τὸ ὑπὲρ αὐτοῦ πάσχειν». Τὸ δὲ τέως ἀγαπητὸν ἦν τὸ τὸν σταυρὸν τοὺς ἀκούοντας μὴ ἀπαισχυνθῆναι. Διὰ τοῦτο ὁδῷ πρόεισιν. Οὐδὲ γὰρ εἰς βασίλειά τις εἰσάγων τινά, πρὶν ἢ τὰ προπύλαια θεάσασθαι ἔξω ἑστῶτα, ἀναγκάζει κατοπτεύειν τὰ ἔνδον· οὕτω γὰρ οὐδὲ θαυμαστὰ φανεῖται, ἂν μή τις ἔνδον γενόμενος ἅπαντα καταμάθῃ.

7. Οὕτω τοίνυν καὶ ἡμεῖς τοῖς Ἑλλήνων παισὶ προσβάλωμεν, μετὰ συγκαταβάσεως, μετὰ ἀγάπης. Μεγάλη γὰρ αὕτη διδάσκαλος, καὶ ἱκανὴ καὶ πλάνης ἀπαγαγεῖν, καὶ τρόπον μεταρρυθμίσαι, καὶ πρὸς φιλοσοφίαν χειραγωγῆσαι, καὶ ἀπὸ λίθων ἀνθρώπους ἐργάσασθαι. Καὶ εἰ βούλει μαθεῖν αὐτῆς τὴν δύναμιν, ἄγε μοι ἄνδρα δειλὸν καὶ ψοφοειδῆ καὶ τὰς σκιὰς τρέμοντα, καὶ ὀργίλον καὶ τραχύν, καὶ θηρίον μᾶλλον ἢ ἄνθρωπον, καὶ λάγνον καὶ ἀσελγῆ, καὶ πᾶσαν ἔχοντα κακίαν, καὶ παράδος αὐτὸν ταῖς τῆς ἀγάπης χερσί, καὶ εἰς τὸ γυμνάσιον εἰσάγαγε τοῦτο, καὶ ὄψει ταχέως τὸν δειλὸν ἐκεῖνον καὶ ἄτολμον, ἀνδρεῖον καὶ μεγαλόψυχον γινόμενον καὶ πάντα τολμῶντα ῥᾳδίως. Καὶ τὸ δὴ θαυμαστόν, ὅτι οὐ τῆς φύσεως αὐτῷ μεταβληθείσης ταῦτα γίνεται, ἀλλ' ἐν αὐτῇ τῇ δειλῇ ψυχῇ τὴν ἑαυτῆς ἐνδείκνυται δύναμιν ἡ ἀγάπη· καὶ ταὐτὸν γίνεται, οἷον ἂν εἴ τις μάχαιραν μολυβδίνην τὰ σιδήρου ἐργάζεσθαι παρασκευάζῃ, οὐ σιδηρᾶν ποιήσας, ἀλλὰ μένουσαν ἐπὶ τῆς τοῦ μολύβδου φύσεως.

Σκόπει δέ. Ὁ Ἰακὼβ ἄπλαστος ἦν οἰκῶν οἰκίαν, καὶ πόνων ἀμελέτητος καὶ κινδύνων, ἀνειμένον τινὰ βίον ζῶν καὶ ἐλεύθερον, καὶ καθάπερ παρθένος ἐν θαλάμῳ, οὕτω καὶ οὗτος ἔνδον καθήμενος τὰ πλείονα οἰκουρεῖν ἠναγκάζετο,

---

26. Φιλ. 1, 29

θουν νὰ ζοῦν καὶ νὰ σκέπτωνται ὀρθῶς, τότε θὰ γνωρίσουν καὶ τὴν ὡραιότητα αὐτῶν τῶν δεσμῶν καὶ τὴν λαμπρότητα τῆς φυλακῆς. Εἰς ἄλλους λοιπὸν ὅταν ὁμιλῇ, ὀνομάζει αὐτὸ τὸ πρᾶγμα καὶ χάρισμα μὲ τὸ νὰ λέγῃ ὅτι, «Μᾶς ἔχει δοθῆ ὡς χάρισμα ἀπὸ τὸν Θεὸν ὄχι μόνον τὸ νὰ πιστεύωμεν εἰς αὐτόν, ἀλλὰ καὶ τὸ νὰ πάσχωμεν δι' αὐτόν»[26]. Ἦτο δὲ ἀρκετὸν διὰ τὴν ὥραν τὸ νὰ μὴ ἐντραποῦν τὸν σταυρὸν αὐτοὶ ποὺ τὸν ἤκουον. Δι' αὐτὸ προχωρεῖ μεθοδικῶς. Διότι, ὅταν κανεὶς εἰσάγῃ κάποιον εἰς ἓν ἀνάκτορον, δὲν ἀναγκάζει αὐτὸν νὰ ἰδῇ τὰ ἐντὸς αὐτοῦ πρὶν σταθῇ καὶ ἰδῇ τὰ προπύλαια· ἔτσι λοιπὸν οὔτε, ἐὰν δὲν γνωρίσῃ τὰ πάντα, ἀφοῦ εἰσέλθῃ μέσα, θὰ φανοῦν θαυμαστά.

7. Ἔτσι λοιπὸν καὶ ἐμεῖς ἂς φερώμεθα καὶ εἰς τὰ παιδιὰ τῶν εἰδωλολατρῶν, μὲ συγκατάβασιν, μὲ ἀγάπην. Διότι αὐτὴ εἶναι μεγάλη διδάσκαλος καὶ ἱκανὴ καὶ ἀπὸ τὴν πλάνην ν' ἀπελευθερώσῃ καὶ πρὸς πίστιν καὶ ὀρθὸν τρόπον ζωῆς νὰ ὁδηγήσῃ καὶ ἀπὸ λίθους νὰ κάνῃ ἀνθρώπους. Καὶ ἐὰν θέλῃς νὰ γνωρίσῃς τὴν δύναμίν της, φέρε μου ἕνα ἄνδρα δειλὸν ποὺ νὰ φοβῆται μὲ τὸ παραμικρὸν καὶ νὰ τρέμῃ καὶ τὰς σκιάς, καὶ κάποιον ἄλλον ποὺ νὰ εἶναι ὀργίλος καὶ σκληρὸς καὶ νὰ ὁμοιάζῃ περισσότερον μὲ θηρίον παρὰ μὲ ἄνθρωπον, καὶ ἄλλον αἰσχρὸν καὶ ἀσελγῆ καὶ ποὺ νὰ ἔχῃ κάθε κακίαν, καὶ παράδωσε αὐτὸν εἰς τὰ χέρια τῆς ἀγάπης καὶ βάλε τον εἰς αὐτὸ τὸ γυμναστήριον καὶ θὰ ἰδῇς συντόμως ἐκεῖνον τὸν δειλὸν καὶ ἄτολμον νὰ γίνεται ἀνδρεῖος καὶ μεγαλόψυχος καὶ νὰ τολμᾷ τὰ πάντα χωρὶς δισταγμόν. Καὶ τὸ περισσότερον ἀξιοθαύμαστον, ὅτι αὐτὰ γίνονται χωρὶς νὰ ἀλλάξῃ ἡ φύσις του, ἀλλὰ μέσα εἰς τὴν ἰδίαν δειλὴν ψυχὴν δεικνύει τὴν δύναμίν της ἡ ἀγάπη· καὶ γίνεται τὸ ἴδιον ποὺ γίνεται ἐὰν κάποιος κατασκευάσῃ μάχαιραν ἀπὸ μόλυβδον ποὺ νὰ κατεργάζεται τὸν σίδηρον, καὶ τὸν κατεργάζεται, χωρὶς ν' ἀλλάξῃ φύσιν, παρ' ὅ,τι ἐξακολουθεῖ νὰ εἶναι ἀπὸ μόλυβδον.

Πρόσεχε δέ. Ὁ Ἰακὼβ ἦτο ἄψητος καὶ δὲν εἶχε γνωρίσει κόπους καὶ κινδύνους καὶ ἔζη ἄνετο βίον καὶ ἐλεύθερον καὶ ὅπως ἡ παρθένος εἰς τὸν παρθενικὸν θάλαμον ἔτσι καὶ αὐτὸς ἐκάθητο μέσα καὶ ἦτο ἠναγκασμένος νὰ ζῇ ἀ-

ἀγορᾶς μὲν καὶ τῶν ἐκ τῆς ἀγορᾶς θορύβων καὶ πάντων τῶν τοιούτων ἀπηλλαγμένος, διαπαντὸς δὲ ἐν ἀδείᾳ καὶ ἡσυχίᾳ μένων. Τί οὖν; Ἐπειδὴ αὐτὸν ὁ πυρσὸς τῆς ἀγάπης ἀνῆψε, τὸν ἄπλαστον τοῦτον καὶ οἰκοῦντα οἰκίαν ὅρα πῶς ἐποίησε καρτερικὸν καὶ φιλόπονον. Καὶ ταῦτα μὴ παρ' ἐμοῦ, ἀλλὰ παρ' αὐτοῦ ἄκουε τοῦ πατριάρχου. Ἐγκαλῶν γὰρ τῷ κηδεστῇ, φησί, «Ταῦτά μοι εἴκοσιν ἔτη ἐγώ εἰμι μετὰ σοῦ». Καὶ πῶς τὰ εἴκοσιν ἔτη ἐγένου; καὶ γὰρ καὶ τοῦτο προστίθει. «Συγκαιόμενος τῷ καύματι τῆς ἡμέρας, καὶ τῷ παγετῷ τῆς νυκτός, καὶ ἀφίστατο ὁ ὕπνος ἀπὸ τῶν ὀφθαλμῶν μου». Ταῦτα ὁ ἄπλαστος καὶ οἰκῶν οἰκίαν καὶ τὸν ἀνειμένον βίον ζῶν. Ὅτι δὲ καὶ δειλὸς ἦν, δῆλον ἐξ ὧν τὸν Ἠσαῦ προσδοκῶν ὄψεσθαι, ἀποτεθνήκει τῷ δέει. Ἀλλ' ὅρα πῶς πάλιν οὗτος ὁ δειλὸς ὑπὸ τῆς ἀγάπης λέοντος θρασύτερος γέγονε. Καθάπερ γάρ τινα πρόβολον ἑαυτὸν πρὸ τῶν ἄλλων τάξας ἁπάντων, ἕτοιμος ἦν τὸν ἄγριον ἐκεῖνον καὶ φόνου πνέοντα, καθὼς ᾤετο, δέξασθαι πρῶτος, καὶ ἐν τῷ οἰκείῳ σώματι ταῖς γυναιξὶ τὴν ἀσφάλειαν κατασκευάσαι· καὶ ὃν ἐδεδοίκει καὶ ἔφριττε, πρῶτος ἰδεῖν ἐπὶ τῆς παρατάξεως ἐπεθύμει. Τοῦ γὰρ φόβου τούτου δυνατώτερος ἦν ὁ τῶν γυναικῶν πόθος.

Εἶδες πῶς δειλὸς ὤν, τολμητὴς γέγονεν ἀθρόον, οὐ τὴν ἕξιν μεταβαλών, ἀλλ' ὑπὸ τῆς ἀγάπης κρατηθείς; Ὅτι γὰρ καὶ μετὰ ταῦτα δειλὸς ἦν, δῆλον ἐξ ὧν τόπους ἐκ τόπων ἀμείβει. Ἀλλὰ μηδεὶς νομιζέτω κατηγορίαν εἶναι τοῦ δικαίου τὰ εἰρημένα. Οὐ γὰρ τὸ δειλὸν εἶναι, ἔγκλημα· τοῦτο γὰρ φύσεως· ἀλλὰ τὸ διὰ δειλίαν ποιεῖν τι τῶν μὴ προσηκόντων. Ἔστι γὰρ καὶ δειλὸν ὄντα τῇ φύσει, ἀνδρεῖον γενέσθαι ὑπὸ τῆς εὐλαβείας. Τί δὲ ὁ Μωϋσῆς; οὐχὶ ἕνα Αἰγύπτιον φοβηθεὶς ἔφυγε, καὶ πρὸς τὴν ὑπερορίαν μετέστη; Ἀλλ' ὅμως ὁ φυγὰς οὗτος, καὶ ἑνὸς ἀνδρὸς ἀπει-

27. Γεν. 31, 38.
28. Γεν. 31, 40.

πρακτος, ἀπὸ τὴν μὲν ἀγορὰν καὶ τοὺς θορύβους της καὶ ὅλα τὰ συναφῆ ἀπηλλαγμένος, παραμένων δὲ συνεχῶς εἰς ἡσυχίαν καὶ ἄνεσιν. Τί ἔγινε λοιπόν; Ἐπειδὴ ἥναψεν αὐτὸν ὁ πυρσὸς τῆς ἀγάπης, αὐτὸν τὸν ἄψητον καὶ κλεισμένον εἰς τὴν οἰκίαν του, κοίταξε πῶς τὸν ἔκανε καρτερικὸν καὶ ἀκούραστον. Καὶ αὐτὰ ὄχι ἀπὸ ἐμένα, ἀλλ' ἀπὸ τὸν ἴδιον τὸν πατριάρχην ἄκουσέ τα. Ὅταν λοιπὸν κατηγορῇ τὸν πενθερόν, λέγει, «Εἴκοσι ἔτη ἐργάζομαι μαζί σου»[27]. Καὶ πῶς ἔγινες εἰς αὐτὰ τὰ εἴκοσι ἔτη; διότι καὶ αὐτὸ πρέπει νὰ ὑπολογίσῃς. «Διὰ τὴν φύλαξιν τῶν προβάτων σου ἐκαιόμην κατὰ τὴν ἡμέραν ἀπὸ τὴν ζέστην καὶ τὴν νύκτα ἀπὸ τὸν παγετὸν ἦτο ἀδύνατον νὰ κοιμηθῶ»[28]. Αὐτὰ ὑπέμεινεν ὁ ἄψητος καὶ αὐτὸς ποὺ ἦτο κλεισμένος εἰς τὴν οἰκίαν καὶ ἔζη βίον ἄνετον. Ὅτι ἦτο δὲ καὶ δειλὸς εἶναι φανερὸν ἀπὸ τὸ ὅτι ὅταν ἐπρόκειτο νὰ ἰδῇ τὸν Ἠσαῦ ἀπέθνησκεν ἀπὸ τὸν φόβον. Ἀλλὰ κοίταξε πῶς πάλιν αὐτὸς ὁ δειλὸς ἀπὸ τὴν ἀγάπην ἔγινε τολμηρότερος ἀπὸ λέοντα. Διότι, ἀφοῦ ἔταξε τὸν ἑαυτόν του ἐμπρὸς ἀπὸ τοὺς ἄλλους ὡσὰν προπύργιον, ἦτο ἕτοιμος νὰ ὑποδεχθῇ πρῶτος ἐκεῖνον τὸν ἄγριον καὶ κακοῦργον, ὅπως ἐνόμιζε, καὶ εἰς τὸ ἰδικόν του σῶμα νὰ θεμελιώσῃ τὴν ἀσφάλειαν τῶν γυναικῶν· καὶ αὐτὸν ποὺ ἐφοβεῖτο καὶ ἔτρεμε, πρῶτος εἰς τὴν παράταξιν ἐπεθύμει νὰ ἰδῇ. Διότι ἀπὸ αὐτὸν τὸν φόβον ἦτο ἰσχυροτέρα ἡ ἀγάπη τῶν γυναικῶν.

Εἶδες πῶς, ἐνῷ ἦτο δειλός, ἔγινεν ἀμέσως τολμηρός, ὄχι διότι μετέβαλε τὴν ἰδιοσυγκρασίαν του, ἀλλὰ διότι ἐκρατήθη ἀπὸ τὴν ἀγάπην; Διότι τὸ ὅτι καὶ μετὰ ἀπὸ αὐτὰ ἦτο δειλός, εἶναι φανερὸν ἀπὸ τὸ ὅτι μεταβαίνει ἀπὸ τόπον εἰς τόπον. Ἀλλὰ κανεὶς ἂς μὴ θεωρήσῃ ὅτι τὰ λεχθέντα εἶναι κατηγορία κατὰ τοῦ δικαίου. Διότι δὲν εἶναι ἀξιοκατάκριτον νὰ εἶναι κανεὶς δειλός, ἀφοῦ αὐτὸ ἀνήκει εἰς τὴν φύσιν· ἀλλὰ τὸ νὰ μὴ κάμνῃ κανεὶς αὐτὰ ποὺ πρέπει ἐξ αἰτίας τῆς δειλίας. Διότι εἶναι δυνατὸν καὶ κάποιος ποὺ εἶναι δειλὸς εἰς τὴν φύσιν του, νὰ γίνῃ ἀνδρεῖος ἐξ αἰτίας τῆς εὐλαβείας. Τί ἔκαμεν ἐπίσης καὶ ὁ Μωϋσῆς; δὲν ἔφυγεν ἐπειδὴ ἐφοβήθη ἕνα Αἰγύπτιον καὶ μετέβη εἰς ἄλλην χώραν; Καὶ ὅμως αὐτὸς ὁ φυγάς, ὁ ὁποῖος δὲν ὑπέμεινε

λὴν οὐκ ἐνεγκών, ἐπειδὴ ἐγεύσατο τοῦ μέλιτος τῆς ἀγάπης, καλῶς καὶ μηδενὸς καταναγκάζοντος συναπολέσθαι τοῖς ἀγαπωμένοις ἠπείγετο. «Εἰ μὲν» γὰρ «ἀφῇς αὐτοῖς τὴν ἁμαρτίαν», φησίν, «ἄφες· εἰ δὲ μή, κἀμὲ ἐξάλειψον ἐκ τῆς βίβλου ἧς ἔγραψας». Ὅτι δὲ καὶ τὸν θρασὺν ἐπιεικῆ, καὶ τὸν ἀσελγῆ σώφρονα ποιεῖ τὸ φιλεῖν, οὐδὲ παραδειγμάτων ἡμῖν ἐνταῦθα χρεία λοιπόν· πᾶσι γὰρ τοῦτο δῆλον· κἂν θηρίου παντός τις ἀγριώτερος ᾖ, προβάτου παντὸς ἡμερώτερος ἀπὸ τοῦ φιλεῖν γίνεται. Τί γὰρ τοῦ Σαοὺλ ἀγριώτερον ἦν καὶ μανικώτερον; Ἀλλ' ἡνίκα τὸν ἐχθρὸν ἀπέλυσεν ἡ θυγάτηρ, οὐδὲ ῥῆμα πρὸς αὐτὴν ἐξέβαλε πικρόν. Καὶ ὁ τοὺς ἱερέας ἄρδην ἅπαντας κατασφάξας διὰ τὸν Δαυΐδ, τὴν θυγατέρα ὁρῶν ἐκ τῆς οἰκίας αὐτὸν ἀφεῖσαν, οὐδὲ μέχρι λόγου πρὸς αὐτὴν ἠγανάκτησε, καὶ ταῦτα ἀπάτης τοσαύτης ἐπ' αὐτὸν συντεθείσης· δυνατωτέρῳ γὰρ χαλινῷ τῷ τῆς ἀγάπης κατείχετο.

Ὥσπερ δὲ ἐπιεικεῖς οὕτω καὶ σώφρονα οἶδεν αὕτη ποιεῖν. Κἂν τὴν ἑαυτοῦ τις ἀγαπᾷ γυναῖκα οὕτως, ὡς ἀγαπᾶν δεῖ, κἂν μυριάκις ἀσελγὴς ᾖ, οὐκ ἀνέξεται ἑτέραν ἰδεῖν διὰ τὸν πρὸς ἐκείνην πόθον. «Κραταιὰ» γάρ, φησίν, «ὡς θάνατος, ἡ ἀγάπη». Ὥστε οὐδαμόθεν ἄλλοθεν τὸ ἀσελγαίνειν γίνεται, ἢ ἐκ τοῦ μὴ φιλεῖν. Ἐπεὶ οὖν δημιουργὸς ἀρετῆς ἁπάσης ἡ ἀγάπη, μετὰ ἀκριβείας ἁπάσης ἐν ταῖς ἑαυτῶν καταφυτεύσωμεν αὐτὴν ψυχαῖς, ἵνα ἡμῖν πολλὰ κομίσῃ τὰ ἀγαθά, καὶ βρύοντα αὐτῆς διηνεκῶς τὸν καρπὸν ἔχωμεν, τὸν ἀεὶ τεθηλότα καὶ οὐδέποτε μαραινόμενον. Οὕτω γὰρ καὶ τῶν αἰωνίων ἐπιτευξόμεθα ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ σὺν τῷ ἁγίῳ καὶ ἀγαθῷ Πνεύματι δόξα εἰς τοὺς αἰῶνας. Ἀθήν.

---

29. Ἐξ. 32, 31.
30. Ἆσμ. Ἀσμ. 8, 6.

τὴν ἀπειλὴν ἑνὸς ἀνδρός, ὅταν ἐγεύθη τὸ μέλι τῆς ἀγάπης, μὲ εὐχαρίστησιν καὶ χωρὶς νὰ τὸν ἀναγκάζῃ κανεὶς ἐπεθύμει νὰ χαθῇ μαζὶ μὲ αὐτοὺς ποὺ ἠγάπα. Διότι, «Ἐὰν θέλῃς νὰ συγχωρήσῃς αὐτούς, συγχώρησέ τους», λέγει, «ἐὰν δὲν τοὺς συγχωρήσῃς, ἐξάλειψε μαζὶ μὲ αὐτοὺς καὶ ἐμὲ ἀπὸ τὸ βιβλίον τῆς ζωῆς ποὺ μὲ ἔχεις γραμμένον»[29]. Διὰ τὸ ὅτι δὲ ἡ ἀγάπη καθιστᾷ καὶ τὸν αὐθάδη μετριόφρονα καὶ τὸν ἀσελγῆ σώφρονα, δὲν μᾶς χρειάζονται πλέον παραδείγματα· διότι εἶναι καταφανές· καὶ ἂν ἀκόμη κανεὶς εἶναι ἀγριώτερος ἀπὸ κάθε θηρίον, γίνεται ἡμερώτερος καὶ ἀπὸ πρόβατον ἐξ αἰτίας τῆς ἀγάπης. Διότι ποῖος ἦτο ἀγριώτερος καὶ λυσσωδέστερος ἀπὸ τὸν Σαούλ; Ὅταν ὅμως ἡ κόρη του ἄφησεν ἐλεύθερον τὸν ἐχθρόν, οὔτε πικρὸν λόγον εἶπε πρὸς αὐτήν. Καὶ αὐτὸς ποὺ κατέσφαξεν ἐξ αἰτίας τοῦ Δαυῒδ ὅλους τοὺς ἱερεῖς, ὅταν εἶδε τὴν θυγατέρα του νὰ ἔχῃ ἀφήσει αὐτὸν ἀπὸ τὴν οἰκίαν, δὲν ἠγανάκτησε μὲ αὐτὴν οὔτε τόσον ὅσον διὰ νὰ εἰπῇ ἕνα γεμᾶτον ἀπὸ ὀργὴν λόγον, καὶ αὐτὸ παρ' ὅ,τι ἐξηπατήθη εἰς τέτοιον βαθμόν· διότι κατείχετο μὲ τὸν χαλινὸν τῆς ἀγάπης ποὺ ἦτο δυνατώτερος.

Ὅπως ἀκριβῶς δὲ κάμνει μετριόφρονας, ἔτσι γνωρίζει νὰ κάμνῃ καὶ σώφρονας ἡ ἀγάπη. Καὶ ἐὰν κάποιος ἀγαπᾷ τὴν γυναῖκα του ἔτσι ὅπως πρέπει νὰ τὴν ἀγαπᾷ, ἀκόμη καὶ ἂν εἶναι πάρα πολὺ ἀσελγής, δὲν θ' ἀνεχθῇ νὰ ἰδῇ ἄλλην ἐξ αἰτίας τῆς ἀγάπης του πρὸς ἐκείνην. Διότι, λέγει, «ἡ ἀγάπη εἶναι δυνατὴ ὡσὰν τὸν θάνατον»[30]. Ὥστε ἀπὸ πουθενὰ ἀλλοῦ δὲν προέρχεται ἡ ἀσέλγεια, παρὰ ἀπὸ τὴν ἀπουσίαν τῆς ἀγάπης. Ἐπειδὴ λοιπὸν δημιουργὸς κάθε ἀρετῆς εἶναι ἡ ἀγάπη, μὲ κάθε φροντίδα ἂς φυτεύσωμεν αὐτὴν εἰς τὰς ψυχάς μας, διὰ νὰ μᾶς φέρῃ πολλὰ ἀγαθὰ καὶ νὰ ἔχωμεν τὸν καρπόν της νὰ ἀναβλύζῃ παντοτεινά, ποὺ ἀνθεῖ πάντοτε καὶ ποτὲ δὲν μαραίνεται. Διότι ἔτσι θὰ ἐπιτύχωμεν καὶ τὰ αἰώνια ἀγαθά, τὰ ὁποῖα εἴθε νὰ ἐπιτύχωμεν ὅλοι μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖον εἰς τὸν Πατέρα καὶ εἰς τὸ ἅγιον καὶ ἀγαθὸν Πνεῦμα ἀνήκει δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΛΟΓΟΣ ΛΔ΄
Α΄ Κορ. 13, 8 — 13, 13

«Εἴτε δὲ προφητεῖαι, καταργηθήσονται· εἴτε γλῶσσαι, παύσονται· εἴτε γνῶσις καταργηθήσεται».

1. Δείξας τῆς ἀγάπης τὴν ὑπερβολὴν ἐκ τοῦ καὶ τὰ χαρίσματα καὶ τὰ τοῦ βίου κατορθώματα, αὐτῆς δεῖσθαι ἐκ τοῦ τὰς ἀρετὰς αὐτῆς ἀριθμῆσαι πάσας, καὶ φιλοσοφίας ἀκριβοῦς ὑπόθεσιν ἀποφῆναι, ἐξ ἑτέρου πάλιν τρίτου κεφαλαίου δείκνυσιν αὐτῆς τὴν ἀξίαν. Καὶ ταῦτα ποιεῖ, τούς τε ἠλαττῶσθαι δοκοῦντας πεῖσαι θέλων, ὅτι ἔξεστιν αὐτοῖς τὸ κεφάλαιον τῶν σημείων ἔχειν, καὶ οὐδὲν ἔλαττον ἕξουσι τῶν ἐχόντων τὰ χαρίσματα, εἰ ταύτην ἔχοιεν, ἀλλὰ καὶ πολλῷ πλέον· τούς τε ἔχοντας τὰ μεγάλα χαρίσματα πάλιν, καὶ ἐντεῦθεν ἐπαιρομένους, ταπεινῶσαι σπουδάζων, καὶ δεῖξαι μηδὲν ἔχοντας, ἐὰν μὴ ταύτην ἔχωσιν. Οὕτω γὰρ ἔμελλόν τε ἀλλήλους ἀγαπᾶν, βασκανίας τε καὶ ἀπονοίας ἐντεῦθεν ἀναιρουμένης, ἀγαπῶντές τε πάλιν πορρωτέρω ταῦτα ἐξώριζον τὰ πάθη. «Ἡ» γὰρ «ἀγάπη οὐ ζηλοῖ, οὐ φυσιοῦται». Ὥστε πανταχόθεν τεῖχος αὐτοῖς ἄρραγὲς περιέβαλε, καὶ πολύπλοκον ὁμόνοιαν, ἀναιροῦσάν τε τὰ νοσήματα ἅπαντα, καὶ ἐντεῦθεν πάλιν ἰσχυροτέραν γινομένην. Διὰ τοῦτο καὶ μυρίους ἐκίνησε λογισμοὺς τοὺς δυναμένους αὐτῶν παραμυθήσασθαι τὴν ἀθυμίαν. Καὶ γὰρ τὸ αὐτὸ Πνεῦμα δίδωσι, φησί, καὶ πρὸς τὸ συμφέρον δίδωσι, καὶ ὡς βούλεται διαιρεῖ, καὶ χαριζόμενον, οὐκ ὀφεῖλον διαιρεῖ· κἂν μικρὸν λάβῃς, ὁμοίως εἰς τὸ σῶμα τελεῖς, καὶ πολλῆς καὶ οὕτως ἀπολαύεις τιμῆς· καὶ ὁ τὸ

1. Α΄ Κορ. 12, 8.

ΛΟΓΟΣ ΛΔ΄
Α΄ Κορ. 13, 8 — 13, 13

«Εἴτε προφητεῖαι ὑπάρχουν τώρα θὰ καταργηθοῦν, εἴτε χαρίσματα γλωσσῶν καὶ αὐτὰ θὰ παύσουν, εἴτε γνῶσις ὑπάρχει θὰ καταργηθῇ καὶ αὐτή»[1].

1. Ἀφοῦ ἔδειξε τὴν ὑπεροχὴν τῆς ἀγάπης ἀπὸ τὸ ὅτι καὶ τὰ χαρίσματα καὶ τὰ κατορθώματα τοῦ βίου ἔχουν ἀπὸ αὐτήν, ἀπὸ τὸ ὅτι ἀπηρίθμησεν ὅλα τὰς ἀρετάς της καὶ ἔδειξεν ὅτι εἶναι θεμέλιον τελείας πίστεως καὶ ζωῆς, ἀπὸ ἄλλο πάλιν τρίτον κεφαλαιῶδες πρᾶγμα δεικνύει τὴν ἀξίαν της. Καὶ αὐτὰ τὰ κάμνει ἐπειδὴ θέλει νὰ πείσῃ καὶ αὐτοὺς ποὺ νομίζουν ὅτι ἔχουν ὑποτιμηθῆ ὅτι εἶναι δυνατὸν εἰς αὐτοὺς νὰ ἔχουν τὸ ἀποκορύφωμα τῶν σημείων καὶ δὲν θὰ ὑστεροῦν εἰς τίποτε ἀπὸ αὐτοὺς ποὺ ἔχουν τὰ χαρίσματα ἐὰν ἔχουν τὴν ἀγάπην, ἀλλὰ καὶ πολὺ περισσότερον θὰ ἔχουν, καὶ αὐτοὺς ποὺ ἔχουν τὰ μεγάλα χαρίσματα πάλιν καὶ ὑπερηφανεύονται δι' αὐτὸ προσπαθεῖ νὰ ταπεινώσῃ καὶ νὰ δείξῃ ὅτι δὲν ἔχουν τίποτε, ἐὰν δὲν ἔχουν ἀγάπην. Διότι ἔτσι θὰ ἐβασίλευεν ἡ ἀγάπη μεταξύ των καὶ ἀφοῦ θὰ ἐξηλείφετο ἀπὸ αὐτὸ ὁ φθόνος καὶ ἡ ἀνόητος κενοδοξία, καὶ καθὼς θὰ ἠγαπῶντο περισσότερον θὰ ἐξερρίζωνον αὐτὰ τὰ πάθη. Διότι «ἡ ἀγάπη δὲν φθονεῖ, δὲν ὑπερηφανεύεται». Ὥστε ἀπὸ κάθε πλευρὰν τοὺς περιέζωσε μὲ τεῖχος ἀκλόνητον καὶ μὲ ὁμόνοιαν πολὺ πλεγμένην ὥστε νὰ μὴ διαλύεται καὶ νὰ ἐξαλείφῃ ὅλας τὰς νόσους καὶ νὰ γίνεται ἀπὸ αὐτὸ πάλιν ἰσχυροτέρα. Δι' αὐτὸ καὶ ἐξέθεσεν ἀπείρους συλλογισμοὺς ποὺ ἦσαν ἱκανοὶ νὰ παρηγορήσουν τὴν θλῖψιν των. Διότι καὶ τὸ ἴδιον Πνεῦμα δίδει, λέγει, καὶ ὅπως συμφέρει δίδει, καὶ ὅπως θέλει διανέμει καὶ ἀφοῦ χαρίζει δὲν δίδει ἀπὸ ὑποχρέωσιν· καὶ εἴτε μικρὸν χάρισμα λάβῃς ἐξ ἴσου συντελεῖς εἰς τὴν συγκρότησιν τοῦ σώματος καὶ ἀπολαμβάνεις καὶ ἔτσι πολλῆς τι-

μεῖζον ἔχων, σοῦ τοῦ τὸ ἔλαττον ἔχοντος δεῖται· καὶ ὅτι τὸ μέγιστον χάρισμα καὶ ἡ καθ' ὑπερβολὴν ὁδός ἐστιν ἡ ἀγάπη.

Ταῦτα δὲ ἔλεγε, διπλῇ περισφίγγων αὐτοὺς ἀλλήλοις, τῷ τε μὴ νομίζειν ἠλαττῶσθαι ταύτης παρούσης, καὶ τῷ ἐπιδραμόντας αὐτῇ καὶ ἑλόντας, μηδὲν πάσχειν λοιπὸν ἀνθρώπινον, καὶ ὡς τὴν ῥίζαν ἔχοντας τῶν χαρισμάτων, καὶ ὡς οὐκέτι δυναμένους, οὐδὲ εἰ μηδὲν εἶχον, φιλονεικεῖν. Ὁ γὰρ ἁλοὺς ἅπαξ ὑπὸ τῆς ἀγάπης, φιλονεικίας ἀπήλλακτο. Διὸ καὶ δεικνὺς αὐτοῖς, ὅσα ἐντεῦθεν καρπώσονται τὰ ἀγαθά, τοὺς καρποὺς αὐτῆς ὑπέγραψε, διὰ τῶν ἐγκωμίων αὐτῆς τὰ ἐκείνων νοσήματα καταστέλλων. Καὶ γὰρ τῶν εἰρημένων ἕκαστον φάρμακον ἱκανὸν ἦν τοῖς ἐκείνων τραύμασιν ἀρκέσαι. Διὸ καὶ ἔλεγε, «μακροθυμεῖ», πρὸς ἀλλήλοις φιλονεικοῦντας· «χρηστεύεται», πρὸς τοὺς διεστῶτας καὶ ὑπούλους· «οὐ ζηλοῖ», πρὸς τοὺς βασκαίνοντας τοῖς ὑπερέχουσιν· «οὐ περπερεύεται», πρὸς τοὺς διασπασθέντας· «οὐ φυσιοῦται», πρὸς τοὺς καταλαζονευομένους αὐτῶν· «οὐκ ἀσχημονεῖ», πρὸς τοὺς οὐκ ὀφείλοντας συγκαταβαίνειν· «οὐ ζητεῖ τὸ ἑαυτῆς», πρὸς τοὺς ὑπερορῶντας τῶν λοιπῶν· «οὐ παροξύνεται, οὐ λογίζεται τὸ κακόν», πρὸς τοὺς ὑβριζομένους· «οὐ χαίρει ἐπὶ τῇ ἀδικίᾳ, συγχαίρει δὲ τῇ ἀληθείᾳ», πρὸς τοὺς βασκαίνοντας πάλιν· «πάντα στέγει», πρὸς τοὺς ἐπιβουλευομένους· «πάντα ἐλπίζει», πρὸς τοὺς ἀπογινώσκοντας· «πάντα ὑπομένει, οὐδέποτε ἐκπίπτει», πρὸς τοὺς εὐκόλως διισταμένους.

Ἐπεὶ οὖν πανταχόθεν αὐτὴν μεγάλην ἔδειξε μεθ' ὑπερβολῆς ἁπάσης, πάλιν ἐξ ἑτέρου κεφαλαίου μεγίστου τοῦτο ποιεῖ, κατὰ σύγκρισιν ἑτέραν ἐπαίρων αὐτῆς τὸ ἀξίωμα, καὶ

---

2. Α΄ Κορ. 13. 9-10.

μῆς· καὶ αὐτὸς ποὺ ἔχει τὸ μεγαλύτερον ἔχει ἀνάγκην ἀπὸ ἐσένα ποὺ ἔχεις τὸ μικρότερον· καὶ ὅτι τὸ μέγιστον χάρισμα καὶ ἡ κατ' ἐξοχὴν ὁδὸς τῆς τελειότητος εἶναι ἡ ἀγάπη.

Αὐτὰ δὲ τὰ ἔλεγε διὰ νὰ τοὺς συσφίγγῃ ἀπὸ κάθε πλευρὰν μεταξύ των, καὶ διὰ νὰ μὴ αἰσθάνωνται ὅτι ὑπετιμήθησαν ἀφοῦ ὑπάρχει ἡ ἀγάπη, καὶ διὰ νὰ μὴ ὑποτάσσωνται εἰς τὸ ἑξῆς εἰς κατώτερα πάθη ἀφοῦ τρέξουν πρὸς τὴν ἀγάπην καὶ τὴν ἀποκτήσουν, καὶ διὰ νὰ μὴ φιλονεικοῦν ὡσὰν νὰ μὴ εἶχον τίποτε καὶ νὰ μὴ ἤξιζον τίποτε, ἐνῷ θὰ ἔχουν τὴν ρίζαν τῶν χαρισμάτων. Διότι αὐτὸς ποὺ ἐκυριεύθη μίαν φορὰν ἀπὸ τὴν ἀγάπην, ἔχει ἐντελῶς ἀπαλλαγῆ ἀπὸ τὴν φιλονεικίαν. Δι' αὐτὸ καὶ δεικνύων εἰς αὐτοὺς πόσα ἀγαθὰ θὰ καρπωθοῦν ἀπὸ τὴν ἀγάπην, περιέγραψε τοὺς καρπούς της διὰ νὰ καταπραΰνη τὰ νοσήματά τους μὲ τοὺς ἐπαίνους τῆς ἀγάπης. Διότι τὸ καθὲν ἀπὸ αὐτὰ ποὺ ἐλέχθησαν ἦτο φάρμακον ἱκανὸν διὰ νὰ ἐπουλώσῃ τὰ τραύματά των. Δι' αὐτὸ καὶ ἔλεγεν, «εἶναι μακρόθυμος», δι' αὐτοὺς ποὺ φιλονεικοῦν μεταξύ των· «εὐεργετεῖ», πρὸς αὐτοὺς ποὺ ἦσαν εἰς διχόνοιαν καὶ τοὺς κακούς· «δὲν φθονεῖ», πρὸς αὐτοὺς ποὺ φθονοῦν ἐκείνους ποὺ ὑπερέχουν εἰς τὰ χαρίσματα· «δὲν καυχᾶται», πρὸς αὐτοὺς ποὺ ὑπερηφανεύοντο εἰς βάρος τῶν ἄλλων· «δὲν πράττει ἀσχημίας», πρὸς ἐκείνους ποὺ πρέπει νὰ δεικνύουν συγκατάβασιν» «δὲν ζητεῖ τὸ συμφέρον της», πρὸς ἐκείνους ποὺ παραβλέπουν τοὺς ἄλλους· «δὲν ὀργίζεται, δὲν σκέπτεται τὸ κακόν», πρὸς ἐκείνους ποὺ κακομετεχειρίζοντο τοὺς ἄλλους· «δὲν χαίρει διὰ τὸ κακόν, ἀλλὰ συγχαίρει εἰς τὴν ἀλήθειαν», πρὸς ἐκείνους ποὺ ἐφθόνουν πάλιν· «ὅλα τὰ ἀνέχεται», πρὸς ἐκείνους ποὺ ἐπιβουλεύονται συνανθρώπους· «ἐλπίζει διὰ τὸ κάθε τι», πρὸς ἐκείνους ποὺ ἀπελπίζονται· «τὰ πάντα ὑπομένει, δὲν ἐκπίπτει ποτέ», πρὸς ἐκείνους ποὺ ἀποχωρίζονται εὐκόλως.

Ἀφοῦ λοιπὸν ἔδειξε μὲ κάθε ὑπερβολὴν τὸ μεγαλεῖον τῆς ἀγάπης, πάλιν ἀπὸ ἄλλην μεγίστην κορυφὴν κάμνει τὸ ἴδιον καὶ ἐξυψώνει τὴν ἀξίαν της μὲ νέαν σύγκρισιν καὶ

λέγων οὕτως· «Εἴτε δὲ προφητεῖαι, καταργηθήσονται· εἴτε γλῶσσαι, παύσονται»· Εἰ γὰρ ἀμφότερα ταῦτα τῆς πίστεως ἕνεκεν εἰσενήνεκται, ταύτης πανταχοῦ διασπαρείσης, περιττὴ τούτων ἡ χρεία λοιπόν. Ἀλλ' οὐ τὸ ἀγαπᾶν ἀλλήλους παυθήσεται, ἀλλὰ καὶ ἐπιδώσει μειζόνως, καὶ ἐνταῦθα καὶ κατὰ τὸ μέλλον, καὶ τότε μᾶλλον ἢ νῦν. Ἐνταῦθα μὲν γὰρ πολλὰ τὰ χαυνοῦντα τὴν ἀγάπην, χρήματα, πράγματα, πάθη σωμάτων, νοσήματα ψυχῆς· ἐκεῖ δὲ οὐδὲν τούτων. Ἀλλὰ τὸ μὲν προφητείας καταργεῖσθαι καὶ γλώσσας, θαυμαστὸν οὐδέν· τὸ δὲ γνῶσιν καταργεῖσθαι, τοῦτό ἐστι τὸ τὴν ἀπορίαν ποιοῦν. Καὶ γὰρ καὶ τοῦτο προσέθηκεν εἰπών, «Εἴτε γνῶσις, καταργηθήσεται». Τί οὖν; ἐν ἀγνωσίᾳ μέλλομεν ζῆν τότε; Ἄπαγε· καὶ γὰρ τότε μάλιστα ἐπιταθῆναι εἰκὸς τὴν γνῶσιν. Διὸ καὶ ἔλεγε, «Τότε ἐπιγνώσομαι, καθὼς καὶ ἐπεγνώσθην». Διά τοι τοῦτο, ἵνα μὴ ὁμοίως τῇ προφητείᾳ καὶ ταῖς γλώσσαις καὶ ταύτην καταργεῖσθαι νομίσῃς, εἰπών, «εἴτε γνῶσις, καταργηθήσεται», οὐκ ἐσίγησεν, ἀλλ' ἐπήγαγε καὶ τὸν τρόπον τῆς καταργήσεως, ταχέως προσθεὶς τά, «Ἐκ μέρους γινώσκομεν, καὶ ἐκ μέρους προφητεύομεν. Ὅταν δὲ ἔλθῃ τὸ τέλειον, τότε τὸ ἐκ μέρους καταργηθήσεται». Οὐκ ἄρα ἡ γνῶσις καταργεῖται, ἀλλὰ τὸ μερικὴ εἶναι γνῶσις· οὐκέτι γὰρ τοσαῦτα εἰσόμεθα μόνον, ἀλλὰ καὶ πολλῷ πλείονα. Ἵνα δὲ καὶ ἐπὶ ὑποδείγματος αὐτὸ ποιήσω φανερόν, νῦν ἴσμεν ὅτι πανταχοῦ ἐστιν ὁ Θεός, ἀλλὰ πῶς, οὐκ ἴσμεν· ὅτι ἐξ οὐκ ὄντων τὰ ὄντα ἐποίησεν, ἴσμεν, τὸν δὲ τρόπον ἀγνοοῦμεν· ὅτι ἐκ παρθένου ἐτέχθη, πῶς δέ, οὐκέτι. Τότε δὲ εἰσόμεθά τι πλέον καὶ σαφέστερον περὶ τούτων.

2. *Εἶτα δείκνυσι καὶ τὸ μέσον ὅσον, καὶ ὅτι οὐ μικρὸν*

λέγει· «Εἴτε προφητεῖαι ὑπάρχουν τώρα θὰ καταργηθοῦν· εἴτε χαρίσματα γλωσσῶν καὶ αὐτὰ θὰ παύσουν». Διότι, ἐφ' ὅσον αὐτὰ ἐδόθησαν διὰ τὴν ἐξάπλωσιν τῆς πίστεως, ὅταν αὐτὴ διαδοθῇ παντοῦ, παύουν λοιπὸν αὐτὰ νὰ εἶναι ἀναγκαῖα. Τὸ ν' ἀγαπώμεθα ὅμως μεταξύ μας δὲν θὰ παύσῃ, ἀλλ' ἐπὶ πλέον καὶ θ' αὐξηθῇ περισσότερον καὶ ἐδῶ καὶ εἰς τὴν μέλλουσαν ζωήν, καὶ μάλιστα τότε περισσότερον ἀπὸ τώρα. Διότι ἐδῶ μὲν πολλὰ εἶναι αὐτὰ ποὺ χαλαρώνουν τὴν ἀγάπην, ὅπως χρήματα, πράγματα, σωματικὰ πάθη, ψυχικοὶ νόσοι, ἐνῷ ἐκεῖ τίποτε ἀπὸ αὐτά. Τὸ νὰ καταργοῦνται ὅμως χαρίσματα προφητείας καὶ γλωσσῶν, δὲν εἶναι ἄξιον ἀπορίας· ἀλλὰ τὸ νὰ καταργῆται ἡ γνῶσις, αὐτὸ εἶναι ποὺ δημιουργεῖ τὴν ἀπορίαν. Διότι καὶ αὐτὸ προσέθεσεν ὅταν εἶπεν, «εἴτε γνῶσις ὑπάρχει, θὰ καταργηθῇ καὶ αὐτή». Τί λοιπόν; εἰς ἄγνοιαν θὰ ζῶμεν τότε; Κάθε ἄλλο. Διότι τὸ φυσικὸν εἶναι ν' αὐξηθῇ περισσότερον ἡ γνῶσις τότε. Δι' αὐτὸ καὶ ἔλεγε, «τότε θὰ ἔχω πλήρη γνῶσιν, ὅπως εἶναι καὶ ἡ γνῶσις τοῦ Θεοῦ δι' ἐμέ». Δι' αὐτὸ ἀκριβῶς λοιπόν, διὰ νὰ μὴ νομίσῃς ὅτι θὰ καταργηθῇ καὶ αὐτὴ μὲ τὸν ἴδιον τρόπον ποὺ θὰ καταργηθοῦν τὰ χαρίσματα τῆς προφητείας καὶ τῶν γλωσσῶν, ὅταν εἶπεν, «εἴτε γνῶσις ὑπάρχει, θὰ καταργηθῇ», δὲν ἐσταμάτησεν ἐδῶ, ἀλλ' εἶπε καὶ τὸν τρόπον μὲ τὸν ὁποῖον θὰ καταργηθῇ, μὲ τὸ νὰ προσθέσῃ ἀμέσως τό, «Διότι τώρα μερικῶς καὶ ἀτελῶς γνωρίζομεν καὶ μερικῶς προφητεύομεν. Ὅταν ὅμως ἔλθῃ τὸ τέλειον, τότε τὸ μερικὸν θὰ καταργηθῇ». Ἄρα δὲν καταργεῖται ἡ γνῶσις, ἀλλ' ἡ μερικὴ γνῶσις· διότι δὲν θὰ γνωρίσωμεν μόνον τόσα, ἀλλὰ καὶ πολὺ περισσότερα. Διὰ νὰ κάνω δὲ φανερὸν αὐτὸ καὶ μὲ κάποιο παράδειγμα, τώρα γνωρίζομεν ὅτι ὁ Θεὸς εἶναι παντοῦ, ἀλλὰ μὲ ποῖον τρόπον, δὲν γνωρίζομεν· τὸ ὅτι ἐδημιούργησε τὰ πάντα ἀπὸ τὸ μὴ εἶναι, τὸ γνωρίζομεν, τὸν τρόπον τῆς δημιουργίας ὅμως δὲν τὸν γνωρίζομεν· γνωρίζομεν ὅτι ἐγεννήθη ἀπὸ Παρθένον, μὲ ποῖον τρόπον ὅμως, ὄχι. Τότε ὅμως θὰ γνωρίσωμεν κάτι περισσότερον καὶ σαφέστερον δι' αὐτά.

2. Ἀκολούθως δεικνύει πόση εἶναι καὶ ἡ ἀπόστασις

τὸ λειπόμενον, λέγων· «Ὅτε ἤμην νήπιος, ὡς νήπιος ἐλάλουν, ὡς νήπιος ἐφρόνουν, ὡς νήπιος ἐλογιζόμην· ὅτε δὲ γέγονα ἀνήρ, τὰ τοῦ νηπίου κατήργηκα». Καὶ δι' ἑτέρου δὲ παραδείγματος τὸ αὐτὸ πάλιν δηλοῖ λέγων· «Βλέπομεν γὰρ ἄρτι δι' ἐσόπτρου». Εἶτα ἐπειδὴ τὸ ἔσοπτρον παρίστησι τὸ ὁρώμενον ὁπωσδήποτε, ἐπήγαγεν, «Ἐν αἰνίγματι», μεθ' ὑπερβολῆς δεικνὺς μερικωτάτην τὴν παροῦσαν γνῶσιν. «Τότε δὲ πρόσωπον πρὸς πρόσωπον»· οὐχ ὡς πρόσωπον τοῦ Θεοῦ ἔχοντος, ἀλλ' ἵνα εἴπῃ σαφέστερον καὶ τρανότερον. Ὁρᾷς κατ' ἐπίδοσιν πάντα μανθάνοντας; Ἄρτι γινώσκω ἐκ μέρους, τότε δὲ ἐπιγνώσομαι καθὼς καὶ ἐπεγνώσθην». Εἶδες πῶς διπλῇ τὸ φύσημα αὐτῶν κατέσπασεν; ὅτι καὶ μερικὴ ἡ γνῶσις, καὶ οὐδὲ ταύτην οἴκοθεν ἔχουσιν. Οὐ γὰρ ἐγὼ αὐτὸν ἔγνων, ἀλλ' αὐτός με ἐγνώρισε, φησίν. Ὥσπερ οὖν αὐτός με ἔγνω πρότερος νῦν, καὶ αὐτός μοι ἐπέδραμεν, οὕτως ἐγὼ αὐτῷ ἐπιδραμοῦμαι τότε πολλῷ μειζόνως, ἢ νῦν. Καὶ γὰρ ὁ ἐν σκότῳ καθήμενος, ἕως μὲν ἂν μὴ βλέπῃ τὸν ἥλιον, οὐκ αὐτὸς ἐπιτρέχει τῷ κάλλει τῆς ἀκτῖνος, ἀλλ' ἐκείνη δείκνυσιν ἑαυτήν, ἐπειδὰν λάμψῃ· ὅταν δὲ αὐτῆς δέξηται τὴν αὐγήν, τότε καὶ αὐτὸς λοιπὸν διώκει τὸ φῶς. Τοῦτο οὖν ἐστι τό, «καθὼς καὶ ἐπεγνώσθην»· οὐχ ὅτι οὕτως αὐτὸν εἰσόμεθα, ὡς αὐτὸς ἡμᾶς, ἀλλ' ὅτι ὥσπερ αὐτὸς ἡμῖν ἐπέδραμε νῦν, οὕτως ἡμεῖς ἀνθεξόμεθα αὐτοῦ τότε, καὶ πολλὰ τῶν νῦν ἀπορρήτων εἰσόμεθα, καὶ τῆς μακαριωτάτης ἐκείνης ἀπολαύσομεν ὁμιλίας καὶ σοφίας.

Εἰ γὰρ ὁ τοσαῦτα εἰδὼς Παῦλος νήπιος, ἐννόησον ἡλίκα ἐκεῖνα· εἰ ταῦτα ἔσοπτρον καὶ αἴνιγμα, λογίζου μοι πάλιν ἐντεῦθεν τὸ πρόσωπον ἡλίκον ἐστίν. Ἵνα δέ σοι μικρόν τι

καὶ ὅτι αὐτὸ ποὺ ὑπολείπεται δὲν εἶναι ὀλίγον, μὲ τοὺς λόγους· «Ὅταν ἤμουν νήπιον ὡμιλοῦσα ὡσὰν νήπιον, ἐσκεπτόμουν ὡσὰν νήπιον, ἐσυλλογιζόμουν ὡσὰν νήπιον. Ὅταν ὅμως ἔγινα ἄνδρας, κατήργησα τοὺς νηπιακοὺς τρόπους». Ἀλλὰ καὶ μὲ ἄλλο παράδειγμα δεικνύει τὸ ἴδιον ὅταν λέγῃ· «Τώρα βλέπομεν ὡσὰν εἰς καθρέφτην». Ὕστερον, ἐπειδὴ ὁ καθρέπτης παριστᾷ ὁπωσδήποτε αὐτὸ ποὺ φαίνεται, προσέθεσεν «ἀμυδρῶς», διὰ νὰ δείξῃ πολὺ σαφῶς ὅτι εἶναι πάρα πολὺ μερικὴ αὐτὴ ἡ γνῶσις. «Τότε ὅμως θὰ βλέπωμεν πρόσωπον πρὸς πρόσωπον»· ὄχι διότι ἔχει πρόσωπον ὁ Θεός, ἀλλὰ διὰ νὰ ὁμιλήσῃ περισσότερον σαφῶς καὶ εἰλικρινῶς. Βλέπεις ὅτι τὰ πάντα γνωρίζομεν προοδευτικῶς; «Τώρα γνωρίζω μερικῶς, ἀλλὰ τότε θὰ ἔχω πλήρη γνῶσιν, ὅπως εἶναι καὶ ἡ γνῶσις τοῦ Θεοῦ δι' ἐμέ». Εἶδες πῶς μὲ διπλὸν τρόπον συνέτριψε τὴν ἀλαζονείαν των; μὲ τὸ ὅτι δηλαδὴ ἡ γνῶσις καὶ μερικὴ εἶναι καὶ δὲν τὴν ἔχουν ἀπὸ μόνοι των οὔτε αὐτὴν τὴν μερικήν. Διότι δὲν ἐγνώρισα ἐγὼ αὐτόν, ἀλλ' ἐκεῖνος ἐμένα, λέγει. Ὅπως λοιπὸν αὐτὸς μὲ ἐγνώρισε πρῶτος τώρα καὶ αὐτὸς ἦλθεν εἰς ἐμέ, ἔτσι ἐγὼ θὰ τρέξω τότε πρὸς αὐτὸν πολὺ περισσότερον ἀπὸ ὅσον τώρα. Διότι καὶ αὐτὸς ποὺ εὑρίσκεται εἰς σκότος, μέχρις ὅτου μὲν δὲν βλέπει τὸν ἥλιον, δὲν τρέχει αὐτὸς πρὸς τὴν ὡραιότητα τοῦ φωτός, ἀλλ' ἐκεῖνο δεικνύει τὸν ἑαυτόν του μὲ τὸ νὰ λάμψῃ· ὅταν ὅμως ἰδῇ τὴν λαμπρότητα, τότε λοιπὸν καὶ αὐτὸς σπεύδει πρὸς τὸ φῶς. Αὐτὸ σημαίνει τό, «ὅπως εἶναι καὶ ἡ γνῶσις τοῦ Θεοῦ δι' ἐμέ»· ὄχι ὅτι θὰ γνωρίσωμεν ἔτσι, ὅπως γνωρίζει ἐκεῖνος ἐμᾶς, ἀλλ' ὅτι ὅπως ἐκεῖνος ἔτρεξε τώρα εἰς ἐμᾶς, ἔτσι καὶ ἐμεῖς θὰ προσηλωθοῦμεν εἰς αὐτὸν τότε, καὶ πολλὰ ἀπὸ αὐτὰ ποὺ εἶναι τώρα ἀπόρρητα θὰ γνωρίσωμεν τότε καὶ θ' ἀπολαύσωμεν τὴν μακαριωτάτην ἐκείνην ὁμιλίαν καὶ σοφίαν.

Ἐὰν λοιπὸν ὁ Παῦλος, ποὺ ἐγνώρισε τόσα, εἶναι νήπιος, σκέψου πόσον μεγάλα εἶναι ἐκεῖνα· ἐὰν αὐτὰ εἶναι καθρέπτης καὶ αἴνιγμα, σκέψου πάλιν ἀπὸ αὐτὸ τί εἶναι τὸ νὰ ἰδῇ κανεὶς πρόσωπον πρὸς πρόσωπον τὸν Θεόν. Διὰ νὰ

παρανοίξω τῆς διαφορᾶς ταύτης, καὶ ἀκτῖνά τινα ἀμυδρὰν τοῦ νοήματος ἐναφῶ σου τῇ ψυχῇ τούτου, ἀναμνίσθητί μοι τῶν ἐν τῷ νόμῳ νῦν, ἡνίκα ἡ χάρις ἔλαμψε. Καὶ γὰρ ἐκεῖνα πρὸ τῆς χάριτος μεγάλα τινὰ καὶ θαυμαστὰ ἐφαίνετο· ἀλλ' ὅμως ἄκουσον τί φησι περὶ αὐτῶν μετὰ τὴν χάριν ὁ Παῦλος· «Ὅτι οὐ δεδόξασται τὸ δεδοξασμένον ἐν τούτῳ τῷ μέρει, ἕνεκεν τῆς ὑπερβαλλούσης δόξης». Ἵνα δὲ καὶ σαφέστερον ὃ λέγω γένηται, ἐφ' ἑνός τινος τῶν τότε τελουμένων τὸν λόγον μεταχειρίσωμεν, καὶ τότε ὄψει τὸ μέσον ὅσον. Καί, εἰ βούλει, τὸ πάσχα εἰς μέσον ἀγάγωμεν ἐκεῖνο καὶ τοῦτο, καὶ τότε εἴσῃ τὴν ὑπεροχήν. Ἐπετέλουν μὲν γὰρ καὶ Ἰουδαῖοι, ἐπετέλουν δὲ οὕτως, ὡς ἐν ἐσόπτρῳ καὶ ἐν αἰνίγματι· τὰ δὲ ἀπόρρητα ταῦτα μυστήρια οὐδὲ εἰς νοῦν ποτε ἔλαβον, οὐδὲ τίνα ἦν, ἃ ἐκεῖνα προανεφώνει· ἀλλὰ πρόβατον ἑώρων σφαττόμενον, καὶ αἷμα ἀλόγου, καὶ θύρας χριομένας τούτῳ· ὅτι δὲ ὁ Υἱὸς τοῦ Θεοῦ σαρκωθεὶς σφαγήσεται, καὶ τὴν οἰκουμένην ἐλευθερώσει πᾶσαν, καὶ δώσει καὶ Ἕλλησι καὶ βαρβάροις τοῦ αἵματος ἀπογεύσασθαι τούτου, καὶ τὸν οὐρανὸν ἀνοίξει πᾶσι, καὶ τὰ ἐκεῖ προθήσει τῷ τῶν ἀνθρώπων γένει, καὶ τὴν αἱμαχθεῖσαν σάρκα λαβών, ὑπὲρ τὸν οὐρανὸν καὶ τὸν οὐρανὸν τοῦ οὐρανοῦ καὶ πάσας ἁπλῶς τὰς ἄνω τῶν ἀγγέλων καὶ ἀρχαγγέλων καὶ τῶν ἄλλων δυνάμεων στρατιὰς ἀναβιβάσει, καὶ ἐπ' αὐτοῦ τοῦ θρόνου τοῦ βασιλικοῦ ἐν δεξιᾷ τοῦ Πατρὸς αὐτὴν καθιεῖ δόξῃ λάμπουσαν ἀρρήτῳ· ταῦτα δὴ οὔτε ἐκείνων τις, οὔτε τῶν ἄλλων οὐδεὶς ἀνθρώπων, οὔτε προέγνω οὔτε εἰς νοῦν ἠδυνήθη βαλέσθαι ποτέ.

Ἀλλὰ τί φασιν οἱ πάντα τολμηροί; Τό, «Ἄρτι γινώσκω ἐκ μέρους», περὶ οἰκονομιῶν εἰρῆσθαι· τὴν γὰρ περὶ τοῦ

σοῦ δώσω δὲ μίαν ἰδέαν δι' αὐτὴν τὴν διαφορὰν καὶ ν' ἀφήσω νὰ πέσῃ εἰς τὴν ψυχήν σου κάποια ἀμυδρὰ ἀκτὶς ἀπὸ αὐτὸ τὸ νόημα, ἐνθυμήσου τὰ τοῦ νόμου τώρα ποὺ ἔχει λάμψει ἡ χάρις. Διότι καὶ ἐκεῖνα πρὶν ἀπὸ τὴν χάριν ἐφαίνοντο ἀξιοθαύμαστα καὶ μεγάλα· ἄκουσε ὅμως τί λέγει δι' αὐτὰ ὁ Παῦλος ἀφοῦ ἦλθεν ἡ χάρις· «Ὁ νόμος ποὺ κάποτε εἶχε δόξαν, ἔχασε τὴν δόξαν του ἐξ αἰτίας τῆς πολὺ μεγαλυτέρας δόξης τῆς χάριτος». Διὰ νὰ γίνῃ ὅμως καὶ σαφέστερον αὐτὸ ποὺ λέγω, ἄς φέρωμεν τὸν λόγον εἰς ἕν ἀπὸ ὅσα ἐτελοῦντο κατὰ τὴν ἐποχὴν τοῦ νόμου καὶ τότε θὰ ἰδῇς πόση εἶναι ἡ ἀπόστασις. Καί, ἐὰν θέλῃς, ἄς συγκρίνωμεν ἐκεῖνο τὸ πάσχα μὲ τὸ πάσχα τῆς ἐποχῆς τῆς χάριτος, καὶ τότε θὰ γνωρίσῃς τὴν ὑπεροχήν. Διότι ἐτέλουν μὲν καὶ οἱ Ἰουδαῖοι πάσχα, ἀλλὰ τὸ ἐτέλουν ἔτσι ποὺ νὰ μὴ βλέπουν τὸ νόημά του, παρὰ ὡσὰν μέσα εἰς καθρέπτην καὶ ὡσὰν αἴνιγμα· αὐτὰ δὲ τὰ ἀπόρρητα μυστήρια οὔτε νὰ διανοηθοῦν ἠμπόρεσαν ποτέ, οὔτε καὶ ποῖα προανήγγελον ἐκεῖνα ποὺ ἐτέλουν τότε· ἀλλ' ἔβλεπον νὰ σφάττεται πρόβατον καὶ αἷμα ἀλόγου ζώου καὶ μὲ τὸ αἷμα νὰ βάφωνται θύραι οἰκιῶν· τὸ ὅτι ὅμως ὁ υἱὸς τοῦ Θεοῦ ἀφοῦ ἐνανθρωπήσῃ θὰ σφαγῇ καὶ θὰ ἐλευθερώσῃ ὅλην τὴν οἰκουμένην καὶ θὰ δώσῃ καὶ εἰς τοὺς Ἕλληνας καὶ τοὺς βαρβάρους νὰ γευθοῦν ἀπὸ αὐτὸ τὸ αἷμα καὶ ὅτι θ' ἀνοίξῃ εἰς ὅλους τὸν οὐρανόν, καὶ θὰ προσφέρῃ τὰ οὐράνια εἰς τὸ γένος τῶν ἀνθρώπων καὶ ἀφοῦ ἀναλάβῃ τὴν αἱματωμένην σάρκα θὰ τὴν ἀναβιβάσῃ ἐπάνω ἀπὸ τὸν οὐρανὸν καὶ τὸν οὐρανὸν τοῦ οὐρανοῦ καὶ ἀπὸ ὅλας γενικῶς τὰς στρατιὰς τῶν οὐρανίων ἀγγέλων καὶ ἀρχαγγέλων καὶ τῶν ἄλλων δυνάμεων καὶ ἐπάνω εἰς αὐτὸν τὸν ἴδιον τὸν θεϊκὸν θρόνον εἰς τὰ δεξιὰ τοῦ Θεοῦ - Πατρὸς θὰ καθήσῃ αὐτὴν ποὺ θὰ λάμπῃ ἀπὸ ἀπερίγραπτον δόξαν, αὐτὰ βεβαίως οὔτε ἀπὸ ἐκείνους κανείς, οὔτε ἀπὸ τοὺς ἄλλους ἀνθρώπους οὔτε ἐγνώρισε ποτὲ ἀπὸ πρίν, οὔτε ἠμπόρεσε ποτὲ νὰ τὰ διανοηθῇ.

Ἀλλὰ τί λέγουν αὐτοὶ ποὺ εἶναι εἰς ὅλα ἀπερισκέπτως τολμηροί; Ὅτι τό, «Τώρα γνωρίζω μερικῶς», ἐλέχθη διὰ

Θεοῦ γνῶσιν ἀπηρτισμένην αὐτὸν ἔχειν. Καὶ πῶς νήπιον ἑαυτὸν καλεῖ; πῶς δι' ἐσόπτρων βλέπει, πῶς ἐν αἰνίγματι, εἰ τὸ πᾶν ἔχει τῆς γνώσεως; τί δὲ ὥσπερ ἐξαίρετον ἀνατίθησιν αὐτὸ τῷ Πνεύματι, καὶ οὐδεμιᾷ ἄλλῃ δυνάμει τῆς κτίσεως, λέγων· «Τίς γὰρ οἶδε τὰ τοῦ ἀνθρώπου, εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ; Οὕτω καὶ τὰ τοῦ Θεοῦ οὐδεὶς οἶδεν, εἰ μὴ τὸ Πνεῦμα τοῦ Θεοῦ». Καὶ ὁ Χριστὸς πάλιν ἑαυτοῦ μόνον τοῦτο εἶναί φησιν, οὕτω λέγων· «Οὐχ ὅτι τὸν Πατέρα τις ἑώρακεν, εἰ μὴ ὁ ὢν παρὰ τοῦ Θεοῦ, οὗτος ἑώρακε τὸν Πατέρα»· ὅρασιν τὴν γνῶσιν λέγων τὴν σαφεστάτην καὶ ἀπηρτισμένην. Πῶς δὲ ὁ τὴν οὐσίαν εἰδώς, τὰς οἰκονομίας ἀγνοήσει; ἐκείνη γὰρ μείζων ταύτης ἡ γνῶσις. Ἀγνοοῦμεν οὖν, φησίν, τὸν Θεόν; Ἄπαγε· ἀλλ' ὅτι μὲν ἔστιν, ἴσμεν, τί ποτε δέ ἐστι τὴν οὐσίαν, οὐκέτι. Καὶ ἵνα γνῷς ὅτι οὐ περὶ τῶν οἰκονομιῶν εἴρηκε τό, «Ἄρτι γινώσκω ἐκ μέρους», ἄκουσον τῶν ἑξῆς· ἐπήγαγε γοῦν· «Τότε δὲ ἐπιγνώσομαι, καθὼς καὶ ἐπεγνώσθην». Οὐ δήπου δὲ ὑπὸ τῶν οἰκονομιῶν ἐπεγνώσθη, ἀλλ' ὑπὸ τοῦ Θεοῦ.

Μηδεὶς τοίνυν μικρὰν μηδὲ ἁπλῆν νομιζέτω εἶναι ταύτην τὴν παρανομίαν, ἀλλὰ καὶ διπλῆν καὶ τριπλῆν καὶ πολλαπλασίονα. Οὐ γὰρ δὴ τοῦτο μόνον ἐστὶ τὸ ἄτοπον, ὅτι ταῦτα ἀλαζονεύονται εἰδέναι, ἃ τοῦ Πνεύματός ἐστι μόνου, καὶ τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ, ἀλλ' ὅτι καὶ Παύλου οὐδὲ τὸ μερικὸν τοῦτο τῆς γνώσεως ἄνευ τῆς ἄνωθεν ἀποκαλύψεως δυνηθέντος μαθεῖν, αὐτοὶ τὸ πᾶν ἐκ τῶν οἰκείων λογισμῶν κατειληφέναι φασίν. Οὐδὲ γὰρ ἔχουσιν οὐδαμοῦ τὴν Γραφὴν περὶ τούτων ἡμῖν διειλεγμένην δεῖξαι. Ἀλλὰ γὰρ τὴν μανίαν αὐτῶν ἀφέντες, τῶν ἑξῆς ἐχώμεθα περὶ

3. Ἰω. 6, 46.

τὰ σωτηριώδη σχέδια τῆς θείας οἰκονομίας, τὴν παλαιὰν καὶ καινὴν Διαθήκην· διότι ὁ Παῦλος ἔχει ὡλοκληρωμένην τὴν γνῶσιν τοῦ Θεοῦ. Καὶ διατί τότε ὀνομάζει τὸν ἑαυτόν του νήπιον; διατί λέγει ὅτι βλέπει ὡσὰν εἰς καθρέπτην καὶ ὡσὰν αἴνιγμα, ἐὰν κατέχῃ ὁλόκληρον τὴν γνῶσιν; διατί δὲ ὡσὰν νὰ πρόκειται διὰ κάτι ἐξαιρετικὸν ἀποδίδει τὴν πλήρη γνῶσιν τοῦ Θεοῦ εἰς τὸ ἴδιον τὸ ἅγιον Πνεῦμα καὶ εἰς οὐδεμίαν ἄλλην δύναμιν τῆς κτίσεως, ὅταν λέγῃ «Διότι ποῖος γνωρίζει τὰ μυστικὰ τοῦ ἀνθρώπου, παρὰ τὸ πνεῦμα ποὺ εὑρίσκεται μέσα του; Ἔτσι καὶ τὰ τοῦ Θεοῦ κανεὶς δὲν γνωρίζει, παρὰ μόνον τὸ Πνεῦμα τοῦ Θεοῦ». Καὶ ὁ Χριστὸς ἐπίσης λέγει ὅτι αὐτὸ μόνον εἰς τὸν ἴδιον ἀνήκει, ὅταν λέγῃ· «Ὄχι ὅτι ἔχει ἰδεῖ κανεὶς τὸν Πατέρα, ἀλλὰ μόνον ἐκεῖνος ποὺ εἶναι ἀπὸ τὸν Θεόν, ἐκεῖνος ἔχει ἰδεῖ τὸν Πατέρα»[8]· καὶ μὲ τό, ἔχει ἰδεῖ ἐννοεῖ τὴν σαφεστάτην καὶ ὡλοκληρωμένην γνῶσιν. Πῶς εἶναι ὅμως δυνατὸν αὐτὸς ποὺ γνωρίζει τὴν οὐσίαν νὰ μὴ γνωρίζῃ τὰ σωτηριώδη σχέδια; διότι ἐκείνη ἡ γνῶσις εἶναι μεγαλυτέρα ἀπὸ αὐτήν. Ἀγνοοῦμεν λοιπόν, θὰ εἰπῇ, τὸν Θεόν; Μὴ γένοιτο! Ἀλλὰ τὸ ὅτι ὑπάρχει μὲν τὸ γνωρίζομεν, τί εἶναι ὅμως εἰς τὴν οὐσίαν, καθόλου. Καὶ διὰ νὰ μάθῃς ὅτι δὲν εἶπε διὰ τὰ σωτηριώδη σχέδια τὸ «Τώρα γνωρίζω μερικῶς», ἄκουσε τὰ ἑξῆς· προσέθεσε λοιπόν· «ἀλλὰ τότε θὰ ἔχω πλήρη γνῶσιν, ὅπως εἶναι καὶ ἡ γνῶσις τοῦ Θεοῦ δι' ἐμέ». Καὶ ὅμως δὲν ἐγνωρίσθη ἀπὸ τὰ σχέδια, ἀλλὰ ἀπὸ τὸν Θεόν.

Κανεὶς λοιπὸν ἂς μὴ νομίζῃ ὅτι εἶναι μικρά, οὔτε ἁπλῆ αὐτὴ ἡ παρανομία, ἀλλὰ καὶ διπλῆ καὶ τριπλῆ καὶ πολλαπλασία. Διότι δὲν εἶναι μόνον αὐτὸ τὸ ἄτοπον, ὅτι δηλαδὴ ὑπερηφανεύονται ὅτι γνωρίζουν αὐτὰ ποὺ μόνον τὸ ἅγιον Πνεῦμα γνωρίζει καὶ ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ, ἀλλὰ καὶ ὅτι ἐνῷ καὶ αὐτὸς ὁ Παῦλος δὲν θὰ ἠμπόρει νὰ λάβῃ οὔτε αὐτὴν τὴν μερικὴν γνῶσιν χωρὶς τὴν ἀπὸ τὸν Θεὸν ἀποκάλυψιν, αὐτοὶ ἰσχυρίζονται ὅτι γνωρίζουν τὸ πᾶν μὲ τὴν ἰδικήν των σκέψιν. Διότι δὲν ἠμποροῦν νὰ δείξουν κανὲν σημεῖον τῆς γραφῆς ποὺ νὰ διαφωνῇ πρὸς αὐτά. Ἀλλ' ἀφοῦ ἀφήσωμεν κατὰ μέρος τὴν παραφροσύ-

τῆς ἀγάπης λόγων. Οὐδὲ γὰρ τούτοις ἠρκέσθη, ἀλλ' ἐπάγει πάλιν λέγων· «Νυνὶ δὲ μένει πίστις, ἐλπίς, ἀγάπη, τὰ τρία ταῦτα· μείζων δὲ τούτων ἡ ἀγάπη». Ἡ μὲν γὰρ πίστις καὶ ἡ ἐλπίς, τῶν πιστευθέντων καὶ τῶν ἐλπισθέντων παραγενομένων ἀγαθῶν, παύεται. Καὶ τοῦτο δηλῶν ὁ Παῦλος ἔλεγεν· «Ἐλπὶς γὰρ βλεπομένη, οὐκ ἔστιν ἐλπίς· ὃ γὰρ βλέπει τις, τί καὶ ἐλπίζει;»· πάλιν, «Ἔστι δὲ πίστις ἐλπιζομένων ὑπόστασις, πραγμάτων ἔλεγχος οὐ βλεπομένων».

Ὥστε αὗται μὲν παύονται φανέντων ἐκείνων· ἡ δὲ ἀγάπη τότε μάλιστα αἴρεται, καὶ γίνεται σφοδροτέρα. Ἕτερον πάλιν ἐγκώμιον τῆς ἀγάπης· οὐδὲ γὰρ ἀρκεῖται τοῖς ἔμπροσθεν, ἀλλὰ καὶ ἄλλο φιλονεικεῖ πάλιν εὑρεῖν· Σκόπει δέ. Εἶπεν αὐτὴν χάρισμα εἶναι μέγα καὶ ὁδὸν τούτων καθ' ὑπερβολήν· εἶπε χωρὶς αὐτῆς μηδὲν μέγα ὠφελεῖν τὰ χαρίσματα· ὑπέγραψεν αὐτῆς διὰ πολλῶν τὴν εἰκόνα· βούλεται πάλιν καὶ ἑτέρως αὐτὴν ἐπᾶραι, καὶ δεῖξαι μεγάλην οὖσαν ἐκ τοῦ διαμένειν. Διὸ καὶ ἔλεγε, «Νυνὶ δὲ μένει πίστις, ἐλπίς, ἀγάπη, τὰ τρία ταῦτα· μείζων δὲ τούτων ἡ ἀγάπη». Πῶς οὖν μείζων ἡ ἀγάπη; Τῷ ἐκεῖ διαβαίνειν. Εἰ τοίνυν τοσαύτη ἡ ἰσχὺς τῆς ἀγάπης, εἰκότως ἐπάγει λέγων, «Διώκετε τὴν ἀγάπην».

3. Καὶ γὰρ διώξεως χρεία καὶ δρόμου σφοδροῦ τινος ἐπ' αὐτήν· οὕτως ἡμῶν ἀπέπτη, καὶ τοσαῦτα τὰ ὑποσκελίζοντα τὸν ἐκεῖσε δρόμον. Διὸ καὶ πολλῆς ἡμῖν δεῖ τῆς σφοδρότητος, ὥστε αὐτὴν καταλαβεῖν. Ὅπερ ἐνδεικνύμενος ὁ Παῦλος οὐκ εἶπεν, ἀκολουθεῖτε τῇ ἀγάπῃ, ἀλλά, διώκετε αὐτήν, διεγείρων ἡμᾶς καὶ ἀνάπτων πρὸς τὴν ἐκείνης ἀντίληψιν. Καὶ γὰρ ὁ Θεὸς ἐξ ἀρχῆς μυρία ὑπὲρ τοῦ ταύτην ἡμῖν ἐμφυτεῦσαι ἐμηχανήσατο. Καὶ γὰρ μίαν ἅπασιν ἔδωκε κεφα-

---

4. Ρωμ. 8, 24.
5. Ἑβρ. 11, 1,

νην αὐτῶν, ἄς συνεχίσωμεν τὴν ὁμιλίαν διὰ τὴν ἀγάπην· Διότι δὲν ἠρκέσθη εἰς αὐτά, ἀλλὰ συνεχίζει πάλιν μὲ τοὺς λόγους· «Ὥστε αὐτὰ τὰ τρία μένουν, ἡ πίστις, ἡ ἐλπὶς καὶ ἡ ἀγάπη· μεγαλυτέρα δὲ ἀπὸ αὐτὰ εἶναι ἡ ἀγάπη». Διότι ἡ μὲν πίστις καὶ ἡ ἐλπίς, ὅταν ἔλθουν τὰ ἀγαθὰ ποὺ ἐπιστεύθησαν καὶ ἠλπίσθησαν, παύουν. Καὶ ἐδήλωσεν αὐτὸ ὁ Παῦλος ὅταν ἔλεγεν· «Ἀλλ' ἐλπὶς ποὺ τὴν βλέπει κανεὶς νὰ ἔχῃ πραγματοποιηθῆ δὲν εἶναι ἐλπίς· διότι πῶς εἶναι δυνατὸν νὰ ἐλπίζῃ ἀκόμη κανεὶς δι' ἐκεῖνο ποὺ ἤδη βλέπει;»[4]· ἐπίσης, «Ἡ πίστις κάμνει πραγματικὰ αὐτὰ ποὺ ἐλπίζομεν καὶ σίγουρα ἐκεῖνα ποὺ δὲν βλέπομεν»[5].

Ὥστε ἡ πίστις καὶ ἡ ἐλπὶς παύουν ὅταν ἔλθουν τὰ ἐλπιζόμενα· ἡ ἀγάπη ὅμως τότε ὑψοῦται κυρίως καὶ γίνεται περισσότερον δυνατή. Ἄλλο ἐγκώμιον πάλιν διὰ τὴν ἀγάπην· δὲν ἀρκεῖται λοιπὸν εἰς τὰ προηγούμενα, ἀλλ' ἀναζητεῖ νὰ εὕρῃ καὶ ἄλλο. Πρόσεχε δέ. Εἶπεν ὅτι ἡ ἀγάπη εἶναι μέγα χάρισμα καὶ ἡ κατ' ἐξοχὴν ὁδὸς δι' ὅλα αὐτά· ἐζωγράφησε τὴν εἰκόνα της μὲ πολλά· θέλει πάλιν καὶ μὲ ἄλλον τρόπον νὰ τὴν ἐξυψώσῃ καὶ νὰ δείξῃ ὅτι εἶναι μεγάλη ἀπὸ τὸ ὅτι μένει εἰς τὸν αἰῶνα. Δι' αὐτὸ καὶ ἔλεγεν, «Ὥστε αὐτὰ τὰ τρία μένουν, πίστις, ἐλπὶς ἀγάπη· μεγαλυτέρα ὅμως ἀπὸ αὐτὰ εἶναι ἡ ἀγάπη». Πῶς λοιπὸν εἶναι μεγαλυτέρα ἡ ἀγάπη; Ἀπὸ τὸ ὅτι διαβαίνει εἰς τὴν αἰώνιον ζωήν. Ἐὰν λοιπὸν εἶναι τόσον μεγάλη ἡ δύναμις τῆς ἀγάπης, καλῶς συνεχίζει μὲ τοὺς λόγους, «ἐπιδιώκετε τὴν ἀγάπην».

3. Διότι διὰ ν' ἀποκτήσῃ κανεὶς τὴν ἀγάπην χρειάζεται καὶ νὰ τὴν ἐπιδιώξῃ καὶ νὰ τρέξῃ πολύ· τόσον πολὺ ἀπεμακρύνθη ἀπὸ ἐμᾶς καὶ τόσον πολλὰ εἶναι αὐτὰ ποὺ ἐμποδίζουν νὰ τρέξῃ κανεὶς πρὸς αὐτήν. Δι' αὐτὸ καὶ μᾶς χρειάζεται πολλὴ ὁρμητικότης διὰ νὰ τὴν ἀποκτήσωμεν. Αὐτὸ τὸ πρᾶγμα θέλων νὰ δείξῃ ὁ Παῦλος δὲν εἶπεν, ἀκολουθεῖτε τὴν ἀγάπην, ἀλλά, ἐπιδιώκετε τὴν ἀγάπην, διὰ νὰ μᾶς ἐγκαρδιώσῃ καὶ νὰ μᾶς ἐνθαρρύνῃ νὰ τὴν κερδήσωμεν. Διότι καὶ ὁ Θεὸς ἀπὸ τὴν ἀρχὴν ἀπείρους τρόπου ἐχρησιμοποίησε διὰ νὰ τὴν ἐμφυτεύσῃ εἰς ἐμᾶς. Καὶ

λήν, τὸν Ἀδάμ. Διὰ τί γὰρ μὴ ἐκ γῆς γινόμεθα πάντες; διὰ τί μὴ τέλειοι, ὡς ἐκεῖνος; Ἵνα καὶ οἱ τόκοι, καὶ αἱ παιδοτροφίαι, καὶ τὸ ἐξ ἀλλήλων φύεσθαι, συνδήσῃ πρὸς ἀλλήλους ἡμᾶς. Διὰ τοῦτο οὐδὲ τὴν γυναῖκα ἐποίησεν ἀπὸ γῆς. Ἐπειδὴ γὰρ οὐκ ἤρκει δυσωπῆσαι πρὸς ὁμόνοιαν ἡμᾶς ὁμοίως, τὸ τῆς αὐτῆς οὐσίας εἶναι, εἰ μὴ καὶ τὸν αὐτὸν ἔχοιμεν πρόγονον, καὶ τοῦτο κατεσκεύασεν. Εἰ γὰρ νῦν τόποις διεστηκότες μόνοις, ἀλλοτρίους εἶναι νομίζομεν ἑαυτοὺς ἀλλήλων, εἰ δύο τὸ γένος ἡμῶν ἔσχεν ἀρχάς, πολλῷ μᾶλλον ἂν τοῦτο ἐγένετο.

Διὰ δὴ τοῦτο, ὥσπερ ἀπό τινος μιᾶς κεφαλῆς, τὸ πᾶν ἔδησε σῶμα τοῦ τῶν ἀνθρώπων γένους. Καὶ ἐπειδήπερ ἐξ ἀρχῆς δύο τινὲς εἶναι ἐδόκουν, ὅρα πῶς αὐτοὺς συγκολλᾷ πάλιν καὶ εἰς ἓν συνάγει διὰ τοῦ γάμου. «Ἀντὶ τούτου» γὰρ «καταλείψει», φησίν, «ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα, καὶ προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν». Καὶ οὐκ εἶπεν, ἡ γυνή, ἀλλ', ὁ ἄνθρωπος, ἐπειδὴ καὶ μείζων ἡ ἐπιθυμία ἐν ἐκείνῳ. Καὶ γὰρ καὶ μείζονα αὐτὴν διὰ τοῦτο ἐποίησεν, ἵνα τὸ ὑπερέχον κατακάμψῃ τῇ τυραννίδι τούτου τοῦ ἔρωτος, καὶ ὑποτάξῃ τῷ ἀσθενεστέρῳ. Ἐπειδὴ δὲ καὶ γάμον ἔδει εἰσαχθῆναι, τὸν ἐξ οὗ γέγονε, τοῦτον ἄνδρα ἐποίησε τῇ γυναικί. Πάντα γὰρ ἀγάπης τῷ Θεῷ δεύτερα. Εἰ γὰρ οὕτω γενομένων ὁ πρῶτος εὐθέως οὕτως ἐμάνη, καὶ τοσαύτην μάχην ὁ διάβολος καὶ βασκανίαν ἐνέσπειρε, τί οὐκ ἂν εἰργάσατο, εἰ μὴ ἀπὸ μιᾶς ῥίζης ἐβλάστησαν;

Εἶτα ἵνα τὸ μὲν ὑποτάττηται, τὸ δὲ ἄρχῃ (τὸ γὰρ ὁμότιμον οἶδε πολλάκις μάχην εἰσάγειν), οὐκ ἀφῆκε δημοκρατίαν εἶναι, ἀλλὰ βασιλείαν, καὶ καθάπερ ἐν στρατοπέδῳ,

---

6. Γεν. 2, 24.

δι' αὐτὸ ἔδωσεν εἰς ὅλους τοὺς ἀνθρώπους μίαν κεφαλήν, τὸν 'Αδάμ. Διότι διατί δὲν δημιουργούμεθα ὅλοι ἀπὸ τὴν γῆν; διατί δὲν γινόμεθα τέλειοι ὅπως ἐκεῖνος; Διὰ νὰ μᾶς συνδέσουν μεταξύ μας καὶ αἱ γεννήσεις καὶ ἡ ἀνατροφὴ τῶν παιδιῶν, καὶ τὸ ὅτι γεννώμεθα ὁ ἕνας ἀπὸ τὸν ἄλλον. Δι' αὐτὸ δὲν ἐδημιούργησε τὴν Εὔαν ἀπὸ τὴν γῆν. 'Επειδὴ δηλαδὴ δὲν ἦτο ἀρκετὸν διὰ νὰ μᾶς κάνῃ νὰ πεισθῶμεν εἰς τὸ νὰ ἔχωμεν ὁμόνοιαν τὸ ὅτι εἴμεθα ὁμοούσιοι, ἐὰν δὲν εἴχομεν ἐπὶ πλέον καὶ τὸν ἴδιον πρόγονον, δι' αὐτὸ ἔκανε καὶ αὐτό. Διότι, ἐὰν τώρα ποὺ μόνον οἱ τόποι μᾶς χωρίζουν νομίζωμεν τοὺς ἑαυτούς μας ξένους μεταξύ των, ἐὰν τὸ γένος μας εἶχε δύο ἀρχὰς πολὺ περισσότερον θὰ συνέβαινεν αὐτό.

Δι' αὐτὸ λοιπόν, ὡσὰν ἀπὸ μίαν κεφαλὴν συνέδεσε τὸ σῶμα ὁλοκλήρου τοῦ ἀνθρωπίνου γένους. Καὶ ἐπειδὴ ἀκριβῶς ἀπὸ τὴν ἀρχὴν ἐνόμιζον ὅτι εἶναι δύο, κοίταξε πῶς συνενώνει πάλιν καὶ συσφίγγει αὐτοὺς εἰς ἓν διὰ τοῦ γάμου. «'Εξ αἰτίας τῆς στενῆς αὐτῆς σχέσεως», λέγει, «θὰ ἐγκαταλείψῃ ὁ ἄνδρας τὸν πατέρα καὶ τὴν μητέρα του καὶ θὰ προσηλωθῇ εἰς τὴν γυναῖκα του, ὥστε οἱ δύο θὰ γίνουν μία σάρξ»⁶. Καὶ δὲν εἶπεν, ἡ γυναῖκα, ἀλλ' ὁ ἄνδρας, ἐπειδὴ εἰς ἐκεῖνον ἦτο καὶ μεγαλυτέρα ἡ ἐπιθυμία. 'Αλλὰ καὶ μεγαλυτέραν δι' αὐτὸ ἔκανε νὰ ὑπάρχῃ εἰς αὐτὸν ἡ ἐπιθυμία, διὰ νὰ κάμψῃ τὴν ὑπεροχὴν κάτω ἀπὸ τὴν ἐξουσίαν αὐτοῦ τοῦ ἔρωτος καὶ νὰ τὸν ὑποτάξῃ εἰς τὸ ἀσθενέστερον. 'Επειδὴ δὲ ἔπρεπε νὰ τεθῇ καὶ ὁ θεσμὸς τοῦ γάμου, δι' αὐτὸ ἐκεῖνον ἀπὸ τὸν ὁποῖον ἐπλάσθη, αὐτὸν ἔδωσεν ἄνδρα εἰς τὴν γυναῖκα. Διότι διὰ τὸν Θεὸν τὰ πάντα εἶναι δευτερεύοντα ὡς πρὸς τὴν ἀγάπην. 'Εὰν λοιπόν, ἐνῷ ἔγιναν ἔτσι, ὁ πρῶτος ἄνθρωπος τόσον συντόμως ἀπὸ τόσην μανίαν κατελήφθη καὶ τόσην ἔχθραν καὶ φθόνον ἐνέσπειρεν ὁ διάβολος, τί δὲν θὰ ἔκαμνεν ἐὰν δὲν εἶχον προέλθει ἀπὸ μίαν ρίζαν;

'Εν συνεχείᾳ διὰ νὰ ὑποτάσσεται τὸ μέν, τὸ δὲ ἄλλο νὰ ἐξουσιάζῃ (διότι εἰς τὴν ἰσοτιμίαν πολλὰς φορὰς εἰσχωρεῖ πόλεμος), δὲν ἐπέτρεψε νὰ ὑπάρχῃ δημοκρατία, ἀλλὰ

ταύτην ἄν τις ἴδοι τὴν διάταξιν καθ' ἑκάστην οἰκίαν. Ἔστι γοῦν ἐν τάξει μὲν βασιλέως ὁ ἀνήρ, ἐν τάξει δὲ ὑπάρχου καὶ στρατηγοῦ ἡ γυνή· καὶ οἱ παῖδες δὲ ἀρχὴν κεκλήρωνται τρίτην. Εἶτα μετὰ ταῦτα ἀρχὴ τετάρτη ἡ τῶν οἰκετῶν· καὶ γὰρ καὶ οὗτοι κρατοῦσι τῶν ἐλαττόνων, καὶ εἷς τις πολλάκις τοῖς πᾶσιν ἐφέστηκε, τὴν τοῦ δεσπότου τάξιν διατηρῶν, πλὴν ὡς οἰκέτης. Καὶ μετὰ ταύτης ἑτέρα πάλιν ἀρχὴ καὶ ἐν αὐτοῖς, ἡ τῶν γυναικῶν, ἡ τῶν παίδων· καὶ ἐν αὐτοῖς τοῖς παισὶ πάλιν ἑτέρα κατὰ τὴν ἡλικίαν καὶ τὴν φύσιν· οὐδὲ γὰρ ἐν τοῖς παιδίοις ὁμοίως τὸ θῆλυ κρατεῖ. Καὶ πανταχοῦ δι' ὀλίγου καὶ πυκνὰς ἐποίησε τὰς ἀρχὰς ὁ Θεός, ἵνα πάντα ἐν ὁμονοίᾳ μένῃ καὶ εὐταξίᾳ πολλῇ.

Διὰ τοῦτο καὶ πρὶν εἰς πλῆθος ἐξενεχθῆναι τὸ γένος, δύο μόνων ὄντων τῶν πρώτων, τῷ μὲν ἄρχειν, τῇ δὲ ἄρχεσθαι ἐκέλευσε. Καὶ ἵνα μὴ ὡς ἐλάττους καταφρονῇ πάλιν καὶ ἀποσχίζηται, ὅρα πῶς αὐτὴν ἐτίμησέ τε καὶ ἥνωσε καὶ πρὸ τῆς δημιουργίας. «Ποιήσωμεν γὰρ αὐτῷ βοηθόν»· δεικνὺς ὅτι εἰς χρείαν αὐτοῦ γέγονε, καὶ ταύτῃ συνάγων αὐτὸν πρὸς τὴν δι' αὐτὸν γεγενημένην. Καὶ γὰρ πρὸς ταῦτα οἰκειότερον διακείμεθα τὰ δι' ἡμᾶς πραχθέντα. Ἵνα δὲ μὴ ἐπαίρηται πάλιν ἐκείνη, ὡς εἰς βοήθειαν αὐτῷ δοθεῖσα, καὶ τὸν δεσμὸν ἀπορρήξῃ τοῦτον, ἀπὸ τῆς πλευρᾶς αὐτὴν ποιεῖ, δεικνὺς ὅτι μέρος τοῦ παντός ἐστιν αὕτη τοῦ σώματος. Ἵνα δὲ μηδὲ ὁ ἀνὴρ ἐντεῦθεν ἐπαίρηται, οὐκέτι ἀφίησιν εἶναι μόνου, ὃ μόνου τὸ πρότερον ἐγένετο, ἀλλὰ τοὐναντίον ἐποίησε τούτῳ, τὴν παιδοποιΐαν εἰσαγαγών, κἂν τούτῳ προτιμήσας μὲν τὸν ἄνδρα, οὐ μὴν τὸ πᾶν ἀφεὶς εἶναι αὐτοῦ.

---

7. Γεν. 2, 18.

βασιλεία, καὶ τὴν ἰδίαν διάταξιν ποὺ ὑπάρχει εἰς τὸ στρατόπεδον θὰ ἰδῇ κανεὶς εἰς κάθε οἰκίαν. Εἰς τὴν τάξιν λοιπὸν τοῦ βασιλέως εἶναι ὁ ἄνδρας, εἰς τὴν τάξιν δὲ τοῦ ὑποδιοικητοῦ καὶ στρατηγοῦ ἡ γυναῖκα, καὶ τὰ παιδιὰ ἔχουν λάβει τὴν τρίτην βαθμίδα τῆς ἐξουσίας. Ὕστερον μετὰ ἀπὸ αὐτὰς τετάρτη βαθμὶς ἐξουσίας εἶναι ἡ τῶν ὑπηρετῶν˙ διότι καὶ αὐτοὶ ἐξουσιάζουν τοὺς κατωτέρους ὑπηρέτας καὶ πολλὰς φορὰς κάποιος εἶναι ἐπιστάτης εἰς ὅλους, ὡσὰν νὰ ἔχῃ τὴν θέσιν τοῦ οἰκοδεσπότου, ἀλλ᾽ ὡς δοῦλος. Καὶ μετὰ ἀπὸ αὐτὴν ἄλλη πάλιν ἐξουσία καὶ εἰς αὐτούς, ἡ ἐξουσία ἐπάνω εἰς τὰς γυναῖκας, εἰς τὰ παιδιά˙ καὶ εἰς αὐτὰ τὰ παιδιὰ πάλιν ἄλλη ἀναλόγως τῆς ἡλικίας καὶ τοῦ φύλου˙ διότι οὔτε εἰς τὰ παιδιὰ ἐπικρατεῖ ἐξ ἴσου τὸ θῆλυ καὶ τὸ ἄρρεν. Καὶ παντοῦ δι᾽ ὀλίγου καὶ στερεὰς ἔκαμεν ὁ Θεὸς τὰς ἐξουσίας, διὰ νὰ παραμένουν σταθερὰ τὰ πάντα εἰς ὁμόνοιαν καὶ εἰς ἀρίστην τάξιν.

Δι᾽ αὐτὸ καὶ πρὶν πληθύνῃ τὸ γένος, ὅταν ἦσαν μόνον οἱ πρωτόπλαστοι, εἰς τὸν μὲν ἄνδρα παρήγγειλε νὰ ἐξουσιάζῃ, εἰς τὴν δὲ γυναῖκα νὰ ἐξουσιάζεται. Καὶ νὰ μὴ τὴν καταφρονῇ ὁ ἄνδρας ὡσὰν κατωτέραν πάλιν καὶ ἀποχωρίζεται, κοίταξε πῶς ἐτίμησε καὶ ἥνωσε τὴν γυναῖκα καὶ πρὶν ἀπὸ τὴν δημιουργίαν. Διότι λέγει, «Ἂς δημιουργήσωμεν δι᾽ αὐτὸν βοηθόν»[7], δεικνύων ὅτι ἡ γυναῖκα ἐδημιουργήθη διὰ τὰς ἀνάγκας του καὶ μὲ αὐτὸ συνδέει τὸν ἄνδρα μὲ ἐκείνην ποὺ ἐδημιουργήθη δι᾽ αὐτόν. Διότι αἰσθανόμεθα περισσότερον ἰδικά μας αὐτὰ ποὺ ἔχουν γίνει δι᾽ ἐμᾶς. Διὰ νὰ μὴ ἀλαζονεύεται ὅμως πάλιν ἡ γυναῖκα διὰ τὸ ὅτι ἐδόθη εἰς τὸν ἄνδρα ὡς βοηθὸς καὶ συντρίψῃ αὐτὸν τὸν δεσμόν, δημιουργεῖ αὐτὴν ἀπὸ τὴν πλευρὰν τοῦ ἀνδρός, διὰ νὰ δείξῃ ὅτι αὐτὴ εἶναι ἓν μέρος τοῦ ὅλου σώματος. Ἀλλὰ διὰ νὰ μὴ ὑπερηφανεύεται οὔτε ὁ ἄνδρας δι᾽ αὐτό, δὲν ἀφήνει νὰ γίνεται μόνον ἀπὸ αὐτὸν αὐτὸ ποὺ πρὶν ἔγινεν ἀπὸ μόνον αὐτόν, ἀλλ᾽ ἔκαμε τὸ ἀντίθετον εἰς αὐτό, ἀφοῦ ἔθεσεν ὡς νόμον τὴν τεκνογονίαν, ἂν καὶ εἰς αὐτὸ ἐτίμησε περισσότερον τὸν ἄνδρα, δὲν ἐπέτρεψεν ὅμως τὸ πᾶν νὰ ἐξαρτᾶται ἀπὸ αὐτόν.

4. Εἶδες πόσους συνδέσμους ἀγάπης ὁ Θεὸς εἰργάσατο; Ἀλλὰ ταῦτα μὲν ἀπὸ τῆς φύσεως κατέθηκε τῇ ὁμονοίᾳ τὰ ἐνέχυρα. Καὶ γὰρ τὸ τῆς αὐτῆς οὐσίας εἶναι, εἰς τοῦτο ἄγει· πᾶν γὰρ ζῶον ἀγαπᾷ τὸ ὅμοιον αὐτοῦ· καὶ τὸ ἐξ ἀνδρὸς τὴν γυναῖκα εἶναι, καὶ τὸ ἐξ ἀμφοτέρων πάλιν τοὺς παῖδας. Ὅθεν καὶ πολλοὶ φύονται διαθέσεως τρόποι. Τὸν μὲν γὰρ ὡς πατέρα ἀγαπῶμεν, τὸν δὲ ὡς πάππον· καὶ τὴν μὲν ὡς μητέρα, τὴν δὲ ὡς τιθηνόν· καὶ τὸν μὲν ὡς υἱὸν καὶ ἔγγονον καὶ ἐξ ἐγγόνων πάλιν, τὴν δὲ ὡς θυγατέρα καὶ θυγατριδῆν· καὶ τὸν μὲν ὡς ἀδελφόν, τὸν δὲ ὡς ἀδελφιδοῦν· καὶ τὴν μὲν ὡς ἀδελφήν, τὴν δὲ ὡς ἀδελφιδῆν. Καὶ τί γὰρ δεῖ πάντα καταλέγειν τὰ τῆς συγγενείας ὀνόματα;

Ἐπενόησε δὲ καὶ ἑτέραν διαθέσεως ὑπόθεσιν. Ἀπαγορεύσας γὰρ τοὺς τῶν συγγενῶν γάμους, ἐπ' ἀλλοτρίους ἡμᾶς ἐξήγαγε, κἀκείνους πάλιν πρὸς ἡμᾶς εἵλκυσεν. Ἐπειδὴ γὰρ ἀπὸ τῆς φυσικῆς ταύτης συγγενείας οὐκ ἦν ἐκείνους ἡμῖν συναφθῆναι, ἀπὸ τοῦ γάμου πάλιν συνῆψεν, ὁλοκλήρους οἰκίας διὰ τῆς μιᾶς νύμφης συνάγων, καὶ γένη γένεσιν ὅλα ἀναμιγνύς. Μὴ γάμει γάρ, τὴν ἀδελφὴν τὴν σήν, μηδὲ τὴν ἀδελφὴν τοῦ πατρός, μηδὲ ἄλλην κόρην τὴν τοιαύτην συγγένειαν πρὸς σὲ κεκτημένην, ἣ διακωλύει τὸν γάμον, ὀνόματι θεὶς τῶν τοιούτων συγγενῶν τὰ εἴδη. Ἀρκεῖ σοι πρὸς τὴν ἐκείνων διάθεσιν τὸ λῦσαι τὰς αὐτὰς ὠδῖνας, τὸ ἑτέρως σοι προσήκειν τὰς ἄλλας. Τί στενοχωρεῖς τῆς ἀγάπης τὸ πλάτος; τί περιττῶς ὑπόθεσιν εἰς αὐτὴν φιλίας, δι' ἧς δύνασαι καὶ ἑτέραν πορίσασθαι φιλίας ἀφορμήν, ἔξωθεν γυναῖκα ἀγαγών, καὶ δι' ἐκείνης ὁρμαθὸν συγγενῶν, καὶ μητέρα, καὶ πατέρα, καὶ ἀδελφούς, καὶ τοὺς τούτων ἐπιτηδείους; Εἶδες πόσοις τρόποις ἡμᾶς συνέδησεν;

Ἀλλ' ὅμως οὐδὲ ταῦτα αὐτῷ ἤρκεσεν, ἀλλὰ καὶ ἀλλήλων χρήζειν κατεσκεύασεν, ἵνα καὶ οὕτως ἡμᾶς συναγάγῃ,

---

8. Λευϊτ. 18, 6.

4. Εἶδες πόσους δεσμοὺς ἀγάπης ἐπενόησεν ὁ Θεός; Ἀλλ' αὐτὰ μὲν τὰ ἐνέχυρα κατέθεσεν εἰς τὴν ὁμόνοιαν ἀπὸ τὴν φύσιν τοῦ ἀνθρώπου. Διότι τὸ νὰ εἶναι ἀπὸ τὴν ἰδίαν οὐσίαν, εἰς αὐτὸ ὁδηγεῖ· καθ' ὅσον κάθε ζῶον ἀγαπᾷ τὰ ζῶα τοῦ εἴδους του· καὶ τὸ νὰ ἔχῃ γίνει ἡ γυναῖκα ἀπὸ τὸν ἄνδρα, καὶ τὸ νὰ γίνωνται πάλιν τὰ τέκνα καὶ ἀπὸ τοὺς δύο. Δι' αὐτὸ καὶ δημιουργοῦνται πολλοὶ τρόποι διὰ σχέσεις μεταξύ μας. Δηλαδὴ τὸν μὲν ἀγαπῶμεν ὡς πατέρα, τὸν δὲ ὡς πάππον· καὶ τὴν μὲν ὡς μητέρα, τὴν δὲ ὡς τροφόν· καὶ τὸν μὲν ὡς υἱὸν καὶ ἔγγονον καὶ δισέγγονον, τὴν δὲ ὡς κόρην καὶ ἐγγονήν· καὶ τὸν μὲν ὡς ἀδελφόν, τὸ δὲ ὡς ἀνεψιόν. Ἀλλὰ καὶ τί χρειάζεται νὰ ἀπαριθμῶμεν ὅλα τὰ ὀνόματα τῆς συγγενείας;

Ἔθεσεν ὅμως καὶ ἄλλο θεμέλιον συγγενείας. Ἀφοῦ ἀπηγόρευσε δηλαδὴ τοὺς γάμους τῶν συγγενῶν, μᾶς ἔστρεψεν εἰς τοὺς ξένους, καὶ ἐκείνους πάλιν προσείλκυσε πρὸς ἐμᾶς. Διότι, ἐπειδὴ ἀπὸ τὴν φυσικὴν αὐτὴν συγγένειαν δὲν ἦτο δυνατὸν νὰ συνδεθοῦν αὐτοὶ μὲ ἐμᾶς, μᾶς συνέδεσε μὲ τὸν γάμον, καὶ συνενώνει ἔτσι ὁλοκλήρους οἰκίας μὲ τὴν μίαν νύμφην καὶ ἀναμιγνύει γένη μὲ γένη. Διότι, μὴ λάβῃς ὡς γυναῖκα, λέγει, τὴν ἀδελφήν σου, οὔτε τὴν ἀδελφὴν τοῦ πατρός[8], οὔτε ἄλλην ἡ ὁποία ἔχει μαζί σου τέτοιαν συγγένειαν ποὺ κωλύει τὸν γάμον ἀφοῦ ἀνέφερε τὰ ὀνόματα αὐτῶν τῶν συγγενῶν. Σοῦ ἀρκεῖ ἡ διάθεσις πρὸς ἐκείνους τὸ νὰ ἀντιμετωπίσῃς τοὺς ἰδίους πόνους, τὸ νὰ δεικνύῃς δηλαδὴ ἄλλην διάθεσιν πρὸς τὰς ἄλλας. Διατί στενεύεις τὸ πλάτος τῆς ἀγάπης; διατί ἐξοδεύεις ἄδικα δυνατότητα συνδέσμου εἰς τὴν συγγένειαν ποὺ ἤδη ὑπάρχει, μὲ τὴν ὁποίαν δυνατότητα ἠμπορεῖς νὰ κερδήσῃς καὶ ἄλλην ἀφορμὴν φιλίας μὲ τὸ νὰ λάβῃς γυναῖκα ξένην καὶ διὰ μέσου ἐκείνης σειρὰν συγγενῶν, καὶ μητέρα καὶ πατέρα καὶ ἀδελφοὺς καὶ τοὺς συγγενεῖς των; Εἶδες μὲ πόσους τρόπους μᾶς συνέδεσεν;

Καὶ ὅμως οὔτε αὐτὰ ἐστάθησαν ἀρκετὰ δι' αὐτόν, ἀλλ' ἔκανε ἐπὶ πλέον ἔτσι, ὥστε νὰ ἔχωμεν ἀνάγκην ὁ ἕνας τοῦ ἄλλου, διὰ νὰ μᾶς συνδέσῃ καὶ μὲ αὐτὸν τὸν τρόπον,

ἐπειδὴ μάλιστα τὰς φιλίας αἱ χρεῖαι ποιοῦσι. Διὰ δὴ τοῦτο οὐδὲ πάντα ἀφῆκε πανταχοῦ γίνεσθαι, ἵνα κἀντεῦθεν ἀλλήλοις ἀναμίγνυσθαι ἀναγκάσῃ. Καταστήσας δὲ ἡμᾶς ἐν χρείᾳ ἀλλήλων, εὔκολον πάλιν τὴν ἐπιμιξίαν ἐποίησεν· ἐπεὶ εἰ μὴ τοῦτο ἦν, εἰς ἑτέραν ἀηδίαν τὸ πρᾶγμα περιΐστατο καὶ δυσχέρειαν. Εἰ γὰρ ἰατροῦ δεόμενον ἢ τέκτονος ἢ ἑτέρου δημιουργοῦ, μακρὰν ἔδει στέλλεσθαι ἀποδημίαν, τὸ πᾶν ἀπωλώλει. Διὰ δὴ τοῦτο καὶ πόλεις κατεσκεύασε, καὶ πάντας ὁμοῦ συνήγαγεν. Ἵνα δὲ καὶ τοῖς πόρρωθεν ῥᾳδίως ἐπιχωριάζωμεν, θάλατταν εἰς μέσον ἥπλωσε, καὶ ἀνέμων ταχύτητα ἔδωκε, ῥᾳδίας ἐντεῦθεν τὰς ἀποδημίας ποιῶν. Παρὰ δὲ τὴν ἀρχὴν καὶ ἐν ἑνὶ πάντας συνήγαγε χωρίῳ, καὶ οὐ πρότερον διέσπειρεν, ἕως εἰς κακὸν ἐχρήσαντο τῇ ὁμονοίᾳ οἱ πρῶτοι λαβόντες τὸ δῶρον· ἀλλὰ πάντοθεν ἡμᾶς συνήγαγε καὶ ἀπὸ φύσεως καὶ ἀπὸ συγγενείας καὶ ἀπὸ γλώττης καὶ ἀπὸ τόπου. Καὶ ὥσπερ οὐκ ἐβούλετο ἐκπεσεῖν ἡμᾶς τοῦ παραδείσου· (εἰ γὰρ ἐβούλετο, οὐδ᾽ ἂν ἐκεῖ κατέθετο ὃν ἐποίησεν ἄνθρωπον τὴν ἀρχήν), ἀλλ᾽ ὁ παρακούσας αἴτιος· οὕτως οὐδὲ ἀλλογλώσσους εἶναι ἠθέλησεν· ἐπεὶ κἂν ἐξ ἀρχῆς τοῦτο ἐποίησε· νῦν δέ, «Πᾶσα ἡ γῆ χεῖλος ἓν ἦν, καὶ φωνὴ μία πᾶσι». Διὰ δὴ τοῦτο οὐδὲ ἡνίκα τὴν γῆν ἀφανισθῆναι ἔδει, οὐδὲ τότε ἐξ ἄλλης ἡμᾶς ἐποίησεν ὕλης, οὐδὲ μετέθηκε τὸν δίκαιον, ἀλλ᾽ ἀφεὶς αὐτὸν ἐν μέσῳ τῷ κλυδωνίῳ, ὥσπερ τινὰ σπινθῆρα τῆς οἰκουμένης, ἀνῆψε πάλιν ἡμῶν τὸ γένος ἐκεῖθεν ἀπὸ τοῦ μακαρίου Νῶε.

Καὶ ἐξ ἀρχῆς μὲν μίαν ἐποίησεν ἀρχήν, τὸν ἄνδρα ἐπιστήσας τῇ γυναικί· ἐπειδὴ δὲ εἰς πολλὴν ἐξώκειλεν ἀταξίαν τὸ γένος ἡμῶν, καὶ ἑτέρας κατέστησε, τὰς τῶν δε-

9. Γεν. 11, 1.

ἐπειδὴ αἱ ἀνάγκαι δημιουργοῦν στενὰς φιλίας. Δι' αὐτὸ λοιπὸν δὲν ἐπέτρεψε νὰ γίνωνται τὰ πάντα παντοῦ, διὰ νὰ μᾶς ἀναγκάσῃ καὶ μὲ αὐτὸ νὰ συνενούμεθα. Ἀφοῦ δὲ μᾶς ἔκανε νὰ ἔχωμεν ἀνάγκην ὁ ἕνας τοῦ ἄλλου, ἔκανε πάλιν εὔκολον τὴν συνένωσιν· καθ' ὅσον, ἐὰν δὲν ὑπῆρχεν αὐτό, θὰ μετεβάλλετο τὸ πρᾶγμα εἰς ἄλλην ἔλλειψιν φιλίας καὶ δυσκολίαν εἰς τὴν συναναστροφήν. Διότι, ἐὰν αὐτὸς ποὺ ἔχει ἀνάγκην ἰατροῦ ἢ κτίστου ἢ ἄλλου τεχνίτου ἔπρεπε νὰ ταξειδεύσῃ μακρυά, δὲν θὰ ἦτο δυνατὸν νὰ σταθῇ ἡ ζωή. Δι' αὐτὸ βεβαίως καὶ ἔκανε νὰ ὑπάρχουν πόλεις καὶ συγκέντρωσεν ὅλους διὰ νὰ ζοῦν μαζί. Διὰ νὰ ἐρχώμεθα δὲ εὐκόλως καὶ εἰς αὐτοὺς ποὺ εὑρίσκονται μακράν, ἥπλωσεν εἰς τὸ ἐνδιάμεσον τὴν θάλασσαν καὶ ἔδωσε ταχύτητα εἰς τοὺς ἀνέμους καὶ ἔτσι ἔκανε εὔκολα τὰ ταξείδια. Ἀπὸ τὴν ἀρχὴν δὲ συνεκέντρωσεν ὅλους καὶ εἰς ἓν τόπον καὶ δὲν μᾶς διεσκόρπισε, παρὰ μόνον ὅταν ἔκαναν κακὴν χρῆσιν τῆς ὁμονοίας ἐκεῖνοι ποὺ ἔλαβον πρῶτοι αὐτὸ τὸ δῶρον· ἀλλ' ἀπὸ κάθε πλευρὰν μᾶς συνήνωσε, καὶ ἀπὸ τὴν φύσιν καὶ ἀπὸ τὴν συγγένειαν καὶ ἀπὸ τὴν γλῶσσαν καὶ ἀπὸ τὸν τόπον. Καὶ ὅπως δὲν ἤθελε νὰ ἐκπέσωμεν ἀπὸ τὸν Παράδεισον (διότι ἐὰν ἤθελε δὲν θὰ ἔθετεν ἐκεῖ ἀπὸ τὴν ἀρχὴν τὸν ἄνθρωπον), ἀλλ' ὑπαίτιος δι' αὐτὸ εἶναι αὐτὸς ποὺ παρήκουσεν, ἔτσι δὲν ἠθέλησεν οὔτε τὸ νὰ ὁμιλῶμεν διαφόρους γλώσσας· διότι, ἐὰν τὸ ἤθελε θὰ ἔκαμνεν αὐτὸ ἀπὸ τὴν ἀρχήν· ὅμως «Εἰς τὴν ἀρχὴν ὅλοι οἱ ἄνθρωποι ὡμίλουν μίαν γλῶσσαν, εἶχον τὴν αὐτὴν ὁμιλίαν»[9]. Δι' αὐτὸ βεβαίως οὔτε ὅταν ἔπρεπε ν' ἀφανισθῇ ἡ γῆ, οὔτε τότε μᾶς ἔπλασεν ἀπὸ διαφορετικὴν ὕλην, οὔτε μετετόπισε τὸν δίκαιον, ἀλλ' ἀφοῦ τὸν ἄφησε μέσα εἰς τὴν τρικυμίαν ὡσὰν κάποιον σπινθῆρα ἀπὸ ὅλην τὴν οἰκουμένην, ἤναψε πάλιν μὲ αὐτὸν τὸ γένος μας ἀπὸ τὸν μακάριον Νῶε.

Καὶ ἀρχικῶς μὲν ἐδημιούργησε μίαν ἐξουσίαν ἀφοῦ ἔθεσε τὸν ἄνδρα κεφαλὴν τῆς γυναικός· ἐπειδὴ ὅμως ἐξετράπη εἰς πολλὴν ἀκαταστασίαν καὶ ἁμαρτίαν τὸ γένος μας, ἔθεσε καὶ ἄλλας, δηλαδὴ τὰς ἐξουσίας τῶν ἡγεμόνων

σποτῶν, τὰς τῶν ἀρχόντων· καὶ τοῦτο δὲ δι' ἀγάπην. Ἐπειδὴ γὰρ ἡ κακία διαλυτικὸν καὶ ἀναιρετικὸν ἡμῶν τοῦ γένους, ὥσπερ τινὰς ἰατροὺς ἐν μέσαις ταῖς πόλεσιν ἐκάθισε τοὺς δικάζοντας, ἵν' ὥσπερ τινὰ λοιμὸν τῆς ἀγάπης τὴν κακίαν ἀπελαύνοντες, πάντας εἰς ἓν συναγάγωσιν. Ἵνα δὲ μὴ μόνον ἐν ταῖς πόλεσιν, ἀλλὰ καὶ ἐν ἑκάστῃ οἰκίᾳ πολλὴ ἡ ὁμόνοια ᾖ, τὸν μὲν ἄνδρα τῇ ἀρχῇ καὶ τῇ ὑπεροχῇ τιμήσας, τὴν δὲ γυναῖκα τῇ ἐπιθυμίᾳ καθοπλίσας, καὶ τὸ τῆς παιδοποιΐας δὲ δῶρον εἰς μέσον ἀμφοτέροις καταθείς, καὶ ἕτερα μετὰ τούτων συναγωγὰ τῆς ἀγάπης κατεσκεύασεν.

Οὔτε γὰρ πάντα ἐπέτρεψε τῷ ἀνδρί, οὔτε πάντα τῇ γυναικί, ἀλλὰ καὶ ταῦτα διεῖλεν ἑκάστῳ, τῇ μὲν τὴν οἰκίαν, τῷ δὲ τὴν ἀγορὰν ἐγχειρίσας, καὶ τῷ μὲν τὸ τρέφειν, γεωργεῖ γάρ· τῇ δὲ τὸ περιβάλλειν, ἱστὸς γὰρ καὶ ἠλακάτη τῆς γυναικός· αὐτὸς γὰρ ἔδωκε τῇ γυναικὶ ὑφάσματος σοφίαν. Ἀλλ' ἀπόλοιτο ἡ φιλαργυρία, οὐκ ἀφιεῖσα ταύτην φαίνεσθαι τὴν διάκρισιν. Ἡ γὰρ βλακεία τῶν πολλῶν καὶ τοὺς ἄνδρας εἰς τοὺς ἱστοὺς εἰσήγαγε, καὶ κερκίδας αὐτοῖς ἐνεχείρισε, καὶ κρόκην καὶ στήμονας. Ἀλλ' ὅμως καὶ οὕτω διαλάμπει τῆς θείας οἰκονομίας ἡ πρόνοια. Καὶ γὰρ καὶ τῆς γυναικὸς ἐν ἄλλοις ἀναγκαιοτέροις σφόδρα δεόμεθα, καὶ τῶν ἐλαττόνων ἐν τοῖς συνέχουσι τὸν βίον ἡμῶν χρήζομεν. Καὶ τοσαύτη τῆς χρείας ἐστὶν ἡ ἀνάγκη, ὅτι κἂν πάντων ἀνθρώπων πλουσιώτερος ᾖ τις, οὐδὲ οὕτω ταύτης ἀπήλλακται τῆς συναφείας, καὶ τοῦ δεῖσθαι τοῦ καταδεεστέρου. Οὐ γὰρ δὴ τῶν πλουσίων οἱ πένητες δέονται μόνον, ἀλλὰ καὶ οἱ πλούσιοι τῶν πενήτων, καὶ οὗτοι μᾶλλον ἐκείνων, ἢ ἐκεῖνοι τούτων.

5. Καὶ ἵνα τοῦτο σαφέστερον ἴδῃς, ποιήσωμεν, εἰ δοκεῖ, δύο πόλεις, τὴν μὲν πλουσίων μόνον, τὴν δὲ πενήτων· καὶ

καὶ τῶν ἀρχόντων· καὶ αὐτὸ ὅμως διὰ τὴν ἀγάπην. Ἐπειδὴ δηλαδὴ ἡ κακία διαλύει καὶ ἀφανίζει τὸ γένος μας, ἐκάθισε τοὺς δικαστὰς εἰς τὸ μέσον τῶν πόλεων ὡσὰν ἰατρούς, ὥστε, ἀφοῦ ἀποδιώκουν τὴν κακίαν ὡς ὄλεθρον τῆς ἀγάπης, νὰ συνενώνουν ὅλους εἰς μίαν κοινωνίαν. Διὰ νὰ μὴ ὑπάρχῃ ὅμως μόνον εἰς τὰς πόλεις, ἀλλὰ καὶ εἰς κάθε οἰκίαν πολλὴ ὁμόνοια, ἀφοῦ ἐτίμησε τὸν μὲν ἄνδρα μὲ τὴν ἐξουσίαν καὶ τὴν ὑπεροχὴν καὶ ἀφοῦ ὥπλισε τὴν γυναῖκα μὲ τὸ νὰ εἶναι ἐπιθυμητή, καὶ ἔθεσε τὸ δῶρον τῆς τεκνογονίας εἰς τὸ μέσον, μαζὶ μὲ αὐτὰ ἔκανε καὶ ἄλλας αἰτίας ποὺ νὰ ὁδηγοῦν εἰς τὴν ἀγάπην.

Δὲν ἐπέτρεψε δηλαδὴ νὰ γίνωνται τὰ πάντα οὔτε ἀπὸ τὸν ἄνδρα, οὔτε ἀπὸ τὴν γυναῖκα, ἀλλὰ τὰ πάντα διεμοίρασεν εἰς τὸν καθένα, ἀφοῦ ἔδωσεν εἰς τὴν ἐξουσίαν τῆς γυναικὸς μὲν τὴν οἰκίαν, τοῦ δὲ ἀνδρὸς τὴν ἀγοράν, καὶ εἰς τὸν μὲν ἄνδρα τὸ νὰ τρέφῃ, διότι καλλιεργεῖ τὴν γῆν, εἰς τὴν δὲ γυναῖκα τὸ νὰ ἐνδύῃ, διότι ὁ ἐργαλειὸς καὶ ἡ ρόκα ἀνήκουν εἰς τὴν γυναῖκα. Καθ' ὅσον ὁ Θεὸς ἐσόφισε τὴν γυναῖκα εἰς τὸ νὰ ὑφαίνῃ. Ἀλλ' ἠφάνισεν ἡ φιλαργυρία καὶ δὲν ἄφησε νὰ φαίνεται αὐτὴ ἡ διάκρισις. Διότι ἡ ὀκνηρία καὶ ἀνοησία τῶν πολλῶν καὶ τοὺς ἄνδρας ὡδήγησεν εἰς τοὺς ἀργαλειοὺς καὶ κτένια ὑφάντου ἔδωσεν εἰς τὰ χέρια των καὶ νήματα καὶ στημόνια. Ἀλλὰ καὶ μέσα ἀπὸ αὐτὰ λάμπει ἡ πρόνοια τῆς θείας οἰκονομίας. Διότι καὶ εἰς ἄλλα περισσότερον ἀπαραίτητα ἔχομεν ἀνάγκην τῆς γυναικὸς καὶ ἀπὸ τὰ παραμικρότερα ποὺ συγκρατοῦν τὴν ζωήν μας ἔχομεν ἀνάγκην. Καὶ τόση εἶναι ἡ δέσμευσις καὶ ἡ βία τῆς ἀνάγκης, ὥστε καὶ ἂν ἀκόμη εἶναι κανεὶς πλουσιώτερος ἀπὸ ὅλους τοὺς ἀνθρώπους, οὔτε ἔτσι εἶναι ἀπηλλαγμένος ἀπὸ τὸν σύνδεσμον μὲ τοὺς ἄλλους καὶ ἀπὸ τοῦ νὰ ἔχῃ ἀνάγκην τοὺς κατωτέρους. Διότι δὲν ἔχουν ἀνάγκην μόνον οἱ πτωχοὶ τοὺς πλουσίους, ἀλλὰ καὶ οἱ πλούσιοι τοὺς πτωχούς, καὶ περισσότερον οἱ πλούσιοι τοὺς πτωχούς, παρὰ οἱ πτωχοὶ τοὺς πλουσίους.

5. Καὶ διὰ νὰ ἴδῃς αὐτὸ σαφέστερον, ἂς λάβωμεν ὡς παράδειγμα, ἐὰν θέλῃς, δύο πόλεις, ἀπὸ τὰς ὁποίας ἡ μὲν

μήτε ἐν τῇ τῶν πλουτούντων ἔστω τις πένης, μήτε ἐν τῇ τῶν πενήτων ἔστω τις πλούσιος ἀνήρ, ἀλλ' ἐκκαθάρωμεν ἀκριβῶς ἑκατέρας, καὶ ἴδωμεν ποία μᾶλλον ἀρκέσαι ἑαυτῇ δυνήσεται. Ἐὰν γὰρ εὕρωμεν τὴν τῶν πενήτων δυναμένην, εὔδηλον ὅτι οἱ πλούσιοι τούτων μᾶλλον δεήσονται. Οὐκοῦν ἐν μὲν ἐκείνῃ, τῇ τῶν εὐπόρων, οὐδεὶς ἔσται δημιουργός, οὐκ οἰκοδόμος, οὐ τέκτων, οὐχ ὑποδηματορράφος, οὐκ ἀρτοποιός, οὐ γεωργός, οὐ χαλκοτύπος, οὐ σχοινοτρόφος, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν. Τίς γὰρ ἂν ἕλοιτο τῶν πλουτούντων ταῦτα μετιέναι ποτέ, ὅπου γε καὶ αὐτοὶ οἱ ταῦτα μεταχειρίζοντες, ὅταν εὐπορήσωσιν, οὐκ ἀνέχονται τῆς ἀπὸ τῶν ἔργων τούτων ταλαιπωρίας; Πῶς οὖν ἡ πόλις ἡμῖν στήσεται αὕτη; Δόντες, φησίν, ἀργύριον οἱ πλουτοῦντες, ταῦτα ὠνήσονται παρὰ τῶν πενήτων. Οὐκοῦν οὐκ ἀρκέσουσιν ἑαυτοῖς, εἴγε ἐκείνων δέονται. Πῶς δὲ οἰκίας οἰκοδομήσονται; ἢ καὶ τοῦτο ὠνήσονται; Ἀλλ' οὐκ ἂν ἔχοι τοῦτο φύσιν. Οὐκοῦν ἀνάγκη τοὺς τεχνίτας ἐκεῖ καλεῖν, καὶ διαφθείρειν τὸν νόμον, ὃν ἐθήκαμεν ἐξ ἀρχῆς τὴν πόλιν οἰκίζοντες· μέμνησθε γάρ· ὅτε ἐλέγομεν, μηδεὶς ἔστω πένης ἔνδον. Ἀλλ' ἰδοὺ ἡ χρεία, καὶ μὴ βουλομένων ἡμῶν, ἐκάλεσεν αὐτοὺς καὶ εἰσήγαγεν. Ὅθεν δῆλον, ὡς ἀδύνατον χωρὶς πενήτων συστῆναι πόλιν. Εἰ γὰρ μόνον ἡ πόλις μηδένα παραδεχομένη τούτων, οὐκέτι ἔσται πόλις, ἀλλ' ἀπολεῖται. Οὐκοῦν οὐκ ἀρκέσει ἑαυτῇ, εἰ μὴ καθάπερ τινὰς σωτῆρας τοὺς πένητας παρ' ἑαυτῇ συναγάγοι.

Ἴδωμεν οὖν καὶ τὴν τῶν πενήτων πόλιν, εἰ καὶ αὕτη ὁμοίως ἐνδεῶς διακείσεται τῶν πλουτούντων ἐστερημένη. Καὶ πρότερον διακαθάρωμεν τῷ λόγῳ τὸν πλοῦτον, καὶ δείξωμεν αὐτὸν σαφῶς. Τί ποτ' οὖν ἐστι πλοῦτος; Χρυσός, ἄργυρος,

μία νὰ κατοικῆται μόνον ἀπὸ πλουσίους, ἡ δὲ ἄλλη ἀπὸ πτωχούς· καὶ οὔτε εἰς τὴν πόλιν τῶν πλουσίων νὰ ὑπάρχῃ κανεὶς πτωχός, οὔτε εἰς τὴν τῶν πτωχῶν κανεὶς πλούσιος, ἀλλ' ἂς καθαρίσωμεν τελείως καὶ τὰς δύο καὶ ἂς ἰδοῦμεν ποία θὰ ἠμπορέσῃ περισσότερον νὰ ἀρκεσθῇ εἰς τοὺς κατοίκους της. Ἐὰν λοιπὸν εὕρωμεν ὅτι θὰ ἠμπορέσῃ ἡ τῶν πτωχῶν, εἶναι ὁλοφάνερον ὅτι οἱ πλούσιοι περισσότερον ἔχουν ἀνάγκην ἀπὸ αὐτούς. Λοιπὸν εἰς μὲν ἐκείνην τὴν πόλιν τῶν πλουσίων, δὲν θὰ ὑπάρχῃ κανεὶς τεχνίτης, οὔτε οἰκοδόμος, οὔτε κτίστης, οὔτε ὑποδηματοποιός, οὔτε ἀρτοποιός, οὔτε γεωργός, οὔτε σιδηρουργός, οὔτε αὐτὸς ποὺ φροντίζει διὰ τὸ ὕδωρ, οὔτε ἄλλο τίποτε τέτοιο. Διότι ποῖος ἀπὸ τοὺς πλουσίους θὰ ἤθελε ποτὲ νὰ ἀσχοληθῇ μὲ αὐτά, ἀφοῦ καὶ αὐτοὶ ποὺ ἀσχολοῦνται ὅταν γίνουν πλούσιοι δὲν ἀνέχονται νὰ ταλαιπωροῦνται ἀπὸ αὐτὰς τὰς ἐργασίας; Πῶς θὰ σταθῇ λοιπὸν αὐτὴ ἡ πόλις; Ἀφοῦ δώσουν, θὰ εἰπῇ, χρήματα οἱ πλούσιοι, θ' ἀγοράσουν αὐτὰ ἀπὸ τοὺς πτωχούς. Ἄρα λοιπὸν δὲν ἠμποροῦν νὰ εἶναι αὐτάρκεις, ἀφοῦ ἔχουν ἀνάγκην ἀπὸ ἐκείνους. Πῶς ὅμως θὰ κτίσουν οἰκίας; ἢ μήπως θ' ἀγοράσουν καὶ αὐτάς; Αὐτὸ ὅμως δὲν ἠμπορεῖ νὰ γίνῃ. Λοιπὸν εἶναι ἀνάγκη νὰ καλοῦν τοὺς τεχνίτας ἐκεῖ καὶ νὰ καταλύσουν τὸν νόμον ποὺ ἐθέσαμεν ἐξ ἀρχῆς ὅταν ἐλέγομεν νὰ μὴ ὑπάρχῃ κανεὶς πτωχὸς μέσα. Νὰ ὅμως ποὺ ἡ ἀνάγκη, καὶ χωρὶς νὰ θέλωμεν, ἐκάλεσε καὶ ἔβαλεν αὐτοὺς μέσα, πρᾶγμα ἀπὸ τὸ ὁποῖον εἶναι φανερόν, ὅτι εἶναι ἀδύνατον νὰ σταθῇ πόλις χωρὶς πτωχούς. Διότι, ἐὰν παραμείνῃ χωρὶς νὰ δεχθῇ κανένα ἀπὸ αὐτούς, δὲν θὰ εἶναι πόλις, ἀλλὰ θὰ καταστραφῇ. Λοιπὸν δὲν θὰ σταθῇ ἱκανὴ ν' ἀντεπεξέλθῃ εἰς τὰς ἀνάγκας της, ἐὰν δὲν συγκεντρώσῃ μέσα της ὡς σωτῆρας τοὺς πτωχούς.

Ἂς ἰδοῦμεν ὅμως καὶ τὴν πόλιν τῶν πτωχῶν, ἐὰν καὶ αὐτὴ ἐπίσης θὰ ὑποστῇ κάποιαν ἔλλειψιν μὲ τὸ νὰ στερηθῇ τοὺς πλουσίους. Προηγουμένως ὅμως ἂς ὁρίσωμεν ἀκριβῶς μὲ τὸν λόγον τὸν πλοῦτον καὶ ἂς δείξωμεν αὐτὸν σαφῶς. Τί τέλος πάντων εἶναι πλοῦτος; Χρυσός, ἄργυρος

καὶ λίθοι τίμιοι, καὶ ἱμάτια σηρικὰ καὶ ἁλουργὰ καὶ διάχρυσα. Ἐπεὶ οὖν ἐφάνη τί ποτέ ἐστιν ὁ πλοῦτος, ἀπελάσωμεν αὐτὸν τῆς τῶν πενήτων πόλεως, εἰ μέλλοιμεν καθαρῶς πόλιν πενήτων ποιεῖν, καὶ μηδὲ ὄναρ ἐκεῖ φαινέσθω χρυσίον, μηδὲ ἱμάτια τοιαῦτα· εἰ δὲ βούλει, μηδὲ ἄργυρος, μηδὲ τὰ ἐξ ἀργύρου σκεύη. Τί οὖν παρὰ τοῦτο ἐνδεῶς σχήσει τὰ τῆς πόλεως ταύτης, εἰπέ μοι; Οὐδέν. Ἄν τε γὰρ οἰκοδομεῖν δέῃ, οὐ χρυσοῦ καὶ ἀργύρου δεῖ καὶ μαργαριτῶν, ἀλλὰ τέχνης καὶ χειρῶν, χειρῶν δὲ οὐχ ἁπλῶς, ἀλλὰ τετυλωμένων, καὶ δακτύλων ἀπεσκληκότων, καὶ ἰσχύος πολλῆς, καὶ ξύλων καὶ λίθων· ἄν τε ὑφαίνειν πάλιν ἱμάτιον, οὐ χρυσοῦ πάλιν ἡμῖν δεῖ καὶ ἀργύρου, ἀλλὰ χειρῶν πάλιν καὶ τέχνης καὶ γυναικῶν ἐργαζομένων. Τί δέ, ἐὰν γεωργῶν δέῃ καὶ σκάπτειν τὴν γῆν; πλουτούντων ἢ πενομένων χρεία; Παντί που δῆλον, ὅτι πενήτων. Καὶ σίδηρον δὲ ὅταν δέῃ χαλκεύειν, καὶ ἄλλο τι τῶν τοιούτων ποιεῖν, τοῦ δήμου τούτου μάλιστα ἡμῖν δεῖ. Ποῦ οὖν δεησόμεθα τῶν πλουτούντων λοιπόν, πλὴν εἰ μὴ καθελεῖν δέοι τὴν πόλιν ταύτην; Εἰ γὰρ ἐπεισελθόντων ἐκείνων εἰς τὴν τοῦ χρυσίου καὶ τῶν μαργαριτῶν ἐμπέσοιεν ἐπιθυμίαν οὗτοι οἱ φιλόσοφοι· (φιλοσόφους γὰρ ἐγὼ καλῶ τοὺς οὐδὲν περιττὸν ἐπιζητοῦντας), ἀργίᾳ δόντες ἑαυτοὺς καὶ τρυφῇ, πάντα ἀπολοῦσι λοιπόν.

Καὶ εἰ μὴ χρήσιμος ὁ πλοῦτος, φησί, τίνος ἕνεκεν δέδοται παρὰ Θεοῦ; Καὶ πόθεν δῆλον, ὅτι παρὰ τοῦ Θεοῦ τὸ πλουτεῖν; Ἡ Γραφή φησιν, «Ἐμὸν τὸ ἐργύριον, καὶ ἐμὸν τὸ χρυσίον, καὶ ᾧ ἐὰν θέλω, δώσω αὐτό». Ἐνταῦθα εἰ μὴ πρᾶγμα ἐποίουν αἰσχρόν, κἂν ἐγέλασα νῦν πλατὺν γέλωτα, τῶν ταῦτα λεγόντων καταγελῶν, ὅτι καθάπερ παιδία μικρὰ τραπέζης ἀπολαύοντα βασιλικῆς, μετ' ἐκείνης τῆς τροφῆς καὶ τὸ προστυχὸν ἅπαν ἐπεμβάλλουσι τῷ στόματι· οὕτω καὶ οὗτοι μετὰ τῶν θείων Γραφῶν καὶ τὰ παρ' ἑαυτῶν συνεισάγουσι. Τὸ μὲν γάρ, «Ἐμὸν τὸ ἀργύριον, καὶ ἐμὸν τὸ χρυσίον», οἶδα εἰρη-

10. Ἀγγ. 2, 8.

καὶ πολύτιμοι λίθοι καὶ μεταξωτὰ ἱμάτια καὶ πορφυρᾶ χρυσοῦφαντα. Ἀφοῦ λοιπὸν ἐδείχθη τί εἶναι ὁ πρῶτος, ἂς ἀποδιώξωμεν αὐτὸν ἀπὸ τὴν πόλιν τῶν πτωχῶν, ἀφοῦ πρόκειται νὰ κάνωμεν καθαρῶς πόλιν πτωχῶν, καὶ οὔτε εἰς ὄνειρον ἂς μὴ φανῇ χρυσὸς ἐκεῖ, οὔτε τέτοια ἐνδύματα· ἐὰν δὲ θέλῃς, οὔτε ἄργυρος, οὔτε τὰ ἀπὸ ἄργυρον σκεύη. Εἰπέ μου, λοιπόν, ἐκτὸς ἀπὸ αὐτὸ τί θὰ λείψῃ ἀπὸ αὐτὴν τὴν πόλιν; Τίποτε. Διότι ὅταν χρειάζεται κτίσιμον, δὲν χρειάζεται χρυσὸς καὶ ἄργυρος καὶ μαργαρῖται, ἀλλὰ τέχνη καὶ χέρια, ὄχι δὲ ἁπλῶς χέρια, ἀλλὰ σκληρὰ δάκτυλα εἰργασμένα καὶ δύναμις πολλὴ καὶ ξύλα καὶ λίθοι· καὶ ἐὰν πάλιν χρειασθῇ νὰ ὑφανθῇ ἱμάτιον, δὲν μᾶς χρειάζεται πάλιν χρυσὸς καὶ ἄργυρος, ἀλλὰ πάλιν χέρια καὶ τέχνη καὶ γυναῖκες ἐργαζόμεναι. Τί δέ, ὅταν εἶναι ἀνάγκη νὰ καλλιεργηθῇ καὶ νὰ σκαφθῇ ἡ γῆ, πλούσιοι χρειάζονται ἢ πτωχοί; Εἶναι ὁλοφάνερον ὅτι πτωχοὶ χρειάζονται. Ἀλλὰ καὶ ὅταν εἶναι ἀνάγκη νὰ γίνῃ κατεργασία τοῦ σιδήρου καὶ κάτι ἄλλο ἀπὸ αὐτὰ νὰ γίνῃ, τότε εἶναι ἀπόλυτος ἀνάγκη ἀπὸ αὐτὸν τὸν λαόν. Ποῦ θὰ χρειασθῶμεν λοιπὸν τοὺς πλουσίους, παρὰ μόνον ἐὰν χρειασθῇ νὰ καταστρέψωμεν αὐτὴν τὴν πόλιν; Διότι, ἐάν, ἀφοῦ ὑπεισέλθουν ἐκεῖνοι, πέσουν εἰς τὴν ἐπιθυμίαν τοῦ χρυσοῦ καὶ τῶν μαργαριτῶν αὐτοὶ οἱ φιλόσοφοι (διότι φιλοσόφους ὀνομάζω ἐγὼ αὐτοὺς ποὺ δὲν ἐπιδιώκουν τίποτε περιττὸν) καὶ παραδοθοῦν εἰς ἀνεργίαν καὶ ἀπόλαυσιν, ὅλα πλέον θὰ τὰ ἀφανίσουν.

Καὶ ἐὰν δὲν εἶναι χρήσιμος ὁ πλοῦτος, θὰ εἴπῃ, διατὶ ἐδόθη ἀπὸ τὸν Θεόν; Καὶ ἀπὸ ποῦ εἶναι φανερὸν ὅτι ὁ πλοῦτος δίδεται ἀπὸ τὸν Θεόν; Ἡ Γραφὴ λέγει, «Ἰδικός μου εἶναι ὁ ἄργυρος καὶ ὁ χρυσὸς καὶ εἰς ὅποιον θέλω θὰ τὸν δώσω»[10]. Εἰς τὴν περίπτωσιν αὐτὴν ἐὰν δὲν ἀπετέλει ἀπρέπειαν, θὰ ἐγέλων μὲ πολὺν γέλωτα, περιγελῶν αὐτοὺς ποὺ λέγουν αὐτά, διότι ὡσὰν μικρὰ παιδιά, πού, ἐνῷ ἀπολαμβάνουν βασιλικὴν τράπεζαν, μαζὶ μὲ ἐκείνην τὴν τροφὴν βάλλουν μέσα εἰς τὸ στόμα καὶ ὅ,τι τύχῃ, ἔτσι καὶ αὐτοί, μαζὶ μὲ τὰς ἁγίας Γραφὰς εἰσάγουν καὶ τὰς ἰδικάς των γνώμας καὶ ἐπιθυμίας. Διότι τὸ μέν, «Ἰδικός μου εἶ-

μένον τῷ προφήτῃ· τὸ δέ, «ᾧ ἐὰν θέλω, δώσω αὐτό», οὐκέτι προσκείμενον, ἀλλὰ παρὰ τῶν συρφετῶν τούτων ἐπεισενηνεγμένον.

Καὶ ἐκεῖνο δὲ τίνος ἕνεκεν εἴρηται, ἐρῶ. Ὁ γὰρ προφήτης Ἀγγαῖος ἐπειδὴ συνεχῶς ἐπηγγέλλετο τοῖς Ἰουδαίοις μετὰ τὴν ἐπάνοδον τὴν ἐκ Βαβυλῶνος τὸν ναὸν δείξειν ἐπὶ τοῦ σχήματος τοῦ προτέρου, καὶ ἠπίστουν τῷ λεγομένῳ τινές, καὶ σχεδὸν ἀδύνατον εἶναι ἐνόμιζον, εἰ μετὰ τὴν τέφραν καὶ τὴν κόνιν τοιοῦτος πάλιν φανεῖται ὁ οἶκος ἐκεῖνος, ἐκλύων αὐτῶν τὴν ἀπιστίαν, ἐκ προσώπου τοῦ Θεοῦ ταῦτα λέγει, ὡς ἂν εἰ ἔλεγε· τί δεδοίκατε; τί δὲ ἀπιστεῖτε; «Ἐμὸν τὸ ἀργύριον, καὶ ἐμὸν τὸ χρυσίον» καὶ οὐ δέομαι παρ᾽ ἑτέρων δανεισάμενος, οὕτω καλλωπίσαι τὸν οἶκον. Καὶ ὅτι τοῦτό ἐστιν, ἐπήγαγε. «Καὶ ἔσται ἡ δόξα τοῦ οἴκου τούτου ἡ ἐσχάτη ὑπὲρ τὴν ἔμπροσθεν». Μὴ τοίνυν ἀραχνῶν ὑφάσματα ἐπεισάγωμεν τῷ πέπλῳ τῷ βασιλικῷ. Εἰ γὰρ ἐν ἁλουργίδι εἴ τις ἁλοίη κρόκην παράσημον ἐμπλέκων, τὴν ἐσχάτην δώσει δίκην, πολλῷ μᾶλλον ἐπὶ τῶν πνευματικῶν· οὐδὲ γὰρ τὸ τυχὸν ἐντεῦθεν ἁμάρτημα γίνεται. Καὶ τί λέγω παρὰ προσθήκην καὶ ἀφαίρεσιν; παρὰ στιγμὴν μόνην, καὶ παρὰ ὑπόκρισιν μόνην ἀναγνώσεως, πολλὰ πολλάκις ἄτοπα ἐτέχθη νοήματα.

6. Πόθεν οὖν οἱ πλουτοῦντες, φησί; καὶ γὰρ εἴρηται, «Πλοῦτος δὲ καὶ πενία παρὰ Κυρίου». Ἐρώμεθα οὖν τοὺς ταῦτα ἡμῖν ἀνθυποφέροντας, ἆρα πᾶς πλοῦτος καὶ πᾶσα πενία παρὰ Κυρίου; Καὶ τίς ἂν τοῦτο εἴποι; Καὶ γὰρ ὁρῶμεν καὶ ἐξ ἁρπαγῆς καὶ ἀπὸ τῆς περὶ τάφους κακουργίας καὶ ἀπὸ γοητείας καὶ ἐξ ἑτέρων τοιούτων προφάσεων πολὺν πολλοῖς συναγόμενον πλοῦτον καὶ τοὺς ἔχοντας οὐδὲ ζῆν ἀξίους ὄντας.

---

11. Ἀγγ. 2, 9.
12. Σοφ. Σειρ. 11, 14.

ναι ὁ ἄργυρος καὶ ὁ χρυσός», γνωρίζω ὅτι ἐλέχθη ἀπὸ τὸν προφήτην· ἀλλὰ τό, «εἰς ὅποιον θέλω θὰ δώσω αὐτόν», καθόλου δὲν ἀναφέρεται, ἀλλ' ὑπεισῆλθεν ἀπὸ αὐτοὺς τοὺς συρφετούς.

Καὶ θ' ἀπαντήσω διατί ἐλέχθη ἐκεῖνο. Ὁ προφήτης Ἀγγαῖος λοιπὸν ἐπειδὴ συνεχῶς ὑπέσχετο εἰς τοὺς Ἰουδαίους μετὰ ἀπὸ τὴν ἐπάνοδον ἀπὸ τὴν Βαβυλῶνα, ὅτι θὰ δείξῃ εἰς αὐτοὺς τὸν ναὸν εἰς τὴν προηγουμένην του μορφὴν καὶ μερικοὶ δὲν ἐπίστευον εἰς αὐτὸ ποὺ τοὺς ἔλεγε καὶ ἐνόμιζον ὅτι αὐτὸ εἶναι σχεδὸν ἀδύνατον, νὰ γίνῃ δηλαδὴ ἴδιος πάλιν ἐκεῖνος ὁ οἶκος ἀπὸ τὴν στάκτην καὶ τὴν κόνιν, διὰ νὰ διαλύσῃ τὴν ἀπιστίαν των, λέγει αὐτὰ ὡσὰν ἐκπρόσωπος τοῦ Θεοῦ, ὡσὰν νὰ ἔλεγε· διατί φοβεῖσθε; διατί ἀπιστεῖτε; «Ἰδικός μου ὁ ἄργυρος καὶ ὁ χρυσὸς» καὶ δὲν ἔχω ἀνάγκην νὰ δανεισθῶ ἀπὸ ἄλλους διὰ νὰ καλλωπίσω ἔτσι τὸν ναόν. Καὶ ὅτι αὐτὸ εἶναι τὸ νόημα, φαίνεται ἀπὸ τὴν συνέχειαν, «Καὶ θὰ εἶναι ἡ λαμπρότης αὐτοῦ τοῦ ναοῦ μεγαλυτέρα ἀπὸ τὴν πρώτην»[11]. Λοιπὸν ἂς μὴ εἰσάγωμεν μέσα εἰς τὸ βασιλικὸν πέπλον ὑφάσματα ἀραχνῶν. Διότι ἐάν, ὅταν κάποιος συλληφθῇ νὰ πλέκῃ μέσα εἰς τὴν πορφύραν νῆμα κακῆς ποιότητος, καταδικασθῇ εἰς τὴν χειροτέραν ποινήν, πολὺ περισσότερον θὰ συμβῇ αὐτὸ εἰς τὰ πνευματικά· διότι τὸ ἁμάρτημα ποὺ προέρχεται ἀπὸ ἐδῶ δὲν εἶναι καθόλου μικρόν. Καὶ τί λέγω διὰ προσθήκην καὶ ἀφαίρεσιν εἰς τὰς Γραφάς; ἀπὸ ἓν σημεῖον στίξεως μόνον καὶ ἀπὸ προσποίησιν μόνον ἀναγνώσεως, πολλὰ ἄτοπα νοήματα ἐγεννήθησαν πολλὰς φοράς.

6. Ἀπὸ ποῦ λοιπὸν λαμβάνουν τὸν πλοῦτον οἱ πλούσιοι; θὰ εἰπῇ κάποιος· διότι ἔχει ἐπίσης λεχθῇ «Ὁ πλοῦτος καὶ ἡ πτωχεία ἀπὸ τὸν Κύριον δίδονται»[12]. Ἂς ἐρωτήσωμεν λοιπὸν αὐτοὺς ποὺ μᾶς ἀναιροῦν μὲ αὐτά, ἆρά γε κάθε πλοῦτος καὶ κάθε πτωχεία ἀπὸ τὸν Κύριον δίδεται; Καὶ ποῖος θὰ τὸ ἔλεγεν αὐτό; Διότι βλέπομεν ὅτι καὶ ἀπὸ ἁρπαγὴν καὶ ἀπὸ λεηλασίαν τάφων καὶ ἀπὸ μαγείαν καὶ ἀπὸ ἄλλας τέτοιας πηγὰς νὰ κερδίζεται πολὺς πλοῦτος διὰ πολλοὺς καὶ αὐτοὶ ποὺ τὸν ἔχουν νὰ μὴ εἶναι ἄξιοι οὔτε

Τί οὖν, εἰπέ μοι; τοῦτον παρὰ τοῦ Θεοῦ τὸν πλοῦτον εἶναί φαμεν; Ἄπαγε. Ἀλλὰ πόθεν; Ἐξ ἁμαρτίας. Καὶ γὰρ ἡ πόρνη τὸ σῶμα ἐνυβρίσασα πλουτεῖ, καὶ εὔμορφος νέος πολλάκις τὴν ὥραν ἀποδόμενος μετ' ἀσχημοσύνης κέκτηται χρυσίον, καὶ ὁ τυμβωρύχος τοὺς τάφους ἀναρρήξας συνήγαγε πλοῦτον ἄδικον, καὶ ὁ λῃστὴς τοὺς τοίχους διορύξας. Οὐκοῦν οὐκ ἀπὸ τοῦ Θεοῦ ὁ πλοῦτος ἅπας. Τί οὖν, φησίν, ἐροῦμεν πρὸς τὴν ῥῆσιν ταύτην; Μάθε πρῶτον καὶ πενίαν οὐκ ἀπὸ Θεοῦ γινομένην, καὶ τότε καὶ ἐπὶ τὴν ῥῆσιν αὐτὴν βαδιούμεθα. Ὅταν γάρ τις ἄσωτος ὢν νέος, ἢ εἰς πόρνας ἀναλώσῃ τὸν πλοῦτον, ἢ εἰς γόητας, ἢ εἰς ἑτέρας τινὰς τοιαύτας ἐπιθυμίας, καὶ γένηται πένης, οὐκ εὔδηλον, ὅτι οὐκ ἀπὸ τοῦ Θεοῦ γέγονε τοῦτο, ἀλλ' ἀπὸ τῆς οἰκείας ἀσωτίας; Πάλιν εἴ τις ὑπὸ ἀργίας γένοιτο πένης, εἴ τινες ὑπὸ ἀνοίας εἰς πτωχείαν κατενεχθείη, εἴ τις ἐπικινδύνοις καὶ παρανόμοις ἐπιχειρῶν πράγμασιν, οὐκ εὔδηλον πάλιν, ὅτι οὐδὲ τούτων τις καὶ τῶν τοιούτων εἰς τὴν πτωχείαν ταύτην ἀπὸ Θεοῦ κατηνέχθη;

Ψεύδεται οὖν ἡ Γραφή; Μὴ γένοιτο, ἀλλ' ἀνοηταίνουσιν οἱ μὴ μετὰ τῆς προσηκούσης ἀκριβείας ἐξετάζοντες τὰ γεγραμμένα ἅπαντα. Εἰ γὰρ καὶ τοῦτο ὡμολόγηται, ὅτι ἀψευδὴς ἡ Γραφή, καὶ τοῦτο ἀπεδείχθη, ὅτι οὐ πᾶς πλοῦτος παρὰ Θεοῦ, τῆς τῶν ἀπερισκέπτως ἀναγινωσκόντων ταῦτα ἀσθενείας ἡ ἀπορία. Καὶ ἔδει μὲν ὑμᾶς ἀφεῖναι ἐν τούτῳ, ἀπαλλάξαντα τὴν γραφὴν τῶν ἐγκλημάτων, ἵνα ταύτην ἡμῖν δίκην δῶτε τῆς περὶ τὰς Γραφὰς ῥᾳθυμίας· ἀλλ' ἐπειδὴ φείδομαι σφόδρα ὑμῶν, καὶ οὐ δύναμαι ἐπιπλέον θορυβουμένους ἰδεῖν καὶ διαταραττομένους, φέρε καὶ τὴν λύσιν ἐπαγάγωμεν, πρότερον τὸν εἰρηκότα εἰπόντες, καὶ πότε εἴρηται, καὶ πρός τινας. Οὐδὲ γὰρ ὁμοίως ἅπασιν ὁ Θεὸς διαλέγεται, ὥσπερ οὐδὲ ἡμεῖς παιδίοις καὶ ἀνδράσιν ὁμοίως κεχρήμεθα. Πότε οὖν

νὰ ζοῦν. Τί λοιπόν; εἰπέ μου, αὐτὸς ὁ πλοῦτος θὰ εἰποῦμεν ὅτι εἶναι ἀπὸ τὸν Θεόν; Μακρυά. Ἀλλ' ἀπὸ ποῦ; Ἀπὸ τὴν ἁμαρτίαν. Διότι καὶ ἡ πόρνη ἐπειδὴ ἀτιμάζει τὸ σῶμά της πλουτίζει, καὶ πολλὰς φορὰς εὔμορφος νέος, ἀφοῦ παραδώσῃ τὴν ὡραιότητα μὲ αἰσχρότητα ἀποκτᾷ χρυσόν, καὶ αὐτὸς ποὺ σκάπτει τάφους, ἀφοῦ τοὺς ἀνοίξῃ, συγκεντρώνει πλοῦτον ἄδικον, καὶ ὁ ληστὴς ἀφοῦ διατρυπήσῃ τοὺς τοίχους. Ἄρα λοιπὸν δὲν εἶναι ἀπὸ τὸν Θεὸν ὅλος ὁ πλοῦτος. Ἀλλὰ τί θὰ εἰποῦμεν σχετικὰ μὲ αὐτὸν τὸν λόγον; Μάθε πρῶτον ὅτι καὶ ἡ πτωχεία δὲν προέρχεται ἀπὸ τὸν Θεόν, καὶ τότε θὰ ἔλθωμεν εἰς αὐτὸν τὸν λόγον. Ὅταν δηλαδὴ κάποιος ποὺ εἶναι ἄσωτος νέος, ἢ εἰς πόρνας σπαταλήσῃ τὸν πλοῦτον ἢ εἰς μάγους ἢ εἰς ἄλλας τέτοιας ἐπιθυμίας καὶ γίνῃ πτωχός, δὲν εἶναι φανερὸν ὅτι αὐτὸ δὲν ἔγινεν ἀπὸ τὸν Θεόν, ἀλλ' ἀπὸ τὴν ἰδικήν του ἀσωτείαν; Ἐπίσης ἐὰν κάποιος γίνῃ πτωχὸς ἐξ αἰτίας τοῦ ὅτι δὲν ἐργάζεται, ἐὰν ἀπὸ ἀνοησίαν καταντήσῃ εἰς πτωχείαν, εἴτε ἄλλος ἐπειδὴ ἐπιχειρεῖ ἐπικίνδυνα καὶ παράνομα πράγματα, δὲν εἶναι πάλιν φανερὸν ὅτι οὔτε ἀπὸ αὐτοὺς κανεὶς καὶ ἀπὸ τοὺς ὁμοίους των ἔπεσεν εἰς αὐτὴν τὴν πτωχείαν ἀπὸ τὸν Θεόν;

Τότε λοιπὸν ψεύδεται ἡ Γραφή; Μὴ γένοιτο! ἀλλ' εἶναι ἀνόητοι αὐτοὶ ποὺ δὲν ἐξετάζουν μὲ τὴν πρέπουσαν ἀκρίβειαν ὅλα ὅσα ἔχουν γραφῆ. Ἐὰν λοιπὸν καὶ αὐτὸ ἔχει ὁμολογηθῆ, ὅτι δηλαδὴ ἡ Γραφὴ εἶναι ἀψευδής, καὶ ἀπεδείχθη ὅτι δὲν δίδεται ἀπὸ τὸν Θεὸν ὁ κάθε πλοῦτος, τότε ἡ ἀπορία ὀφείλεται εἰς τὴν ἀσθένειαν ἐκείνων ποὺ ἀναγινώσκουν αὐτὰ μὲ ἀπερισκεψίαν. Καὶ ἔπρεπε μὲν νὰ σᾶς ἀφήσω εἰς αὐτὸ τὸ σημεῖον, ἀφοῦ ἀπήλλαξα τὴν Γραφὴν ἀπὸ τὰς κατηγορίας, διὰ νὰ τιμωρηθῆτε διὰ τὴν ἀμέλειάν σας πρὸς τὰς Γραφάς· ἀλλ' ἐπειδὴ σᾶς λυποῦμαι πολὺ καὶ δὲν ἠμπορῶ ἐπὶ πλέον νὰ σᾶς ἰδῶ νὰ στενοχωρῆσθε καὶ νὰ ταράσσεσθε, ἂς δείξωμεν καὶ τὴν λύσιν ἀφοῦ προηγουμένως ἀναφέρωμεν ἐκεῖνον ποὺ εἶπεν αὐτὸν τὸν λόγον καὶ πότε ἐλέχθη καὶ πρὸς ποίους. Διότι ὁ Θεὸς δὲν ὁμιλεῖ μὲ τὸν ἴδιον τρόπον εἰς ὅλους, ὅπως οὔτε ἐμεῖς φερόμεθα

εἴρηται, καὶ ὑπὸ τίνων, καὶ πρὸς τίνας; Ὑπὸ τοῦ Σολομῶντος ἐπὶ τῆς παλαιᾶς πρὸς τοὺς Ἰουδαίους καὶ τοὺς οὐδὲν ἕτερον εἰδότας ἢ τὰ αἰσθητά, καὶ ἀπὸ τούτων τοῦ Θεοῦ δοκιμάζοντας τὴν ἰσχύν. Οὗτοι γάρ εἰσιν οἱ λέγοντες· «Μὴ καὶ ἄρτον δύναται δοῦναι;» καί, «Τί σημεῖον δεικνύεις ἡμῖν;» «Οἱ πατέρες ἡμῶν ἔφαγον τὸ μάννα ἐν τῇ ἐρήμῳ»· «Ὧν ὁ Θεὸς ἡ κοιλία». Ἐπεὶ οὖν ἀπὸ τούτων αὐτὸν ἐδοκίμαζον, λέγει πρὸς αὐτούς, δυνατὸν καὶ τοῦτο τῷ Θεῷ, καὶ πλουσίους ποιῆσαι καὶ πένητας· οὐχ ὅτι πάντως αὐτὸς ποιεῖ, ἀλλ' ὅτι δύναται, ὅταν θέλῃ· ὥσπερ ὅταν λέγῃ, «Ὁ ἀπειλῶν τῇ θαλάσσῃ, καὶ ξηραίνων αὐτήν, καὶ πάντας τοὺς ποταμοὺς ἐξερημῶν»· καίτοι τοῦτο οὐδέποτε γέγονε. Πῶς οὖν αὐτὸ ὁ προφήτης φησίν; Οὐχ ὡς γινόμενον ἀεί, ἀλλ' ὡς δυνατὸν αὐτῷ ποιῆσαι.

Ποίαν οὖν πενίαν δίδωσι, καὶ ποῖον πλοῦτον; Ἀναμνήσθητι τοῦ πατριάρχου, καὶ εἴσῃ τὸν παρὰ τοῦ Θεοῦ διδόμενον πλοῦτον. Καὶ γὰρ τὸν Ἀβραὰμ αὐτὸς πλούσιον ἐποίησε, καὶ μετ' ἐκεῖνον τὸν Ἰώβ, καθὼς καὶ αὐτός φησιν· «Εἰ τὰ μὲν ἀγαθὰ ἐδεξάμεθα παρὰ Κυρίου, τὰ δὲ κακὰ οὐχ ὑποίσομεν;». Καὶ ὁ μετὰ ταῦτα δὲ ὁ διπλασίων αὐτοῦ δῶρόν ἐστι. Καὶ ὁ τοῦ Ἰακὼβ πλοῦτος ἐκεῖθεν τὴν ἀρχὴν εἶχεν. Ἔστι δὲ καὶ πενία παρ' αὐτοῦ ἡ ἐπαινετή, οἵαν προεξένει τότε τῷ πλουσίῳ ἐκείνῳ, λέγων· «Εἰ θέλεις τέλειος εἶναι, πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς, καὶ δεῦρο ἀκολούθει μοι»· καὶ τοῖς μαθηταῖς πάλιν νομοθετῶν καὶ λέγων, «Μὴ κτήσησθε χρυσόν, μηδὲ ἄργυρον, μηδὲ δύο χιτῶνας». Μὴ τοίνυν λέγε, ὅτι πάντα πλοῦτον αὐτὸς δίδωσι· καὶ γὰρ ἐδείχθη καὶ

---

13. Ψαλμ. 77, 20.
14. Ματθ. 12, 38.
15. Ἰω. 6, 31.
16. Φιλιπ. 3, 19.
17. Ναούμ 1, 4.
18. Ἰώβ 2, 10.
19. Ματθ. 19, 21.
20. Ματθ. 10. 9-10.

ὁμοίως εἰς τὰ παιδιὰ καὶ τοὺς ἄνδρας. Πότε λοιπὸν ἐλέχθη καὶ ἀπὸ ποίους καὶ πρὸς ποίους; Ἐλέχθη ἀπὸ τὸν Σολομῶντα εἰς τὴν ἐποχὴν τῆς παλαιᾶς Διαθήκης πρὸς τοὺς Ἰουδαίους, ποὺ τίποτε ἄλλο δὲν ἐγνώριζον, παρὰ τὰ αἰσθητά, καὶ ποὺ ἐπείθοντο διὰ τὴν δύναμιν τοῦ Θεοῦ μόνον ἀπὸ αὐτά. Διότι αὐτοὶ εἶναι ποὺ λέγουν· «Μήπως ἠμπορεῖ νὰ δώσῃ καὶ ἄρτον;»[13] καί, «Τί σημεῖον μᾶς δίδεις ὡς ἀπόδειξιν;»[14], «Οἱ Πατέρες μας ἔφαγον τὸ μάννα εἰς τὴν ἔρημον»[15]· «τῶν ὁποίων θεὸς εἶναι ἡ κοιλία»[16]. Ἐπειδὴ λοιπὸν ἀπὸ τὰ ὑλικὰ ἐζήτουν ἀπόδειξιν διὰ νὰ τὸν πιστεύσουν, λέγει πρὸς αὐτοὺς ὅτι εἶναι καὶ αὐτὸ δυνατὸν εἰς τὸν Θεόν, δηλαδὴ καὶ πλουσίους νὰ κάνῃ καὶ πτωχούς· ὄχι ὅμως ὅτι ὁπωσδήποτε αὐτὸς κάνει τοὺς πτωχοὺς καὶ τοὺς πλουσίους, ἀλλ' ὅτι ἠμπορεῖ, ὅταν θέλῃ· ὅπως ὅταν λέγῃ· «Σὺ ποὺ φοβίζεις τὴν θάλασσαν καὶ τὴν ἀποξηραίνεις καὶ στερεύεις ἐντελῶς ὅλους τοὺς ποταμούς»· ἂν καὶ ποτὲ δὲν ἔγινεν αὐτό. Πῶς λοιπὸν τὸ λέγει αὐτὸ ὁ προφήτης; Ὄχι ὡσὰν κάτι ποὺ γίνεται πάντοτε, ἀλλ' ὡσὰν κάτι ποὺ εἶναι δυνατὸν εἰς τὸν Θεὸν νὰ τὸ κάνῃ.

Ποίαν πτωχείαν λοιπὸν καὶ ποῖον πλοῦτον δίδει ὁ Θεός; Ἐνθυμήσου τὸν πατριάρχην καὶ θὰ γνωρίσῃς τὸν πλοῦτον ποὺ δίδεται ἀπὸ τὸν Θεόν. Διότι καὶ τὸν Ἀβρὰμ ὁ Θεὸς τὸν ἔκανε πλούσιον καὶ μετὰ ἀπὸ ἐκεῖνον τὸν Ἰώβ, ὅπως καὶ ὁ ἴδιος λέγει· «Ἐὰν τὰ μὲν ἀγαθὰ ἐδέχθημεν εὐχαρίστως ἀπὸ τὸν Κύριον, τὰς δοκιμασίας δὲν θὰ ὑπομείνωμεν;»[18]. Ἀλλὰ καὶ μετὰ ἀπὸ τὰς συμφορὰς ὁ διπλασιασμὸς τῶν ἀγαθῶν εἶναι τοῦ Θεοῦ δῶρον. Καὶ τοῦ Ἰακὼβ ὁ πλοῦτος ἀπὸ τὸν Θεὸν προήρχετο. Ὑπάρχει ὅμως καὶ πτωχεία ἡ ὁποία ἐπαινεῖται ἀπὸ τὸν Θεόν, αὐτὴ δηλαδὴ τὴν ὁποίαν ἐδείκνυεν εἰς τὸν πλούσιον ὅταν ἔλεγεν· «Ἐὰν θέλῃς νὰ εἶσαι τέλειος, πήγαινε καὶ πώλησε ὅσα ἔχεις καὶ μοίρασέ τα εἰς τοὺς πτωχοὺς καὶ ἔλα νὰ μὲ ἀκολουθήσῃς»[19]· καὶ εἰς τοὺς μαθητὰς πάλιν ὅταν νομοθετῇ καὶ λέγῃ, «Νὰ μὴ ἀποκτήσετε χρυσόν, οὔτε ἄργυρον, οὔτε δύο χιτῶνας»[20]. Μὴ λέγῃς λοιπὸν ὅτι κάθε πλοῦτον ὁ Θεὸς τὸν δίδει· διότι ἐδείχθη ὅτι αὐτὸς συγκεντρώνεται καὶ ἀπὸ φό-

ἀπὸ φόνων καὶ ἀπὸ ἁρπαγῆς καὶ ἀπὸ μυρίων ἑτέρων προφάσεων συλλεγόμενος οὗτος.

7. Ἀλλὰ πάλιν εἰς τὸ πρότερον ἡμῖν ὁ λόγος περιΐσταται ζήτημα. Εἰ γὰρ μηδὲν ἡμῖν χρήσιμοι οἱ πλουτοῦντες, διὰ τί γεγένηνται; Τί οὖν ἂν εἴποιμεν; Ὅτι οὗτοι οὐ χρήσιμοι, οἱ ἑαυτοὺς οὕτω ποιοῦντες πλουσίους· ὡς οἵ γε παρὰ τοῦ Θεοῦ γενόμενοι, καὶ σφόδρα χρήσιμοι. Καὶ τοῦτο ἀπ' αὐτῶν τῶν παρ' ἐκείνων γενομένων μάνθανε. Καὶ γὰρ ὁ Ἀβραὰμ τοῖς ξένοις καὶ τοῖς δεομένοις ἅπασι τὸν πλοῦτον ἐκέκτητο. Ὁ γὰρ τριῶν παραγενομένων, ὡς ἐνόμιζεν, ἀνθρώπων, μόσχον θύσας, καὶ τρία μέτρα, σεμιδάλεως φυράσας, καὶ πρὸς τῇ θύρᾳ καθήμενος ἐν καιρῷ μεσημβρίας, ἐννόησον μεθ' ὅσης δαψιλείας καὶ προθυμίας τὰ αὐτοῦ πᾶσιν ἀνήλισκε, μετὰ τῶν χρημάτων καὶ τὴν τοῦ σώματος παρεχόμενος ὑπηρεσίαν, καὶ ταῦτα ἐν γήρᾳ τοσούτῳ, καὶ λιμὴν τῶν ξένων καὶ τῶν ἐν χρείαις καθεστηκότων ὤν, καὶ οὐδὲν ἴδιον κεκτημένος, οὐδὲ αὐτὸν τὸν υἱόν. Καὶ γὰρ τοῦ Θεοῦ κελεύσαντος καὶ τοῦτον ἐπέδωκε· μετὰ δὲ τοῦ υἱοῦ καὶ ἑαυτὸν ἐπέδωκε καὶ τὴν οἰκίαν ἅπασαν, ἡνίκα τὸν ἀδελφιδοῦν ἐξαρπάσαι ἔσπευδε. Καὶ ταῦτα οὐ χρημάτων ἕνεκεν ἐποίει, ἀλλὰ φιλανθρωπίας μόνης. Ὅτε γοῦν τῶν λαφύρων αὐτὸν ἐποίουν κύριον οἱ δι' αὐτοῦ σωθέντες, μέχρι σπαρτίου καὶ σφαιρωτῆρος ἅπαντα διεκρούσατο.

Τοιοῦτος καὶ ὁ μακάριος ἦν Ἰώβ. Καὶ γὰρ «Ἡ θύρα μου», φησί, «παντὶ ἐλθόντι ἀνέῳκτο. Ἐγὼ ἤμην ὀφθαλμὸς τυφλῶν, ποῦς δὲ χωλῶν· ἐγὼ δὲ ἤμην πατὴρ ἀδυνάτων· ἔξω δὲ οὐκ ηὐλίζετο ξένος· ἀδύνατοι δὲ ἥν ποτε χρείαν εἶχον, οὐκ ἀπέτυχον, οὐδὲ εἴασα ἐξελθεῖν ἀδύνατον τὴν θύραν μου κόλπῳ κενῷ». Καὶ πολλῷ πλείονα δὲ τούτων, ἵνα μὴ πάντα καταλέγωμεν νῦν, διετέλει πράττων, εἰς τοὺς δεο-

21. Γεν. 14, 23.
22. Ἰὼβ 31. 32· 29. 15-16· 31. 32· 16, 34.

νους καὶ ἀπὸ κλοπὰς καὶ ἀπὸ ἀπείρους ἄλλας ἁμαρτωλὰς αἰτίας.

7. Ἀλλὰ πάλιν εἰς τὸ προηγούμενον ζήτημά μας σχεδὸν ἔρχεται ὁ λόγος. Ἐὰν δηλαδὴ εἰς τίποτε δὲν μᾶς χρησιμεύουν οἱ πλούσιοι, διατί ἔχουν γίνει; Τί θὰ ἐλέγομεν λοιπόν; Ὅτι δὲν εἶναι χρήσιμοι αὐτοὶ ποὺ κάμνουν μὲ αὐτὸν τὸν τρόπον πλουσίους τοὺς ἑαυτούς των· ὅπως βεβαίως αὐτοὶ ποὺ ἔγιναν ἀπὸ τὸν Θεὸν πλούσιοι, εἶναι καὶ μάλιστα πολὺ χρήσιμοι. Καὶ αὐτὸ γνώριζε ἀπὸ ἐκείνους ποὺ ἔγιναν. Διότι καὶ ὁ Ἀβραὰμ χάριν τῶν ξένων καὶ ὅσων εἶχον ἀνάγκην εἶχε τὸν πλοῦτον. Καθ' ὅσον αὐτός, ὅταν ἦλθον τρεῖς, ὅπως τοὺς ἐνόμιζεν, ἄνθρωποι, ἀφοῦ ἔσφαξε μόσχον καὶ ἐζύμωσε τεσσαράκοντα κιλὰ σιμιγδάλι καὶ ἐκάθητο τὸ μεσημέρι εἰς τὴν θύραν, σκέψου πόσον πλουσίως καὶ προθύμως ἐξώδευε τὰ ὑπάρχοντά του, προσφέρων μαζὶ μὲ τὰ ὑπάρχοντά του καὶ τὴν ὑπηρεσίαν τοῦ σώματος καὶ αὐτὰ εἰς τόσον γῆρας, καὶ ἦτο λιμὴν διὰ τοὺς ξένους καὶ τοὺς ἐρχομένους εἰς ἀνάγκην καὶ δὲν ἐθεώρει ἰδικόν του τίποτε, οὔτε τὸν ἴδιον τὸν υἱόν του. Διότι, ὅταν παρήγγειλεν ὁ Θεός, καὶ αὐτὸν προσέφερε καὶ ὅλην τὴν οἰκίαν του, ὅταν ὁ ἀνεψιός του ἔσπευδε νὰ ἁρπάσῃ τὰ ὑπάρχοντά του. Καὶ αὐτὰ τὰ ἔκαμνεν ὄχι διὰ χρήματα, ἀλλὰ μόνον ἀπὸ φιλανθρωπίαν. Ὅταν λοιπὸν τοῦ παρέδιδον τὴν ἀμοιβὴν αὐτοὶ ποὺ ἐσώθησαν μὲ τὴν βοήθειάν του, ἠρνήθη νὰ λάβῃ ἀπὸ τὰ ἰδικά τους κάτι, ἀπὸ κλωστὴν μέχρι ἱμάντος ὑποδήματος[21].

Τέτοιος ἦτο καὶ ὁ μακάριος Ἰώβ. «Ἡ θύρα μου», λέγει, «ἦτο ἀνοικτὴ δι' ὅποιον ἤρχετο. Ἐγὼ ἤμουν ὀφθαλμὸς διὰ τοὺς τυφλούς, πόδι δὲ διὰ τοὺς χωλούς· ἐγὼ ἤμουν πατέρας δι' ὅσους ηὑρίσκοντο εἰς ἀνάγκην· οὐδεὶς ξένος δὲ διενυκτέρευεν ἔξω, διότι τὸν ἐφιλοξένουν· ἄνθρωποι δὲ εὑρισκόμενοι εἰς ἀνάγκην, ὁποιαδήποτε καὶ ἂν ἦτο, δὲν ἔμενεν ἀνικανοποίητος, οὔτε ἄφησα πτωχὸν νὰ ἐξέλθῃ ἀπὸ τὴν θύραν μου μὲ κενὰ χέρια»[22]. Καὶ πολὺ περισσότερα δὲ ἀπὸ αὐτά, διὰ νὰ μὴ ἀπαριθμῶμεν ὅλα τώρα, ἔπραττε, καθὼς ἐξώδευεν ὅλον τὸν πλοῦτον εἰς αὐτοὺς ποὺ εἶχον

μένους ἅπαντα τὸν πλοῦτον καταναλίσκων. Βούλει δὲ καὶ τοὺς οὐ παρὰ τοῦ Θεοῦ γινομένους πλουσίους ἰδεῖν, ἵνα μάθῃς πῶς κέχρηνται τῷ πλούτῳ; Ὅρα τὸν ἐπὶ τοῦ Λαζάρου, τὸν οὐδὲ τῶν ψιχίων μεταδιδόντα· ὅρα τὸν Ἀχαὰβ τὸν καὶ τὸν ἀμπελῶνα ἁρπάζοντα· ὅρα τὸν Γιεζῆ, ὅρα τοὺς τοιούτους ἅπαντας. Οἱ μὲν γὰρ δικαίως κεκτημένοι, ἅτε παρὰ τοῦ Θεοῦ λαβόντες, εἰς τὰ τοῦ Θεοῦ προστάγματα ἀναλίσκουσιν· οἱ δὲ ἐν τῷ κτᾶσθαι προσκρούσαντες τῷ Θεῷ, καὶ ἐν τῷ δαπανᾶν τὸ αὐτὸ ποιοῦσιν, εἰς πόρνας καὶ παρασίτους ἀναλίσκοντες, ἢ κατορύττοντες καὶ ἀποκλείοντες, εἰς πτωχὸν δὲ οὐδὲν δαπανῶντες.

Καὶ τίνος ἕνεκεν, φησίν, ὁ Θεὸς ἀφίησι πλουτεῖν τούτους; Ὅτι μακρόθυμός ἐστιν, ὅτι βούλεται ἡμᾶς εἰς μετάνοιαν ἐπαναγαγεῖν, ὅτι γέενναν ἡτοίμασεν, ὅτι ἔστησεν ἡμέραν, ἐν ᾗ μέλλει κρίνειν τὴν οἰκουμένην. Εἰ δὲ εὐθέως τοὺς πλουτοῦντας κακῶς ἐκόλαζεν, οὐκ ἂν ὁ Ζακχαῖος ἔσχε προθεσμίαν μετανοίας, ὥστε καὶ τετραπλασίονα ἀποδοῦναι, ἅπερ ἥρπασε, καὶ τὰ ἡμίση προσθεῖναι τῶν αὐτοῦ· οὐκ ἂν ὁ Ματθαῖος μεταβαλέσθαι καὶ γενέσθαι ἀπόστολος, προαναρπαγεὶς τοῦ προσήκοντος καιροῦ· οὐκ ἂν ἕτεροι πολλοὶ τοιοῦτοι. Διὰ ταῦτα ἀνέχεται, εἰς μετάνοιαν καλῶν ἅπαντας. Εἰ δὲ μὴ βούλοιντο, ἀλλὰ τοῖς αὐτοῖς ἐπιμένοιεν, ἀκούσονται τοῦ Παύλου λέγοντος, ὅτι «Κατὰ τὴν σκληρότητα αὐτῶν καὶ ἀμετανόητον καρδίαν θησαυρίζουσιν ἑαυτοῖς ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς καὶ ἀποκαλύψεως καὶ δικαιοκρισίας τοῦ Θεοῦ». Ἥντινα ὀργὴν ἵνα φύγωμεν, πλουτῶμεν τὸν τῶν οὐρανῶν πλοῦτον, καὶ τὴν ἐπαινετὴν διώκωμεν πενίαν. Οὕτω γὰρ καὶ τῶν μελλόντων ἐπιτευξόμεθα ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

---

23. Ρωμ. 2, 5.

ἀνάγκην. Θέλεις νὰ ἰδῇς καὶ τοὺς πλουσίους ποὺ δὲν ἔγιναν πλούσιοι ἀπὸ τὸν Θεόν; Κοίταξε αὐτὸν ποὺ ἔζη μαζὶ μὲ τὸν Λάζαρον, ποὺ οὔτε τὰ ψιχία δὲν ἔδιδε· κοίταξε τὸν Ἀχαὰβ ὁ ὁποῖος ἐπὶ πλέον ἥρπασε καὶ τὸν ἀμπελῶνα· κοίταξε τὸν Γιεζῆ, κοίταξε ὅλους ὅσοι ἦσαν τέτοιοι. Ἐκεῖνοι μὲν λοιπὸν ποὺ ἀπέκτησαν δικαίως τὸν πλοῦτον, ἐπειδὴ ἔλαβον αὐτὸν ἀπὸ τὸν Θεόν, ἐξοδεύουν αὐτὸν συμφώνως μὲ τὰς ἐντολὰς τοῦ Θεοῦ, ἐνῷ οἱ ἄλλοι, ἀφοῦ παρέβησαν τὸ θέλημα τοῦ Θεοῦ διὰ νὰ τὸν ἀποκτήσουν, πράττουν τὸ ἴδιον καὶ ὅταν τὸν δαπανοῦν, μὲ τὸ νὰ τὸν ἐξοδεύουν εἰς πόρνας καὶ παρασίτους, ἢ μὲ τὸ νὰ σκάπτουν καὶ νὰ τὸν κρύπτουν, χωρὶς νὰ δίδουν εἰς πτωχὸν τίποτε.

Καὶ διατί, θὰ εἰπῇ κάποιος, ὁ Θεὸς ἀφήνει νὰ πλουτίζουν αὐτοί; Διότι εἶναι μακρόθυμος, διότι θέλει νὰ μᾶς ἐπαναφέρῃ εἰς μετάνοιαν, καθ' ὅσον ἔχει ἑτοιμάσει γέενναν, διότι ὥρισεν ἡμέραν, κατὰ τὴν ὁποίαν θὰ κρίνῃ τὴν οἰκουμένην. Ἐὰν δὲ ἐτιμώρει ἀμέσως τοὺς πλουσίους, δὲν θὰ εἶχεν ὁ Ζακχαῖος προθεσμίαν μετανοίας, ὥστε νὰ ἐπιστρέψῃ καὶ εἰς τετραπλάσιον ὅσα ἔκλεψε καὶ ἐπὶ πλέον νὰ προσθέσῃ τὸ ἥμισυ τῶν ὑπαρχόντων του· οὔτε ὁ Ματθαῖος θὰ μετεβάλλετο καὶ θὰ ἐγίνετο ἀπόστολος, ἀφοῦ θὰ ἀπέθνησκεν ἐνωρίτερον ἀπὸ τὸν καιρὸν ποὺ ἔπρεπεν· οὔτε ἐπίσης πολλοὶ τέτοιοι. Δι' αὐτὰ ἀνέχεται καὶ καλεῖ ὅλους εἰς μετάνοιαν. Ἐὰν μως δὲν θελήσουν, ἀλλ' ἐπιμείνουν εἰς τὰ ἁμαρτωλά των θελήματα, θὰ ἀκούσουν τὸν Παῦλον ποὺ λέγει ὅτι «Ἀναλόγως πρὸς τὴν σκληρότητα καὶ τὴν ἀμετανόητον καρδίαν των ἐπισωρεύουν διὰ τὸν ἑαυτόν των ὀργὴν κατὰ τὴν ἡμέραν τῆς ὀργῆς καὶ τῆς ἀποκαλύψεως καὶ τῆς δικαίας κρίσεως τοῦ Θεοῦ»[22], τὴν ὁποίαν ὀργὴν διὰ ν' ἀποφύγωμεν, ἂς πλουτίζωμεν εἰς οὐράνιον πλοῦτον καὶ ἂς ἐπιδιώκωμεν τὴν πτωχείαν ποὺ εἶναι ἐπαινετὴ ἀπὸ τὸν Θεόν. Διότι ἔτσι θὰ ἐπιτύχωμεν καὶ τὰ μέλλοντα ἀγαθά, τὰ ὁποῖα εἴθε νὰ ἐπιτύχωμεν ὅλοι μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΛΟΓΟΣ ΛΕ΄

Α΄ Κορ. 14, 1 - 19

«Διώκετε τὴν ἀγάπην, ζηλοῦτε δὲ τὰ πνευματικά· μᾶλλον δὲ ἵνα προφητεύητε».

1. Ἐπειδὴ γὰρ μετὰ ἀκριβείας τὴν ἀρετὴν αὐτοῖς κατέλεξεν ἅπασαν τῆς ἀγάπης, καὶ παραινεῖ λοιπὸν μετὰ προθυμίας αὐτῆς ἀντέχεσθαι· διὸ καὶ ἔλεγε, «Διώκετε». Ὁ γὰρ διώκων ἐκεῖνο μόνον ὁρᾷ τὸ διωκόμενον, καὶ πρὸς ἐκεῖνο τέταται, καὶ οὐκ ἀφίσταται ἕως ἂν λάβῃ. Ὁ διώκων ὅταν δι' ἑαυτοῦ μὴ δυνηθῇ, διὰ τῶν πρὸ αὐτοῦ κατέχει τὸν φεύγοντα, τοὺς ἐγγὺς ὄντας μετὰ πολλῆς παρακαλῶν τῆς σπουδῆς κατέχειν καὶ τηρεῖν αὐτῷ κατασχεθέντα, ἕως ἂν φθάσῃ. Τοῦτο δὴ καὶ ἡμεῖς ποιῶμεν· ὅταν αὐτοὶ μὴ φθάνωμεν τὴν ἀγάπην, τοὺς ἐγγὺς ὄντας αὐτῆς κελεύωμεν κατέχειν αὐτήν, ἕως ἂν φθάσωμεν πρὸς αὐτήν· εἶτα ἐπειδὰν ἐπιλαβώμεθα, μηκέτ' ἀφῶμεν αὐτήν, ἵνα μὴ πάλιν ἡμᾶς διαφύγῃ. Συνεχῶς γὰρ ἡμῶν ἀποπηδᾷ, ἐπειδὴ οὐκ εἰς δέον αὐτῇ κεχρήμεθα, ἀλλὰ πάντα αὐτῆς προτιμῶμεν. Διὰ τοῦτο πάντα χρὴ ποιεῖν, ὥστε αὐτὴν μετὰ ἀκριβείας κατασχεῖν. Ἐὰν γὰρ τοῦτο γένηται, οὐδὲ πολλοῦ δεῖ πόνου λοιπὸν ἡμῖν, μᾶλλον δὲ οὐδὲ τοῦ τυχόντος, ἀλλὰ τρυφῶντες καὶ πανηγυρίζοντες τὴν στενὴν τῆς ἀρετῆς ὁδὸν βαδιούμεθα. Διό φησι, «Διώκετε αὐτήν».

Εἶτα ἵνα μὴ νομίσωσιν, ὅτι διὰ τοῦτο τὸν τῆς ἀγάπης εἰσήγαγε λόγον, ἵνα σβέσῃ τὰ χαρίσματα, ἐπάγει λέγων· Ζη-

ΛΟΓΟΣ ΛΕ΄
Α΄ Κορ. 14, 1 - 19

«Νὰ ἐπιδιώκετε τὴν ἀπόκτησιν τῆς ἀγάπης καὶ νὰ ἐπιθυμῆτε μὲ ζῆλον τὰ πνευματικὰ χαρίσματα, περισσότερον δὲ τὸ προφητικὸν χάρισμα».

1. Ἀφοῦ λοιπὸν περιέγραψεν εἰς αὐτοὺς ὅλην τὴν ἀρετὴν τῆς ἀγάπης, εἰς τὴν συνέχειαν πλέον τοὺς παροτρύνει διὰ νὰ εἶναι προθύμως ἀφωσιωμένοι εἰς αὐτήν· δι' αὐτὸ καὶ εἶπε, «Νὰ ἐπιδιώκετε». Διότι αὐτὸς ποὺ ἐπιδιώκει βλέπει μόνον ἐκεῖνο τὸ ὁποῖον ἐπιδιώκεται καὶ εἰς ἐκεῖνο μόνον ἀποβλέπει καὶ δὲν ἀπομακρύνεται μέχρις ὅτου τὸ ἀποκτήσῃ. Ἐκεῖνος ποὺ καταδιώκει κάποιον, ὅταν δὲν ἠμπορέσῃ μόνος του, συλλαμβάνει τὸν καταδιωκόμενον μὲ τὴν βοήθειαν ἐκείνων ποὺ εὑρίσκονται ἐμπρὸς ἀπὸ αὐτόν, ἀφοῦ παρακαλεῖ πολὺ νὰ τὸν συλλάβουν καὶ νὰ τὸν κρατήσουν μέχρις ὅτου φθάσῃ ἐκεῖ. Αὐτὸ λοιπὸν ἂς κάμνωμεν καὶ ἐμεῖς· ὅταν οἱ ἴδιοι δὲν φθάνωμεν τὴν ἀγάπην, ἂς παρακαλοῦμεν αὐτοὺς ποὺ εὑρίσκονται πλησίον της νὰ τὴν κρατοῦν ἕως ὅτου τὴν φθάσωμεν· ὕστερον, ἀφοῦ τὴν ἀποκτήσωμεν, ἂς μὴ τὴν ἀφήσωμεν ποτέ, διὰ νὰ μὴ μᾶς διαφύγῃ πάλιν. Διότι συνεχῶς φεύγει ἀπὸ ἐμᾶς, ἐπειδὴ δὲν τὴν χρησιμοποιοῦμεν ὅπως πρέπει, ἀλλὰ προτιμῶμεν ὅλα τὰ ἄλλα ἀπὸ αὐτήν. Δι' αὐτὸ πρέπει νὰ πράττωμεν τὰ πάντα, ὥστε νὰ τὴν κερδίσωμεν ἐντελῶς. Διότι ἐὰν γίνῃ αὐτό, δὲν χρειάζεται πλέον νὰ κοπιάσωμεν πολύ, μᾶλλον δὲ οὔτε ἐλάχιστα, ἀλλὰ μὲ ἄνεσιν καὶ ἀπόλαυσιν καὶ πανηγυρισμοὺς θὰ βαδίσωμεν τὴν στενὴν ὁδὸν τῆς ἀρετῆς. Δι' αὐτὸ λέγει, «Νὰ τὴν ἐπιδιώκετε».

Ἐν συνεχείᾳ διὰ νὰ μὴ νομίσουν ὅτι δι' αὐτὸ ὡμίλησε διὰ τὴν ἀγάπην, διὰ νὰ καταργήσῃ τὰ χαρίσματα, συνεχί-

λοῦτε δὲ τὰ πνευματικά, μᾶλλον δὲ ἵνα προφητεύητε. Ὁ γὰρ λαλῶν γλώσσῃ, οὐκ ἀνθρώποις λαλεῖ, ἀλλὰ Θεῷ· οὐδεὶς γὰρ ἀκούει, Πνεύματι δὲ λαλεῖ μυστήρια· ὁ δὲ προφητεύων, ἀνθρώποις λαλεῖ οἰκοδομὴν καὶ παράκλησιν καὶ παραθυμίαν». Σύγκρισιν, ἐνταῦθα λοιπὸν ποιεῖται τῶν χαρισμάτων, καὶ καθαιρεῖ τὸ τῶν γλωσσῶν, οὔτε πάντη ἄχρηστον δεικνύς, οὔτε σφόδρα ὠφέλιμον καθ' ἑαυτό. Καὶ γὰρ σφόδρα ἐπὶ τούτῳ ἐφυσῶντο, ἐπειδὴ καὶ μέγα ἐνομίζετο εἶναι τὸ χάρισμα. Ἐνομίζετο δὲ εἶναι μέγα διὰ τὸν πρῶτον αὐτὸ τοὺς ἀποστόλους εἰληφέναι, καὶ μετὰ τοσαύτης ἐπιδείξεως. Οὐ μὴν διὰ τοῦτο τῶν ἄλλων προτιμότερον ἦν. Τίνος οὖν ἕνεκεν πρὸ τῶν ἄλλων ἔλαβον αὐτὸ οἱ ἀπόστολοι; Ἐπειδὴ πανταχοῦ διέρχεσθαι ἔμελλον. Καὶ ὥσπερ ἐν καιρῷ τῆς πυργοποιΐας ἡ μία γλῶττα εἰς πολλὰς διετέμνετο· οὕτω τότε αἱ λοιπαὶ γλῶσσαι πολλάκις εἰς ἕνα ἄνθρωπον ᾖεσαν, καὶ ὁ αὐτὸς καὶ τῇ Περσῶν καὶ τῇ Ρωμαίων καὶ τῇ Ἰνδῶν καὶ ἑτέραις πολλαῖς διελέγετο γλώτταις, τοῦ Πνεύματος ἐνηχοῦντος αὐτῷ· καὶ τὸ χάρισμα ἐκαλεῖτο χάρισμα γλωττῶν, ἐπειδὴ πολλαῖς ἀθρόον ἠδύνατο λαλεῖν φωναῖς.

Ὅρα τοίνυν πῶς αὐτὸ καὶ καθαιρεῖ καὶ ἐπαίρει. Τῷ μὲν γὰρ εἰπεῖν, «Ὁ λαλῶν γλώσσαις, οὐκ ἀνθρώποις λαλεῖ, ἀλλὰ Θεῷ· οὐδεὶς γὰρ ἀκούει», καθεῖλε, δείξας οὐ πολὺ τὸ χρήσιμον ὄν· τῷ δὲ ἐπάγειν, ὅτι Πνεύματι λαλεῖ μυστήρια, πάλιν ἐπῆρεν, ἵνα μὴ περιττὸν εἶναι δόξῃ καὶ ἄχρηστον καὶ εἰκῇ δεδομένον. «Ὁ δὲ προφητεύων, ἀνθρώποις λαλεῖ οἰκοδομὴν καὶ παράκλησιν καὶ παραμυθίαν».

ζει μὲ τοὺς λόγους˙ «νὰ ἐπιθυμῆτε μὲ ζῆλον τὰ πνευματικὰ χαρίσματα, περισσότερον δὲ τὸ προφητικὸν χάρισμα. Διότι ἐκεῖνος ποὺ λαλεῖ γλώσσας, δὲν ὁμιλεῖ εἰς ἀνθρώπους ἀλλ' εἰς τὸν Θεόν, ἀφοῦ κανεὶς δὲν τὸν καταλαβαίνει, ἀλλὰ λέγει μυστήρια κατ' ἔμπνευσιν τοῦ ἁγίου Πνεύματος˙ ἐνῷ ἐκεῖνος ποὺ προφητεύει ὁμιλεῖ εἰς ἀνθρώπους λόγους ποὺ οἰκοδομοῦν, ἐνθαρρύνουν καὶ παρηγοροῦν». Ἐδῶ λοιπὸν συγκρίνει τὰ χαρίσματα καὶ μειώνει τὴν ἀξίαν τοῦ χαρίσματος τῆς γλωσσολαλιᾶς, μὲ τὸ νὰ δεικνύῃ ὅτι οὔτε τελείως ἄχρηστον εἶναι, οὔτε πολὺ ὠφέλιμον αὐτὸ καθ' ἑαυτό. Διότι πάρα πολὺ ὑπερηφανεύοντο δι' αὐτό, ἐπειδὴ ἐνομίζετο ὅτι εἶναι μέγα χάρισμα. Ἐνομίζετο δὲ ὅτι εἶναι μέγα, διότι πρῶτον αὐτὸ ἐδόθη εἰς τοὺς ἀποστόλους καὶ τόσον πολὺ ἐντυπωσιακά. Δὲν ἦτο ὅμως δι' αὐτὸ προτιμότερον ἀπὸ τὰ ἄλλα. Διατί λοιπὸν ἔλαβον αὐτὸ οἱ ἀπόστολοι πρὶν ἀπὸ τὰ ἄλλα; Ἐπειδὴ ἐπρόκειτο νὰ μεταβοῦν παντοῦ. Καὶ ὅπως ὅταν ἐκτίζετο ὁ πύργος τῆς Βαβὲλ ἡ μία γλῶσσα διῃρέθη εἰς πολλάς, ἔτσι τότε αἱ πολλαὶ γλῶσσαι ἦλθον εἰς ἕνα ἄνθρωπον καὶ ὁ ἴδιος ὡμίλει καὶ τὴν περσικὴν καὶ τὴν ρωμαϊκὴν καὶ τὴν ἰνδικὴν καὶ ἄλλας πολλὰς γλώσσας, διότι τὸν ἐδίδασκε τὸ ἅγιον Πνεῦμα˙ καὶ τὸ χάρισμα αὐτὸ ὠνομάζετο χάρισμα γλωσσῶν, ἐπειδὴ ἠμποροῦσε ὅποιος τὸ ἐλάμβανε νὰ ὁμιλῇ ἀμέσως πολλὰς γλώσσας.

Πρόσεχε λοιπὸν πῶς ταὐτοχρόνως καὶ μειώνει καὶ ἐξυψώνει τὴν ἀξίαν αὐτοῦ τοῦ χαρίσματος. Μὲ τὸ νὰ εἰπῇ δηλαδὴ «ἐκεῖνος ποὺ ὁμιλεῖ γλώσσας δὲν ὁμιλεῖ εἰς ἀνθρώπους, ἀλλ' εἰς τὸν Θεόν, ἀφοῦ κανεὶς δὲν τὸν καταλαβαίνει», ἐμείωσεν αὐτό, μὲ τὸ νὰ δείξῃ ὅτι δὲν εἶναι πολὺ χρήσιμον˙ μὲ τὸ νὰ προσθέσῃ ὅμως ὅτι λέγει μυστήρια κατ' ἔμπνευσιν τοῦ ἁγίου Πνεύματος, πάλιν ἐξύψωσεν αὐτό, διὰ νὰ μὴ θεωρηθῇ ὅτι εἶναι περιττὸν καὶ ἄχρηστον καὶ ὅτι ἀσκόπως ἐδόθη. «Ἐνῷ ἐκεῖνος ποὺ προφητεύει ὁμιλεῖ εἰς ἀνθρώπους λόγους ποὺ οἰκοδομοῦν, ἐνθαρρύνουν καὶ παρηγοροῦν»,

Εἶδες πόθεν τὸ ἐξαίρετον δείκνυσι τοῦ χαρίσματος τούτου, ἀπὸ τοῦ κοινῇ συμφέροντος· καὶ πῶς πανταχοῦ τοῦτο προτιμᾷ τὸ εἰς τὴν τῶν πολλῶν ὠφέλειαν γινόμενον; Ἐκεῖνοι γὰρ οὐκ ἀνθρώποις λαλοῦσιν, εἰπέ μοι; Ἀλλ' οὐ τοιαύτην οἰκοδομὴν καὶ παράκλησιν καὶ παραμυθίαν. Ὥστε τὸ μὲν ὑπὸ τοῦ Πνεύματος κατέχεσθαι, ἀμφοτέροις κοινόν, καὶ τῷ προφητεύοντι καὶ τῷ γλώσσαις λαλοῦντι· τούτῳ δὲ αὐτός, ὁ προφητεύων λέγω, πλεονεκτεῖ, τῷ καὶ χρήσιμος εἶναι τοῖς ἀκούουσι. Τῶν γὰρ γλώσσαις λαλούντων οὐκ ἤκουον οἱ τὸ χάρισμα οὐκ ἔχοντες. Τί οὖν; οὐδένα ᾠκοδόμουν ἐκεῖνοι; Ναί, φησίν, ἑαυτοὺς μόνους. Διὸ καὶ ἐπήγαγεν, «Ὁ λαλῶν γλώσσῃ, ἑαυτὸν οἰκοδομεῖ». Καὶ πῶς, εἰ μὴ οἶδεν ἃ λέγει; Ἀλλὰ τέως περὶ τῶν εἰδότων ἃ λέγουσι διαλέγεται, εἰδότων μὲν αὐτῶν, οὐκ ἐπισταμένων δὲ εἰς ἑτέρους ἐξενεγκεῖν. «Ὁ δὲ προφητεύων, Ἐκκλησίαν οἰκοδομεῖ». Ὅσον δὲ τὸ μέσον ἑνὸς καὶ Ἐκκλησίας, τοσοῦτον τὸ διάφορον τούτου κἀκείνου.

2. Εἶδες αὐτοῦ τὴν σοφίαν, πῶς οὐκ εἰς τὸ μηδὲν ἐξωθεῖ τὸ χάρισμα, ἀλλὰ δείκνυσιν ἔχον μὲν κέρδος, μικρὸν δέ, καὶ ὅσον τῷ κεκτημένῳ μόνον ἀρκέσαι; Εἶτα ἵνα μὴ νομίσωμεν, ὅτι βασκαίνων αὐτοῖς καθαιρεῖ τὰς γλώσσας· καὶ γὰρ οἱ πλείους εἶχον τὸ χάρισμα τοῦτο· διορθούμενος αὐτῶν τὴν ὑπόνοιάν φησι· «Θέλω δὲ πάντας ὑμᾶς λαλεῖν γλώσσαις, μᾶλλον δὲ ἵνα προφητεύητε. Μείζων γὰρ ὁ προφητεύων, ἢ ὁ λαλῶν γλώσσαις, ἐκτὸς εἰ μὴ διερμηνεύει, ἵνα ἡ Ἐκκλησία οἰκοδομὴν λάβῃ». Τὸ δὲ μᾶλλον καὶ μεῖζον οὐ τῶν ἐναντίων ἐστίν, ἀλλὰ τῶν ὑπερεχόντων. Ὥστε κἀντεῦθεν δῆλον, ὅτι οὐ διαβάλλει τὸ χάρισμα, ἀλλ' ἐπὶ τὰ βελτίονα αὐτοὺς ἄγει, τὴν

Εἶδες πῶς δεικνύει πόσον ἐξαίρετον εἶναι αὐτὸ τὸ χάρισμα, ἀπὸ τὸ ὅτι συμφέρει εἰς ὅλους; καὶ πῶς παντοῦ τιμᾷ περισσότερον αὐτὸ ποὺ γίνεται διὰ τὴν κοινὴν ὠφέλειαν; Ἀλλ' ἐκεῖνοι, εἰπέ μου, δὲν ὁμιλοῦν εἰς ἀνθρώπους; Δὲν ἐπιτυγχάνουν ὅμως τέτοιαν ἐποικοδόμησιν καὶ ἐγκαρδίωσιν καὶ παρηγορίαν. Ὥστε τὸ ὅτι κατέχονται μὲν ἀπὸ τὸ ἅγιον Πνεῦμα εἶναι κοινὸν καὶ εἰς τοὺς δύο, καὶ εἰς αὐτὸν ποὺ προφητεύει καὶ εἰς αὐτὸν ποὺ ὁμιλεῖ γλώσσας· ἀλλ' αὐτὸς ποὺ προφητεύει πλεονεκτεῖ κατὰ τὸ ὅτι εἶναι καὶ χρήσιμος εἰς αὐτοὺς ποὺ ἀκούουν. Διότι αὐτοὺς ποὺ ὡμίλουν γλώσσας δὲν τοὺς ἐκαταλάβαινον αὐτοὶ ποὺ δὲν εἶχον τὸ χάρισμα. Λοιπόν, κανένα δὲν οἰκοδομοῦσαν ἐκεῖνοι; Ναί, λέγει, μόνον τοὺς ἑαυτούς των. Δι' αὐτὸ προσέθεσεν, «Ἐκεῖνος ποὺ ὁμιλεῖ γλώσσας τὸν ἑαυτόν του οἰκοδομεῖ». Καὶ πῶς τὸν οἰκοδομεῖ, ἐὰν δὲν γνωρίζῃ τί λέγει; Ἀλλ' ἕως ἐδῶ ὁμιλεῖ δι' αὐτοὺς ποὺ γνωρίζουν αὐτὰ ποὺ λέγουν, γνωρίζουν μὲν αὐτοί, ἀλλὰ δὲν ἠξεύρουν νὰ ἐκφράσουν εἰς ἄλλους αὐτά. «Ἐνῷ ἐκεῖνος ποὺ προφητεύει, οἰκοδομεῖ τὴν Ἐκκλησίαν». Ὅση δὲ εἶναι ἡ διαφορὰ μεταξὺ ἑνὸς ἀνθρώπου καὶ τῆς Ἐκκλησίας, τόση εἶναι καὶ ἡ διαφορὰ μεταξὺ αὐτοῦ καὶ ἐκείνου.

2. Εἶδες τὴν σοφίαν του, πῶς δὲν μηδενίζει τὴν ἀξίαν τοῦ χαρίσματος, ἀλλὰ δεικνύει ὅτι ἔχει μὲν κέρδος, ὄχι ὅμως μέγα καὶ τόσον, ὅσον νὰ ἀρκέσῃ μόνον εἰς αὐτὸν ποὺ τὸ ἔχει; Ὕστερον διὰ νὰ μὴ νομίσουν ὅτι ἐπειδὴ τοὺς φθονεῖ μειώνει τὴν ἀξίαν τοῦ χαρίσματος τῆς γλωσσολαλιᾶς, διότι οἱ περισσότεροι εἶχον αὐτὸ τὸ χάρισμα, διὰ νὰ ἐξαλείψῃ τὴν τυχὸν ὑποψίαν των, λέγει· «Θέλω ὅλοι νὰ ὁμιλῆτε γλώσσας, ἀλλ' ἀκόμη περισσότερον νὰ προφητύετε, διότι ἐκεῖνος ποὺ προφητεύει εἶναι ἀνώτερος ἀπὸ ἐκεῖνον ποὺ ὁμιλεῖ γλώσσας, ἐκτὸς ἐὰν ἑρμηνεύῃ ὅσα λέγει διὰ νὰ οἰκοδομηθῇ ἡ ἐκκλησία». Αἱ λέξεις δέ, περισσότερον καὶ ἀνώτερος, δὲν ἀντιτίθενται εἰς τὸ χάρισμά των, ἀλλὰ δεικνύουν ὑπεροχήν. Ὥστε καὶ ἀπὸ αὐτὸ εἶναι φανερὸν ὅτι δὲν κατηγορεῖ τὸ χάρισμα, ἀλλ' ὁδηγεῖ αὐτοὺς εἰς τὰ καλύτερα, ἐπιδεικνύων ἔτσι καὶ τὴν φροντίδα δι' αὐτοὺς

τε περὶ αὐτοὺς κηδεμονίαν, καὶ τὴν φθόνου παντὸς ἀπηλλαγμένην ψυχὴν ἐπιδεικνύς. Οὐδὲ γὰρ εἶπε, δύο ἢ τρεῖς, ἀλλά, «πάντας ὑμᾶς θέλω γλώσσαις λαλεῖν»· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ προφητεύειν· καὶ τοῦτο μᾶλλον, ἢ ἐκεῖνο· «Μείζων γὰρ ὁ προφητεύων».

Ἐπειδὴ γὰρ κατεσκεύασεν αὐτὸ καὶ ἀπέδειξε, τότε λοιπὸν καὶ ἀποφαίνεται, οὐ μὴν ἁπλῶς, ἀλλὰ μετὰ προσθήκης· ἐπήγαγε γάρ, «Ἐκτὸς εἰ μὴ διερμηνεύει»· ὡς ἐὰν δύνηται τοῦτο, τὸ διερμηνεύειν λέγω, ἴσος γέγονε τῷ προφήτῃ, φησίν, ἐπειδὴ πολλοὶ οἱ τὴν ὠφέλειαν καρπούμενοι· ὃ χρὴ μάλιστα παρατηρεῖν, πῶς διὰ πάντων τοῦτο πρὸ τῶν ἄλλων ἐπιζητεῖ. «Νυνὶ δέ, ἀδελφοί, ἐὰν ἔλθω πρὸς ὑμᾶς γλώσσαις λαλῶν, τί ὑμᾶς ὠφελήσω, ἐὰν μὴ ὑμῖν λαλήσω ἢ ἐν ἀποκαλύψει, ἢ ἐν γνώσει, ἢ ἐν προφητείᾳ, ἢ ἐν διδαχῇ;». Καὶ τί λέγω, φησί, τοὺς ἄλλους; Ἔστω γὰρ Παῦλος ὁ φθεγγόμενος γλώσσαις· οὐδὲ γὰρ οὕτως ἔσται τι πλέον τοῖς ἀκούουσι. Ταῦτα δὲ λέγει, δεικνὺς ὅτι τὸ ἐκείνοις συμφέρον ζητεῖ, οὐ πρὸς τοὺς τὸ χάρισμα ἔχοντας ἀπεχθῶς ἔχει, ὅπου γε οὐδὲ ἐπὶ τοῦ οἰκείου προσώπου παραιτεῖται δεῖξαι τὸ ἀνωφελές. Καὶ ἀεὶ δὲ τὰ φορτικὰ ἐπὶ τοῦ οἰκείου προσώπου γυμνάζει, ὡς καὶ ἀρχόμενος τῆς ἐπιστολῆς ἔλεγε· «Τίς ἐστι Παῦλος; τίς δὲ Ἀπολλώς; τίς δὲ Κηφᾶς;». Ὃ δὴ καὶ ἐνταῦθα ποιεῖ λέγων, ὅτι οὐδὲ ἐγὼ ὑμᾶς ὠφελήσω, «ἐὰν μὴ ὑμῖν λαλήσω, ἢ ἐν ἀποκαλύψει, ἢ ἐν προφητείᾳ, ἢ ἐν γνώσει, ἢ ἐν διδαχῇ». Ὃ δὲ λέγει, τοῦτό ἐστιν· ἐὰν μή τι εἴπω δυνάμενον ὑμῖν εὐλήπτιον γενέσθαι, τὸ δυνάμενον εἶναι σαφές, ἀλλ᾽ ἐπιδείξωμαι μόνον, ὅτι γλωττῶν ἔχω χάρισμα, γλωττῶν ὧν οὐκ ἀκούετε, οὐδὲν κερδάναντες ἀπελεύσεσθε. Πῶς γάρ, ἀπὸ φωνῆς, ἧς οὐ συνίετε;

«Ὅμως τὰ ἄψυχα φωνὴν διδόντα, εἴτε αὐλὸς εἴτε κιθάρα, ἂν διαστολὴν τοῖς φθόγγοις μὴ δῷ, πῶς γνωσθήσεται τὸ αὐ-

καὶ τὴν ψυχήν του ἀπηλλαγμένην τελείως ἀπὸ τὸν φθόνον. Διότι δὲν εἶπε, δύο ἢ τρεῖς, ἀλλ', «ὅλοι θέλω νὰ ὁμιλῆτε γλώσσας»˙ καὶ ὄχι μόνον αὐτό, ἀλλὰ καὶ νὰ προφητεύετε˙ καὶ αὐτὸ περισσότερον, παρὰ ἐκεῖνο˙ «διότι ἐκεῖνος ποὺ προφητεύει εἶναι μεγαλύτερος».

Ἀφοῦ λοιπὸν ἐθεμελίωσε καὶ ἀπέδειξεν αὐτό, τότε λοιπὸν δίδει καὶ διευκρινίζει, ὄχι ἔτσι ἁπλῶς, ἀλλὰ μὲ ἔμφασιν˙ διότι προσέθεσεν, «ἐκτὸς ἐὰν ἑρμηνεύῃ ὅσα λέγει»˙ ὥστε ἐὰν ἠμπορῇ νὰ τὸ κάμνῃ αὐτό, ἔχει γίνει ἴσος μὲ τὸν προφήτην, λέγει, ἐπειδὴ πολλοὶ κερδίζουν αὐτὴν τὴν ὠφέλειαν˙ αὐτὸ πρέπει κυρίως νὰ προσέχωμεν, πῶς δηλαδὴ μὲ κάθε τρόπον ἐπιζητεῖ αὐτὸ περισσότερον ἀπὸ τὰ ἄλλα. «Ὥστε, ἀδελφοί, ἐὰν ἔλθω εἰς ἐσᾶς καὶ ὁμιλῶ γλώσσας, τί θὰ σᾶς ὠφελήσω, ἐὰν δὲν σάς ὁμιλήσω ὑπὸ μορφὴν ἢ ἀποκαλύψεως ἢ γνώσεως ἢ προφητείας ἢ διδασκαλίας;». Καὶ τί λέγω, λέγει, τοὺς ἄλλους; Διότι ἔστω ὅτι εἶναι ὁ Παῦλος αὐτὸς ποὺ ὁμιλεῖ γλώσσας˙ οὔτε ἔτσι βέβαια θὰ ὠφεληθοῦν τίποτε περισσότερον αὐτοὶ ποὺ ἀκούουν. Αὐτὰ δὲ τὰ λέγει διὰ νὰ δείξῃ ὅτι τὸ ἰδικόν των συμφέρον ζητεῖ, ὄχι ὅτι ἔχει ἔχθραν μὲ αὐτοὺς ποὺ ἔχουν τὸ χάρισμα, ἀφοῦ βεβαίως οὔτε διὰ τὸν ἑαυτόν του δὲν ἀποφεύγει νὰ δείξῃ τὸ ἀνωφελὲς ἀπὸ αὐτὸ τὸ χάρισμα. Καὶ πάντοτε δὲ ἐφαρμόζει εἰς τὸν ἑαυτόν του αὐτὰ ποὺ εἶναι φορτικά, ὅπως καὶ εἰς τὴν ἀρχὴν τῆς ἐπιστολῆς ἔλεγε˙ «Τί εἶναι ὁ Παῦλος; τί εἶναι ὁ Ἀπολλώς; τί εἶναι ὁ Κηφᾶς;». Αὐτὸ λοιπὸν κάμνει καὶ ἐδῶ ὅταν λέγῃ ὅτι οὔτε ἐγὼ θὰ σᾶς ὠφελήσω, «ἐὰν δὲν σᾶς ὁμιλήσω ὑπὸ μορφὴν ἢ ἀποκαλύψεως ἢ προφητείας ἢ γνώσεως ἢ διδασκαλίας». Αὐτὸ ποὺ ἐννοεῖ δὲ εἶναι τὸ ἑξῆς˙ ἐὰν δὲν εἰπῶ κάτι ποὺ νὰ εἶναι κατανοητὸν ἀπὸ ἐσᾶς, κάτι ποὺ νὰ εἶναι σαφές, ἀλλὰ μόνον ἐπιδείξω ὅτι ἔχω χάρισμα γλωσσῶν, ποὺ δὲν καταλαβαίνετε, θὰ φύγετε χωρὶς νὰ κερδίσετε τίποτε. Διότι πῶς θὰ καταλάβετε γλῶσσαν ποὺ δὲν γνωρίζετε;

«Ἀλλὰ καὶ τὰ ἄψυχα ὄργανα τὰ ὁποῖα δίδουν ἦχον, εἴτε φλογέρα εἶναι εἴτε κιθάρα, ἐὰν δὲν κάνουν διάκρισιν τῶν φθόγγων, πῶς θὰ γίνῃ ἀντιληπτὸν ἐκεῖνο ποὺ παίζεται

λούμενον;». Καὶ τί λέγω, φησίν, ὅτι ἐφ' ἡμῶν τοῦτο μὲν ἀκερδές, ὠφέλιμον δὲ τὸ σαφὲς καὶ εὔληπτον τοῖς ἀκούουσι; Καὶ γὰρ καὶ ἐν τοῖς ἀψύχοις ὀργάνοις τῆς μουσικῆς τοῦτο ἴδοι τις ἄν. Εἴτε γὰρ αὐλός, εἴτε κιθάρα εἴη, καὶ μὴ ρυθμῷ μηδὲ ἁρμονίᾳ τῇ προσηκούσῃ, ἀλλὰ συγκεχυμένως καὶ ἁπλῶς κρούοιτο καὶ ἐμπνέοιτο, οὐδένα ψυχαγωγήσει τῶν ἀκουόντων. Καὶ γὰρ ἐν τοῖς ἀνάρθροις ἐκείνοις δεῖ τινος σαφηνείας· κἂν μὴ κατὰ τέχνην κρούσῃς, καὶ ἐμπνεύσῃς τῷ αὐλῷ, οὐδὲν ἐποίησας. Εἰ δὲ παρὰ τῶν ἀψύχων τοσαύτην ἀπαιτοῦμεν σαφήνειαν καὶ ἁρμονίαν καὶ διάκρισιν, καὶ ἐν τοῖς ἀσήμοις ἐκείνοις φθόγγοις βιαζόμεθα καὶ φιλονεικοῦμεν πολλὴν ἐπιθεῖναι τὴν σημασίαν, πολλῷ μᾶλλον ἐν τοῖς ἐμψύχοις καὶ λογικοῖς ἀνθρώποις καὶ ἐν τοῖς πνευματικοῖς χαρίσμασι τὸ εὔσημον διώκειν δεῖ. «Καὶ γὰρ ἐὰν ἄδηλον φωνὴν σάλπιγξ δῷ, τίς παρασκευάσεται εἰς πόλεμον;». Ἀπὸ γὰρ τῶν περιττῶν ἐπὶ τὰ ἀναγκαιότερα καὶ χρησιμώτερα τὸν λόγον ἄγει, καί φησιν, ὅτι οὐκ ἐπὶ τῆς κιθάρας μόνον, ἀλλὰ καὶ ἐπὶ τῆς σάλπιγγος τοῦτο συμβαῖνον ἴδοι τις ἄν. Εἰσὶ γὰρ καὶ ἐκεῖ ρυθμοί, καὶ ἐνδείκνυνται ποτὲ μὲν πολεμικὴν ἠχήν, ποτὲ δὲ οὐ τοιαύτην· καὶ ποτὲ μὲν εἰς παράταξιν ἐξάγει, ποτὲ δὲ ἐπανάγει· κἂν μὴ τοῦτό τις εἰδῇ, περὶ τῶν ἐσχάτων ὁ κίνδυνος. Ὃ δὴ δηλῶν καὶ τὴν βλάβην ἐμφαίνων φησί, «Τίς παρασκευάσεται εἰς πόλεμον;». Ὥστε ἂν μὴ τοῦτο ἔχῃ, τὸ πᾶν ἀπώλεσε.

3. *Καὶ τί πρὸς ἡμᾶς ταῦτα, φησί; Πρὸς ὑμᾶς μὲν οὖν μάλιστα, διὸ καὶ ἐπάγει· «Οὕτω καὶ ὑμεῖς, ἐὰν μὴ εὔσημον λόγον διὰ τῆς γλώττης δῶτε, ἔσεσθε εἰς ἀέρα λαλοῦντες». Τουτέστιν, οὐδενὶ φθεγγόμενοι, πρὸς οὐδένα λαλοῦντες. Καὶ πανταχοῦ τὸ ἀνωφελὲς δείκνυσι. Καὶ εἰ ἀνωφελές, διὰ τί ἐδόθη, φησίν; Ὥστε ἐκείνῳ χρήσιμον εἶναι τῷ λαβόντι· εἰ*

μὲ τὴν φλογέραν ἢ τὴν κιθάραν;». Καὶ διατί λέγω, λέγει, ὅτι εἰς ἐσᾶς αὐτὸ μὲν εἶναι ἀνωφελές, ἐνῷ ὠφέλιμον εἰς τοὺς ἀκροατὰς εἶναι τὸ σαφὲς καὶ εὐνόητον; Καθ' ὅσον αὐτὸ θὰ ἰδῇ κανεὶς νὰ συμβαίνῃ καὶ εἰς τὰ ἄψυχα ὄργανα τῆς μουσικῆς. Διότι εἴτε αὐλὸς εἴτε κιθάρα εἶναι, ἐὰν δὲν παίζεται μὲ τὸν πρέποντα ρυθμὸν καὶ ἁρμονίαν, ἀλλὰ συγκεχυμένα καὶ ὅπως τύχῃ, δὲν θὰ ψυχαγωγήσῃ κανένα ἀπὸ ὅσους ἀκούουν. Καθ' ὅσον καὶ εἰς αὐτὰ ποὺ δὲν ὁμιλοῦν χρειάζεται κάποια σαφήνεια· καὶ ἐὰν δὲν παίζῃς μὲ τέχνην τὴν κιθάραν καὶ τὴν φλογέραν, δὲν κάμνεις τίποτε. Ἐὰν ὅμως ἀπαιτοῦμεν ἀπὸ τὰ ἄψυχα τόσην σαφήνειαν καὶ ἁρμονίαν καὶ διάκρισιν εἰς τοὺς τόνους, καὶ εἰς τοὺς ἀσημάντους ἐκείνους φθόγγους ἀγωνιζόμεθα καὶ προσπαθοῦμε νὰ προσδώσωμεν πολλὴν σημασίαν, πολὺ περισσότερον πρέπει νὰ ἐπιδιώκωμεν νὰ δίδωμεν σαφήνειαν εἰς τοὺς ἐμψύχους καὶ λογικοὺς ἀνθρώπους καὶ εἰς τὰ πνευματικὰ χαρίσματα. «Ἐὰν ἡ σάλπιγγξ δώσῃ ἀκατάληπτον ἦχον, ποῖος θὰ ἑτοιμασθῇ διὰ πόλεμον;». Ἀπὸ τὰ περιττὰ λοιπὸν ὁδηγεῖ τὸν λόγον εἰς τὰ περισσότερον ἀναγκαῖα καὶ χρήσιμα καὶ λέγει ὅτι ὄχι μόνον εἰς τὴν κιθάραν, ἀλλὰ καὶ εἰς τὴν σάλπιγγα θὰ ἰδῇ κανεὶς νὰ συμβαίνῃ αὐτό. Διότι ὑπάρχουν καὶ ἐκεῖ ρυθμοὶ καὶ σημαίνουν ἄλλοτε μὲν πολεμικὸν σύνθημα, ἄλλοτε ὅμως ὄχι τέτοιο· καὶ ἄλλοτε μὲν ὁδηγεῖ εἰς παράταξιν διὰ πόλεμον, ἄλλοτε δὲ ἐπαναφέρει· καὶ ἐὰν κανεὶς δὲν τὸ γνωρίζῃ αὐτό, ὁ κίνδυνος εἶναι σοβαρώτατος. Διὰ νὰ δηλώσῃ λοιπὸν αὐτὸ καὶ νὰ δείξῃ τὴν βλάβην λέγει, «ποῖος θὰ ἑτοιμασθῇ διὰ πόλεμον;». Ὥστε ἐὰν δὲν γίνῃ αὐτό, ἐχάθη τὸ πᾶν.

3. Καὶ τί ἐνδιαφέρουν αὐτὰ ἐμᾶς; θὰ ἔλεγε κάποιος. Σᾶς ἐνδιαφέρουν καὶ μάλιστα πολύ, δι' αὐτὸ καὶ προσθέτει· «Ἔτσι καὶ σεῖς, ἐάν, καθὼς ὁμιλεῖτε γλώσσας, δὲν προσφέρετε κάποιον κατανοητὸν λόγον, θὰ ὁμιλῆτε εἰς τὸν ἀέρα». Δηλαδή, εἰς κανένα δὲν θὰ ὁμιλῆτε, εἰς κανένα δὲν θὰ ἀπευθύνεσθε. Καὶ παντοῦ δεικνύει τὸ ἀνωφελὲς τοῦ πράγματος. Καὶ ἐὰν εἶναι ἀνωφελής, θὰ εἰπῇ κάποιος, διατί ἐδόθη; Διὰ νὰ χρησιμεύῃ εἰς ἐκεῖνον ὁ ὁποῖος τὸ ἔλαβεν·

δὲ καὶ ἑτέροις μέλλει γίνεσθαι, ἑρμηνείαν δεῖ προσεῖναι. Ταῦτα δὲ λέγει, συνάγων αὐτοὺς πρὸς ἀλλήλους, ἵνα κἂν αὐτὸς μὴ ἔχῃ τὸ χάρισμα τοῦ ἑρμηνεύειν, ἕτερον προσλαβὼν τὸν τοῦτο ἔχοντα, ὠφέλιμον τὸ αὐτοῦ δι' ἐκείνου ποιήσῃ. Διὸ πανταχοῦ δείκνυσιν ἀτελὲς ὄν, ἵνα κἂν οὕτως αὐτοὺς συνδήσῃ. Ὡς ὅ γε νομίζων ἀρκεῖν αὐτὸ ἑαυτῷ, οὐχ οὕτως αὐτὸ ἐγκωμιάζει, ὡς καθαιρεῖ, οὐκ ἀφιεὶς αὐτὸ λάμψαι καλῶς διὰ τῆς ἑρμηνείας. Καλὸν μὲν γὰρ καὶ ἀναγκαῖον τὸ χάρισμα, ἀλλ' ὅταν ἔχῃ τὸν σαφηνίζοντα τὰ λεγόμενα. Ἐπεὶ καὶ ὁ δάκτυλος ἀναγκαῖον, ἀλλ' ὅταν αὐτὸν ἀποστήσῃς τῶν λοιπῶν, οὐχ ὁμοίως ἔσται χρήσιμος· καὶ ἡ σάλπιγξ ἀναγκαία, ἀλλ' ὅταν ἁπλῶς ἠχῇ, καὶ ἐπαχθής. Οὔτε γὰρ τέχνη φανεῖται, μὴ ὑποκειμένης ὕλης, οὔτε ὕλη μορφοῦται, μὴ ἐπιτεθειμένου τοῦ εἴδους. Τίθει τοίνυν τὴν μὲν φωνὴν ὡς ὑποκείμενον, τὴν δὲ σαφήνειαν ὡς εἶδος, οὗ μὴ παρόντος οὐδὲν ὄφελος τοῦ ὑποκειμένου.

«Τοσαῦτα, εἰ τύχοι, γένη φωνῶν ἐστιν ἐν κόσμῳ, καὶ οὐδὲν αὐτῶν ἄφωνον». Τουτέστι, τοσαῦται γλῶσσαι, τοσαῦται φωναί. Σκυθῶν, Θρᾳκῶν, Ρωμαίων, Περσῶν, Μαύρων, Ἰνδῶν, Αἰγυπτίων, ἑτέρων μυρίων ἐθνῶν. «Ἐὰν οὖν μὴ εἰδῶ τὴν δύναμιν τῆς φωνῆς, ἔσομαι τῷ λαλοῦντι βάρβαρος». Μὴ γὰρ δὴ νομίσῃς, ὅτι ἐφ' ἡμῶν τοῦτο μόνον συμβαίνει, φησίν, ἀλλὰ καὶ ἐπὶ πάντων τοῦτο γινόμενον ἴδοι τις ἄν. Ὥστε οὐ διαβάλλων τὴν φωνὴν ταῦτα λέγω, ἀλλὰ δεικνύς, ὅτι ἐμοὶ ἀνωφελής, ἕως ἂν ᾖ ἀσαφής. Εἶτα ἵνα μὴ ἐπαχθῆ ποιήσῃ τὴν κατηγορίαν, ἐξισάζει τὸ ἔγκλημα, λέγων· «Ἐκεῖνος ἐμοὶ βάρβαρος, κἀγὼ ἐκείνῳ»· οὐ παρὰ τὴν φύσιν τῆς φωνῆς, ἀλλὰ παρὰ τὴν ἡμετέραν ἄγνοιαν. Εἶδες πῶς κατὰ μικρὸν

ἐὰν δὲ πρόκειται νὰ γίνῃ χρήσιμον καὶ εἰς ἄλλους, πρέπει νὰ συνάπτεται καὶ ἡ ἑρμηνεία. Αὐτὰ δὲ τὰ λέγει διὰ νὰ τοὺς συνενώσῃ μεταξύ των, ὥστε καὶ ἂν δὲν ἔχῃ ὁ ἴδιος ποὺ ὁμιλεῖ γλώσσας καὶ τὸ χάρισμα τῆς ἑρμηνείας, ἀφοῦ προσλάβῃ ἄλλον ποὺ νὰ τὸ ἔχῃ, νὰ κάνῃ ὠφέλιμον καὶ εἰς ἄλλος τὸ χάρισμα ποὺ ἔχει διὰ μέσου ἐκείνου. Δι' αὐτὸ παντοῦ δεικνύει ὅτι εἶναι ἀτελές, ὥστε τοὐλάχιστον ἔτσι νὰ τοὺς συνδέσῃ. Ὥστε αὐτὸς βέβαια ποὺ νομίζει ὅτι εἶναι ἀρκετὸν νὰ ἔχῃ τὸ χάρισμα, δὲν ἐπαινεῖ τὸ χάρισμα τόσον, ὅσον τὸ ὑποβιβάζει μὲ τὸ νὰ μὴ ἀφήνῃ αὐτὸ νὰ λάμψῃ διὰ τῆς ἑρμηνείας. Διότι εἶναι καλὸν καὶ ἀναγκαῖον τὸ χάρισμα, ἀλλ' ὅταν ἔχῃ συγχρόνως καὶ αὐτὸν ποὺ διασαφηνίζει αὐτὰ ποὺ λέγονται. Καὶ ὁ δάκτυλος εἶναι ἀναγκαῖος, ἀλλ' ὅταν τὸν ἀποχωρίσῃς ἀπὸ τοὺς ὑπολοίπους, δὲν θὰ εἶναι ἐξ ἴσου χρήσιμος· καὶ ἡ σάλπιγγα εἶναι ἀπαραίτητος, ἀλλ' ὅταν σημαίνῃ ὅπως τύχῃ, ὄχι μόνον δὲν εἶναι, ἀλλ' ἐπὶ πλέον ἀποβαίνει καὶ ἐπιζημία. Διότι οὔτε τέχνη ὑπάρχει χωρὶς ὕλην, οὔτε ἡ ὕλη μορφοποιεῖται ἐὰν δὲν τεθῇ ἐπάνω της ἡ μορφή. Λάβε λοιπὸν τὴν μὲν φωνὴν ὡς ὕλην, τὴν δὲ σαφήνειαν ὡς μορφήν, χωρὶς τὴν ὁποίαν δὲν ὑπάρχει κανὲν ὄφελος ἀπὸ τὴν ὕλην.

«Ὑπάρχουν τόσα εἴδη γλωσσῶν εἰς τὸν κόσμον καὶ καμμία δὲν εἶναι χωρὶς σημασίαν». Δηλαδή, τόσαι γλῶσσαι, τόσαι διάλεκτοι, τῶν Σκυθῶν, τῶν Θρακῶν, τῶν Ρωμαίων, τῶν Περσῶν, τῶν Μαύρων, τῶν Ἰνδῶν, τῶν Αἰγυπτίων, χιλιάδων ἄλλων ἐθνῶν. «Ἐὰν λοιπὸν δὲν γνωρίζω τὴν σημασίαν τῆς γλώσσης, τότε θὰ εἶμαι δι' ἐκεῖνον ποὺ τὴν ὁμιλεῖ ξένος». Μὴ νομίσῃς δηλαδὴ ὅτι αὐτὸ συμβαίνει μόνον εἰς ἐμᾶς, ἀλλ' εἶναι δυνατὸν νὰ ἰδῇ κανεὶς αὐτὸ νὰ γίνεται καὶ εἰς ὅλους. Ὥστε δὲν λέγω αὐτὰ διὰ νὰ κατηγορήσω τὴν γλῶσσαν, ἀλλὰ διὰ νὰ δείξω ὅτι δι' ἐμὲ εἶναι ἀνώφελος ἐφ' ὅσον εἶναι ἀκατανόητος. Εἰς τὴν συνέχειαν διὰ νὰ μὴ κάνῃ βαρεῖαν τὴν κατηγορίαν, τὴν ἐλαφρώνει μὲ τοὺς λόγους· «ἐκεῖνος θὰ εἶναι ξένος δι' ἐμέ, καὶ ἐγὼ δι' ἐκεῖνον»· ὄχι ἐξ αἰτίας τῆς φύσεως τῆς γλώσσης, ἀλλ' ἐξ αἰτίας τῆς ἰδικῆς μου ἀγνοίας. Εἶδες πῶς ὀλίγον κατ' ὀ-

ἐπὶ τὸ συγγενὲς ἤγαγεν; ὅπερ ἔθος αὐτῷ ποιεῖν, πόρρωθεν ἕλκειν τὰ ὑποδείγματα, καὶ πρὸς τὸ οἰκειότερον τῷ ὑποκειμένῳ τελευτᾶν. Ἐπειδὴ γὰρ εἶπε περὶ αὐλοῦ καὶ κιθάρας, ἔνθα πολὺ τὸ ἀποδέον ἦν καὶ ἀνόνητον, ἔρχεται ἐπὶ τὴν σάλπιγγα, τὸ χρησιμώτερον, εἶτα ἐκεῖθεν καὶ ἐπ' αὐτὴν λοιπὸν τὴν φωνήν. Οὕτω καὶ ἔμπροσθεν ὅτε περὶ τοῦ δεῖξαι μὴ κεκωλυμένον τὸ λαμβάνειν τοὺς ἀποστόλους διελέγετο, ἀρξάμενος πρῶτον ἀπὸ γεωργῶν καὶ ποιμένων καὶ στρατιωτῶν, τότε καὶ ἐπὶ τὸ ἐγγύτερον τῷ προκειμένῳ τὸν λόγον ἤγαγε, τοὺς ἱερεῖς τοὺς ἐν τῇ παλαιᾷ.

Σὺ δέ μοι σκόπει, πῶς πανταχοῦ ἐσπούδακεν ἀπαλλάξαι τὸ χάρισμα κατηγορίας, καὶ περιστῆσαι τὸ ἔγκλημα εἰς τοὺς εἰληφότας. Οὐ γὰρ εἶπεν, ἔσομαι βάρβαρος, ἀλλά, «τῷ λαλοῦντι βάρβαρος». Καὶ πάλιν οὐκ εἶπεν, ὁ λαλῶν βάρβαρος, ἀλλ', «ὁ ἐμοὶ λαλῶν βάρβαρος». Τί οὖν δεῖ γενέσθαι, φησίν; Οὐ γὰρ μόνον διαβάλλειν χρή, ἀλλὰ καὶ παραινεῖν καὶ διδάσκειν. Τοῦτο δὴ καὶ αὐτὸς ποιεῖ. Ἐπειδὴ γὰρ ἐνεκάλεσε καὶ ἐπετίμησε καὶ τὸ ἀνωφελὲς ἔδειξε, καὶ συμβουλεύει λοιπὸν λέγων· «Οὕτω καὶ ὑμεῖς, ἐπεὶ ζηλωταί ἐστε πνευμάτων, πρὸς τὴν οἰκοδομὴν τῆς Ἐκκλησίας ζητεῖτε, ἵνα περισσεύητε». Εἶδες αὐτοῦ τὸν σκοπὸν πανταχοῦ, πῶς πρὸς ἓν ὁρᾷ διηνεκῶς καὶ διὰ πάντων, τὸ τοῖς πολλοῖς χρήσιμον, τὸ τὴν Ἐκκλησίαν ὠφελοῦν, ὥσπερ τινὰ κανόνα τοῦτον τιθείς; Καὶ οὐκ εἶπεν, ἵνα κτήσησθε τὰ χαρίσματα, ἀλλ', «ἵνα καὶ περισσεύητε», τουτέστιν, ἵνα καὶ μετὰ δαψιλείας αὐτὰ πολλῆς ἔχητε. Τοσοῦτον γὰρ ἀπέχω τοῦ μὴ βούλεσθαι ἔχειν ὑμᾶς αὐτά, ὅτι καὶ περισσεύειν ὑμᾶς ἐν αὐτοῖς βούλομαι, μόνον ἂν εἰς τὸ κοινῇ συμφέρον αὐτὰ μεταχειρίζητε.

λίγον ὡδήγησε τὸν λόγον εἰς πρᾶγμα συγγενὲς μὲ τὸ θέμα του; πρᾶγμα ποὺ ἐσυνήθιζε νὰ τὸ κάμνῃ, δηλαδὴ νὰ ἀντλῇ ἀπὸ μακρυνὰ θέματα τὰ παραδείγματα καὶ νὰ καταλήγῃ εἰς παράδειγμα πλησιέστερον πρὸς τὸ θέμα τοῦ λόγου του. Ἀφοῦ δηλαδὴ εἶπε διὰ φλογέραν καὶ κιθάραν, ποὺ δὲν εἶναι ἀναγκαῖα καὶ ὠφέλιμα, ἔρχεται εἰς τὴν σάλπιγγα, ποὺ εἶναι χρησιμωτέρα, ὕστερον ἀπὸ ἐκεῖ καὶ εἰς αὐτὴν τὴν γλῶσσαν. Ἔτσι καὶ εἰς τὴν ἀρχὴν ὅταν ὡμίλει διὰ νὰ δείξῃ ὅτι δὲν ἀπαγορεύεται εἰς τοὺς ἀποστόλους νὰ λαμβάνουν ἀπὸ τοὺς πιστούς, ἀφοῦ ἤρχισε πρῶτον ἀπὸ τοὺς γεωργοὺς καὶ τοὺς ποιμένας καὶ τοὺς στρατιώτας, τότε ὡδήγησε τὸν λόγον καὶ πλησιέστερον εἰς τὸ θέμα, ἀφοῦ ἀνεφέρθη εἰς τοὺς ἱερεῖς τῆς παλαιᾶς Διαθήκης.

Σὺ ὅμως πρόσεχε πῶς παντοῦ προσεπάθησε ν' ἀπαλλάξῃ τὸ χάρισμα ἀπὸ κάθε κατηγορίαν καὶ ν' ἀπευθύνῃ τὴν κατηγορίαν εἰς αὐτοὺς ποὺ τὸ ἔλαβον. Διότι δὲν εἶπε, θὰ εἶμαι ξένος, ἀλλά, «θὰ εἶμαι ξένος δι' ἐκεῖνον ποὺ ὁμιλεῖ». Καὶ πάλιν δὲν εἶπεν, αὐτὸς ποὺ ὁμιλεῖ θὰ εἶναι ξένος, ἀλλά, «αὐτὸς ποὺ ὁμιλεῖ εἰς ἐμὲ θὰ εἶναι ξένος». Τί πρέπει λοιπὸν νὰ γίνῃ; θὰ εἰπῇ. Διότι δὲν πρέπει μόνον νὰ κατηγοροῦμεν, ἀλλὰ καὶ νὰ προτρέπωμεν καὶ νὰ διδάσκωμεν τὰ ὀρθά. Αὐτὸ λοιπὸν κάμνει καὶ ὁ ἴδιος. Ἀφοῦ δηλαδὴ ἐκατηγόρησε καὶ ἐπίπληξε καὶ ἔδειξε τὸ ἀνωφελὲς τοῦ χαρίσματος, τώρα λοιπὸν καὶ συμβουλεύει μὲ τοὺς λόγους· «Ἔτσι καὶ σεῖς, ἀφοῦ μὲ πολὺν ζῆλον ἐπιδιώκετε τὰ πνευματικὰ χαρίσματα, νὰ ζητῆτε νὰ σᾶς δώσῃ ὁ Θεὸς περίσσια ἐκεῖνα τὰ χαρίσματα ποὺ συντελοῦν εἰς τὸ νὰ οἰκοδομῆται ἡ ἐκκλησία». Εἶδες παντοῦ τὸν σκοπόν του, πῶς εἰς ἕνα ἀποβλέπει συνεχῶς καὶ μὲ κάθε τι, εἰς αὐτὸ δηλαδὴ ποὺ εἶναι χρήσιμον εἰς πολλούς, ποὺ ὠφελεῖ τὴν ἐκκλησίαν, ἀφοῦ ἔθεσεν αὐτὸ ὡσὰν κανόνα; Καὶ δὲν εἶπε, διὰ ν' ἀποκτήσετε τὰ χαρίσματα, ἀλλά, «νὰ σᾶς δώσῃ ὁ Θεὸς περίσσια», δηλαδὴ νὰ ἔχετε αὐτὰ καὶ πολὺ πλουσίως. Τόσον πολὺ δηλαδὴ ἀπέχω ἀπὸ τοῦ νὰ μὴ θέλω νὰ ἔχετε αὐτὰ ἐσεῖς, ὥστε ἐπιθυμῶ νὰ ἔχετε καὶ περίσσειαν εἰς αὐτά, μόνον νὰ χρησιμοποιῆτε αὐτὰ διὰ τὸ κοινὸν συμφέρον.

4. Καὶ πῶς αὐτὸ τοῦτο γένοιτο, φησί; Τοῦτο καὶ ἐπάγει λέγων· «Διόπερ ὁ λαλῶν γλώσσῃ, προσευχέσθω, ἵνα διερμηνεύῃ. Ἐὰν γὰρ προσεύξωμαι τῇ γλώσσῃ, τὸ πνεῦμά μου προσεύχεται, ὁ δὲ νοῦς μου ἄκαρπός ἐστι. Τί οὖν ἐστι; Προσεύξομαι τῷ πνεύματι, προσεύξομαι δὲ καὶ τῷ νοΐ· ψαλῶ τὸ πνεύματι, ψαλῶ δὲ καὶ τῷ νοΐ». Ἐνταῦθα δείκνυσιν ἐν αὐτοῖς ὂν τὸ λαβεῖν τὸ χάρισμα. Προσευχέσθω γάρ, φησί, τουτέστι, τὰ παρ' ἑαυτοῦ εἰσαγέτω. Καὶ γὰρ ἐὰν σπουδαίως αἰτήσῃς, λήψῃ. Αἴτει τοίνυν μὴ γλώττης ἔχειν χάρισμα μόνον, ἀλλὰ καὶ ἑρμηνείας, ἵνα πᾶσιν ὠφέλιμος γένῃ, καὶ μὴ ἐν σεαυτῷ μόνῳ κατακλείσῃς τὸ χάρισμα. «Ἐὰν γὰρ προσεύξωμαι τῇ γλώττῃ, φησί, τὸ πνεῦμά μου προσεύχεται, ὁ δὲ νοῦς μου ἄκαρπός ἐστιν».

Εἶδες πῶς κατὰ μικρὸν τὸν λόγον ἀνάγων δείκνυσιν, ὅτι οὐκ ἄλλοις ἄχρηστος μόνον ὁ τοιοῦτος, ἀλλὰ καὶ ἑαυτῷ, εἴγε ὁ νοῦς αὐτῷ ἄκαρπος; Ἂν γάρ τις φθέγγηται μόνον τῇ Περσῶν γλώσσῃ, ἢ ἑτέρᾳ τινὶ ἀλλοτρίᾳ, μὴ εἰδῇ δὲ ἃ λέγει, ἄρα καὶ ἑαυτῷ λοιπὸν ἔσται βάρβαρος, οὐχ ἑτέρῳ μόνον, διὰ τὸ μὴ εἰδέναι τὴν δύναμιν τῆς φωνῆς. Καὶ γὰρ ἦσαν τὸ παλαιὸν καὶ χάρισμα εὐχῆς ἔχοντες πολλοὶ μετὰ γλώττης· καὶ ηὔχοντο μέν, καὶ ἡ γλῶττα ἐφθέγγετο, ἢ τῇ Περσῶν ἢ τῇ Ρωμαίων φωνῇ εὐχομένη, ὁ νοῦς δὲ οὐκ ᾔδει τὸ λεγόμενον. Διὸ καὶ ἔλεγεν, «Ἐὰν προσεύξωμαι τῇ γλώττῃ, τὸ πνεῦμά μου προσεύχεται», τουτέστι, τὸ χάρισμα τὸ δοθέν μοι καὶ κινοῦν τὴν γλῶτταν, «ὁ δὲ νοῦς μου ἄκαρπός ἐστι». Τί ποτ' οὖν τὸ ἄριστον καὶ ὠφέλιμον; καὶ πῶς χρὴ ποιεῖν, ἢ τί αἰτεῖν παρὰ τοῦ Θεοῦ; Τὸ καὶ τῷ πνεύματι, τουτέστι, τῷ χαρίσματι, καὶ τῇ διανοίᾳ προσεύχεσθαι.

4. Καὶ πῶς θὰ ἦτο δυνατὸν νὰ γίνῃ αὐτό; θὰ εἰπῇ κάποιος. Αὐτὸ ἀκριβῶς καὶ προσθέτει μετά, ὅταν λέγῃ· «Δι' αὐτὸ ἐκεῖνος ποὺ ἔχει τὸ χάρισμα νὰ ὁμιλῇ γλώσσας, ἂς προσεύχεται νὰ ἠμπορῇ νὰ διερμηνεύῃ. Διότι ἐὰν προσεύχωμαι μὲ τέτοιαν γλῶσσαν, τὸ πνεῦμά μου προσεύχεται, ἀλλ' ὁ νοῦς μου μένει ἄκαρπος. Τί πρέπει νὰ γίνεται λοιπόν; Θὰ προσεύχωμαι, θὰ ψάλλω μὲ τὸ πνεῦμά μου, ἀλλὰ θὰ ψάλλω καὶ μὲ τὸν νοῦν μου». Ἐδῶ δεικνύει ὅτι εἰς αὐτοὺς ἐναπομένει τὸ νὰ λάβουν τὸ χάρισμα. Καθ' ὅσον, λέγει, νὰ προσευχηθῇς, δηλαδὴ νὰ εἰσφέρῃς ὅσα ἠμπορεῖς. Διότι ἐὰν ζητήσῃς μὲ προσοχὴν καὶ ἐπιμονήν, θὰ λάβῃς. Νὰ ζητῇς λοιπὸν νὰ ἔχῃς ὄχι μόνον τὸ χάρισμα νὰ ὁμιλῇς γλώσσας, ἀλλὰ καὶ νὰ διερμηνεύῃς, διὰ νὰ γίνῃς εἰς ὅλους ὠφέλιμος καὶ νὰ μὴ περιορίσῃς τὴν ὠφέλειαν τοῦ χαρίσματος μόνον εἰς τὸν ἑαυτόν σου. «Διότι ἐὰν προσεύχωμαι μὲ τέτοιαν γλῶσσαν», λέγει, «τὸ πνεῦμά μου προσεύχεται, ἀλλ' ὁ νοῦς μου μένει ἄκαρπος».

Εἶδες πῶς, καθὼς προχωρεῖ ὀλίγον κατ' ὀλίγον τὸν λόγον, δεικνύει ὅτι ὄχι μόνον εἰς τοὺς ἄλλους εἶναι ἀνωφελὴς ὅποιος εἶναι τέτοιος, ἀλλὰ καὶ εἰς τὸν ἑαυτόν του, ἐφ' ὅσον βέβαια ὁ νοῦς του εἶναι ἄκαρπος; Διότι ἐὰν κάποιος μόνον ὁμιλῇ τὴν γλῶσσαν τῶν Περσῶν ἢ κάποιαν ἄλλην ξένην, δὲν γνωρίζει ὅμως τί λέγει, ἄρα λοιπὸν καὶ εἰς τὸν ἑαυτόν του θὰ εἶναι ξένος, καὶ ὄχι μόνον εἰς ἄλλον, διότι δὲν γνωρίζει τὸ νόημα τῆς γλώσσης. Διότι εἰς τὸν παλαιὸν καιρὸν ὑπῆρχον ἄνθρωποι ποὺ εἶχον καὶ χάρισμα προσευχῆς μαζὶ μὲ τὸ χάρισμα νὰ ὁμιλοῦν γλώσσας· καὶ προσηύχοντο μὲν καὶ ἡ γλῶσσα ὡμίλει ἢ εἰς τὴν γλῶσσαν τῶν Περσῶν ἢ τῶν Ρωμαίων, ὁ νοῦς ὅμως δὲν ἐγνώριζεν αὐτὸ ποὺ ἐλέγετο. Δι' αὐτὸ καὶ ἔλεγεν, «Ἐὰν προσεύχωμαι μὲ τέτοιαν γλῶσσαν, τὸ πνεῦμά μου προσεύχεται», δηλαδή, τὸ χάρισμα ποὺ μοῦ ἐδόθη κινεῖ τὴν γλῶσσαν μου, «ἀλλ' ὁ νοῦς μου μένει ἄκαρπος». Καὶ ποῖο τέλος πάντων εἶναι τὸ ἄριστον καὶ ὠφέλιμον; καὶ πῶς πρέπει νὰ πράττωμεν ἢ τί νὰ ζητοῦμεν ἀπὸ τὸν Κύριον; Τὸ νὰ προσευχώμεθα μαζὶ μὲ τὸ Πνεῦμα, δηλαδὴ μὲ τὸ χάρισμα, καὶ

Διὸ καὶ ἔλεγε, «Προσεύξομαι τῷ πνεύματι, προσεύξομαι δὲ καὶ τῷ νοΐ· ψαλῶ τῷ πνεύματι, ψαλῶ δὲ καὶ τῷ νοΐ». Τὸ αὐτὸ πάλιν καὶ ἐνταῦθα δηλοῖ, ἵνα καὶ ἡ γλῶττα φθέγγηται, καὶ ὁ νοῦς μὴ ἀγνοῇ τὰ λεγόμενα. Ἂν γὰρ μὴ τοῦτο ᾖ, καὶ ἑτέρα σύγχυσις ἔσται. «Καὶ γὰρ ἐὰν εὐλογήσῃς», φησί, «τῷ πνεύματι, ὁ ἀναπληρῶν τὸν τόπον τοῦ ἰδιώτου, πῶς ἐρεῖ τὸ ἀμὴν ἐπὶ τῇ σῇ εὐχαριστίᾳ, ἐπειδὴ τί λέγεις οὐκ οἶδε; Σὺ μὲν γὰρ καλῶς εὐχαριστεῖς, ἀλλ' ὁ ἕτερος οὐκ οἰκοδομεῖται».

Σκόπει πῶς πάλιν ἐνταῦθα πρὸς τὴν σπάρτον τὸν λίθον ἄγει, τὴν οἰκοδομὴν πανταχοῦ ζητῶν τῆς Ἐκκλησίας. Ἰδιώτην δὲ τὸν λαϊκὸν λέγει, καὶ δείκνυσι καὶ αὐτὸν οὐ μικρὰν ὑπομένοντα τὴν ζημίαν, ὅταν τὸ ἀμὴν εἰπεῖν μὴ δύνηται. Ὃ δὲ λέγει, τοῦτό ἐστιν· ἂν εὐλογήσῃς τῇ τῶν βαρβάρων φωνῇ, οὐκ εἰδὼς τί λέγεις, οὐδὲ ἑρμηνεῦσαι δυνάμενος, οὐ δύναται ὑποφωνῆσαι τὸ ἀμὴν ὁ λαϊκός. Οὐ γὰρ ἀκούων τό, «εἰς τοὺς αἰῶνας τῶν αἰώνων», ὅπερ ἐστὶ τέλος, οὐ λέγει τό, «Ἀμήν». Εἶτα πάλιν παραμυθούμενος τοῦτο, ἵνα μὴ δόξῃ σφόδρα ἐξευτελίζειν τὸ χάρισμα, ὅπερ ἀνωτέρω ἔλεγεν, ὅτι λαλεῖ μυστήρια, καὶ Θεῷ λαλεῖ, καὶ ἑαυτὸν οἰκοδομεῖ, καὶ ὅτι τῷ πνεύματι προσεύχεται, παραμυθίαν ἐπινοῶν οὐ μικρὰν ἐκ τούτων, τοῦτο καὶ ἐνταῦθα ποιεῖ, λέγων· «Σὺ μὲν γὰρ καλῶς εὐχαριστεῖς»· Πνεύματι γὰρ κινούμενος φθέγγῃ· ἀλλ' ἐκεῖνος οὐδὲν ἀκούων, οὐδὲ εἰδὼς τὰ λεγόμενα, ἕστηκεν οὐ πολλὴν δεχόμενος τὴν ὠφέλειαν.

5. Εἶτα ἐπειδὴ κατέδραμε τῶν τὸ χάρισμα τοῦτο ἐχόντων, ὡς οὐδὲν μέγα κεκτημένων, ἵνα μὴ δόξῃ ὡς ἀπεστερημένος αὐτοῦ ἐξευτελίζειν αὐτούς, ὅρα τί φησιν· «Εὐχαριστῶ τῷ Θεῷ, πάντων ὑμῶν μᾶλλον γλώσσαις λαλῶν». Τοῦτο δὲ καὶ ἀλλαχοῦ ποιεῖ. Μέλλων γὰρ καθαιρεῖν τοῦ

μὲ τὸν νοῦν. Δι' αὐτὸ καὶ ἔλεγε, «Θὰ προσεύχομαι μὲ τὸ πνεῦμά μου, ἀλλὰ θὰ προσεύχωμαι καὶ μὲ τὸν νοῦν μου· θὰ ψάλλω μὲ τὸ πνεῦμά μου, ἀλλὰ θὰ ψάλλω καὶ μὲ τὸν νοῦν μου». Τὸ ἴδιον πάλιν λέγει καὶ ἐδῶ, δηλαδὴ καὶ ἡ γλῶσσα νὰ ὁμιλῇ καὶ ὁ νοῦς νὰ μὴ ἀγνοῇ αὐτὰ ποὺ λέγονται. Διότι ἐὰν δὲν γίνῃ αὐτὸ καὶ ἄλλη σύγχυσις θὰ δημιουργηθῇ. «Διότι ἐὰν μὲ τὸ πνεῦμα δοξολογῇς τὸν Θεόν, τότε πῶς ἐκεῖνος ποὺ κατέχει τὴν θέσιν τοῦ ἀπλοϊκοῦ θὰ εἰπῇ τὸ Ἀμὴν διὰ τὴν εὐχαριστίαν σου, ἀφοῦ δὲν γνωρίζει τί λέγεις; Διότι σὺ μὲν καλῶς εὐχαριστεῖς τὸν Θεόν, ἀλλ' ὁ ἄλλος δὲν οἰκοδομεῖται».

Πρόσεχε πῶς πάλιν ἐδῶ ὁδηγεῖ τὸν λίθον πρὸς τὸ σχοινίον, μὲ τὸ νὰ ζητῇ παντοῦ τὴν οἰκοδομὴν τῆς ἐκκλησίας. Ἀπλοϊκὸν δὲ λέγει τὸν λαϊκὸν καὶ δεικνύει ὅτι καὶ αὐτὸς δέχεται ὄχι μικρὰν ζημίαν, ὅταν δὲν ἠμπορῇ νὰ εἰπῇ τὸ ἀμήν. Αὐτὸ ποὺ θέλει νὰ εἰπῇ δὲ εἶναι τὸ ἑξῆς· ἐὰν εὐλογήσῃς εἰς ξένην γλῶσσαν, χωρὶς νὰ γνωρίζῃς τί λέγεις οὔτε νὰ ἠμπορῇς νὰ ἑρμηνεύσῃς, δὲν ἠμπορεῖ ν' ἀπαντήσῃ ὁ λαϊκὸς καὶ νὰ φωνάξῃ τὸ ἀμήν. Διότι ἀφοῦ δὲν θὰ ἀκούῃ τὸ «εἰς τοὺς αἰῶνας τῶν αἰώνων», ποὺ εἶναι τὸ τέλος τῆς ἐκφωνήσεως, δὲν ἠμπορεῖ νὰ λέγῃ τό, «Ἀμήν». Ὕστερον πάλιν διὰ νὰ μετριάσῃ αὐτό, διὰ νὰ μὴ φανῇ ὅτι περιφρονεῖ τὸ χάρισμα, αὐτὸ ποὺ ἔλεγε προηγουμένως, ὅτι δηλαδὴ λέγει μυστήρια καὶ ὁμιλεῖ μὲ τὸν Θεὸν καὶ οἰκοδομεῖ τὸν ἑαυτόν του καὶ ὅτι μαζὶ μὲ τὸ πνεῦμα προσεύχεται, ἀφοῦ ἐπινοεῖ παρηγορίαν ὄχι μικρὰν ἀπὸ αὐτά, αὐτὸ κάμνει καὶ ἐδῶ, λέγων· «Ἐσὺ μὲν καλῶς εὐχαριστεῖς», διότι ὁμιλεῖς κινούμενος ἀπὸ τὸ πνεῦμα, ἐκεῖνος ὅμως ἀφοῦ τίποτε δὲν ἀκούει καὶ δὲν γνωρίζει αὐτὰ ποὺ λέγονται, δὲν κερδίζει μεγάλην ὠφέλειαν.

5. Ἀκολούθως, ἐπειδὴ προσέβαλε πολὺ αὐτοὺς ποὺ ἔχουν αὐτὸ τὸ χάρισμα, ὡσὰν νὰ μὴ κατέχουν τίποτε μέγα, διὰ νὰ μὴ φανῇ ὅτι περιφρονεῖ αὐτοὺς ἐπειδὴ ὁ ἴδιος στερεῖται αὐτοῦ τοῦ χαρίσματος, πρόσεχε τί λέγει· «Εὐχαριστῶ τὸν Θεόν μου, διότι περισσότερον ἀπὸ ὅλους σας κατέχω τὸ χάρισμα τοῦ νὰ ὁμιλῶ γλώσσας». Αὐτὸ δὲ τὸ κάμνει

Ἰουδαϊσμοῦ τὰ πλεονεκτήματα, καὶ δεικνύναι λοιπὸν οὐδὲν ὄντα, πρότερον αὐτὸν ταῦτα ἐσχηκότα δείκνυσι, καὶ μετὰ πλείονος ὑπερβολῆς, καὶ τότε ζημίαν αὐτὰ καλεῖ, οὕτω λέγων· «Εἴ τις δοκεῖ πεποιθέναι ἐν σαρκί, ἐγὼ μᾶλλον. Περιτομὴ ὀκταήμερος, ἐκ γένους Ἰσραήλ, φυλῆς Βενιαμίν, Ἑβραῖος ἐξ Ἑβραίων, κατὰ νόμον Φαρισαῖος, κατὰ ζῆλον διώκων τὴν Ἐκκλησίαν, κατὰ δικαιοσύνην τὴν ἐν νόμῳ γενόμενος ἄμεμπτος». Καὶ τότε ὅτε ἔδειξε πάντων αὐτὸν πλεονεκτοῦντα, φησίν, «Ἀλλ' ἅτινά μοι ἦν κέρδη, ταῦτα ἥγημαι διὰ τὸν Χριστὸν ζημίαν». Οὕτω καὶ ἐνταῦθα ποιεῖ λέγων, «Πάντων ὑμῶν μᾶλλον γλώσσαις λαλῶν». Μὴ τοίνυν μέγα φρονεῖτε, ὡς μόνοι τὸ χάρισμα ἔχοντες· καὶ γὰρ καὶ ἐγὼ κέκτημαι, καὶ ὑμῶν πλέον. «Ἀλλὰ θέλω πέντε λόγους ἐν Ἐκκλησίᾳ διὰ τοῦ νοός μου λαλῆσαι, ἵνα καὶ ἄλλους κατηχήσω». Τί ἐστι, «Διὰ τοῦ νοός μου λαλήσω, ἵνα καὶ ἄλλους κατηχήσω»; Νοῶν ἃ λέγω, καὶ ἂν δύνωμαι καὶ ἑτέροις ἑρμηνεῦσαι, καὶ μετὰ συνέσεως εἰπεῖν, καὶ διδάξαι τοὺς ἀκούοντας. «Ἢ μυρίους λόγους ἐν γλώσσῃ». Διὰ τί; «Ἵνα κατηχήσω ἄλλους», φησί. Τὸ μὲν γὰρ καὶ ἐπίδειξιν ἔχει μόνον, τὸ δὲ πολλὴν τὴν ὠφέλειαν. Τοῦτο γάρ ἐστιν ὃ πανταχοῦ ζητεῖ, τὸ κοινῇ συμφέρον.

Καίτοιγε ξένον τὸ χάρισμα ἦν τὸ τῶν γλωσσῶν, τὸ δὲ τῆς προφητείας σύνηθές τε καὶ παλαιὸν καὶ πολλοῖς ἤδη δοθέν, τοῦτο δὲ τότε πρῶτον· ἀλλ' ὅμως οὐ σφόδρα ἦν αὐτῷ περισπούδαστον. Διόπερ οὐδὲ ἐκέχρητο αὐτῷ, οὐ παρὰ τὸ μὴ ἔχειν, ἀλλὰ παρὰ τὸ τὰ χρησιμώτερα ζητεῖν. Καὶ γὰρ ἦν πάσης κενοδοξίας ἀπηλλαγμένος, καὶ ἓν μόνον σκο-

1. Φιλ. 3. 4-7.

καὶ ἀλλοῦ. Ὅταν ἐπρόκειτο δηλαδὴ νὰ καταργήσῃ τὰ πλεονεκτήματα τοῦ Ἰουδαϊσμοῦ καὶ νὰ δείξῃ ὅτι δὲν εἶναι τίποτε πλέον, δεικνύει πρῶτον ὅτι ἔχει αὐτὰ τὰ πλεονεκτήματα καὶ μάλιστα εἰς πολὺ ὑπερβολικὸν βαθμόν, καὶ τότε ὀνομάζει αὐτὰ ζημίαν, μὲ τοὺς ἑξῆς λόγους· «Ἐὰν νομίζῃ κανεὶς ὅτι ἠμπορεῖ νὰ ἔχῃ ἐμπιστοσύνην εἰς τὴν σάρκα, ἐγὼ ἠμπορῶ περισσότερον. Τὴν ὀγδόην ἡμέραν ἐδέχθην τὴν περιτομήν, κατάγομαι ἀπὸ τὸ Ἰσραηλιτικὸν γένος, ἀπὸ τὴν φυλὴν τοῦ Βενιαμίν, εἶμαι Ἑβραῖος ἀπὸ Ἑβραίους, ὡς πρὸς τὸν νόμον Φαρισαῖος, ὡς πρὸς τὸν ζῆλον διώκτης τῆς ἐκκλησίας, ὡς πρὸς τὴν δικαιοσύνην τοῦ νόμου ἔζων ἄμεμπτος»[1]. Καὶ τότε, ὅταν ἔδειξεν ὅτι αὐτὸς πλεονεκτεῖ, λέγει, «Αὐτὰ ὅμως ποὺ ἦσαν δι' ἐμὲ κέρδη, τὰ ἔχω θεωρήσει ὡς ζημίαν ἐξ αἰτίας τοῦ Χριστοῦ». Τὸ ἴδιο λοιπὸν κάμνει καὶ ἐδῶ, λέγων· «Περισσότερον ἀπὸ ὅλους σας ἔχω τὸ χάρισμα νὰ ὁμιλῶ γλῶσσας». Μὴ ὑψηλοφρονῆτε λοιπόν, ὡσὰν νὰ εἶσθε οἱ μόνοι ποὺ κατέχετε τὸ χάρισμα· διότι καὶ ἐγὼ ἔχω, καὶ μάλιστα περισσότερον ἀπὸ ἐσᾶς. «Ἀλλὰ προτιμῶ νὰ εἰπῶ πέντε λόγους μὲ τὸν νοῦν μου εἰς τὴν ἐκκλησίαν, διὰ νὰ διδάξω καὶ ἄλλους». Τί σημαίνει, «νὰ ὁμιλήσω μὲ τὸν νοῦν μου, διὰ νὰ διδάξω καὶ ἄλλους»; Νὰ κατανοῶ αὐτὰ ποὺ λέγω, καὶ ἐὰν ἠμπορῶ καὶ εἰς ἄλλους νὰ διερμηνεύσω, καὶ νὰ ὁμιλήσω μὲ σύνεσιν καὶ νὰ διδάξω αὐτοὺς ποὺ ἀκούουν. «Παρὰ χιλιάδας λόγους μὲ τὸ χάρισμα τῆς γλωσσολαλιᾶς». Διατί; «Διὰ νὰ διδάξω ἄλλους», λέγει. Διότι τὸ μὲν ἓν γίνεται μόνον δι' ἐπίδειξιν, ἐνῷ τὸ ἄλλο δίδει πολλὴν ὠφέλειαν. Διότι αὐτὸ εἶναι ποὺ ζητεῖ παντοῦ, τὸ κοινὸν συμφέρον.

Μολονότι βέβαια τὸ χάρισμα τῶν γλωσσῶν ἦτο σπάνιον, ἐνῷ τὸ τῆς προφητείας ἦτο καὶ σύνηθες καὶ παλαιὸν καὶ εἰς πολλοὺς ἤδη εἶχε δοθῆ, αὐτὸ δὲ τότε ἐδόθη διὰ πρώτην φοράν· ὁ Παῦλος ὅμως δὲν τὸ ἐξετίμα πάρα πολύ. Δι' αὐτὸ ἀκριβῶς δὲν τὸ ἐχρησιμοποίει, ὄχι διότι δὲν τὸ εἶχεν, ἀλλὰ διότι ἐζήτει τὰ χρησιμώτερα. Καθ' ὅσον ἦτο ἀπηλλαγμένος τελείως ἀπὸ τὴν κενοδοξίαν καὶ ἓν πρᾶγμα μόνον ἐπεδίωκε, νὰ κάνῃ δηλαδὴ καλυτέρους αὐτοὺς ποὺ

πῶν, ὅπως βελτίους ἐργάσηται τοὺς ἀκούοντας. Διὸ καὶ τὸ χρήσιμον καὶ ἑαυτῷ καὶ τοῖς ἄλλοις ἠδύνατο βλέπειν, ἐπειδὴ τῆς κενῆς δόξης ἀπήλλακτο· ὡς ὅ γε ἐκείνῃ καταδουλωθείς, οὐ τὸ τῶν ἄλλων μόνον, ἀλλ' οὐδὲ τὸ ἑαυτοῦ δυνήσεται κατιδεῖν συμφέρον. Τοιοῦτος ἦν ὁ Σίμων, ὃς ἐπειδὴ πρὸς δόξαν εἶδε κενήν, οὐδὲ τὸ ἑαυτοῦ χρήσιμον εἶδε· τοιοῦτοι καὶ Ἰουδαῖοι, οἳ διὰ ταύτην τῷ διαβόλῳ τὴν οἰκείαν προέπιον σωτηρίαν. Ἐντεῦθεν καὶ εἴδωλα ἐτέχθη, καὶ οἱ τῶν ἔξωθεν φιλόσοφοι ἐπὶ τὰ πονηρὰ δόγματα ἐκ ταύτης παροξυνθέντες ἐξώκειλαν τῆς μανίας. Καὶ ὅρα τὴν διαστροφὴν τοῦ πάθους. Διὰ γὰρ ταύτην κἀκείνων ἔνιοι πένητες ἐγένοντο, καὶ ἕτεροι περὶ πλοῦτον ἐσπούδασαν. Τοσαύτη αὐτῆς ἡ τυραννίς, ὡς καὶ ἐν τοῖς ἐναντίοις κρατεῖν. Καὶ γὰρ ἐπὶ σωφροσύνῃ τις κενοδοξεῖ, καὶ ἐπὶ μοιχείᾳ πάλιν ἄλλος, καὶ ἐπὶ δικαιοσύνῃ οὗτος, καὶ ἐπὶ ἀδικίᾳ ἕτερος, καὶ ἐπὶ τρυφῇ, καὶ ἐπὶ νηστείᾳ, καὶ ἐπὶ ἐπιεικείᾳ, καὶ ἐπὶ θρασύτητι, καὶ ἐπὶ πλούτῳ, καὶ ἐπὶ πενίᾳ. Καὶ γὰρ ἔνιοι τῶν ἔξωθεν, παρὸν λαβεῖν, διὰ τὸ θαυμάζεσθαι οὐκ ἐλάμβανον.

Ἀλλ' οὐχ οἱ ἀπόστολοι οὕτως. Ὅτι γὰρ καθαροὶ δόξης ἦσαν, ἐδήλωσαν δι' ὧν ἐποίησαν. Καὶ γὰρ ὅτε θεοὺς αὐτοὺς ἐκάλουν, καὶ θύειν αὐτοῖς ἦσαν παρεσκευασμένοι ταύρους ἐστεμμένους, οὐχ ἁπλῶς ἀπηγόρευσαν τὸ γινόμενον μόνον, ἀλλὰ καὶ διέρρηξαν αὐτῶν τὰ ἱμάτια. Καὶ ὅτε τὸν χωλὸν διώρθωσαν, πάντων πρὸς αὐτοὺς κεχηνότων ἔλεγον, «Τί ἡμῖν ἀτενίζετε, ὡς ἰδίᾳ δυνάμει πεποιηκόσι τοῦ περιπατεῖν τοῦτον;». Κἀκεῖνοι μὲν ἐν ἀνδράσι θαυμάζουσι

---

2. Πρξ. 3, 12.

τὸν ἤκουον. Διὰ τοῦτο καὶ εἶχε τὴν δυνατότητα νὰ βλέπῃ αὐτὸ ποὺ ἦτο χρήσιμον καὶ εἰς τὸν ἑαυτόν του καὶ εἰς τοὺς ἄλλους, ἐπειδὴ ἦτο ἀπηλλαγμένος ἀπὸ τὴν κενοδοξίαν· διότι αὐτὸς ποὺ ἔχει ὑποδουλωθῆ εἰς αὐτήν, ὄχι μόνον τῶν ἄλλων, ἀλλ' οὔτε τὸ ἰδικόν του συμφέρον δὲν ἠμπορεῖ νὰ ἰδῇ. Τέτοιος ἦτο καὶ ὁ Σίμων, ὁ ὁποῖος, ἐπειδὴ ἀπέβλεπεν εἰς ματαίαν δόξαν, δὲν εἶδεν οὔτε αὐτὸ ποὺ ἦτο χρήσιμον εἰς αὐτόν· τέτοιοι καὶ οἱ Ἰουδαῖοι, οἱ ὁποῖοι ἐξ αἰτίας αὐτῆς ποὺ εἶναι πολὺ ἀγαπητὴ καὶ οἰκεία εἰς τὸν διάβολον, ἐπρόδωσαν τὴν σωτηρίαν των. Ἀπὸ αὐτὴν ἐγεννήθησαν καὶ τὰ εἴδωλα καὶ οἱ φιλόσοφοι τῶν εἰδωλολατρῶν ἀπὸ αὐτὴν τὴν μανίαν ἀφοῦ κατελήφθησαν ἐξετράπησαν εἰς τὰς πονηρὰς καὶ πεπλανημένας δοξασίας. Καὶ πρόσεχε τὴν διαστροφὴν αὐτοῦ τοῦ πάθους. Ἐξ αἰτίας της δηλαδὴ ἀπὸ ἐκείνους ἄλλοι ἐπτώχευσαν καὶ ἄλλοι ἠγωνίσθησαν μὲ ζῆλον διὰ νὰ πλουτίσουν. Τόση εἶναι ἡ τυραννικὴ ἐξουσία της, ὥστε κυριαρχεῖ καὶ εἰς τὰ ἀντίθετα. Διότι καὶ διὰ τὴν καθαρότητά του ἀπὸ πορνικὰ πάθη πίπτει κανεὶς εἰς κενοδοξίαν, καὶ διὰ τὴν μοιχείαν ἄλλος, καὶ διὰ τὴν δικαιοσύνην αὐτός, καὶ διὰ τὴν ἀδικίαν ἄλλος, καὶ διὰ τὴν πολυφαγίαν καὶ διὰ τὴν νηστείαν, καὶ διὰ τὴν μετριοφροσύνην καὶ διὰ τὴν αὐθάδειαν, καὶ διὰ τὸν πλοῦτον καὶ διὰ τὴν πτωχείαν. Διότι μερικοὶ ἀπὸ τοὺς εἰδωλολάτρας, ἐνῷ ἠμποροῦσαν νὰ λάβουν, δὲν ἔλαβον διὰ νὰ θαυμάζωνται.

Οἱ Ἀπόστολοι ὅμως δὲν ἦσαν ἔτσι. Διότι τὸ ὅτι ἦσαν καθαροὶ ἀπὸ κενοδοξίαν, γίνεται φανερὸν ἀπὸ τὰ ἔργα των. Ὅταν δηλαδὴ ὠνόμαζον αὐτοὺς θεοὺς καὶ ἦσαν ἕτοιμοι νὰ θυσιάσουν εἰς αὐτοὺς ταύρους ἐστεφανωμένους, ὄχι μόνον ἀπηγόρευσαν αὐτό, ἀλλὰ καὶ ἔσχισαν τὰ ἱμάτιά των. Καὶ ὅταν, ἀφοῦ ἐθεράπευσαν, ἀνώρθωσαν τὸν χωλόν, ἐπειδὴ ὅλοι ἔχασκον ἀπὸ θαυμασμὸν δι' αὐτούς, ἔλεγον· «Διατί ἔχετε προσηλωμένον τὸ βλέμμα σας εἰς ἐμᾶς, ὡσὰν νὰ τὸν ἐκάμαμεν νὰ περιπατῇ μὲ ἰδικήν μας δύναμιν;»[2]. Καὶ ἐκεῖνοι μέν, ἐπειδὴ ἐθαύμαζον τὴν πτωχείαν εἰς τοὺς ἄνδρας, προετίμων τὰ τῆς πτωχείας, ἐνῷ αὐτοὶ εἰς τοὺς

πενίαν, τὰ τῆς πενίας ἡροῦντο, οὗτοι δὲ ἐν ἀνθρώποις καταφρονοῦσι πενίας καὶ ἐπαινοῦσι πλοῦτον. Καὶ οὗτοι μέν, εἴ τι ἔλαβον, τοῖς δεομένοις ἐπήρκουν· οὕτως οὐ διὰ κενοδοξίαν, ἀλλὰ διὰ φιλανθρωπίαν ἅπαντα ἔπραττον· ἐκεῖνοι δὲ τοὐναντίον ἅπαν, ὥσπερ ἐχθροὶ καὶ λυμεῶνες τῆς κοινῆς φύσεως ὄντες, οὕτω καὶ ταῦτα ἐποίουν. Ὁ μὲν γὰρ εἰς θάλατταν τὰ αὐτοῦ κατεπόντιζεν ἅπαντα εἰκῇ καὶ μάτην, τοὺς παραπαίοντας καὶ μαινομένους μιμούμενος, ὁ δὲ μηλόβοτον τὴν αὐτοῦ χώραν πᾶσαν ἀνῆκεν. Οὕτω πάντα πρὸς φιλοτιμίαν ἐποίουν. Ἀλλ' οὐχ οὗτοι, ἀλλὰ καὶ ἐδέχοντο τὰ διδόμενα, καὶ διένεμον τοῖς δεομένοις μετὰ τοσαύτης ἐλευθερίας, ὡς καὶ λιμῷ διηνεκεῖ συζῆν. Εἰ δὲ δόξης ἤρων, οὐκ ἂν τοῦτο ἐποίησαν, τὸ λαμβάνειν καὶ διανέμειν, δεδοικότες μή τις ὑποψία γένηται κατ' αὐτῶν. Ὁ γὰρ τὰ ἑαυτοῦ ῥίψας διὰ δόξαν, πολλῷ μᾶλλον τὰ ἑτέρων οὐ λήψεται, ὥστε μὴ δοκεῖν ἑτέρων δεῖσθαι, μηδὲ ὑποπτεύεσθαι. Τούτους δὲ ὁρᾷς καὶ διακονουμένους, καὶ προσαιτοῦντας αὐτοὺς ὑπὲρ τῶν δεομένων· οὕτω πατέρων ἦσαν πάντων φιλοστοργότεροι.

Θέα δὲ καὶ τοὺς νόμους αὐτῶν συμμέτρους, καὶ κενοδοξίας ἀπηλλαγμένους. «Ἔχοντες» γάρ, φησί, «σκεπάσματα καὶ τροφάς, τούτοις ἀρκεσθησόμεθα». Οὐ καθάπερ ὁ Σινωπεὺς ἐκεῖνος ὁ ῥάκια περιβεβλημένος καὶ πίθον οἰκῶν εἰς οὐδὲν δέον, ἐξέπληξε μὲν πολλούς, ὠφέλησε δὲ οὐδένα. Ὁ δὲ Παῦλος τούτων μὲν οὐδὲν ἐποίει· οὐδὲ γὰρ πρὸς φιλοτιμίαν ἔβλεπεν, ἀλλὰ καὶ ἱμάτια περιεβέβλητο μετὰ εὐσχημοσύνης ἁπάσης, καὶ οἰκίαν ᾤκει διηνεκῶς, καὶ τὴν ἀκρίβειαν ἅπασαν ἐπὶ τῆς ἄλλης ἀρετῆς ἐπεδείκνυτο, ἧς ὁ Κυνικὸς κατεφρόνει, ζῶν ἀσελγῶς, καὶ δημοσίᾳ ἀσχημονῶν, καὶ ὑπὸ τῆς περὶ τὴν δόξαν μανίας συρόμενος. Ἂν γὰρ ἔρηταί τις τῆς τοῦ πίθου οἰκήσεως τὴν αἰτίαν, οὐδε-

3. Α΄ Τιμ. 6, 8.

ἀνθρώπους περιφρονοῦν τὴν πτωχείαν καὶ ἐπαινοῦν τὸν πλοῦτον. Καὶ αὐτοὶ μέν, ἐὰν ἐλάμβανον κάτι, τὸ ἔδιδον εἰς αὐτοὺς ποὺ εἶχον ἀνάγκην˙ ἔτσι, ὄχι ἀπὸ κενοδοξίαν, ἀλλ' ἀπὸ φιλανθρωπίαν ἔπραττον τὰ πάντα˙ ἐνῷ ἐκεῖνοι τὸ ἐντελῶς ἀντίθετον, ὡσὰν νὰ ἦσαν ἐχθροὶ καὶ καταστροφεῖς τῆς κοινῆς μας ἀνθρωπίνης φύσεως, ἔτσι ἔπραττον. Διότι ἄλλος μὲν κατεπόντιζεν ὅλα τὰ ὑπάρχοντά του ἀσκόπως καὶ χωρὶς λόγον εἰς τὴν θάλασσαν, ὡσὰν τοὺς παράφρονας καὶ μανιακούς, ἄλλος δὲ παρέδιδεν ὁλόκληρον τὴν περιοχήν του διὰ βοσκὴν προβάτων. Ἔτσι τὰ πάντα ἔπραττον ἀπὸ ἀγάπην διὰ τὴν δόξαν. Οἱ ἀπόστολοι ὅμως δὲν ἦταν τέτοιοι, ἀλλὰ καὶ ἐδέχοντο αὐτὰ καὶ τοὺς ἔδιδον, καὶ τὰ ἐμοίραζον εἰς αὐτοὺς ποὺ εἶχον ἀνάγκην μὲ τόσην ἐλευθερίαν ἀπὸ φιλοκτημοσύνην, ὥστε καὶ νὰ ζοῦν μὲ διαρκῆ πεῖναν. Ἐὰν ὅμως ἠγάπων τὴν δόξαν δὲν θὰ τὸ ἔκαμνον αὐτό, τὸ νὰ λαμβάνουν δηλαδὴ καὶ νὰ μοιράζουν, ἀπὸ φόβον μήπως δημιουργηθοῦν ὑποψίαι εἰς βάρος των. Διότι αὐτὸς ποὺ ἀπηρνήθη τὰ ἰδικά του ὑπάρχοντα ἀπὸ φιλοδοξίαν, πολὺ περισσότερον δὲν θὰ λάβῃ τὰ τῶν ἄλλων, διὰ νὰ μὴ φανῇ ὅτι ἔχει ἀνάγκην τῶν ἄλλων, οὔτε νὰ δημιουργήσῃ ὑποψίας. Ἐνῷ αὐτοὺς τοὺς βλέπεις καὶ νὰ ὑπηρετοῦνται καὶ νὰ ζητοῦν ὑπὲρ τῶν πτωχῶν˙ ἔτσι ἦσαν περισσότερον στοργικοὶ ἀπὸ κάθε πατέρα..

Πρόσεχε δὲ καὶ τοὺς νόμους των ποὺ ἦσαν ἀνάλογοι καὶ ἀπηλλαγμένοι ἀπὸ κενοδοξίαν. Διότι λέγει˙ «Ὥστε, ἐὰν ἔχωμεν τροφὰς καὶ σκεπάσματα, θὰ εἴμεθα εὐχαριστημένοι μὲ αὐτά». Ὄχι ὅπως ἐκεῖνος ποὺ κατήγετο ἀπὸ τὴν Σινώπην καὶ ἦτο ἐνδεδυμένος μὲ ράκη καὶ εἶχε ὡς οἰκίαν ἕνα πίθον˙ ἐξέπληξε μὲν πολλούς, ἀλλὰ δὲν ὠφέλησε κανένα. Ὁ δὲ Παῦλος ἀπὸ αὐτὰ μὲν δὲν ἔκαμνε τίποτε˙ διότι δὲν ἀπέβλεπεν εἰς δόξαν, ἀλλὰ καὶ ἐνδύματα ἐφόρει μὲ κάθε εὐπρέπειαν, καὶ εἰς οἰκίαν διέμενε συνεχῶς, καὶ ἐπεδείκνυεν ἀπόλυτον τελειότητα εἰς τὴν πνευματικὴν ἀρετήν, τὴν ὁποίαν περιεφρόνει ὁ Κυνικὸς μὲ τὸ νὰ ζῇ μὲ ἀσέλγειαν καὶ νὰ ἀσχημονῇ δημοσίως καὶ νὰ σύρεται ἀπὸ τὴν δοξομανίαν. Διότι ἐὰν ἐρωτήσῃ κανεὶς τὸν λόγον διὰ

μίαν ἑτέραν εὑρήσει, ἀλλ' ἢ κενοδοξίαν μόνην. Ὁ δὲ Παῦλος καὶ μισθὸν παρεῖχε τῆς οἰκίας, ἐν ᾗ κατέμενεν ἐν τῇ Ῥώμῃ. Καίτοιγε ὁ τὰ πολλῷ εὐτονώτερα δυνηθείς, πολλῷ μᾶλλον τοῦτο ἴσχυσεν ἄν. Ἀλλ' οὐχ ἑώρα πρὸς δόξαν, τὸ χαλεπὸν θηρίον, τὸν δαίμονα τὸν δεινόν, τὴν λύμην τῆς οἰκουμένης, τὴν ἔχιν τὴν ἰοβόλον. Καθάπερ γὰρ τὸ θηρίον ἐκεῖνο τὴν νηδὺν τῆς τεκούσης διαρρήγνυσι τοῖς ὄνυξιν, οὕτω καὶ τοῦτο τὸ πάθος τὸν τίκτοντα διασπαράττει.

6. Πόθεν οὖν ἄν τις εὕροι τῷ ποικίλῳ τούτῳ νοσήματι φάρμακον; Εἰ τοὺς καταπατήσαντας αὐτὸ εἰς μέσον ἀγάγοι, πρὸς τὴν ἐκείνων εἰκόνα βλέπων, οὕτω τὴν ἑαυτοῦ ζωὴν κατευθύνειε. Καὶ γὰρ ὁ πατριάρχης Ἀβραὰμ (ἀλλὰ μηδεὶς ἐγκαλείτω ταυτολογίαν, εἰ πολλάκις αὐτοῦ μνημονεύομεν, καὶ ἐπὶ πάντων. Τοῦτο γὰρ μάλιστά ἐστιν ὃ κἀκεῖνον θαυμαστὸν ἀποφαίνει, καὶ τοὺς μὴ ζηλοῦντας αὐτὸν πάσης ἀποστερεῖ συγγνώμης. Εἰ μὲν γὰρ μέρος μέν τι τοῦτον, μέρος δὲ ἕτερον κατωρθωκότας ἐπιδείκνυμεν, εἶπεν ἄν τις καὶ δυσκατόρθωτον εἶναι τὴν ἀρετήν· οὐδὲ γὰρ εἶναι εὔκολον ἑνὶ πάντα ὁμοῦ κατορθοῦν, ὧν μέρος ἕκαστος τῶν ἁγίων ἤνυσεν. Ὅταν δὲ εὑρίσκηται εἷς καὶ ὁ αὐτὸς τὰ πάντα ἔχων, ποίαν ἕξουσιν ἀπολογίαν, οἱ μετὰ νόμον καὶ χάριν τοῖς πρὸ τοῦ νόμου καὶ τῆς χάριτος εἰς τὸ αὐτὸ μὴ δυνάμενοι μέτρον φθάσαι;). Πῶς οὖν οὗτος ὁ πατριάρχης τοῦ θηρίου τούτου περιεγένετο καὶ ἐκράτησεν; Ἡνίκα πρὸς τὸν ἀδελφιδοῦν ἀμφισβήτησιν εἶχε. Καὶ γὰρ ἐλαττωθείς, καὶ τῶν πρωτείων ἐπιτυχών, οὐκ ἤλγησεν. Ἴστε δὲ ὅτι τοῖς τοιούτοις ἡ αἰσχύνη τῆς ζημίας χείρων τοῖς μικροψύχοις, καὶ μάλιστα ὅταν αὐτὸς ἁπάντων κύριος ὤν, καθάπερ ἐκεῖνος

τὸν ὁποῖον διέμενεν εἰς τὸν πίθον, δὲν θὰ εὕρῃ κανένα ἄλλον, παρὰ μόνον τὴν κενοδοξίαν. Ἐνῷ ὁ Παῦλος ἔδιδε καὶ χρήματα διὰ μίσθωσιν τῆς οἰκίας εἰς τὴν ὁποίαν διέμενεν εἰς τὴν Ρώμην. Ἂν καὶ αὐτὸς ποὺ κατώρθωσε δυσκολώτερα ἀπὸ αὐτό, πολὺ περισσότερον θὰ εἶχε τὴν δύναμιν νὰ ἐπιτύχῃ αὐτό. Δὲν ἀπέβλεπεν ὅμως εἰς τὴν δόξαν, τὸ φοβερὸν θηρίον, τὸν τρομερὸν δαίμονα, τὴν καταστροφὴν τῆς οἰκουμένης, τὴν φαρμακερὰν ἔχιδνα. Διότι, ὅπως ἐκεῖνο τὸ θηρίον σχίζει μὲ τὰ νύχια του τὴν κοιλίαν ἐκείνης ποὺ τὸ γεννᾷ, ἔτσι καὶ αὐτὸ τὸ πάθος κατασπαράσσει αὐτὸν ποὺ τὸ γεννᾷ.

6. Ποῦ ἠμπορεῖ λοιπὸν νὰ εὕρῃ κανεὶς φάρμακον διὰ τὴν πολύμορφον αὐτὴν νόσον; Ἐὰν φέρῃ ἐμπρός του ἐκείνους ποὺ τὴν κατεπάτησαν καὶ βλέπων εἰς αὐτοὺς θελήσῃ νὰ διευθύνῃ τὴν ζωήν του ἔτσι ὅπως ἐκεῖνοι. Καθ' ὅσον καὶ ὁ πατριάρχης Ἀβραὰμ (ἀλλὰ κανεὶς ἂς μὴ μᾶς κατηγορῇ ὅτι λέγομεν τὰ ἴδια ἐὰν τὸν μνημονεύωμεν πολλὰς φορὰς καὶ εἰς τὸ κάθε τι. Διότι αὐτὸ βεβαίως καὶ ἐκεῖνον δεικνύει ἀξιοθαύμαστον, καὶ αὐτοὺς ποὺ δὲν ἐπιδιώκουν νὰ τὸν μιμηθοῦν τοὺς στερεῖ ἀπὸ κάθε συγγνώμην. Διότι ἐὰν μὲν ἐπιδεικνύωμεν αὐτὸν νὰ ἔχῃ κατορθώσει ἓν μέρος τῆς ἀρετῆς, ἄλλος δὲ ἄλλο, θὰ ἔλεγε κανεὶς ὅτι ἡ ἀρετὴ εἶναι δυσκολοκατόρθωτος, ἀφοῦ δὲν εἶναι εὔκολον εἰς ἕνα νὰ κατορθώνῃ ὅλα μαζί, ἀπὸ τὰ ὁποῖα ἓν μέρος μόνον ἐπραγματοποίησεν ὁ καθεὶς ἀπὸ τοὺς ἁγίους. Ὅταν ὅμως εὑρίσκεται ἕνας καὶ ὁ αὐτὸς νὰ ἔχῃ τὰ πάντα, ποίαν ἀπολογίαν θὰ ἔχουν αὐτοὶ ποὺ μετὰ τὴν ἐποχὴν τοῦ νόμου καὶ τῆς χάριτος δὲν ἠμποροῦν νὰ φθάσουν εἰς τὸ ἴδιον μέτρον μὲ αὐτοὺς ποὺ ἔζησαν πρὶν ἀπὸ τὴν ἐποχὴν τοῦ νόμου καὶ τῆς χάριτος;). Πῶς λοιπὸν αὐτὸς ὁ πατριάρχης ἐνίκησε καὶ ὑπέταξεν αὐτὸ τὸ θηρίον; Ὅταν εἶχε διαφορὰν μὲ τὸν ἀνεψιόν του. Ἂν καὶ ἐζημιώθη δηλαδὴ καὶ ἔχασε τὰ πρωτεῖα, δὲν ἐλυπήθη. Γνωρίζετε δὲ ὅτι εἰς αὐτὰ ἡ ἐντροπὴ τῆς ζημίας εἶναι χειροτέρα εἰς τοὺς μικροψύχους, καὶ μάλιστα ὅταν αὐτὸς εἶναι κύριος ὅλων ὅπως ἦτο τότε ὁ Ἀβραάμ, καὶ ἐνῷ πρῶτος ἐτίμησε

τότε, καὶ τῆς τιμῆς πρότερος ἄρξας, μὴ ἀντιτιμῷτο. Ἀλλ' ὅμως οὐδὲν τούτων ἐκεῖνον ἔδακνεν, ἀλλὰ καὶ τὰ δεύτερα ἔχων ἔστεργε, καὶ ἀδικηθεὶς παρὰ τοῦ νέου ὁ πρεσβύτης, καὶ παρὰ τοῦ ἀδελφιδοῦ ὁ θεῖος οὐκ ἠγανάκτησε οὐδὲ ἐδυσχέραινεν, ἀλλὰ καὶ ἐφίλει ὁμοίως καὶ ἐθεράπευε. Πάλιν νικήσας τὸν πόλεμον ἐκεῖνον τὸν μέγαν καὶ φοβερόν, καὶ τοὺς βαρβάρους κατὰ κράτος ἐλάσας, οὐκ ἐκπομπεύει τῇ νίκῃ, οὐδὲ τρόπαιον ἵστησι· σῶσαι γὰρ ἐβούλετο μόνον, οὐκ ἐπιδείξασθαι.

Ξένους ἐδέχετο πάλιν, καὶ οὐδὲ ἐνταῦθα ἐκενοδόξει, ἀλλ' αὐτὸς καὶ προσέτρεχε καὶ προσεκύνει, οὐχ εὖ ποιῶν, ἀλλ' ὡς εὖ πάσχων, καὶ κυρίους καλεῖ, οὐδὲ εἰδὼς τίνες ποτέ εἰσιν οἱ παραγενόμενοι, καὶ παρίστησι τὴν γυναῖκα ἐν τάξει θεραπαινίδος. Καὶ ἐν Αἰγύπτῳ δὲ πρὸ τούτου θαυμαστὸς οὕτω φανείς, καὶ αὐτὴν ταύτην τὴν γυναῖκα ἀπολαβών, καὶ τοσαύτης ἀπολαύσας τιμῆς, πρὸς οὐδένα ἐπιδείκνυται· ἀλλ' οἱ μὲν ἐγχώριοι καὶ βασιλέα αὐτὸν ἐκάλουν αὐτὸς δὲ καὶ τιμὴν κατέβαλε τοῦ τάφου. Καὶ ἡνίκα δὲ ἔπεμπε μνηστευσόμενος, οὐδὲν ἐκέλευσε μέγα περὶ αὐτοῦ καὶ λαμπρὸν εἰπεῖν τῷ παιδί, ἀλλ' ἁπλῶς ἀγαγεῖν τὴν νύμφην. Βούλει καὶ τοὺς ἐπὶ τῆς χάριτος ἐξετάσαι, ὅτε πολλὴ πανταχόθεν αὐτοὺς περιέρρει τῆς διδασκαλίας ἡ δόξα, καὶ ἰδεῖν καὶ τότε τοῦτο τὸ πάθος ἐκβεβλημένον; Ἐννόησόν μοι τοῦτον αὐτὸν τὸν ταῦτα λέγοντα, πῶς ἀεὶ τὸ πᾶν ἀνατίθησι τῷ Θεῷ, πῶς τῶν μὲν ἁμαρτημάτων αὐτοῦ μέμνηται συνεχῶς, τῶν δὲ κατορθωμάτων οὐκέτι, πλὴν εἴ ποτε μαθητὰς ἐπανορθῶσαι δέοι· κἂν ἀναγκασθῇ ποιῆσαι τοῦτο, ἀφροσύνην τὸ πρᾶγμα καλεῖ, καὶ τῶν πρωτείων τῷ Πέτρῳ παραχωρεῖ, καὶ οὐκ αἰσχύνεται ἐργαζόμενος παρὰ Πρισκίλλῃ καὶ Ἀκύλᾳ, καὶ πανταχοῦ ταπεινὸν ἑαυτὸν ἐσπούδακε δεικνύναι, οὐ σοβῶν ἐπὶ τῆς ἀγορᾶς, οὐδὲ ὄ-

τὸν Λώτ, δὲν εὑρῆκεν ἀνταπόκρισιν εἰς αὐτὴν τὴν τιμήν. Τίποτε ὅμως ἀπὸ αὐτὰ δὲν τὸν ἐπλήγωνεν, ἀλλὰ ἦτο εὐχαριστημένος μὲ τὸ νὰ ἔχῃ καὶ τὰ δευτέρας ποιότητος λιβάδια, καὶ παρ' ὅ,τι εἶχεν ἀδικηθῆ αὐτὸς ποὺ ἦτο γέρων ἀπὸ τὸν νέον καὶ ὁ θεῖος ἀπὸ τὸν ἀνεψιόν, δὲν ὠργίζετο οὔτε ἐστενοχωρεῖτο, ἀλλὰ καὶ ἠγάπα ὅπως πρὶν καὶ ἐτίμα τὸν ἀνεψιόν του. Ὅταν πάλιν ἐνίκησεν εἰς τὸν μέγαν καὶ φοβερὸν ἐκεῖνον πόλεμον καὶ ἐνίκησε καὶ ἐδίωξε τοὺς βαρβάρους, δὲν θριαμβεύει, οὔτε στήνει τρόπαιον· διότι ἤθελε μόνον νὰ σώσῃ, ὄχι νὰ ἐπιδειχθῇ.

Ἐπίσης ἐφιλοξένει ξένους καὶ οὔτε δι' αὐτὸ κατελαμβάνετο ἀπὸ κενοδοξίαν, ἀλλ' αὐτὸς ὁ ἴδιος καὶ προσήρχετο τρέχων διὰ νὰ ὑποδεχθῇ καὶ προσεκύνει τοὺς ξένους, ὄχι ὡσὰν νὰ ἔκαμνε καλόν, ἀλλ' ὡσὰν νὰ ἐδέχετο καλόν, καὶ ἀπεκάλει αὐτοὺς κυρίους, χωρὶς νὰ γνωρίζῃ ποῖοι ἦσαν αὐτοὶ ποὺ ἤρχοντο, καὶ μετέβαλε τὴν γυναῖκα του εἰς ὑπηρέτριαν. Καὶ εἰς τὴν Αἴγυπτον δὲ πρὶν ἀπὸ αὐτό, ἀφοῦ ἀνεδείχθη τόσον θαυμαστὸς καὶ ἀφοῦ ἔλαβε καὶ αὐτὴν τὴν γυναῖκα του καὶ ἀφοῦ ἀπήλαυσε τόσης τιμῆς, δὲν ἐπιδεικνύεται εἰς κανένα· ἀλλ' ἐνῷ οἱ ἐντόπιοι ὠνόμαζον αὐτὸν καὶ βασιλέα, αὐτὸς καὶ τὴν τιμὴν τοῦ τάφου διὰ τὴν γυναῖκα του τὴν κατέβαλεν εἰς τὸν κάτοχον. Καὶ ὅταν δὲ ἔστελλε πομπὴν διὰ νὰ μνηστευθῇ, δὲν παρήγγειλεν εἰς τὸν ὑπηρέτην νὰ εἰπῇ δι' αὐτὸν τίποτε μέγα καὶ λαμπρόν, ἀλλ' ἁπλῶς νὰ φέρῃ τὴν νύμφην. Θέλεις δὲ νὰ ἐξετάσωμεν καὶ αὐτοὺς ποὺ ἔζησαν τὴν ἐποχὴν τῆς χάριτος, ὅταν κατέκλυζεν αὐτοὺς ἀπὸ παντοῦ ἡ δόξα τῆς διδασκαλίας καὶ νὰ ἴδοῦμεν καὶ τότε αὐτὸ τὸ πάθος νὰ ἔχῃ ἐκβληθῇ; Σκέψου αὐτὸν τὸν ἴδιον τὸν Παῦλον ποὺ λέγει αὐτά, πῶς πάντοτε ἀποδίδει τὸ πᾶν εἰς τὸν Θεόν, πῶς τὰς μὲν ἁμαρτίας του ἐνθυμεῖται συνεχῶς, ἐνῷ τὰ κατορθώματά του ποτέ, παρὰ μόνον ὅταν χρειάζεται νὰ διορθώσῃ μαθητάς· καὶ ἂν ἀναγκασθῇ νὰ τὸ κάνῃ αὐτό, ὀνομάζει τὸ πρᾶγμα ἀνοησίαν, καὶ παραχωρεῖ τὰ πρωτεῖα εἰς τὸν Πέτρον, καὶ δὲν ἐντρέπεται ὅταν ἐργάζεται πλησίον τῆς Πρισκίλλης καὶ τοῦ Ἀκύλα καὶ παντοῦ προσεπάθει νὰ δεικνύῃ τὸν

χλους περιφέρων, ἀλλ' ἐν τοῖς ἀσήμοις κατατάττων ἑαυτόν. Διὸ καὶ ἔλεγεν. «Ἡ δὲ παρουσία τοῦ σώματος ἀσθενής», τουτέστιν, εὐκαταφρόνητος καὶ οὐδὲν ἔχουσα κομψόν· καὶ πάλιν, «Εὔχομαι ὑμᾶς μὴ ποιῆσαι κακὸν μηδέν, ἵνα μὴ ἡμεῖς δόκιμοι φανῶμεν».

Καὶ τί θαυμαστόν, εἰ δόξης καταφρονεῖ ταύτης; Ὁ γὰρ τῆς ἄνω δόξης καταφρονῶν καὶ βασιλείας καὶ γεέννης διὰ τὸ τῷ Χριστῷ δοκοῦν· καὶ γὰρ ἀνάθεμα εὔχεται εἶναι ἀπὸ τοῦ Χριστοῦ ὑπὲρ τῆς τοῦ Χριστοῦ δόξης· κἂν γὰρ ὑπὲρ Ἰουδαίων λέγῃ τοῦτο βούλεσθαι πάσχειν, διὰ τοῦτο λέγει, ἵνα μὴ δόξῃ τις τῶν ἀνοήτων ἐπιλαμβάνεσθαι τῶν ἐπαγγελιῶν τῶν πρὸς αὐτοὺς γεγενημένων· εἰ τοίνυν ἐκεῖνα παραδραμεῖν ἕτοιμος, τί θαυμάζεις εἰ ἀνθρώπων ὑπερορᾷ; Ἀλλὰ τοὺς νῦν ἅπαντα βαπτίζει, οὐ δόξης ἐπιθυμία μόνον, ἀλλὰ καὶ τοὐναντίον ὕβρις, καὶ ἀτιμίας δέος. Ἄν τε γὰρ ἐπαινέσῃ τις, ἐφυσήθησαν, ἄν τε ψέξῃ, κατηνέχθησαν. Καὶ καθάπερ τὰ ἀσθενῆ σώματα καὶ ὑπὸ τῶν τυχόντων ἐπηρεάζεται, οὕτω καὶ αἱ χαμαίζηλοι ψυχαί. Τοὺς γὰρ τοιούτους οὐ πενία μόνον, ἀλλὰ καὶ πλοῦτος ἀπόλλυσιν, οὐ λύπη μόνον, ἀλλὰ καὶ χαρά, καὶ τὰ χρηστὰ μᾶλλον, ἢ τὰ λυπηρά. Ἡ μὲν γὰρ πενία καὶ σωφρονεῖν ἀναγκάζει, ὁ δὲ πλοῦτος καὶ εἰς κακόν τι μέγα ἐξάγει πολλάκις. Καὶ ὥσπερ οἱ πυρέττοντες πρὸς πάντα εἰσὶ δυσάρεστοι, οὕτω καὶ οἱ διεφθαρμένοι τὴν ψυχὴν πάντοθεν πλήττονται.

7. Ταῦτ' οὖν εἰδότες, μὴ πενίαν φεύγωμεν, μὴ πλοῦτον θαυμάζωμεν, ἀλλὰ τὴν ψυχὴν πρὸς πάντα ἱκανὴν κατα-

4. Α΄ Τιμ. 6, 8.
5. Β΄ Κορ. 13, 7.

ἑαυτόν του ταπεινόν, ὄχι νὰ περιπατῇ ὑπερηφάνως εἰς τὴν ἀγοράν, οὔτε νὰ περιβάλλεται ἀπὸ ὄχλους, ἀλλὰ κατατάσσει τὸν ἑαυτόν του μεταξὺ τῶν ἀσήμων. Δι' αὐτὸ καὶ ἔλεγεν, «Ἡ σωματικὴ ὅμως ἐμφάνισις εἶναι ἀσθενής»[4], δηλαδή, εὐκαταφρόνητος καὶ χωρὶς τίποτε κομψόν· καὶ πάλιν, «Εὔχομαι δὲ εἰς τὸν Θεὸν νὰ μὴ πράξετε σεῖς κανὲν κακόν, διὰ νὰ μὴ φανῶμεν ἐμεῖς δόκιμοι ἀπόστολοι μὲ ἐξουσίαν καὶ δύναμιν τιμωρητικήν»[5].

Καὶ τί ἄξιον θαυμασμοῦ ὑπάρχει εἰς τὸ ὅτι καταφρονεῖ αὐτὴν τὴν δόξαν; Διότι αὐτὸς καταφρονεῖ τὴν οὐράνιον δόξαν καὶ βασιλείαν καὶ γέενναν δι' αὐτὸ ποὺ ἀρέσει εἰς τὸν Χριστόν· διότι ἀκόμη καὶ ἀφορισμὸν ἀπὸ τὸν Χριστὸν εὔχεται εἰς τὸν ἑαυτόν του διὰ τὴν δόξαν τοῦ Χριστοῦ· Καθ' ὅσον καὶ ἂν ἀκόμη λέγῃ ὅτι διὰ τοὺς Ἰουδαίους θέλει νὰ πάσχῃ αὐτό, δι' αὐτὸ τὸ λέγει, διὰ νὰ μὴ νομίσῃ κανεὶς ἀπὸ τοὺς ἀνοήτους ὅτι προσβάλλει τὰς ἐπαγγελίας ποὺ ἐδόθησαν εἰς αὐτούς· ἐὰν λοιπὸν εἶναι ἕτοιμος νὰ ἀφήσῃ ὀπίσω του ἐκεῖνα, διατί ἀπορεῖς διὰ τὸ ὅτι περιφρονεῖ τὴν ἀνθρωπίνην δόξαν; Ἀλλὰ τοὺς σημερινοὺς ὅλα τοὺς μεθύουν, ὄχι μόνον ἡ ἐπιθυμία δόξης, ἀλλὰ καὶ τὸ ἀντίθετον, δηλαδὴ ἀναισχυντία καὶ φόβος διὰ στέρησιν τιμῆς. Διότι καὶ ἐὰν τοὺς ἐπαινέσῃ κανεὶς φουσκώνουν ἀπὸ ὑπερηφάνειαν, καὶ ἐὰν τοὺς κατηγορήσῃ καταπίπτουν. Καὶ ὅπως τὰ ἀσθενῆ σώματα βλάπτονται καὶ ἀπὸ τὸ παραμικρόν, ἔτσι καὶ αἱ ψυχαὶ ποὺ εἶναι προσηλωμέναι εἰς εὐτελῆ καὶ γήϊνα πράγματα. Διότι αὐτοὺς ποὺ εἶναι τέτοιοι, ὄχι μόνον ἡ πτωχεία, ἀλλὰ καὶ ὁ πλοῦτος τοὺς καταστρέφει, ὄχι μόνον ἡ λύπη, ἀλλὰ καὶ ἡ χαρά, καὶ τὰ ἀγαθὰ περισσότερον ἀπὸ τὰ λυπηρά. Διότι ἡ μὲν πτωχεία ἀναγκάζει καὶ νὰ διατηρῆται κανεὶς σώφρων, ἐνῷ ὁ πλοῦτος πολλὰς φορὰς ὁδηγεῖ εἰς κακὸν καὶ μάλιστα μέγα. Καὶ ὅπως αὐτοὶ ποὺ ἔχουν πυρετὸν δυσαρεστοῦνται μὲ ὅλα, ἔτσι καὶ αὐτοὶ ποὺ ἔχουν διεφθαρμένην τὴν ψυχὴν ἀπὸ παντοῦ πληγώνονται.

7. Ἀφοῦ λοιπὸν ἐγνωρίσαμεν αὐτά, ἂς μὴ ἀποφεύγωμεν τὴν πτωχείαν, ἂς μὴ θαυμάζωμεν τὸν πλοῦτον, ἀλλ' ἂς ἐξασκῶμεν τὴν ψυχὴν ὥστε νὰ εἶναι ἱκανὴ ν' ἀντιπαρατα-

σκευάζωμεν. Καὶ γὰρ οἰκίαν τις οἰκοδομούμενος, οὐ τοῦτο σκοπεῖ ὅπως μήτε ὑετὸς ἐπ' αὐτὴν κατενεχθείη, μήτε ἀκτὶς ἔλθοι, (τοῦτο γὰρ ἀμήχανον), ἀλλ' ὅπως αὐτὴ ἱκανὴ γένοιτο πάντα φέρειν. Καὶ ὁ πλοῖον δὲ τεκταινόμενος, οὐχ ὅπως μὴ κύματα αὐτῷ προσρήξειε, μηδὲ χειμὼν ἀρθείη θαλάσσης, ποιεῖ τι καὶ μηχανᾶται (καὶ γὰρ καὶ τοῦτο ἀμήχανον), ἀλλ' ὅπως οἱ τοῖχοι τῆς νεὼς πρὸς ἅπαντα εἶεν ἐπιτήδειοι. Καὶ ὁ σώματος φροντίζων πάλιν οὐ τοῦτο σκοπεῖ, πῶς μὴ ἀνωμαλία ἀέρων γένοιτο, ἀλλ' ὅπως τὸ σῶμα ἅπαντα ταῦτα εὐκόλως φέροι. Οὕτω τοίνυν καὶ ἐπὶ τῆς ψυχῆς ποιῶμεν, καὶ μὴ ὅπως φύγωμεν πενίαν, μηδὲ ὅπως γενώμεθα πλούσιοι σπουδάζωμεν, ἀλλ' ὅπως πρὸς τὴν ἑαυτῶν ἀσφάλειαν ἕκαστον τούτων μεταχειρίσωμεν. Διὸ ταῦτα ἀφέντες, κατασκευάζωμεν τὴν ψυχὴν καὶ πλούτῳ καὶ πενίᾳ ἐπιτηδείαν. Κἂν γὰρ μηδὲν ἀνθρώπινον συμβαίνῃ, ὅπερ ὡς τὰ πολλὰ ἀδύνατον, καὶ οὕτω βελτίων ὁ μὴ πλοῦτον ζητῶν, ἀλλ' εἰδὼς πάντα φέρειν εὐκόλως, τοῦ διαπαντὸς πλουτοῦντος. Τί δήποτε; Πρῶτον ὅτι οὗτος μὲν οἴκοθεν ἔχει τὸ ἀσφαλές, ἐκεῖνος δὲ ἔξωθεν. Καὶ ὥσπερ στρατιώτης βελτίων ὁ τῷ σώματι θαρσῶν καὶ τῇ τέχνῃ τοῦ πολεμεῖν, τοῦ τὴν ἰσχὺν ἐν τοῖς ὅπλοις ἔχοντος μόνον· οὕτω τοῦ χρήμασι θαρροῦντος ὁ ἀπὸ τῆς ἀρετῆς πεφραγμένος ἀμείνων. Δεύτερον, ὅτι κἂν εἰς πενίαν μὴ καταπέσῃ, ἀδύνατον αὐτὸν ἀτάραχον εἶναι· καὶ γὰρ πολλὺς ἔχει κλύδωνας ὁ πλοῦτος καὶ ταραχάς.

'Αλλ' οὐχ ἡ ἀρετή, ἀλλ' ἡδονὴν μόνον καὶ ἀσφάλειαν. Καὶ γὰρ ἀχείρωτον ποιεῖ τοῖς ἐπιβουλεύουσιν· ὁ δὲ πλοῦτος τοὐναντίον ἅπαν, εὐεπιχείρητον καὶ ἁλώσιμον. Καὶ καθάπερ ἐν τοῖς ζώοις ἔλαφοι καὶ λαγωοὶ μάλιστα πάντων εἰ-

χθῇ εἰς ὅλα. Διότι καὶ ὅταν οἰκοδομῇ κανεὶς οἰκίαν δὲν ἀποσκοπεῖ εἰς τὸ νὰ μὴ πέσῃ ἐπάνω της βροχή, οὔτε ἥλιος (διότι αὐτὸ εἶναι ἀδύνατον), ἀλλ' ἀποβλέπει εἰς τὸ νὰ γίνῃ ἱκανὴ νὰ ἀντιμετωπίζῃ τὰ πάντα. Καὶ αὐτὸς ποὺ κατασκευάζει πλοῖον, δὲν ἀποβλέπει εἰς τὸ νὰ μὴ πίπτουν εἰς αὐτὸ κύματα, οὔτε σχεδιάζει καὶ κάμνει τίποτε διὰ νὰ ἐξαλειφθῇ ἡ θαλασσοταραχὴ (διότι καὶ αὐτὸ εἶναι ἀδύνατον), ἀλλ' ἀποσκοπεῖ εἰς τὸ νὰ εἶναι ἀνθεκτικὰ εἰς ὁποιονδήποτε κίνδυνον τὰ πλευρὰ τοῦ πλοίου. Καὶ αὐτὸς ποὺ φροντίζει τὸ σῶμά του δὲν ἀποσκοπεῖ πάλιν εἰς τὸ νὰ μὴ ἐπέλθῃ ἀνωμαλία εἰς τὸν καιρόν, ἀλλ' εἰς τὸ νὰ ὑπομένῃ εὐκόλως ὅλα αὐτὰ τὸ σῶμα. Ἔτσι λοιπὸν ἂς κάμνωμεν καὶ εἰς τὴν ψυχήν, καὶ ἂς μὴ μελετῶμεν πῶς ν' ἀποφύγωμεν τὴν πτωχείαν, οὔτε πῶς νὰ γινώμεθα πλούσιοι, ἀλλὰ πῶς θὰ ἀσφαλίσωμεν τὴν ψυχήν μας ἀπὸ τὸ καθὲν ἀπὸ αὐτά. Δι' αὐτὸ ἀφοῦ ἀφήσωμεν αὐτά, ἂς κάμνωμεν τὴν ψυχὴν νὰ ὠφελῆται καὶ ἀπὸ τὸν πλοῦτον καὶ ἀπὸ τὴν πτωχείαν. Διότι καὶ ἂν ἀκόμη δὲν συμβαίνῃ τίποτε ἀπὸ τὰ ἀνθρώπινα, πρᾶγμα ποὺ εἶναι ἐν πολλοῖς ἀδύνατον, καὶ ἔτσι εἶναι καλύτερος αὐτὸς ποὺ δὲν ἐπιθυμεῖ τὸν πλοῦτον, ἀλλὰ ποὺ γνωρίζει νὰ ὑπομένῃ τὰ πάντα χωρὶς δυσφορίαν, ἀπὸ ἐκεῖνον ποὺ εἶναι συνεχῶς πλούσιος. Διατί ἆρά γε; Πρῶτον, διότι αὐτὸς μὲν ἔχει τὴν ἀσφάλειαν ἀφ' ἑαυτοῦ, ἐνῷ ἐκεῖνος ἔξω ἀπὸ τὸν ἑαυτόν του. Καὶ ὅπως ἀκριβῶς καλύτερος στρατιώτης εἶναι ἐκεῖνος ποὺ στηρίζεται εἰς τὴν δύναμιν τοῦ σώματός του καὶ εἰς τὴν πολεμικήν του τέχνην, παρὰ ἐκεῖνος ποὺ στηρίζεται μόνον εἰς τὴν δύναμιν τῶν ὅπλων, ἔτσι εἶναι καλύτερος αὐτὸς ποὺ ἔχει θωρακισθῇ μὲ τὴν ἀρετήν, παρὰ αὐτὸς ποὺ βασίζεται εἰς τὸ χρῆμα. Δεύτερον, διότι καὶ ἂν ἀκόμη δὲν πτωχεύσῃ, εἶναι ἀδύνατον νὰ ζῇ χωρὶς ταραχήν· διότι ὁ πλοῦτος ἔχει πολλὰ κύματα καὶ ταραχάς.

Ἡ ἀρετὴ ὅμως δὲν ἔχει τέτοια, ἀλλὰ μόνον ἡδονὴν καὶ ἀσφάλειαν. Διότι καθιστᾷ τὸν ἐνάρετον ἄτρωτον ἀπὸ αὐτοὺς ποὺ τὸν ἐχθρεύονται· ἐνῷ ὁ πλοῦτος τὸ ἐντελῶς ἀντίθετον, καθιστᾷ δηλαδὴ τὸν πλούσιον στόχον ἐπιθέσεως καὶ εὐάλωτον. Καὶ ὅπως εἰς τὰ ζῶα αἱ ἔλαφοι καὶ οἱ λαγοὶ

σὶν εὐχείρωτοι διὰ τὴν ἐν τῇ φύσει δειλίαν, ὗς δὲ ἄγριος καὶ ταῦρος καὶ λέων οὐδ' ἂν ἐμπέσοιεν ῥᾳδίως τοῖς ἐπιβουλεύουσιν· οὕτω δὴ καὶ ἐπὶ τῶν πλουτούντων, καὶ ἐν πενίᾳ ζώντων ἑκόντων ἔστιν ἰδεῖν. Ὁ μὲν γὰρ τῷ λέοντι καὶ τῷ ταύρῳ ἔοικεν, ὁ δὲ τῇ ἐλάφῳ καὶ τῷ λαγωῷ. Τίνα γὰρ οὐ δέδοικεν ὁ πλουτῶν; οὐχὶ λῃστάς; οὐχὶ δυνάστας; οὐ βασκάνους; οὐ συκοφάντας; Καὶ τί λέγω λῃστὰς καὶ συκοφάντας, ὅπου γε καὶ τοὺς οἰκέτας αὐτοὺς ὑποπτεύει; Καὶ τί λέγω ζῶν; οὐδὲ τελευτήσας τῆς τῶν λῃστευόντων κακουργίας ἀπήλλακται, οὐδὲ ἰσχύει ὁ θάνατος ἐν ἀσφαλείᾳ αὐτὸν τηρῆσαι, ἀλλὰ καὶ νεκρὸν ὄντα συλῶσιν οἱ κακουργοῦντες· οὕτω πρᾶγμα ἐπισφαλὲς ὁ πλοῦτος. Οὐ γὰρ δὴ οἰκίαι διορύττονται μόνον, ἀλλὰ καὶ τάφοι ἀναρρήγνυνται καὶ θῆκαι.

Τί οὖν ἀθλιώτερον τούτου γένοιτ' ἄν, ὅταν μηδὲ θάνατος αὐτῷ παρέχῃ τὴν ἄδειαν ταύτην, ἀλλὰ τὸ δείλαιον σῶμα ἐκεῖνο οὐδὲ ζωῆς ἀποστερηθὲν ἀπήλλακται τῶν ἐν τῇ ζωῇ κακῶν, τῶν τὰ τοιαῦτα κακουργούντων καὶ πρὸς κόνιν καὶ τέφραν ἐπειγομένων πολεμεῖν, καὶ πολλῷ χαλεπώτερον, ἢ ἡνίκα ἔζη; Τότε μὲν γὰρ εἰς ταμεῖον εἰσιόντες, τὰ κιβώτια μὲν ἐκίνουν, τοῦ σώματος δὲ ἀπείχοντο, καὶ οὐκ ἂν τοσαῦτα ἔλαβον, ὡς καὶ αὐτὸ γυμνῶσαι τὸ σῶμα· νυνὶ δὲ οὐδὲ τούτων ἀπέχονται αἱ μιαραὶ τῶν τυμβωρύχων χεῖρες, ἀλλὰ κινοῦσιν αὐτὸ καὶ περιστρέφουσι, καὶ μετὰ πολλῆς ὠμότητος ἐνυβρίζουσι. Μετὰ γὰρ τὸ παραδοθῆναι τῇ γῇ, γυμνὸν καὶ τῆς ἐκεῖθεν περιβολῆς καὶ τῆς ἀπὸ τῶν ἱματίων ποιήσαντες, οὕτως ἀφιᾶσιν ἐρρῖφθαι. Τίς οὖν οὕτω πολέμιος, ὡς ὁ πλοῦτος, ζώντων μὲν καὶ τὴν ψυχὴν ἀπολλύς, τελευτησάντων δὲ καὶ τὸ σῶμα ἐνυβρίζων, καὶ οὐδὲ τῇ γῇ κρύπτεσθαι συγχωρῶν; ὃ κοινὸν καὶ τῶν καταδίκων

εἶναι περισσότερον ἀπὸ ὅλα εὔκολος λεία, ἐνῷ ὁ ἀγριόχοιρος καὶ ὁ ταῦρος καὶ ὁ λέων δὲν εἶναι εὔκολος λεία εἰς τοὺς ἐχθρούς των, ἔτσι θὰ ἰδοῦμεν νὰ συμβαίνῃ καὶ εἰς τοὺς πλουσίους καὶ εἰς τοὺς ἑκουσίως πτωχούς. Διότι, ὁ μὲν ἑκουσίως πτωχὸς ὁμοιάζει μὲ τὸ λεοντάρι καὶ τὸν ταῦρον, ἐνῷ ὁ πλούσιος μὲ τὴν ἔλαφον καὶ τὸν λαγόν. Διότι ποῖον δὲν φοβεῖται ὁ πλούσιος; Τοὺς ληστάς; τοὺς ἡγεμόνας; αὐτοὺς ποὺ τὸν φθονοῦν; τοὺς συκοφάντας; Καὶ τί λέγω τοὺς ληστὰς καὶ τοὺς συκοφάντας ἀφοῦ ἀκόμη καὶ τοὺς ὑπηρέτας του ὑποπτεύεται; Καὶ τί λέγω ὅτι φοβεῖται ἐνόσῳ ζῇ; οὔτε ὅταν ἀποθάνῃ ἀπαλλάσσεται ἀπὸ τὴν κακουργίαν τῶν ληστῶν, οὔτε ἠμπορεῖ ὁ θάνατος νὰ τὸν κρατήσῃ εἰς ἀσφάλειαν, ἀλλὰ καὶ νεκρὸν τὸν ληστεύουν οἱ κακοῦργοι· τόσον ἐπισφαλὲς πρᾶγμα εἶναι ὁ πλοῦτος. Διότι δὲν κλέπτονται μόνον αἱ οἰκίαι, ἀλλὰ καὶ οἱ τάφοι σκάπτονται καὶ τὰ θησαυροφυλάκια.

Τί ἀθλιώτερον λοιπὸν θὰ ἠμποροῦσε νὰ γίνῃ ἀπὸ αὐτόν, ὅταν οὔτε ὁ θάνατος τοῦ δίδῃ αὐτὴν τὴν ἄνεσιν, ἀλλὰ τὸ ταλαίπωρον ἐκεῖνο σῶμα οὔτε ὅταν στερηθῇ τὴν ζωὴν ἀπαλλάσσεται ἀπὸ τὰς δυστυχίας τῆς ζωῆς, ἀπὸ αὐτοὺς ποὺ διαπράττουν τέτοια κακὰ καὶ σπεύδουν καὶ πολεμοῦν μὲ κόνιν καὶ στάκτην, καὶ πολὺ χειρότερον παρὰ ὅταν ἔζη; Διότι τότε μέν, ἀφοῦ εἰσήρχοντο εἰς τὸ ταμεῖον, τὰ μὲν χρηματοκιβώτια τὰ ἤνοιγον καὶ ἔκλεπτον, ἐνῷ τὸ σῶμα τὸ ἄφηναν ἀπείρακτον, καὶ δὲν ἐλάμβανον τόσα, ὥστε ν' ἀπογυμνώσουν ἀκόμη καὶ τὸ σῶμα· τώρα ὅμως οὔτε ἀπὸ αὐτὸ ἀπέχουν τὰ μιαρὰ χέρια ἐκείνων ποὺ κλέπτουν τοὺς τάφους, ἀλλὰ σκαλίζουν καὶ περιστρέφουν καὶ ἀσεβοῦν εἰς αὐτὸ μὲ πολλὴν ὠμότητα. Διότι μετὰ ἀπὸ τὴν παράδοσίν του εἰς τὴν γῆν, ἀφοῦ τὸ ἀπογυμνώσουν καὶ ἀπὸ τὴν περιβολὴν ἀπὸ τὴν γῆν καὶ ἀπὸ τὰ ἐνδύματα, ἔτσι τὸ ἐγκαταλείπουν. Ποῖος λοιπὸν εἶναι τόσον ἐχθρὸς ὅσον ὁ πλοῦτος, ὁ ὁποῖος ἀπὸ τοὺς ζῶντας μὲν καταστρέφει καὶ τὴν ψυχήν, ὅταν δὲ ἀποθάνουν ἀτιμάζει καὶ τὸ σῶμα καὶ δὲν ἐπιτρέπει οὔτε εἰς τὴν γῆν νὰ κρυφθοῦν; πρᾶγμα ποὺ δὲν στεροῦνται οὔτε οἱ κατάδικοι καὶ αὐτοὶ ποὺ ἔχουν συλ-

ἐστί, καὶ τῶν ἐπὶ τοῖς αἰσχίστοις ἑαλωκότων. Ἐκείνου μὲν γὰρ τοῦ θανάτου τὴν δίκην ἀπαιτήσαντες οἱ νομοθέται, οὐδὲν περαιτέρω περιεργάζονται· τούτους δὲ ὁ πλοῦτος καὶ μετὰ θάνατον πικροτάτην ἀπαιτεῖ δίκην, γυμνοὺς προτιθεὶς καὶ ἀτάφους, θέαμα δεινὸν καὶ ἐλεεινόν.

Καὶ γὰρ τῶν ἀπὸ ψήφου τοῦτο πασχόντων καὶ θυμοῦ δικαστικοῦ χαλεπώτερα οὗτοι πάσχουσιν. Ἐκεῖνοι μὲν γὰρ μίαν τὴν πρώτην ἡμέραν ἢ καὶ δευτέραν μείναντες ἄταφοι, τῇ γῇ παραδίδονται, οὗτοι δὲ ὅταν παραδοθῶσι τῇ γῇ, τότε γυμνοῦνται καὶ ὑβρίζονται. Εἰ δὲ μὴ καὶ τὴν θήκην λαβόντες ἀπέρχονται οἱ λῃσταί, οὐκέτι τῷ πλούτῳ χάρις, ἀλλὰ τῇ πενίᾳ κἀνταῦθα· αὕτη γὰρ αὐτὴν φυλάττει· ὡς εἴγε καὶ ταύτην ἐνεχειρίσαμεν τῷ πλούτῳ, καὶ ἀφέντες ἀπὸ λίθου κατασκευάζειν αὐτήν, ἐχαλκεύσαμεν ἀπὸ χρυσοῦ, καὶ ταύτην ἂν ἀπωλέσαμεν. Οὕτως ἄπιστον πρᾶγμα ὁ πλοῦτος, καὶ οὐ τῶν ἐχόντων τοσοῦτόν ἐστιν, ὅσον τῶν ἁρπάζειν ἐπιχειρούντων. Ὥστε περιττὸς ὁ λόγος ἐκεῖνος ὁ σπουδάζων δεικνύναι ὅτι δυσχείρωτον ὁ πλοῦτος, ὅπου οὐδὲ ἐν τῇ ἡμέρᾳ τῆς τελευτῆς τυγχάνουσιν ἀσφαλείας οἱ τοῦτον ἔχοντες. Καίτοιγε τίς πρὸς τὸν ἀπελθόντα οὐ καταλλάττεται, κἂν θηρίον ᾖ, κἂν δαίμων, κἂν ὁστισοῦν; Καὶ γὰρ ἡ θέα ἱκανὴ καὶ τὸν σφόδρα σιδηροῦν καὶ ἀνάλγητον ἐπικάμψαι. Διά τοι τοῦτο, ὅταν τις ἴδῃ νεκρόν, κἂν ἐχθρὸν ἴδῃ, κἂν πολέμιον, μετὰ τῶν φιλτάτων δακρύει· καὶ ἡ μὲν ὀργὴ μετὰ τῆς ζωῆς σβέννυται, ὁ δὲ ἔλεος ἐπεισάγεται. Καὶ οὐκ ἄν τις ἐπὶ κήδους καὶ ἐκφορᾶς διαγνοίη τὸν ἐχθρόν, καὶ τὸν οὐ τοιοῦτον· οὕτως ἅπαντες τὴν κοινὴν αἰδοῦνται φύσιν, καὶ τοὺς περὶ αὐτὴν εἰσενεχθέντας νόμους.

Ἀλλ' ὁ πλοῦτος, οὐδὲ τούτου τυχών, ἀφίησι τὴν ὀργὴν τοῖς κτησαμένοις αὐτόν, ἀλλὰ καὶ τοὺς οὐδὲν ἠδικημένους

ληφθῆ καὶ καταδικασθῆ διὰ τὰς πλέον αἰσχρὰς πράξεις. Διότι ἐκείνους μὲν ἀφοῦ κατεδίκασαν εἰς θάνατον οἱ δικασταί, δὲν ἀσχολοῦνται περισσότερον μαζί των, ἐνῷ αὐτοὺς ὁ πλοῦτος καὶ μετὰ θάνατον τοὺς καταδικάζει σκληρότατα, ἀφοῦ τοὺς ἐκθέτει γυμνοὺς καὶ ἀτάφους, θέαμα φρικτὸν καὶ ἐλεεινόν.

Πράγματι καὶ ἀπὸ αὐτοὺς ποὺ ὑφίστανται αὐτὸ ἀπὸ ἀπόφασιν καὶ ὀργὴν τῶν δικαστῶν χειρότερα ὑφίστανται αὐτοί. Διότι ἐκεῖνοι μέν, ἀφοῦ παραμείνουν ἄταφοι τὴν πρώτην ἢ καὶ τὴν δευτέραν ἡμέραν, κατόπιν παραδίδονται εἰς τὴν γῆν, ἐνῷ αὐτοὶ ὅταν παραδοθοῦν εἰς τὴν γῆν, τότε ἀπογυμνοῦνται καὶ ἀτιμάζονται. Ἐὰν δὲ δὲν κλέπτουν καὶ τὸ χρηματοκιβώτιον ὅταν φεύγουν οἱ λησταί, οὔτε αὐτὸ ὀφείλεται εἰς τὸν πλοῦτον, ἀλλ' εἰς τὴν πτωχείαν˙ καθ' ὅσον αὐτὴ τὸ προφυλάσσει ἀπὸ αὐτό˙ διότι ἐὰν βέβαια παρεδίδομεν καὶ αὐτὸ εἰς τὸν πλοῦτον καὶ δὲν τὸ κατεσκευάζομεν ἀπὸ λίθον, ἀλλὰ ἀπὸ χρυσόν, θὰ ἐχάνομεν καὶ αὐτό. Τόσον ἄπιστον πρᾶγμα εἶναι ὁ πλοῦτος, καὶ δὲν ἀνήκει τόσον εἰς αὐτοὺς ποὺ τὸν ἔχουν, ὅσον εἰς αὐτοὺς ποὺ ἐπιχειροῦν νὰ τὸν κλέπτουν. Ὥστε εἶναι λανθασμένος ἐκεῖνος ὁ λόγος ποὺ θέλει νὰ δείξῃ ὅτι ὁ πλοῦτος εἶναι ἀπαραβίαστος, ἀφοῦ οὔτε εἰς τὴν ἡμέραν τοῦ θανάτου των δὲν ἔχουν ἀσφάλειαν αὐτοὶ ποὺ τὸ ἔχουν. Ἂν καὶ βέβαια μὲ αὐτὸν ποὺ ἔχει ἀποθάνει ποῖος δὲν συμφιλιώνεται, ἀκόμη καὶ ἂν εἶναι θηρίον ἢ καὶ δαίμων ἢ καὶ ὁσονδήποτε σκληρός; Διότι καὶ ἡ ὄψις του μόνον εἶναι ἱκανὴ νὰ λυγίσῃ καὶ τὸν πλέον σκληρὸν καὶ ἄπονον. Δι' αὐτὸ βέβαια, ὅταν κανεὶς ἰδῇ νεκρόν, εἴτε εἶναι ἐχθρός του, εἴτε ἀντίπαλος, δακρύζει μαζὶ μὲ αὐτοὺς ποὺ τὸν ἀγαποῦν˙ καὶ ἡ μὲν ὀργὴ σβήνει μαζὶ μὲ τὴν ζωήν, εἰς τὴν θέσιν της δὲ ἔρχεται τὸ ἔλεος. Καὶ δὲν ἠμπορεῖ κανεὶς κατὰ τὴν κηδείαν καὶ τὴν ἐκφορὰν νὰ διακρίνῃ αὐτὸν ποὺ εἶναι ἐχθρὸς καὶ αὐτὸν ποὺ δὲν εἶναι˙ ἔτσι ὅλοι σέβονται τὴν κοινὴν φύσιν καὶ τοὺς νόμους ποὺ τὴν διέπουν.

Ὁ πλοῦτος ὅμως, ποὺ δὲν ἔχει τύχει οὔτε αὐτὸ τὸ πρᾶγμα, ἀφήνει τὴν ὀργὴν δι' ἐκείνους ποὺ τὸν ἀπέκτη-

τοῦ τετελευτηκότος ἐχθροὺς καθίστησιν, εἴγε τὸ νεκρὸν σῶμα γυμνοῦν, τῶν σφόδρα ἐχθρῶν καὶ πολεμίων ἐστί. Καὶ ἡ μὲν φύσις καὶ τοὺς ἐχθροὺς αὐτῷ καταλλάττει τότε, ὁ δὲ πλοῦτος καὶ τοὺς οὐδὲν ἔχοντας ἐγκαλεῖν ἐκπολεμοῖ, καὶ ἐν ἐρημίᾳ πολλῇ τὸ σῶμα αἰκίζεται. Καίτοι πολλὰ ἐκεῖ τὰ δυνάμενα ἐπισπάσασθαι πρὸς οἶκτον, αὐτὸ τὸ νεκρὸν εἶναι, τὸ ἀκίνητον, τὸ πρὸς γῆν ὁδεύειν καὶ τέφραν, τὸ μηδένα παρεῖναι τὸν βοηθήσοντα. Ἀλλ' οὐδὲν τούτων κατακλᾷ τοὺς μιαροὺς ἐκείνους διὰ τὴν ἀπὸ τῆς πονηρᾶς ἐπιθυμίας τυραννίδα. Ὁ γὰρ τῆς φιλοχρηματίας ἔρως, καθάπερ τις τύραννος ἀπηνής, ἐφέστηκεν ἐγκελευόμενος τὰ ἀπάνθρωπα ἐπιτάγματα ἐκεῖνα, καὶ θηρία ποιήσας, οὕτως ἐπὶ τὰς θήκας ἄγει. Καθάπερ γὰρ θηρία τοῖς τετελευτηκόσιν ἐπιτιθέμενοι, οὐδ' ἂν τῶν σαρκῶν ἀπέσχοντο, εἴγε που χρήσιμα ἦν τὰ μέλη. Τοιαῦτα ἀπολαύομεν τοῦ πλούτου, καὶ μετὰ τελευτὴν ὑβριζόμενοι, καὶ ταφῆς ἀποστερούμενοι, ἧς καὶ οἱ τὰ ἀνήκεστα τετολμηκότες ἀπολαύουσιν.

Ἔτι οὖν, εἰπέ μοι, στέρξομεν αὐτὸν τὸν οὕτω πολέμιον; Μή, παρακαλῶ, μή, ἀδελφοί, ἀλλὰ φεύγωμεν ἀμεταστρεπτί· κἂν εἰς χεῖρας ἔλθῃ τὰς ἡμετέρας, μὴ κατέχωμεν ἔνδον, ἀλλὰ δήσωμεν αὐτὸν ταῖς τῶν πενήτων χερσί. Ταῦτα γὰρ αὐτὸν δύναται μᾶλλον τὰ δεσμὰ κατέχειν, καὶ ἐκ τῶν ταμιείων ἐκείνων οὐδέποτε διαφεύξεται, καὶ ὁ ἄπιστος οὗτος μένει λοιπὸν πιστός, χειροήθης, ἥμερος, τῇ τῆς ἐλεημοσύνης δεξιᾷ ταῦτα γενόμενος. Ἂν μὲν οὖν παραγένηταί ποτε ἡμῖν, ταύτῃ παραδῶμεν αὐτόν, ἂν δὲ μὴ παραγένηται, μὴ ζητῶμεν, μηδὲ ἄγχωμεν ἑαυτούς, μηδὲ τοὺς ἔχοντας μακαρίζωμεν. Ποῖος γὰρ οὗτος μακαρισμός; πλὴν εἰ μὴ καὶ τοὺς

σαν, ἀλλ' ἀκόμη καὶ αὐτοὺς ποὺ δὲν ἠδικήθησαν τοὺς κάμνει ἐχθροὺς τοῦ ἀποθανόντος, ἀφοῦ βέβαια τὸ ν' ἀπογυμνώνῃ κανεὶς τὸ νεκρὸν σῶμα εἶναι ἔργον τῶν ἐχθρῶν καὶ τῶν ἀντιπάλων. Καὶ ἡ μὲν φύσις καὶ τοὺς ἐχθροὺς τοὺς συμφιλιώνει τότε μὲ αὐτόν, ἐνῷ ὁ πλοῦτος καὶ αὐτοὺς ποὺ δὲν ἔχουν νὰ τὸν κατηγορήσουν διὰ τίποτε τοὺς κάμνει ἐχθρούς, καὶ μέσα εἰς ἐρημίαν πολλὴν ὅπου κανεὶς δὲν ἠμπορεῖ νὰ βοηθήσῃ ἀτιμάζεται τὸ σῶμα. Ἂν καὶ εἶναι πολλὰ ἐκεῖ αὐτὰ ποὺ ἠμποροῦν νὰ προκαλέσουν οἶκτον, αὐτὸ ἀκριβῶς τὸ ὅτι εἶναι νεκρός, τὸ ὅτι εἶναι ἀκίνητος, τὸ ὅτι μετατρέπεται εἰς χῶμα καὶ στάκτην, τὸ ὅτι κανεὶς δὲν παρευρίσκεται διὰ νὰ βοηθήσῃ. Ἀλλὰ τίποτε ἀπὸ αὐτὰ δὲν κάμπτει ἐκείνους τοὺς βρωμερούς, διότι εἶναι κυριευμένοι ἀπὸ τὴν πονηρὰν ἐπιθυμίαν. Διότι ὁ ἔρως τῆς φιλαργυρίας, ὡσὰν κάποιος ἀνηλεὴς τύραννος εὑρίσκεται ἐπάνω των ὡσὰν ἐπιστάτης καὶ προστάσσει ἐκεῖνα τὰ ἀπάνθρωπα προστάγματα καί, ἀφοῦ τοὺς μετατρέψῃ εἰς θηρία, τοὺς ὁδηγεῖ εἰς τὰ χρηματοκιβώτια. Διότι ὡσὰν θηρία ἐπιτίθενται εἰς τοὺς νεκροὺς καὶ οὔτε τὰς σάρκας των θὰ ἄφηναν ἐὰν ἦσαν εἰς αὐτοὺς χρήσιμα τὰ μέλη των. Τέτοια ἀπολαμβάνομεν ἀπὸ τὸν πλοῦτον ἀτιμαζόμενοι καὶ μετὰ θάνατον καὶ στερούμενοι ἀκόμη καὶ τῆς ταφῆς τὴν ὁποίαν δὲν στεροῦνται ἀκόμη καὶ αὐτοὶ ποὺ ἐτόλμησαν τὰ χειρότερα.

Εἰπέ μου λοιπόν· ἀκόμη θὰ ἀγαπῶμεν αὐτὸν τὸν τόσον ἐχθρόν; Μή, παρακαλῶ, ἀδελφοί, ἀλλ' ἂς φεύγωμεν ἀπὸ αὐτὸν χωρὶς νὰ γυρίζωμεν ὀπίσω· ἀκόμη καὶ ἂν ἔλθῃ εἰς τὰ χέρια μας, ἂς μὴ τὸν κρατῶμεν εἰς τὰ ταμεῖα, ἀλλ' ἂς τὸν δέσωμεν εἰς τὰ χέρια τῶν πτωχῶν. Διότι αὐτὰ ἠμποροῦν περισσότερον νὰ κυριαρχοῦν εἰς τὰ δεσμά του καὶ ἀπὸ ἐκεῖνα τὰ ταμεῖα ποτὲ δὲν θὰ διαφύγῃ καὶ αὐτὸς ὁ ἄπιστος μένει πλέον πιστός, ἡμερωμένος, πρᾶος, ἀφοῦ ἔγινε τέτοιος ἀπὸ τὴν δεξιὰν τῆς ἐλεημοσύνης. Ἂν μὲν λοιπὸν ἔλθῃ ποτὲ εἰς ἐμᾶς, εἰς αὐτὴν ἂς τὸν παραδώσωμεν, ἐὰν δὲ δὲν ἔλθῃ, ἂς μὴ τὸν ζητῶμεν, καὶ οὔτε νὰ στενοχωρούμεθα, οὔτε αὐτοὺς ποὺ τὸν ἔχουν νὰ μακαρίζωμεν. Διότι τί μακαρισμὸς εἶναι αὐτός; Ἐκτὸς βέβαια ἐὰν λέγῃς,

θηριομάχους ζηλωτοὺς εἶναι φαίης, ὅτι τὰ πολυτίμητα ἐκεῖνα θηρία κατακλείσαντες ἑαυτοῖς φυλάττουσιν οἱ τοὺς τοιούτους τιθέντες ἀγῶνας, αὐτοὶ μὲν οὐ προσελθεῖν, οὐχ ἅψασθαι τολμῶντες, ἀλλ' ἀγωνιῶντες αὐτὰ καὶ τρέμοντες, ἐκείνους δὲ αὐτοῖς ἐκδιδόντες.

Τοιοῦτον γάρ τι καὶ οἱ πλουτοῦντες πάσχουσιν, ὥσπερ θηρίον ἀπηνὲς ἐν τοῖς ταμιείοις κατακλείσαντες τὸν πλοῦτον, καὶ καθ' ἑκάστην μυρία παρ' αὐτοῦ τὴν ἡμέραν δεχόμενοι τραύματα, ἀπεναντίας τοῖς θηρίοις. Ἐκεῖνα μὲν γὰρ ὅταν ἐξαγάγῃς, τότε λυμαίνεται τοῖς ἀπαντῶσιν· οὗτος δὲ ὅταν συγκεκλεισμένος ᾖ καὶ φυλαττόμενος, τότε ἀπόλλυσι τοὺς κεκτημένους αὐτὸν καὶ φυλάττοντας. Ἀλλ' ἡμεῖς τὸ θηρίον τοῦτο ποιήσωμεν ἥμερον. Ἔσται δὲ ἥμερον, ἂν μὴ κατακλείωμεν αὐτό, ἀλλὰ ταῖς ἁπάντων τῶν δεομένων προσάγωμεν χερσίν. Οὕτω καὶ τὰ μέγιστα ἐντεῦθεν καρπωσόμεθα ἀγαθά, καὶ ἐν τῷ παρόντι βίῳ μετὰ ἀσφαλείας καὶ χρηστῆς ζῶντες ἐλπίδος, καὶ κατὰ τὴν μέλλουσαν ἡμέραν μετὰ παρρησίας ἱστάμενοι· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ σὺν τῷ ἁγίῳ καὶ ἀγαθῷ Πνεύματι ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ὅτι καὶ οἱ θηριομάχοι εἶναι ἀξιοζήλευτοι, διότι, ἀφοῦ τοὺς ἐφυλάκισαν μὲ ἐκεῖνα τὰ πολὺ τιμώμενα θηρία, τοὺς φυλάττουν αὐτοὶ ποὺ πραγματοποιοῦν τέτοιους ἀγῶνας, ἐνῷ οἱ ἴδιοι μὲν δὲν τολμοῦν νὰ πλησιάσουν, οὔτε νὰ ἐγγίσουν, ἀλλὰ φοβοῦνται καὶ τρέμουν αὐτά, ἐκείνους ὅμως τοὺς παραδίδουν εἰς αὐτά.

Κάτι ἀνάλογον λοιπὸν πάσχουν καὶ οἱ πλούσιοι, οἱ ὁποῖοι ἔχουν φυλακίσει τὸν πλοῦτον ὡσὰν ἄγριον θηρίον εἰς τὰ ταμεῖα καὶ δέχονται καθημερινῶς ἀναρίθμητα τραύματα ἀπὸ αὐτὸν καταντικρὺ εἰς τὰ θηρία. Διότι ἐκεῖνα μὲν ὅταν τὰ ἐλευθερώσῃς τότε κατασπαράσσουν αὐτοὺς ποὺ θὰ συναντήσουν, ἐνῷ αὐτός, ὅταν εἶναι εἰς τὸ ταμεῖον καὶ φυλάσσεται, τότε καταστρέφει αὐτοὺς ποὺ τὸν κατέχουν καὶ τὸν φυλάττουν. Ἀλλ' ἐμεῖς ἂς ἡμερώσωμεν αὐτὸ τὸ θηρίον. Θά εἶναι δὲ ἥμερον, ἐὰν δὲν τὸ κρύπτωμεν, ἀλλὰ τὸ δίδωμεν εἰς τὰ χέρια ὅλων ὅσων ἔχουν ἀνάγκην. Ἔτσι καὶ θὰ κερδίσωμεν ἀπὸ αὐτὸ τὰ μέγιστα ἀγαθά, ἀφοῦ θὰ ζῶμεν καὶ εἰς τὴν παροῦσαν ζωὴν μὲ ἀσφάλειαν καὶ ἀγαθὴν ἐλπίδα, καὶ κατὰ τὴν ἡμέραν τῆς μελλούσης κρίσεως θὰ ἱστάμεθα μὲ θάρρος, τὸ ὁποῖον εἴθε ὅλοι ν' ἀποκτήσωμεν, μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖον εἰς τὸν Πατέρα καὶ εἰς τὸ ἅγιον καὶ ἀγαθὸν Πνεῦμα ἀνήκει ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΛΟΓΟΣ ΛΣΤ΄
Α΄ Κορ. 14, 20-34

«Ἀδελφοί, μὴ παιδία γίνεσθε ταῖς φρεσίν, ἀλλὰ τῇ κακίᾳ νηπιάζετε, ταῖς δὲ φρεσὶ τέλειοι γίνεσθε».

1. Εἰκότως μετὰ τὴν πολλὴν κατασκευὴν καὶ τὴν ἀπόδειξιν, σφοδρότερον κέχρηται τῷ λόγῳ, καὶ πολλῇ τῇ ἐπιτιμήσει, καὶ παραδείγματος μέμνηται καταλλήλου τῷ ὑποκειμένῳ. Καὶ γὰρ τὰ παιδία πρὸς μὲν τὰ μικρὰ κέχηνε καὶ ἐπτόηται, τῶν δὲ σφόδρα μεγάλων οὐ τοσοῦτον ἔχει θαῦμα. Ἐπεὶ οὖν καὶ οὗτοι γλωσσῶν ἔχοντες χάρισμα, τὸ πᾶν ἔχειν ἐνόμιζον, ὅπερ τῶν ἄλλων ἔσχατον ἦν, διὰ τοῦτό φησι, «Μὴ παιδία γίνεσθε», τουτέστι, μὴ ἀνόητοι, ἔνθα συνετοὺς εἶναι χρή, ἀλλ' ἐκεῖ νήπιοι καὶ ἀφελεῖς, ἔνθα ἀδικία, ἔνθα κενοδοξία, ἔνθα φύσημα· τὸν γὰρ τῇ κακίᾳ νηπιάζοντα καὶ φρόνιμον εἶναι δεῖ. Ὥσπερ γὰρ φρόνησις μετὰ κακουργίας οὐκ ἂν εἴη φρόνησις, οὕτω καὶ ἀφέλεια μετὰ ἀνοίας οὐκ ἂν εἴη ἀφέλεια. Καὶ γὰρ ἐν τῇ ἀφελείᾳ τὴν ἄννοιαν φεύγειν δεῖ, καὶ ἐν τῇ φρονήσει τὴν πονηρίαν. Καθάπερ γὰρ οὔτε τὰ πικρὰ φάρμακα πέρα τοῦ δέοντος, οὔτε τὰ γλυκέα ὀνίνησιν, οὕτως οὐδὲ ὠφέλεια καθ' ἑαυτήν, οὐδὲ φρόνησις. Διόπερ ἀμφότερα κατακεράσαι κελεύων ὁ Χριστὸς ἔλεγε, «Γίνεσθε φρόνιμοι ὡς οἱ ὄφεις, καὶ ἀκέραιοι ὡς αἱ περιστεραί». Τί δέ ἐστι νήπιον εἶναι κακίᾳ; Τὸ μηδὲ εἰδέναι τί ποτέ ἐστι κακία. Τοιούτους γὰρ αὐτοὺς εἶναι ἐβούλετο. Διὸ καὶ ἔλεγεν, «Ὅλως ἀκούεται ἐν ὑμῖν πορνεία». Οὐκ εἶπε, τολμᾶται, ἀλλ', «ἀκούεται». Ἴστε γὰρ ὅ-

1. Ματθ. 10, 16.

ΛΟΓΟΣ ΛΣΤ΄
Α΄ Κορ. 14, 20 - 34

«Ἀδελφοί, μὴ γίνεσθε παιδιὰ κατὰ τὸν νοῦν, ἀλλὰ νὰ εἶσθε νήπια κατὰ τὴν κακίαν, κατὰ δὲ τὸν νοῦν νὰ γίνεσθε τέλειοι».

1. Ὀρθῶς, μετὰ ἀπὸ τὴν πολὺ στερεὰν θεμελίωσιν καὶ τὴν ἀπόδειξιν, ὁμιλεῖ μὲ περισσοτέραν σφοδρότητα καὶ ἐπιπλήττει ἐντόνως καὶ ἀναφέρει παράδειγμα κατάλληλον διὰ τὸ θέμα. Διότι καὶ τὰ παιδιὰ διὰ τὰ μὲν ἀσήμαντα χάσκουν καὶ φοβοῦνται, ἐνῷ διὰ τὰ πολὺ μεγάλα δὲν θαυμάζουν τόσον. Ἐπειδὴ λοιπὸν καὶ αὐτοὶ μὲ τὸ νὰ ἔχουν χάρισμα γλωσσῶν ἐνόμιζον ὅτι ἔχουν τὸ πᾶν, ἐνῷ αὐτὸ τὸ χάρισμα ἦτο τελευταῖον ὡς πρὸς τὰ ἄλλα, δι' αὐτὸ λέγει, «Μὴ γίνεσθε παιδιά», δηλαδή, μὴ γίνεσθε ἀνόητοι ἐκεῖ ὅπου ἔπρεπε νὰ εἶσθε συνετοί, ἀλλὰ νὰ γίνεσθε νήπια καὶ ἀφελεῖς ἐκεῖ ὅπου ὑπάρχει ἀδικία, κενοδοξία, ὑπερηφάνεια· διότι αὐτὸς ποὺ εἶναι νήπιον κατὰ τὴν κακίαν πρέπει νὰ εἶναι καὶ φρόνιμος. Διότι, ὅπως ἡ φρόνησις μαζὶ μὲ τὴν κακίαν δὲν θὰ ἦτο φρόνησις, ἔτσι καὶ ἡ ἀφέλεια μαζὶ μὲ τὴν ἀνοησίαν δὲν θὰ ἦτο ἀφέλεια. Καθ' ὅσον εἰς τὴν ἀφέλειαν πρέπει ν' ἀποφεύγωμεν τὴν ἀνοησίαν καὶ εἰς τὴν φρόνησιν τὴν πονηρίαν. Διότι ὅπως δὲν ὠφελοῦν οὔτε τὰ πικρὰ φάρμακα πέραν τοῦ κανονικοῦ, οὔτε τὰ γλυκά, ἔτσι οὔτε ἡ ἀφέλεια ἀπὸ μόνη της, οὔτε ἡ φρόνησις. Δι' αὐτὸ ἀκριβῶς ὁ Χριστός, ὅταν παραγγέλλῃ νὰ συνδυάζωμεν καὶ τὰ δύο, λέγει, «Νὰ εἶσθε φρόνιμοι ὅπως οἱ ὄφεις καὶ ἄκακοι ὅπως αἱ περιστεραί»[1]. Τί σημαίνει δὲ τὸ νὰ εἶναι κανεὶς νήπιον ὡς πρὸς τὴν κακίαν; Τὸ νὰ μὴ γνωρίζῃ κἂν τί εἶναι κακία. Τέτοιους λοιπὸν ἤθελεν αὐτοὺς νὰ εἶναι. Δι' αὐτὸ καὶ ἔλεγεν, «Γενικῶς ἀκούεται ὅτι ὑπάρχει μεταξύ σας πορνεία». Δὲν εἶπε, τολμᾶται, ἀλλ' «ἀκούεται». Διότι

λως τὸ πρᾶγμα, φησίν, ἠκούσατε γάρ αὐτό ποτε. Καὶ γὰρ ἐβούλετο καὶ ἄνδρας αὐτοὺς εἶναι καὶ παῖδας, ἀλλὰ τὸ μὲν ἐν τῇ κακίᾳ, τὸ δὲ ἐν τῇ φρονήσει. Οὕτω γὰρ καὶ ὁ ἀνὴρ γένοιτ' ἂν ἀνήρ, ἐὰν καὶ παιδίον ᾖ· ὡς ἐὰν μὴ παιδίον ᾖ τῇ πονηρίᾳ, οὐδὲ ἀνὴρ ἔσται. Ὁ γὰρ κακοῦργος οὐκ ἔσται τέλειος, ἀλλ' ἀνόητος.

«Ἐν τῷ νόμῳ γέγραπται, ὅτι ἐν ἑτερογλώσσοις καὶ ἐν χείλεσιν ἑτέροις λαλήσω τῷ λαῷ τούτῳ, καὶ οὐδ' οὕτως εἰσακούσονταί μου, λέγει Κύριος». Καίτοιγε οὐδαμοῦ ἐν τῷ νόμῳ γέγραπται, ἀλλ', ὅπερ ἔφθην εἰπών, πᾶσαν τὴν παλαιὰν ἀεὶ νόμον καλεῖ, καὶ τοὺς προφήτας καὶ τὰς ἱστορίας. Παράγει δὲ τὴν μαρτυρίαν ἀπὸ Ἠσαΐου τοῦ προφήτου, πάλιν ὑποτεμνόμενος τοῦ χαρίσματος τὴν δόξαν πρὸς τὸ ἐκείνων χρήσιμον. Ἀλλ' ὅμως καὶ οὕτω μετ' ἐγκωμίου τίθησιν αὐτό. Τὸ γάρ, «οὐδὲ οὕτω», δεικνύντος ἦν, ὅτι ἱκανὸν ἦν αὐτοὺς ἐκπλῆξαι τὸ θαῦμα· εἰ δὲ οὐκ ἐπείσθησαν, ἐκείνων τὸ ἔγκλημα. Καὶ τίνος ἕνεκεν αὐτὸ ἐποίησεν ὁ Θεός, εἰ μὴ ἔμελλον πείθεσθαι; Ἵνα τὰ αὐτοῦ πανταχοῦ φαίνηται ποιῶν. Δείξας τοίνυν ἀπὸ τῆς προφητείας, ὅτι οὐ σφόδρα χρήσιμον τὸ σημεῖον, ἐπήγαγεν· «Ὥστε αἱ γλῶσσαι εἰς σημεῖόν εἰσιν, οὐ τοῖς πιστεύουσιν, ἀλλὰ τοῖς ἀπίστοις· ἡ δὲ προφητεία οὐ τοῖς ἀπίστοις, ἀλλὰ τοῖς πιστεύουσιν. Ἐὰν οὖν συνέλθῃ ἡ Ἐκκλησία ὅλη ἐπὶ τὸ αὐτό, καὶ πάντες γλώσσαις λαλῶσιν, εἰσέλθωσι δὲ ἰδιῶται ἢ ἄπιστοι, οὐκ ἐροῦσιν ὅτι μαίνεσθε; Ἐὰν δὲ πάντες προφητεύωσιν, εἰσέλθῃ δέ τις ἄπιστος ἢ ἰδιώτης, ἐλέγχεται ὑπὸ πάντων, ἀνακρίνεται ὑπὸ πάντων· καὶ οὕτω τὰ κρυπτὰ τῆς καρδίας αὐτοῦ φανερὰ γίνεται, καὶ πεσὼν ἐπὶ πρόσωπον προσκυνήσει τῷ Θεῷ, ἀπαγγέλλων ὅτι ὁ Θεὸς ὄντως ἐν ὑμῖν ἐστι».

2. Πολλὴν ἐνταῦθα ἐκ τῶν εἰρημένων τὴν ἐπαπόρησιν

γνωρίζετε ὅλοι τὸ πρᾶγμα, λέγει· κάποτε ἠκούσατε δι' αὐτό. Καθ' ὅσον ἤθελεν αὐτοὺς νὰ εἶναι καὶ ἄνδρες καὶ παιδιὰ συγχρόνως, ἀλλ' ἄνδρες μὲν εἰς τὴν φρόνησιν, παιδιὰ δὲ εἰς τὴν κακίαν. Διότι ἔτσι καὶ ὁ ἄνδρας θὰ ἦτο ἄνδρας, ἐὰν δηλαδὴ ἦτο καί παιδί. Καθ' ὅσον ἐὰν δὲν εἶναι παιδὶ ὡς πρὸς τὴν πονηρίαν, οὔτε ἄνδρας θὰ εἶναι. Διότι ὁ κακοῦργος δὲν εἶναι τέλειος, ἀλλ' ἀνόητος.

«Εἰς τὸν νόμον ἐγράφη· «Μὲ ἀνθρώπους ἑτερογλώσσους καὶ μὲ χείλη ξένα θὰ ὁμιλήσω εἰς τὸν λαὸν τοῦτον, ἀλλ' οὔτε ἔτσι θὰ μὲ ἀκούσουν», λέγει ὁ Κύριος. Ἂν καὶ βέβαια πουθενὰ δὲν ἀναφέρεται αὐτὸ εἰς τὸν νόμον, ἀλλ', ὅπως ἤδη εἶπον, ὅλην τὴν Παλαιὰν Διαθήκην, καὶ τοὺς προφήτας καὶ τὰς ἱστορίας, τὰς ὀνομάζει νόμον. Παρουσιάζει δὲ τὴν μαρτυρίαν ἀπὸ τὸν προφήτην Ἠσαΐαν, διὰ νὰ ἐλαττώσῃ πάλιν τὴν δόξαν τοῦ χαρίσματος διὰ τὴν ἰδικήν των ὠφέλειαν. Ἀλλὰ καὶ ἔτσι πάλιν ἐγκωμιάζει τὸ χάρισμα. Διότι τό, «οὔτε ἔτσι», ἐλέχθη διὰ νὰ δείξῃ ὅτι ἦτο ἱκανὸν νὰ τοὺς ἐκπλήξῃ τὸ θαῦμα· ἐὰν ὅμως δὲν ἐπείσθησαν εἶναι ἰδικόν των τὸ ἔγκλημα. Καὶ διατί ἔκαμεν αὐτὸ ὁ Θεός, ἀφοῦ δὲν ἐπρόκειτο νὰ πεισθοῦν; Διὰ νὰ φανῇ ὅτι ὅσα πρέπει νὰ πράξῃ ὁ Θεός, τὰ πράττει παντοῦ. Ἀφοῦ ἔδειξε καὶ ἀπὸ τὴν προφητείαν ὅτι δὲν εἶναι πολὺ ὠφέλιμον τὸ χάρισμα, προσέθεσεν· «Ὥστε τὸ χάρισμα τῶν γλωσσῶν εἶναι σημεῖον ὄχι δι' ἐκείνους ποὺ πιστεύουν ἀλλὰ διὰ τοὺς ἀπίστους, ἡ προφητεία ὅμως εἶναι ὄχι διὰ τοὺς ἀπίστους, ἀλλὰ δι' ἐκείνους ποὺ πιστεύουν. Ἐὰν λοιπὸν συνέλθῃ ὅλη ἡ ἐκκλησία εἰς τὸν ἴδιον χῶρον καὶ ὅλοι ὁμιλοῦν γλώσσας καὶ εἰσέλθουν μέσα ἁπλοϊκοὶ ἄνθρωποι ἢ ἄπιστοι, δὲν θὰ εἰποῦν ὅτι εἶσθε τρελλοί; Ἀλλ' ἐὰν ὅλοι προφητεύουν καὶ εἰσέλθῃ κάποιος ἄπιστος ἢ ἁπλοϊκός, τότε αὐτὸς ἐλέγχεται ἀπὸ ὅλους, ἐξετάζεται ἀπὸ ὅλους, καὶ ἔτσι τὰ ἀπόκρυφα τῆς καρδίας του γίνονται φανερὰ καὶ τότε θὰ πέσῃ κάτω μὲ τὸ πρόσωπον καὶ θὰ προσκυνήσῃ τὸν Θεὸν καὶ θὰ εἰπῇ ὅτι πραγματικὰ ὁ Θεὸς εἶναι μέσα σας».

2. Εἰς τοὺς λόγους αὐτοὺς ἠμπορεῖ νὰ εὕρῃ κανεὶς

ἴδοι τις ἄν. Εἰ γὰρ τοῖς ἀπίστοις σημεῖόν εἰσιν αἱ γλῶσσαι, πῶς λέγει, ἐὰν ἴδωσιν ὑμᾶς γλώσσαις λαλοῦντας οἱ ἄπιστοι, ἐροῦσιν ὅτι μαίνεσθε; καὶ εἰ ἡ προφητεία οὐ τοῖς ἀπίστοις, ἀλλὰ τοῖς πιστεύουσι, πῶς καὶ οἱ ἄπιστοι ἐξ αὐτῆς κερδαίνουσιν; «Ἐὰν γὰρ εἰσέλθῃ», φησίν, «ἄπιστος προφητευόντων ὑμῶν, ἐλέγχεται ὑπὸ πάντων, καὶ ἀνακρίνεται». Οὐχ αὕτη δὲ μόνον, ἀλλὰ καὶ μετὰ ταύτην δευτέρα ἑτέρα ζήτησις ἐντεῦθεν φύεται· φανεῖτε γὰρ ἡ γλῶττα μείζων πάλιν τῆς προφητείας. Εἰ γὰρ αἱ γλῶσσαι εἰς σημεῖον τοῖς ἀπίστοις, ἡ δὲ προφητεία τοῖς πιστοῖς, τὸ τοὺς ἀλλοτρίους ἐφελκόμενον καὶ οἰκειοῦν, μεῖζον τοῦ ρυθμίζοντος τοὺς οἰκείους.

Τί οὖν ἐστι τὸ εἰρημένον; Οὐδὲν δύσκολον οὐδὲ ἀσαφές, οὐδὲ ἐναντίον τοῖς ἔμπροσθεν, ἀλλὰ καὶ σφόδρα συμβαῖνον, ἐὰν προσέχωμεν. Ἡ μὲν γὰρ προφητεία ἀμφοτέροις ἐπιτήδειος, ἡ δὲ γλῶττα οὐκέτι. Διόπερ ἐπὶ μὲν τῆς γλώττης εἰπών, «Εἰς σημεῖόν ἐστι», προσέθηκεν, «οὐ τοῖς πιστεύουσιν, ἀλλὰ τοῖς ἀπίστοις», καὶ τούτοις εἰς σημεῖον, τουτέστιν, εἰς ἔκπληξιν, οὐκ εἰς κατήχησιν τοσοῦτον. Ἀλλὰ καὶ ἐπὶ τῆς προφητείας, φησί, τὸ αὐτὸ τοῦτο ἐποίησεν, εἰπών, «Ἡ δὲ προφητεία οὐ τοῖς ἀπίστοις, ἀλλὰ τοῖς πιστεύουσιν». Οὐδὲ γὰρ χρείαν ἔχει ὁ πιστὸς σημεῖον ἰδεῖν, ἀλλὰ διδασκαλίας δεῖται μόνον καὶ κατηχήσεως. Πῶς οὖν λέγεις, φησίν, ἀμφοτέροις χρήσιμον εἶναι τὴν προφητείαν, αὐτοῦ λέγοντος, «οὐ τοῖς ἀπίστοις, ἀλλὰ τοῖς πιστεύουσιν»; Ἐὰν ἀκριβῶς ἐξετάσῃς, εἴσῃ τὸ λεγόμενον. Οὐδὲ γὰρ εἶπεν, ὅτι οὐκ ἔστι χρήσιμος ἡ προφητεία τοῖς ἀπίστοις, ἀλλ', οὐκ ἔστιν εἰς σημεῖον, ὡς ἡ γλῶττα, ἀνωφελὲς δηλονότι. Οὐδὲ τοῖς ἀπίστοις τι χρήσιμον ἡ γλῶττα· ἓν γὰρ αὐτῆς ἐστι τὸ ἔργον, τὸ ἐκπλῆξαι μόνον καὶ θορυβῆσαι. Τὸ γὰρ σημεῖον τῶν μέσων ἐστίν· ὡς ὅταν λέγῃ, «Ποίησον μετ' ἐμοῦ σημεῖον», καὶ

πράγματα ἄξια πολλῆς ἀπορίας. Ἐὰν δηλαδὴ τὸ χάρισμα τῶν γλωσσῶν εἶναι σημεῖον διὰ τοὺς ἀπίστους, πῶς λέγει ὅτι, ἐὰν σᾶς ἰδοῦν νὰ ὁμιλῆτε γλώσσας οἱ ἄπιστοι θὰ εἰποῦν ὅτι εἶσθε τρελλοί; καὶ ἐὰν ἡ προφητεία εἶναι ὄχι διὰ τοὺς ἀπίστους, ἀλλὰ διὰ τοὺς πιστούς, πῶς θὰ ὠφεληθοῦν ἀπὸ αὐτὴν καὶ οἱ ἄπιστοι; Διότι «Ἐὰν εἰσέλθῃ κάποιος ἄπιστος», λέγει, «ὅταν προφητεύουν ὅλοι, τότε ἐλέγχεται καὶ ἐξετάζεται ἀπὸ ὅλους». Ὄχι δὲ μόνον αὐτή, ἀλλὰ καὶ μετὰ ἀπὸ αὐτὴν ἄλλη, δευτέρα ἐρώτησις ἀναφύεται· καθ' ὅσον θὰ φανῇ τὸ χάρισμα τῶν γλωσσῶν μεγαλύτερον ἀπὸ τὴν προφητείαν. Διότι ἐὰν αἱ γλῶσσαι εἶναι σημεῖον διὰ τοὺς ἀπίστους, ἡ δὲ προφητεία διὰ τοὺς πιστούς, αὐτὸ ποὺ προσελκύει καὶ κάμνει ἰδικοὺς τοὺς ξένους εἶναι μεγαλύτερον ἀπὸ αὐτὸ ποὺ τακτοποιεῖ τοὺς ἰδικούς.

Τί σημαίνει λοιπὸν αὐτὸ ποὺ ἐλέχθη; Τίποτε δύσκολον οὔτε ἀσαφές, οὔτε ἀντίθετον εἰς τὰ προηγούμενα, ἀλλὰ καὶ πάρα πολὺ σύμφωνον ἐὰν προσέξωμεν. Ἡ μὲν προφητεία δηλαδὴ εἶναι χρήσιμος καὶ διὰ τὸν πιστὸν καὶ διὰ τὸν ἄπιστον, ἐνῷ ἡ γλῶσσα ὄχι. Δι' αὐτὸ διὰ μὲν τὴν γλῶσσαν, ἀφοῦ εἶπεν, «εἶναι σημεῖον», προσέθεσεν, «ὄχι διὰ τοὺς πιστούς, ἀλλὰ διὰ τοὺς ἀπίστους», καὶ δι' αὐτοὺς εἶναι σημεῖον, δηλαδὴ πρὸς ἔκπληξιν, ὄχι τόσον πρὸς κατήχησιν. Ἀλλὰ καὶ διὰ τὴν προφητείαν, λέγει, τὸ ἴδιον ἔκαμεν ὅταν εἶπεν, «ἡ προφητεία ὅμως εἶναι ὄχι διὰ τοὺς ἀπίστους, ἀλλὰ δι' αὐτοὺς ποὺ πιστεύουν». Διότι ὁ πιστὸς δὲν ἔχει ἀνάγκην νὰ ἰδῇ σημεῖον, ἀλλὰ χρειάζεται μόνον διδασκαλίαν καὶ κατήχησιν. Πῶς λοιπὸν λέγεις, θὰ εἰπῇς, ὅτι ἡ προφητεία εἶναι χρήσιμος καὶ εἰς τοὺς δύο, ἀφοῦ ὁ ἴδιος λέγει, «ὄχι διὰ τοὺς ἀπίστους, ἀλλὰ διὰ τοὺς πιστούς»; Ἐὰν ἐξετάσῃς μὲ ἀκρίβειαν, θὰ καταλάβῃς αὐτὸ ποὺ λέγεται. Διότι δὲν εἶπεν ὅτι ἡ προφητεία δὲν εἶναι χρήσιμος εἰς αὐτοὺς ποὺ δὲν πιστεύουν, ἀλλ' ὅτι δὲν εἶναι σημεῖον ὅπως τὸ χάρισμα τῆς γλωσσολαλιᾶς, δηλαδὴ ἀνωφελής. Οὔτε εἰς τοὺς μὴ πιστοὺς εἶναι κάτι χρήσιμον ἡ γλῶσσα· καθ' ὅσον ἓν εἶναι τὸ ἔργον της, τὸ νὰ καταπλήξῃ μόνον καὶ νὰ θορυβήσῃ. Διότι τὸ σημεῖον εἶναι μέσον· ὅπως ὅταν λέγῃ, «Κάνε ὑπὲρ ἐμοῦ κάποιο θαῦμα»,

προστίθησιν, «εἰς ἀγαθόν», καὶ πάλιν, «Ἐγενήθην ὡσεὶ τέρας τοῖς πολλοῖς», τουτέστιν, εἰς σημεῖον.

Καὶ ἵνα μάθῃς, ὅτι τὸ σημεῖον ἐνταῦθα οὐχ ὡς πάντως χρήσιμόν τι ποιοῦν παρήγαγεν, ἐπήγαγε τὸ ἐξ αὐτοῦ γινόμενον. Τί δὲ ἦν τοῦτο; «Ἐροῦσι», φησίν, «ὅτι μαίνεσθε». Τοῦτο δὲ οὐ παρὰ τὴν τοῦ σημείου φύσιν, ἀλλὰ παρὰ τὴν ἄνοιαν ἐκείνων. Ἀπίστους δὲ ὅταν ἀκούσῃς, μὴ τοὺς αὐτοὺς πανταχοῦ νόμιζε λέγεσθαι, ἀλλὰ ποτὲ μὲν τοὺς τὰ ἀνίατα νοσοῦντας καὶ ἀδιορθώτους μένοντας, ποτὲ δὲ τοὺς καὶ μεταβαλέσθαι δυναμένους, οἷοι ἦσαν ἐπὶ τῶν ἀποστόλων οἱ θαυμάζοντες τὰ λεγόμενα τοῦ Θεοῦ μεγαλεῖα· οἷοι ἐπὶ τοῦ Κορνηλίου. Ὃ τοίνυν λέγει, τοῦτό ἐστιν· ὅτι ἡ μὲν προφητεία καὶ ἐν τοῖς ἀπίστοις καὶ ἐν τοῖς πιστοῖς ἰσχύει, τὴν δὲ γλῶτταν ἀκούοντες οἱ ἄπιστοι καὶ ἀνόητοι, οὐ μόνον οὐ κερδαίνουσιν, ἀλλὰ καὶ καταγελῶσιν, ὡς μαινομένων, τῶν φθεγγομένων. Καὶ γὰρ εἰς σημεῖόν ἐστιν αὐτοῖς μόνον· τουτέστιν, εἰς τὸ ἐκπλήττεσθαι ἁπλῶς· ὡς οἵ γε νοῦν ἔχοντες καὶ ἐκέρδανον· διὸ καὶ ἐδόθη τὸ σημεῖον. Οὐδὲ γὰρ μόνοι οἱ μέθην αὐτῶν κατηγοροῦντες ἦσαν τότε, ἀλλὰ πολλοὶ καὶ ἐθαύμαζον αὐτούς, ὡς τὰ μεγαλεῖα τοῦ Θεοῦ διηγουμένους· ὥστε οἱ γελῶντες, οἱ ἀνόητοι ἦσαν. Διὸ καὶ Παῦλος οὐχ ἁπλῶς εἶπεν, «Ἐροῦσιν ὅτι μαίνεσθε», ἀλλὰ προσέθηκεν, «ἰδιῶται καὶ ἄπιστοι».

Ἡ δὲ προφητεία οὐκ εἰς σημεῖον ἁπλῶς, ἀλλὰ καὶ εἰς πίστιν καὶ εἰς ὠφέλειαν ἀμφοτέροις ἐπιτηδεία καὶ χρήσιμος. Καὶ τοῦτο εἰ καὶ μὴ εὐθέως, ἀλλὰ διὰ τῶν ἑξῆς σαφέστερον ἡρμήνευσεν, εἰπών· «Ἐλέγχεται ὑπὸ πάντων». Ἐὰν γὰρ πάντες προφητεύωσι», φησίν, «εἰσέλθῃ δέ τις ἄπιστος ἢ ἰδιώτης, ἐλέγχεται ὑπὸ πάντων, ἀνακρίνεται ὑπὸ πάντων, καὶ οὕτω τὰ κρυπτὰ τῆς καρδίας αὐτοῦ φανερὰ γίνεται, καὶ

2. Ψαλμ. 85, 17.
3. Ψαλμ. 70, 7.

καὶ προσθέτει, «πρὸς σωτηρίαν μου»[2]· καὶ πάλιν, «Ὡσὰν ἐκπληκτικὸν φαινόμενον ἐνεφανίσθην εἰς τοὺς πολλούς»[3], δηλαδή, ὡσὰν σημεῖον.

Καὶ διὰ νὰ καταλάβῃς ὅτι τὸ σημεῖον ἐδῶ δὲν ἀνέφερεν ὡσὰν κάτι τὸ ὁποῖον εἰς κάθε περίπτωσιν εἶναι χρήσιμον, προσέθεσε τὸ ἀποτέλεσμα ποὺ προκαλεῖ. Ποῖο ἦτο δὲ αὐτό; «Θὰ εἰποῦν», λέγει, «ὅτι εἶσθε τρελλοί». Αὐτὸ δὲ ὄχι ἀπὸ τὴν φύσιν τοῦ σημείου, ἀλλὰ ἀπὸ τὴν ἀνοησίαν ἐκείνων. Ὅταν δὲ ἀκούσῃς ἀπίστους, μὴ νομίζῃς ὅτι λέγονται ἔτσι παντοῦ οἱ ἴδιοι, ἀλλ᾽ ἄλλοτε μὲν αὐτοὶ ποὺ πάσχουν ἀνιάτως καὶ μένουν ἀδιόρθωτοι, ἄλλοτε δὲ αὐτοὶ οἱ ὁποῖοι ἠμποροῦν καὶ νὰ ἀλλάζουν, ὅπως ἦσαν εἰς τοὺς ἀποστόλους αὐτοὶ ποὺ ἐθαύμαζον τὰ λεγόμενα μεγαλεῖα τοῦ Θεοῦ· ὅπως ἐπὶ τοῦ Κορνηλίου. Αὐτὸ ποὺ ἐννοεῖ λοιπὸν εἶναι τὸ ἑξῆς· ὅτι ἡ μὲν προφητεία ὠφελεῖ καὶ τοὺς πιστοὺς καὶ τοὺς ἀπίστους, ἐνῷ τὸ νὰ ἀκούσουν οἱ ἄπιστοι καὶ ἀνόητοι νὰ ὁμιλῇ κανεὶς γλώσσας, ὄχι μόνον δὲν κερδίζουν, ἀλλὰ καὶ περιγελοῦν ὡσὰν τρελλοὺς αὐτοὺς ποὺ ὁμιλοῦν. Διότι ἐδόθη μόνον ὡς σημεῖον δι᾽ αὐτούς, δηλαδὴ διὰ νὰ ἐκπλήττωνται ἁπλῶς, ὥστε αὐτοὶ ποὺ ἔχουν νοῦν νὰ ὠφελοῦντο· δι᾽ αὐτὸ καὶ ἐδόθη τὸ σημεῖον. Διότι δὲν ἦσαν μόνον αὐτοὶ ποὺ τοὺς ἐκατηγόρουν διὰ μέθην τότε, ἀλλὰ πολλοὶ καὶ τοὺς ἐθαύμαζον, διότι διηγοῦντο τὰ μεγαλεῖα τοῦ Θεοῦ· ὥστε οἱ ἀνόητοι ἦσαν αὐτοὶ ποὺ ἐγέλων. Δι᾽ αὐτὸ καὶ ὁ Παῦλος δὲν εἶπεν ἁπλῶς «θὰ εἰποῦν ὅτι εἶσθε τρελλοί», ἀλλὰ προσέθεσεν, «ταπεινοὶ καὶ ἁπλοϊκοὶ ἄνθρωποι».

Ἡ προφητεία ὅμως, δὲν ἐδόθη ἁπλῶς ὡς σημεῖον, ἀλλὰ καὶ διὰ πίστιν καὶ δι᾽ ὠφέλειαν μεγάλην καὶ ἀπαραίτητον καὶ διὰ τοὺς δύο, καὶ τὸν πιστὸν καὶ τὸν ἄπιστον. Καὶ αὐτὸ ἂν καὶ ὄχι ἀμέσως, ἀλλὰ μὲ τὰ ἑπόμενα ἐξήγησε σαφέστερον ὅταν εἶπεν· «Ἐλέγχεται ἀπὸ ὅλους». Διότι λέγει· «Ἐὰν ὅλοι προφητεύουν καὶ εἰσέλθῃ κάποιος ἄπιστος ἢ ἁπλοϊκός, τότε αὐτὸς ἐλέγχεται ἀπὸ ὅλους, ἐξετάζεται ἀπὸ ὅλους, καὶ ἔτσι τὰ ἀπόκρυφα τῆς καρδίας του γίνονται φανερὰ καὶ θὰ πέσῃ κάτω μὲ τὸ πρόσωπον καὶ θὰ

πεσὼν ἐπὶ πρόσωπον προσκυνήσει τῷ Θεῷ, ἀπαγγέλλων ὅτι ὁ Θεὸς ὄντως ἐν ὑμῖν ἐστιν». Ὥστε οὐ τούτῳ μόνον μείζων ἡ προφητεία τῷ ἐν ἑκατέροις ἰσχύειν, ἀλλὰ καὶ τῷ τοὺς ἀναισχυντοτέρους τῶν ἀπίστων ἐφέλκεσθαι. Οὐδὲ γὰρ τὸ αὐτὸ θαῦμα ἦν, ὅτε τὴν Σάπφειραν ἤλεγξεν, ὅπερ προφητείας ἦν, καὶ ὅτε γλώσσαις ἐλάλει Πέτρος· ἀλλὰ τότε μὲν πάντες συνεστάλησαν, ὅτε δὲ γλώσσαις ἐλάλει, καὶ παραπαίοντος ἔλαβε δόξαν.

3. Εἰπὼν τοίνυν, ὅτι οὐκ ὠφέλησε γλῶττα, καὶ ὑποτεμόμενος πάλιν αὐτὸ τοῦτο τῷ ἔγκλημα εἰς τοὺς Ἰουδαίους περιτρέψαι, προϊὼν δείκνυσιν ὅτι καὶ βλάπτει. Καὶ τίνος ἕνεκεν ἐδόθη; Ἵνα μετὰ ἑρμηνείας προΐῃ· ὡς τούτου χωρίς, καὶ τοὐναντίον ἐκβαίνει παρὰ τοῖς ἀνοήτοις. «Ἐὰν» γάρ, φησί, «γλώσσαις πάντες λαλῶσιν, εἰσέλθωσι δὲ ἄπιστοι ἢ ἰδιῶται, ἐροῦσιν ὅτι μαίνεσθε»· καθάπερ οὖν καὶ οἱ ἀπόστολοι μεθυόντων ἐλάμβανον ὑπόνοιαν· «Οὗτοι» γάρ, φησί, «γλεύκους μεμεστωμένοι εἰσίν». Ἀλλ' οὐ τοῦ σημείου κατηγορία, ἀλλὰ τῆς ἐκείνων ἰδιωτείας. Διὰ τοῦτο προσέθηκεν, «ἰδιῶται καὶ ἄπιστοι», ὥστε τῆς ἐκείνων ἀπειρίας ἡ ὑπόληψις καὶ τῆς ἀπιστίας. Ὅπερ γὰρ ἔφθην εἰπών, οὐκ ἐν τοῖς διαβεβλημένοις, ἀλλ' ἐν τοῖς οὐ σφόδρα ὠφελοῦσι σπουδάζει κατατάξαι τὸ χάρισμα, καὶ τοῦτο, ὥστε καταστεῖλαι αὐτούς, καὶ εἰς ἀνάγκην ἀγαγεῖν τοῦ τὸν ἑρμηνεύοντα ἐπιζητεῖν. Ἐπειδὴ γὰρ οὐ πρὸς τοῦτο ἑώρων, ἀλλὰ πρὸς ἐπίδειξιν αὐτῷ καὶ φιλοτιμίαν ἐκέχρηντο οἱ πολλοί, ἀπὸ τούτου μάλιστα ἀπάγει, δεικνὺς ὅτι εἰς δόξαν παραβλάπτονται, μανίας ὑπόληψιν κτώμενοι. Καὶ τοῦτο μάλιστά ἐστιν, ὃ συνεχῶς ἐπιχειρεῖ κατασκευάζειν ὁ Παῦλος, ὅταν τινὸς ἀπάγειν βούληται, εἰς αὐτὰ ἃ ἐπιθυμεῖ δείκνυσιν αὐτὸν παραβλαπτόμενον. Καὶ σὺ τοίνυν οὕτω ποίει· ἂν ἡ-

---

4. Πράξ. 2, 13.

προσκυνήση τὸν Θεὸν καὶ θὰ εἰπῇ ὅτι πραγματικὰ ὁ Θεὸς εἶναι ἀνάμεσά σας». Ὥστε ἡ προφητεία εἶναι μεγαλυτέρα ὄχι μόνον εἰς αὐτό, ὅτι δηλαδὴ ὠφελεῖ καὶ τοὺς μὲν καὶ τοὺς δέ, ἀλλὰ καὶ εἰς τὸ ὅτι προσελκύει καὶ τοὺς πλέον ἀναισχύντους ἀπὸ τοὺς ἀπίστους. Διότι δὲν ἦτο ἐξ ἴσου μέγα θαῦμα ὅταν ἤλεγξε τὴν Σαπφείραν, πρᾶγμα ποὺ ὠφείλετο εἰς προφητείαν, καὶ ὅταν ὡμίλει γλώσσας ὁ Πέτρος· ἀλλὰ τότε μὲν ὅλοι συνεστάλησαν, ἐνῷ ὅταν ὡμίλει γλώσσας, καὶ ἀπὸ παράφρονα ἐδοξάσθη.

3. Ἀφοῦ εἶπε λοιπὸν ὅτι δὲν ὠφέλησε τὸ χάρισμα τῶν γλωσσῶν καὶ περιώρισε πάλιν τὴν ἀξίαν του μὲ τὸ νὰ ἐπαναφέρῃ τὴν κατηγορίαν εἰς τοὺς Ἰουδαίους, προχωρῶν δεικνύει ὅτι ἐπὶ πλέον καὶ βλάπτει. Καὶ διατί ἐδόθη τὸ χάρισμα; Διὰ νὰ συνυπάρχῃ μὲ τὴν ἑρμηνείαν· διότι χωρὶς αὐτὸ ὁδηγεῖ καὶ εἰς ἀντίθετον ἀποτέλεσμα τοὺς ἀνοήτους. Διότι, λέγει· «Ἐὰν ὁμιλοῦν ὅλοι γλώσσας καὶ εἰσέλθουν ἄνθρωποι ἄπιστοι ἢ ἁπλοϊκοί, θὰ εἰποῦν ὅτι εἶσθε τρελλοί»· ὅπως ἀκριβῶς καὶ οἱ ἀπόστολοι λοιπὸν προεκάλουν ὑποψίαν ὅτι ἔχουν μεθύσει· διότι «αὐτοί», λέγει, «εἶναι γεμᾶτοι ἀπὸ δυνατὸ κρασί»[4]. Αὐτὸ ὅμως δὲν ἀποτελεῖ κατηγορίαν διὰ τὸ χάρισμα, ἀλλ' ὀφείλεται εἰς τὴν ἰδικήν των ἁπλοϊκότητα. Δι' αὐτὸ προσέθεσεν, «ἁπλοϊκοὶ καὶ ἄπιστοι», ὥστε νὰ φανῇ ὅτι ἡ γνώμη ὀφείλεται εἰς τὴν ἰδικήν των ἀπειρίαν καὶ ἀπιστίαν. Αὐτὸ ποὺ ἤδη εἶπον δηλαδή, προσπαθεῖ νὰ κατατάξῃ τὸ χάρισμα ὄχι εἰς τὰ ἀξιοκατηγόρητα, ἀλλ' εἰς ἐκεῖνα ποὺ δὲν ὠφελοῦν πολύ, καὶ αὐτὸ διὰ νὰ τοὺς ταπεινώσῃ καὶ νὰ τοὺς ἀναγκάσῃ νὰ ζητοῦν διερμηνέα τῶν γλωσσῶν. Ἐπειδὴ λοιπὸν δὲν ἀπέβλεπον εἰς αὐτὸ οἱ περισσότεροι, ἀλλ' ἐχρησιμοποίουν τὸ χάρισμα πρὸς ἐπίδειξιν καὶ διὰ νὰ δοξαχθοῦν, περισσότερον τοὺς ἀπομακρύνει ἀπὸ αὐτό, δεικνύων ὅτι ἀκριβῶς εἰς τὴν δόξαν βλάπτονται πάρα πολὺ μὲ τὸ νὰ ἀποκτοῦν φήμην παράφρονος. Καὶ αὐτὸ κυρίως εἶναι ἐκεῖνο τὸ ὁποῖον συνεχῶς ἐπιδιώκει νὰ κάμνῃ ὁ Παῦλος ὅταν θέλῃ ν' ἀπομακρύνῃ κάποιον ἀπὸ κάτι, δεικνύει δηλαδὴ ὅτι βλάπτεται πάρα πολὺ εἰς ἐκεῖνα ἀκριβῶς ποὺ ἐπιθυμεῖ. Καὶ σὺ λοιπὸν ἔτσι νὰ κάμνῃς· ὅταν

δονῆς ἀπαγάγῃς, δεῖξον ὅτι τὸ πρᾶγμα πικρόν· ἂν κενοδοξίας ἀφέλκῃς, δεῖξον ὅτι τὸ πρᾶγμα ἀτιμίας γέμον.

Οὕτω καὶ Παῦλος ἐποίει. Καὶ γὰρ πλουσίους ἀποσπῶν τοῦ περὶ τὰ χρήματα ἔρωτος, οὐκ εἶπεν ὅτι βλαβερὸν ὁ πλοῦτος μόνον, ἀλλ' ὅτι καὶ εἰς πειρασμοὺς ἐμβάλλει. «Οἱ γὰρ βουλόμενοι πλουτεῖν», φησίν, «ἐμπίπτουσιν εἰς πειρασμόν». Ἐπειδὴ γὰρ δοκεῖ πειρασμῶν ἀπαλλάττειν, τοὐναντίον αὐτῷ περιέθηκεν οὗπερ ἐνόμιζον οἱ πλουτοῦντες. Εἴχοντο πάλιν τῆς σοφίας τῆς ἔξωθεν ἕτεροι, ὡς ταύτῃ τὸ δόγμα ἱστῶντες· ἔδειξεν ὅτι οὐ μόνον οὐ βοηθεῖ τῷ σταυρῷ, ἀλλ' ὅτι καὶ κενοῖ αὐτόν. Εἴχοντο τοῦ δικάζεσθαι παρ' ἑτέροις, ἀνάξιον ἡγούμενοι παρὰ τοῖς οἰκείοις, ὡς τῶν ἔξωθεν σοφωτέρων ὄντων· δείκνυσιν ὅτι τὸ ἔξω δικάζεσθαι, αἰσχρόν. Εἴχοντο τῶν εἰδωλοθύτων, ὡς τελείαν γνῶσιν ἐπιδεικνύμενοι· ἔδειξεν ὅτι τοῦτο γνώσεως ἀτελοῦς, τὸ μὴ εἰδέναι οἰκονομεῖν τὰ τῶν πλησίον. Οὕτω καὶ ἐνταῦθα, ἐπειδὴ ἐπτόηντο περὶ τὸ χάρισμα τοῦτο τὸ τῶν γλωσσῶν, δόξης ἐρῶντες, δείκνυσιν ὅτι τοῦτο μὲν οὖν αὐτοὺς μάλιστα καταισχύνει, οὐ μόνον δόξης ἀποστεροῦν, ἀλλὰ καὶ μανίας ὑπολήψει περιβάλλον. Ἀλλ' οὐκ εὐθέως τοῦτο εἶπεν, ἀλλὰ μυρία πρότερον εἰπών, ὅτε εὐπαράδεκτον τὸν λόγον ἐποίησε, τότε τὸ σφόδρα παράδοξον ἐπάγει. Καὶ τοῦτο δὲ αὐτῷ τὸ θεώρημα σύνηθες. Τὸν γὰρ μέλλοντα διασαλεύειν δόξαν πεπηγυῖαν καὶ εἰς τὸ ἐναντίον περιτρέπειν, οὐκ εὐθέως τἀναντία λέγειν δεῖ· ἐπεὶ καταγέλαστος ἔσται παρὰ τοῖς προκατειλημμένοις ὑπὸ τῆς ἐναντίας ψήφου· ἐπειδὴ τὸ σφόδρα

5. Α΄ Τιμ. 6, 9.

θέλης ν' ἀπομακρύνης κάποιον ἀπὸ τὴν ἡδονήν, δεῖξε ὅτι εἶναι πικρὸν πρᾶγμα· ὅταν ἀποσπᾷς κάποιον ἀπὸ τὴν κενοδοξίαν, δεῖξε ὅτι αὐτὸ τὸ πρᾶγμα εἶναι γεμᾶτο ἀπὸ περιφρόνησιν.

Ἔτσι ἔκαμνε καὶ ὁ Παῦλος. Διότι καὶ ὅταν ἐπεδίωκε ν' ἀποχωρίση τοὺς πλουσίους ἀπὸ τὸν ἔρωτα διὰ τὰ χρήματα δὲν εἶπε μόνον ὅτι ὁ πλοῦτος εἶναι βλαβερός, ἀλλὰ καὶ ὅτι ἐμβάλλει εἰς πειρασμόν. «Ἐκεῖνοι ὅμως ποὺ θέλουν νὰ πλουτίσουν», λέγει, «πίπτουν εἰς πειρασμόν»[5]. Ἐπειδὴ δηλαδὴ νομίζεται ὅτι ὁ πλοῦτος ἀπαλλάσσει ἀπὸ πειρασμούς, ἐνέδυσε τὸν πλοῦτον μὲ τὸ ἀντίθετον ἀπὸ αὐτὸ ποὺ ἐνόμιζον οἱ πλούσιοι. Ἄλλοι πάλιν ἦσαν προσκολλημένοι εἰς τὴν εἰδωλολατρικὴν σοφίαν, ὡσὰν νὰ ἐστήριζον τὴν πίστιν μὲ αὐτήν· ἀπέδειξεν ὅτι ὄχι μόνον δὲν βοηθεῖ τὴν πίστιν εἰς τὸν σταυρόν, ἀλλὰ καὶ ὅτι ἀφαιρεῖ ἀπὸ αὐτὸν τὴν σημασίαν του. Ἤθελον νὰ δικάζωνται ἀπὸ τοὺς ἀπίστους, ἐπειδὴ ἐθεώρουν ὅτι εἶναι ὑποτιμητικὸν νὰ δικάζωνται ἀπὸ τοὺς ἰδικούς των διότι οἱ ἄπιστοι εἶναι σοφώτεροι· δεικνύει ὅτι τὸ νὰ δικάζωνται ἀπὸ τοὺς ἐκτὸς τῆς ἐκκλησίας εἶναι μεγάλη ἐντροπή. Ἦσαν ἀφωσιωμένοι εἰς τὰ εἰδωλόθυτα, ὡσὰν νὰ ἐπεδείκνυον τελείαν γνῶσιν· δεικνύει ὅτι αὐτὸ εἶναι σημεῖον ἀτελοῦς γνώσεως, τὸ νὰ μὴ γνωρίζουν δηλαδὴ νὰ φροντίζουν διὰ τὰ τῶν πλησίον. Ἔτσι καὶ ἐδῶ, ἐπειδὴ κατείχοντο ἀπὸ ἔντονον πάθος διὰ τὸ χάρισμα αὐτὸ τῶν γλωσσῶν, διότι ἠγάπων τὴν δόξαν, δεικνύει ὅτι αὐτὸ ἀκριβῶς τοὺς καταισχύνει πάρα πολύ, διότι, ὄχι μόνον τοὺς στερεῖ ἀπὸ τὴν δόξαν, ἀλλὰ καὶ τοὺς περιβάλλει μὲ φήμην παράφρονος. Δὲν εἶπεν ὅμως αὐτὸ εὐθέως, ἀλλ' ἀφοῦ πρῶτον εἶπε πάρα πολλὰ ἄλλα, ὅταν ἔκανε τὸν λόγον εὐκόλως παραδεκτόν, τότε προσθέτει τὸ πολὺ παράδοξον. Καὶ αὐτὸς ὁ κανὼν δὲ ἦτο συνήθης εἰς αὐτόν. Διότι αὐτὸς ποὺ πρόκειται νὰ ἐξαλείψη γνώμην, ποὺ ἔχει ἀποκρυσταλλωθῆ, καὶ νὰ μετατοπίση εἰς τὴν ἀντίθετον γνώμη, δὲν πρέπει νὰ λέγη ἀμέσως τὰ ἀντίθετα, διότι θὰ γίνη καταγέλαστος ἀπὸ αὐτοὺς ποὺ εἶναι προκατει-

παράδοξον οὐκ ἂν γένοιτο ἐκ προοιμίων εὐπαράδεκτον· ἀλλὰ χρὴ πρότερον ὑπορύξαντα καλῶς δι' ἑτέρων, τότε εἰς τὸ ἐναντίον περιτρέπειν.

Οὕτω γοῦν καὶ ἐπὶ τοῦ γάμου διαλεγόμενος ἐποίησεν. Ἐπειδὴ γὰρ πολλοὶ προσεῖχον ὡς ἄνεσιν ἔχοντι τῷ πράγματι, αὐτὸς δὲ ἐβούλετο δεῖξαι, ὅτι τὸ μὴ γαμεῖν ἄνεσις, εἰ μὲν εὐθέως τοῦτο εἶπεν, οὐκ ἂν οὕτως εὐπαράδεκτον αὐτὸ πεποίηκε· νυνὶ δὲ μετὰ πολλὰ αὐτὸ θείς, καὶ εὐκαίρως εἰσάγων, σφόδρα καθίκετο τῶν ἀκουόντων. Τοῦτο καὶ ἐπὶ τῆς παρθένου πεποίηκε. Καὶ γὰρ πρὸ τοῦ πολλὰ εἰπών, καὶ μετὰ ταῦτα πάλιν, τότε φησίν, ὅτι «Ὑμῶν φείδομαι», καί, «Θέλω ὑμᾶς ἀμερίμνους εἶναι». Τοῦτο δὴ καὶ ἐπὶ τῶν γλωττῶν ποιεῖ, δεικνὺς ὅτι οὐ μόνον ἀποστερεῖ δόξης, ἀλλὰ καὶ καταισχύνει τοὺς ἔχοντας παρὰ τοῖς ἀπίστοις. Ἡ δὲ προφητεία τοὐναντίον καὶ αἰσχύνης ἀπήλλακται τῆς παρὰ τοῖς ἀπίστοις, καὶ δόξαν ἔχει μεγίστην καὶ ὠφέλειαν. Οὐ γὰρ ἐρεῖ τις ἐπὶ τῆς προφητείας, ὅτι μαίνονται, οὐδὲ καταγελάσεται τῶν προφητευόντων, ἀλλὰ τοὐναντίον ἐκπλαγήσεται καὶ θαυμάσεται τούτους. «Ἐλέγχεται» γὰρ «ὑπὸ πάντων»· τουτέστιν, ἃ ἐπὶ καρδίας ἔχει, ταῦτα εἰς μέσον ἄγεται καὶ δείκνυται πᾶσιν. Οὐκ ἔστι δὲ ἴσον εἰσελθόντα τινὰ ἰδεῖν τὸν μὲν Περσιστί, τὸν δὲ Συριστὶ φθεγγόμενον, καὶ εἰσελθόντα ἀκοῦσαι τὰ ἀπόρρητα τῆς αὐτοῦ διανοίας, καὶ εἴτε πειράζων καὶ μετὰ πονηρᾶς γνώμης, εἴτε ὑγιῶς εἰσελήλυθε· καὶ ὅτι τὸ καὶ τὸ αὐτῷ πέπρακται, καὶ τὸ βεβούλευται· πολὺ γὰρ τοῦτο ἐκείνου φρικωδέστερον καὶ χρησιμώτερον. Διὰ δὴ τοῦτο, ἐπὶ μὲν τῶν γλωσσῶν φησιν, ὅτι μαίνεσθε· ἀλλ' οὐκ οἴκοθεν τοῦτο ἀποφαίνεται, ἀλλ' ἀπὸ τῆς ἐκείνων κρίσεως· «Ἐροῦσι» γάρ, φησίν, «ὅτι μαίνεσθε». Ἐνταῦθα δὲ καὶ τῇ τῶν πραγμάτων κέχρηται ψήφῳ, καὶ τῇ τῶν ὠφελουμένων. «Ἐλέγχεται» γάρ, φησίν, «ὑπὸ πάντων, ἀνακρίνεται

λημμένοι ἀπὸ τὴν ἀντίθετον γνώμην· ἐπειδὴ αὐτὸ ποὺ φαίνεται πολὺ παράξενον δὲν θὰ ἦτο δυνατὸν νὰ γίνῃ ἐξ ἀρχῆς παραδεκτόν· ἀλλὰ πρέπει πρῶτον νὰ ὑποσκάψῃ καλῶς μὲ ἄλλους λόγους καὶ τότε νὰ ὁδηγήσῃ εἰς τὸ ἀντίθετον.

Ἔτσι λοιπὸν ἔκανε καὶ ὅταν ὡμίλει διὰ τὸν γάμον. Ἐπειδὴ δηλαδὴ ἦσαν προσκολλημένοι εἰς αὐτὸν μὲ τὴν γνώμην ὅτι ἔχει περισσοτέραν ἄνεσιν, ἐνῷ αὐτὸς ἤθελε ν' ἀποδείξῃ ὅτι τὸ νὰ μὴ νυμφεύεται κανεὶς εἶναι ἄνεσις, ἐὰν μὲν ἔλεγεν αὐτὸ εὐθέως, δὲν θὰ ἔκαμνεν αὐτὸ τόσον εὐκόλως παραδεκτόν· τώρα ὅμως, ἀφοῦ εἶπεν αὐτὸ μετὰ ἀπὸ πολλὰ ἄλλα καὶ ἀφοῦ τὸ εἰσήγαγεν εἰς κατάλληλον στιγμήν, ἔπληξε πάρα πολὺ αὐτοὺς ποὺ ἤκουον. Αὐτὸ ἔκανε καὶ ὅταν ὡμίλει διὰ τὴν παρθένον. Διότι ἀφοῦ προηγουμένως εἶπε πολλὰ καὶ μετὰ ἀπὸ αὐτὰ πάλιν, τότε λέγει ὅτι, «φροντίζω δι' ἐσᾶς» καί, «θέλω νὰ εἶσθε ἀμέριμνοι». Αὐτὸ βεβαίως κάμνει καὶ διὰ τὰς γλώσσας, δεικνύων ὅτι ὄχι μόνον στερεῖ ἀπὸ δόξαν, ἀλλὰ καὶ ἐντροπιάζει αὐτοὺς ποὺ ἔχουν τὸ χάρισμα εἰς τοὺς ἀπίστους. Ἐνῷ ἡ προφητεία τὸ ἀντίθετον, καὶ εἶναι ἀπηλλαγμένη ἀπὸ τὴν ἐκ μέρους τῶν ἀπίστων καταισχύνην καὶ δόξαν μεγάλην φέρει καὶ ὠφέλειαν. Διότι δὲν θὰ εἰπῇ κανεὶς διὰ τὴν προφητείαν ὅτι εἶναι τρελλοί, οὔτε θὰ περιγελάσῃ αὐτοὺς ποὺ προφητεύουν, ἀλλ' ἀντιθέτως θὰ ἐκπλαγῇ καὶ θὰ τοὺς θαυμάσῃ. Διότι «ἐλέγχεται ἀπὸ ὅλους»· δηλαδὴ αὐτὰ ποὺ ἔχει κρυμμένα εἰς τὴν καρδίαν του, αὐτὰ φανεροῦνται καὶ δεικνύονται εἰς ὅλους. Δὲν εἶναι δὲ τὸ ἴδιον νὰ εἰσέλθῃ κανεὶς καὶ νὰ ἰδῇ ἄλλον μὲν νὰ ὁμιλῇ εἰς τὴν Περσικήν, ἄλλον δὲ εἰς τὴν Συριακήν, μὲ τὸ νὰ εἰσέλθῃ καὶ νὰ ἀκούσῃ τὰ ἀπόρρητα τῆς ψυχῆς του, εἴτε εἰσῆλθε μὲ πονηρὰν διάθεσιν διὰ νὰ πειράξῃ, εἴτε μὲ ἀγαθὴν προαίρεσιν· διότι εἶναι πολὺ φοβερώτερον καὶ χρησιμώτερον αὐτὸ ἀπὸ ἐκεῖνο. Δι' αὐτὸν τὸν λόγον λοιπὸν διὰ μὲν τὰς γλώσσας λέγει ὅτι θὰ τοὺς εἰποῦν τρελλούς· δὲν λέγει ὅμως αὐτὸ ὡς ἰδικήν του γνώμην, ἀλλ' ὡς ἰδικήν των κρίσιν· διότι «θὰ εἰποῦν», λέγει, «ὅτι εἶσθε τρελλοί». Ἐδῶ δὲ χρησιμοποιεῖ ὡς ἀπόδειξιν καὶ τὴν ἐκ τῶν πραγμάτων καὶ ἀπὸ αὐτοὺς ποὺ ὠφελοῦνται. Διότι, «ἐλέγχεται», λέγει, «ἀπὸ ὅλους, ἐξετάζεται ἀπὸ ὅ-

ὑπὸ πάντων· καὶ οὕτω τὰ κρυπτὰ τῆς καρδίας αὐτοῦ φανερὰ γίνεται, καὶ οὕτω πεσὼν ἐπὶ πρόσωπον προσκυνήσει τῷ Θεῷ, ἀπαγγέλλων ὅτι ὁ Θεὸς ὄντως ἐν ὑμῖν ἐστιν».

Ὁρᾷς ὅτι τοῦτο ἀναμφισβήτητον; Ἐκεῖ μὲν γὰρ ἀμφιβάλλεται τὸ γινόμενον, καὶ μανίαν ἄν τις αἰτιάσαιτο τῶν ἀπίστων· ἐνταῦθα δὲ οὐδὲν τοιοῦτον ἔσται, ἀλλὰ καὶ θαυμάσεται καὶ προσκυνήσει, διὰ τῶν ἔργων πρότερον ὁμολογῶν, εἶτα καὶ διὰ τῶν ῥημάτων. Οὕτω καὶ Ναβουχοδονόσορ τὸν Θεὸν προσεκύνησε λέγων, «Ἐπ' ἀληθείας ὁ Θεὸς ὑμῶν αὐτός ἐστι Θεὸς ἀποκαλύπτων μυστήρια, ὅτι ἠδυνήθης ἀποκαλύψαι τὸ μυστήριον τοῦτο». Εἶδες τῆς προφητείας τὴν ἰσχύν, πῶς τὸν ἄγριον ἐκεῖνον μετέβαλε καὶ κατήχησε καὶ εἰς πίστιν ἤγαγε; «Τί οὖν ἐστιν, ἀδελφοί; Ὅταν συνέρχησθε, ἕκαστος ὑμῶν ψαλμὸν ἔχει, διδαχὴν ἔχει, γλῶσσαν ἔχει, ἀποκάλυψιν ἔχει, ἑρμηνείαν ἔχει· πάντα πρὸς οἰκοδομὴν γινέσθω». Ὁρᾷς τοῦ Χριστιανισμοῦ τὴν κρηπῖδα καὶ τὸν κανόνα; Ὥσπερ γὰρ τεχνίτου ἔργον τὸ οἰκοδομεῖν, οὕτω καὶ τοῦ Χριστιανοῦ τὸ τοὺς πλησίον διὰ πάντων ὠφελεῖν. Ἐπειδὴ δὲ σφόδρα κατέδραμε τοῦ χαρίσματος, ἵνα μὴ δόξῃ περιττὸν εἶναι· τὸν γὰρ τῦφον αὐτῶν κατασπάσαι βουλόμενος μόνον τοῦτο πεποίηκε· πάλιν ἀριθμεῖ μετὰ τῶν ἄλλων αὐτό, λέγων «Ψαλμὸν ἔχει, διδαχὴν ἔχει, γλῶσσαν ἔχει». Καὶ γὰρ ψαλμοὺς τὸ παλαιὸν ἐποίουν ἀπὸ χαρίσματος, καὶ ἐδίδασκον ἀπὸ χαρίσματος.

Ἀλλ' ὅμως ἅπαντα ταῦτα πρὸς ἓν βλεπέτω, φησί, τὴν τοῦ πλησίον διόρθωσιν· μηδὲν ἁπλῶς γινέσθω. Εἰ γὰρ μὴ παραγίνῃ τὸν ἀδελφὸν οἰκοδομήσων, τί καὶ παραγίνῃ; Οὐ δὴ πολύς μοι λόγος τῶν χαρισμάτων διαφορᾶς· ἑνὸς ἐμοὶ μέλει μόνον, καὶ τὸ σπουδαζόμενόν μοι ἕν, τὸ πρὸς οἰκοδομὴν ἅπαντα ποιεῖν. Οὕτω καὶ ὁ τὸ μικρὸν ἔχων χάρισμα, τὸν τὸ μέγα παραδραμεῖται, ἐὰν τοῦτο προσῇ. Διὰ γὰρ τοῦτο

---

6. Δαν. 2, 47.

λους· καὶ ἔτσι τὰ κρυφὰ τῆς καρδίας του γίνονται φανερὰ καὶ τότε θὰ πέσῃ κάτω μὲ τὸ πρόσωπον καὶ θὰ προσκυνήσῃ τὸν Θεὸν καὶ θὰ εἰπῇ ὅτι πράγματι ὁ Θεὸς εἶναι μαζί σας».

Βλέπεις ὅτι αὐτὸ εἶναι ἀναμφισβήτητον; Ἐκεῖ μὲν λοιπὸν ἀμφισβητεῖται αὐτὸ ποὺ ἐπιδιώκεται καὶ ἐπὶ πλέον θὰ τοὺς κατηγορήσῃ κανεὶς ἀπὸ τοὺς ἀπίστους καὶ ὡς τρελλούς· ἐδῶ ὅμως τίποτε τέτοιο δὲν θὰ γίνῃ, ἀλλὰ καὶ θὰ θαυμάσῃ καὶ θὰ προσκυνήσῃ, ἀφοῦ προηγουμένως ὁμολογήσῃ ἐμπράκτως καὶ ὕστερον καὶ μὲ τοὺς λόγους. Ἔτσι καὶ ὁ Ναβουχοδονόσορ προσεκύνησε τὸν Θεὸν μὲ τοὺς λόγους, «Ὁ Θεός σας, πράγματι, αὐτὸς εἶναι ὁ ἀληθὴς Θεὸς ποὺ ἀποκαλύπτει μυστήρια, διότι ἠμπόρεσες ν' ἀποκαλύψῃς αὐτὸ τὸ μυστήριον»[6]. Εἶδες τὴν δύναμιν τῆς προφητείας, πῶς μετέβαλε καὶ κατήχησε καὶ ὡδήγησεν εἰς πίστιν ἐκεῖνον τὸν ἄγριον; «Τί πρέπει νὰ γίνεται λοιπόν, ἀδελφοί; Ὅταν συνέρχεσθε, ὁ καθεὶς ἀπὸ σᾶς, εἴτε ψαλμὸν ἔχει, εἴτε διδασκαλίαν ἔχει, εἴτε γλῶσσαν ἔχει, εἴτε ἀποκάλυψιν ἔχει, εἴτε ἑρμηνείαν ἔχει, ὅλα νὰ γίνωνται πρὸς οἰκοδομήν». Βλέπεις τὸ θεμέλιον καὶ τὸν κανόνα τοῦ Χριστιανισμοῦ; Ὅπως ἀκριβῶς δηλαδὴ τὸ ἔργον τοῦ κτίστου εἶναι νὰ εἰκοδομῇ, ἔτσι καὶ τοῦ Χριστιανισμοῦ τὸ νὰ ὠφελῇ τοὺς πλησίον μὲ κάθε τι. Ἐπειδὴ ὅμως κατέτρεξε πολὺ τὸ χάρισμα, διὰ νὰ μὴ φανῇ ὅτι εἶναι περιττόν, διότι ἔκαμεν αὐτὸ μόνον διὰ νὰ συντρίψῃ τὴν ὑπερηφάνειάν των, συγκαταλέγει πάλιν αὐτὸ μαζὶ μὲ τὰ ἄλλα χαρίσματα, λέγων· «ψαλμὸν ἔχει, διδασκαλίαν ἔχει, γλῶσσαν ἔχει». Διότι εἰς τὸν παλαιὸν καιρὸν ἐδημιούργουν ψαλμοὺς ἀπὸ χάρισμα καὶ ἐδίδασκον ἀπὸ χάρισμα.

Ὅλα αὐτὰ ὅμως πρέπει ν' ἀποβλέπουν εἰς ἕν, λέγει, δηλαδὴ τὴν διόρθωσιν τοῦ πλησίον· ὄχι ἁπλῶς νὰ γίνωνται. Διότι ἐὰν δὲν ἦλθες διὰ νὰ οἰκοδομήσῃς τὸν ἀδελφόν, διατί ἦλθες; Δὲν μὲ ἐνδιαφέρει λοιπὸν πολὺ διὰ τὴν διαφορὰν τῶν χαρισμάτων· ἓν μὲ ἐνδιαφέρει μόνον, καὶ ἓν εἶναι αὐτὸ ποὺ ἐπιδιώκω, τὸ νὰ γίνωνται ὅλα διὰ νὰ οἰκοδομοῦν. Ἔτσι καὶ αὐτὸς ποὺ ἔχει τὸ μικρὸν χάρισμα, θὰ συμβαδίζῃ μὲ ἐκεῖνον ποὺ ἔχει τὸ μέγα, ἐὰν αὐτὸ εἶναι ἠνω-

καὶ τὰ χαρίσματα, ἵνα οἰκοδομῆται ἕκαστος· ὡς ἐὰν μὴ τοῦτο γίνηται, καὶ εἰς κρίμα ἔσται τὸ χάρισμα τῷ λαβόντι. Τί γάρ, εἰπέ μοι, ὄφελος τοῦ προφητεύειν, τί δὲ ὄφελος τοῦ νεκροὺς ἐγείρειν, ὅταν μηδεὶς ὁ κερδαίνων ᾖ; Εἰ δὲ τοῦτο τῶν χαρισμάτων τὸ τέλος, ἔξεστι δὲ αὐτὸ καὶ ἑτέρῳ κατασκευάζειν τρόπῳ χαρισμάτων χωρίς, μὴ μέγα ἐπὶ τοῖς σημείοις φρόνει, μηδὲ ταλάνιζε σαυτὸν ὁ τῶν χαρισμάτων ἐστερημένος.

4. *«Εἴτε δὲ γλώσσῃ τις λαλεῖ, κατὰ δύο, ἢ τὸ πλεῖστον τρεῖς, καὶ ἀνὰ μέρος, εἷς εἷς διερμηνευέτω. Ἐὰν δὲ μὴ ᾖ διερμηνευτής, σιγάτω ἐν Ἐκκλησίᾳ, ἑαυτῷ δὲ λαλείτω καὶ τῷ Θεῷ». Τί λέγεις, εἰπέ μοι; τοσαῦτα εἰπὼν περὶ γλωσσῶν, ὅτι ἀνόνητον, ὅτι περιττόν, ἐὰν μὴ ἑρμηνέα ἔχῃ, κελεύεις πάλιν γλώσσαις λαλεῖν; Οὐ κελεύω, φησίν, ἀλλ' οὐδὲ κωλύω· ὡς ὅταν λέγῃ, «Εἴ τις ὑμᾶς καλεῖ τῶν ἀπίστων, καὶ θέλετε πορεύεσθαι», οὐχὶ νομοθετῶν τὸ πορεύεσθαι λέγει, ἀλλ' οὐκ ἐπέχων οὕτω καὶ ἐνταῦθα, «Ἑαυτῷ δὲ λαλείτω καὶ τῷ Θεῷ». Εἰ μὴ καρτερεῖ σιγᾶν, φησίν, ἀλλ' οὕτως ἐστὶ φιλότιμος καὶ κενόδοξος, καθ' ἑαυτὸν φθεγγέσθω. Ὥστε αὐτῷ τούτῳ μάλιστα τῷ οὕτως ἐπιτρέψαι ἐκώλυσεν ἐντρέψας· ὃ καὶ ἀλλαχοῦ ποιεῖ περὶ τῆς πρὸς γυναῖκα διαλεγόμενος ὁμιλίας, καὶ λέγων· «Τοῦτο δὲ λέγω διὰ τὴν ἀκρασίαν ὑμῶν».*

Ἀλλ' οὐχ ὅτε περὶ προφητείας ἔλεγεν, οὕτως εἶπεν, ἀλλὰ πῶς; Ἐπιτακτικῶς καὶ νομοθετικῶς· «Προφῆται δὲ δύο ἢ τρεῖς λαλείτωσαν». Καὶ οὐδαμοῦ τὸν ἑρμηνέα ἐνταῦθα ζητεῖ, οὐδὲ ἐπιστομίζει τὸν προφητεύοντα, καθάπερ ἐκεῖ λέγων, «Ἐὰν μὴ ᾖ διερμηνευτής, σιγάτω». Οὐδὲ γὰρ αὐτάρκης ὁ τῇ γλώττῃ λαλῶν. Διόπερ εἰ μέν τις ἀμφότερα ἔχει τὰ χαρίσματα, λαλείτω· εἰ δὲ οὐκ ἔχει, θέλει δὲ φθέγγεσθαι, μετὰ τοῦ ἑρμηνεύοντος τοῦτο ποιείτω. Καὶ γὰρ ὁ προφήτης ἑρμηνευτής ἐστιν, ἀλλὰ τοῦ Θεοῦ, σὺ δὲ τοῦ ἀνθρώπου. «Ἐὰν δὲ μὴ ᾖ διερμηνευτής, σιγάτω». Οὐ-

μένον μὲ ἐκεῖνο. Διότι δι᾽ αὐτὸ ἐδόθησαν καὶ τὰ χαρίσματα, διὰ νὰ οἰκοδομῆται ὁ καθείς· ὥστε, ἐὰν δὲν γίνεται αὐτό, τὸ χάρισμα θὰ καταδικάσῃ ἐπὶ πλέον αὐτὸν ποὺ τὸ ἔχει. Διότι ποῖον τὸ ὄφελος, εἰπέ μου, ἀπὸ τὴν προφητείαν, ποῖον δὲ τὸ ὄφελος ἀπὸ τοῦ νὰ ἀνιστᾷ κανεὶς νεκρούς, ὅταν κανεὶς δὲν κερδίζῃ ἀπὸ αὐτό; ἐφ᾽ ὅσον δὲ αὐτὸς εἶναι ὁ σκοπὸς τῶν χαρισμάτων, εἶναι δὲ δυνατὸν νὰ πραγματοποιηθῇ καὶ μὲ ἄλλον τρόπον, χωρὶς χαρίσματα δηλαδή, μὴ ὑψηλοφρονῇς ἐξ αἰτίας τῶν σημείων, οὔτε νὰ θεωρῇς τὸν ἑαυτόν σου δυστυχῆ σὺ ποὺ στερεῖσαι ἀπὸ χαρίσματα.

4. «Καὶ ἐὰν κανεὶς ὁμιλῇ γλῶσσαν, δύο ἢ τὸ πολὺ τρεῖς ἂς ὁμιλοῦν, ὁ ἕνας μετὰ τὸν ἄλλον, ἕνας δὲ ἂς διερμηνεύῃ. Ἀλλ᾽ ἐὰν δὲν ὑπάρχῃ διερμηνεύς, ἂς σιωπᾷ εἰς τὴν ἐκκλησίαν καὶ ἂς ὁμιλῇ εἰς τὸν ἑαυτόν του καὶ εἰς τὸν Θεόν». Εἰπέ μου, τί λέγεις; ἐνῷ εἶπες τόσα διὰ τὰς γλώσσας, ὅτι εἶναι ἀνωφελές, ὅτι εἶναι περιττὸν ἐὰν δὲν ἔχῃ διερμηνέα, παραγγέλλεις πάλιν νὰ ὁμιλοῦν γλώσσας; Δὲν παραγγέλλω, θὰ εἰπῇ, ἀλλ᾽ οὔτε ἐμποδίζω· ὅπως ὅταν λέγῃ, «Ἐὰν σᾶς καλῇ κάποιος ἀπὸ τοὺς ἀπίστους καὶ θέλετε, πηγαίνετε», δὲν λέγει τὸ πηγαίνετε ὡσὰν νόμον, ἀλλ᾽ οὔτε ἐμποδίζει· ἔτσι καὶ ἐδῶ, «ἂς ὁμιλῇ εἰς τὸν ἑαυτόν του καὶ εἰς τὸν Θεόν». Ἐὰν δὲν ὑπομένῃ νὰ σιωπᾷ, λέγει, ἀλλ᾽ εἶναι τόσον φιλόδοξος καὶ ἀγαπᾷ τὰς τιμάς, ἂς ὁμιλῇ εἰς τὸν ἑαυτόν του. Ὥστε μὲ αὐτὸ ἀκριβῶς, μὲ τὸ νὰ ἐπιτρέψῃ, ἠμπόδισεν ἀφοῦ ἔτσι προεκάλεσεν ἐντροπὴν δι᾽ αὐτό· πρᾶγμα ποὺ κάμνει καὶ ἀλλοῦ ὅταν ὁμιλῇ διὰ τὴν συζυγίαν μὲ γυναῖκα καὶ λέγει· «Αὐτὸ δὲ τὸ λέγω ἐξ αἰτίας τοῦ ὅτι δὲν ἔχετε ἐγκράτειαν».

Ἀλλ᾽ ὅμως ὅταν ὡμίλησε διὰ τὴν προφητείαν δὲν ὡμίλησεν ἔτσι, ἀλλὰ πῶς; Μὲ διαταγὴν καὶ νόμον· «Προφῆται δὲ δύο ἢ τρεῖς ἂς ὁμιλοῦν». Καὶ πουθενὰ δὲν ζητεῖ ἐδῶ νὰ ὑπάρχῃ διερμηνεύς, οὔτε παραγγέλλει νὰ σιωπᾷ αὐτὸς ποὺ προφητεύει, ὅπως ἐκεῖ ὅταν λέγῃ, «Ἐὰν δὲν ὑπάρχῃ διερμηνεύς, ἂς σιωπᾷ». Διότι αὐτὸς ποὺ ὁμιλεῖ γλῶσσαν δὲν εἶναι αὐτάρκης. Δι᾽ αὐτὸ ἐὰν μὲν κάποιος ἔχῃ καὶ τὰ δύο χαρίσματα, ἂς ὁμιλῇ, ἐὰν ὅμως δὲν ἔχῃ καὶ θέλῃ

δὲν γὰρ δεῖ περιττῶς γίνεσθαι, οὐδὲ πρὸς φιλοτιμίαν. «Ἑαυτῷ δὲ λαλείτω καὶ τῷ Θεῷ»· τουτέστι, κατὰ διάνοιαν, ἢ ἠρέμα καὶ ἀψοφητί, εἴγε βούλεται. Οὐ γὰρ δὴ νομοθετοῦντος τοῦτό ἐστιν, ἀλλὰ τάχα καὶ ἐντρέποντος μᾶλλον διὰ τῆς συγχωρήσεως, ὥσπερ ὅταν λέγῃ, «Εἰ δέ τις πεινᾷ, ἐν οἴκῳ ἐσθιέτω»· καὶ δοκῶν συγχωρεῖν, δριμύτερον αὐτῷ τούτῳ καθάπτεται. Οὐ γὰρ διὰ τοῦτο συνέρχεσθε, φησίν, ἵνα δείξητε ὅτι χάρισμα ἔχετε, ἀλλ' ἵνα οἰκοδομῆτε τοὺς ἀκούοντας· ὅπερ καὶ ἀρχόμενος εἶπε, «Πάντα πρὸς οἰκοδομὴν γινέσθω».

5. «Προφῆται δὲ δύο ἢ τρεῖς λαλείτωσαν, καὶ οἱ ἄλλοι διακρινέτωσαν». Οὐδαμοῦ τὸ πλεῖστον προσέθηκε καθάπερ ἐπὶ τῶν γλωττῶν. Καὶ τί τοῦτο; φησίν. Οὐδὲ γὰρ τὴν προφητείαν αὐτάρκη δείκνυσιν, εἴγε ἄλλοις ἐπιτρέπει τὴν κρίσιν. Σφόδρα μὲν οὖν αὐτάρκης. Οὐδὲ γὰρ ἐπεστόμισεν αὐτὸν καθάπερ ἐκεῖνον, οὐκ ὄντος ἑρμηνεύοντος· οὐδὲ ὥσπερ ἐπ' ἐκείνου εἶπεν, «Ἐὰν μὴ ᾖ ὁ διερμηνευτής, σιγάτω», οὕτω καὶ ἐπὶ τούτου, ἐὰν μὴ ᾖ ὁ διακρίνων, μὴ προφητευέτω, ἀλλ' ἠσφαλίσατο μόνον τὸν ἀκροατήν. Πρὸς γὰρ τὴν τῶν ἀκουόντων πληροφορίαν τοῦτο εἴρηκεν, ὥστε μὴ παρεμπεσεῖν μεταξὺ μάντιν. Τοῦτο γὰρ καὶ ἀρχόμενος φυλάττεσθαι ἐκέλευεν, ὅτε μαντείας καὶ προφητείας διαίρεσιν εἰσήγαγε, καὶ νῦν αὐτὸ διακρίνειν κελεύει καὶ σκοπεῖν, ὥστε μὴ παρεισδῦναι διδάσκαλον διαβολικόν.

«Ἐὰν δὲ ἄλλῳ ἀποκαλυφθῇ καθημένῳ, ὁ πρῶτος σιγάτω. Δύνασθε γὰρ καθ' ἕνα πάντες προφητεύειν, ἵνα πάντες μανθάνωσι, καὶ πάντες παρακαλῶνται». Τί ποτέ ἐστι

νὰ ὁμιλῇ, ἂς κάμνῃ αὐτὸ μαζὶ μὲ τὸν διερμηνέα. Βέβαια καὶ ὁ προφήτης ἑρμηνευτὴς εἶναι, ἀλλὰ τοῦ Θεοῦ, ἐνῷ ἐσὺ τοῦ ἀνθρώπου. «Ἐὰν ὅμως δὲν ὑπάρχῃ διερμηνεύς, ἂς ἀσιωπᾷ». Διότι τίποτε δὲν πρέπει νὰ γίνεται ἀσκόπως, οὔτε ἀπὸ φιλοδοξίαν. «Ἂς ὁμιλῇ δὲ εἰς τὸν ἑαυτόν του καὶ εἰς τὸν Θεόν»· δηλαδή, μὲ τὸν νοῦν του, ἢ πολὺ σιγὰ καὶ ἀθορύβως, ἐὰν βέβαια θέλῃ. Αὐτὸ λοιπὸν δὲν εἶναι λόγος ἀνθρώπου ποὺ θέτει νόμον, ἀλλὰ μᾶλλον ἀνθρώπου ποὺ καὶ ἐντροπιάζει περισσότερον μὲ τὸ νὰ ἐπιτρέπῃ, ὅπως ὅταν λέγῃ, «Ἐὰν δὲ πεινᾷ κανείς, ἂς τρώγῃ εἰς τὴν οἰκίαν του»· καὶ ἐνῷ φαίνεται ὅτι ἐπιτρέπει, κατηγορεῖ δριμύτερον αὐτούς. Διότι δὲν συνέρχεσθε δι᾽ αὐτό, λέγει, διὰ νὰ δείξετε ὅτι ἔχετε χάρισμα, ἀλλὰ διὰ νὰ οἰκοδομῆτε αὐτοὺς ποὺ ἀκούουν· πρᾶγμα ποὺ καὶ ὅταν ἤρχιζεν εἶπεν, «Ὅλα νὰ γίνωνται πρὸς οἰκοδομήν».

5. «Προφῆται δύο ἢ τρεῖς ἂς ὁμιλοῦν καὶ οἱ ἄλλοι ἂς κρίνουν». Πουθενὰ δὲν συνέστησε τὸ ὑπερβολικὰ πολύ, ὅπως εἰς τὰς γλώσσας. Καὶ διατί αὐτό; Θὰ εἰπῇ κάποιος. Διότι δεικνύει ὅτι οὔτε ἡ προφητεία εἶναι αὐτάρκης, ἀφοῦ βέβαια ἐπιτρέπει εἰς ἄλλους νὰ κρίνουν. Εἶναι πράγματι πολὺ αὐτάρκης. Διότι δὲν εἶπεν εἰς τὸν προφήτην νὰ σιωπᾷ ὅπως εἰς ἐκεῖνον ποὺ ὁμιλεῖ γλώσσας, ὅταν δὲν ὑπάρχῃ διερμηνεύς· οὔτε ὅπως εἰς ἐκεῖνον εἶπεν, «ἐὰν δὲν ὑπάρχῃ διερμηνεύς, ἂς σιωπᾷ», ἔτσι καὶ εἰς αὐτόν, ἐὰν δηλαδὴ δὲν ὑπάρχῃ αὐτὸς ποὺ θὰ κρίνῃ νὰ μὴ προφητεύῃ, ἀλλ᾽ ἐξησφάλισε μόνον τὸν ἀκροατήν. Εἶπε δηλαδὴ αὐτὸ διὰ νὰ πληροφορήσῃ αὐτοὺς ποὺ ἀκούουν, ὥστε νὰ μὴ εἰσέλθῃ πλαγίως μεταξύ των μάντις. Ἀπὸ αὐτὸ λοιπὸν καὶ εἰς τὴν ἀρχὴν παρήγγελλε νὰ προφυλάσσωνται, ὅταν ὡμίλησε διὰ τὴν διάκρισιν μαντείας καὶ προφητείας, καὶ τώρα αὐτὸ παραγγέλλει νὰ διακρίνουν καὶ νὰ προσέχουν, ὥστε νὰ μὴ παρεισφρύσῃ διαβολικὸς διδάσκαλος.

«Ἐὰν ἔλθῃ ἀποκάλυψις εἰς ἄλλον ποὺ κάθεται, ὁ πρῶτος ἂς σιωπήσῃ. Διότι ἠμπορεῖτε ὅλοι, ὁ ἕνας μετὰ τὸν ἄλλον, νὰ προφητεύετε διὰ νὰ μαθαίνουν ὅλοι καὶ ὅλοι νὰ ἐνθαρρύνωνται». Τί σημαίνει πάλιν αὐτὸ ποὺ ἐλέχθη; Ἐάν,

τοῦτο τὸ εἰρημένον; Εἰ προφητεύοντός σου, φησί, καὶ φθεγγομένου, τὸ πνεῦμα τοῦ ἑτέρου διεγείρειεν αὐτόν, σίγα λοιπόν. Ὅπερ γὰρ εἶπεν ἐπὶ τῶν γλωττῶν, τοῦτο καὶ ἐνταῦθα ἀπαιτεῖ, τὸ ἀνὰ μέρος, ἀλλὰ θειότερον ἐνταῦθα. Οὐ γὰρ εἶπεν, ἀνὰ μέρος, ἀλλ', «ἐὰν ἄλλῳ ἀποκαλυφθῇ». Τί γὰρ ἐχρῆν λοιπόν, τούτου κινουμένου πρὸς προφητείαν, ἐκεῖνον λέγειν; Ἀλλ' ἀμφοτέρους ἐχρῆν; Ἀλλ' ἄτοπον, καὶ σύγχυσιν ἔχον. Ἀλλὰ τὸν πρότερον; Ἀλλὰ καὶ τοῦτο ἄτοπον. Διὰ γὰρ τοῦτο, λέγοντος ἐκείνου, τοῦτον ἐκίνει τὸ Πνεῦμα, ἵνα τι καὶ οὗτος εἴπῃ. Εἶτα παραμυθούμενος τὸν ἐπιστομισθέντα, φησί· «Δύνασθε γὰρ καθ' ἕνα πάντες προφητεύειν, ἵνα πάντες μανθάνωσι, καὶ πάντες παρακαλῶνται». Ὁρᾷς πῶς πάλιν τὴν αἰτίαν τίθησι, δι' ἣν πάντα ποιεῖ; Εἰ γὰρ τὸν γλώσσαις λαλοῦντα καθόλου κωλύει λέγειν, ὅταν ἑρμηνέα μὴ ἔχῃ, διὰ τὸ ἀνωφελές, εἰκότως καὶ προφητείαν, ἂν μὴ τοῦτο ἔχῃ, ἀλλὰ σύγχυσιν ποιῇ καὶ ταραχὴν καὶ θόρυβον ἄκαιρον, κατέχειν κελεύει.

«Καὶ πνεύματα προφητῶν προφήταις ὑποτάσσεται». Εἶδες πῶς ἐνέτρεψεν αὐτὸν εὐτόνως καὶ φοβερῶς; Ἵνα γὰρ μὴ φιλονεικῇ, μηδὲ στασιάζῃ ὁ ἄνθρωπος, αὐτὸ τὸ χάρισμα δείκνυσιν ὑποτασσόμενον· πνεῦμα γὰρ ἐνταῦθα τὴν ἐνέργειαν λέγει. Εἰ δὲ τὸ πνεῦμα ὑποτάσσεται, πολλῷ μᾶλλον σὺ ὁ κεκτημένος οὐκ ἂν εἴης δίκαιος φιλονεικεῖν. Εἶτα δείκνυσιν ὅτι καὶ τῷ Θεῷ τοῦτο δοκεῖ, ἐπάγων καὶ λέγων· «Οὐ γάρ ἐστιν ἀκαταστασίας ὁ Θεός, ἀλλ' εἰρήνης, ὡς ἐν πάσαις ταῖς ἐκκλησίαις τῶν ἁγίων διδάσκω». Εἶδες δι' ὅσων ἤγαγεν αὐτὸν εἰς σιγήν, καὶ παρεμυθήσατο θατέρῳ παραχωροῦντα; Δι' ἑνὸς μὲν καὶ πρώτου, τοῦ μὴ ἐγκλείεσθαι τούτου γινομένου· «Δύνασθε» γάρ, φησί, «καθ' ἕνα πάντες

λέγει, καθὼς προφητεύεις ἐσὺ καὶ ὁμιλεῖς, τὸ πνεῦμα τοῦ ἄλλου συμβῇ νὰ τὸν ἐμπνεύσῃ, πρέπει νὰ σιωπήσῃς. Αὐτὸ ποὺ εἶπε δηλαδὴ διὰ τὰς γλώσσας, αὐτὸ ζητεῖ καὶ ἐδῶ, δηλαδὴ τὸ κατὰ σειρὰν μέν, ἀλλὰ μὲ ἀξιοπρεπέστερον τρόπον ἐδῶ. Διότι δὲν εἶπε, κατὰ σειράν, ἀλλά, «ἐὰν εἰς ἄλλον ἔλθῃ ἀποκάλυψις». Διότι τί ἐχρειάζετο πλέον νὰ ὁμιλῇ ἐκεῖνος, ὅταν αὐτὸς παρεκινεῖτο διὰ νὰ προφητεύσῃ; Ἔπρεπε νὰ προφητεύουν καὶ οἱ δύο; Ἀλλ' αὐτὸ εἶναι ἄτοπον καὶ ἐπιφέρει σύγχυσιν. Νὰ ὁμιλήσῃ ὁ προηγούμενος; Ἀλλὰ καὶ αὐτὸ ἄτοπον. Διότι δι' αὐτό, ἐνῷ ὡμίλει ἐκεῖνος, παρεκίνησεν αὐτὸν τὸ πνεῦμα, διὰ νὰ εἰπῇ καὶ αὐτὸς κάτι. Ἐν συνεχείᾳ διὰ νὰ παρηγορήσῃ αὐτὸν ποὺ παρήγγειλε νὰ σιωπήσῃ, λέγει· «Διότι ἠμπορεῖτε ὅλοι, ὁ ἕνας κατόπιν τοῦ ἄλλου, νὰ προφητεύετε, διὰ νὰ μαθαίνουν ὅλοι καὶ ὅλοι νὰ ἐνθαρρύνωνται». Βλέπεις πῶς πάλιν παρουσιάζει τὴν αἰτίαν διὰ τὴν ὁποίαν κάμνει τὰ πάντα; Διότι, ἐὰν αὐτὸν ποὺ ὁμιλεῖ γλῶσσας τὸν ἐμποδίζῃ τελείως νὰ ὁμιλῇ ὅταν δὲν ἔχῃ διερμηνέα, ἀφοῦ εἶναι ἀνωφελές, ὀρθῶς καὶ τὴν προφητείαν, ἐὰν δὲν ἔχῃ αὐτὴν τὴν προϋπόθεσιν, ἀλλὰ προκαλῇ σύγχυσιν καὶ ταραχὴν καὶ ἄσκοπον θόρυβον, παραγγέλλει νὰ σταματᾷ.

«Καὶ τὰ προφητικὰ πνεύματα ὑποτάσσονται εἰς τοὺς προφήτας». Εἶδες πῶς ἐντρόπιασεν αὐτὸν μὲ τρόπον ἔντονον καὶ φοβερόν; Διότι διὰ νὰ μὴ φιλονεικῇ καὶ νὰ μὴ ἐπαναστατῇ ὁ ἄνθρωπος, δεικνύει ὅτι καὶ αὐτὸ τὸ ἴδιον τὸ χάρισμα ὑποτάσσεται· διότι πνεῦμα ἐδῶ ὀνομάζει τὴν προφητικὴν ἐνέργειαν. Ἐὰν δὲ τὸ πνεῦμα ὑποτάσσεται, πολὺ περισσότερον σὺ ποὺ τὸ ἔχεις δὲν θὰ εἶχες δίκαιον νὰ φιλονεικῇς. Ἀκολούθως δεικνύει ὅτι καὶ εἰς τὸν Θεὸν αὐτὸ ἀρέσει, καθὼς συνεχίζει καὶ λέγει· «διότι ὁ Θεὸς δὲν εἶναι Θεὸς ἀκαταστασίας, ἀλλὰ εἰρήνης, ὅπως διδάσκω εἰς ὅλας τὰς ἐκκλησίας τῶν ἁγίων». Εἶδες μὲ πόσα ἐπιχειρήματα ἔπεισεν αὐτὸν νὰ σιωπήσῃ καὶ τὸν ἐπαρηγόρησε μὲ τὸ ὅτι τοῦ παρεχώρησε καὶ τὰ δύο; Μὲ τὸ μὲν πρῶτον, νὰ μὴ κρατῆται μυστικὴ ἡ προφητεία ὅταν ἀποκαλύπτεται· «Διότι ἠμπορεῖτε ὅλοι», λέγει, «ὁ καθεὶς ἰδιαιτέρως, νὰ

προφητεύειν»· δι' ἑτέρου δὲ τοῦ καὶ τῷ πνεύματι τοῦτο δοκεῖν· «Πνεύματα» γὰρ «προφητῶν προφήταις ὑποτάσσεται»· πρὸς τούτοις τῷ κατὰ γνώμην τοῦ Θεοῦ τοῦτο εἶναι· «Οὐ γάρ ἐστιν ἀκαταστασίας», φησίν, «ὁ Θεός, ἀλλ' εἰρήνης»· καὶ τετάρτῳ, τῷ πανταχοῦ τῆς οἰκουμένης τὸν νόμον τοῦτον κρατεῖν, καὶ μηδὲν ξένον αὐτοῖς ἐπιτάττεσθαι· «Οὕτω» γὰρ «ἐν πάσαις», φησί, «ταῖς ἐκκλησίαις τῶν ἁγίων διδάσκω».

6. Τί τοίνυν φρικωδέστερον τούτων γένοιτ' ἂν τῶν πραγμάτων; Καὶ γὰρ οὐρανὸς ἡ ἐκκλησία τότε, τοῦ Πνεύματος πάντα δημαγωγοῦντος καὶ τῶν προεστώτων ἕκαστον κινοῦντος, καὶ ἔνθουν ποιοῦντος. Ἀλλὰ νῦν τὰ σύμβολα κατέχομεν τῶν χαρισμάτων ἐκείνων μόνον. Καὶ γὰρ καὶ νῦν δύο ἢ τρεῖς λέγομεν, καὶ ἀνὰ μέρος, καὶ ἑτέρου σιγῶντος ἄρχεται· ἀλλὰ σημεῖα ταῦτα μόνον ἐστὶν ἐκείνων καὶ ὑπομνήματα. Διὸ ἐπειδὰν ἀρξώμεθα λέγειν, ὁ λαὸς ἀντιφθέγγεται, «Τῷ Πνεύματί σου», δεικνὺς ὅτι τὸ παλαιὸν οὕτως ἔλεγον, οὐκ οἰκείᾳ σοφίᾳ, ἀλλὰ τῷ Πνεύματι κινούμενοι. Ἀλλ' οὐχὶ νῦν· τὸ ἐμαυτοῦ λέγω τέως· ἀλλ' ἔοικεν ἡ Ἐκκλησία νῦν γυναικὶ τῆς παλαιᾶς εὐημερίας ἐκπεσούσῃ, καὶ τὰ σύμβολα κατεχούσῃ πολλαχοῦ μόνον τῆς ἀρχαίας εὐπραγίας ἐκείνης, καὶ τὰς μὲν θήκας τῶν χρυσίων ἐπιδεικνυμένῃ καὶ τὰ κιβώτια, τὸν δὲ πλοῦτον ἀφῃρημένῃ ταύτῃ προσέοικεν ἡ Ἐκκλησία νῦν. Καὶ οὐ χαρισμάτων ἕνεκεν τοῦτο λέγω· οὐδὲ γὰρ ἦν δεινόν, εἰ τοῦτο ἦν μόνον· ἀλλὰ καὶ βίου καὶ ἀρετῆς. Καὶ γὰρ ὁ τῶν χηρῶν ἀριθμός, καὶ ὁ τῶν παρθένων χορὸς τότε μὲν εἶχε κόσμον ταῖς ἐκκλησίαις πολύν· νῦν δὲ ἠρήμωται καὶ κεκένωται, καὶ τὰ σύμβολα μένει μόνον.

Εἰσὶ μὲν γὰρ χῆραι καὶ νῦν, εἰσὶ καὶ παρθένοι, ἀλλ' οὐκ ἔχουσιν αὗται τὸν κόσμον ἐκεῖνον, ὃν τὰς ἀποδυσαμένας πρὸς τὰ τοιαῦτα παλαίσματα ἔχειν χρή. Καὶ γὰρ τῆς παρθένου τὸ ἐξαίρετον γνώρισμα, τὸ τὰ τοῦ Θεοῦ με-

προφητεύετε»· μὲ τὸ ἄλλο δέ, ὅτι καὶ εἰς τὸ πνεῦμα αὐτὸ ἀρέσει· διότι «καὶ τὰ προφητικὰ πνεύματα ὑποτάσσονται εἰς τοὺς προφήτας»· ἐπὶ πλέον ὅτι αὐτὸ εἶναι καὶ τὸ θέλημα τοῦ Θεοῦ· «διότι ὁ Θεὸς δὲν εἶναι Θεὸς ἀκαταστασίας, ἀλλὰ Θεὸς εἰρήνης», λέγει· καὶ τέταρτον ὅτι παντοῦ εἰς τὴν οἰκουμένην ἐπικρατεῖ αὐτὸς ὁ νόμος καὶ δὲν τοὺς διατάσσει τίποτε παράξενον· διότι, λέγει, «ἔτσι διδάσκω εἰς ὅλας τὰς ἐκκλησίας τῶν ἁγίων».

6. Τί λοιπὸν θὰ ἠμποροῦσε νὰ ὑπάρξῃ φρικωδέστερον ἀπὸ αὐτὰ τὰ πράγματα; Διότι οὐρανὸς ἦτο τότε ἡ ἐκκλησία, ἀφοῦ τὸ χάρισμα ἦτο τότε ὁδηγὸς τοῦ λαοῦ καὶ ἐκίνει τὰ πάντα καὶ τὸν καθένα ἀπὸ τοὺς ἡγέτας. Τώρα ὅμως μόνον τὰ σύμβολα ἐκείνων τῶν χαρισμάτων κατέχομεν. Διότι καὶ τώρα δύο ἢ τρεῖς ὁμιλοῦμεν καὶ μὲ τὴν σειράν, καὶ ὅταν σιωπήσῃ ὁ ἕνας ἀρχίζει ὁ ἄλλος· ἀλλ' αὐτὰ εἶναι μόνον σύμβολα καὶ ἀναμνήσεις ἐκείνων. Δι' αὐτὸ ὅταν ἀρχίζωμεν νὰ λέγωμεν, ὁ λαὸς ἀποκρίνεται, «Εἰς τὸ πνεῦμα σου», δεικνύων ὅτι τὸν παλαιὸν καιρὸν ἔτσι ἔλεγον, ὄχι ἀπὸ ἰδικήν των ἐπινόησιν, ἀλλ' ἔτσι παρεκινοῦντο ἀπὸ τὸ χάρισμα. Δὲν γίνεται ὅμως καὶ τώρα ἔτσι· ὁμιλῶ ἀπὸ τὴν μέχρι τώρα πεῖραν μου· ἀλλ' ὁμοιάζει ἡ ἐκκλησία τώρα μὲ γυναῖκα ἡ ὁποία ἐξέπεσεν ἀπὸ τὴν παλαιὰν δόξαν καὶ μόνον τὰ σύμβολα κατέχει εἰς πολλὰ πράγματα ἀπὸ ἐκείνην τὴν ἀρχαίαν εὐτυχίαν, καὶ ἐπιδεικνύει μὲν τὰ θησαυροφυλάκια ὅπου ἐφυλάσσετο ὁ χρυσός, ἀλλ' ἔχει χαθῆ ὁ πλοῦτος της· μὲ αὐτὴν ὁμοιάζει τώρα ἡ ἐκκλησία. Καὶ δὲν λέγω αὐτὸ διὰ τὰ χαρίσματα, διότι δὲν θὰ ἦτο φοβερὸν ἐὰν ἦτο αὐτὸ μόνον· ἀλλὰ καὶ διὰ τὸν βίον καὶ τὴν ἀρετήν. Διότι καὶ ὁ ἀριθμὸς τῶν χηρῶν, καὶ ἡ χορεία τῶν παρθένων τότε μὲν ἔδιδε λαμπρὸν στολισμὸν εἰς τὴν ἐκκλησίαν, τώρα ὅμως ἔχει ἐρημωθῆ καὶ ἀπογυμνωθῆ καὶ μόνον τὰ σύμβολα μένουν.

Ὑπάρχουν βέβαια καὶ σήμερα χῆραι, ὑπάρχουν καὶ παρθένοι, ἀλλὰ δὲν ἔχουν ἐκείνην τὴν κοσμιότητα ποὺ πρέπει νὰ ἔχουν ὅσαι ἀποδύονται εἰς τέτοιους ἀγῶνας. Διότι τὸ ἐξαιρετικὸν γνώρισμα τῆς παρθένου εἶναι τὸ νὰ

ριμνᾶν μόνα, καὶ τὸ εὐπρόσεδρον ἀπερισπάστως· καὶ τῆς χήρας οὐχ οὕτω τὸ μὴ δευτέρας ὁμιλῆσαι γάμοις δεῖγμα γένοιτ' ἄν, ὡς τὰ ἄλλα, τὰ τῆς φιλοξενίας, τὰ τῆς φιλοπτωχίας, τὰ τῆς φιλοκαρτερίας τῆς ἐν εὐχαῖς, πάντα τὰ ἄλλα, ἃ μετὰ πολλῆς ἀπαιτεῖ τῆς ἀκριβείας ὁ Παῦλος Τιμοθέῳ γράφων. Ἴδοι τις ἂν καὶ τὰς ἐν γάμῳ πολλὴν ἐπιδεικνυμένας παρ' ἡμῖν τὴν κοσμιότητα. Ἀλλ' οὐ τοῦτο μόνον ἐστὶ τὸ ζητούμενον, ἀλλ' ἡ περὶ τοὺς δεομένους μετὰ σπουδῆς θεραπεία, δι' ἧς αἱ ἀρχαῖαι μάλιστα ἀπέλαμπον γυναῖκες, οὐχ ὡς αἱ πολλαὶ τῶν νῦν. Τότε μὲν γὰρ ἀντὶ χρυσοῦ τὸν ἀπὸ τῆς ἐλεημοσύνης περιέκειντο καλλωπισμόν· νυνὶ δὲ ἀφεῖσαι τοῦτο, σχοινία χρυσᾶ ἀπὸ τῆς σειρᾶς τῶν ἁμαρτιῶν πεπλεγμένα πανταχόθεν περίκεινται.

Εἴπω καὶ ἄλλην θήκην κεκενωμένην τοῦ πατρῴου κόσμου; Συνήεσαν τὸν παλαιὸν ἅπαντες, καὶ ὑπέψαλλον κοινῇ. Τοῦτο ποιοῦμεν καὶ νῦν· ἀλλὰ τότε μὲν ἐν ἅπασι μία ψυχὴ ἦν καὶ καρδία μία· νυνὶ δὲ οὐδὲ ἐν μιᾷ ψυχῇ τὴν ὁμόνοιαν ἐκείνην ἴδοι τις ἄν, ἀλλὰ πολὺς ὁ πόλεμος πανταχοῦ. Εἰρήνην κοινῇ πᾶσιν ὁ τῆς ἐκκλησίας προεστὼς ἐπεύχεται καὶ νῦν, ὡς εἰς πατρῴαν οἰκίαν εἰσιών· ἀλλὰ τῆς εἰρήνης ταύτης τὸ μὲν ὄνομα πολύ, τὸ δὲ πρᾶγμα οὐδαμοῦ. Τότε καὶ αἱ οἰκίαι ἐκκλησίαι ἦσαν· νυνὶ δὲ καὶ ἡ ἐκκλησία οἰκία, μᾶλλον δὲ καὶ οἰκίας πάσης χείρων. Ἐν οἰκίᾳ μὲν γὰρ πολλὴν καὶ εὐταξίαν ἴδοι τις ἄν· καὶ γὰρ ἡ κυρία τῆς οἰκείας ἐπὶ τοῦ θρόνου κάθηται μετὰ εὐσχημοσύνης ἁπάσης καὶ αἱ θεραπαινίδες μετὰ ἡσυχίας ὑφαίνουσι, καὶ τῶν οἰκετῶν ἕκαστος τὸ ἐπιταχθὲν μετὰ χεῖρας ἔχει. Ἐνταῦθα δὲ πολὺς ὁ θόρυβος, πολλὴ ἡ σύγχυσις, καὶ καπηλείου οὐδὲν διενήνοχε τὰ παρ' ἡμῖν· τοσοῦτος ὁ γέλως, τοσαύτη ἡ ταραχή,

μεριμνᾷ μόνον διὰ τὰ τοῦ Θεοῦ καὶ τὸ νὰ ἀσχολῆται ἐπιμόνως καὶ ἀπερισπάστως μὲ αὐτά· καὶ τῆς χήρας ὄχι τόσον τὸ νὰ μὴ ἔλθῃ εἰς δεύτερον γάμον θὰ ἦτο καλὸν δεῖγμα, ὅσον τὰ ἄλλα, δηλαδὴ ἡ φιλοξενία, ἡ ἀγάπη διὰ τοὺς πτωχούς, ἡ ἐπιμονὴ εἰς τὴν προσευχήν, ὅλα τὰ ἄλλα, τὰ ὁποῖα μὲ πολλὴν ἀκρίβειαν ἀπαιτεῖ ὁ Παῦλος ὅταν γράφῃ εἰς τὸν Τιμόθεον. Θὰ ἰδῇ κανεὶς καὶ τὰς ὑπάνδρους γυναῖκας εἰς ἐμᾶς νὰ ἐπιδεικνύουν πολλὴν κοσμιότητα. Δὲν εἶναι ὅμως μόνον αὐτὸ τὸ ζητούμενον, ἀλλ' ἡ περιποιητικὴ φροντὶς πρὸς ἐκείνους ποὺ ἔχουν ἀνάγκην μὲ τὴν ὁποίαν πάρα πολὺ ἔλαμπον αἱ γυναῖκες τῆς ἀρχαίας ἐκκλησίας, ὄχι ὅπως αἱ πολλαὶ ἀπὸ τὰς σημερινάς. Διότι τότε μὲν ἀντὶ χρυσοῦ ἐνεδύοντο τὸν καλλωπισμὸν ἀπὸ τὴν ἐλεημοσύνην, τώρα ὅμως, ἀφοῦ ἐγκατέλειψαν αὐτό, ἔχουν περιζωθῆ ἀπὸ παντοῦ χρυσᾶς ἁλυσίδας ποὺ ἔχουν κατασκευασθῆ ἀπὸ τὴν σωρείαν τῶν ἁμαρτιῶν.

Νὰ εἰπῶ καὶ ἄλλο θησαυροφυλάκιον τοῦ πατρικοῦ πλούτου ποὺ ἔχει ἀπογυμνωθῆ; Συνήρχοντο εἰς τὴν ἀρχαίαν ἐποχὴν ὅλοι καὶ συνέψαλλον ἀπὸ κοινοῦ. Αὐτὸ πράττομεν καὶ τώρα· ἀλλὰ τότε μὲν μία ψυχὴ καὶ μία καρδία ὑπῆρχεν εἰς ὅλους· τώρα ὅμως οὔτε μέσα εἰς μίαν ψυχὴν δὲν θὰ ἰδῇ κανεὶς ἐκείνην τὴν ὁμόνοιαν, ἀλλὰ παντοῦ ἔχει ἐπικρατήσει πολὺς πόλεμος. Καὶ τώρα εὔχεται ὁ προεστὼς τῆς ἐκκλησίας εἰρήνην εἰς ὅλους ἀπὸ κοινοῦ, ὡσὰν νὰ εἰσέρχεται εἰς τὴν πατρικὴν οἰκίαν· ἀλλ' ἀπὸ τὴν εἰρήνην αὐτὴν τὸ μὲν ὄνομα ἀκούγεται πολύ, ἐνῷ αὐτὴ ἡ ἰδία δὲν ὑπάρχει πουθενά. Τότε καὶ αἱ οἰκίαι ἦσαν ἐκκλησίαι· τώρα ὅμως καὶ ἡ ἐκκλησία εἶναι οἰκία, μᾶλλον δὲ καὶ ἀπὸ κάθε οἰκίαν χειροτέρα. Διότι εἰς μὲν τὴν οἰκίαν πολλὴν τάξιν θὰ ἰδῇ κανείς· καὶ ἡ κυρία δηλαδὴ μὲ κάθε σεμνότητα κάθεται εἰς τὸν θρόνον τῆς οἰκίας, καὶ αἱ ὑπηρέτριαι ὑφαίνουν μὲ ἡσυχίαν καὶ ἀπὸ τοὺς ὑπηρέτας ὁ καθεὶς ἔχει εἰς τὰς χεῖρας τὸ ἔργον ποὺ διετάχθη νὰ ἐκτελέσῃ. Ἐδῶ ὅμως εἶναι πολὺς ὁ θόρυβος, πολλὴ ἡ σύγχυσις καὶ δὲν διαφέρει καθόλου ἡ ἐκκλησία μας ἀπὸ καπηλεῖον· τόσον πολὺς εἶναι ὁ γέλως, τόσον μεγάλη ἡ ταραχή, ὅπως ἀκριβῶς εἰς τὰ

καθάπερ ἐν βαλανείοις, καθάπερ ἐν ἀγοραῖς κραζόντων, θορυβούντων ἁπάντων.

Καὶ ταῦτα ἐνταῦθα μόνον· ὡς ἀλλαχοῦ οὐδὲ προσειπεῖν τὸν πλησίον ἔξεστιν ἐν ἐκκλησίᾳ, κἂν χρόνιόν τις ἀπολάβῃ τὸν φίλον, ἀλλ' ἔξω ταῦτα γίνεται, καὶ μάλα εἰκότως. Οὐ γὰρ κουρεῖον, οὐδὲ μυροπωλεῖον ἡ ἐκκλησία, οὐδὲ ἐργαστήριον ἕτερον τῶν ἐπ' ἀγορᾶς, ἀλλὰ τόπος ἀγγέλων, τόπος ἀρχαγγέλων, βασίλεια Θεοῦ, αὐτὸς ὁ οὐρανός. Ὥσπερ οὖν εἴ τις τὸν οὐρανὸν διαστείλας ἐκεῖ σε εἰσήγαγε, κἂν τὸν πατέρα, κἂν τὸν ἀδελφὸν εἶδες, οὐκ ἂν ἐτόλμησας φθέγξασθαι· οὕτως οὐδὲ ἐνταῦθα ἕτερόν τι πλὴν τῶν πνευματικῶν φθέγγεσθαι ἔδει. Καὶ γὰρ καὶ τὰ ἐνταῦθα οὐρανός. Εἰ δὲ ἀπιστεῖν, ἴδε πρὸς ταυτηνὶ τὴν τράπεζαν, ἀναμνήσθητι τίνος ἕνεκεν ἕστηκε, καὶ διὰ τί· ἐννόησον τίς ὁ προβαίνων ἐνταῦθα, φρίξον καὶ πρὸ τοῦ καιροῦ. Καὶ γὰρ θρόνου τις ἰδὼν μόνον βασιλέως, ἀνίσταται τῇ ψυχῇ, προσδοκῶν τὴν ἔξοδον τοῦ βασιλέως. Καὶ σὺ τοίνυν καὶ πρὸ τοῦ καιροῦ τοῦ φρικώδους ἐκείνου, διανάστηθι, καὶ πρὶν ἰδεῖν τὰ παραπετάσματα ἀναστελλόμενα καὶ τὸν χορὸν τῶν ἀγγέλων προβαίνοντα, πρὸς αὐτὸν ἀνάβαινε τὸν οὐρανόν.

Ἀλλ' ἀγνοεῖ ταῦτα ὁ ἀμύητος· οὐκοῦν ἀναγκαῖον καὶ πρὸς ἐκεῖνον εἰπεῖν ἕτερα. Οὐδὲ γὰρ πρὸς τοῦτον ἀπορήσομεν τῶν δυναμένων αὐτὸν διαναστῆναι καὶ πεῖσαι πέτεσθαι. Σὺ τοίνυν ὁ ταῦτα ἀγνοῶν, ὅταν ἀκούσῃς τοῦ προφήτου λέγοντος, «Τάδε λέγει Κύριος», ἀπόστηθι τῆς γῆς, ἀνάβηθι καὶ αὐτὸς εἰς τὸν οὐρανόν, ἐννόησον τίς ἐστιν ὁ δι' ἐκείνου σοι διαλεγόμενος. Νῦν δέ, μίμου μὲν γελωτοποιοῦντος, καὶ πορνευομένης γυναικὸς ἀσχημοσύνης, θέατρον τοσοῦτον κάθηται, πολλὴν παρέχον τὴν ἡσυχίαν τοῖς λεγομένοις, καὶ ταῦτα οὐδενὸς κελεύοντος σιγᾶν, καὶ οὔτε θόρυ-

λουτρά, ὅπως εἰς τὰς ἀγορὰς ὅπου φωνασκοῦν καὶ θορυβοῦν ὅλοι.

Καὶ αὐτὰ μόνον ἐδῶ· διότι ἀλλοῦ δὲν ἐπιτρέπεται οὔτε νὰ προσφωνήσῃ κανεὶς τὸν πλησίον εἰς τὴν ἐκκλησίαν, ἀκόμη καὶ ἂν μετὰ ἀπὸ πολὺν χρόνον συναντήσῃ κανεὶς κάποιον φίλον, ἀλλ' ἔξω γίνονται αὐτά, καὶ πολὺ ὀρθῶς. Διότι δὲν εἶναι κουρεῖον, οὔτε ἀρωματοπωλεῖον ἡ ἐκκλησία, οὔτε κάποιο ἄλλο ἐργαστήριον ἀπὸ αὐτὰ τῆς ἀγορᾶς, ἀλλὰ τόπος ἀγγέλων, τόπος ἀρχαγγέλων, βασίλειον τοῦ Θεοῦ, ὁ ἴδιος ὁ οὐρανός. Ὅπως λοιπὸν ἐὰν ἤνοιγε κάποιος τὸν οὐρανὸν καὶ σὲ ὡδήγει ἐκεῖ, ἀκόμη καὶ ἂν ἔβλεπες τὸν πατέρα ἢ τὸν ἀδελφόν σου δὲν θὰ ἐτόλμας νὰ ὁμιλήσῃς, ἔτσι καὶ ἐδῶ δὲν ἔπρεπε νὰ λέγεται τίποτε ἐκτὸς ἀπὸ τὰ πνευματικά. Καθ' ὅσον καὶ ἐδῶ οὐρανὸς εἶναι. Ἐὰν δὲ ἀμφιβάλλῃς κοίταζε πρὸς τὴν ἁγίαν τράπεζαν, θυμήσου ἐξ αἰτίας τίνος ἐστήθη καὶ διὰ ποῖον λόγον· σκέψου ποῖος ἐξουσιάζει ἐδῶ, φρίξε καὶ πρὶν ἔλθῃ ἐκείνη ἡ στιγμή. Διότι καὶ μόνον ὅταν ἰδῇ κανεὶς θρόνον βασιλέως, ἀνίσταται νοερῶς καὶ ἀναμένει τὴν ἔξοδον τοῦ βασιλέως. Καὶ σὺ λοιπὸν πρὶν ἀπὸ ἐκείνην τὴν φρικτὴν ὥραν, ἀνάστηθι νοερῶς καὶ πρὶν ἰδῇς τὰ παραπετάσματα ν' ἀνασηκώνωνται καὶ τὸν χορὸν τῶν ἀγγέλων νὰ προχωρῇ, ν' ἀναβαίνῃς εἰς αὐτὸν τὸν ἴδιον τὸν οὐρανόν.

Ἀλλὰ δὲν τὰ γνωρίζει αὐτὰ ὅποιος δὲν ἔχει μυηθῆ· λοιπὸν εἶναι ἀναγκαῖον καὶ εἰς ἐκεῖνον νὰ εἰποῦμεν ἄλλα. Διότι δὲν μᾶς λείπουν αὐτὰ ποὺ ἠμποροῦν νὰ τὸν ἀναστήσουν καὶ νὰ τὸν πείσουν νὰ σηκώνεται. Σὺ λοιπὸν ποὺ ἀγνοεῖς αὐτά, ὅταν ἀκούσῃς τὸν προφήτην νὰ λέγῃ, «Αὐτὰ λέγει ὁ Κύριος», ἀπομακρύνσου ἀπὸ τὴν γῆν, ὑψώσου διὰ ν' ἀναβῇς καὶ σὺ εἰς τὸν οὐρανόν, σκέψου ποῖος εἶναι ποὺ σοῦ ὁμιλεῖ διὰ μέσου ἐκείνου. Τώρα ὅμως, ὅταν μὲν ὁ μῖμος κάμνῃ τοὺς ἄλλους νὰ γελοῦν καὶ ὅταν ἀσχημονῇ ἡ γυνὴ ποὺ πορνεύει, τόσοι θεαταὶ παρακολουθοῦν καὶ τόσον πολλὴν ἡσυχίαν καὶ προσοχὴν δίδουν εἰς τὰ λεγόμενα, καὶ αὐτὸ χωρὶς κανεὶς νὰ παραγγέλῃ νὰ σιωποῦν, καὶ οὔτε θόρυβος οὔτε κραυγή, καὶ οὔτε ὁ παραμικρὸς ψίθυ-

βος οὔτε κραυγή, οὐχ ὁ τυχὼν θροῦς· Θεοῦ δὲ ἐκ τῶν οὐρανῶν φθεγγομένου περὶ φρικτῶν οὕτω πραγμάτων, κυνῶν ἀναισχυντότερον διακείμεθα, οὐδὲ ὅσην ταῖς πόρναις γυναιξί, τοσαύτην τῷ Θεῷ παρέχοντες τὴν αἰδῶ.

7. Ἐφρίξατε ταῦτα ἀκούσαντες; Οὐκοῦν πολλῷ μᾶλλον ποιοῦντες φρίξατε. Ὁ περὶ τῶν ὑπερορώντων τοὺς πένητας εἶπεν ὁ Παῦλος, καὶ μόνον ἑστιωμένων· «Μὴ γὰρ οἰκίας οὐκ ἔχετε εἰς τὸ ἐσθίειν καὶ πίνειν; ἢ τῆς ἐκκλησίας τοῦ Θεοῦ καταφρονεῖτε, καὶ καταισχύνετε τοὺς μὴ ἔχοντας;», δότε καὶ ἐμοὶ περὶ τῶν θορυβούντων ἐνταῦθα καὶ διαλεγομένων εἰπεῖν· μὴ γὰρ οὐκ ἔχετε οἰκίας εἰς τὸ φλυαρεῖν; ἢ τῆς ἐκκλησίας τοῦ Θεοῦ καταφρονεῖτε, καὶ διαφθείρετε καὶ τοὺς σωφρονεῖν καὶ ἡσυχάζειν βουλομένους; Ἀλλὰ ἡδὺ καὶ φίλον ὑμῖν τοῖς γνωρίμοις διαλέγεσθαι; Οὐ κωλύω τοῦτο, ἀλλ' ἐν οἰκίᾳ, ἀλλ' ἐν ἀγορᾷ, ἀλλ' ἐν βαλανείοις γινέσθω· ἡ γὰρ ἐκκλησία οὐ διαλέξεως, ἀλλὰ διδασκαλίας χωρίον ἐστί. Νυνὶ δὲ τῆς ἀγορᾶς οὐδὲν διενήνοχεν· εἰ δὲ μὴ τολμηρὸν εἰπεῖν, τάχα οὐδὲ τῆς σκηνῆς· οὕτω τῶν ἐκεῖ πορνευομένων γυναικῶν ἀσελγέστερον αἱ ἐνταῦθα συλλεγόμεναι καλλωπίζονται. Διὸ δὴ πολλοὺς καὶ ἐνταῦθα ἐφέλκονται τῶν ἀκολάστων· καὶ ἄν τε πειρᾶν τις βούληται γυναῖκα καὶ διαφθείρειν, οὐδεὶς οἶμαι τῆς ἐκκλησίας ἐπιτηδειότερος αὐτῷ τόπος εἶναι δοκεῖ· ἄν τε ὠνήσασθαί τι καὶ πρίασθαι δέῃ, μᾶλλον τῆς ἀγορᾶς χρήσιμος ἡ ἐκκλησία φαίνεται. Ἐνταῦθα γὰρ καὶ περὶ τούτων πλείους γίνονται λόγοι, ἢ ἐν αὐτοῖς τοῖς ἐργαστηρίοις. Ἄν τε κακῶς εἰπεῖν καὶ ἀκοῦσαι βούλωνταί τινες, καὶ τοῦτο ἐνταῦθα ὄψει μᾶλλον ἢ ἐπὶ τῆς ἀγορᾶς ἔξω συμβαῖνον. Κἂν τῶν πολιτικῶν τι βουληθῇς ἀκοῦσαι πραγμάτων, κἂν τῶν ἐν οἰκίαις, κἂν τῶν ἐν στρατοπέδῳ, μὴ βαδίσῃς εἰς δικαστήριον, μηδὲ καθίσῃς ἐν ἰατρείῳ. Εἰσὶ γὰρ ἐνταῦθα, εἰσὶν οἱ πάντων ἀκριβέστερον

ρος· ἐνῷ ὅταν ὁμιλῇ ὁ Θεὸς ἀπὸ τοὺς οὐρανοὺς διὰ τόσον φρικτὰ πράγματα, ἱστάμεθα περισσότερον ἀδιάντροπα καὶ ἀπὸ τὰ σκυλιά, χωρὶς νὰ σεβώμεθα τὸν Θεὸν οὔτε τόσον, ὅσον τὰς πόρνας.

7. Ἐφρίξατε ποὺ ἠκούσατε αὐτά; Λοιπόν, ὅταν τὰ κάμνετε νὰ φρίττετε πολὺ περισσότερον. Αὐτὸ ποὺ εἶπεν ὁ Παῦλος δι' ἐκείνους ποὺ παρέβλεπον τοὺς πτωχοὺς καὶ ἔτρωγον μόνοι, «Μήπως δὲν ἔχετε οἰκίας διὰ νὰ τρώγετε καὶ νὰ πίνετε; Ἢ καταφρονεῖτε τὴν ἐκκλησίαν τοῦ Θεοῦ καὶ ἐντροπιάζετε ἐκείνους ποὺ δὲν ἔχουν φαγητά;», αὐτὸ ἐπιτρέψατέ μου νὰ εἰπῶ καὶ ἐγὼ δι' αὐτοὺς ποὺ θορυβοῦν καὶ ὁμιλοῦν ἐδῶ· μήπως δὲν ἔχετε οἰκίας διὰ νὰ φλυαρῆτε; ἢ καταφρονεῖτε τὴν ἐκκλησίαν τοῦ Θεοῦ καὶ διαφθείρετε καὶ αὐτοὺς ποὺ θέλουν νὰ σωφρονοῦν καὶ νὰ ἡσυχάζουν; Ἀλλ' εἶναι γλυκὺ καὶ ἀγαπητὸν εἰς ἐσᾶς νὰ συνομιλῆτε μὲ τοὺς γνωστούς; Δὲν ἐμποδίζω αὐτό, ἀλλ' εἰς τὴν οἰκίαν, εἰς τὴν ἀγοράν, εἰς τὰ λουτρὰ ἄς γίνεται· διότι ἡ ἐκκλησία δὲν εἶναι χῶρος συνομιλίας, ἀλλὰ διδασκαλίας. Τώρα ὅμως εἰς τίποτε δὲν διαφέρει ἀπὸ τὴν ἀγοράν· ἐὰν δὲν ἦτο δὲ τολμηρὸν νὰ τὸ εἰπῶ ἴσως οὔτε καὶ ἀπὸ τὸ θέατρον· ἔτσι αἱ γυναῖκες ποὺ συγκεντρώνονται ἐδῶ καλλωπίζονται μὲ περισσοτέραν ἀσέλγειαν ἀπὸ τὰς γυναῖκας ποὺ πορνεύουν ἐκεῖ. Δι' αὐτὸ βεβαίως καὶ προσελκύονται ἐδῶ πολλοὶ ἀπὸ τοὺς ἀκολάστους· καὶ ἂν κάποιος θέλῃ νὰ ἐπιχειρήσῃ νὰ διαφθείρῃ κάποιαν γυναῖκα, νομίζω ὅτι κανεὶς χῶρος δὲν τοῦ φαίνεται καταλληλότερος ἀπὸ τὴν ἐκκλησίαν· καὶ ἐὰν κάποιος ἔχῃ ἀνάγκην νὰ μισθώσῃ καὶ ν' ἀγοράσῃ κάτι, θεωρεῖ τὴν ἐκκλησίαν περισσότερον χρήσιμον ἀπὸ τὴν ἀγοράν. Διότι ἐδῶ περισσότερον γίνεται λόγος δι' αὐτά, παρὰ εἰς τὰ ἐργαστήρια. Καὶ ἂν θέλουν μερικοὶ νὰ εἰποῦν καὶ ν' ἀκούσουν κακὰ καὶ αὐτὸ ἐδῶ θὰ ἴδῃς νὰ συμβαίνῃ περισσότερον, παρὰ εἰς τὴν ἀγοράν. Καὶ ἐὰν θελήσῃς ν' ἀκούσῃς κάτι ἀπὸ τὰ πολιτικὰ πράγματα, ἢ ἀπὸ ὅ,τι συμβαίνει εἰς τὰς οἰκίας, ἢ εἰς τὸ στρατόπεδον, μὴ μεταβῇς εἰς δικαστήριον, οὔτε νὰ καθίσῃς εἰς ἰατρεῖον. Διότι ὑπάρχουν ἐδῶ αὐτοὶ ποὺ γνωστοποιοῦν αὐτὰ ὅ-

ταῦτα ἅπαντα ἀπαγγέλλοντες, καὶ πάντα μᾶλλόν ἐστι τὰ ἐνταῦθα, ἢ ἐκκλησία.

Τάχα σφόδρα καθηψάμην ὑμῶν. Οὐκ ἔγωγε οἶμαι. Ὅταν γὰρ τοῖς αὐτοῖς ἐπιμένητε, πόθεν εἴσομαι ὅτι καθίκετο ὑμῶν τὰ εἰρημένα; Οὐκοῦν τῶν αὐτῶν ἀναγκαῖον ἅψασθαι πάλιν. Ταῦτα οὖν ἀνεκτά; ταῦτα φορητά; Κοπτόμεθα καθ' ἑκάστην ἡμέραν καὶ διασπώμεθα, ἵνα τι χρήσιμον μαθόντες ἀπέλθητε· καὶ οὐδεὶς ὑμῶν τι κερδάνας ἄπεισιν, ἀλλὰ καὶ βλαβεὶς μειζόνως. Καὶ γὰρ εἰς κρίμα συνέρχεσθε, πρόφασιν οὐκέτι περὶ τῆς ἁμαρτίας ἔχοντες, καὶ τοὺς ἐπιεικεστέρους ἐκκρούετε, ταῖς ὑμετέραις φλυαρίαις ἐνοχλοῦντες πάντοθεν. Ἀλλὰ τίς ὁ τῶν πολλῶν λόγος; Οὐκ ἀκούω τῶν ἀναγινωσκομένων, φησίν, οὐδὲ οἶδα τίνα ἐστὶ τὰ λεγόμενα. Ἐπειδὴ θορυβεῖς, ἐπειδὴ ταράσσεις, ἐπειδὴ μετὰ ψυχῆς εὐλάβειαν ἐχούσης οὐ παραγίνῃ. Τί φῄς; οὐκ οἶδας τίνα ἐστὶ τὰ λεγόμενα; Δι' αὐτὸ μὲν οὖν τοῦτο προσέχειν ἐχρῆν. Εἰ δὲ οὐδὲ τὸ ἀσαφὲς διεγείρει σου τὴν ψυχήν, πολλῷ μᾶλλον εἰ σαφῆ ἦν, παρέδραμες. Διὰ γὰρ τοῦτο οὔτε σαφῆ πάντα ἐστίν, ἵνα μὴ ῥαθυμήσῃς, οὔτε ἀσαφῆ, ἵνα μὴ ἀπογνῷς. Καὶ ὁ μὲν εὐνοῦχος ἐκεῖνος καὶ βάρβαρος οὐδὲν τούτων εἶπεν, ἀλλὰ καὶ τοσούτων πραγμάτων ὄχλῳ κυκλούμενος, καὶ ἐν ὁδῷ ὤν, βιβλίον μετὰ χεῖρας εἶχε καὶ ἀνεγίνωσκεν, οὐκ εἰδὼς ἅπερ ἀνεγίνωσκε· σὺ δὲ καὶ ἐν διδασκάλων εὐπορίᾳ ὤν, καὶ ἑτέρους ἔχων τοὺς ὑπαναγινώσκοντας, σκήψεις προβάλλῃ μοι καὶ προφάσεις.

Οὐκ οἶσθα τὰ λεγόμενα; Οὐκοῦν εὖξαι ἵνα μάθῃς· μᾶλλον δὲ ἀμήχανον πάντα ἀγνοεῖν. Καὶ γὰρ πολλὰ αὐτόθεν ἐστὶ κατάδηλα καὶ σαφῆ· μᾶλλον δέ, κἂν ἅπαντα ἀγνοῇς,

λα ἀκριβέστερον ἀπὸ ὅλους, καὶ συμβαίνουν περισσότερον ὅλα αὐτὰ παρὰ τὰ τῆς ἐκκλησίας.

Ἴσως σᾶς ἔκανα νὰ νοιώσετε πολλὴν ἐντροπήν. Ἐγὼ ὅμως δὲν τὸ πιστεύω. Διότι, ὅταν ἐπιμένετε εἰς τὰ ἴδια, ἀπὸ ποῦ θὰ καταλάβω ὅτι ἔχετε ἐντραπῆ ἀπὸ τὰ λεχθέντα; Λοιπὸν κατ' ἀνάγκην θὰ ἀσχοληθῶμεν πάλιν μὲ τὰ ἴδια. Εἶναι λοιπὸν ἀνεκτὰ αὐτά; εἶναι ὑποφερτά; Καθημερινῶς ἀγωνιζόμεθα μὲ κόπον καὶ μοχθοῦμεν διὰ νὰ φύγετε ἀφοῦ μάθετε κάτι χρήσιμον· καὶ κανεὶς ἀπὸ σᾶς δὲν φεύγει ἀφοῦ κερδίσῃ κάτι, ἀλλ' ἐπὶ πλέον ἀφοῦ ζημιωθῇ καὶ πολὺ μάλιστα. Διότι ἡ συγκέντρωσίς σας ἀποβαίνει καταδικαστικὴ δι' ἐσᾶς καὶ δὲν ἔχετε καμμίαν δικαιολογίαν διὰ τὴν ἁμαρτίαν σας καὶ ἀποδιώκετε καὶ εὐλαβεστέρους μὲ τὸ νὰ ἐνοχλῆτε ἀπὸ παντοῦ μὲ τὰς φλυαρίας σας. Καὶ ποία εἶναι ἡ δικαιολογία τῶν πολλῶν; Δὲν καταλαμβάνω αὐτὰ ποὺ ἀναγινώσκονται, λέγει, οὔτε γνωρίζω τί εἶναι αὐτὰ ποὺ λέγονται. Ἐπειδὴ θορυβεῖς, ἐπειδὴ προκαλεῖς ταραχήν, ἐπειδὴ δὲν ἦλθες μὲ ψυχὴν γεμάτην εὐλάβειαν. Τί λέγεις; δὲν γνωρίζεις τί εἶναι αὐτὰ ποὺ λέγονται; Δι' αὐτὸ ἀκριβῶς λοιπὸν ἔπρεπε νὰ προσέχῃς. Ἐὰν δὲ οὔτε τὸ ἀσαφὲς αὐτῶν ποὺ ἀναγινώσκονται δὲν σοῦ ἐξυπνᾷ τὴν ψυχήν, πολὺ περισσότερον θὰ παρέβλεπες αὐτὰ ἐὰν ἦσαν σαφῆ. Διότι δι' αὐτὸ δὲν εἶναι ὅλα σαφῆ, διὰ νὰ μὴ πέσῃς εἰς ἀμέλειαν καὶ ὀκνηρίαν, οὔτε εἶναι ὅλα ἀσαφῆ, διὰ νὰ μὴ κυριευθῇς ἀπὸ ἀπόγνωσιν. Καὶ ἐκεῖνος μὲν ὁ εὐνοῦχος καὶ βάρβαρος τίποτε ἀπὸ αὐτὰ δὲν εἶπεν, ἀλλ' ἂν καὶ ἦτο περιεζωσμένος ἀπὸ τὴν ἐνόχλησιν τόσων πραγμάτων καὶ εὑρίσκετο καθ' ὁδόν, εἶχεν εἰς τὰ χέρια του βιβλίον καὶ τὸ ἐδιάβαζε, χωρὶς νὰ γνωρίζῃ αὐτὰ ποὺ ἐδιάβαζεν, ἐνῷ σύ, ἂν καὶ εὑρίσκεσαι μέσα εἰς τόσην ἀφθονίαν διδασκάλων καὶ ἔχεις ἄλλους ποὺ ἀναγινώσκουν πρὸς ἀκρόασιν τοῦ ἐκκλησιάσματος, μοῦ προβάλλεις δικαιολογίας καὶ προφάσεις.

Δὲν γνωρίζεις αὐτὰ ποὺ λέγονται; Λοιπὸν προσευχήσου διὰ νὰ μάθῃς· μᾶλλον δὲ εἶναι ἀδύνατον νὰ τὰ ἀγνοῇς ὅλα. Διότι πολλὰ ἀπὸ αὐτὰ εἶναι ἀπὸ μόνα των καταφανῆ καὶ σαφῆ· μᾶλλον δέ, καὶ ἂν τὰ ἀγνοῇς ὅλα, καὶ ἔτσι ἔπρε-

καὶ οὕτως ἡσυχάζειν ἔδει, ἵνα μὴ τοὺς προσέχοντας ἐκκρούσῃς, ἵνα σου τὴν ἡσυχίαν καὶ τὴν αἰδῶ ἀποδεξάμενος ὁ Θεός, καὶ τὰ ἀσαφῆ ποιήσῃ δῆλα. Ἀλλ' οὐ δύνασαι σιγᾶν; Οὐκοῦν ἔξιθι, ἵνα μὴ καὶ ἑτέροις γένῃ βλάβη. Καὶ γὰρ μίαν ἐν ἐκκλησίᾳ δεῖ φωνὴν εἶναι ἀεί, καθάπερ ἑνὸς ὄντος σώματος. Διὰ τοῦτο καὶ ὁ ἀναγινώσκων μόνος φθέγγεται· καὶ αὐτὸς ὁ τὴν ἐπισκοπὴν ἔχων ἀνέχεται σιγῇ καθήμενος· καὶ ὁ ψάλλων ψάλλει μόνος· κἂν πάντες ὑπηχῶσιν, ὡς ἐξ ἑνὸς στόματος ἡ φωνὴ φέρεται· καὶ ὁ ὁμιλῶν ὁμιλεῖ μόνος. Ὅταν δὲ πολλοὶ καὶ πολλὰ καὶ διάφορα διαλέγωνται, τίνος ἕνεκεν ἐνοχλοῦμεν ἡμεῖς εἰκῇ; Οὐδὲ γὰρ εἰ μὴ εἰκῇ ἐνοχλεῖν ἡμᾶς ἡγεῖσθε, περὶ τηλικούτων φθεγγομένων ἡμῶν, περὶ τῶν οὐδὲν προσηκόντων ὑμεῖς διελέγεσθε. Διὰ ταῦτα οὐκ ἐν τῷ βίῳ μόνον ὑμῖν, ἀλλὰ καὶ ἐν αὐτῇ τῶν πραγμάτων τῇ ψήφῳ πολλὴ ἡ διαστροφή· καὶ περὶ τὰ περιττὰ κεχήνατε, καὶ τὴν ἀλήθειαν ἀφέντες, τὰς σκιὰς καὶ τὰ ὀνείρατα διώκετε. Ἢ οὐ σκιὰ καὶ ὀνείρατα τὰ παρόντα ἅπαντα, καὶ σκιᾶς χείρω; Καὶ γὰρ πρὶν ἢ φανῆναι, ἀφίπταται, καὶ πρὶν ἀποπτῆναι, πολὺν παρέχει τὸν θόρυβον καὶ πλείονα τῆς ἡδονῆς. Κἂν μυρία τις ἐνταῦθα λαβὼν κατορύξῃ χρήματα, τῆς νυκτὸς παρελθούσης, γυμνὸς ἄπεισιν ἐντεῦθεν, καὶ μάλα εἰκότως· ἐπεὶ καὶ οἱ ὄναρ πλουτοῦντες, ἀναστάντες ἀπὸ τῆς εὐνῆς, οὐδὲν ἔχουσιν ὧν ἔχειν ἐδόκουν καθεύδοντες.

Οὕτω καὶ οἱ πλεονεκτοῦντες· μᾶλλον δὲ οὐχ οὕτως, ἀλλὰ καὶ πολλῷ χεῖρον. Ὁ μὲν γὰρ ὄναρ πλουτῶν, οὔτε τὰ χρήματα ἔχει, ἅπερ ἐφαντάζετο ἔχειν, οὔτε ἄλλο τι κακὸν ἀπὸ τῆς φαντασίας ταύτης λαβὼν ἀνίσταται, οὗτος δὲ τῶν μὲν χρημάτων ἐστέρηται, τῶν δὲ ἁμαρτημάτων τῶν ἐκ τῶν χρημάτων ἐμπλησθεὶς ἄπεισι· καὶ ἐν τῷ πλούτῳ φαντα-

πε νὰ ἵστασαι μὲ ἡσυχίαν, διὰ νὰ μὴ ἀποδιώξῃς ἐκείνους ποὺ προσέχουν, ὥστε, ἀφοῦ ἀποδεχθῇ ὁ Θεὸς τὴν ἡσυχίαν καὶ τὸν σεβασμόν σου, νὰ κάνῃ διὰ σὲ φανερὰ καὶ τὰ ἀσαφῆ. Ἀλλὰ δὲν ἠμπορεῖς νὰ σιωπᾷς; Λοιπὸν ἔξελθε, διὰ νὰ μὴ βλάψῃς καὶ ἄλλους. Διότι μία φωνὴ πρέπει νὰ ἀκούεται πάντοτε εἰς τὴν ἐκκλησίαν, ἀφοῦ εἶναι ἓν σῶμα. Δι' αὐτὸ καὶ μόνον ἐκεῖνος ποὺ ἀναγινώσκει ὁμιλεῖ· καὶ αὐτὸς ἀκόμη ποὺ εἶναι ἐπίσκοπος ὑπομένει καὶ κάθεται σιωπῶν· καὶ ὁ ψάλτης, ὅταν ψάλλῃ, ψάλλει μόνος· καὶ ἂν ὑποψάλλουν ὅλοι, ἡ φωνὴ ἐξέρχεται ὡσὰν ἀπὸ ἓν στόμα· καὶ αὐτὸς ποὺ ὁμιλεῖ ὁμιλεῖ μόνος. Ὅταν ὅμως πολλοὶ καὶ πολλὰ καὶ διάφορα λέγουν, διὰ ποῖον λόγον ἐμεῖς σᾶς ἐνοχλοῦμεν ἄσκοπα; Διότι ἐὰν δὲν εἴχατε τὴν γνώμην ὅτι ἄσκοπα σᾶς ἐνοχλοῦμεν ὅταν ὁμιλοῦμεν διὰ τέτοια πράγματα, δὲν θὰ ὡμιλούσατε διὰ τὰ τελείως ἀπρεπῆ. Δι' ὅλα αὐτά, ὄχι μόνον εἰς τὴν ζωήν σας, ἀλλὰ καὶ εἰς αὐτὴν τὴν πίστιν εἶναι μεγάλη ἡ διαστροφή· καὶ χάσκετε ἀπὸ θαυμασμὸν διὰ τὰ περιττά, καί, ἀφοῦ ἐγκατελείψατε τὴν ἀλήθειαν, τρέχετε πίσω ἀπὸ τὰς σκιὰς καὶ τὰ ὄνειρα. Ἢ μήπως δὲν εἶναι σκιὰ καὶ ὄνειρα ὅλα εἰς τὴν παροῦσαν ζωήν, καὶ χειρότερα ἀπὸ σκιάν; Διότι καὶ πρὶν φανοῦν ἀκόμη πετοῦν, καὶ πρὶν πετάξουν προξενοῦν πολλὴν ταραχὴν καὶ περισσοτέραν ἀπὸ τὴν ἡδονὴν ποὺ δίδουν. Καὶ ἂν ἀκόμη ἀποκτήσῃ κανεὶς ἀμέτρητα χρήματα εἰς αὐτὴν τὴν ζωὴν καὶ τὰ κρύψῃ εἰς τὴν γῆν, ἀφοῦ παρέλθῃ ἡ νύκτα, γυμνὸς ἀπέρχεται ἀπὸ ἐδῶ, καὶ πολὺ φυσικά· διότι καὶ αὐτοὶ ποὺ πλουτίζουν εἰς τὸ ὄνειρόν των, ὅταν σηκωθοῦν ἀπὸ τὴν κλίνην των, δὲν ἔχουν τίποτε ἀπὸ ὅσα ἐνόμιζον ὅτι ἔχουν ὅταν ἐκοιμῶντο.

Ἔτσι καὶ οἱ πλεονέκται· μᾶλλον δὲ ὄχι ἔτσι, ἀλλὰ καὶ πολὺ χειρότερον. Διότι ἐκεῖνος μὲν ποὺ πλουτίζει εἰς τὸ ὄνειρόν του, οὔτε τὰ χρήματα ἔχει, ποὺ ἐφαντάζετο ὅτι ἔχει, οὔτε ἐξυπνᾷ ἀφοῦ πάθῃ κάποιο ἄλλο κακὸν ἀπὸ αὐτὴν τὴν φαντασίαν, ἐνῷ αὐτὸς τὰ μὲν χρήματα τὰ στερεῖται ὁριστικὰ μὲ τὸν θάνατον, ἀπέρχεται δὲ ἀφοῦ ἐγέμισεν ἀπὸ τὰς ἁμαρτίας ποὺ προέρχονται ἀπὸ τὰ χρήματα· καὶ ἀφοῦ ἔζησεν ὡσὰν μὲ τὴν φαντασίαν του μέσα εἰς τὸν

σθείς, τὰ ἐκ τοῦ πλούτου κακὰ οὐχ ὁρᾷ ἐν φαντασίᾳ λοιπόν, ἀλλ' ἐν αὐτῇ τῶν πραγμάτων τῇ ἀληθείᾳ. Καὶ ἡ μὲν ἡδονὴ γέγονεν ἐν ὀνείροις, ἡ δὲ ἐκ τῆς ἡδονῆς κόλασις οὐκέτι ὄναρ συμβαίνει, ἀλλ' ἐν αὐτῇ τῇ πείρᾳ· μᾶλλον δὲ καὶ πρὸ τῆς κολάσεως ἐκείνης καὶ ἐνταῦθα τὴν ἐσχάτην τίνει δίκην, ἐν αὐτῷ τῷ συλλέγειν μυρίας προστριβόμενος ἀθυμίας, φροντίδας, κατηγορίας, διαβολάς, θορύβους, ταραχάς. Ἵν' οὖν καὶ τῶν ὀνειράτων ἀπαλλαγῶμεν καὶ τῶν κακῶν τῶν οὐκ ἐν ὀνείροις, ἀντὶ πλεονεξίας ἐλεημοσύνην ἑλώμεθα, ἀντὶ ἁρπαγῆς φιλανθρωπίαν. Οὕτω γὰρ καὶ τῶν παρόντων καὶ τῶν μελλόντων ἐπιτευξόμεθα ἀγαθῶν, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

πλοῦτον, τὰ κακὰ τοῦ πλούτου δὲν τὰ βλέπει πλέον εἰς τὴν φαντασίαν, ἀλλ' εἰς αὐτὴν τὴν πραγματικότητα. Καὶ ἡ μὲν ἡδονὴ ἦτο ὡσὰν ὄνειρον, ἐνῷ ἡ κόλασις ποὺ γεννᾶται ἀπὸ τὴν ἡδονὴν δὲν εἶναι καθόλου ὄνειρον, ἀλλὰ πραγματικότης· μᾶλλον δὲ καὶ πρὶν ἀπὸ τὴν κόλασιν ἐκείνην καὶ ἐδῶ τιμωρεῖται αὐστηρότατα, μὲ τὸ νὰ κατατρίβεται εἰς τὸ νὰ συλλέγῃ ἀπείρους θλίψεις, φροντίδας, κατηγορίας, διαβολάς, συγχύσεις, ταραχάς. Διὰ ν' ἀπαλλαγῶμεν λοιπὸν καὶ ἀπὸ τὰ ὄνειρα καὶ ἀπὸ τὰ κακὰ ποὺ προξενοῦν, ἀντὶ τῆς πλεονεξίας ἂς προτιμῶμεν τὴν ἐλεημοσύνην, ἀντὶ ἁρπαγῆς τὴν φιλανθρωπίαν. Διότι ἔτσι θὰ ἐπιτύχωμεν καὶ τὰ παρόντα καὶ τὰ μέλλοντα ἀγαθά, τὰ ὁποῖα εἴθε νὰ ἀξιωθῶμεν ὅλοι μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΛΟΓΟΣ ΛΖ΄
Α΄ Κορ. 14, 34 - 40

«Αἱ γυναῖκες ὑμῶν ἐν ταῖς ἐκκλησίαις σιγάτωσαν. Οὐ γὰρ ἐπιτέτραπται αὐταῖς λαλεῖν, ἀλλ' ὑποτάσσεσθαι, καθὼς καὶ ὁ νόμος θέλει».

1. Περικόψας τὸν θόρυβον τῶν ἀπὸ τῶν γλωσσῶν, καὶ τὸν ἀπὸ τῶν προφητειῶν, καὶ νομοθετήσας, ὥστε μὴ σύγχυσιν γίνεσθαι, τούς τε γλώσσαις λαλοῦντας ἀνὰ μέρος τοῦτο ποιεῖν, τούς τε προφητεύοντας ἀρξαμένου ἑτέρου σιγᾶν, λοιπὸν καὶ ἐπὶ τὴν ταραχὴν τὴν ἀπὸ τῶν γυναικῶν γινομένην ὁδῷ πρόεισι, τὴν ἄκαιρον αὐτῶν ἐκκόπτων παρρησίαν, καὶ σφόδρα εὐκαίρως. Εἰ γὰρ τοῖς τὰ χαρίσματα ἔχουσιν ἁπλῶς οὐκ ἐφεῖται λαλεῖν, οὐδ' ὅτε βούλονται, καὶ ταῦτα ὑπὸ τοῦ πνεύματος κινουμένοις, πολλῷ μᾶλλον ἐκείναις εἰκῇ φλυαρούσαις καὶ μάτην. Διὰ τοῦτο καὶ μετὰ πολλῆς τῆς αὐθεντίας ἐπιστομίζει τὴν φλυαρίαν αὐτῶν, καὶ τὸν νόμον μεθ' ἑαυτοῦ λαβών, οὕτως αὐτῶν ἀπορράπτει τὰ στόματα. Οὐ γὰρ παραινεῖ μόνον ἐνταῦθα, οὐδὲ συμβουλεύει, ἀλλὰ καὶ ἐπιτάττει σφοδρῶς, παλαιὸν ὑπὲρ τούτων ἀναγινώσκων νόμον. Εἰπὼν γὰρ ὅτι «Αἱ γυναῖκες ὑμῶν ἐν ταῖς ἐκκλησίαις σιγάτωσαν», καί, «Οὐκ ἐπιτέτραπται αὐταῖς λαλεῖν, ἀλλ' ὑποτάττεσθαι», ἐπήγαγε, «Καθὼς καὶ ὁ νόμος λέγει».

Καὶ ποῦ τοῦτο λέγει ὁ νόμος; «Πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου, καὶ αὐτός σου κυριεύσει». Εἶδες Παύλου σοφίαν, ἡλίκην παρήγαγε μαρτυρίαν, οὐ σιγᾶν αὐταῖς κελεύουσαν μόνον, ἀλλὰ καὶ μετὰ φόβου σιγᾶν, καὶ μετὰ φό-

ΛΟΓΟΣ ΛΖ΄
Α΄ Κορ. 14, 34-40

«Αἱ γυναῖκες σας νὰ σιωποῦν εἰς τὰς ἐκκλησίας, διότι δὲν ἐπιτρέπεται εἰς αὐτὰς νὰ ὁμιλοῦν, ἀλλὰ νὰ ὑποτάσσωνται, καθὼς λέγει ὁ νόμος».

1. Ἀφοῦ κατέπαυσε τὸν θόρυβον ποὺ εἶχε δημιουργηθῆ ἀπὸ τὴν στάσιν των ὡς πρὸς τὸ χάρισμα τῶν γλωσσῶν καὶ τῶν προφητειῶν καὶ ἀφοῦ ἐρύθμισε μὲ νόμον τὴν κατάστασιν, ὥστε νὰ μὴ γίνεται σύγχυσις, μὲ τὴν ἐντολὴν νὰ ὁμιλοῦν μὲ τὴν σειρὰν αὐτοὶ ποὺ ἔχουν χάρισμα γλωσσῶν καὶ αὐτοὶ ποὺ προφητεύουν, ὅταν ἀρχίσῃ ἄλλος, νὰ σιωποῦν, προχωρεῖ πλέον καὶ εἰς τὴν ταραχὴν ποὺ δημιουργεῖται ἀπὸ τὰς γυναῖκας, διὰ νὰ κόψῃ τὴν συνήθειαν νὰ ὁμιλοῦν εἰς χρόνον ἀκατάλληλον, καὶ πολὺ ὀρθῶς. Διότι, ἐὰν ἐκείνους ποὺ ἔχουν τὰ χαρίσματα, δὲν τοὺς ἐπιτρέπῃ νὰ ὁμιλοῦν ἀσκόπως, οὔτε ὅταν θέλουν, καὶ αὐτὸ παρ' ὅ,τι κινοῦνται ἀπὸ τὸ χάρισμα, πολὺ περισσότερον ἐκείνας ποὴ φλυαροῦν διὰ μάταια πράγματα. Δι' αὐτὸ μὲ πολλὴν ἐξουσίαν χαλινώνει τὴν φλυαρίαν των, καὶ ἀφοῦ λάβῃ μὲ τὸ μέρος του τὸν νόμον ράπτει ἔτσι τὰ στόματά των. Διότι ἐδῶ δὲν περιορίζεται μόνον εἰς τὸ νὰ παραινῇ καὶ νὰ συμβουλεύῃ, ἀλλὰ καὶ δίδει αὐστηρὰς ἐντολὰς ἀναγινώσκων παλαιὸν νόμον σχετικὸν μὲ αὐτά. Ἀφοῦ εἶπε δηλαδὴ ὅτι «αἱ γυναῖκες σας νὰ σιωποῦν εἰς τὰς ἐκκλησίας», καί, «δὲν ἐπιτρέπεται εἰς αὐτὰς νὰ ὁμιλοῦν, ἀλλὰ νὰ ὑποτάσσωνται», προσέθεσε, «καθὼς λέγει ὁ νόμος».

Καὶ ποῦ τὸ λέγει αὐτὸ ὁ νόμος; «Θὰ εἶσαι ἐξηρτημένη ἀπὸ τὸν ἄνδρα σου. Καὶ αὐτὸς θὰ εἶναι κύριός σου». Εἶδες τὴν σοφίαν τοῦ Παύλου, ποῖαν μαρτυρίαν ἀνέφερεν, ἡ ὁποία προστάσσει αὐτὰς ὄχι μόνον νὰ σιωποῦν, ἀλλὰ

δου τοσούτου, μεθ' ὅσου τὴν δούλην ἡσυχάζειν χρή; Διὸ καὶ οὗτος εἰπών, ὅτι «οὐκ ἐπιτέτραπται αὐτοῖς λαλεῖν», οὐκ ἐπήγαγεν, ἀλλὰ σιγᾶν, ἀλλ' ἀντὶ τοῦ σιγᾶν τὸ πλέον τέθεικε, τὸ «ὑποτάττεσθαι». Εἰ δὲ ἐπὶ ἀνδρῶν τοῦτο, πολλῷ μᾶλλον ἐπὶ τῶν διδασκάλων καὶ πατέρων καὶ τοῦ κοινοῦ τῆς ἐκκλησίας συλλόγου. Καὶ εἰ μηδὲν φθέγξονται, φησί, μηδὲ ἐρωτήσουσι, τίνος ἕνεκεν καὶ παρέσονται; Ἵνα ἀκούωσι μὲν ἃ χρή, τὰ δὲ ἀμφιβαλλόμενα παρὰ τῶν ἀνδρῶν οἴκοι μανθάνωσι. Διὸ καὶ ἐπήγαγεν· «Εἰ δέ τι μαθεῖν θέλουσιν, ἐν οἴκῳ τοὺς ἰδίους ἄνδρας ἐπερωτάτωσαν». Οὐ γὰρ δὴ μόνον λαλεῖν αὐταῖς οὐκ ἐφεῖται, φησίν, ἁπλῶς, ἀλλ' οὐδὲ ἐρωτῶν τι ἐν ἐκκλησίᾳ. Εἰ δὲ ἐρωτᾶν οὐ χρή, πολλῷ μᾶλλον ἁπλῶς λαλεῖν οὐ θέμις.

Καὶ τί δήποτε ἐν τοσαύτῃ κατέστησεν αὐτὰς ὑποταγῇ; Ὅτι ἀσθενέστερόν πως ἐστὶν ἡ γυνὴ καὶ εὐρίπιστον καὶ κοῦφον. Διὰ δὴ τοῦτο τοὺς ἄνδρας αὐταῖς ἐπέστησε διδασκάλους, ἀμφοτέρους ὠφελῶν. Ἐκείνας τε γὰρ κοσμίας κατεσκεύασε, τούτους τε ἐναγωνίους ἐποίησεν, ἅτε μέλλοντας ἅπερ ἤκουσαν μετὰ πολλῆς τῆς ἀκριβείας ταῖς γυναιξὶ παρακατατίθεσθαι. Εἶτα ἐπειδὴ καλλωπίζεσθαι ἐντεῦθεν ἐνόμιζον ἐκ τοῦ φθέγγεσθαι δημοσίᾳ, πάλιν εἰς τὸ ἐναντίον περιάγει τὸν λόγον, λέγων· «Αἰσχρὸν γάρ ἐστι γυναιξὶν ἐν ἐκκλησίᾳ λαλεῖν». Πρῶτον μὲν γὰρ ἀπὸ τοῦ νόμου τοῦτο κατεσκεύασε τοῦ Θεοῦ, ἔπειτα ἀπὸ τοῦ κοινοῦ λογισμοῦ καὶ τῆς συνηθείας, ὥσπερ καὶ ἡνίκα περὶ κόμης αὐταῖς διελέγετο, ἔλεγεν· «Ἢ οὐδὲ αὐτὴ ἡ φύσις ὑμᾶς διδάσκει;». Καὶ πανταχοῦ τοιοῦτον εὕροις ἂν αὐτοῦ τὸν τρόπον ὄντα, οὐκ ἀπὸ τῶν θείων Γραφῶν μόνον, ἀλλὰ καὶ ἀπὸ τῆς κοινῆς συνηθείας ἐντρέποντα. Πρὸς δὲ τούτοις καὶ ἀπὸ τῶν πᾶσι δοκούντων καὶ πανταχοῦ τυπωθέντων ἐντρέπει, ὃ καὶ ἐνταῦθα τέθεικεν εἰπών· «Ἢ ἀφ' ὑμῶν ὁ λόγος τοῦ Θεοῦ

καὶ μὲ φόβον νὰ σιωποῦν, καὶ μάλιστα μὲ τόσον φόβον, μὲ ὅσον πρέπει νὰ σιωπᾷ ἡ δούλη; Δι' αὐτὸ καὶ αὐτός, ὅταν εἶπεν ὅτι δὲν ἐπιτρέπεται εἰς αὐτὰς νὰ ὁμιλοῦν, δὲν προσέθεσεν, ἀλλὰ νὰ σιωποῦν, ἀλλ' ἀντὶ τοῦ, σιωποῦν, εἶπε κάτι περισσότερον, τὸ νὰ ὑποτάσσωνται. Ἐὰν δὲ αὐτὸ ἰσχύῃ ὡς πρὸς τοὺς ἄνδρας, πολὺ περισσότερον εἰς τοὺς διδασκάλους καὶ τοὺς πατέρας καὶ εἰς τὸ σύνολον τοῦ ἐκκλησιάσματος. Καὶ ἐὰν δὲν εἰποῦν τίποτε, θὰ εἰπῇ κάποιος, οὔτε ἐρωτήσουν, διατί νὰ παρευρίσκωνται; Διὰ ν' ἀκούουν μὲν αὐτὰ ποὺ πρέπει, δι' ὅσα δὲ ἔχουν ἀπορίαν νὰ τὰ μαθαίνουν εἰς τὴν οἰκίαν ἀπὸ τοὺς ἄνδρας των. Δι' αὐτὸ καὶ προσέθεσε· «Καὶ ἐὰν θέλουν νὰ μάθουν κάτι, ἂς ἐρωτοῦν τοὺς ἄνδρας των εἰς τὴν οἰκίαν». Ὄχι μόνον δὲν ἐπιτρέπεται εἰς αὐτὰς νὰ ὁμιλοῦν εἰς τὴν ἐκκλησίαν, λέγει, ἀλλ' οὔτε νὰ ἐρωτοῦν κάτι εἰς τὴν ἐκκλησίαν. Ἐὰν δὲ δὲν πρέπει νὰ ἐρωτοῦν, πολὺ περισσότερον δὲν ἐπιτρέπεται νὰ ὁμιλοῦν ἀσκόπως.

Καὶ διατί ἔθεσεν αὐτὰς εἰς τόσην ὑποταγήν; Διότι εἶναι κάπως ἀσθενεστέρα ἡ γυναῖκα καὶ ἄστατον καὶ ἐλαφρόν. Δι' αὐτὸ λοιπὸν ἐτοποθέτησεν ὡς διδασκάλους των τοὺς ἄνδρας, ὥστε νὰ ὠφελήσῃ καὶ τοὺς δύο. Καὶ ἐκείνας δηλαδὴ κατέστησε κοσμίας καὶ τοὺς ἄνδρας εἰς ἀγωνίαν, ἀφοῦ θὰ ἔπρεπεν ὅσα ἤκουσαν νὰ παραδίδουν μὲ ἀπόλυτον ἀκρίβειαν εἰς τὰς γυναῖκας. Ἐν συνεχείᾳ, ἐπειδὴ ἐνόμιζον ὅτι τὰς τιμᾷ τὸ νὰ ὁμιλοῦν δημοσίως, πάλιν ὁδηγεῖ τὸν λόγον εἰς τὸ ἀντίθετον, λέγων· «διότι εἶναι ἐντροπὴ διὰ τὰς γυναῖκας νὰ ὁμιλοῦν εἰς τὴν ἐκκλησίαν». Πρῶτον μὲν λοιπὸν ἀπέδειξεν αὐτὸ ἀπὸ τὸν νόμον τοῦ Θεοῦ, ὕστερον ἀπὸ τὴν κοινὴν λογικὴν καὶ συνήθειαν, ὅπως καὶ ὅταν ὡμίλει διὰ τὴν κώμην τῶν γυναικῶν ἔλεγε· «Καὶ αὐτὴ ἡ φύσις δὲν σᾶς διδάσκει;». Καὶ παντοῦ τέτοιος θὰ ἰδῇς νὰ εἶναι ὁ τρόπος του, δηλαδὴ ὄχι μόνον ἀπὸ τὰς θείας Γραφάς, ἀλλὰ καὶ ἀπὸ τὴν κοινὴν συνήθειαν νὰ ἐντροπιάζῃ. Ἐπὶ πλέον αὐτῶν δὲ καὶ ἀπὸ τὰς γενικὰς πεποιθήσεις καὶ τοὺς νόμους ποὺ ἰσχύουν παντοῦ προκαλεῖ ἐντροπήν, πρᾶγμα ποὺ ἔκανε καὶ ἐδῶ ὅταν εἶπεν, «Ἢ μήπως ὁ λό-

ἐξῆλθεν, ἢ εἰς ὑμᾶς μόνους κατήντησε;». Καὶ γὰρ τὰς λοιπὰς ἐκκλησίας παρήγαγε τοῦτον τηρούσας τὸν νόμον, καὶ ἀπὸ τῆς καινοτομίας τὸν θόρυβον ὑποτεμνόμενος, καὶ τῇ τῶν πολλῶν ψήφῳ τὸν λόγον ποιῶν εὐπαράδεκτον. Διὸ καὶ ἀλλαχοῦ ἔλεγεν· «Ὃς ὑμᾶς ἀναμνήσει τὰς ὁδούς μου τὰς ἐν Χριστῷ, καθὼς πανταχοῦ ἐν πάσαις ταῖς ἐκκλησίαις διδάσκω»· καὶ πάλιν, «Οὐ γάρ ἐστιν ἀκαταστασίας ὁ Θεός, ἀλλ' εἰρήνης. Καθὼς ἐν πάσαις ταῖς ἐκκλησίαις τῶν ἁγίων»· καὶ ἐνταῦθα, «Ἢ ἀφ' ὑμῶν ὁ λόγος τοῦ Θεοῦ ἐξῆλθεν, ἢ εἰς ὑμᾶς μόνους κατήντησε;». Τουτέστιν, οὔτε πρῶτοι οὔτε μόνοι ὑμεῖς πιστοί, ἀλλ' ἡ οἰκουμένη πᾶσα· ὃ καὶ πρὸς Κολασσαεῖς γράφων ἔλεγε, «Καθώς ἐστι καρποφορούμενον καὶ αὐξανόμενον ἐν παντὶ τῷ κόσμῳ», περὶ τοῦ εὐαγγελίου λέγων.

Ποιεῖ δὲ αὐτὸ καὶ ἑτέρως εἰς προτροπὴν τῶν ἀκουόντων, ὡς ὅταν λέγῃ τὰ αὐτῶν πρῶτα εἶναι, καὶ πᾶσιν εἶναι κατάδηλα. Θεσσαλονικεῦσι γὰρ ἐπιστέλλων ἔλεγεν· «Ἀφ' ὑμῶν γὰρ ἐξήχηται ὁ λόγος τοῦ Θεοῦ, καὶ ἐν παντὶ τόπῳ ἡ πίστις ὑμῶν ἡ πρὸς τὸν Θεὸν ἐξελήλυθε»· καὶ Ρωμαίοις δὲ πάλιν, «Ὅτι ἡ πίστις ὑμῶν καταγγέλλεται ἐν ὅλῳ τῷ κόσμῳ». Ἀμφότερα γὰρ ἱκανὰ προτρέψαι καὶ διεγεῖραι, καὶ τὸ παρ' ἑτέρων ἐπαινεῖσθαι, καὶ τὸ καὶ ἑτέρους ἔχειν κοινωνοὺς τῆς γνώμης. Διὸ καὶ ἐνταῦθά φησιν· «Ἢ ἀφ' ὑμῶν ὁ λόγος τοῦ Θεοῦ ἐξῆλθεν, ἢ εἰς ὑμᾶς μόνους κατήντησεν;». Οὔτε γὰρ τοῦτο ἂν ἔχοιτε εἰπεῖν, φησίν, ὅτι ἡμεῖς τῶν ἄλλων διδάσκαλοι ἐγενόμεθα, καὶ οὐκ ἂν εἴημεν δίκαιοι παρ' ἑτέρων μανθάνειν· οὔτε ὅτι ἐνταῦθα ἔστη τὰ τῆς πίστεως μόνον, καὶ οὐ χρὴ τὰ παρ' ἑτέρων παραδείγματα δέχεσθαι. Ὁρᾷς διὰ πόσων ἐνέτρεψε; Τὸν νόμον παρήγαγε, τὸ αἰσχρὸν τοῦ πράγματος ἔδειξε, τὰς λοιπὰς ἐκκλησίας εἰς μέσον τέθεικεν.

1. Κολ. 1, 6.
2. Α' Θεσ. 1, 8.

γος τοῦ Θεοῦ ἔχει ἀρχίσει ἀπὸ σᾶς ἢ εἰς ἐσᾶς μόνον κατέληξε;». Διότι ἐπαρουσίασε καὶ τὰς ἄλλας ἐκκλησίας νὰ τηροῦν αὐτὸν τὸν νόμον, καὶ ἀφοῦ κατασιγάζει τὸν θόρυβον μὲ τὸ νὰ δείξῃ ὅτι εἶναι καινοτομία καὶ κάμνει εὐκόλως παραδεκτὸν τὸν λόγον μὲ τὸ νὰ εἰπῇ ὅτι αὐτὴ εἶναι ἡ γνώμη τῶν πολλῶν. Δι' αὐτὸ καὶ ἀλλοῦ ἔλεγεν· «ὁ ὁποῖος θὰ σᾶς ὑπενθυμίσῃ τὰς διδασκαλίας μου ἐν Χριστῷ, ὅπως τὰς διδάσκω εἰς κάθε ἐκκλησίαν»· καὶ πάλιν, «διότι ὁ Θεὸς δὲν εἶναι Θεὸς ἀκαταστασίας, ἀλλὰ εἰρήνης· ὅπως γίνεται εἰς ὅλας τὰς ἐκκλησίας τῶν ἁγίων»· καὶ ἐδῶ, «Ἢ μήπως ὁ λόγος τοῦ Θεοῦ ἔχει ἀρχίσει ἀπὸ σᾶς ἢ εἰς ἐσᾶς μόνον ἔφθασε;». Δηλαδὴ οὔτε οἱ πρῶτοι οὔτε οἱ μοναδικοὶ πιστοὶ εἴσθε ἐσεῖς, ἀλλ' ὁλόκληρος ἡ οἰκουμένη· πρᾶγμα ποὺ ἔλεγε καὶ ὅταν ἔγραφεν εἰς τοὺς Κολοσσαεῖς, ὁμιλῶν διὰ τὸ εὐαγγέλιον· «καθὼς καὶ εἰς ὅλον τὸν κόσμον καὶ καρποφορεῖ καὶ αὐξάνει»[1].

Κάμνει ὅμως αὐτὸ καὶ μὲ ἄλλον τρόπον διὰ νὰ προτρέψῃ τοὺς ἀκροατάς, ὅπως ὅταν λέγῃ ὅτι τὰ ἰδικά των εἶναι πρῶτα καὶ γνωστὰ εἰς ὅλους. Εἰς τοὺς Θεσσαλονικεῖς δηλαδὴ ὅταν ἔγραφεν, ἔλεγε· «Διότι ἀπὸ σᾶς ἀντήχησεν ὁ λόγος τοῦ Κυρίου καὶ εἰς κάθε τόπον ἔγινε γνωστὴ ἡ πίστις σας πρὸς τὸν Θεόν»[2]· καὶ εἰς τοὺς Ρωμαίους δὲ πάλιν, «διότι ἡ πίστις σας διαλαλεῖται εἰς ὅλον τὸν κόσμον». Διότι καὶ τὰ δύο ἦσαν ἱκανὰ καὶ νὰ προτρέψουν καὶ νὰ διεγείρουν, δηλαδὴ καὶ τὸ νὰ ἐπαινοῦνται ἀπὸ ἄλλους καὶ τὸ νὰ ἔχουν καὶ ἄλλους μαζὶ μὲ τοὺς ὁποίους νὰ ἔχουν τὸ αὐτὸ φρόνημα. Δι' αὐτὸ καὶ ἐδῶ λέγει· «Ἢ μήπως ὁ λόγος τοῦ Θεοῦ ἔχει ἀρχίσει ἀπὸ ἐσᾶς ἢ εἰς ἐσᾶς μόνον ἔφθασε;». Δηλαδὴ οὔτε αὐτὸ θὰ εἴχατε νὰ εἰπῆτε, ὅτι δηλαδὴ ἐμεῖς ἐγίναμεν διδάσκαλοι τῶν ἄλλων καὶ δὲν θὰ ἦτο ὀρθὸν νὰ διδασκώμεθα ἀπὸ ἄλλους· οὔτε ὅτι ἐδῶ μόνον ἐσταμάτησεν ἡ πίστις καὶ δὲν πρέπει νὰ δεχώμεθα ὡς παράδειγμα τοὺς ἄλλους. Βλέπεις μὲ πόσα τοὺς ἐντρόπιασεν; Ἀνέφερε τὸν νόμον, ἀπέδειξε τὴν ἐντροπὴν ποὺ προξενεῖ αὐτὸ τὸ πρᾶγμα, προέβαλεν ὡς παράδειγμα τὰς ἄλλας ἐκκλησίας.

2. Εἶτα τὸ πάντων ἰσχυρότερον ὕστερον τίθησι, λέγων, ὅτι ὁ Θεὸς ταῦτα καὶ νῦν ἐπιτάττει δι' ἐμοῦ. «Εἰ γάρ τις δοκεῖ προφήτης εἶναι ἢ πνευματικός, γινωσκέτω ταῦτα ἃ γράφω ὑμῖν, ὅτι Κυρίου εἰσὶν αἱ ἐντολαί. Εἰ δέ τις ἀγνοεῖ, ἀγνοείτω». Καὶ τίνος ἕνεκεν τοῦτο ἐπήγαγε; Δεικνὺς ὅτι οὐ βιάζεται, οὐδὲ φιλονεικεῖ, ὅπερ σημεῖόν ἐστι τῶν οὐ τὰ ἑαυτῶν βουλομένων ἱστᾶν, ἀλλὰ τὸ ἑτέροις συμφέρον σκοπούντων. Διὸ καὶ ἀλλαχοῦ φησιν· «Εἰ δέ τις δοκεῖ φιλόνεικος εἶναι, ἡμεῖς τοιαύτην συνήθειαν οὐκ ἔχομεν». Ἀλλ' οὐ πανταχοῦ τοῦτο ποιεῖ, ἀλλ' ἔνθα ἂν μὴ σφόδρα μεγάλα τὰ ἁμαρτανόμενα ᾖ, καὶ τότε ἐντρέπων μᾶλλον· ἐπεὶ ὅταν περὶ ἑτέρων διαλέγηται, οὐ λέγει οὕτως, ἀλλὰ πῶς; «Μὴ πλανᾶσθε· οὔτε πόρνοι, οὔτε μαλακοὶ βασιλείαν Θεοῦ οὐ κληρονομήσουσι»· καὶ πάλιν, «Ἴδε ἐγὼ Παῦλος λέγω ὑμῖν, ὅτι ἐὰν περιτέμνησθε, Χριστὸς ὑμᾶς οὐδὲν ὠφελήσει». Ἐνταῦθα δέ, ἐπειδὴ περὶ σιγῆς ἦν αὐτῷ ὁ λόγος, οὐ σφόδρα εὐτόνως ἐπιτίθεται, αὐτῷ τούτῳ μᾶλλον αὐτοὺς ἐπισπώμενος.

Εἶτα ὅπερ ἀεὶ ποιεῖν εἴωθεν, ἐπὶ τὴν προτέραν ὑπόθεσιν, ὅθεν ταῦτα εἰπεῖν ἐξέβη, ἐπανάγει τὸν λόγον λέγων· «Ὥστε, ἀδελφοί μου, ζηλοῦτε τὸ προφητεύειν, καὶ τὸ λαλεῖν γλώσσαις μὴ κωλύετε». Καὶ γὰρ ἔθος αὐτῷ τοῦτο, μὴ τὸ προκείμενον ἐργάζεσθαι μόνον, ἀλλὰ καὶ ἐξ ἐκείνου τὸ δοκοῦν αὐτῷ συγγενὲς ὁπωσδήποτε εἶναι διορθοῦν, καὶ πάλιν ἐπὶ τὸ πρότερον ἐπανιέναι, ὥστε μὴ δοκεῖν τῆς ὑποθέσεως ἐκπίπτειν. Καὶ γὰρ ὅτε περὶ τῆς ἐν ταῖς τραπέζαις διελέγετο συμφωνίας, ἐπὶ τὴν κοινωνίαν τὴν ἐν τοῖς μυστηρίοις ἐκβάς, κἀκεῖθεν ἐντρέψας, εἰς τὰ πρότερα ἐπάνεισι πάλιν, λέγων· «Ὥστε συνερχόμενοι εἰς τὸ φαγεῖν, ἀλλή-

---

3. Γαλ. 5, 2.

2. Κατόπιν λέγει τελευταῖον καὶ τὸ ἰσχυρότερον ἀπὸ ὅλα ὅταν λέγῃ ὅτι ὁ Θεὸς καὶ τώρα αὐτὰ διατάσσει διὰ μέσου ἐμοῦ. «Ἐὰν νομίζῃ κανεὶς ὅτι εἶναι προφήτης ἢ πνευματοφόρος, πρέπει νὰ καταλάβῃ ὅτι αὐτὰ ποὺ σᾶς γράφω εἶναι ἐντολαὶ τοῦ Κυρίου. Ἀλλ' ἐὰν κανεὶς τὸ ἀγνοῇ, ἂς τὸ ἀγνοῇ». Καὶ διατί προσέθεσεν αὐτό; Διὰ νὰ δείξῃ ὅτι δὲν ἀναγκάζει, οὔτε λογομαχεῖ, πρᾶγμα ποὺ εἶναι σημεῖον ὅτι δὲν θέλει νὰ ἐπιβάλῃ τὰ ἰδικά του, ἀλλ' ὅτι ἀποσκοπεῖ εἰς τὸ συμφέρον τῶν ἄλλων. Δι' αὐτὸ καὶ ἀλλοῦ λέγει· «Ἐὰν θέλῃ κανεὶς νὰ εἶναι φιλόνεικος, ἐμεῖς τέτοιαν συνήθειαν δὲν ἔχομεν». Δὲν κάμνει ὅμως αὐτὸ παντοῦ, ἀλλ' ὅπου δὲν εἶναι πολὺ μεγάλα τὰ ἁμαρτήματα καὶ τότε περισσότερον διὰ νὰ ἐντροπιάσῃ· διότι ὅταν ὁμιλῇ διὰ μεγάλα δὲν λέγει ἔτσι, ἀλλὰ πῶς; «Μὴ πλανᾶσθε· οὔτε πόρνοι, οὔτε δουλοπρεπεῖς θὰ κληρονομήσουν τὴν βασιλείαν τοῦ Θεοῦ»· καὶ πάλιν, «Ἐγὼ ὁ Παῦλος σᾶς λέγω, ὅτι ἐὰν περιτέμνεσθε, ὁ Χριστὸς δὲν πρόκειται νὰ σᾶς ὠφελήσῃ εἰς τίποτε»[3]. Ἐδῶ ὅμως, ἐπειδὴ ὁ λόγος ἦτο διὰ τὴν σιωπήν, δὲν ἐπιτίθεται μὲ πολὺ αὐστηρότητα, διὰ νὰ τοὺς προσελκύσῃ περισσότερον μὲ αὐτὸν τὸν τρόπον.

Ἐν συνεχείᾳ αὐτὸ ποὺ συνηθίζει πάντοτε νὰ κάμνῃ, ἐπαναφέρει τὸν λόγον εἰς τὸ προηγούμενον θέμα, ἀπὸ τὸ ὁποῖον ἐξέκλινε διὰ νὰ εἰπῇ αὐτά, καὶ λέγει «Ὥστε, ἀδελφοί, ἐπιδιώκετε μὲ ζῆλον τὸ νὰ προφητεύετε, ἀλλὰ μὴ ἐμποδίζετε καὶ τὸ νὰ ὁμιλοῦν γλώσσας». Διότι εἶναι συνήθεια εἰς αὐτὸν νὰ ἐπεξεργάζεται ὄχι μόνον τὸ θέμα διὰ τὸ ὁποῖον πρόκειται, ἀλλὰ καὶ ἐκεῖνο ποὺ εἶναι κατὰ τὴν γνώμην του συγγενὲς πρὸς αὐτὸ νὰ διορθώνῃ ὅπως καὶ ἂν εἶναι, καὶ νὰ ἐπανέρχεται πάλιν εἰς τὸ προηγούμενον, ὥστε νὰ μὴ νομίζεται ὅτι φεύγει ἀπὸ τὸ θέμα. Διότι καὶ ὅταν ὡμίλει διὰ τὴν σύμπνοιαν εἰς τὰς τραπέζας, ἀφοῦ ἔκανε παρέκβασιν διὰ νὰ ὁμιλήσῃ διὰ τὴν κοινωνίαν μέσα εἰς τὰ μυστήρια καὶ ἀπὸ ἐκεῖ ἀφοῦ προεκάλεσεν ἐντροπήν, ἐπανέρχεται πάλιν εἰς τὰ προηγούμενα μὲ τοὺς λόγους· «Ὥστε, ἀδελφοί μου, ὅταν συγκεντρώνεσθε διὰ νὰ

λους ἐκδέχεσθε». Καὶ ἐνταῦθα τοίνυν περὶ τῆς ἐν τοῖς χαρίσμασιν εὐταξίας διαλεχθείς, καὶ τοῦ μὴ δεῖν μήτε ἀλύειν ἐν τοῖς ἐλάττοσι, μήτε φυσᾶσθαι ἐπὶ τοῖς μείζοσιν, εἶτα ἐπὶ τὴν γυναιξὶ πρέπουσαν ἐξελθὼν εὐκοσμίαν ἐντεῦθεν, καὶ κατασκευάσας αὐτήν, ἐπὶ τὸ προκείμενον ἐπάνεισι λέγων πάλιν· «Ὥστε, ἀδελφοί μου, ζηλοῦτε τὸ προφητεύειν, καὶ τὸ λαλεῖν γλώσσαις μὴ κωλύετε».

Εἶδες πῶς μέχρι τέλους τὴν διαφορὰν ἐφύλαξε, καὶ πῶς ἔδειξε τὸ μὲν σφόδρα ἀναγκαῖον ὄν, τὸ δὲ οὐχ οὕτω; Διὸ ἐπ' ἐπαίνου μέν φησι, «ζηλοῦτε», ἐπὶ τούτου δέ, «μὴ κωλύετε». Εἶτα ὡς ἐν κεφαλαίῳ τὰ πάντα διορθούμενος ἐπάγει λέγων· «Πάντα δὲ εὐσχημόνως καὶ κατὰ τάξιν γινέσθω»· πάλιν πλήττων τοὺς εἰκῇ βουλομένους ἀσχημονεῖν, καὶ μανίας δόξαν λαμβάνειν, καὶ τὴν οἰκείαν μὴ φυλάττοντας τάξιν. Οὐδὲν γὰρ οὕτως οἰκοδομεῖ, ὡς εὐταξία, ὡς εἰρήνη, ὡς ἀγάπη, ὥσπερ οὖν καὶ τὰ ἐναντία διαλύει. Οὐκ ἐν τοῖς πνευματικοῖς δὲ μόνον, ἀλλὰ καὶ ἐν τοῖς ἄλλοις ἅπασι τοῦτο ἴδοι τις ἄν. Ἄν τε γὰρ ἐν χορῷ, ἄν τε ἐν πλοίῳ, ἄν τε ἐν ἅρματι, ἄν τε ἐν στρατοπέδῳ τὴν τάξιν συγχέῃς, καὶ τὰ μείζονα τῆς οἰκείας χώρας ἐκβαλών, τὰ ἐλάττονα εἰσαγάγῃς εἰς τὴν ἐκείνων τάξιν, πάντα διέφθειρας, καὶ οὕτω τὰ ἄνω κάτω γίνεται.

3. Μὴ τοίνυν μηδὲ ἡμεῖς τὴν τάξιν διαφθείρωμεν, μηδὲ τὴν κεφαλὴν κάτω ποιῶμεν, καὶ τοὺς πόδας ἄνω. Τοῦτο δὲ γίνεται, ὅταν τὸν μὲν ὀρθὸν λογισμὸν κάτω ῥίψωμεν, τὰς δὲ ἐπιθυμίας, τὸν θυμόν, καὶ τὴν ἡδονὴν ἐπιστήσωμεν τῷ λογικῷ· ὅθεν πολὺς ὁ κλύδων, καὶ πολλὴ ἡ ταραχή, καὶ ἀφόρητος ἡ ζάλη, πάντων σκότῳ κατεχομένων. Καί, εἰ βούλει, τὴν ἀσχημοσύνην τὴν ἐντεῦθεν γινομένην πρῶτον ἐξετάσωμεν, καὶ τότε τὴν ζημίαν. Πῶς οὖν ἔσται τοῦτο σαφὲς ἡμῖν καὶ

φάγετε, περιμένετε ὁ ἕνας τὸν ἄλλον». Καὶ ἐδῶ λοιπόν, ἀφοῦ ὡμίλησε διὰ τὴν καλὴν τάξιν εἰς τὰ χαρίσματα καὶ νὰ μὴ στενοχωροῦνται, οὔτε νὰ παραπονοῦνται διὰ τὰ κατώτερα, οὔτε νὰ ὑπερηφανεύωνται διὰ τὰ μεγαλύτερα, ὕστερον, ἀφοῦ ἐξῆλθεν ἀπὸ τὸ θέμα διὰ νὰ ὁμιλήσῃ διὰ τὴν κοσμιότητα τῶν γυναικῶν καὶ ἀπέδειξεν αὐτήν, ἐπανέρχεται εἰς τὸ θέμα καὶ λέγει πάλιν· «Ὥστε, ἀδελφοί, ἐπιδιώκετε μὲ ζῆλον νὰ προφητεύετε, ἀλλὰ μὴ ἐμποδίζετε καὶ τὸ νὰ ὁμιλοῦν γλώσσας».

Εἶδες πῶς ἐκράτησε τὴν διαφορὰν μέχρι τέλους καὶ πῶς ἔδειξεν ὅτι τὸ μὲν εἶναι πολὺ ἀναγκαῖον, ἐνῷ τὸ ἄλλο ὄχι τόσον; Δι᾽ αὐτὸ δι᾽ ἐκεῖνο μὲν λέγει, «νὰ ποθῆτε μὲ ζῆλον», ἐνῷ δι᾽ αὐτό, «μὴ ἀπαγορεεύετε». Ὕστερον ὡσὰν νὰ διορθώνῃ ὅλα ἐν συντομίᾳ προσθέτει τοὺς λόγους· «Ἃς γίνωνται ὅλα μὲ εὐπρέπειαν καὶ μὲ τάξιν»· καὶ ἔτσι πάλιν κτυπᾷ ἐκείνους ποὺ θέλουν ἀπερισκέπτως νὰ συμπεριφέρωνται ἀπρεπῶς καὶ ἐπιδιώκουν μὲ μανίαν τὴν δόξαν καὶ νὰ μὴ τηροῦν τὴν τάξιν των. Διότι τίποτε δὲν οἰκοδομεῖ τόσον, ὅσον ἡ καλὴ τάξις, ἡ εἰρήνη, ἡ ἀγάπη, ὅπως καὶ τὰ ἀντίθετα πάλιν ἀπὸ αὐτὰ τὰ ἐξαφανίζει. Ὄχι δὲ μόνον εἰς τὰ πνευματικά, ἀλλὰ καὶ εἰς ὅλα τὰ ἄλλα ἠμπορεῖ κανεὶς νὰ τὸ ἴδῃ αὐτό. Διότι, ἐὰν ἀνατρέψῃς τὴν τάξιν, εἴτε εἰς τὸν χορόν, εἴτε εἰς τὸ πλοῖον, εἴτε εἰς τὸ ἅρμα, εἴτε εἰς τὸ στρατόπεδον, καὶ ἀφοῦ ἐκβάλῃς τὰ ἀνώτερα ἀπὸ τὴν θέσιν των τοποθετήσῃς τὰ μικρότερα εἰς τὴν θέσιν των, καταστρέφεις τὰ πάντα καὶ ἔτσι γίνονται τὰ πάντα ἄνω κάτω.

3. Ἃς μὴ ἀνατρέπωμεν λοιπὸν καὶ ἐμεῖς τὴν τάξιν καὶ ἃς μὴ τοποθετῶμεν τὴν κεφαλὴν κάτω καὶ τοὺς πόδας ἐπάνω. Αὐτὸ δὲ συμβαίνει ὅταν ρίξωμεν κάτω τὴν ὀρθὴν σκέψιν καὶ τοποθετήσωμεν ὡς ἐπιστάτην εἰς τὸ λογικὸν τὰς ἐπιθυμίας, τὰς ὁρμὰς καὶ τὴν ἡδονήν· ἀπὸ ὅπου πολλὴ ἡ τρικυμία καὶ ἡ ταραχὴ καὶ ἀνυπόφορος ἡ πάλη ὅταν κυριαρχοῦνται τὰ πάντα ἀπὸ τὸ σκότος τῶν παθῶν. Καί, ἐὰν θέλῃς, ἃς ἐξετάσωμεν πρῶτον τὴν ἀσχημίαν ποὺ προκαλεῖται ἀπὸ αὐτὸ καὶ ὕστερον τὴν ζημίαν. Πῶς λοιπὸν

σφόδρα γνώριμον; Παραγάγωμεν εἰς μέσον ἄνθρωπον οὕτω διακείμενον, πόρνης ἐρῶντα, καὶ ὑπὸ ἐπιθυμίας ἀτόπου κρατούμενον, καὶ τότε ὀψόμεθα τὸν γέλωτα τοῦτον. Τί γὰρ ἂν γένοιτο αἰσχρότερον τοῦ θυραυλοῦντος πρὸ τῶν πορνικῶν οἰκημάτων, καὶ ῥαπιζομένου παρὰ πόρνης γυναικός, καὶ κλαίοντος καὶ ὀδυρομένου, καὶ τὴν ἑαυτοῦ καταισχύνοντος δόξαν; Εἰ δὲ βούλει καὶ τὴν ζημίαν ἰδεῖν, ἐννόει μοι τῶν χρημάτων τὴν δαπάνην, τοὺς περὶ τῶν ἐσχάτων κινδύνους, τὸν πρὸς τοὺς ἀντεραστὰς πόλεμον, τὰ τραύματα, τὰς πληγὰς τὰς ἐκ τῶν τοιούτων παρατάξεων.

Τοιοῦτοι καὶ οἱ χρημάτων ἐπιθυμίᾳ κατεχόμενοι· μᾶλλον δὲ μείζονα ἀσχημονοῦσιν. Οὗτοι μὲν γὰρ περὶ ἓν εἰσιν σῶμα· οἱ δὲ φιλάργυροι τὰς πάντων οὐσίας ὁμοίως περιεργάζονται, καὶ πενήτων καὶ πλουτούντων, καὶ τῶν οὐκ ὄντων πραγμάτων ἐρῶσιν, ὃ μάλιστα τῆς τοῦ πάθους ἀτοπίας σημεῖόν ἐστιν. Οὐ γὰρ λέγουσιν ὅτι τὴν τοῦ δεῖνος ἐβουλόμην οὐσίαν ἔχειν καὶ τὴν τοῦ δεῖνος μόνον, ἀλλὰ καὶ τὰ ὄρη χρυσίον εἶναι βούλονται, καὶ τὰς οἰκίας, καὶ τὰ ὁρώμενα πάντα, καὶ ἐφ' ἕτερον προβαίνουσι κόσμον· καὶ τοῦτο ἐπ' ἄπειρον πάσχουσι, καὶ οὐδαμοῦ τῆς ἐπιθυμίας λήγουσι. Τίς ἂν παραστήσειε λόγος τὸν χειμῶνα τῶν λογισμῶν ἐκείνων, τὰ κύματα, τὸν ζόφον; ὅπου δὲ κύματα καὶ χειμὼν τοσοῦτος, ποία γένοιτ' ἂν ἡδονή; Οὐκ ἔστιν οὐδεμία, ἀλλὰ θόρυβος καὶ ὀδύνη καὶ νεφέλαι ζοφώδεις ἀντὶ ὑδάτων πολλὴν φέρουσαι τὴν ἀθυμίαν· ὃ δὴ καὶ ἐπὶ τῶν ἐρώντων ἀλλοτρίου κάλλους συμβαίνειν εἴωθε. Διά τοι τοῦτο οἱ μηδ' ὅλως ἐρῶντες, τῶν ἐρώντων ἐν πλείονί εἰσιν ἡδονῇ.

᾿Αλλὰ πρὸς τοῦτο μὲν οὐδεὶς ἀντείποι· ἐγὼ δὲ καὶ τὸν ἐρῶντα μέν, κατέχοντα δὲ τῆς ἐπιθυμίας, μᾶλλον ἂν φαίην

θὰ εἶναι σαφὲς αὐτὸ δι' ἐμᾶς καὶ πῶς θὰ τὸ γνωρίζωμεν; Ἂς φέρωμεν ὡς παράδειγμα κάποιον ἄνθρωπον ποὺ εὑρίσκεται εἰς τέτοιαν κατάστασιν, νὰ ἀγαπᾷ μίαν πόρνην, καὶ νὰ κυριαρχῆται ἀπὸ ἄλογον ἐπιθυμίαν, καὶ τότε θὰ ἰδοῦμεν πόσον γέλωτα προκαλεῖ αὐτό. Διότι τί θὰ ἦτο ἐντροπιαστικώτερον ἀπὸ τοῦ νὰ περνᾷ κανεὶς τὴν νύκτα εἰς τὸ ὕπαιθρον πρὸ τῆς θύρας τῶν οἰκημάτων τῶν πορνῶν καὶ νὰ ῥαπίζεται ἀπὸ πόρνην γυναῖκα καὶ νὰ κλαίῃ καὶ νὰ ὀδύρεται καὶ νὰ κατεξευτελίζει τὴν ὑπόληψίν του; Ἐὰν δὲ θέλῃς νὰ ἰδῇς τὴν ζημίαν, σκέψου τὰς δαπάνας εἰς χρήματα, τοὺς μεγαλυτέρους κινδύνους, τὸν πόλεμον μὲ τοὺς ἀντεραστάς, τὰ τραύματα, τὰς πληγάς, ἀπὸ τέτοιας συγκρούσεις.

Τέτοιοι εἶναι καὶ αὐτοὶ ποὺ κατέχονται ἀπὸ ἐπιθυμίαν χρημάτων· μᾶλλον δὲ μεγαλυτέρας ἀσχημίας διαπράττουν. Διότι οἱ μὲν ἐρωτευμένοι ἀσχολοῦνται γύρω ἀπὸ ἓν σῶμα, ἐνῷ οἱ φιλάργυροι περιεργάζονται ἐξ ἴσου τὰς περιουσίας ὅλων, καὶ τῶν πλουσίων καὶ τῶν πτωχῶν καὶ ἀγαποῦν καὶ τὰ ἀνύπαρκτα πράγματα, πρᾶγμα ποὺ εἶναι βεβαίως σημεῖον τοῦ πόσον ἄλογον εἶναι τὸ πάθος. Δὲν λέγουν δηλαδὴ ὅτι θὰ ἤθελον νὰ ἔχω τὴν περιουσίαν τοῦ τάδε ἢ τοῦ τάδε μόνον, ἀλλὰ θέλουν καὶ τὰ ὄρη νὰ εἶναι χρυσός, καὶ αἱ οἰκίαι καὶ ὅλα τὰ ὁρατὰ καὶ προχωροῦν πρὸς ἄλλον κόσμον· καὶ αὐτὸ πάσχουν ἐπ' ἄπειρον καὶ πουθενὰ δὲν σταματοῦν τὴν ἐπιθυμίαν. Ποῖος λόγος ἠμπορεῖ νὰ παραστήσῃ τὴν ἀνεμοζάλην ἐκείνων τῶν σκέψεων, τὰ κύματα, τὸ σκότος; ὅπου ὑπάρχουν ὅμως κύματα καὶ τόση ἀνεμοζάλη, ποία ἡδονὴ ἠμπορεῖ νὰ ὑπάρχῃ; Δὲν ὑπάρχει καμμία, ἀλλὰ ταραχὴ καὶ πόνος καὶ σκοτεινὰ νέφη, τὰ ὁποῖα ἀντὶ διὰ βροχὴν φέρουν πολλὴν θλῖψιν· πρᾶγμα ποὺ συνήθως συμβαίνει καὶ εἰς αὐτοὺς ποὺ ἀγαποῦν ξένον κάλλος. Δι' αὐτὸ βέβαια αὐτοὶ ποὺ δὲν ἀγαποῦν τίποτε, εὑρίσκονται εἰς περισσοτέραν ἡδονὴν ἀπὸ αὐτοὺς ποὺ δὲν ἀγαποῦν.

Ἀλλὰ πρὸς αὐτὸ μὲν δὲν θὰ προβάλῃ κανεὶς καμμίαν ἀντίρρησιν· ἐγὼ ὅμως καὶ αὐτὸν μὲν ποὺ ἀγαπᾷ, ἀλλ' εἶναι

τρυφᾶν τοῦ συνεχῶς τῆς πόρνης ἀπολαύοντος. Εἰ γὰρ καὶ δυσκολωτέρα ἡ ἀπόδειξις, ἀλλ' ὅμως καὶ οὕτως ἀναγκαῖον κατατολμῆσαι τοῦ λόγου. Καὶ γὰρ καὶ δυσκολωτέρα γίνεται, οὐ παρὰ τὴν φύσιν τοῦ πράγματος, ἀλλὰ παρὰ τὸ μὴ εἶναι τῆς φιλοσοφίας ταύτης ἀκροατὰς ἀξίους. Τί γὰρ ἥδιον, εἰπέ μοι, τῷ ἐρῶντι, τὸ καταφρονεῖσθαι ὑπὸ τῆς ἐρωμένης, ἢ τὸ τιμᾶσθαι καὶ ὑπερορᾶν; Εὔδηλον ὅτι τοῦτο. Τίνα οὖν, εἰπέ μοι, τιμήσει πλέον ἡ πόρνη, τὸν δουλεύοντα αὐτῇ καὶ αἰχμάλωτον ὑπ' αὐτῆς ἤδη γενόμενον, ἢ τὸν ἀνώτερον τῶν ἐκείνης δικτύων, καὶ ὑψηλότερα τῶν καλάμων αὐτῆς πετόμενον; Παντί που δῆλον, ὅτι τοῦτον. Περὶ τίνα δὲ σπουδάσει πλέον, τὸν πεπτωκότα, ἢ τὸν οὐδέπω; Τὸν οὐδέπω πάντως. Τίς δὲ ἔσται ποθεινότερος, ὁ κατειργασμένος, ἢ ὁ μηδέπω ἁλούς; Ὁ μηδέπω τέως ἁλούς. Εἰ δὲ ἀπιστεῖτε, ἀπὸ τῶν ὑμετέρων παρέξω τὴν ἀπόδειξιν. Τίνος γὰρ ἂν μᾶλλόν τις ἐρασθείη γυναικός, τῆς εὐκόλως ὑποκατακλινομένης αὐτῷ καὶ ἐκδιδομένης, ἢ τῆς ἀρνουμένης καὶ πράγματα αὐτῷ παρεχούσης; Εὔδηλον ὅτι ταύτης· καὶ γὰρ μειζόνως ἐντεῦθεν ὁ πόθος ἀνάπτεται. Οὐκοῦν καὶ ἐπὶ τῆς γυναικὸς τὸ αὐτὸ δὴ τοῦτο ἔσται· καὶ τοῦτον τιμήσουσι καὶ θαυμάσονται πλέον τὸν ὑπερορῶντα αὐτῶν. Εἰ δὲ τοῦτο ἀληθές, κἀκεῖνο ὁμοίως, τὸ ἐν μείζονι εἶναι ἡδονῇ τὸν μᾶλλον τιμώμενον καὶ ἀγαπώμενον. Ἐπεὶ καὶ στρατηγὸς πόλιν τὴν μὲν καθάπαξ ἁλοῦσαν ἀφίησι, τῇ δὲ ἑστηκυίᾳ καὶ φιλονεικούσῃ προσεδρεύει μετὰ σπουδῆς ἁπάσης· καὶ θηρευτὴς τὸ μὲν χειρωθὲν ζῶον ἐν σκότῳ κατακλείσας ἔχει, καθάπερ ἡ πόρνη τὸν ἐραστήν, τὸ δὲ φεῦγον διώκει.

Ἀλλ' ἀπολαύει τῆς ἐπιθυμίας ἐκεῖνος, φησίν, οὗτος δὲ οὐκ ἀπολαύει. Τὸ δὲ μὴ καταισχύνεσθαι, μηδὲ δουλεύειν ταῖς

κυρίαρχος τῆς ἐπιθυμίας του, θὰ ἔλεγα ὅτι εὑρίσκεται εἰς περισσοτέραν ἡδονὴν ἀπὸ ἐκεῖνον ποὺ ἀπολαμβάνει συνεχῶς τὴν πόρνην. Ἂν καὶ εἶναι δυσκολωτέρα βέβαια ἡ ἀπόδειξις, ὅμως καὶ ἔτσι εἶναι ἀνάγκη νὰ τολμήσωμεν ν' ἀποδείξωμεν αὐτὸν τὸν λόγον. Καὶ βέβαια γίνεται δυσκολωτέρα ὄχι ἀπὸ τὴν φύσιν τοῦ πράγματος, ἀλλ' ἐπειδὴ δὲν ὑπάρχουν ἄξιοι ἀκροαταὶ ποὺ νὰ ἠμποροῦν ν' ἀντιληφθοῦν ἀμέσως αὐτὴν τὴν σοφίαν. Διότι τί εἶναι γλυκύτερον, εἰπέ μου, εἰς αὐτὸν ποὺ ἀγαπᾷ, τὸ νὰ καταφρονῆται ἀπὸ αὐτὴν ποὺ ἀγαπᾷ ἢ νὰ τιμᾶται καὶ νὰ περιφρονῇ; Εἶναι φανερὸν ὅτι αὐτό. Ποῖον λοιπόν, εἰπέ μου, θὰ τιμήσῃ περισσότερον ἡ πόρνη, αὐτὸν ποὺ εἶναι δοῦλος της καὶ ἤδη ἔγινεν αἰχμάλωτος ἀπὸ αὐτὴν ἢ αὐτὸν ποὺ εἶναι ἀνώτερος ἀπὸ τὰ δίκτυά της καὶ πετᾷ ὑψηλότερον ἀπὸ τὰς παγίδας της; Εἶναι ὁλοφάνερον ὅτι αὐτὸ εἶναι ἀληθές. Ποῖος θὰ εἶναι δὲ ἀλαθητότερος αὐτὸς ποὺ ἔχει τελείως ὑποταγῆ ἢ αὐτὸς ποὺ δὲν ὑπετάγη ποτέ; Αὐτὸς ποὺ ποτὲ δὲν ὑπετάγη. Ἐὰν ὅμως δὲν πείθεσθε, θὰ δώσω ἀπόδειξιν ἀπὸ σᾶς τοὺς ἰδίους. Ποίαν γυναῖκα λοιπὸν θὰ ἠγάπα κανεὶς περισσότερον, αὐτὴν ποὺ ἐνδίδει εὐκόλως καὶ παραδίδεται ἢ αὐτὴν ποὺ ἀρνεῖται καὶ τοῦ προκαλεῖ δυσκολίας καὶ στενοχωρίας; Εἶναι φανερὸν ὅτι αὐτή· διότι περισσότερον ἀνάπτει ὁ πόθος ἀπὸ αὐτό. Λοιπὸν καὶ εἰς τὴν γυναῖκα τὸ ἴδιον συμβαίνει· καὶ τιμοῦν καὶ θαυμάζουν περισσότερον αὐτὸν ποὺ τὰς περιφρονεῖ. Ἐὰν δὲ αὐτὸ εἶναι ἀληθὲς καὶ ἐκεῖνο ἐπίσης, τὸ ὅτι εὑρίσκεται εἰς περισσοτέραν ἡδονὴν αὐτὸς ποὺ τιμᾶται καὶ ἀγαπᾶται περισσότερον. Διότι καὶ ὁ στρατηγὸς πάλιν τὴν μὲν πόλιν ποὺ ἐκυριεύθη μίαν φορὰν τὴν ἀφήνει, ἐνῷ αὐτὴν ποὺ ἀνθίσταται καὶ μάχεται τὴν πολιορκεῖ μὲ πολλὴν ἐπιμονήν· καὶ ὁ κυνηγὸς τὸ μὲν ζῶον ποὺ συνελήφθη ἀφοῦ τὸ κλείσῃ μέσα εἰς σκότος τὸ κρατεῖ ἐκεῖ, ὅπως ἡ πόρνη τὸν ἐραστήν, ἐνῷ αὐτὸ ποὺ φεύγει τὸ κυνηγᾷ.

Ἀλλ' αὐτὸς ἀπολαμβάνει τὴν ἐπιθυμίαν, θὰ εἰπῇ κάποιος, ἐνῷ ἐκεῖνος δὲν ἀπολαμβάνει. Ἀλλὰ τὸ νὰ μὴ ἐντροπιάζεται, τὸ νὰ μὴ εἶναι δοῦλος εἰς τὰς τυραννικὰς

τυραννικαῖς αὐτῆς ἐπιταγαῖς, μηδὲ ὡς ἀνδράποδον ἄγεσθαι παρ' αὐτῆς καὶ περιάγεσθαι, ῥαπιζόμενον, ἐμπτυόμενον, ἐπὶ κεφαλῆς ὠθούμενον, μικρὰν ἡδονὴν εἶναι νομίζεις, εἰπέ μοι; Εἰ γάρ τις ταῦτα ἀκριβῶς ἐξετάσειε, καὶ δυνηθείη τὰς ὕβρεις αὐτῶν συναγαγεῖν, τὰ ἐγκλήματα, τὰς συνεχεῖς ὀργάς, τὰς ἀπὸ ψυχῆς, τὰς ἀπὸ τοῦ θρύπτεσθαι γινομένας, τὰς ἀπεχθείας, τὰ ἄλλα πάντα, ἅπερ οἱ πάσχοντες ἴσασι μόνον, πάντα πόλεμον εὑρήσει πλείους ἔχοντα τὰς ἀνακωχὰς τῆς ἀθλίας τούτων ζωῆς. Ποίαν οὖν λέγεις ἡδονήν, εἰπέ μοι; τὴν ἀπὸ τῆς μίξεως, τὴν πρόσκαιρον καὶ βραχεῖαν; Ἀλλ' εὐθέως ταύτην πόλεμος ἐπικαταλαμβάνει, καὶ κύματα, καὶ λύττα, καὶ μανία πάλιν ἡ αὐτή. Καὶ ταῦτα μὲν ὑμῖν εἴρηται, ὡς ἄν τις νέοις διαλεγόμενος ἀκολάστοις εἴποι, οὐ σφόδρα ἀνεχομένοις τῶν περὶ βασιλείας καὶ γεέννης ἀκοῦσαι λόγων· ὅταν δὲ καὶ ταῦτα εἰς μέσον ἀγάγωμεν, οὐδὲν ἔνεστιν εἰπεῖν, ὅση τῶν σωφρονούντων ἡ ἡδονή, ὅταν ἀναπλάττῃ παρ' ἑαυτῷ τοὺς στεφάνους, τὰ βραβεῖα, τὴν μετὰ τῶν ἀγγέλων ὁμιλίαν, τὴν ἐπὶ τῆς οἰκουμένης ἀνάρρησιν, τὴν παρρησίαν, τὰς χρηστὰς καὶ ἀθανάτους ἐλπίδας ἐκείνας.

4. Ἀλλ' ἡ μίξις ἔχει τινὰ ἡδονήν (τοῦτο γὰρ συνεχῶς περιστρέφουσιν), ὁ δὲ σωφρονῶν ὀδυνᾶται διηνεκῶς μαχόμενος τῇ τῆς φύσεως τυραννίδι. Τοὐναντίον μὲν οὖν εὕροι τις ἄν· ἡ γὰρ βία αὕτη καὶ ταραχὴ παρὰ τῷ πορνεύοντι μᾶλλόν ἐστι. Καὶ γὰρ κλόνος ἐν τῷ σώματι πολύς, καὶ πάσης θαλάττης κυματουμένης χαλεπώτερον οὗτος διάκειται, οὐδέποτε πρὸς τὴν ἐπιθυμίαν ἱστάμενος, ἀλλ' ἀεὶ βαλλόμενος ὑπ' αὐτῆς, ὥσπερ οἱ δαιμονῶντες, καὶ συνεχῶς ὑπὸ τῶν πονηρῶν καταρρηγνύμενοι πνευμάτων. Ὁ δὲ σώφρων καθάπερ ἀριστεὺς γενναῖος συνεχῶς αὐτὴν βάλλων, τὴν ἀρίστην καὶ μυρίων τοιούτων ἡδίω καρποῦται ἡδονήν, τῇ νίκῃ ταύτῃ

της ἀπαιτήσεις, τὸ νὰ μὴ σύρεται ὡς αἰχμάλωτος ἀπὸ αὐτὴν καὶ νὰ μὴ περιφέρεται καὶ ραπίζεται καὶ ἐμπτύεται καὶ ὠθῆται εἰς τὰ ἄκρα, εἰπέ μου, νομίζεις ὅτι εἶναι μικρὰ ἡδονή; Διότι ἐὰν κανεὶς ἐξετάσῃ μὲ ἀκρίβειαν αὐτὰ καὶ συγκεντρώσῃ τὰς ἀτιμώσεις των, τὰς κατηγορίας, τοὺς συνεχεῖς θυμοὺς ποὺ προξενοῦνται ἀπὸ τὴν ψυχήν, ἀπὸ τὰς ἀπιστίας, τὰς ἔχθρας, ὅλα τὰ ἄλλα, τὰ ὁποῖα γνωρίζουν μόνον αὐτοὶ ποὶ τὰ παθαίνουν, θὰ εὕρῃ ὅτι κάθε πόλεμος ἔχει περισσοτέρας ἀνακωχάς, παρὰ ἡ ἀθλία ζωὴ αὐτῶν. Ποίαν, εἰπέ μου, λοιπὸν νομίζεις ἡδονήν; αὐτὴν ἀπὸ τὴν σαρκικὴν ἕνωσιν, τὴν πρόσκαιρον καὶ σύντομον; Ἀλλ᾽ ἀμέσως αὐτὴν τὴν διαδέχεται πόλεμος καὶ κύματα καὶ λύσσα καὶ ἡ ἰδία μανία πάλιν. Καὶ αὐτὰ μὲν ἐλέχθησαν εἰς ἐσᾶς, ἔτσι ποὺ θὰ ὡμίλει κανεὶς ἐὰν ἀπηυθύνετο εἰς νέους καὶ ἀκολάστους ποὺ δὲν ἀνέχονται ν᾽ ἀκούσουν διὰ τὴν οὐράνιον βασιλείαν καὶ τὴν γέενναν, ὅταν ὅμως ὑπολογίσωμεν καὶ αὐτά, δὲν εἶναι δυνατὸν νὰ εἴπωμεν τίποτε διὰ τὸ πόση εἶναι ἡ ἡδονὴ αὐτῶν ποὺ σωφρονοῦν, ὅταν φαντασθῇ κανεὶς τοὺς στεφάνους, τὰ βραβεῖα, τὴν οἰκειότητα μὲ τοὺς ἀγγέλους, τὴν ἀνακήρυξιν εἰς ὅλην τὴν οἰκουμένην, τὸ θάρρος πρὸς τὸν Θεόν, τὰς ἀγαθὰς καὶ ἀθανάτους ἐκείνας ἐλπίδας.

4. Ἀλλ᾽ ἡ σαρκικὴ ἕνωσις προξενεῖ κάποιαν ἡδονήν· (διότι αὐτὸ προβάλλουν συνεχῶς), ἐνῷ αὐτὸς ποὺ σωφρονεῖ ὑποφέρει ἀπὸ τὸ ὅτι συνεχῶς πολεμᾷ τὴν τυραννίαν τῆς φύσεως. Τὸ ἀντίθετον λοιπὸν θὰ εὕρῃ κανεὶς νὰ συμβαίνῃ καθ᾽ ὅσον αὐτὴ ἡ βία τῆς θελήσεως καὶ ἡ ταραχὴ εὑρίσκεται περισσότερον εἰς αὐτὸν ποὺ πορνεύει. Διότι ὑπάρχει πολλὴ σύγχυσις εἰς τὸ σῶμα καὶ εὑρίσκεται εἰς κατάστασιν χειροτέραν ἀπὸ τὴν θάλασσαν αὐτό, ἀφοῦ οὐδέποτε ἡσυχάζει ἀπὸ τὴν ἐπιθυμίαν, ἀλλὰ βάλλεται συνεχῶς ἀπὸ αὐτήν, ὅπως οἱ δαιμονισμένοι ποὺ κατασπαράσσονται συνεχῶς ἀπὸ τὰ πονηρὰ πνεύματα. Ἐνῷ ὁ σώφρων, ὡσὰν γενναῖος νικητὴς καθὼς προσβάλλει αὐτὴν συνεχῶς, κερδίζει τὴν ἀρίστην καὶ γλυκυτέραν ἀπὸ ἀπείρους τέτοιας ἡδονὰς καὶ κοσμεῖται πάντοτε μὲ τὴν νίκην αὐτὴν καὶ

καὶ τῷ χρηστῷ συνειδότι καὶ τοῖς λαμπροῖς τροπαίοις καλλωπιζόμενος διηνεκῶς. Εἰ δὲ μετὰ τὴν ὁμιλίαν ἀναπαύεται μικρὸν ἐκεῖνος, οὐδὲν τοῦτο ἂν εἴη· πάλιν γὰρ ὁ χειμὼν ἔπεισι, καὶ πάλιν κύματα. Ὁ δὲ φιλοσοφῶν οὐδὲ ἀρχὴν ἀφίησι ταύτην λαβεῖν τὴν ταραχήν, οὐδὲ διαναστῆναι τὸ πέλαγος, οὐδὲ βοῆσαι τὸ θηρίον. Εἰ δέ τινα βίαν ὑπομένοι κατέχων τὴν τοιαύτην ὁρμήν, ἀλλὰ καὶ ἐκεῖνος συνεχῶς βαλλόμενος καὶ κεντούμενος καὶ τὸν οἶστρον οὐ φέρων· καὶ παρόμοιον γίνεται, ὥσπερ ἂν εἰ ἵππον ἄγριον μαινόμενον καὶ ἀνατείνοντα ἀνέχοι τῷ χαλινῷ, καὶ κατέχοι μετὰ τέχνης ἁπάσης· ὁ δὲ ἐνδούς, ὥστε τὸν πόνον τοῦτον φυγεῖν, συρόμενος ὑπ' αὐτοῦ πανταχοῦ φέροιτο.

Ταῦτα εἰ καὶ σαφέστερον τοῦ δέοντος εἴρηται, μηδεὶς ἐγκαλείτω· οὐ γὰρ λόγων σεμνότητι καλλωπίζεσθαι βούλομαι, ἀλλὰ ποιῆσαι σεμνοὺς τοὺς ἀκούοντας. Διὰ τοῦτο καὶ οἱ προφῆται οὐδενὸς τῶν τοιούτων φείδονται ῥημάτων, τὴν ἀκολασίαν τῶν Ἰουδαίων ἐκκόψαι βουλόμενοι, ἀλλὰ καὶ γυμνότερον αὐτῶν καθικνοῦνται, ἢ ὑμεῖς νῦν ἐφ' οἷς εἰρήκαμεν. Καὶ γὰρ ἰατρὸς σηπεδόνα ἐκβαλεῖν βουλόμενος, οὐ σκοπεῖ πῶς καθαρὰς διατηρήσειε τὰς χεῖρας, ἀλλ' ὅπως ἐκεῖνον ἀπαλλάξειε τῆς σηπεδόνος· καὶ ὁ τὸν ταπεινὸν ὑψηλὸν ποιῆσαι θέλων, αὐτὸς ταπεινοῦται πρότερος· καὶ ὁ σφάξαι τὸν ἐπιβουλεύοντα σπουδάζων, καὶ ἑαυτὸν αἱμάσσει μετ' ἐκείνου, καὶ τοῦτο αὐτὸν ποιεῖ λαμπρότερον. Ἐπεὶ καὶ στρατιώτην ἐπανελθόντα ἀπὸ τοῦ πολέμου ἂν ἴδῃ τις ἰχῶρι καὶ αἵματι καὶ ἐγκεφάλῳ μεμολυσμένον, οὐ μισήσει οὐδὲ ἀποστραφήσεται διὰ τοῦτο, ἀλλὰ καὶ θαυμάσεται μᾶλλον.

Οὕτω δὴ καὶ ἡμεῖς ποιῶμεν· ὅταν ἴδωμέν τινα μετὰ τὸ κατασφάξαι τὴν ἐπιθυμίαν ᾑμαγμένον ἐπανιόντα, μᾶλλον αὐτὸν θαυμάζωμεν, καὶ κοινωνοῦμεν τῆς μάχης καὶ τῆς

τὴν καθαρὰν καὶ ἀγαθὴν συνείδησιν καὶ τὰ λαμπρὰ τρόπαια. Ἐὰν δὲ ἐκεῖνος μετὰ τὴν σαρκικὴν μίξιν ἀναπαύεται ὀλίγον, αὐτὸ δὲν εἶναι τίποτε· διότι πάλιν ἐπέρχεται ἡ ἀνεμοζάλη καὶ πάλιν κύματα. Ἐνῷ αὐτὸς ποὺ ζῇ σαφῶς μὲ σωφροσύνην οὔτε νὰ ἀρχίσῃ ἀφήνει αὐτὴν τὴν ταραχήν, οὔτε νὰ τρικυμίσῃ τὸ πέλαγος, οὔτε νὰ φωνάξῃ τὸ θηρίον. Ἐὰν δὲ ὑπομένῃ κάποιαν βίαν διὰ νὰ κυριαρχῇ εἰς αὐτὴν τὴν ὁρμήν, ὑπομένει ὅμως καὶ ἐκεῖνος ποὺ συνεχῶς βάλλεται καὶ κεντᾶται καὶ ὑποφέρει ἀπὸ τὴν σφοδρὰν μανίαν τοῦ ἔρωτος· καὶ γίνεται τὸ ἴδιον περίπου ποὺ γίνεται ὅταν κάποιος κρατῇ ἄγριον ἵππον ποὺ μαίνεται καὶ ἐναντιοῦται καὶ τὸν κυβερνᾷ μὲ πολλὴν τέχνην· ἐνῷ κάποιος ἄλλος, ποὺ ἐνδίδει διὰ ν' ἀποφύγῃ αὐτὸν τὸν κόπον, σύρεται **ἀπὸ τὸν ἵππον** καὶ φέρεται παντοῦ.

Αὐτά, ἂν καὶ ἐλέχθησαν περισσότερον σαφῶς ἀπὸ ὅσον πρέπει, κανεὶς ἂς μὴ κατηγορῇ· διότι δὲν ἐπιθυμῶ νὰ στολίζωμαι μὲ σεμνότητα εἰς τοὺς λόγους, ἀλλὰ νὰ κάνω σεμνοὺς αὐτοὺς ποὺ ἀκούουν. Δι' αὐτὸ καὶ οἱ προφῆται δὲν διστάζουν νὰ χρησιμοποιήσουν κανένα ἀπὸ αὐτοὺς τοὺς λόγους, διότι θέλουν νὰ κόψουν τελείως τὴν ἀκολασίαν τῶν Ἰουδαίων, ἀλλὰ καὶ μὲ περισσότερον γυμνοὺς λόγους τοὺς προσβάλλουν, ἀπὸ ὅσον ἐμεῖς τώρα δι' ὅσα εἴπομεν. Διότι καὶ ὁ ἰατρὸς ὅταν θέλῃ νὰ ἐκβάλῃ τὴν σῆψιν τῆς πληγῆς, δὲν βλέπει πῶς νὰ διατηρήσῃ τὰ χέρια καθαρά, ἀλλὰ ν' ἀπαλλάξῃ τὸν ἀσθενῆ ἀπὸ τὴν σῆψιν· καὶ αὐτὸς ποὺ θέλει νὰ ἀνεβάσῃ ὑψηλὰ αὐτὸν ποὺ ἔπεσε, πίπτει καὶ ταπεινοῦται ὁ ἴδιος πρῶτον· καὶ αὐτὸς ποὺ προσπαθεῖ νὰ σφάξῃ τὸν ἐχθρόν, αἱματώνει καὶ τὸν ἑαυτόν του μαζὶ μὲ ἐκεῖνον, πρᾶγμα ποὺ κάνει αὐτὸν περισσότερον ἔνδοξον. Διότι καὶ ὅταν κανεὶς ἰδῇ στρατιώτην ποὺ ἐπιστρέφει ἀπὸ τὸν πόλεμον νὰ ἔχῃ βαφῆ εἰς τὸ αἷμα, δὲν θὰ τὸν μισήσῃ, οὔτε θὰ τὸν ἀποστραφῆ δι' αὐτό, ἀλλὰ καὶ περισσότερον θὰ τὸν θαυμάσῃ.

Ἔτσι λοιπὸν ἂς κάμνωμεν καὶ ἐμεῖς· ὅταν ἴδωμεν κάποιον νὰ ἐπιστρέφῃ αἱματωμένος ἀφοῦ κατέσφαξε τὴν ἐπιθυμίαν, περισσότερον ἂς τὸν θαυμάζωμεν, καὶ ἂς

νίκης αὐτῷ, καὶ πρὸς τοὺς ἐρῶντας λέγωμεν, δείξατε ἡμῖν τὴν ἐκ τῆς ἐπιθυμίας ἡδονήν· ὁ μὲν γὰρ σώφρων τὴν ἀπὸ τῆς νίκης ἔχει, σὺ δὲ οὐδαμόθεν. Εἰ δὲ ὑμεῖς τὴν ἐκ τῆς ὁμιλίας λέγοιτε, ἀλλ' ἐκείνη σαφεστέρα καὶ διαρκεστέρα. Σὺ γὰρ ἔχεις ἀπὸ τῆς ἀπολαύσεως βραχὺ καὶ μηδὲ φαινόμενον, ἐκεῖνος δὲ ἀπὸ τοῦ συνειδότος καὶ μείζονα καὶ διηνεκῆ καὶ γλυκυτέραν ἔχει τὴν εὐφροσύνην. Οὐδὲ γὰρ οὕτως ὁμιλία γυναικός, ὡς φιλοσοφία ἀτάραχον δύναται τηρῆσαι ψυχὴν καὶ πτερῶσαι. Οὗτος μὲν οὖν, ὥσπερ ἔφην, σαφῶς οὕτω δείκνυσιν ἡμῖν τὴν ἡδονήν· ἐπὶ δὲ σοῦ τὴν μὲν ἀπὸ τῆς ἥττης ἀθυμίαν ὁρῶ, τὴν δὲ ἡδονὴν βουλόμενος ἰδεῖν, οὐχ εὑρίσκω. Ποῖον γὰρ βούλει καιρὸν ἡδονῆς εἶναι; τὸν πρὸ τῆς μίξεως; Ἀλλ' οὐκ ἔστι· μανίας γάρ ἐστι καὶ παραφορᾶς καὶ ἐκστάσεως. Τὸ γὰρ τοὺς ὀδόντας τρίζειν καὶ ἐξίστασθαι, οὐχ ἡδονῆς· εἰ δὲ ἡδονῆς ἦν, οὐκ ἂν ταῦτά σε εἰργάσατο, ἃ οἱ ἀλγοῦντες ὑπομένουσι. Καὶ γὰρ οἱ πυκτεύοντες καὶ πληττόμενοι τοὺς ὀδόντας τρίζουσι, καὶ αἱ ὠδίνουσαι γυναῖκες διασπώμεναι τοῖς πόνοις, τὸ αὐτὸ τοῦτο ποιοῦσιν. Ὥστε οὐχ ἡδονὴ τοῦτο, ἀλλ' ἔκστασις μᾶλλον καὶ θόρυβος καὶ ταραχή. Ἀλλ' ὁ μετὰ ταῦτα καιρός; Ἀλλ' οὐδὲ οὗτος· οὐδὲ γὰρ τὴν τεκοῦσαν ἐν ἡδονῇ εἴποιμεν ἂν εἶναι, ἀλλ' ἐν ἀπαλλαγῇ πόνων. Οὐ πάντως δὲ τοῦτο ἡδονή, ἀλλ' ἀσθένεια μᾶλλον καὶ ἔκλυσις· πολὺ δὲ τὸ μέσον ἑκατέρων τούτων ἐστί.

Ποῖος οὖν τῆς ἡδονῆς καιρός, εἰπέ μοι; Οὐκ ἔστιν οὐδείς· εἰ δὲ καὶ ἔστιν, οὕτω βραχύς ἐστιν, ὡς μηδὲ φαίνεσθαι. Μυρία οὖν φιλονεικήσαντες φωρᾶσαι αὐτὸν καὶ κατασχεῖν, οὐκ ἠδυνήθημεν. Ἀλλ' οὐχ ὁ τοῦ σώφρονος τοι-

συμμετέχωμεν μὲ αὐτὸν εἰς τὴν μάχην καὶ τὴν νίκην, καὶ ἂς λέγωμεν πρὸς ἐκείνους ποὺ κατέχονται ἀπὸ ἔρωτα, δείξατε εἰς ἐμᾶς τὴν ἡδονὴν ἀπὸ τὴν ἐπιθυμίαν˙ διότι ὁ μὲν σώφρων ἔχει τὴν ἡδονὴν ἀπὸ τὴν νίκην, ἐνῷ σὺ ἀπὸ πουθενά. Ἐὰν δὲ σεῖς λέγετε διὰ τὴν ἡδονὴν ἀπὸ τὴν σαρκικὴν μίξιν, ἐκείνη ὅμως εἶναι καθαρωτέρα καὶ διαρκεῖ περισσότερον. Διότι σὺ ἔχεις ἡδονὴν ἀπὸ τὴν ἀπόλαυσιν σύντομον καὶ ποὺ οὔτε φαίνεται, ἐνῷ ἐκεῖνος ἀπὸ τὴν συνείδησιν καὶ μεγαλυτέραν καὶ παντοτινὴν καὶ γλυκυτέραν εὐφροσύνην ἔχει. Διότι δὲν ἠμπορεῖ τόσον ἡ ἕνωσις μὲ γυναῖκα, ὅσον ἡ σωφροσύνη ποὺ εἶναι καθαρὴ ζωή, νὰ κρατήσῃ τὴν ψυχὴν ἀτάραχον καὶ νὰ τὴν πτερώσῃ. Αὐτὸς λοιπόν, ποὺ σωφρονεῖ, ὅπως εἶπον, δεικνύει ἔτσι σαφῶς εἰς ἐμᾶς τὴν ἡδονήν, ἐνῷ εἰς ἐσένα τὴν μὲν στενοχωρίαν ἀπὸ τὴν ἧτταν τὴν βλέπω, τὴν δὲ ἡδονὴν ἐνῷ θέλω νὰ τὴν ἰδῶ, δὲν τὴν εὑρίσκω. Διότι ποῖον θεωρεῖς ὡς καιρὸν ἡδονῆς; αὐτὸν ποὺ προηγεῖται ἀπὸ τὴν σαρκικὴν ἕνωσιν; Ἀλλὰ δὲν εἶναι˙ διότι εἶναι στιγμὴ μανίας καὶ παραφορᾶς καὶ τρέλλας. Διότι τὸ νὰ τρίζῃ κανεὶς τὰ δόντια καὶ νὰ ἐξέρχεται ἀπὸ τὸν ἑαυτόν του δὲν εἶναι ἡδονή˙ ἐὰν δὲν ἦτο ἡδονή, δὲν θὰ σοῦ ἔκαμνεν αὐτὰ ποὺ πάσχουν ἐκεῖνοι ποὺ ὑποφέρουν. Διότι αὐτοὶ ποὺ πυγμαχοῦν καὶ κτυπῶνται τρίζουν τοὺς ὀδόντας καὶ αἱ γυναῖκες ποὺ γεννοῦν καὶ σπαράσσονται ἀπὸ τοὺς πόνους τὸ ἴδιον κάμνουν. Ὥστε δὲν εἶναι ἡδονὴ αὐτό, ἀλλὰ λιποθυμία καὶ σύγχυσις καὶ ταραχή. Ἀλλὰ μήπως ὁ χρόνος μετὰ ἀπὸ αὐτά; Ἀλλ' οὔτε αὐτός˙ διότι οὔτε αὐτὴν ποὺ ἐγέννησε θὰ ἐλέγομεν ὅτι εὑρίσκεται εἰς κατάστασιν ἡδονῆς, ἀλλ' ἀπαλλαγῆς ἀπὸ πόνους. Αὐτὸ δὲ ὁπωσδήποτε δὲν εἶναι ἡδονή, ἀλλὰ μᾶλλον ἀσθένεια καὶ διάλυσις˙ εἶναι δὲ μεγάλη ἡ ἀπόστασις μεταξὺ τῶν δύο.

Εἰπέ μου λοιπόν˙ ποία εἶναι ἡ ὥρα τῆς ἡδονῆς; Δὲν εἶναι καμμία˙ καὶ ἐὰν ὑπάρχῃ δέ, εἶναι τόσον σύντομος, ὥστε οὔτε φαίνεται. Μολονότι ἐπεδιώξαμεν μὲ κάθε τρόπον νὰ τὴν ἀνακαλύψωμεν καὶ νὰ τὴν κρατήσωμεν, ὅμως δὲν ἠμπορέσαμεν. Ὁ χρόνος τῆς ἡδονῆς τοῦ σώφρονος

οὗτος, ἀλλὰ πλατύς, καὶ πᾶσι κατάδηλος· μᾶλλον δὲ ἅπας ὁ βίος ἐν ἡδονῇ, τοῦ συνειδότος αὐτῷ στεφανωμένου, τῶν κυμάτων ἐστορεσμένων, οὐδενὸς οὐδαμόθεν ἐγγινομένου θορύβου. Ἐπεὶ οὖν οὗτος μᾶλλον ἐν ἡδονῇ, ὁ δὲ φιλήδονος ἐν ἀθυμίᾳ καὶ θορύβοις, φεύγωμεν ἀκολασίαν, ἀντεχώμεθα σωφροσύνης, ἵνα καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας **Ἀμήν.**

ὅμως δὲν εἶναι τέτοιος, ἀλλὰ μέγας καὶ καταφανὴς εἰς ὅλους· μᾶλλον δὲ ὅλος ὁ βίος του εἶναι μέσα εἰς ἡδονήν, ἀφοῦ στεφανοῦται ἀπὸ τὴν συνείδησιν, κύματα δὲν σηκώνονται καὶ καμμία σύγχυσις δὲν δημιουργεῖται ἀπὸ πουθενά. Ἐπειδὴ λοιπὸν αὐτὸς μᾶλλον ζῇ εἰς ἡδονήν, ἐνῷ ὁ φιλήδονος ἀντιμετωπίζει θλῖψιν καὶ ταραχάς, ἂς ἀποφεύγωμεν τὴν ἀκολασίαν, ἂς ἀγωνιζώμεθα διὰ τὴν σωφροσύνην, διὰ νὰ ἐπιτύχωμεν καὶ τὰ μέλλοντα ἀγαθά, τὰ ὁποῖα εἴθε ν' ἀξιωθῶμεν ὅλοι, μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα αἰωνίως. Ἀμήν.

ΛΟΓΟΣ ΛΗ΄
Α΄ Κορ. 5, 1 - 10

«*Γνωρίζω δὲ ὑμῖν, ἀδελφοί, τὸ εὐαγγέλιον, ὃ εὐηγγελισάμην ὑμῖν, ὃ καὶ παρελάβετε, ἐν ᾧ καὶ ἑστήκατε, δι' οὗ καὶ σώζεσθε, τίνι λόγῳ εὐηγγελισάμην ὑμῖν*».

1. Ἀπαρτίσας τὸν περὶ τῶν πνευματικῶν λόγον, ἐπὶ τὸ πάντων ἀναγκαιότατον μεθίσταται, τὴν περὶ τῆς ἀναστάσεως ὑπόθεσιν· καὶ γὰρ ἐν τούτῳ σφόδρα ἐνόσουν. Καὶ καθάπερ ἐπὶ τῶν σωμάτων, ὅταν αὐτῶν ἅψηται λοιπὸν τῶν στερεῶν ὁ πυρετός, νεύρων λέγω καὶ φλεβῶν καὶ τῶν πρώτων στοιχείων, ἀνίατον γίνεται τὸ κακόν, ἂν μὴ πολλῆς ἀπολαύσῃ τῆς ἐπιμελείας· οὕτω δὴ καὶ τότε γενέσθαι ἐκινδύνευεν. Ἐπὶ γὰρ αὐτὰ τῆς εὐσεβείας τὰ στοιχεῖα τὸ κακὸν ἐβάδιζε. Διὸ καὶ πολλῇ τῇ σπουδῇ κέχρηται ὁ Παῦλος. Οὐδὲ γὰρ περὶ βίου λοιπὸν ὁ λόγος ἦν αὐτῷ, οὐδ' ὅτι ὁ μὲν ἐπόρνευεν, ὁ δὲ ἐπλεονέκτει, ὁ δὲ ὅτι κεκαλυμμένην εἶχε τὴν κεφαλήν, ἀλλὰ περὶ αὐτὸ τῶν ἀγαθῶν τὸ κεφάλαιον· περὶ γὰρ τὴν ἀνάστασιν αὐτὴν ἐστασίαζον. Ἐπειδὴ γὰρ ἡ πᾶσα ἡμῶν ἐλπὶς αὕτη, πρὸς τοῦτο σφοδρῶς ἵστατο ὁ διάβολος, καὶ ποτὲ μὲν ἀνῄρει καθάπαξ αὐτήν, ποτὲ δὲ ἔλεγεν ἤδη γεγονέναι· ὃ καὶ Τιμοθέῳ γράφων ὁ Παῦλος γάγγραιναν ἐκάλει τὸ πονηρὸν τοῦτο δόγμα, καὶ τοὺς εἰσάγοντας αὐτὸ ἔστιζε λέγων· «Ὧν ἐστιν Ὑμέναιος καὶ Φιλητός, οἵτινες περὶ τὴν ἀλήθειαν ἠστόχησαν, λέγοντες τὴν ἀνάστασιν ἤδη γεγονέναι,

ΛΟΓΟΣ ΛΗ΄
Α΄ Κορ. 5, 1 - 10

«Σᾶς ὑπενθυμίζω δέ, ἀδελφοί, τὸ εὐαγγέλιον ποὺ σᾶς ἐδίδαξα, τὸ ὁποῖον καὶ παρελάβετε, εἰς τὸ ὁποῖον εἶσθε ἀφωσιωμένοι ἀπὸ τότε, διὰ τοῦ ὁποίου καὶ σώζεσθε, ἐὰν τὸ κρατῆτε σταθερὰ ὅπως ἐγὼ σᾶς τὸ ἐκήρυξα».

1. Ἀφοῦ ὡλοκλήρωσε τὸν λόγον διὰ τὰ πνευματικὰ χαρίσματα, ἔρχεται εἰς αὐτό ποὺ εἶναι τὸ πιὸ ἀναγκαιότερον ἀπὸ ὅλα, τὴν διδασκαλίαν διὰ τὴν ἀνάστασιν, καθ' ὅσον ἡ πίστις των εἰς αὐτὸ ἦτο πολὺ ἀσθενής. Καὶ ὅπως ἀκριβῶς εἰς τὰ σώματα, ὅταν ὁ πυρετὸς προσβάλῃ τὰ στερεά, δηλαδὴ τὰ νεῦρα καὶ τὰς φλέβας καὶ τὰ πρῶτα στοιχεῖα ποὺ τὰ συνθέτουν, τότε τὸ κακὸν γίνεται ἀθεράπευτον, ἐὰν δὲν τύχουν πολλῆς περιποιήσεως, ἔτσι λοιπὸν ὑπῆρχε κίνδυνος νὰ γίνῃ καὶ τότε. Διότι τὸ κακὸν ἐβάδιζεν ἤδη ἐναντίον τῶν στοιχείων τῆς εὐσεβείας. Δι' αὐτὸ καὶ καταβάλλει μεγάλην προσπάθειαν ὁ Παῦλος. Τὸ θέμα βέβαια δι' αὐτὸν δὲν ἦτο διὰ τὸν τρόπον ζωῆς, οὔτε ὅτι ὁ μὲν ἐπόρνευεν, ὁ δὲ ἦτο πλεονέκτης, ὁ ἄλλος ὅτι ἐκάλυπτε τὴν κεφαλήν, ἀλλὰ δι' αὐτὸ τὸ ἀποκορύφωμα τῶν ἀγαθῶν˙ καθ' ὅσον διεφώνουν δι' αὐτὴν τὴν ἰδίαν τὴν ἀνάστασιν. Διότι ἐπειδὴ αὐτὴ εἶναι ὅλη μας ἡ ἐλπίς, πρὸς αὐτὸ ἔπληττε μὲ δύναμιν ὁ διάβολος, καὶ ἄλλοτε μὲν τελείως ἐξήλειφε τὴν πίστιν εἰς αὐτήν, ἄλλοτε δὲ ἔλεγεν ὅτι ἤδη ἔγινεν αὐτό, πρᾶγμα διὰ τὸ ὁποῖον γράφων εἰς τὸν Τιμόθεον ὁ Παῦλος ὀνομάζει γάγγραιναν τὴν πονηρὰν αὐτὴν δοξασίαν καὶ ἐστιγμάτιζεν αὐτοὺς ποὺ εἰσῆγον αὐτόν, μὲ τοὺς λόγους˙ «Μεταξὺ αὐτῶν εἶναι ὁ Ὑμέναιος καὶ ὁ Φίλιππος, οἱ ὁποῖοι ἔχουν ἀστοχήσει ὡς πρὸς τὴν ἀλήθειαν μὲ τὸ νὰ λέγουν ὅτι

καὶ ἀνατρέπουσι τήν τινων πίστιν. Ποτὲ μὲν οὖν τοῦτο ἔλεγον, ποτὲ δὲ ὅτι τὸ σῶμα οὐκ ἀνίσταται, ἀλλὰ τῆς ψυχῆς ὁ καθαρμός ἐστιν ἀνάστασις.

Ταῦτα δὲ ἔπειθε λέγειν ὁ πονηρὸς δαίμων ἐκεῖνος, οὐ τὴν ἀνάστασιν ἀνατρέψαι βουλόμενος μόνον, ἀλλὰ καὶ τὰ ὑπὲρ ἡμῶν γενόμενα ἅπαντα δεῖξαι μῦθον ὄντα. Εἰ γὰρ ἐπείσθησαν μὴ εἶναι σωμάτων ἀνάστασιν, κατὰ μικρὸν αὐτοὺς ἔπειθε μηδὲ Χριστὸν ἐγηγέρθαι· ἀπὸ δὲ τούτου κἀκεῖνο εἰσῆγεν ὁδῷ βαδίζων, τὸ μὴ παραγεγονέναι, μηδὲ πεποιηκέναι ἅπερ ἐποίησε. Τοιαύτη γὰρ ἡ τοῦ διαβόλου κακουργία. Διὸ καὶ μεθοδείαν αὐτὴν καλεῖ ὁ Παῦλος, ὅτι οὐκ ἐξ εὐθείας ὃ βούλεται κατασκευάσαι δείκνυσιν, ὥστε μὴ γενέσθαι κατάφωρος, ἀλλ' ἕτερον ἑαυτῷ περιτιθεὶς προσωπεῖον, ἕτερα τεκταίνει, καὶ καθάπερ πολέμιος καὶ κακοῦργος πόλει προσβαλὼν καὶ τείχεσι, κάτωθεν ὑπορύττει λανθάνων, ὥστε ταύτῃ γενέσθαι δυσφύλακτος, καὶ κατορθῶσαι ἅπερ ἐσπούδακε. Διόπερ ἀεὶ τὰς τοιαύτας αὐτοῦ πάγας εὑρίσκων καὶ τοὺς πονηροὺς τούτους λόχους θηρῶν ὁ θαυμαστὸς οὗτος καὶ μέγας ἀνήρ, ἔλεγεν «Οὐ γὰρ αὐτοῦ τὰ νοήματα ἀγνοοῦμεν». Καὶ γὰρ καὶ ἐνταῦθα ὁλόκληρον ἀνακαλύπτει τὸν δόλον αὐτοῦ, καὶ πάντα δείκνυσι τὰ μηχανήματα, καὶ ὅσα βούλεται κατασκευάσαι προτίθησιν εἰς μέσον, μετὰ πολλῆς ἀκριβείας ἅπασιν ἐπιών. Διὰ γὰρ τοῦτο καὶ ὕστερον τέθεικε τουτὶ τὸ κεφάλαιον τῶν ἄλλων, ἐπειδὴ καὶ σφόδρα ἀναγκαιότατον ἦν, καὶ τὰ ἡμέτερα συνέχον ἅπαντα.

Καὶ σκόπει σύνεσιν. Πρότερον γὰρ τοὺς οἰκείους ἀσφαλισάμενος, τότε ἐπεξέρχεται καὶ περαιτέρω τῷ λόγῳ, καὶ τοὺς ἔξωθεν ἐκ περιουσίας ἐπιστομίζει. Ἀσφαλίζεται δὲ τοὺς οἰκείους, οὐκ ἀπὸ λογισμῶν, ἀλλ' ἀπὸ τῶν ἤδη γεγενημένων, καὶ ἅπερ αὐτοὶ κατεδέξαντο καὶ ἐπίστευσαν γεγενῆσθαι· ὃ μάλιστα ἦν ἐντρεπτικόν, καὶ ἱκανὸν αὐτοὺς κατασχεῖν. Εἰ γὰρ ἠβουλήθησαν ἀπιστῆσαι μετὰ ταῦτα, οὐκέτι λοιπὸν τῷ

---

1. Β' Τιμ. 2, 17-18.
2. Β' Κορ. 2, 2.

ἔχει γίνει ἤδη ἡ ἀνάστασις καὶ ἀνατρέπουν τὴν πίστιν μερικῶν[1]. Καὶ ἄλλοτε λοιπὸν αὐτὸ ἔλεγον, ἄλλοτε δὲ ὅτι τὸ σῶμα δὲν ἀνίσταται, ἀλλ' ὅτι ἀνάστασις εἶναι ἡ κάθαρσις τῆς ψυχῆς.

Αὐτὰ δὲ τοὺς ἔπειθε νὰ τὰ λέγουν ἐκεῖνος ὁ πονηρὸς δαίμων, καθ' ὅσον ἤθελεν ὄχι μόνον νὰ καταργήσῃ τὴν πίστιν εἰς τὴν ἀνάστασιν, ἀλλὰ καὶ νὰ δείξῃ ὅτι ὅλα ὅσα ἔγιναν πρὸς χάριν μας ἀπὸ τὸν Χριστὸν εἶναι μῦθος. Διότι, ἐὰν ἐπίστευον ὅτι δὲν ὑπάρχει ἀνάστασις τῶν σωμάτων, ὀλίγον κατ' ὀλίγον θὰ τοὺς ἔπειθεν ὅτι οὔτε ὁ Χριστὸς ἀνεστήθη· ἀπὸ αὐτὸ δὲ καθὼς θὰ ἐπροχώρει εἰς αὐτὴν τὴν ὁδόν, θὰ εἰσῆγε καὶ τὴν πλάνην ὅτι οὔτε ἦλθεν εἰς τὴν γῆν, οὔτε ἔκαμεν ὅσα ἔκαμε. Τέτοια εἶναι λοιπὸν ἡ κακουργία τοῦ διαβόλου. Δι' αὐτὸ καὶ ὀνομάζει αὐτὴν μεθοδείαν ὁ Παῦλος, διότι δὲν δεικνύει εὐθέως αὐτὸ ποὺ θέλει νὰ κάνῃ, ὥστε νὰ μὴ φανερωθῇ, ἀλλ', ἀφοῦ περιβληθῇ μὲ ἄλλο προσωπεῖον, ἄλλα μηχανεύεται, καὶ ὅπως ὅταν ἐχθρὸς καὶ κακοῦργος προσβάλῃ πόλιν καὶ τὰ τείχη σκάπτει κρυφὰ ἀπὸ κάτω, ὥστε δυσκόλως νὰ ἠμπορῇ νὰ φυλαχθῇ αὐτὴ καὶ νὰ κατορθώσῃ αὐτὸ ποὺ θέλει. Δι' αὐτό, ἐπειδὴ εὕρισκε τὰς παγίδας του καὶ ἔπιανε τὰς πονηράς του ἐνέδρας ὁ θαυμαστὸς αὐτὸς καὶ μέγας ἄνδρας, ἔλεγε· «διότι δὲν ἀγνοοῦμεν τὰ σχέδιά του»[2]. Καθ' ὅσον καὶ ἐδῶ ἀνακαλύπτει ὁλόκληρον τὴν ἀπάτην του καὶ δεικνύει ὅλα τὰ πονηρά του σχέδια καὶ προβάλλει ὅλα ὅσα θέλει νὰ κάνῃ, ἀφοῦ προσβάλλει ὅλα μὲ πολλὴν ἀκρίβειαν. Δι' αὐτὸ λοιπὸν καὶ ἔθεσε τελευταῖον αὐτὸ τὸ κεφάλαιον, ἐπειδὴ καὶ πάρα πολὺ ἀναγκαῖον ἦτο καὶ συγκρατεῖ ὅλην τὴν πίστιν μας.

Καὶ πρόσεχε σύνεσιν. Ἀφοῦ ἠσφάλισε πρῶτον τοὺς πιστοὺς τῆς ἐκκλησίας, τότε προχωρεῖ καὶ περαιτέρω εἰς τὸν λόγον καὶ ἀποστομώνει τελείως καὶ αὐτοὺς ποὺ προσβάλλουν ἀπὸ ἔξω. Ἀσφαλίζει δὲ τοὺς ἰδικούς του ὄχι μὲ συλλογισμούς, ἀλλὰ μὲ αὐτὰ ποὺ ἤδη ἔγιναν καὶ τὰ ὁποῖα αὐτοὶ παρεδέθχησαν καὶ ἐπίστευσαν ὅτι ἔγιναν, πρᾶγμα ποὺ προεκάλει πολλὴν ἐντροπὴν καὶ ἦτο ἱκανὸν νὰ τοὺς συγκρατήσῃ. Διότι, ἐὰν ἤθελον μετὰ ἀπὸ αὐτὰ ν' ἀπιστή-

Παύλῳ, ἀλλ' ἑαυτοῖς ἔμελλον ἀπιστεῖν· ὅπερ κατηγορία ἐκείνων ἦν τῶν ἅπαξ καταδεξαμένων καὶ μεταθεμένων. Διὰ δὴ τοῦτο καὶ ἐντεῦθεν ἄρχεται, δεικνὺς ὅτι οὐκ ἄλλων δεῖται μαρτύρων εἰς τὸ δεῖξαι, ὅτι τἀληθῆ λέγει, ἀλλ' αὐτῶν ἐκείνων τῶν ἠπατημένων.

2. Ἵνα δὲ ὃ λέγω σαφέστερον γένηται, αὐτῶν λοιπὸν ἀναγκαῖον ἀκοῦσαι τῶν ῥημάτων. Τίνα οὖν ταῦτά ἐστιν; «Γνωρίζω ὑμῖν, ἀδελφοί», φησί, «τὸ εὐαγγέλιον, ὃ εὐηγγελισάμην ὑμῖν». Εἶδες μεθ' ὅσης ἐπιεικείας ἄρχεται; εἶδες πῶς ἀπὸ τῆς ἀρχῆς ἔδειξεν, ὅτι οὐδὲν καινὸν εἰσάγει, οὐδὲ ξένον; Ὁ γὰρ γνωρίζων, τὸ ἤδη γνωσθέν, εἶτα εἰς λήθην ἐμπεσόν, γνωρίζει, πάλιν εἰς μνήμην ἄγων. Καλέσας δὲ ἀδελφούς, οὐ μικρὰν καὶ ἐντεῦθεν προκατεβάλετο τῶν λεγομένων τὴν ἀπόδειξιν. Ἀδελφοὶ γὰρ οὐδαμόθεν ἐγενόμεθα, ἀλλ' ἢ ἀπὸ τῆς κατὰ σάρκα τοῦ Χριστοῦ οἰκονομίας. Διὸ δὴ καὶ οὕτως αὐτοὺς ἐκάλεσεν, ὁμοῦ μὲν καταπραΰνων καὶ θεραπεύων, ὁμοῦ δὲ τῶν μυρίων ἀγαθῶν ἀναμιμνήσκων. Καὶ τὸ ἑξῆς πάλιν τοῦ αὐτοῦ κατασκευαστικόν. Ποῖον δὴ τοῦτο; Τὸ εὐαγγέλιον. Τῶν γὰρ εὐαγγελίων τὸ κεφάλαιον ἐντεῦθεν ἔχει τὴν ἀρχήν, ἀπὸ τοῦ τὸν Θεὸν γενέσθαι ἄνθρωπον, καὶ σταυρωθῆναι, καὶ ἀναστῆναι. Τοῦτο καὶ ὁ Γαβριὴλ εὐηγγελίζετο τῇ παρθένῳ, τοῦτο καὶ οἱ προφῆται τῇ οἰκουμένῃ, τοῦτο καὶ οἱ ἀπόστολοι ἅπαντες. «Ὃ εὐηγγελισάμην, ὃ παρελάβετε, ἐν ᾧ καὶ ἑστήκατε, δι' οὗ καὶ σώζεσθε, τίνι λόγῳ εὐηγγελισάμην ὑμῖν, εἰ κατέχετε· ἐκτὸς εἰ μὴ εἰκῇ ἐπιστεύσατε». Εἶδες πῶς αὐτοὺς καλεῖ μάρτυρας τῶν εἰρημένων; Καὶ οὐ λέγει, ὃ ἠκούσατε, ἀλλ', «ὃ παρελάβετε», ὥσπερ τινὰ παρακαταθήκην αὐτοὺς ἀπαιτῶν, καὶ δηλῶν ὅτι οὐ λόγῳ μόνον, ἀλλὰ καὶ δι' ἔργων καὶ σημείων καὶ θαυμάτων αὐτὸ παρέλαβον, καὶ ἵνα κατέχωσι μετὰ ἀσφαλείας.

σουν, θὰ ἠπίστουν πλέον ὄχι εἰς τὸν Παῦλον, ἀλλ' εἰς τοὺς ἑαυτούς των, πρᾶγμα ποὺ ἦτο κατηγορία δι' ἐκείνους ποὺ παρεδέχθησαν τὴν πρώτην φορὰν καὶ ἐπίστευσαν. Δι' αὐτὸ λοιπὸν καὶ ἀρχίζει ἀπὸ ἐδῶ, διὰ νὰ δείξῃ ὅτι δὲν χρειάζεται ἄλλους μάρτυρας διὰ τὸ ὅτι λέγει τὴν ἀλήθειαν, ἀλλ' ὅτι αὐτοὶ οἱ ἴδιοι ποὺ ἐξηπατήθησαν εἶναι μάρτυρες.

2. Διὰ νὰ γίνῃ δὲ σαφέστερον αὐτὸ ποὺ λέγω, εἶναι ἀνάγκη πλέον ν' ἀκούσωμεν αὐτοὺς τοὺς λόγους. Ποῖοι λοιπὸν εἶναι αὐτοί; «Σᾶς ὑπενθυμίζω, ἀδελφοί», λέγει, «τὸ εὐαγγέλιον ποὺ σᾶς ἐδίδαξα». Εἶδες μὲ πόσην ἐπιείκειαν; εἶδες πῶς ἀπὸ τὴν ἀρχὴν ἔδειξεν ὅτι δὲν εἰσάγει τίποτε νέον, οὔτε ξένον; Διότι αὐτὸς ποὺ ὑπενθυμίζει αὐτὸ ποὺ ἤδη ἐγνωρίσθη καὶ ὕστερον ἐλησμονήθη, τὸ ἴδιο γνωρίζει ἀφοῦ τὸ ὑπενθυμίσῃ πάλιν. Μὲ τὸ νὰ τοὺς ὀνομάσῃ δὲ ἀδελφοὺς ἔδωσε προκαταβολικὰ καὶ ἀπὸ αὐτὸ ὄχι μικρὰν ἀπόδειξιν δι' αὐτό. Διότι ἀπὸ πουθενὰ ἀλλοῦ δὲν ἐγίναμεν ἀδελφοί, παρὰ ἀπὸ τὴν σωτηριώδη ἔνσαρκον οἰκονομίαν τοῦ Χριστοῦ. Δι' αὐτὸ βέβαια καὶ τοὺς ὠνόμασεν ἔτσι ἀφ' ἑνὸς μὲν διὰ νὰ τοὺς καταπραΰνῃ καὶ νὰ τοὺς περιποιηθῇ, ἀφ' ἑτέρου δὲ διὰ νὰ τοὺς ὑπενθυμίσῃ τὰ ἄπειρα ἀγαθά. Καὶ ἐκεῖνο ποὺ ἀκολουθεῖ πάλιν μετὰ ἀπὸ αὐτὸ ἀποδεικνύει τὸ ἴδιον πρᾶγμα. Ποῖον λοιπὸν εἶναι αὐτό; Τὸ εὐαγγέλιον. Διότι τὸ περιεχόμενον τῶν εὐαγγελίων ἐδῶ ἔχει τὴν ἀρχήν, εἰς τὸ ὅτι δηλαδὴ ὁ Θεὸς ἔγινεν ἄνθρωπος καὶ ἐσταυρώθη καὶ ἀνεστήθη. Αὐτὸ τὸ χαρμόσυνον ἄγγελμα ἔφερε καὶ ὁ Γαβριὴλ εἰς τὴν Παρθένον, αὐτὸ καὶ οἱ προφῆται εἰς τὴν οἰκουμένην, αὐτὸ καὶ οἱ ἀπόστολοι ὅλοι. «Τὸ ὁποῖον σᾶς ἐκήρυξα, τὸ ὁποῖον καὶ παρελάβετε, εἰς τὸ ὁποῖον καὶ στέκεσθε, διὰ τοῦ ὁποίου καὶ σώζεσθε, ἐὰν τὸ κρατῆτε σταθερὰ ὅπως ἐγὼ σᾶς τὸ ἐκήρυξα, ἐκτὸς ἐὰν μάταια ἐπιστεύσατε». Εἶδες πῶς καλεῖ αὐτοὺς τοὺς ἰδίους μάρτυρας αὐτῶν ποὺ ἐλέχθησαν; καὶ δὲν λέγει αὐτὸ ποὺ ἠκούσατε, ἀλλ' «αὐτὸ ποὺ παρελάβατε», ὡσὰν νὰ ἀπαιτῇ κάποιαν παρακαταθήκην ἀπὸ αὐτοὺς καὶ φανερώνει ὅτι ὄχι μόνον μὲ λόγον, ἀλλὰ καὶ μὲ ἔργα καὶ σημεῖα καὶ θαύματα παρέλαβον αὐτὸ καὶ διὰ νὰ τὸ κρατοῦν μὲ ἀσφάλειαν.

Εἶτα ἐπειδὴ τὰ παλαιὰ ἔλεγε, καὶ τὸν παρόντα ἐπέστησε χρόνον εἰπών, «ἐν ᾧ καὶ ἑστήκατε», προκαταλαμβάνων αὐτούς, ὡς μηδέ, εἰ σφόδρα βουληθεῖεν, ἀρνήσασθαι δυνηθῆναι. Διὸ καὶ ἀρχόμενος οὐκ εἶπε, διδάσκω ὑμᾶς, ἀλλά, «γνωρίζω ὑμῖν», τὸ ἤδη δῆλον γενόμενον. Καὶ πῶς τοὺς σαλευομένους ἑστάναι φησί; Προσποιεῖται ἄγνοιαν συμφερόντως· ὅπερ καὶ ἐπὶ Γαλατῶν ποιεῖ, ἀλλ' οὐχ ὁμοίως. Ἐπειδὴ γὰρ οὐκ ἦν ἄγνοιαν ἐκεῖ προσποιήσασθαι, ἑτέρως μεθοδεύει τὸν λόγον λέγων, «Πέποιθα δὲ εἰς ὑμᾶς ἐν Κυρίῳ, ὅτι οὐδὲν ἄλλο φρονήσετε». Οὐκ εἶπεν, ὅτι οὐδὲν ἄλλο ἐφρονήσατε, ἐπειδὴ ὡμολογημένον ἦν αὐτῶν τὸ παράπτωμα καὶ κατάδηλον, ἀλλὰ τὸ μέλλον ἐγγυᾶται· καίτοι καὶ τοῦτο ἄδηλον· ἀλλ' ἵνα αὐτοὺς ἐφελκύσηται μειζόνως. Ἐνταῦθα μέντοι καὶ προσποιεῖται ἀγνοεῖν λέγων, «ἐν ᾧ καὶ ἑστήκατε». Εἶτα τὸ κέρδος· «Δι' οὗ καὶ σώζεσθε, τίνι λόγῳ εὐηγγελισάμην ὑμῖν». Ὥστε σαφηνείας ἐστὶν ἡ διδασκαλία αὕτη ἡ νῦν καὶ ἑρμηνείας. Οὐ γὰρ αὐτὸ δεῖσθε τὸ δόγμα, φησί, μαθεῖν, ἀλλ' ὑπομνησθῆναι καὶ διορθωθῆναι.

Ταῦτα δὲ λέγει, οὐκ ἀφιεὶς αὐτοὺς ἀναισχυντῆσαι καθάπαξ. Τί δέ ἐστι, «Τίνι λόγῳ εὐηγγελισάμην ὑμῖν»; Ποίῳ τρόπῳ εἶπον, τὴν ἀνάστασιν γίνεσθαι. Ὅτι μὲν γάρ ἐστιν ἀνάστασις, οὐκ ἂν φαίην ὑμᾶς ἀμφιβάλλειν· ζητεῖτε δὲ ἴσως μαθεῖν σαφέστερον τὸ εἰρημένον. Τοῦτο δὴ καὶ ποιήσω· καὶ γὰρ οἶδα σαφῶς, ὅτι τὸ δόγμα κατέχετε. Εἶτα ἐπειδὴ ἀποφαινόμενος ἔλεγεν, «ἐν ᾧ καὶ ἑστήκατε», ἵνα μὴ ταύτῃ ῥαθυμοτέρους ποιήσῃ, φοβεῖ πάλιν οὕτω λέγων· «Εἰ κατέχετε, ἐκτὸς εἰ μὴ εἰκῇ ἐπιστεύσατε»· δεικνὺς ὅτι περὶ τὸ

3. Γαλ. 5, 10.

Ἐν συνεχείᾳ, ἐπειδὴ ὡμίλει διὰ τὰ παλαιά, ἔστρεψε τὴν προσοχὴν καὶ εἰς τὸν παρόντα χρόνον ὅταν εἶπεν, «εἰς τὸ ὁποῖον καὶ στέκεσθε», διὰ νὰ τοὺς προκαταλάβῃ, ὥστε νὰ μὴ ἠμποροῦν, καὶ ἂν ἀκόμη θελήσουν πολύ, νὰ ἀρνηθοῦν. Δι' αὐτὸ καὶ εἰς τὴν ἀρχὴν δὲν εἶπε, σᾶς διδάσκω, ἀλλά, «σᾶς ὑπενθυμίζω», αὐτὸ δηλαδὴ ποὺ ἤδη ἐγνωρίσατε. Καὶ πῶς αὐτοὺς ποὺ κλονίζονται λέγει ὅτι στέκονται; Προσποιεῖται ἄγνοιαν διὰ τὸ συμφέρον των' πρᾶγμα ποὺ κάμνει καὶ εἰς τοὺς Γαλάτας, ἀλλ' ὄχι μὲ τὸν ἴδιον τρόπον. Ἐπειδὴ δηλαδὴ δὲν ἦτο δυνατὸν νὰ προσποιηθῇ ἄγνοιαν ἐκεῖ, πραγματεύεται τὸν λόγον μὲ ἄλλον τρόπον καὶ λέγει, «Ἔχω πεποίθησιν εἰς τὸν Κύριον ὅτι δὲν θὰ ἔχετε διαφορετικὴν γνώμην»[3]. Δὲν εἶπεν ὅτι δὲν ἐσχηματίσατε ἄλλην γνώμην, ἐπειδὴ τὸ παράπτωμά των εἶχεν ὁμολογηθῇ καὶ ἦτο καταφανές, ἀλλ' ἐγγυᾶται διὰ τὸ μέλλον' ἂν καὶ βέβαια καὶ αὐτὸ ἦτο ἀβέβαιον' ἀλλὰ διὰ νὰ τοὺς προσελκύσῃ περισσότερον. Ἐδῶ ὅμως ἐπὶ πλέον καὶ προσποιεῖται ὅτι ἀγνοεῖ, λέγων, «εἰς τὸ ὁποῖον καὶ στέκεσθε». Ὕστερον δεικνύει τὴν ὠφέλειαν' «Διὰ τοῦ ὁποίου καὶ θὰ σωθῆτε, ἐὰν τὸ κρατῆτε σταθερά, ὅπως ἐγὼ σᾶς τὸ ἐκήρυξα». Ὥστε αὐτὴ ἡ διδασκαλία ποὺ γίνεται τώρα ἀποσκοπεῖ εἰς τὸ νὰ διασαφηνίσῃ καὶ ἑρμηνεύσῃ αὐτά. Δὲν χρειάζεσθε δηλαδὴ νὰ διδαχθῆτε αὐτὴν τὴν πίστιν, λέγει, ἀλλὰ νὰ τὴν ἐνθυμηθῆτε καὶ νὰ διορθωθῆτε.

Αὐτὰ δὲ τὰ λέγει διὰ νὰ μὴ τοὺς ἀφήσῃ νὰ γίνουν τελείως ἀναίσχυντοι. Τί σημαίνει δὲ «ὅπως ἐγὼ σᾶς ἐκήρυξα»; Μὲ ποῖον τρόπον σᾶς εἶπον, λέγει, ὅτι θὰ γίνῃ ἡ ἀνάστασις. Διότι διὰ τὸ ὅτι μὲν ὑπάρχει ἀνάστασις, δὲν θὰ ἠμποροῦσα νὰ εἰπῶ ὅτι ἀμφιβάλλετε' ἴσως ὅμως ζητεῖτε νὰ μάθετε σαφέστερον αὐτὸ ποὺ ἐλέχθη. Αὐτὸ λοιπὸν καὶ θὰ κάνω' διότι γνωρίζω σαφῶς ὅτι κρατεῖτε τὴν πίστιν εἰς αὐτὸ τὸ δόγμα. Εἰς τὴν συνέχειαν, ἐπειδὴ ρητῶς ἔλεγεν, «εἰς τὸ ὁποῖον καὶ στέκεσθε», διὰ νὰ μὴ τοὺς κάνῃ καὶ ραθυμήσουν περισσότερον μὲ αὐτό, τοὺς φοβίζει πάλιν μὲ τοὺς λόγους' «ἐὰν τὸ κρατῆτε σταθερά, ἐκτὸς ἐὰν ματαίως ἐπιστεύσατε»' διὰ νὰ δείξῃ ὅτι ἡ πληγὴ εὑρίσκεται εἰς τὴν

κεφάλαιον ἡ πληγή, καὶ οὐχ ὑπὲρ τῶν τυχόντων ὁ ἀγών, ἀλλ' ὑπὲρ ὁλοκλήρου τῆς πίστεως. Καὶ νῦν μὲν ὑπεσταλμένως αὐτό φησι, προϊὼν δὲ καὶ διαθερμαινόμενος, γυμνῇ λοιπὸν τῇ κεφαλῇ βοᾷ καὶ λέγει· «Εἰ δὲ Χριστὸς οὐκ ἐγήγερται, κενὸν ἄρα τὸ κήρυγμα ἡμῶν, κενὴ δὲ καὶ ἡ πίστις ὑμῶν· ἔτι ἐστὲ ἐν ταῖς ἁμαρτίαις ὑμῶν». Ἀλλ' ἐν προοιμίοις οὐχ οὕτως· οὕτω γὰρ χρήσιμον ἦν ἠρέμα καὶ κατὰ μικρὸν προϊέναι.

3. «Παρέδωκα γὰρ ὑμῖν ἐν πρώτοις, ὃ καὶ παρέλαβον». Οὐ λέγει οὐδὲ ἐνταῦθα ὅτι εἶπον ὑμῖν, οὐδὲ ἐδίδαξα ὑμᾶς, ἀλλὰ τῇ αὐτῇ κέχρηται λέξει πάλιν, «παρέδωκα ὑμῖν», λέγων. «Ὃ καὶ παρέλαβον». Οὐδὲ ἐνταῦθα ἐμὲ διδαχθῆναί φησιν, ἀλλά, «παρέλαβον»· δύο ταῦτα κατασκευάζων, ὅτι τε οὐδὲν οἴκοθεν ἐπεισάγειν δεῖ, καὶ ὅτι μετὰ ἀποδείξεως τῆς διὰ τῶν ἔργων ἐπληροφορήθησαν, οὐ λόγοις ψιλοῖς. Καὶ κατὰ μικρὸν ἀξιόπιστον ποιῶν τὸν λόγον, τὸ πᾶν εἰς τὸν Χριστὸν ἀνάγει, καὶ δείκνυσιν οὐδὲν τούτων ἀνθρώπινον ὂν τῶν δογμάτων. Τί δέ ἐστι, «Παρέδωκα γὰρ ὑμῖν ἐν πρώτοις», φησίν; Ἐξ ἀρχῆς, οὐ νῦν. Ταῦτα δὲ λέγει καὶ τὸν χρόνον παράγων μάρτυρα, καὶ ὅτι ἐσχάτης αἰσχύνης ἦν τοσοῦτον χρόνον πεισθέντας νῦν μετατίθεσθαι· καὶ οὐ τοῦτο μόνον, ἀλλ' ὅτι καὶ ἀναγκαῖον τὸ δόγμα· διὸ καὶ ἐν πρώτοις παρεδόθη, καὶ ἐκ προοιμίων εὐθέως. Καὶ τί παρέδωκας, εἰπέ μοι; Ἀλλ' οὐ λέγει τοῦτο εὐθέως, ἀλλὰ πρῶτον, ὅτι παρέλαβον. Καὶ τί παρέλαβες; «Ὅτι Χριστὸς ἀπέθανεν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν». Οὐκ εἶπεν εὐθέως, ὅτι ἀνάστασίς ἐστι σωμάτων, ἀλλ' αὐτὸ μὲν οὖν τοῦτο κατασκευάζει, πόρρωθεν δὲ καὶ δι' ἑτέρων, λέγων ὅτι Χριστὸς ἀπέθανε, καὶ μεγάλην τινὰ κρηπῖδα καὶ θεμέλιον ἀρραγῆ προκαταβαλλόμενος τοῦ περὶ τῆς ἀναστάσεως λόγου. Οὐδὲ γὰρ ἁπλῶς εἶπεν, ὅτι ἀπέθανεν ὁ Χρι-

ούσίαν καὶ ὅτι ὁ ἀγὼν γίνεται ὄχι διὰ τυχόντα πράγματα, ἀλλὰ δι᾽ ὁλόκληρον τὴν πίστιν. Καὶ τώρα μὲν λέγει αὐτὸ εἰς χαμηλὸν τόνον, ἀλλὰ καθὼς προχωρεῖ καὶ θερμαίνεται, μὲ γυμνὴν πλέον τὴν κεφαλὴν φωνάζει καὶ λέγει· «Ἐὰν δὲ ὁ Χριστὸς δὲν ἀνεστήθη, τότε εἶναι χωρὶς περιεχόμενον καὶ χωρὶς νόημα τὸ κήρυγμά μας καὶ ἡ πίστις σας εἶναι χωρὶς νόημα καὶ εὑρίσκεσθε ἀκόμη μέσα εἰς τὰς ἁμαρτίας σας». Ἀλλ᾽ εἰς τὸ προοίμιον δὲν λέγει ἔτσι διότι ἔτσι ἦτο ὠφέλιμον νὰ ὁμιλήσῃ, μὲ ἠρεμίαν καὶ νὰ προχωρῇ προοδευτικά.

3. «Σᾶς παρέδωκα δηλαδὴ ἐν πρώτοις ἐκεῖνο τὸ ὁποῖον καὶ παρέλαβον». Δὲν λέγει οὔτε ἐδῶ ὅτι σᾶς εἶπον, οὔτε ὅτι σᾶς ἐδίδαξα, ἀλλὰ χρησιμοποιεῖ τὴν ἰδίαν λέξιν πάλιν καὶ λέγει, «σᾶς παρέδωκα». Ἐκεῖνο τὸ ὁποῖον καὶ παρέλαβον». Οὔτε ἐδῶ λέγει ὅτι ἐγὼ ἐδιδάχθην, ἀλλά, «παρέλαβον»· καὶ ἔτσι δύο πράγματα ἀποδεικνύει, καὶ ὅτι τίποτε δὲν εἰσάγει ἐπιπροσθέτως, καὶ ὅτι ἐγνώρισαν αὐτὰ μὲ ἔμπρακτον ἀπόδειξιν καὶ ὄχι μόνον μὲ θεωρητικοὺς λόγους. Καὶ διὰ νὰ κάνῃ σταδιακὰ ἀξιόπιστον τὸν λόγον, ἀνάγει τὸ πᾶν εἰς τὸν Χριστὸν καὶ δεικνύει ὅτι κανὲν ἀπὸ αὐτὰ τὰ δόγματα δὲν εἶναι ἀνθρώπινον. Τί σημαίνει δέ, «Σᾶς παρέδωκα δηλαδὴ ἐν πρώτοις»; θὰ εἴπῃ κάποιος. Ἀπὸ τὴν ἀρχήν, ὄχι τώρα. Αὐτὰ δὲ τὰ λέγει ὡσὰν νὰ φέρῃ μάρτυρα καὶ τὸν χρόνον καὶ διότι ἦτο μεγίστη ἐντροπὴ ἀφοῦ ἐπίστευσαν ἐπὶ τόσον χρόνον τώρα νὰ ἀλλάσσουν πίστιν· καὶ ὄχι μόνον αὐτό, ἀλλὰ διότι ἦτο καὶ ἀπαραίτητος ἡ πίστις εἰς αὐτὸ τὸ δόγμα· δι᾽ αὐτὸ καὶ παρεδόθη ἐξ ἀρχῆς καὶ ἀμέσως ἀπὸ τὴν πρώτην στιγμήν. Καὶ τί παρέδωκες; εἰπέ μου. Δὲν λέγει ὅμως ἀμέσως αὐτό, ἀλλὰ πρῶτον λέγει ὅτι παρέλαβον. Καὶ τί παρέλαβες; «Ὅτι ὁ Χριστὸς ἀπέθανε διὰ τὰς ἁμαρτίας μας». Δὲν εἶπεν ἀμέσως ὅτι θὰ ἀναστηθοῦν τὰ σώματα, ἀλλ᾽ αὐτὸ ἀκριβῶς προετοιμάζει, ἀπὸ μακρυὰ ὅμως καὶ μὲ ἄλλα θέματα, λέγων, ὅτι ὁ Χριστὸς ἀπέθανε καὶ ἀφοῦ ἔθεσεν ἀπὸ πρὶν κάποιαν μεγάλην βάσιν καὶ θεμέλιον ἀκλόνητον τὸν λόγον διὰ τὴν ἀνάστασιν. Διότι δὲν εἶπεν ἁπλῶς ὅτι ἀπέθανεν ὁ Χριστός,

στός, καίτοι καὶ τοῦτο ἀρκοῦν δηλῶσαι τὴν ἀνάστασιν, ἀλλὰ μετὰ προσθήκης, ὅτι Χριστὸς ἀπέθανεν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν.

Πρῶτον δὲ ἄξιον ἀκοῦσαι τί λέγουσιν ἐνταῦθα οἱ τὰ Μανιχαίων νοσοῦντες, καὶ τῆς ἀληθείας ἐχθροί, καὶ τῇ οἰκείᾳ πολεμοῦντες σωτηρίᾳ. Τί οὖν οὗτοι λέγουσι; Θάνατον ἐνταῦθα, φησίν, οὐδὲν ἄλλο λέγει ὁ Παῦλος, ἢ τὸ ἐν ἁμαρτίᾳ γενέσθαι, καὶ ἀνάστασιν τὸ τῶν ἁμαρτιῶν ἀπαλλαγῆναι. Εἶδες πῶς οὐδὲν πλάνης ἀσθενέστερον; καὶ πῶς τοῖς οἰκείοις ἁλίσκεται πτεροῖς, καὶ οὐ δεῖται τῆς ἔξωθεν μάχης, ἀλλ' ἑαυτῇ περιπείρεται; Σκόπει γοῦν καὶ οὗτοι πῶς ἑαυτοὺς διέπειρον, δι' ὧν εἰρήκασιν. Εἰ γὰρ τοῦτο θάνατος, σῶμα δὲ οὐκ ἀνέλαβε καθ' ὑμᾶς ὁ Χριστός, ἀπέθανε δέ, ἐν ἁμαρτίᾳ ἐγένετο καθ' ὑμᾶς. Ἐγὼ μὲν γὰρ λέγων ὅτι σῶμα ἀνέλαβε, καὶ τὸν θάνατον τῆς σαρκὸς εἶναί φημι, σὺ δὲ τοῦτο ἀρνούμενος, ἐκεῖνο ἀναγκασθήσῃ λέγειν. Εἰ δὲ ἐν ἁμαρτίᾳ ἐγένετο, πῶς φησι, «Τίς ἐξ ὑμῶν ἐλέγχει με περὶ ἁμαρτίας;»· καὶ «Ἔρχεται ὁ τοῦ κόσμου τούτου ἄρχων, καὶ ἐν ἐμοὶ οὐκ ἔχει οὐδέν»· καὶ πάλιν, «Οὕτω πρέπον ἐστὶν ἡμῖν πληρῶσαι πᾶσαν δικαιοσύνην»; Πῶς δὲ ὅλως ὑπὲρ ἁμαρτωλῶν ἀπέθανεν, εἴγε αὐτὸς ἐν ἁμαρτίᾳ ἦν; Τὸν γὰρ ὑπὲρ ἁμαρτωλῶν ἀποθνήσκοντα, αὐτὸν ἀναμάρτητον εἶναι δεῖ· ἐπεὶ εἰ καὶ αὐτὸς ἁμαρτάνοι, πῶς ὑπὲρ ἄλλων ἁμαρτωλῶν ἀποθανεῖται; Εἰ δὲ ὑπὲρ ἁμαρτιῶν ἄλλων ἀπέθανεν, ἀναμάρτητος ὢν ἀπέθανεν. Εἰ δὲ ἀναμάρτητος ὢν ἀπέθανεν, οὐ τὸν τῆς ἁμαρτίας θάνατον· πῶς γάρ, ὅ γε ἀναμάρτητος; ἀλλὰ τὸν τοῦ σώματος. Εἰ δὲ τοῦτον ἀπέθανε τὸν θάνατον, καὶ ταύτην ἀνέστη τὴν ἀνάστασιν, τὴν τοῦ σώματος. Διὸ καὶ ὁ Παῦλος οὐχ ἁπλῶς εἶπεν, «ἀπέθανεν», ἀλλὰ προσέθηκεν, «ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν»· καὶ ἄκοντας ἐκείνους ἐμβάλλων εἰς τὸ ὁμολογῆσαι

ἂν καὶ αὐτὸ ἦτο ἀρκετὸν διὰ νὰ δηλώσῃ τὴν ἀνάστασιν, ἀλλὰ προσέθεσε καὶ ὅτι ὁ Χριστὸς ἀπέθανε διὰ τὰς ἁμαρτίας μας.

Ἀξίζει ὅμως πρῶτον ν' ἀκούσωμεν τί λέγουν ἐδῶ αὐτοὶ ποὺ προσεβλήθησαν ἀπὸ τὴν νόσον τῶν Μανιχαίων καὶ ποὺ εἶναι ἐχθροὶ τῆς ἀληθείας καὶ πολεμοῦν τὴν ἰδίαν τὴν σωτηρίαν των. Τί λέγουν λοιπὸν αὐτοί; Θάνατον ἐδῶ, λέγει, τίποτε ἄλλο δὲν ὀνομάζει ὁ Παῦλος, παρὰ τὸ νὰ πέσῃ κανεὶς εἰς ἁμαρτίαν, καὶ ἀνάστασιν τὸ ν' ἀπαλλαγῇ ἀπὸ τὰς ἁμαρτίας. Εἶδες ὅτι τίποτε δὲν εἶναι ἀσθενέστερον ἀπὸ τὴν πλάνην; καὶ πῶς ἀπὸ τὰ ἴδια τὰ πτερά της αἰχμαλωτίζεται καὶ δὲν χρειάζεται νὰ τὴν πολεμήσῃ κανεὶς ἀπ' ἔξω, ἀλλὰ διασκορπίζεται ἀπὸ μόνη της; Πρόσεχε λοιπὸν πῶς προσεπάθουν καὶ αὐτοὶ νὰ διαφθείρουν τοὺς ἑαυτούς των μὲ ὅσα εἶπον. Διότι ἐὰν αὐτὸ εἶναι θάνατος καὶ σῶμα δὲν ἀνέλαβε κατὰ τὴν γνώμην σας ὁ Χριστός, ἀπέθανε ὅμως, τότε κατὰ τὰ λεγόμενά σας ἡμάρτησεν ὁ Χριστός. Ἐγὼ ὅμως ὅταν λέγω ὅτι ἀνέλαβε σῶμα, λέγω καὶ ὅτι κατὰ σάρκα ἀπέθανεν, ἐνῷ σὺ μὲ τὸ νὰ ἀρνῆσαι αὐτό, θὰ ἀναγκασθῇς νὰ εἰπῇς αὐτὸ ποὺ ἀνέφερα πρίν. Ἐὰν ὅμως ἡμάρτησεν ὁ Χριστός, πῶς λέγει, «Ποῖος ἀπὸ σᾶς ἠμπορεῖ νὰ μὲ ἐλέγξῃ δι' ἁμαρτίαν;»· καί, «Ἔρχεται ὁ ἄρχων αὐτοῦ τοῦ κόσμου καὶ δὲν ἔχει ἐπάνω μου καμμίαν δύναμιν»· καὶ πάλιν, «πρέπει νὰ ἐκτελέσω κάθε ἐντολὴν τοῦ Θεοῦ»; Πῶς δὲ ἀπέθανε μόνον ὑπὲρ τῶν ἁμαρτωλῶν, ἐὰν αὐτὸς εὑρίσκετο εἰς ἁμαρτίαν; Διότι αὐτὸς ποὺ ἀποθνήσκει ὑπὲρ ἁμαρτωλῶν, πρέπει ὁ ἴδιος νὰ εἶναι ἀναμάρτητος· καθ' ὅσον ἐὰν ἁμαρτήσῃ καὶ αὐτός, πῶς θ' ἀποθάνῃ ὑπὲρ ἄλλων ἁμαρτωλῶν; Ἐὰν δὲ ἀπέθανεν ὑπὲρ ἁμαρτιῶν ἄλλων, ἀπέθανεν ἀναμάρτητος. Ἐὰν δὲ ἀπέθανεν ἀναμάρτητος, δὲν ἀπέθανε τὸν θάνατον τῆς ἁμαρτίας, διότι πῶς ἦτο δυνατὸν ἀφοῦ εἶναι ἀναμάρτητος; ἀλλὰ τὸν θάνατον τοῦ σώματος. Ἐὰν δὲ ἀπέθανε τὸν θάνατον τοῦ σώματος, τότε καὶ ἡ ἀνάστασίς του εἶναι ἀνάστασις τοῦ σώματος. Δι' αὐτὸ καὶ ὁ Παῦλος δὲν εἶπεν ἁπλῶς, «ἀπέθανεν», ἀλλὰ προσέθεσεν, «διὰ τὰς ἁμαρτίας μας»· καὶ διὰ νὰ τοὺς βάλῃ καὶ χωρὶς

τὸν σωματικὸν θάνατον, καὶ δεικνὺς διὰ τούτου, ὅτι καὶ πρὸ τοῦ θανάτου ἀναμάρτητος ἦν. Τὸν γὰρ ὑπὲρ ἁμαρτιῶν ἀλλοτρίων ἀποθνήσκοντα, αὐτὸν ἀναμάρτητον εἶναι ἀκόλουθον.

Καὶ οὐδὲ τούτῳ ἠρκέσθη, ἀλλ' ἐπήγαγε, «Κατὰ τὰς Γραφάς»· καὶ ἐντεῦθεν ἀξιόπιστον πάλιν ποιῶν τὸν λόγον, καὶ δηλῶν ποῖον θάνατον ἔλεγε. Καὶ γὰρ αἱ Γραφαὶ τὸν τοῦ σώματος ἀναγορεύουσι πανταχοῦ. «Ὤρυξαν» γάρ «μου χεῖρας καὶ πόδας», φησί· καί, «Ὄψονται εἰς ὃν ἐξεκέντησαν». Καὶ πολλὰ δὲ ἕτερα, ἵνα μὴ πάντα καθ' ἓν λέγωμεν, τὰ μὲν διὰ ῥημάτων, τὰ δὲ διὰ τύπων ἐστὶν ἐν αὐταῖς κείμενα ἰδεῖν δηλοῦντα τῆς σαρκὸς τὴν σφαγήν, καὶ ὅτι ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν ἐσφάγη. «Ἀπὸ γὰρ τῶν ἁμαρτιῶν τοῦ λαοῦ μου», φησίν, «ἥκει εἰς θάνατον»· καί, «Κύριος παρέδωκεν αὐτὸν ταῖς ἁμαρτίαις ἡμῶν»· καί, «Ἐτραυματίσθη διὰ τὰς ἁμαρτίας ἡμῶν». Εἰ δὲ οὐκ ἀνέχῃ τῆς παλαιᾶς, ἄκουσον Ἰωάννου βοῶντος, καὶ ἀμφότερα δηλοῦντος, καὶ τὴν τοῦ σώματος σφαγὴν καὶ τὴν αἰτίαν· «Ἴδε» γάρ, φησίν, «ὁ ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου»· καὶ Παύλου λέγοντος, «Τὸν γὰρ μὴ γνόντα ἁμαρτίαν, ὑπὲρ ἡμῶν ἁμαρτίαν ἐποίησεν, ἵνα ἡμεῖς γενώμεθα Θεοῦ δικαιοσύνη ἐν αὐτῷ»· καὶ πάλιν, «Χριστὸς ἡμᾶς ἐξηγόρασεν ἐκ τῆς κατάρας τοῦ νόμου, γενόμενος ὑπὲρ ἡμῶν κατάρα»· καὶ πάλιν, «Ἀπεκδυσάμενος τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας, ἐδειγμάτισε θριαμβεύσας»· καὶ μυρία ἕτερα πλείονα δηλοῦντα τὰ κατὰ τὴν σφαγὴν τοῦ σώματος γενόμενα, καὶ διὰ τὰς ἁμαρτίας ἡμῶν. Καὶ γὰρ αὐτός φησιν, «Ὑπὲρ ὑμῶν ἁγιάζω ἐμαυτόν»· καί, «Ὁ ἄρχων τοῦ κόσμου τούτου κατακέκριται νῦν», δηλῶν ὅτι οὐκ ἔχων ἁμαρτίαν ἐσφάγη.

4. «Καὶ ὅτι ἐτάφη». Καὶ τοῦτο δὲ τῶν προτέρων κατα-

---

4. Ψαλμ. 21, 17.
5. Ζαχ. 12, 10.
6. Ἠσ. 53, 8.
7. Ἠσ. 53, 6.
8. Ἠσ. 53, 5.
9. Ἰω. 1, 29.
10. Β΄ Κορ. 5, 21.
11. Γαλ. 3, 13.
12. Κολ. 2, 15.
13. Ἰω. 17, 19.
14. Ἰω. 16, 11.

νὰ θέλουν νὰ ὁμολογήσουν τὸν σωματικὸν θάνατον, καὶ διὰ νὰ δείξῃ μὲ αὐτὸ ὅτι καὶ πρὶν ἀπὸ τὸν θάνατον ἦτο ἀναμάρτητος. Διότι εἶναι ἑπόμενον ὅτι αὐτὸς ποὺ ἀποθνήσκει δι' ἁμαρτίας ἄλλων εἶναι ἀναμάρτητος.

Καὶ οὔτε εἰς αὐτὸ ἠρκέσθη, ἀλλὰ προσέθεσε, «σύμφωνα μὲ τὰς Γραφάς»· ὥστε καὶ μὲ αὐτὸ καὶ ἀξιόπιστον κάμνει πάλιν τὸν λόγον, καὶ δηλώνει ποῖον θάνατον ἔλεγε. Διότι καὶ αἱ Γραφαὶ τὸν θάνατον τοῦ σώματος κηρύττουν παντοῦ. Διότι «διετρύπησαν τὰς χεῖρας καὶ τοὺς πόδας μου»[4], λέγει· καί, «θὰ ἀτενίσουν μὲ συντριβὴν ἐκεῖνον ποὺ ἐκέντησαν»[5]. Καὶ πολλὰ δὲ ἄλλα, διὰ νὰ μὴ λέγωμεν ὅλα καὶ τὸ καθὲν ἰδιαιτέρως, ἄλλα μὲν μὲ λόγους, ἄλλα δὲ μὲ προτυπώσεις εἶναι δυνατὸν νὰ ἰδοῦμεν νὰ εὑρίσκωνται εἰς τὴν Γραφὴν αὐτὰ ποὺ δηλοῦν τὴν σφαγὴν τῆς σαρκὸς καὶ ὅτι ἐσφάγη διὰ τὰς ἁμαρτίας μας. Διότι «Ἐξ αἰτίας τῶν ἁμαρτιῶν τοῦ λαοῦ μου», λέγει, «ὡδηγήθη εἰς θάνατον»[6] καί, «Ὁ Κύριος τὸν παρέδωκεν εἰς θάνατον διὰ τὰς ἁμαρτίας μας[7]· καί, «Ὑπέμεινε πληγὰς διὰ τὰς ἁμαρτίας μας»[8]. Ἐὰν ὅμως δὲν πείθεσαι εἰς τὴν παλαιὰν Διαθήκην, ἄκουσε τὸν Ἰωάννην ποὺ φωνάζει καὶ φανερώνει καὶ τὰ δύο, καὶ τὴν σφαγὴν τοῦ σώματος καὶ τὴν αἰτίαν· διότι, «Νὰ ὁ Ἀμνὸς τοῦ Θεοῦ ποὺ σηκώνει τὴν ἁμαρτίαν τοῦ κόσμου»[9], λέγει· καὶ τὸν Παῦλον ποὺ λέγει, «Διότι πρὸς χάριν μας ἔκαμεν ἁμαρτίαν ἐκεῖνον ποὺ δὲν ἐγνώρισεν ἁμαρτίαν, διὰ νὰ γίνωμεν ἐμεῖς δι' αὐτοῦ δικαιοσύνη τοῦ Θεοῦ»[10]· καὶ πάλιν, «Ὁ Χριστὸς μᾶς ἐξηγόρασεν ἀπὸ τὴν κατάραν τοῦ νόμου, μὲ τὸ νὰ γίνῃ ὁ ἴδιος πρὸς χάριν μας κατάρα»[11]· καὶ πάλιν, «Ἀπεγύμνωσε δι' αὐτοῦ τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας καὶ τὰς διεπόμπευσε δημοσίως σύρων αὐτὰς εἰς τὴν θριαμβευτικὴν πομπήν του»[12]· καὶ πάρα πολλὰ ἄλλα ποὺ δηλοῦν αὐτὰ ποὺ ἔγιναν κατὰ τὴν σφαγὴν τοῦ σώματος διὰ τὰς ἁμαρτίας μας. Ἀλλὰ καὶ ὁ ἴδιος λέγει, «Πρὸς χάριν σας ἐγὼ ἁγιάζω τὸν ἑαυτόν μου»[13]· καί, «ὁ ἄρχων τοῦ κόσμου τούτου ἔχει καταδικασθῆ τώρα»[14], καὶ ἔτσι κάμνει φανερὸν ὅτι ἐσφάγη χωρὶς νὰ ἔχῃ ἁμαρτίαν.

4. «Καὶ ὅτι ἐτάφη». Καὶ αὐτὸ δὲ ἀποδεικνύει τὰ προη-

σκευαστικόν· τὸ γὰρ θαπτόμενον, πάντως σῶμά ἐστι. Καὶ ἐνταῦθα οὐκέτι προστίθησι, «κατὰ τὰς Γραφάς». Εἶχε μὲν γάρ, πλὴν οὐ προστίθησι. Τίνος ἕνεκεν; Ἢ ὅτι ὁ τάφος ἅπασι δῆλος καὶ τότε καὶ νῦν· ἢ ὅτι κατὰ κοινοῦ κεῖται τό, «κατὰ τὰς Γραφάς». Τίνος οὖν ἕνεκεν ἐνταῦθα προστίθησι, «κατὰ τὰς Γραφάς». «Καὶ ὅτι ἐγήγερται τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς Γραφάς», καὶ οὐκ ἀρκεῖται τῷ προτέρῳ τῷ κατὰ κοινοῦ εἰρημένῳ; Ὅτι καὶ τοῦτο τοῖς πολλοῖς ἄδηλον ἦν. Διὸ κἀνταῦθα τὰς Γραφὰς παράγει ἐμπνευσθείς, τοῦτο ἐννοήσας τὸ σοφὸν καὶ θεῖον νόημα. Πῶς οὖν καὶ ἐπὶ τοῦ θανάτου τὸ αὐτὸ ποιεῖ; Ὅτι ἐκεῖ ὁ μὲν σταυρὸς πᾶσι κατάδηλος ἦν, καὶ πάντων ὁρώντων ἀνεσκολοπίζετο, ἡ δὲ αἰτία, οὐκέτι ὁμοίως. Ὅτι μὲν γὰρ ἀπέθανε, πάντως ᾔδεσαν, ὅτι δὲ ὑπὲρ τῶν ἁμαρτιῶν τῆς οἰκουμένης τοῦτο ἔπαθεν, οὐκέτι ὁμοίως ἠπίσταντο οἱ πολλοί. Διὸ τὴν ἀπὸ τῶν Γραφῶν μαρτυρίαν παράγει.

Ἀλλὰ τοῦτο μὲν ἱκανῶς ἀποδέδεικται διὰ τῶν εἰρημένων ἡμῖν· ποῦ δὲ ὅτι ἐτάφη, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστήσεται εἰρήκασιν αἱ Γραφαί; Διὰ τοῦ κατὰ τὸν Ἰωνᾶν τύπου, ὃν καὶ αὐτὸς παράγει λέγων· «Ὥσπερ ἦν Ἰωνᾶς ἐν τῇ κοιλίᾳ τοῦ κήτους τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας, οὕτως ἔσται καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ καρδίᾳ τῆς γῆς τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας». Διὰ τοῦ βάτου τοῦ ἐν ἐρήμῳ. Ὥσπερ γὰρ ἐκεῖνος ἐκαίετο, καὶ οὐ κατεκαίετο, οὕτω καὶ τὸ σῶμα ἐκεῖνο ἀπέθανε μέν, οὐ κατεσχέθη δὲ ὑπὸ τοῦ θανάτου διηνεκῶς. Καὶ ὁ δράκων δὲ ὁ ἐπὶ τοῦ Δανιὴλ τοῦτο αἰνίττεται. Καθάπερ γὰρ ἐκεῖνος λαβὼν τὴν τροφήν, ἣν ἔδωκεν ὁ προφήτης, μέσος ἐρράγη· οὕτω καὶ ὁ ᾅδης, καταπιὼν τὸ σῶμα ἐκεῖνο, διεσχίσθη, τοῦ σώματος αὐτοῦ διατεμόντος αὐτῷ τὴν νηδύν, καὶ ἀναστάντος. Εἰ δὲ καὶ διὰ ῥημάτων θέ-

15. Ματθ. 12, 40.

γούμενα· διότι αὐτὸ ποὺ θάπτεται, ὁπωσδήποτε εἶναι σῶμα. Καὶ ἐδῶ δὲν προσθέτει, «σύμφωνα μὲ τὰς γραφάς». Βέβαια ἀναφέρεται μέν, ἀλλὰ δὲν προσθέτει. Διὰ ποῖον λόγον; Ἢ διότι ὁ τάφος ἦτο εἰς ὅλους γνωστὸς καὶ τότε καὶ τώρα ἢ ὅτι ἐτέθη καὶ δι' αὐτό τὸ «σύμφωνα μὲ τὰς Γραφάς». Διατί λοιπὸν ἐδῶ προσθέτει, «σύμφωνα μὲ τὰς Γραφάς», «Καὶ ὅτι ἀνεστήθη τὴν τρίτην ἡμέραν σύμφωνα μὲ τὰς Γραφάς», καὶ δὲν ἀρκεῖται εἰς τὸ προηγούμενον ποὺ ἐλέχθη κοινῶς δι' ὅλα; Διότι καὶ αὐτὸ ἦτο ἄγνωστον εἰς τοὺς πολλούς. Δι' αὐτὸ καὶ ἐδῶ ἀναφέρει τὰς Γραφὰς κατόπιν ἐμπνεύσεως, ἀφοῦ κατενόησεν αὐτὸ τὸ σοφὸν καὶ θεϊκὸν νόημα. Πῶς λοιπὸν κάμνει τὸ ἴδιον καὶ διὰ τὸν θάνατον τοῦ Χριστοῦ; Καθ' ὅσον καὶ ἐκεῖ ὁ μὲν σταυρὸς ἦτο καταφανὴς εἰς ὅλους καὶ ἐσταυρώνετο ἐνώπιον ὅλων, ἡ αἰτία ὅμως δὲν ἦτο γνωστή. Διότι τὸ ὅτι ἀπέθανε μέν, τὸ ἐγνώριζον ὅλοι, τὸ ὅτι ὅμως ἔπαθεν αὐτὸ διὰ τὰς ἁμαρτίας ὅλων τῶν ἀνθρώπων, καθόλου δὲν τὸ ἐγνώριζον οἱ πολλοὶ αὐτό. Δι' αὐτὸ ἀναφέρει μαρτυρίαν ἀπὸ τὰς Γραφάς.

Ἀλλ' αὐτὸ μὲν ἀπεδείχθη ἀρκούντως μὲ ὅσα ἐλέχθησαν εἰς ἐμᾶς· ποῦ λέγουν ὅμως αἱ Γραφαὶ ὅτι ἐτάφη καὶ ὅτι θ' ἀναστηθῇ τὴν τρίτην ἡμέραν; Μὲ προτύπωσιν τὸν Ἰωνᾶν, τὸν ὁποῖον καὶ ὁ ἴδιος ὁ Χριστὸς ἀναφέρει ὅταν λέγῃ· «Ὅπως τότε ὁ Ἰωνᾶς ἦτο μέσα εἰς τὴν κοιλίαν τοῦ κήτους τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας, ἔτσι θὰ εἶναι καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου μέσα εἰς τὸν τάφον καὶ τὰ βάθη τῆς γῆς τρία ἡμερονύκτια». Μὲ τὴν βάτον εἰς τὴν ἔρημον. Ὅπως ἀκριβῶς δηλαδὴ ἐκείνη ἐφλέγετο καὶ δὲν ἐκαίετο, ἔτσι καὶ τὸ σῶμα ἐκεῖνο ἀπέθανε μέν, ἀλλὰ δὲν ἐκρατήθη ἀπὸ τὸν θάνατον αἰωνίως. Ἀλλὰ καὶ ὁ δράκων εἰς τὸν Δανιὴλ αὐτὸ ὑπαινίσσεται. Ὅπως ἀκριβῶς δηλαδὴ ἐκεῖνος ἀφοῦ ἔλαβε τὴν τροφὴν ποὺ τοῦ ἔδωσεν ὁ προφήτης ἐσχίσθη εἰς τὴν μέσην, ἔτσι καὶ ὁ Ἅδης, ἀφοῦ κατέπιεν ἐκεῖνο τὸ σῶμα ἐσχίσθη, διότι τὸ σῶμά του κατέκοψε τὴν κοιλίαν του καὶ ἀνεστήθη. Ἐὰν ὅμως θέλῃς ν' ἀκούσῃς αὐτὰ καὶ μὲ λόγους, αὐτὰ ποὺ τὰ εἶδες διὰ τῶν τύπων, ἄ-

λεις ἀκοῦσαι ταῦτα, ἃ διὰ τῶν τύπων εἶδες, ἄκουσον τοῦ Ἡσαΐου λέγοντος, «Ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ»· καί, «Κύριος βούλεται καθαρίσαι αὐτὸν ἀπὸ τῆς πληγῆς, δεῖξαι αὐτῷ φῶς»· καὶ τοῦ Δαυῒδ πρὸ ἐκείνου, «Οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδην, οὐδὲ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν». Διὰ τοῦτό σε καὶ ὁ Παῦλος παραπέμπει εἰς τὰς Γραφάς, ἵνα μάθῃς ὅτι οὐχ ἁπλῶς οὐδὲ εἰκῇ ταῦτα ἐγένετο· πῶς γάρ, τοσούτων προφητῶν προδιαγραφόντων αὐτὰ καὶ ἀνακηρυττόντων; καὶ ὅτι οὐδαμοῦ ἡ Γραφὴ τὸν τῆς ἁμαρτίας θάνατον λέγει, τοῦ δεσποτικοῦ μεμνημένη θανάτου, ἀλλὰ τὸν σωματικόν, καὶ ταφὴν καὶ ἀνάστασιν τοιαύτην.

5. «Καὶ ὅτι ὤφθη Κηφᾷ». Εὐθέως τὸν πάντων ἀξιοπιστότερον τίθησιν. «Ἔπειτα τοῖς δώδεκα· ἔπειτα ὤφθη ἐπάνω πεντακοσίοις ἀδελφοῖς ἐφάπαξ, ἐξ ὧν οἱ πλείους μένουσιν ἕως ἄρτι, τινὲς δὲ καὶ ἐκοιμήθησαν· ἔπειτα Ἰακώβῳ, εἶτα τοῖς ἀποστόλοις πᾶσιν· ἔσχατον δὲ πάντων, ὡσπερεὶ τῷ ἐκτρώματι, ὤφθη κἀμοί». Ἐπειδὴ γὰρ τὴν ἀπὸ τῶν Γραφῶν ἀπόδειξιν εἶπε, προστίθησι καὶ τὴν διὰ τῶν πραγμάτων, μάρτυρας παράγων τῆς ἀναστάσεως μετὰ τοὺς προφήτας τοὺς ἀποστόλους καὶ ἑτέρους πιστοὺς ἀνθρώπους. Εἰ δὲ τὴν ἀνάστασιν ἐκείνην ἔλεγε τὴν τῆς ἁμαρτίας ἀπαλλαγήν, περιττῶς ἔλεγεν, ὤφθη τῷ δεῖνι καὶ τῷ δεῖνι. Τοῦτο γὰρ πιστουμένου τὴν τοῦ σώματος ἀνάστασίν ἐστιν, οὐχ ἁμαρτημάτων ἀπαλλαγὴν αἰνιττομένου. Διὸ οὐδὲ ἅπαξ εἶπε τό, «ὤφθη», καίτοιγε ἤρκει κατὰ κοινοῦ θέντα τὴν λέξιν· νῦν δὲ καὶ δὶς καὶ τρὶς καὶ ἐφ' ἑκάστῳ σχεδὸν τῶν ἑωρακότων αὐτὴν τίθησιν. «Ὤφθη γὰρ Κηφᾶ, ὤφθη», φησίν, «ἐπάνω πεν-

16. Ἡσ. 53, 8.
17. Ἡσ. 53, 10-11.
18. Ψαλμ. 15, 10.

κουσε τὸν Ἡσαΐαν ποὺ λέγει, «Διότι ἀνυψοῦται ἀπὸ τὴν γῆν ἡ ζωή του»[16]· καί, «Ὁ Κύριος θέλει νὰ τὸν καθαρίσῃ ἀπὸ τὴν πληγήν, νὰ δείξῃ εἰς αὐτὸν φῶς»[17]· καὶ τὸν Δαυῒδ πρὶν ἀπὸ τὸν Ἡσαΐαν, «διότι δὲν θὰ ἐγκαταλείψῃς, Κύριε, τὴν ψυχήν μου εἰς τὸν Ἅδην, καθόσον δὲν θὰ ἐπιτρέψῃς εἰς τὸν ἐξαιρετικῶς ἀφωσιωμένον εἰς ἐσὲ Μεσσίαν νὰ δοκιμάσῃ τὴν φθορὰν τοῦ τάφου»[18]. Δι' αὐτὸ καὶ ὁ Παῦλος σὲ παραπέμπει εἰς τὰς γραφάς, διὰ νὰ μάθῃς ὅτι αὐτὰ δὲν ἔγιναν ἁπλῶς καὶ ὡς ἔτυχε· διότι πῶς ἦτο δυνατὸν ὅταν τόσοι προφῆται περιέγραψαν καὶ ἀνεκήρυξαν αὐτὰ τόσους αἰῶνας πρὶν γίνουν, καὶ διὰ νὰ μάθῃς ἀκόμη ὅτι πουθενὰ ἡ Γραφὴ δὲν ὀνομάζει τὸν θάνατον τοῦ Χριστοῦ πτῶσιν εἰς τὴν ἁμαρτίαν, ὅταν μνημονεύει τὸν θάνατον τοῦ δεσπότου, ἀλλὰ τὸν θάνατον καὶ τὴν ταφὴν καὶ τὴν ἀνάστασιν τοῦ σώματος.

5. «Καὶ ὅτι παρουσιάσθη εἰς τὸν Κηφᾶν». Ἀμέσως ἀναφέρει αὐτὸν ποὺ ἦτο περισσότερον ἀξιόπιστος ἀπὸ ὅλους. «Ἔπειτα εἰς τοὺς δώδεκα, ὕστερα ἐνεφανίσθη εἰς ἐπάνω ἀπὸ πεντακοσίους ἀδελφούς, ἀπὸ τοὺς ὁποίους οἱ περισσότεροι ζοῦν μέχρι σήμερον, ἀλλὰ μερικοὶ ἐκοιμήθησαν· ἔπειτα παρουσιάσθη εἰς τὸν Ἰάκωβον, ἔπειτα εἰς ὅλους τοὺς ἀποστόλους, τελευταῖον δὲ ἀπὸ ὅλους, ὡσὰν εἰς ἔκτρωμα, παρουσιάσθη καὶ εἰς ἐμένα». Ἐπειδὴ δηλαδὴ ἀνέφερε τὴν ἀπόδειξιν ἀπὸ τὰς Γραφάς, προσθέτει καὶ τὴν ἐκ τῶν πραγμάτων καὶ παρουσιάζει ὡς μάρτυρας τῆς ἀναστάσεως μετὰ ἀπὸ τοὺς προφήτας τοὺς ἀποστόλους καὶ ἄλλους πιστοὺς ἀνθρώπους. Ἐὰν ὅμως ὠνόμαζεν ἀνάστασιν τὴν ἀπαλλαγὴν ἀπὸ τὴν ἁμαρτίαν, θὰ ἦτο περιττὸν νὰ εἰπῇ ὅτι παρουσιάσθη εἰς τὸν τάδε καὶ τὸν τάδε. Διότι αὐτὸ πιστοποιεῖ τὴν ἀνάστασιν τοῦ σώματος, δὲν ὑπαινίσσεται τὴν ἀπαλλαγὴν ἀπὸ τὴν ἁμαρτίαν. Δι' αὐτὸ δὲν εἶπε μίαν φορὰν τὸ «παρουσιάσθη», ἂν καὶ βέβαια ἦτο ἀρκετὸν νὰ εἰπῇ τὴν λέξιν μίαν φορὰν δι' ὅλα· τώρα ὅμως καὶ δύο καὶ τρεῖς καὶ εἰς κάθε ἕνα σχεδὸν ἀπὸ ὅσους εἶδον τὸν Χριστὸν μετὰ τὴν ἀνάστασιν ἀναφέρει αὐτήν. Διότι, λέ-

τακοσίοις ἀδελφοῖς, ὤφθη κἀμοί». Καὶ μὴν τὸ εὐαγγέλιον τοὐναντίον λέγει, ὅτι τῇ Μαρίᾳ πρώτῃ. Ἀλλ' ἐν ἀνδράσι τούτῳ πρώτῳ, τῷ μάλιστα αὐτὸν ποθοῦντι ἰδεῖν. Ποίους δὲ δώδεκα ἐνταῦθά φησιν ἀποστόλους; μετὰ γὰρ τὴν ἀνάληψιν ὁ Ματθίας κατελέγη, οὐ μετὰ τὴν ἀνάστασιν εὐθέως. Ἀλλ' εἰκὸς αὐτὸν καὶ μετὰ τὴν ἀνάληψιν ὦφθαι. Αὐτὸς γοῦν οὗτος ὁ ἀπόστολος μετὰ τὴν ἀνάληψιν καὶ ἐκλήθη, καὶ εἶδεν αὐτόν. Διὰ τοῦτο οὐδὲ τὸν καιρὸν τίθησιν, ἀλλ' ἁπλῶς καὶ ἀδιορίστως καταλέγει τὰς ὄψεις. Καὶ γὰρ εἰκὸς πολλὰς γεγενῆσθαι· διὸ καὶ ὁ Ἰωάννης ἔλεγε, «Τρίτον τοῦτο ἐνεφάνισεν ἑαυτόν».

Ἔπειτα ὤφθη ἐπάνω πεντακοσίοις ἀδελφοῖς». Τινὲς τὸ ἐπάνω, τὸ ἄνωθεν ἐκ τῶν οὐρανῶν εἶναί φασιν. Οὐ γὰρ ἐπὶ γῆς βαδίζων, ἀλλ' ἄνω καὶ ὑπὲρ κεφαλῆς αὐτοῖς ὤφθη. Καὶ γὰρ οὐχὶ τὴν ἀνάστασιν πιστώσασθαι ἐβούλετο μόνον, ἀλλὰ καὶ τὴν ἀνάληψιν. Τινὲς δὲ λέγουσι, τό, «ἐπάνω πεντακοσίοις», τὸ πλείοσιν ἢ πεντακοσίοις. «Ἐξ ὧν οἱ πλείους μένουσιν ἕως ἄρτι». Εἰ γὰρ καὶ παλαιὰ διηγοῦμαι πράγματα, φησίν, ἀλλ' ἔχω μάρτυρας ἔτι ζῶντας. «Τινὲς δὲ καὶ ἐκοιμήθησαν». Οὐκ εἶπεν, ἀπέθανον, ἀλλ', «ἐκοιμήθησαν», καὶ ταύτῃ τῇ λέξει πάλιν τὴν ἀνάστασιν βεβαιῶν. «Ἔπειτα ὤφθη Ἰακώβῳ». Ἐμοὶ δοκεῖ, τῷ ἀδελφῷ τῷ ἑαυτοῦ. Αὐτὸς γὰρ αὐτὸν λέγεται κεχειροτονηκέναι, καὶ ἐπίσκοπον ἐν Ἱεροσολύμοις πεποιηκέναι πρῶτον. «Εἶτα τοῖς ἀποστόλοις πᾶσιν». Ἦσαν γὰρ καὶ ἄλλοι ἀπόστολοι, ὡς οἱ ἑβδομήκοντα. «Ἔσχατον δὲ πάντων, ὡσπερεὶ τῷ ἐκτρώματι, ὤφθη κἀμοί». Τοῦτο μετριοφροσύνης μᾶλλόν ἐστι τὸ ῥῆμα. Οὐδὲ γὰρ ἐπειδὴ ἐλάχιστος ἦν, διὰ τοῦτο μετὰ τοὺς ἄλλους αὐτῷ ὤφθη· ἐπεὶ

---

19. Ἰω. 21, 1.

γει, παρουσιάσθη είς τὸν Κηφᾶν, παρουσιάσθη εἰς περισσοτέρους ἀπὸ πεντακοσίους ἀδελφούς, παρουσιάσθη καὶ εἰς ἐμένα. Καὶ ὅμως τὸ εὐαγγέλιον λέγει τὸ ἀντίθετον, ὅτι δηλαδὴ πρῶτον ἐνεφανίσθη εἰς τὴν Μαρίαν. 'Αλλ' εἰς τὸν Κηφᾶν ἐνεφανίσθη πρῶτον ἀπὸ τοὺς ἄνδρας, διότι αὐτὸς ἐπόθει πάρα πολὺ νὰ τὸν ἰδῇ. Ποίους ἀποστόλους δὲ ὀνομάζει ἐδῶ δώδεκα; διότι ὁ Ματθίας ἐξελέγη μετὰ τὴν ἀνάληψιν, ὄχι ἀμέσως μετὰ τὴν ἀνάστασιν. 'Αλλ' εἶναι πιθανὸν ὅτι ἐνεφανίσθη εἰς αὐτὸν μετὰ ἀπὸ τὴν ἀνάληψιν. 'Αφοῦ αὐτὸς ὁ ἀπόστολος μετὰ ἀπὸ τὴν ἀνάληψιν καὶ ἐκλήθη καὶ εἶδε τὸν Χριστόν. Δι' αὐτὸ δὲν ἀναφέρει συγκεκριμένως τὸν χρόνον, ἀλλὰ ἀπαριθμεῖ γενικῶς καὶ ἀπροσδιορίστως τὰς ἐμφανίσεις. Διότι ἐνεφανίσθη πολλὰς φοράς· δι' αὐτὸ ὁ 'Ιωάννης ἔλεγε, «Τρίτην φορὰν πάλιν ἐνεφανίσθη»[19].

«"Επειτα ἐνεφανίσθη εἰς ἐπάνω ἀπὸ πεντακοσίους ἀδελφούς». Μερικοὶ λέγουν ὅτι μὲ τό, ἐπάνω, ἐννοεῖ ἀπὸ τοὺς οὐρανούς. Διότι δὲν ἐνεφανίσθη νὰ βαδίζῃ ἐπάνω εἰς τὴν γῆν, ἀλλ' ἐπάνω ἀπὸ τὴν κεφαλήν των. Διότι ἤθελε νὰ πιστοποιήσῃ ὄχι μόνον τὴν ἀνάστασιν, ἀλλὰ καὶ τὴν ἀνάληψιν. "Αλλοι ὅμως λέγουν ὅτι τὸ «ἐπάνω ἀπὸ πεντακοσίους» σημαίνει περισσοτέρους ἀπὸ πεντακοσίους. «'Από τοὺς ὁποίους οἱ περισσότεροι ζοῦν μέχρι σήμερον». "Αν καὶ διηγοῦμαι δηλαδὴ πράγματα ποὺ ἔγιναν εἰς τὸ παρελθόν, ἔχω μάρτυρας ποὺ ζοῦν ἀκόμη. «Μερικοὶ ὅμως ἐκοιμήθησαν». Δὲν εἶπεν, ἀπέθανον, ἀλλ', «ἐκοιμήθησαν», καὶ βεβαιοῖ πάλιν καὶ μὲ αὐτὴν τὴν λέξιν τὴν ἀνάστασιν. «"Επειτα παρουσιάσθη εἰς τὸν 'Ιάκωβον». 'Εγὼ νομίζω ὅτι ἐννοεῖ τὸν ἀδελφόν του. Διότι λέγεται ὅτι ὁ ἴδιος ὁ Χριστὸς τὸν ἐχειροτόνησε καὶ τὸν κατέστησε πρῶτον ἐπίσκοπον 'Ιεροσολύμων. «"Υστερον εἰς ὅλους τοὺς ἀποστόλους». Διότι ὑπῆρχον καὶ ἄλλοι ἀπόστολοι, ὅπως οἱ ἑβδομήκοντα. «Τελευταῖον δὲ ἀπὸ ὅλους, ὡσὰν εἰς ἔκτρωμα, παρουσιάσθη καὶ εἰς ἐμέ». Αὐτὸς εἶναι λόγος μεγάλης μετριοφροσύνης. Καθ' ὅσον δὲν παρουσιάσθη τελευταῖα εἰς αὐτὸν ἐπειδὴ ἦτο πολὺ μικρᾶς ἀξίας· διότι ἂν καὶ ὠνόμασε τὸν ἑαυτόν του τελευταῖον, ἀπὸ πολλοὺς ποὺ ἔγιναν πρὶν ἀπὸ

κἂν ἔσχατον ἐκάλεσε, πολλῶν τῶν πρὸ αὐτοῦ, μᾶλλον δὲ πάντων λαμπρότερος ὤφθη· καὶ οἱ πεντακόσιοι δὲ ἀδελφοὶ οὐ δήπου Ἰακώβου βελτίους ἦσαν, ἐπειδὴ πρὸ ἐκείνου αὐτοῖς ὤφθη.

Καὶ διὰ τί οὐχ ὁμοῦ πᾶσιν ἑωρᾶτο; Ἵνα προκαταβάλῃ τῆς πίστεως τὰ σπέρματα. Ὁ γὰρ πρῶτος ἰδὼν καὶ ἀκριβῶς πληροφορηθείς, τοῖς ἄλλοις ἀπήγγελλεν· εἶτα ὁ λόγος προφθάνων, ἐν προσδοκίᾳ καθίστη τοῦ μεγάλου τούτου θαύματος τὸν ἀκούοντα, καὶ προωδοποίει τῇ τῆς ὄψεως πίστει. Διὰ τοῦτο οὔτε ὁμοῦ πᾶσιν ὤφθη, οὔτε ἐν ἀρχῇ πλείοσιν, ἀλλ' ἑνὶ μόνῳ πρῶτον, καὶ τούτῳ τῷ κορυφαίῳ πάντων καὶ πιστοτάτῳ. Καὶ γὰρ πιστοτάτης σφόδρα ἔδει ψυχῆς τῆς πρώτης δεχομένης ταύτην τὴν ὄψιν. Οἱ μὲν γὰρ μετὰ τὸ ἑτέρους ἰδεῖν καὶ ἀκοῦσαι παρ' αὐτῶν βλέποντες, εἶχον οὐ μικρὰν συντελοῦσαν εἰς τὴν πίστιν αὐτοῖς τὴν ἐκείνων μαρτυρίαν, καὶ προπαρασκευάζουσαν αὐτῶν τὴν διάνοιαν· ὁ δὲ πρῶτος καταξιωθεὶς τοῦτον ἰδεῖν, πολλῆς, ὅπερ ἔφην, ἐδεῖτο τῆς πίστεως, ὥστε μὴ θορυβηθῆναι τῷ παραδόξῳ τῆς θέας. Διὰ τοῦτο Πέτρῳ φαίνεται πρώτῳ. Ὁ γὰρ πρῶτος αὐτὸν ὁμολογήσας Χριστόν, εἰκότως καὶ τὴν ἀνάστασιν ἠξιώθη πρῶτος ἰδεῖν.

Οὐ διὰ τοῦτο δὲ φαίνεται πρώτῳ μόνον, ἀλλ', ἐπειδὴ καὶ ἀρνησάμενος ἦν, ἐκ περιουσίας αὐτὸν παρακαλῶν καὶ δεικνὺς ὅτι οὐκ ἀπέγνωσται, πρὸ τῶν ἄλλων τῆς ὄψεως αὐτὸν ταύτης κατηξίωσε, καὶ πρώτῳ τὰ πρόβατα ἐνεχείρισε. Διὰ τοῦτο καὶ γυναιξὶν ἐφάνη πρώταις, ἐπειδὴ τὸ γένος ἠλάττωτο τοῦτο· διὰ τοῦτο καὶ ἐν τῇ γενέσει καὶ ἐν τῇ ἀναστάσει πρώτη αὐτὴ αἰσθάνεται τῆς χάριτος. Μετὰ δὲ Πέτρον καὶ διεσπαρμένως ἑκάστῳ φαίνεται, καὶ ποτὲ μὲν ἐλάττοσι, ποτὲ δὲ

αὐτόν, μᾶλλον δὲ ἀπὸ ὅλους ἀπεδείχθη λαμπρότερος· ἀλλὰ καὶ οἱ πεντακόσιοι ἀδελφοὶ δὲν ἦσαν βέβαια καλύτεροι ἀπὸ τὸν Ἰάκωβον ἐπειδὴ παρουσιάσθη πρῶτα εἰς αὐτούς.

Καὶ διατί δὲν παρουσιάζετο εἰς ὅλους μαζί; Διὰ νὰ σπείρῃ ἀπὸ πρὶν τὰ σπέρματα τῆς πίστεως. Διότι ἀφοῦ θὰ τὸν ἔβλεπεν ὁ πρῶτος καὶ θὰ ἐπληροφορεῖτο μὲ ἀπόλυτον βεβαιότητα τὴν ἀνάστασιν, θὰ ἀνήγγελλεν αὐτὴν εἰς τοὺς ἄλλους· ὕστερον ἀφοῦ θὰ ἔφθανε πρῶτον ὁ λόγος, θὰ ἔκαμνεν αὐτὸν ποὺ τὸν ἤκουε νὰ προσδοκῇ τὸ μέγα αὐτὸ θαῦμα καὶ θὰ προητοίμαζε τὴν ὁδὸν τῆς ἐμφανίσεως μὲ τὴν πίστιν. Δι' αὐτὸ οὔτε εἰς ὅλους μαζὶ ἐνεφανίσθη, οὔτε ἀπὸ τὴν ἀρχὴν εἰς ὅλους, ἀλλ' εἰς ἕνα μόνον πρῶτον, καὶ αὐτὸ εἰς τὸν κορυφαῖον καὶ πιστότερον ἀπὸ ὅλους. Διότι ἐχρειάζετο πάρα πολὺ πιστὴ ψυχὴ διὰ νὰ δεχθῇ πρώτη αὐτὴν τὴν ἐμφάνισιν. Διότι ἐκεῖνοι μὲν ποὺ θὰ τὸν ἔβλεπον, ἀφοῦ πρῶτον θὰ ἤκουον διὰ τὴν ἀνάστασιν ἀπὸ αὐτοὺς ποὺ πρῶτοι τὸν εἶδον, θὰ εἶχον τὴν μαρτυρίαν ἐκείνων ποὺ θὰ συνετέλει πολὺ εἰς τὸ νὰ πιστεύσουν καὶ νὰ προετοιμάσῃ τὴν ψυχήν των· ὁ πρῶτος ὅμως ποὺ θὰ κατηξιώνετο νὰ τὸν ἰδῇ πρῶτος, ἐχρειάζετο, ὅπως εἶπον, πολλὴν πίστιν, διὰ νὰ μὴ φοβηθῇ ἀπὸ τὸ παράδοξον ποὺ θὰ ἔβλεπε. Δι' αὐτὸ ἐμφανίζεται πρῶτον εἰς τὸν Πέτρον. Διότι αὐτὸς ποὺ ὡμολόγησε πρῶτος τὸν Χριστόν, ἦτο εὔλογον ν' ἀξιωθῇ καὶ νὰ ἰδῇ τὴν ἀνάστασιν.

Δὲν ἐμφανίζεται ὅμως μόνον δι' αὐτὸν τὸν λόγον πρῶτα εἰς τὸν Πέτρον, ἀλλὰ καὶ ἐπειδὴ τὸν εἶχεν ἀρνηθῇ, διὰ νὰ τὸν παρηγορήσῃ καὶ νὰ τὸν πείσῃ ὅτι δὲν πρέπει ν' ἀπελπισθῇ δι' αὐτό, τὸν ἠξίωσε νὰ ἰδῇ πρῶτος αὐτὴν τὴν ἐμφάνισιν, καὶ πρῶτον εἰς αὐτὸν παρέδωκεν ὡς πρόβατα τοὺς πιστούς. Δι' αὐτὸ καὶ εἰς γυναῖκας παρουσιάσθη πρῶτον, ἐπειδὴ τὸ φῦλον τῶν γυναικῶν ὑπετιμήθη· δι' αὐτὸ καὶ εἰς τὴν γέννησιν καὶ εἰς τὴν ἀνάστασιν τοῦ Χριστοῦ γυναῖκα πρώτη αἰσθάνεται αὐτὴν τὴν χάριν. Ὕστερον δὲ ἀπὸ τὸν Πέτρον ἐμφανίζεται καὶ ἰδιαιτέρως εἰς τὸν καθένα, καὶ ἄλλοτε μὲν εἰς ὀλιγωτέρους, ἄλλοτε δὲ εἰς περισ-

πλείοσιν, ἀλλήλων αὐτοὺς μάρτυρας καὶ διδασκάλους ἐν τούτῳ ποιῶν, καὶ τοὺς ἀποστόλους ἀξιοπίστους κατασκευάζων, ἐν οἷς ἔλεγον. «Ἔσχατον δὲ πάντων, ὡσπερεὶ τῷ ἐκτρώματι, ὤφθη κἀμοί». Τί βούλεται αὐτῷ ἐνταῦθα τῆς ταπεινοφροσύνης τὰ ῥήματα, ἢ ποῖον ἔχει καιρόν; Εἰ γὰρ ἀξιόπιστον ἑαυτὸν ἀποφῆναι βούλεται, καὶ ἐγκαταλέξαι τοῖς μάρτυσι τῆς ἀναστάσεως, τοὐναντίον ἢ βούλεται ποιεῖ· ἐπᾶραι γὰρ ἑαυτὸν ἔδει καὶ δεῖξαι μέγαν ὄντα, ὃ πολλαχοῦ ποιεῖ καιροῦ καλοῦντος αὐτόν. Διὰ τοῦτο γὰρ καὶ ἐνταῦθα μετριάζει, ἐπειδὴ τοῦτο μέλλει ποιεῖν· ἀλλ' οὐκ εὐθέως, ἀλλὰ μετὰ τῆς αὐτῷ πρεπούσης συνέσεως. Πρότερον γὰρ μετριάσας, καὶ κατηγορίας ἑαυτοῦ συμφορήσας πολλάς, τότε τὰ καθ' ἑαυτὸν σεμνύνει.

Τί δήποτε; Ἵν', ὅταν τὸ μέγα καὶ ὑψηλὸν ἐκεῖνο περὶ ἑαυτοῦ φθέγξηται, τό, «Περισσότερον αὐτῶν πάντων ἐκοπίασα», εὐπαράδεκτος ὁ λόγος γένηται ταύτῃ, καὶ τῷ ὡς ἐξ ἀκολουθίας τινός, ἀλλὰ μὴ προηγουμένως εἰρῆσθαι. Διὰ τοῦτο καὶ Τιμοθέῳ γράφων, καὶ μέλλων μεγάλα λέγειν περὶ ἑαυτοῦ, πρότερον τὰ κατηγορήματα αὐτοῦ τίθησι. Καὶ γὰρ ὁ μὲν περὶ ἄλλων τι μέγα λέγων, ἀδεῶς φθέγγεται καὶ μετὰ παρρησίας· ὁ δὲ ἑαυτὸν ἀναγκαζόμενος ἐπαινεῖν, καὶ μάλιστα ὅταν καὶ μάρτυρα ἑαυτὸν καλῇ, αἰσχύνεται καὶ ἐρυθριᾷ. Διὰ δὴ τοῦτο καὶ ὁ μακάριος οὗτος πρότερον ἑαυτὸν ταλανίζει, καὶ τότε τὸ μέγα ἐκεῖνο φθέγγεται. Ποιεῖ δὲ τοῦτο, τό τε ἐπαχθὲς τῆς περιαυτολογίας ὑποτεμνόμενος, καὶ τὰ μετὰ ταῦτα ῥηθησόμενα ἀξιόπιστα ἐντεῦθεν ποιῶν. Ὁ γὰρ μετὰ ἀληθείας τὰ ἐπονείδιστα θείς, καὶ μηδὲν αὐτῶν ἀποκρυψάμενος, οἷον ὅτι τὴν ἐκκλησίαν ἐδίωξεν, ὅτι τὴν πίστιν ἐπόρθησε, καὶ τὰ σεμνὰ ἐντεῦθεν ἀνύποπτα ποιεῖ.

6. Καὶ σκόπει ταπεινοφροσύνης ὑπερβολήν. Εἰπὼν γάρ, «Ἔσχατον δὲ πάντων ἐμοὶ ὤφθη», οὐκ ἠρκέσθη τούτῳ· «Πολ-

σοτέρους καὶ κάμνει αὐτοὺς μάρτυρας καὶ διδασκάλους μεταξύ των καὶ ἀποδεικνύει τοὺς ἀποστόλους ἀξιοπίστους εἰς ὅσα ἔλεγον. «Τελευταῖα δὲ ἀπὸ ὅλους, ὡσὰν εἰς ἔκτρωμα, παρουσιάσθη καὶ εἰς ἐμένα». Τί θέσιν ἔχουν ἐδῶ οἱ λόγοι ταπεινοφροσύνης ἢ μὲ ποίαν εὐκαιρίαν ἐλέχθησαν; Διότι ἐὰν θέλῃ νὰ ἐμφανισθῇ ὡς ἀξιόπιστος καὶ νὰ ἀπαριθμήσῃ ὅλους τοὺς μάρτυρας τῆς ἀναστάσεως, τότε κάμνει τὸ ἀντίθετον ἀπὸ αὐτὸ ποὺ θέλει· ἔπρεπε δηλαδὴ νὰ ἐξυψώσῃ τὸν ἑαυτόν του καὶ νὰ δείξῃ ὅτι εἶναι μέγας, πρᾶγμα ποὺ κάμνει εἰς πολλὰ σημεῖα, ὅταν τὸ καλῇ ἡ περίστασις. Δι' αὐτὸ λοιπὸν καὶ παρουσιάζεται μετριόφρων ἐδῶ, ἐπειδὴ αὐτὸ πρόκειται νὰ κάνῃ· ὄχι εὐθέως ὅμως, ἀλλὰ μὲ τὴν σύνεσιν ποὺ ἁρμόζει εἰς αὐτόν. Ἀφοῦ προηγουμένως δηλαδὴ ἔδειξε μετριοφροσύνην καὶ συγκέντρωσε διὰ τὸν ἑαυτόν του πολλὰς κατηγορίας, τότε ἐπαινεῖ τὰ ἰδικά του.

Διατί ἆρά γε; Διὰ νὰ γίνῃ περισσότερον εὐκόλως παραδεκτὸς ὁ λόγος ὅταν λέγῃ ἐκεῖνο τό, «Περισσότερον ἐκοπίασα ἀπὸ ὅλους αὐτούς» καὶ ὅσα ἀκολουθοῦν, ἀλλὰ χωρὶς νὰ λεχθῇ ἀπὸ πρίν. Δι' αὐτὸ καὶ ὅταν γράφῃ εἰς τὸν Τιμόθεον καὶ πρόκειται νὰ εἰπῇ μεγάλα διὰ τὸν ἑαυτόν του, πρῶτα κατηγορεῖ τὸν ἑαυτόν του. Διότι αὐτὸς ποὺ ἐπαινεῖ εἰς κάτι ἄλλον, ὁμιλεῖ ἀφόβως καὶ ἐλευθέρως· ἐνῷ αὐτὸς ποὺ ἀναγκάζεται νὰ ἐπαινῇ τὸν ἑαυτόν του, καὶ μάλιστα ὅταν καλῇ ὡς μάρτυρα τὸν ἑαυτόν του, ἐντρέπεται καὶ κοκκινίζει. Δι' αὐτὸ λοιπὸν καὶ αὐτὸς ὁ μακάριος πρῶτα ἐλεεινολογεῖ τὸν ἑαυτόν του καὶ ὕστερα τὸν ἐπαινεῖ. Κάμνει δὲ αὐτὸ καὶ διὰ ν' ἀπαλλαγῇ ἀπὸ τὸ βαρὺ φορτίον τῆς περιαυτολογίας, καὶ διὰ νὰ κάνῃ ἔτσι ἀξιόπιστα αὐτὰ ποὺ θὰ λεχθοῦν μετὰ ἀπὸ αὐτά. Διότι αὐτὸς ποὺ λέγει μὲ εἰλικρίνειαν αὐτὰ ποὺ εἶναι ἄξια κατηγορίας καὶ δὲν ἀποκρύπτει τίποτε ἀπὸ αὐτά, ὅπως ὅτι κατεδίωξε τὴν ἐκκλησίαν, ὅτι ἐπολέμησε τὴν πίστιν, ἀπαλλάσσει ἔτσι ἀπὸ κάθε ὑποψίαν καὶ ἐκεῖνα ποὺ τὸν τιμοῦν.

6. Καὶ πρόσεχε ὑπερβολικὴν ταπεινοφροσύνην. Ἀφοῦ εἶπε δηλαδή, «Τελευταῖα δὲ ἀπὸ ὅλους παρουσιάσθη

λοὶ» γὰρ «ἔσχατοι πρῶτοι», φησί, «καὶ πρῶτοι ἔσχατοι». Διὰ τοῦτο προσέθηκεν, «ὡσπερεὶ τῷ ἐκτρώματι». Καὶ οὐδὲ ἐνταῦθα ἔστη, ἀλλὰ καὶ τὴν οἰκείαν κρίσιν προστίθησι καὶ μετὰ αἰτίας λέγων· «Ἐγὼ γάρ εἰμι ὁ ἐλάχιστος τῶν ἀποστόλων, ὃς οὐκ εἰμὶ ἱκανὸς καλεῖσθαι ἀπόστολος, ὅτι ἐδίωξα τὴν ἐκκλησίαν». Καὶ οὐκ εἶπε, τῶν δώδεκα μόνον, ἀλλὰ καὶ τῶν ἄλλων ἁπάντων. Ταῦτα δὲ ὁμοῦ μὲν μετριάζων ἔλεγεν, ὁμοῦ δὲ καὶ οὕτω διακείμενος, ὅπερ ἔφην, καὶ τὸ μέλλον ῥηθήσεσθαι προδιοικούμενος καὶ εὐπαράδεκτον μᾶλλον ποιῶν. Εἰ μὲν γὰρ παρελθὼν εἶπεν, ὀφείλετέ μοι πιστεῦσαι, ὅτι ἀνέστη ὁ Χριστός· εἶδον γὰρ αὐτόν, καὶ πάντων ἀξιοπιστότερός εἰμι, ἅτε πλέον καμών· κἂν προσέστη τοῖς ἀκούουσι τὸ λεγόμενον· νυνὶ δὲ τοῖς ταπεινοῖς ἐνδιατρίψας πρῶτον καὶ τοῖς κατηγορίαν ἔχουσι, τό τε τραχὺ τῆς τοιαύτης διηγήσεως ὑπετέμνετο καὶ τῇ πίστει τῆς μαρτυρίας προωδοποίησε. Διὰ δὴ τοῦτο οὐδὲ ἁπλῶς, ὅπερ ἔφην, ἀποφαίνεται ἔσχατον ἑαυτὸν εἶναι, καὶ τῆς προσηγορίας τῶν ἀποστόλων ἀνάξιον, ἀλλὰ καὶ τὴν αἰτίαν τίθησι λέγων, «ὅτι ἐδίωξα τὴν Ἐκκλησίαν». Καὶ μὴν ἀφείθη πάντα ἐκεῖνα, ἀλλ' ὅμως αὐτὸς οὐδέποτε αὐτῶν ἐπιλέληστai, τὸ μέγεθος τῆς χάριτος δεῖξαι βουλόμενος. Διὸ καὶ ἐπάγει λέγων, «Χάριτι δὲ Θεοῦ εἰμι ὅ εἰμι». Εἶδες πάλιν ἑτέρας ταπεινοφροσύνης ὑπερβολήν; Τὰ μὲν γὰρ ἐλαττώματα ἑαυτῷ λογίζεται· τῶν δὲ κατορθωμάτων οὐδέν, ἀλλὰ πάντα ἀνατίθησι τῷ Θεῷ.

Εἶτα, ἵνα μὴ τὸν ἀκροατὴν ἐντεῦθεν ὕπτιον ποιήσῃ, φησί, «Καὶ ἡ χάρις αὐτοῦ ἡ εἰς ἐμὲ οὐ κενὴ γέγονε». Καὶ τοῦτο πάλιν ὑπεσταλμένως. Οὐ γὰρ εἶπεν, ἀξίαν τῆς χάριτος ἐπεδειξάμην σπουδήν, ἀλλ' ὅτι οὐ κενὴ γέγονεν. «Ἀλλὰ περισ-

---

20. Ματθ. 19, 30.

εἰς ἐμένα», δὲν ἠρκέσθη εἰς αὐτό· διότι «Πολλοὶ οἱ ὁποῖοι εἶναι πρῶτοι», λέγει, «θὰ γίνουν τελευταῖοι, καὶ ἐκεῖνοι ποὺ εἶναι τελευταῖοι θὰ γίνουν πρῶτοι»[20]. Δι' αὐτὸ προσέθεσεν, «ὡσὰν εἰς ἔκτρωμα». Καὶ οὔτε ἐδῶ ἐσταμάτησεν, ἀλλὰ προσθέτει καὶ τὴν ἰδικήν του κρίσιν καὶ τὴν αἰτιολογεῖ μὲ τοὺς λόγους· «Διότι ἐγὼ εἶμαι ὁ ἐλάχιστος ἀπὸ τοὺς ἀποστόλους, ποὺ δὲν εἶμαι ἄξιος νὰ ὀνομάζωμαι ἀπόστολος, καθ' ὅσον κατεδίωξα τὴν ἐκκλησίαν». Καὶ δὲν εἶπεν ἀπὸ τοὺς δώδεκα μόνον, ἀλλὰ καὶ ἀπὸ ὅλους τοὺς ἄλλους ἀποστόλους. Αὐτὰ δὲ τὰ ἔλεγε καὶ ἀπὸ μετριοπάθειαν καὶ διότι ἔτσι ᾐσθάνετο, ὅπως εἶπον, καὶ ἐπειδὴ προητοιμάζετο καὶ ἔκαμνε περισσότερον εὐκόλως παραδεκτὸν αὐτὸ ποὺ ἐπρόκειτο νὰ εἴπῃ. Διότι ἐὰν μὲν παρέλειπεν αὐτὰ καὶ ἔλεγε, πρέπει νὰ μὲ πιστεύσετε ὅτι ἀνεστήθη ὁ Χριστός, διότι τὸν εἶδον καὶ εἶμαι ἀξιοπιστότερος ἀπὸ ὅλους, ἐπειδὴ ἐκοπίασα περισσότερον ἀπὸ ὅλους, θὰ προεκάλει ἐνόχλησιν αὐτὸ εἰς ἐκείνους ποὺ θὰ τὸ ἤκουον· τώρα ὅμως ἀφοῦ προηγουμένως ἐστάθη εἰς αὐτὰ ποὺ προκαλοῦν ταπείνωσιν καὶ περιέχουν κατηγορίαν, καὶ τὴν τραχύτητα ἀπὸ ὅσα πρόκειται νὰ εἴπῃ ἐξαλείφει καὶ προητοίμασε τὴν ὁδὸν διὰ νὰ πιστεύσουν εἰς τὴν μαρτυρίαν του. Δι' αὐτὸ ἀκριβῶς δὲν λέγει τυχαίως ὅτι εἶναι ἐλάχιστος καὶ ἀνάξιος τοῦ ὀνόματος τῶν ἀποστόλων, ἀλλὰ θέτει καὶ τὴν αἰτίαν μὲ τοὺς λόγους, «διότι κατεδίωξα τὴν ἐκκλησίαν». Καὶ ὅμως ὅλα ἐκεῖνα συνεχωρήθησαν, ἀλλ' αὐτὸς ποτὲ δὲν τὰ λησμονεῖ ὅταν θέλῃ νὰ δείξῃ τὸ μέγεθος τῆς χάριτος. Δι' αὐτὸ καὶ προσθέτει τοὺς λόγους, «Ἀλλὰ μὲ τὴν χάριν τοῦ Θεοῦ εἶμαι ἐκεῖνο ποὺ εἶμαι». Εἶδες πάλιν ἄλλην ἐκδήλωσιν ὑπερβολικῆς ταπεινοφροσύνης; Τὰ μὲν ἐλαττώματα δηλαδὴ εἰς τὸν ἑαυτόν του ἀποδίδει· ἐνῷ ἀπὸ τὰ κατορθώματα κανέν, ἀλλὰ τὰ ἀποδίδει ὅλα εἰς τὸν Θεόν.

Εἰς τὴν συνέχειαν διὰ νὰ μὴ κάνῃ τὸν ἀκροατὴν ἀμελῆ μὲ αὐτό, λέγει, «Καὶ ἡ χάρις του εἰς ἐμὲ δὲν ὑπῆρξε χωρὶς ἀποτέλεσμα». Καὶ αὐτὸ πάλιν μὲ μετριοπάθειαν. Διότι δὲν εἶπεν ὅτι κατέβαλα προσπάθειαν ἀνταξίαν τῆς χάριτος, ἀλλ' ὅτι δὲν ἔμεινε χωρὶς ἀποτέλεσμα. «Ἀλλὰ πε-

σότερον αὐτῶν πάντων ἐκοπίασα». Οὐκ εἶπεν, ἐτιμήθην, ἀλλ', «ἐκοπίασα», καὶ κινδύνους καὶ θανάτους ἔχων εἰπεῖν, τῷ ὀνόματι τοῦ κόπου πάλιν ὑποτέμνεται τὸ εἰρημένον. Εἶτα πάλιν τῇ συνήθει κεχρημένος ταπεινοφροσύνῃ, καὶ τοῦτο ταχέως παρέδραμε, καὶ τὸ πᾶν ἀνέθηκε τῷ Θεῷ λέγων· «Οὐκ ἐγὼ δέ, ἀλλ' ἡ χάρις τοῦ Θεοῦ ἡ σὺν ἐμοί». Τί ταύτης θαυμαστότερον γένοιτ' ἂν τῆς ψυχῆς; Διὰ γὰρ τοσούτων ἑαυτὸν καθελών, καὶ ἕν τι μόνον ὑψηλὸν φθεγξάμενος, οὐδὲ τοῦτο αὐτοῦ φησιν εἶναι, πανταχόθεν περιστέλλων, ἀπό τε τῶν ἔμπροσθεν, ἀπό τε τῶν μετὰ ταῦτα, τὸ ὑψηλὸν τοῦτο ῥῆμα, καὶ ταῦτα ἐξ ἀνάγκης ἐλθὼν ἐπ' αὐτό. Σκόπει δὲ πῶς ἐπιδαψιλεύεται τοῖς τῆς ταπεινοφροσύνης ῥήμασι. Καὶ γὰρ «Ἐσχάτῳ μοι ὤφθη πάντων», φησί· διὸ οὐδὲ μεθ' ἑαυτοῦ τινα ἄλλον τίθησι· καί, «ὡσπερεὶ τῷ ἐκτρώματι», καὶ ἐλάχιστον ἑαυτὸν τῶν ἀποστόλων εἶναί φησι, καὶ οὐδὲ τῆς προσηγορίας ταύτης ἄξιον.

Καὶ οὐδὲ τούτοις ἠρκέσθη, ἀλλ' ἵνα μὴ δόξῃ ῥήμασι ταπεινοφρονεῖν, καὶ αἰτίας τίθησι καὶ ἀποδείξεις, τοῦ μὲν ἔκτρωμα εἶναι τὸ ὕστερον αὐτὸν ἰδεῖν τὸν Ἰησοῦν, τοῦ δὲ καὶ τῆς προσηγορίας ἀνάξιον εἶναι τῶν ἀποστόλων τὸ διῶξαι τὴν ἐκκλησίαν. Ὁ μὲν γὰρ ἁπλῶς ταπεινοφρονῶν, τοῦτο οὐ ποιεῖ· ὁ δὲ καὶ τὰς αἰτίας τιθείς, ἀπὸ συντετριμμένης διανοίας ἅπαντα φθέγγεται. Διὸ καὶ ἀλλαχοῦ τῶν αὐτῶν τούτων μέμνηται, λέγων· «Χάριν δὲ ἔχω τῷ ἐνδυναμώσαντί με Χριστῷ, ὅτι πιστόν με ἡγήσατο θέμενος εἰς διακονίαν, τὸν πρότερον ὄντα βλάσφημον καὶ διώκτην καὶ ὑβριστήν». Τίνος δὲ ἕνεκεν καὶ αὐτὸ τὸ ὑψηλὸν τοῦτο ἐφθέγξατο, τό, «Περισσότερον αὐτῶν ἐκοπίασα»; Τὸν καιρὸν ἑώρα καταναγκάζοντα. Εἰ γὰρ μὴ τοῦτο εἶπεν, ἀλλὰ μόνον ἑαυτὸν ἐξηυτέλισε,

ρισσότερον ἀπὸ ὅλους αὐτοὺς ἐκοπίασα». Δὲν εἶπεν, ἐτιμήθην, ἀλλ', «ἐκοπίασα», καὶ ἐνῷ ἠμποροῦσε νὰ εἰπῇ διὰ κινδύνους καὶ θανάτους, μὲ τὴν λέξιν, κόπος, πάλιν μετριάζει αὐτὸ ποὺ εἶπεν. Ὕστερον πάλιν μὲ τὴν συνήθη του ταπεινοφροσύνην, προσεπέρασε ταχέως καὶ αὐτὸ καὶ ἀπέδωσε τὸ πᾶν εἰς τὸν Θεὸν μὲ τοὺς λόγους· «Ὄχι ὅμως ἐγώ, ἀλλ' ἡ χάρις τοῦ Θεοῦ ποὺ εἶναι μαζί μου». Τί θὰ ἦτο περισσότερον ἀξιοθαύμαστον ἀπὸ αὐτὴν τὴν ψυχήν; Διότι, ἀφοῦ μὲ τόσα ἐξηφάνισε τὸν ἑαυτόν του ἀπὸ ταπείνωσιν καὶ εἶπεν ἓν μόνον πρᾶγμα τιμητικὸν διὰ τὸν ἑαυτόν του, οὔτε αὐτὸ λέγει ὅτι εἶναι ἰδικόν του, ἀφοῦ τὸ περικόπτει ἀπὸ παντοῦ καὶ τὸ μετριάζει, καὶ ἀπὸ ὅσα εἶπε πρίν, καὶ ἀπὸ ὅσα εἶπε μετὰ ἀπὸ αὐτὸν τὸν τιμητικὸν λόγον, καὶ αὐτὸ παρ' ὅ,τι ἠναγκάσθη νὰ τὸ εἰπῇ. Πρόσεχε δὲ πῶς μὲ ἀφθονίαν λέγει λόγους ταπεινοφροσύνης. Διότι, «τελευταῖον ἐνεφανίσθη εἰς ἐμέ», λέγει· δι' αὐτὸ κανένα ἄλλον δὲν θέτει μαζὶ μὲ τὸν ἑαυτόν του· καί, «ὡσὰν εἰς ἔκτρωμα», καὶ λέγει ὅτι αὐτὸς εἶναι ὁ ἐλάχιστος ἀπὸ τοὺς ἀποστόλους καὶ οὔτε αὐτοῦ τοῦ τίτλου ἄξιος.

Καὶ οὔτε εἰς αὐτὰ ἠρκέσθη, ἀλλὰ διὰ νὰ μὴ θεωρηθῇ ὅτι μόνον εἰς τοὺς λόγους ταπεινοφρονεῖ, ἐκθέτει καὶ αἰτίας καὶ ἀποδείξεις τῶν λόγων του, καὶ διὰ τὸ ὅτι μὲν εἶδε τελευταῖος τὸν Ἰησοῦν ὡς αἰτίαν λέγει ὅτι εἶναι ἔκτρωμα, διὰ τὸ ὅτι δὲ εἶναι ἀνάξιος καὶ νὰ λέγεται ἀπόστολος, τὸ ὅτι κατεδίωκε τὴν ἐκκλησίαν. Διότι αὐτὸς μὲν ποὺ ταπεινοφρονεῖ μόνον μὲ τοὺς λόγους δὲν τὸ κάμνει αὐτό· ἐνῷ αὐτὸς ποὺ ἀναφέρει καὶ τοὺς λόγους τῆς ταπεινότητός του, λέγει τὰ πάντα μὲ συντετριμμένην ψυχήν. Δι' αὐτὸ καὶ ἀλλοῦ μνημονεύει τὰ ἴδια ὅταν λέγῃ· «Εὐχαριστῶ τὸν Χριστὸν ποὺ μὲ ἐνεδυνάμωσε, διότι μὲ ἐθεώρησε πιστὸν καὶ μὲ διώρισε εἰς τὴν ὑπηρεσίαν του, ἂν καὶ πρὶν ἤμουν βλάσφημος καὶ διώκτης καὶ ὑβριστής». Διὰ ποῖον λόγον ὅμως εἶπε καὶ αὐτὸν τὸν τιμητικὸν διὰ τὸν ἑαυτόν του λόγον, δηλαδὴ τό, «Περισσότερον ἀπὸ αὐτοὺς ἐκοπίασα»; Ἔβλεπεν ὅτι τὸν ἐξηνάγκαζεν ἡ περίστασις. Διότι, ἐὰν δὲν ἔλεγεν αὐτό, πῶς θὰ ἠμποροῦσε νὰ καλῇ τὸν ἑαυ-

πῶς ἠδύνατο μετὰ παρρησίας εἰς μαρτυρίαν ἑαυτὸν καλεῖν, καὶ μετὰ τῶν ἄλλων ἀριθμεῖν καὶ λέγειν, «Εἴτε οὖν ἐγώ, εἴτε ἐκεῖνοι, οὕτω κηρύσσομεν»; Τὸν γὰρ μάρτυρα ἀξιόπιστον εἶναι δεῖ καὶ μέγαν. Πῶς δὲ καὶ περισσότερον αὐτῶν ἐκοπίασεν, ἔδειξεν ἀνωτέρω, λέγων· «Ἦ οὐκ ἔχομεν ἐξουσίαν τοῦ φαγεῖν καὶ πιεῖν, ὡς καὶ οἱ λοιποὶ ἀπόστολοι»; καὶ πάλιν, «Ἐγενόμην τοῖς ἀνόμοις ὡς ἄνομος». Καὶ γὰρ ὅπου ἀκρίβειαν ἐπιδείξασθαι ἔδει, πάντας ὑπερηκόντισε, καὶ ὅπου συγκαταβῆναι ἐχρῆν, τὴν αὐτὴν πάλιν ὑπερβολὴν ἐπεδείξατο. Τινὲς δέ φασι τὸ εἰς ἔθνη ἀπεστάλθαι καὶ τὸ πλεῖον τῆς οἰκουμένης μέρος ἐπιδραμεῖν. Ὅθεν δῆλον ὅτι καὶ πλείονος ἀπέλαυσε χάριτος. Εἰ γὰρ πλεῖον ἐκοπίασε, πλείων ἦν καὶ ἡ χάρις· πλείονος δὲ ἀπέλαυσε χάριτος, ἐπειδὴ καὶ πλείονα ἐπεδείξατο σπουδήν. Εἶδες πῶς καὶ δι' ὧν φιλονεικεῖ καὶ βιάζεται συσκιάζειν τὰ καθ' ἑαυτόν, πάντων δείκνυται πρῶτος ὤν;

7. Ταῦτα καὶ ἡμεῖς ἀκούοντες, τὰ μὲν ἐλαττώματα ἡμῶν ἐκπομπεύωμεν, τὰ δὲ κατορθώματα σιγῶμεν· κἂν καιρὸς καταναγκάζῃ, συνεσταλμένως αὐτὰ λέγωμεν, καὶ τὸ πᾶν τῇ χάριτι λογιζώμεθα· ὃ δὴ καὶ αὐτὸς ποιεῖ, ἄνω καὶ κάτω τὸν μὲν πρῶτον αὐτοῦ στίζων βίον, τὰ δὲ μετὰ ταῦτα τῇ χάριτι λογιζόμενος, ἵνα τοῦ Θεοῦ δείξῃ τὴν φιλανθρωπίαν πάντοθεν, ὅτι τοιοῦτον ὄντα ἔσωσε, καὶ σωθέντα πάλιν τοιοῦτον εἰργάσατο. Μηδεὶς τοίνυν τῶν ἐν κακίᾳ ὄντων ἀπογινωσκέτω, μηδεὶς τῶν ἐν ἀρετῇ θαρρείτω, ἀλλὰ κἀκεῖνος ἔστω περιδεής, καὶ οὗτος πρόθυμος. Οὔτε γὰρ ῥαθυμῶν τις ἱκανὸς ἔσται μεῖναι ἐν ἀρετῇ, οὔτε σπουδάζων, ἀσθενὴς πρὸς τὸ διαφυγεῖν κακίαν. Καὶ τούτων ἀμφοτέρων ὑπόδειγμα ὁ μακάριος Δαυΐδ, ἡνίκα μικρὸν ἐνύσταξε, καταπεσὼν μέγα·

τόν του ὡς μάρτυρα χωρὶς δισταγμὸν καὶ νὰ τὸν συγκαταλέγῃ μαζὶ μὲ τοὺς ἄλλους καὶ νὰ λέγῃ, «εἴτε ἐγὼ λοιπόν, εἴτε ἐκεῖνοι, ἔτσι κηρύσσομεν»; Διότι ὁ μάρτυς πρέπει νὰ εἶναι ἀξιόπιστος καὶ ὑπολήψιμος. Πῶς ἐκοπίασε δὲ περισσότερον ἀπὸ αὐτούς, τὸ ἔδειξεν ἀνωτέρω ὅταν ἔλεγεν· «Ἢ δὲν ἔχομεν δικαίωμα νὰ φάγωμεν καὶ νὰ πίωμεν ὅπως καὶ οἱ ἄλλοι ἀπόστολοι;»· καὶ πάλιν, «Ἔγινα εἰς αὐτοὺς ποὺ δὲν ἦσαν κάτω ἀπὸ τὸν νόμον, ὡσὰν νὰ μὴ ἤμουν καὶ ἐγώ». Διότι ὅπου ἔπρεπε νὰ ἐπιδείξῃ ἀκρίβειαν, ὑπερέβαινε τοὺς πάντας, ὅπου δὲ ἔπρεπε νὰ δείξῃ συγκατάβασιν, πάλιν τὴν ἰδίαν ὑπερβολὴν ἐδείκνυε. Μερικοὶ δὲ λέγουν ὅτι τὸ ὅτι ἀπεστάλη εἰς τὰ ἔθνη σημαίνει καὶ ὅτι ἐπεσκέφθη τὸ μεγαλύτερον μέρος τῆς οἰκουμένης. Ἀπὸ ὅπου εἶναι φανερὸν ὅτι καὶ περισσοτέρας χάριτος ἠξιώθη. Διότι ἐὰν ἐκοπίασε περισσότερον, περισσοτέρα ἦτο καὶ ἡ χάρις· ἠξιώθη δὲ περισσοτέρας χάριτος ἐπειδὴ καὶ ἔδειξε μεγαλύτερον ζῆλον. Εἶδες πῶς ἀκόμη καὶ μὲ αὐτὰ ποὺ μάχεται καὶ βιάζει τὸν ἑαυτόν του διὰ νὰ κρύψῃ αὐτὰ ποὺ τὸν τιμοῦν, ἀποδεικνύεται ὅτι ἦτο πρῶτος ἀπὸ ὅλους;

7. Αὐτὰ ἀφοῦ ἠκούσαμεν καὶ ἐμεῖς, τὰ μὲν ἐλαττώματά μας ἂς τὰ κοινοποιοῦμεν διὰ νὰ ταπεινοφρονοῦμεν, ἐνῷ τὰ κατορθώματα ἂς τὰ ἀποσιωπῶμεν· καὶ ἂν μᾶς ἐξαναγκάζῃ ἡ περίστασις, ἂς τὰ λέγωμεν τοὐλάχιστον μὲ μετριοφροσύνην καὶ ἂς ἀποδίδωμεν τὸ πᾶν εἰς τὴν χάριν· αὐτὸ λοιπὸν κάμνει καὶ ὁ Παῦλος, ἀφοῦ στιγματίζει συνεχῶς τὴν προηγουμένην του ζωήν, ἐνῷ αὐτὰ ἀποδίδει εἰς τὴν χάριν, διὰ νὰ δείξῃ παντοῦ τὴν φιλανθρωπίαν τοῦ Θεοῦ, εἰς τὸ ὅτι δηλαδὴ ἐνῷ ἦτο τέτοιος τὸν ἔσωσε, καὶ ἀφοῦ τὸν ἔσωσε πάλιν τὸν ἔκανε τέτοιον. Κανεὶς λοιπόν, ἀπὸ ὅσους εὑρίσκονται εἰς τὴν κακίαν, ἂς μὴ ἀπελπίζεται, κανεὶς ἀπὸ τοὺς ἐναρέτους ἂς μὴ ἐπαναπαύεται, ἀλλὰ καὶ ἐκεῖνος ἂς ἔχῃ φόβον μήπως πέσῃ, καὶ αὐτὸς ἂς εἶναι πρόθυμος. Δηλαδὴ οὔτε ἠμπορεῖ νὰ μένῃ κανεὶς εἰς τὴν ἀρετὴν ἐὰν εἶναι ῥάθυμος, οὔτε αὐτὸς ποὺ καταβάλλει προσπάθειαν εἶναι δυνατὸν νὰ μὴ ἀποφύγῃ τὴν κακίαν. Καὶ παράδειγμα δι' αὐτὰ καὶ τὰ δύο εἶναι ὁ μακάριος Δαυΐδ, ὁ ὁποῖος ὅταν

καὶ ἡνίκα κατενύγη, πάλιν πρὸς τὸ πρότερον ὕψος διαδραμών. Καὶ γὰρ ἀμφότερα ἐξ ἴσης κακά, καὶ τὸ ἀπογινώσκειν καὶ τὸ ῥᾳθυμεῖν· τὸ μὲν γὰρ καθαιρεῖ ταχέως ἀπ' αὐτῆς τῶν οὐρανῶν τῆς ἀψῖδος, τὸ δὲ ἀναστῆναι τὸν κείμενον οὐκ ἀφίησι. Διὸ πρὸς ἐκεῖνον μὲν ἔλεγεν ὁ Παῦλος, «Ὁ δοκῶν ἑστάναι, βλεπέτω μὴ πέσῃ»· πρὸς δὲ τοῦτον, «Σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν»· καὶ πάλιν, «Τὰς παρειμένας χεῖρας καὶ τὰ παραλελυμένα γόνατα ἀνορθώσατε». Καὶ τὸν πεπορνευκότα δὲ μετανοήσαντα, διὰ τοῦτο ἀνακτᾶται ταχέως, «Ἵνα μὴ τῇ περισσοτέρᾳ λύπῃ καταποθῇ ὁ τοιοῦτος».

Τί τοίνυν ἐπὶ τοῖς ἄλλοις ἀθυμεῖς, ὦ ἄνθρωπε; Εἰ γὰρ ἐπὶ ἁμαρτήμασιν, ἔνθα χρήσιμον ἡ λύπη μόνον, ἡ ἀμετρία πολλὴν ἐργάζεται βλάβην, πολλῷ μᾶλλον ἐπὶ τοῖς ἄλλοις. Τίνος γὰρ ἕνεκεν ἀλγεῖς; ὅτι χρήματα ἀπώλεσας; Ἀλλ' ἐννόησον τοὺς οὐδὲ ἄρτου κορεννυμένους, καὶ ταχίστην λήψῃ παραμυθίαν. Καὶ ἐφ' ἑκάστῳ δὲ τῶν δεινῶν μὴ τὰ συμβάντα θρήνει, ἀλλ' ὑπὲρ τῶν μὴ συμβάντων χαλεπῶν εὐχαρίστει. Ἔσχες χρήματα, καὶ ἀπέβαλες; Μὴ δακρύσῃς ὑπὲρ τῆς ζημίας, ἀλλ' εὐχαρίστησον ὑπὲρ τοῦ χρόνου, οὗ ταῦτα ἐκαρπώσω. Εἰπὲ κατὰ τὸν Ἰώβ, «Εἰ τὰ ἀγαθὰ ἐδεξάμεθα παρὰ Κυρίου, τὰ κακὰ οὐχ ὑποίσομεν;». Μετὰ δὲ τούτου κἀκεῖνο λογίζου, ὅτι εἰ καὶ χρήματα ἀπέβαλες, ἀλλὰ τὸ σῶμά σου τέως ὑγιὲς ἔχεις, καὶ οὐ θρηνεῖς μετὰ τῆς πενίας καὶ τὴν τούτου πήρωσιν. Ἀλλὰ καὶ τὸ σῶμά σου λώβην τινὰ ὑπέμεινεν; Ἀλλ' οὐχ οὗτος τῶν ἀνθρωπίνων κακῶν ὁ πυθμήν, ἀλλ' ἐν τῷ μέσῳ τοῦ πίθου φέρῃ τέως. Πολλοὶ γὰρ μετὰ πενίας καὶ λώβης, καὶ δαίμονι παλαίουσι, καὶ ἐν ἐρήμοις πλανῶνται· ἄλλοι πάλιν τούτων ἕτερα χαλεπώτερα ὑπο-

---

21. Α' Κορ. 10, 12.
22. Ψαλμ. 94, 8.
23. Ἑβρ. 12, 12.
24' Β' Κορ. 2, 7.
25. Ἰὼβ 2, 10.

δι' ὀλίγον ἐχαλάρωσε τὴν προσοχήν, ἔπεσεν εἰς μέγα βάραθρον, καὶ ὅταν μετενόησε μὲ συντριβὴν καὶ κατάνυξιν, ἐπανῆλθεν εἰς τὸ προηγούμενον ὕψος. Διότι καὶ τὰ δύο εἶναι ἐξ ἴσου κακά, καὶ τὸ ν' ἀπελπίζεται καὶ τὸ νὰ ἀμελῇ κανείς· διότι τὸ μὲν ἓν καταρρίπτει ταχέως καὶ ἀπὸ αὐτὴν ἀκόμη τὴν κορυφὴν τοῦ οὐρανοῦ, τὸ δὲ ἄλλο δὲν ἀφήνει τὸν ἄνθρωπον ν' ἀνορθωθῇ. Δι' αὐτὸ πρὸς ἐκεῖνον μὲν ἔλεγεν ὁ Παῦλος, «Ἐκεῖνος ποὺ νομίζει ὅτι στέκεται, ἂς προσέξῃ μήπως πέσῃ»[21]· εἰς αὐτὸν δέ, «Σήμερον ποὺ καλεῖσθε, ἀκούσατε τὴν φωνὴν τοῦ Θεοῦ, ποὺ λέγει· Μὴ κάνετε σκληρὰς τὰς καρδίας σας διὰ τῆς ἀπειθείας»[22]· καὶ πάλιν, «Ἐνισχύσατε τὰ ἄτονα χέρια καὶ ἀνορθώσατε τὰ παραλυμένα γόνατα»[23]. Ἀλλὰ καὶ αὐτὸν ποὺ ἐπόρνευσεν, ὅταν μετενόησεν, δι' αὐτὸ τὸν δέχεται πάλιν ταχέως, «διὰ νὰ μὴ κυριευθῇ ἀπὸ ὑπερβολικὴν λύπην»[24].

Διατί λοιπὸν στενοχωρεῖσαι, ἄνθρωπε, διὰ τὰ ἄλλα; Ἀφοῦ, ἐὰν εἰς τὴν λύπην διὰ τὰς ἁμαρτίας, ποὺ μόνον δι' αὐτὰς εἶναι χρήσιμος ἡ λύπη, ἡ ὑπερβολὴ ἐπιφέρει μεγάλην ζημίαν, πολὺ περισσότερον εἰς τὰ ἄλλα. Διατί λοιπὸν στενοχωρεῖσαι; διότι ἔχασες χρήματα; Ἀλλὰ σκέψου αὐτοὺς ποὺ οὔτε ψωμὶ χορταίνουν καὶ ἀμέσως θὰ παρηγορηθῇς. Ἀλλὰ καὶ εἰς κάθε δυστυχίαν μὴ θρηνῇς αὐτὰ ποὺ συμβαίνουν, ἀλλὰ νὰ εὐχαριστῇς διὰ τὰς συμφορὰς ποὺ δὲν συνέβησαν. Ἀπέκτησες χρήματα καὶ τὰ ἔχασες; Μὴ δακρύσῃς διὰ τὴν ζημίαν, ἀλλ' εὐχαρίστησε διὰ τὸν χρόνον κατὰ τὸν ὁποῖον τὰ εἶχες ὠφεληθῇ. Εἰπὲ ὅπως ὁ Ἰώβ, «Ἐὰν ἐδέχθημεν εὐχαρίστως τὰ ἀγαθὰ ἀπὸ τὸν Κύριον, τὰ πικρὰ δὲν θὰ τὰ ὑπομείνωμεν;»[25]. Μαζὶ μὲ αὐτὸ δὲ νὰ σκέπτεσαι καὶ ἐκεῖνο, ὅτι καὶ ἂν ἔχασες χρήματα, ὅμως ἔχεις τὸ σῶμα σου ὑγιὲς καὶ δὲν θρηνεῖς μαζὶ μὲ τὴν πτωχείαν καὶ τὴν ἀναπηρίαν τοῦ σώματος. Ἀλλ' ὑπέστη κάποιαν βλάβην καὶ τὸ σῶμά σου; Δὲν εἶναι ὅμως αὐτὸς ὁ βυθὸς τῶν ἀνθρωπίνων κακῶν, ἀλλ' εἰς τὸ μέσον τῆς ἐπιφανείας καὶ τοῦ βυθοῦ εὑρίσκεσαι ἀκόμη. Διότι πολλοὶ μαζὶ μὲ πτωχείαν καὶ σωματικὴν ἀναπηρίαν παλαίουν συγχρόνως καὶ μὲ δαίμονας καὶ περιπλανῶνται εἰς ἐρήμους· ἄλλοι πάλιν

μένουσι. Μὴ γὰρ δὴ γένοιτο ἡμᾶς πάντα παθεῖν, ὅσα δυνατὸν ἐνεγκεῖν.

Ταῦτ' οὖν ἀεὶ λογιζόμενος, τοὺς τὰ χαλεπώτερα πάσχοντας ἐννόει, καὶ μηδενὶ τούτων ἄλγει· ἀλλ' ὅταν ἁμάρτῃς, τότε μόνον στέναξον, τότε δάκρυσον· οὐ κωλύω, ἀλλὰ καὶ προτρέπομαι μᾶλλον· καὶ τότε δὲ μετὰ συμμετρίας, ἐννοῶν ὅτι ἐστὶν ἐπάνοδος, ἔστι καταλλαγή. Ἀλλ' ὁρᾷς τρυφῶντας ἑτέρους, σαυτὸν δὲ ἐν πενίᾳ, καὶ ἕτερον ἐν λαμπροῖς ἱματίοις καὶ ἐν περιφανείᾳ; Ἀλλὰ μὴ ταῦτα μόνον σκόπει, ἀλλὰ καὶ τὰ ἐκ τούτων λυπηρά. Καὶ ἐπὶ τῆς πενίας δὲ μὴ τὴν πτωχείαν μόνον, ἀλλὰ καὶ τὴν ἐντεῦθεν ἡδονὴν ἀναλογίζου. Ὁ μὲν γὰρ πλοῦτος τὸ μὲν προσωπεῖον ἔχει φαιδρόν, τὰ δὲ ἔνδον ζόφου γέμοντα, ἡ δὲ πενία τοὐναντίον. Κἂν τὸ ἑκάστου συνειδὸς ἀναπτύξῃς, ἐν μὲν τῇ τοῦ πένητος ψυχῇ πολλὴν τὴν ἄδειαν ὄψει καὶ τὴν ἐλευθερίαν, ἐν δὲ τῇ τοῦ πλουτοῦντος θορύβους, ταραχάς, κύματα. Εἰ δὲ ἀλγεῖς ὁρῶν αὐτὸν πλουτοῦντα, κἀκεῖνος πολλῷ σου πλέον ἀλγεῖ τὸν αὐτοῦ πλουσιώτερον θεώμενος· καὶ καθάπερ σὺ τοῦτον δέδοικας, οὕτως ἐκεῖνος ἄλλον, καὶ οὐδέν σου πλεονεκτεῖ κατὰ τοῦτο.

Ἀλλ' ἄρχοντα ὁρῶν ἀλγεῖς, ὅτι ἰδιώτης σύ, καὶ τῶν ἀρχομένων. Ἀλλ' ἐννόει καὶ τῆς διαδοχῆς τὴν ἡμέραν, καὶ πρὸ τῆς ἡμέρας δὲ ἐκείνης τοὺς φόβους, τοὺς κινδύνους, τοὺς πόνους, τὰς κολακείας, τὰς ἀγρυπνίας, τὰς ταλαιπωρίας πάσας. Καὶ ταῦτα πρὸς τοὺς οὐκ ἐθέλοντας φιλοσοφεῖν λέγομεν· ὡς ἐὰν τοῦτο εἰδῇς, ἀφ' ἑτέρων σε μειζόνων δυνάμεθα παρακαλέσαι· τέως δὲ ἀπὸ τῶν παχυτέρων ἀνάγκη πρὸς σὲ διαλέγεσθαι. Ὅταν τοίνυν ἴδῃς πλουτοῦντα, τὸν

ὑποφέρουν ἄλλα φοβερώτερα ἀπὸ αὐτά. Εἴθε λοιπὸν νὰ μὴ μᾶς συμβοῦν ὅλα ὅσα ἠμποροῦμεν νὰ ὑπομείνωμεν.

Αὐτὰ λοιπὸν σκεπτόμενος πάντοτε, ν' ἀναλογίζεσαι αὐτοὺς ποὺ πάσχουν φοβερώτερα καὶ διὰ κανὲν ἀπὸ αὐτὰ νὰ μὴ στενοχωρῆσαι· ἀλλ' ὅταν ἁμαρτήσῃς, τότε μόνον νὰ στενάξῃς, τότε νὰ δακρύσῃς· ὄχι μόνον δὲν ἐμποδίζω, ἀλλὰ μᾶλλον καὶ προτρέπω· ἀλλὰ καὶ τότε μὲ μέτρον, μὲ τὴν σκέψιν ὅτι ὑπάρχει ἐπιστροφή, ὅτι ὑπάρχει συνδιαλλαγὴ μὲ τὸν Θεόν. Ἀλλὰ βλέπεις ἄλλους νὰ ζοῦν μὲ πλοῦτον καὶ ἀνέσεις, ἐνῷ τὸν ἑαυτόν σου μὲ πτωχείαν, καὶ ἄλλον μὲ φανταχτερὰ ἐνδύματα καὶ δόξαν; Μὴ βλέπεις ὅμως μόνον αὐτά, ἀλλὰ καὶ τὰ λυπηρὰ ποὺ γεννῶνται ἀπὸ αὐτά. Καὶ εἰς τὴν πτωχείαν ἐπίσης ὄχι μόνον τὴν πτωχείαν, ἀλλὰ νὰ σκέπτεσαι καὶ τὴν γλυκύτητα ποὺ προέρχεται ἀπὸ αὐτήν. Διότι ὁ πλοῦτος τὸ μὲν προσωπεῖον ἔχει εὐχάριστον, ἀλλὰ τὰ μέσα του εἶναι τελείως σκοτεινά, ἐνῷ ἡ πτωχεία τὸ ἀντίθετον. Καὶ ἐὰν φανερώσῃς τὴν συνείδησιν τοῦ καθενός, εἰς μὲν τὴν ψυχὴν τοῦ πτωχοῦ θὰ ἴδῃς πολλὴν τὴν ἄνεσιν καὶ τὴν ἐλευθερίαν, ἐνῷ εἰς τὴν ψυχὴν τοῦ πλουσίου συγχύσεις, ταραχάς, δυστυχίας. Ἐὰν ὅμως στενοχωρῆσαι ποὺ τὸν βλέπεις νὰ πλουτῇ, καὶ ἐκεῖνος περισσότερον ἀπὸ ἐσένα στενοχωρεῖται ὅταν βλέπῃ αὐτὸν ποὺ εἶναι πλουσιώτερος ἀπὸ ἐκεῖνον· καὶ ὅπως σὺ φοβεῖσαι αὐτόν, ἔτσι καὶ ἐκεῖνος ἄλλον καὶ εἰς τίποτε δὲν πλεονεκτεῖ ἀπὸ ἐσὲ ὡς πρὸς αὐτό.

Ἀλλὰ στενοχωρεῖσαι ἐπειδὴ βλέπεις τὸν ἄλλον νὰ εἶναι ἄρχων, ἐνῷ σὺ ἀσήμαντος, κατώτερος καὶ ἀπὸ τοὺς πολίτας ποὺ διοικοῦνται; Ἀλλὰ σκέψου καὶ τὴν ἡμέραν τῆς ἀλλαγῆς, καὶ πρὶν ἀπὸ ἐκείνην τὴν ἡμέραν τοὺς φόβους, τοὺς κινδύνους, τοὺς κόπους, τὰς ἀπατηλὰς κολακείας, τὰς ἀγρυπνίας, τὰς ταλαιπωρίας ὅλας. Καὶ αὐτὰ λέγομεν εἰς ἐκείνους ποὺ δὲν θέλουν νὰ ζοῦν καὶ νὰ σκέπτωνται βαθύτερα· διότι, ἐὰν γνωρίσῃς αὐτό, ἀπὸ ἄλλα σημαντικώτερα ἠμποροῦμεν νὰ σὲ παρηγορήσωμεν· τώρα ὅμως εἶναι ἀνάγκη νὰ ὁμιλοῦμεν εἰς ἐσὲ διὰ τὰ χονδροειδέστερα. Ὅταν λοιπὸν ἴδῃς πλούσιον, σκέψου αὐτὸν ποὺ εἶναι ἀπὸ

ἐκείνου πλουσιώτερον ἐννόει, καὶ ὄψει τοῦτον ἐν οἷς καὶ σύ. Μετὰ δὲ τοῦτον καὶ τὸν σαυτοῦ πενέστερον σκόπει, καὶ πόσοι πεινῶντες ἐκοιμήθησαν, καὶ οὐσίας πατρῴας ἀπέβαλον, καὶ δεσμωτήριον οἰκοῦσι, καὶ θάνατον καθ' ἑκάστην εὔχονται τὴν ἡμέραν. Οὔτε γὰρ ἀθυμίαν πενία, οὔτε ἡδονὴν τίκτει πλοῦτος, ἀλλὰ καὶ τοῦτο κἀκεῖνο λογισμὸς ἡμῖν ἐμποιεῖν εἴωθε.

Σκόπει δὲ ἀρχόμενος κάτωθεν. Ὁ κοπρώνης ἀλγεῖ καὶ ὀδυνᾶται, ὅτι μὴ ἀπήλλακται τοῦ ταλαιπώρου καὶ ἐπονειδίστου εἶναι δοκοῦντος ἐπιτηδεύματος τούτου· ἀλλ' ἂν ἀπαλλάξῃς αὐτὸν τούτου, καὶ ποιήσῃς μετὰ ἀδείας τῶν ἀναγκαίων εὐπορεῖν, ἀλγήσει πάλιν ὅτι μὴ πλείω τῆς χρείας κέκτηται· κἂν πλείω παρέχῃς, βουλήσεται αὐτὰ διπλασίονα εἶναι πάλιν, καὶ διὰ τοῦτο ὀδυνηθήσεται οὐχ ἧττον, ἢ πρότερον· κἂν διπλασίονα, κἂν τριπλασίονα δῷς, ἀθυμήσει πάλιν, ὅτι μὴ πολιτεύεται· κἂν τοῦτο παρέχῃς αὐτῷ, ἄθλιον ἑαυτὸν ἡγήσεται, ὅτι μὴ τῶν τὰ πρῶτα πολιτευομένων ἐστί· καὶ ταύτης δὲ ἐπιλαβόμενος τῆς τιμῆς, θρηνήσει, ὅτι μὴ ἄρχει· ὅταν δὲ ἄρξῃ, ὅτι μὴ ἔθνους ὁλοκλήρου· ὅταν δὲ καὶ ἔθνους ὁλοκλήρου, ὅτι μὴ ἐθνῶν πολλῶν· ὅταν ἐθνῶν πολλῶν, ὅτι μὴ πάντων· ὅταν ὕπαρχος γένηται, λυπηθήσεται πάλιν, ὅτι μὴ καὶ βασιλεύς· κἂν βασιλεύς, ὅτι μὴ μόνος· κἂν μόνος, ὅτι μὴ καὶ βαρβάρων· κἂν βαρβάρων, ὅτι μὴ καὶ τῆς οἰκουμένης ἁπάσης· κἂν τῆς οἰκουμένης ἁπάσης, διὰ τί μὴ καὶ ἑτέρου κόσμου; Καὶ οὕτως ἐπ' ἄπειρον προϊὼν ὁ λογισμός, οὐκ ἀφίησιν αὐτὸν ἡσθῆναί ποτε.

8. Εἶδες πῶς κἂν ἐξ εὐτελοῦς καὶ πτωχοῦ βασιλέα ποιήσῃς, οὐκ ἀναιρεῖς τὴν ἀθυμίαν, λογισμὸν τὸν πλεονεξίας ἐ-

ἐκεῖνον πλουσιώτερος καὶ θὰ ἰδῇς αὐτὸν εἰς τὴν ἰδίαν θλῖψιν μὲ τὴν ἰδικήν σου. Μαζὶ μὲ αὐτὸν δὲ πρόσεχε καὶ τὸν πτωχότερον ἀπὸ ἐσένα καὶ πόσοι ἀπεβίωσαν μέσα εἰς πεῖναν καὶ ἔχασαν τὰς πατρικάς των περιουσίας καὶ ζοῦν εἰς φυλακὴν καὶ εὔχονται καθ' ἡμέραν ν' ἀποθάνουν. Διότι οὔτε ἡ πτωχεία γεννᾷ θλῖψιν, οὔτε εὐτυχίαν ὁ πλοῦτος, ἀλλὰ καὶ τὸ ἓν καὶ τὸ ἄλλο συνήθως ἡ σκέψις μας τὸ δημιουργεῖ.

Πρόσεχε δὲ ὅταν ἀρχίζῃς ἀπὸ ἐκείνους ποὺ εἶναι κατώτεροί σου. Αὐτὸς ποὺ καθαρίζει ἀκαθαρσίας δυσφορεῖ καὶ ὑποφέρει διότι δὲν ἀπαλλάσσεται ἀπὸ αὐτὸ τὸ ἄθλιον καὶ ἀξιοκατηγόρητον, ὅπως νομίζει, ἐπάγγελμα· ἀλλ' ἂν τὸν ἀπαλλάξῃς ἀπὸ αὐτὸ καὶ τὸν κάνῃς νὰ κερδίζῃ μὲ εὐπορίαν τὰ πρὸς τὸ ζῆν, θὰ δυσφορήσῃ πάλιν διότι δὲν ἔχει περισσότερα ἀπὸ τὰ ἀναγκαῖα· καὶ ἐὰν τοῦ δώσῃς περισσότερα, θὰ θελήσῃ πάλιν νὰ διπλασιασθοῦν αὐτὰ καὶ θὰ στενοχωρηθῇ δι' αὐτό, ὄχι ὀλιγώτερον ἀπὸ ὅσον προηγουμένως· καὶ ἐὰν τοῦ δώσῃς διπλάσια, καὶ ἐὰν τοῦ δώσῃς τριπλάσια πάλιν θὰ στενοχωρηθῇ διότι δὲν διακρίνεται εἰς τὴν πολιτικήν· καὶ ἂν τοῦ δώσῃς καὶ αὐτό, θὰ θεωρήσῃ δυστυχῆ τὸν ἑαυτόν του διότι δὲν εἶναι ἀπὸ τοὺς πρώτους μεταξὺ τῶν πολιτῶν· ἀλλὰ καὶ ὅταν ἀποκτήσῃ καὶ αὐτὴν τὴν τιμήν, θὰ θρηνήσῃ διότι δὲν διοικεῖ· ὅταν δὲ γίνῃ διοικητής, θὰ δυσανασχετήσῃ διότι δὲν κυβερνᾷ ἔθνος ὁλόκληρον· ὅταν δὲ κυβερνήσῃ καὶ ἔθνος ὁλόκληρον, διότι δὲν ἐξουσιάζει πολλὰ ἔθνη· ὅταν ἐξουσιάσῃ πολλὰ ἔθνη, διότι δὲν τὰ ἐξουσιάζει ὅλα· ὅταν γίνῃ ὑπαρχηγός, θὰ λυπηθῇ πάλιν διότι δὲν εἶναι καὶ βασιλεύς· καὶ ἂν γίνῃ βασιλεύς, διότι δὲν εἶναι ὁ μόνος· καὶ ἂν εἶναι μόνος, διότι δὲν βασιλεύει καὶ εἰς τοὺς βαρβάρους· καὶ ἐὰν βασιλεύσῃ εἰς τοὺς βαρβάρους, διότι δὲν βασιλεύει καὶ εἰς ὅλην τὴν οἰκουμένην· καὶ ἐὰν βασιλεύσῃ εἰς ὅλην τὴν οἰκουμένην, διατί νὰ μὴ βασιλεύῃ καὶ εἰς ἄλλον κόσμον; Καὶ ἔτσι καθὼς προχωρῇ ἐπ' ἄπειρον ὁ λογισμός, δὲν τὸν ἀφήνει ποτὲ νὰ σκεφθῇ καὶ νὰ κρίνῃ ὀρθῶς.

8. Εἶδες πῶς καὶ ἂν ἀκόμη τὸν κάνῃς ἀπὸ ἀσήμαντον καὶ πτωχὸν βασιλέα, δὲν ἐξαφανίζεις τὴν λύπην ἐὰν προη-

ρῶντα μὴ διορθωσάμενος πρότερον; Φέρε σοι καὶ τοὐναντίον δείξω, ὅτι κἂν ἄνωθεν κάτω καταγάγῃς τὸν σύνεσιν ἔχοντα, οὐκ ἐμβαλεῖς εἰς ἀθυμίαν καὶ λύπην. Καί, εἰ βούλει, τὴν αὐτὴν κλίμακα καταβαίνωμεν, καὶ τὸν ὕπαρχον ἀπὸ τοῦ θρόνου τῷ λόγῳ καταβιβάσας ἀποστέρει τῆς ἀξίας ἐκείνης. Οὐδὲν γὰρ οὗτος ἐντεῦθεν, ἂν ἐθέλῃ ταῦτα ἐννοεῖν, ἅπερ εἶπον, ἀλγήσει. Οὐδὲ γὰρ ἅπερ ἀφῄρηται, λογιεῖται, ἀλλ' ἅπερ ἔχει τέως, τὴν δόξαν τὴν ἀπὸ τῆς ἀρχῆς. Ἂν δὲ καὶ ταύτην ἀφέλῃς, λογιεῖται τοὺς ἰδιώτας καὶ οὐδέποτε τοιαύτης ἐπιβάντας ἀρχῆς, καὶ ἀρκέσει εἰς παραμυθίαν ὁ πλοῦτος αὐτῷ· ἂν δὲ καὶ τούτου πάλιν ἐκβάλῃς, σκοπήσει τοὺς τὰ σύμμετρα ἔχοντας· ἂν δὲ καὶ τὰ σύμμετρα ἀφέλῃς, καὶ τῆς ἀναγκαίας μόνης μεταδῷς τροφῆς, δυνήσεται ἐννοεῖν τοὺς οὐδὲ ταύτης μετέχοντας, ἀλλὰ λιμῷ παλαίοντας διηνεκεῖ, καὶ εἰς δεσμωτήριον οἰκοῦντας. Εἰ δὲ καὶ εἰς τὸ οἴκημα εἰσαγάγοις ἐκεῖνο, τοὺς ἐν νόσοις ἀνιάτους ὄντας, τοὺς ἐν ὀδύναις ἀνηκέστοις ἐνθυμούμενος, ὄψεται ἑαυτὸν ἐν πολλῷ βελτίοσιν ὄντα. Καὶ ὥσπερ ὁ κοπρώνης ἐκεῖνος οὐδὲ βασιλεὺς γενόμενος εὐθυμίαν καρπώσεται, οὕτως οὗτος οὐδὲ δεσμώτης καταστὰς ἀλγήσει ποτέ.

Οὐκ ἄρα πλοῦτος ἡδονῆς, οὔτε πενία ἀθυμίας ὑπόθεσις, ἀλλ' ἡ ἡμετέρα γνώμη, καὶ τὸ τὰ ὄμματα τῆς διανοίας ἡμῖν μὴ εἶναι καθαρά, μηδὲ ἑστάναι που καὶ μένειν, ἀλλ' ἀπέραντα πέτασθαι. Καὶ καθάπερ τὰ μὲν ὑγιεινὰ τῶν σωμάτων, κἂν ἄρτῳ τρέφηται μόνῳ, εὐπαθεῖ καὶ σφριγᾷ· τὰ δὲ ἐπίνοσα, κἂν δαψιλοῦ καὶ ποικίλης ἀπολαύῃ τραπέζης, τοσούτῳ μᾶλλον ἀσθενέστερα γίνεται· οὕτω καὶ ἐπὶ τῆς ψυχῆς συμβαίνειν εἴωθεν· οἱ μὲν μικρόψυχοι, οὐδὲ ἐν διαδήματι καὶ τιμαῖς ἀφάτοις δύναιντ' ἂν εὐθυμεῖν· οἱ δὲ φιλόσοφοι καὶ

γουμένως δὲν διορθώσῃς αὐτὸν ποὺ ἀγαπᾷ τὴν πλεονεξίαν; Ἔλα λοιπὸν καὶ θὰ σοῦ δείξω τὸ ἀντίθετον, ὅτι δηλαδὴ καὶ ἂν ἀπὸ τὰ ὑψηλὰ καταβιβάσῃς εἰς τὰ κατώτερα αὐτὸν ποὺ ἔχει σύνεσιν, δὲν θὰ τὸν ρίψῃς εἰς στενοχωρίαν καὶ λύπην. Καί, ἐὰν θέλῃς, τὴν ἰδίαν κλίμακα ἄς καταβῶμεν, καὶ τὸν ὑπαρχηγόν, μὲ τὸν λόγον ἀφοῦ τὸν καταβιβάσῃς ἀπὸ τὸν θρόνον, ὑστέρησέ τον ἀπὸ αὐτὸ τὸ ἀξίωμα. Λοιπὸν καθόλου δὲν θὰ στενοχωρηθῇ αὐτὸς ἀπὸ αὐτό, ἐὰν θέλῃ νὰ κατανοήσῃ αὐτὰ ποὺ εἶπον. Διότι δὲν θὰ σκεφθῇ αὐτὰ ποὺ τοῦ ἀφῃρέθησαν, ἀλλ' αὐτὰ ποὺ ἔχει τώρα, τὴν δόξαν δηλαδὴ ἀπὸ τὴν ἐξουσίαν ποὺ εἶχεν. Ἂν δὲ ἀφαιρέσῃς καὶ αὐτήν, θὰ σκεφθῇ τοὺς ἁπλοὺς καὶ ἀσήμους ἀνθρώπους, οἱ ὁποῖοι ποτὲ δὲν ἔλαβον τέτοιαν ἐξουσίαν, καὶ θὰ τοῦ ἀρκέσῃ ὁ πλοῦτος του· ἂν ὅμως ἀφαιρέσῃς καὶ αὐτόν, θὰ ἰδῇ αὐτοὺς ποὺ ἔχουν τὰ ἴσα μὲ αὐτόν· ἂν δὲ ἀφαιρέσῃς καὶ αὐτὰ καὶ τοῦ δώσῃς μόνον τὴν ἀναγκαίαν τροφήν, θὰ ἠμπορέσῃ νὰ σκεφθῇ αὐτοὺς ποὺ οὔτε τροφὴν ἔχουν, ἀλλὰ παλαίουν μὲ διαρκῆ πεῖναν καὶ κατοικοῦν εἰς φυλακήν. Ἐὰν δὲ προσθέσῃς εἰς τὴν φυλακὴν καὶ αὐτοὺς ποὺ πάσχουν ἀπὸ ἀνίατα νοσήματα, σκεπτόμενος αὐτοὺς ποὺ εὑρίσκονται εἰς ἀθεραπεύτους δυστυχίας, θὰ ἰδῇ τὸν ἑαυτόν του νὰ εἶναι καλύτερος εἰς πολλά. Καὶ ὅπως ἐκεῖνος ποὺ καθαρίζει ἀκαθαρσίας οὔτε ὅταν γίνῃ βασιλεὺς θὰ εὐθυμήσῃ, ἔτσι αὐτὸς οὔτε ὅταν φυλακισθῇ θὰ στενοχωρηθῇ ποτέ.

Ἄρα δὲν εἶναι ὁ πλοῦτος αἰτία εὐτυχίας, οὔτε ἡ πτωχεία δυστυχίας, ἀλλ' ἡ ἰδική μας γνώμη καὶ τὸ ὅτι οἱ ὀφθαλμοὶ τῆς ψυχῆς μας δὲν εἶναι καθαροί, οὔτε ἱστάμεθα κάπου καὶ μένομεν ἐκεῖ, ἀλλὰ πετῶμεν ἀπεριόριστα. Καὶ ὅπως τὰ μὲν ὑγιεινὰ σώματα, καὶ ἂν ἀκόμη τρέφωνται μόνον μὲ ἄρτον, εἶναι εὔρωστα καὶ σφριγηλά, ἐνῷ τὰ φιλάσθενα, καὶ ἂν ἀκόμη ἀπολαμβάνουν πλουσίαν καὶ μὲ ποικίλα φαγητὰ τράπεζαν, τόσον περισσότερον ἀσθενῆ γίνονται, ἔτσι συμβαίνει συνήθως καὶ μὲ τὴν ψυχήν· οἱ μὲν μικρόψυχοι, οὔτε εἰς στέμμα καὶ ἀπεριγράπτους τιμὰς ἠμποροῦν νὰ εἶναι εὔθυμοι, ἐνῷ αὐτοὶ ποὺ ἔχουν σοφίαν καὶ

ἐν δεσμοῖς καὶ ἐν ἁλύσει καὶ ἐν πενίᾳ καθαρᾶς ἀπολαύουσιν ἡδονῆς. Ταῦτ' οὖν ἐννοοῦντες, πρὸς τοὺς καταδεεστέρους ἀεὶ βλέπωμεν. Ἔστι μὲν γὰρ καὶ ἑτέρα παραμυθία, ἀλλὰ φιλόσοφος καὶ τῶν πολλῶν ὑπερβαίνουσα τὴν παχύτητα. Ποία αὕτη; Ὅτι οὐδὲν πλοῦτος, οὐδὲν πενία, οὐδὲν ἀτιμία, οὐδὲν τιμή, ἀλλ' ἐν χρόνῳ βραχεῖ καὶ ῥήμασι διεστήκασι μόνον ἀλλήλων. Μετὰ δὲ ταύτης καὶ ἑτέρα ταύτης μείζων, τὸ τὰ μέλλοντα ἐννοεῖν καὶ κακὰ καὶ ἀγαθά, τὰ ὄντως κακὰ καὶ ὄντως ἀγαθά, καὶ ἀπ' ἐκείνων παρακαλεῖσθαι. Ἀλλ' ἐπειδὴ πολλοὶ τούτων, ὅπερ ἔφην πόρρω τῶν λόγων ἑστήκασι, διὰ τοῦτο ἐκείνοις ἠναγκάσθημεν ἐνδιατρῖψαι τοῖς λόγοις, ἵνα ὁδῷ καὶ ἐπὶ τούτους ἀγάγωμεν τοὺς καταδεξαμένους ἐκεῖνα.

Ταῦτ' οὖν ἅπαντα λογισάμενοι, πάντοθεν ἑαυτοὺς ῥυθμίσωμεν, καὶ οὐδέποτε ἐπὶ τῶν ἀδοκήτων τούτων ἀλγήσομεν. Οὐδὲ γάρ, εἰ ἐν εἰκόνι πλουσίους ἴδοιμεν, ζηλωτοὺς εἶναι φαίημεν ἄν, ὥσπερ οὐδὲ τοὺς πτωχοὺς ἐκεῖ γεγραμμένους, ἀθλίους καὶ ἐλεεινούς· καίτοιγε ἐκεῖνοι τῶν παρ' ἡμῖν πλουτούντων μονιμώτεροι· μᾶλλον γὰρ ἐν τῇ γραφῇ μένει πλούσιος, ἢ ἐν αὐτῇ τῶν πραγμάτων τῇ φύσει. Ὁ μὲν γὰρ καὶ εἰς ἔτη πολλάκις ἑκατὸν ἤρκεσεν οὕτω φαινόμενος, οὗτος δὲ ἔστιν ὅτε οὐδὲ εἰς ἐνιαυτὸν ἐντρυφήσας τοῖς οὖσι, πάντων ἀθρόον ἐγυμνώθη. Ταῦτ' οὖν ἅπαντα λογιζόμενοι, πανταχόθεν ἐπιτειχίσωμεν εὐθυμίαν κατὰ τῆς ἀλογίστου λύπης, ἵνα καὶ τὸν παρόντα βίον μεθ' ἡδονῆς διάγωμεν, καὶ τῶν μελλόντων ἀγαθῶν ἐπιτύχωμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

σύνεσιν καὶ εἰς φυλακὴν καὶ εἰς ἁλυσίδας καὶ εἰς πτωχείαν ἀπολαμβάνουν εὐτυχίαν. Ἀναλογιζόμενοι λοιπὸν αὐτά, ἂς βλέπωμεν πάντοτε πρὸς αὐτοὺς ποὺ εὑρίσκονται εἰς χειροτέραν θέσιν ἀπὸ ἐμᾶς. Βέβαια ὑπάρχει μὲν καὶ ἄλλη παρηγορία, ἀλλ᾽ εἶναι πνευματικὴ καὶ σοφὴ καὶ ὑπερβαίνει τὴν ὑλοφροσύνην τῶν πολλῶν. Ποία εἶναι αὐτή; Ὅτι τίποτε δὲν εἶναι ὁ πλοῦτος, τίποτε ἡ πτωχεία, τίποτε ἡ περιφρόνησις, τίποτε ἡ τιμή, ἀλλ᾽ εἰς σύντομον διάρκειαν καὶ εἰς τὴν ὀνομασίαν διαφέρουν μεταξύ των. Μαζὶ δὲ μὲ αὐτὴν ὑπάρχει καὶ ἄλλη μεγαλυτέρα ἀπὸ αὐτήν, τὸ νὰ σκέπτεται δηλαδὴ κανεὶς τὰ ἀγαθὰ καὶ τὰ κακὰ τῆς μελλούσης ζωῆς, αὐτὰ ποὺ εἰς τὴν πραγματικότητα εἶναι κακὰ καὶ ἀγαθὰ καὶ νὰ παρηγορῆται ἀπὸ ἐκεῖνα. Ἀλλ᾽ ἐπειδὴ πολλοὶ ἀπὸ αὐτούς, ὅπως εἶπον, ἀπέχουν πολὺ ἀπὸ τοὺς λόγους αὐτούς, δι᾽ αὐτὸ ἠναγκάσθημεν νὰ χρησιμοποιήσωμεν καὶ ἐκείνους τοὺς λόγους, διὰ νὰ ὁδηγήσωμεν εἰς τὴν ὀρθὴν ὁδὸν καὶ αὐτοὺς ποὺ ἐδέχθησαν ἐκεῖνα.

Ἀναλογιζόμενοι λοιπὸν ὅλα αὐτά, ἂς τακτοποιήσωμεν τὸν ἑαυτόν μας ἀπὸ κάθε πλευράν, καὶ ποτὲ δὲν θὰ στενοχωρηθῶμεν διὰ τὰς αἰφνιδίους καὶ ἀπροσδοκήτους θλίψεις. Διότι, ἐὰν ἰδοῦμεν πλουσίους εἰς εἰκόνα, δὲν θὰ εἰποῦμεν ὅτι εἶναι ἀξιοζήλευτοι, ὅπως οὔτε τοὺς πτωχοὺς ποὺ εἰκονίζονται ἐκεῖ, θὰ θεωρήσωμεν ἀθλίους καὶ ἀξίους οἴκτου· ἂν καὶ βέβαια ἐκεῖνοι οἱ πλούσιοι τῆς εἰκόνος μένουν περισσότερον ἀπὸ τοὺς πλουσίους ποὺ ζοῦν μεταξύ μας· διότι περισσότερον διαρκεῖ ὁ πλούσιος εἰς τὴν εἰκόνα, παρὰ εἰς τὴν πραγματικότητα. Διότι αὐτὸς μὲν ποὺ εἶναι εἰς τὴν εἰκόνα πολλὰς φορὰς ἔφθασε νὰ φαίνεται ἔτσι καὶ ἑκατὸν ἔτη, ἐνῷ αὐτὸς ὡρισμένας φοράς, ἀφοῦ οὔτε ἓν ἔτος δὲν ἀπήλαυσε τὰ ὑπάρχοντά του, ἐγυμνώθη ἀπὸ ὅλα διὰ μιᾶς. Ἀναλογιζόμενοι λοιπὸν ὅλα αὐτά, ἂς περιτειχίσωμεν ἀπὸ ὅλας τὰς πλευρὰς τὴν εὐθυμίαν ἐναντίον τῆς παραλόγου λύπης, διὰ νὰ ζήσωμεν καὶ τὴν παροῦσαν ζωὴν μὲ ἀληθῆ ἡδονὴν καὶ τὰ μέλλοντα ἀγαθὰ νὰ ἐπιτύχωμεν, μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΛΟΓΟΣ ΛΘ΄
Α΄ Κορ. 15, 11 - 28

«Εἴτε οὖν ἐγώ, εἴτε ἐκεῖνοι, οὕτω κηρύσσομεν, καὶ οὕτως ἐπιστεύσατε».

1. Ἐπάρας τοὺς ἀποστόλους καὶ καθελὼν ἑαυτόν, εἶτα πάλιν ὑπὲρ ἐκείνους ἐπάρας, ἵνα ἰσότητα ἐργάσηται· καὶ γὰρ ἰσότητα ἐποίησε, δείξας ἑαυτὸν καὶ πλεονεκτοῦντα καὶ πλεονεκτούμενον· καὶ ταύτῃ ἀξιόπιστον ἑαυτὸν κατασκευάσας, οὐδὲ οὕτως αὐτοὺς ἀφίησιν, ἀλλὰ πάλιν ἑαυτὸν ἐκείνοις συντάττει, τὴν κατὰ Χριστὸν ἐνδεικνύμενος ὁμόνοιαν. Οὐ μὴν οὕτως αὐτὸ ποιεῖ, ὡς δόξαι προσερρῖφθαι αὐτοῖς, ἀλλ᾿ ὡς καὶ αὐτὸν ἐν τῇ αὐτῇ φαίνεσθαι τάξει· οὕτω γὰρ τῷ κηρύγματι συμφέρον ἦν. Διὸ καὶ ἀμφότερα ὁμοίως ἐσπούδακε, καὶ τὸ μὴ δοκεῖν αὐτῶν ὑπερορᾶν, καὶ τὸ μὴ διὰ τὴν εἰς ἐκείνους τιμὴν ἐξευτελίζεσθαι παρὰ τῶν ἀρχομένων. Διὰ τοῦτο καὶ νῦν ἐξισάζει πάλιν λέγων· «Εἴτε οὖν ἐγώ, εἴτε ἐκεῖνοι, οὕτω κηρύσσομεν». Παρ᾿ οὗ, φησί, βούλεσθε μαθεῖν, μάθετε· οὐδὲν διαφέρομαι.

Καὶ οὐκ εἶπεν, ὅτι εἰ μὴ θέλετε ἐμοὶ πεισθῆναι, ἐκείνοις πείσθητε, ἀλλὰ καὶ ἑαυτὸν ἀξιόπιστον ποιεῖ, καὶ καθ᾿ ἑαυτὸν ἀρκεῖν φησι, καὶ ἐκείνους καθ᾿ ἑαυτούς. Οὐδὲν γὰρ ἡ τῶν προσώπων ἐποίει διαφορά, τῶν ἀξιωμάτων ἴσων ὄντων. Καὶ ἐν τῇ πρὸς Γαλάτας δὲ τοῦτο ποιεῖ, προσλαμβάνων αὐτούς, οὐχ ὡς δεόμενος, ἀλλ᾿ ἀρκεῖν μὲν λέγων καὶ ἑαυτόν· «Ἐμοὶ» γάρ, φησιν, «οἱ δοκοῦντες οὐδὲν προσανέθεντο»· πλὴν ἀλλὰ καὶ οὕτω διώκω αὐτῶν τὴν ὁμόνοιαν· «Δεξιὰς γὰρ ἔ-

---

1. Γαλ. 2, 6.

ΛΟΓΟΣ ΛΘ΄
Α΄ Κορ. 15, 11 - 28

«Εἴτε λοιπὸν ἐγὼ εἴτε ἐκεῖνοι, αὐτὰ εἶναι ποὺ κηρύττομεν καὶ αὐτὰ εἶναι ποὺ ἐπιστεύσατε».

1. Ἀφοῦ ἐξύψωσε τοὺς ἀποστόλους καὶ ἐταπείνωσε τὸν ἑαυτόν του, ὕστερον πάλιν ὑψώθη περισσότερον ἀπὸ ἐκείνους διὰ νὰ ἐπιφέρῃ ἰσότητα, διότι ἰσότητα ἐπέφερε μὲ τὸ νὰ δείξῃ τὸν ἑαυτόν του καὶ νὰ πλεονεκτῇ καὶ νὰ μειονεκτῇ, καὶ ἀφοῦ ἔκανε τὸν ἑαυτόν του ἀξιόπιστον μὲ τὴν ἰσότητα, δὲν ἀφήνει τοὺς ἀποστόλους ἔτσι, ἀλλὰ συντάσσει τὸν ἑαυτόν του πάλιν μὲ ἐκείνους, δεικνύων τὴν ὁμόνοιαν κατὰ Χριστόν. Δὲν κάμνει ὅμως αὐτὸ μὲ τρόπον ποὺ νὰ θεωρηθῇ ὅτι τοὺς ἀπορρίπτει, ἀλλ' ὅτι καὶ αὐτὸς εὑρίσκεται εἰς τὴν ἰδίαν τάξιν· καθ' ὅσον ἔτσι συνέφερεν εἰς τὸ κήρυγμα. Δι' αὐτὸ καὶ διὰ τὰ δύο προσεπάθησεν ἐξ ἴσου, καὶ τὸ νὰ μὴ νομισθῇ ὅτι τοὺς ὑποτιμᾷ, καὶ νὰ μὴ περιφρονῆται ὁ ἴδιος ἀπὸ τοὺς πιστοὺς ἐπειδὴ ἀποδίδεται τιμὴ εἰς ἐκείνους. Δι' αὐτὸ καὶ τώρα ἐπιφέρει πάλιν ἐξίσωσιν μὲ τοὺς λόγους· «Εἴτε λοιπὸν ἐγώ, εἴτε ἐκεῖνοι, ἔτσι κηρύττομεν». Ἀπὸ ὅποιον θέλετε νὰ διδαχθῆτε, λέγει, διδαχθῆτε· δὲν μὲ ἐνδιαφέρει.

Καὶ δὲν εἶπεν ὅτι ἐὰν δὲν θέλετε νὰ πεισθῆτε εἰς ἐμέ, πεισθῆτε εἰς ἐκείνους, ἀλλὰ καὶ τὸν ἑαυτόν του δεικνύει ἀξιόπιστον καὶ λέγει ὅτι ἀρκεῖ καὶ αὐτὸς μόνος καὶ ἐκεῖνοι ἐπίσης ἀνεξάρτητα ἀπὸ αὐτόν. Διότι καμμία διαφορὰ δὲν ὑπάρχει εἰς τὰ πρόσωπα, ἀφοῦ εἶναι ἴσοι εἰς τὸ ἀξίωμα. Καὶ εἰς τοὺς Γαλάτας δὲ κάμνει τὸ ἴδιον ὅταν ἐπικαλῆται τοὺς ἄλλους ἀποστόλους, ὄχι διότι ἔχει ἀνάγκην ἀπὸ αὐτούς, ἀλλ' ἀφοῦ λέγει ὅτι εἶναι ἀρκετὸν νὰ κηρύξῃ ὁ ἴδιος τὸ εὐαγγέλιον· διότι «εἰς ἐμὲ αὐτοὶ ποὺ ἔχουν φήμην τίποτε δὲν προσέθεσαν»[1], λέγει· ἀλλ' ἐπιδιώκω, παρὰ τὴν φαινομενικὴν διαφορὰν εἰς τὸ κήρυγμα, νὰ κηρύττω ὅ,τι ἀκριβῶς καὶ ἐκεῖνοι· «καὶ ἔδωκαν εἰς ἐμὲ τὴν δεξιάν των

δωκάν μοι», φησίν. Εἰ γὰρ ἔμελλεν ἀεὶ τὸ ἀξιόπιστον Παύλου ἐν ἑτέροις εἶναι, καὶ τῇ παρ' ἑτέρων μαρτυρίᾳ βεβαιοῦσθαι, μυρία ἂν ἐβλάβησαν ἐντεῦθεν οἱ μαθηταί. Οὐ τοίνυν ἑαυτὸν ἐπαίρων τοῦτο ποιεῖ, ἀλλ' ὑπὲρ τοῦ εὐαγγελίου δεδοικώς. Διὸ καὶ ἐνταῦθά φησιν, ἐξισάζων ἑαυτόν· «Εἴτε ἐγώ, εἴτε ἐκεῖνοι, οὕτω κηρύσσομεν». Καλῶς εἶπε, «κηρύσσομεν», τὴν πολλὴν παρρησίαν ἐνδεικνύμενος. Οὐ γὰρ λάθρα οὐδὲ ἐν παραβύστῳ, ἀλλὰ σάλπιγγος λαμπροτέραν ἀφίεμεν φωνήν. Καὶ οὐκ εἶπεν, ἐκηρύξαμεν, ἀλλὰ καὶ νῦν οὕτω κηρύττομεν. «Καὶ οὕτως ἐπιστεύσατε». Ἐνταῦθα οὐκ εἶπε, πιστεύετε, ἀλλ', «ἐπιστεύσατε». Ἐπειδὴ ἐσαλεύοντο, διὰ τοῦτο ἐπὶ τοὺς ἄνω χρόνους ἀνέδραμε, καὶ τὴν παρ' αὐτῶν ἐκείνων λοιπὸν μαρτυρίαν προστίθησιν.

2. «Εἰ δὲ Χριστὸς κηρύσσεται, ὅτι ἐκ νεκρῶν ἐγήγερται, πῶς λέγουσιν ἐν ὑμῖν τινες, ὅτι ἀνάστασις νεκρῶν οὐκ ἔστιν;». Ὁρᾷς πῶς ἄριστα συλλογίζεται, καὶ ἀποδείκνυσι τὴν ἀνάστασιν ἐκ τοῦ τὸν Χριστὸν ἐγηγέρθαι, πρότερον ἐκεῖνο πολλαχόθεν κατασκευάσας; Καὶ γὰρ καὶ οἱ προφῆται εἶπον τοῦτο, φησί, καὶ αὐτὸς ἔδειξε διὰ τῆς ὄψεως, καὶ ἡμεῖς κηρύσσομεν, καὶ ὑμεῖς ἐπιστεύσατε, τετραπλῆν τὴν μαρτυρίαν πλέκων, τὴν διὰ τῶν προφητῶν, τὴν διὰ τῆς τῶν πραγμάτων ἐκβάσεως, τὴν διὰ τῶν ἀποστόλων, τὴν διὰ τῶν μαθητῶν· μᾶλλον δὲ καὶ πενταπλῆν. Καὶ γὰρ καὶ αὐτὴ ἡ αἰτία δείκνυσι τὴν ἀνάστασιν, τὸ ὑπὲρ ἀλλοτρίων ἁμαρτιῶν ἀποθανεῖν.

Εἰ τοίνυν τοῦτο ἀποδέδεικται, εὔδηλον ὅτι καὶ τὸ ἕτερον ἕπεται, τὸ καὶ τοὺς λοιποὺς ἐγείρεσθαι νεκρούς. Διὸ καὶ ὡς ἐπὶ ὡμολογημένου ἐγκαλεῖ καὶ ἐπαπορεῖ, λέγων· «Εἰ δὲ Χριστὸς ἐγήγερται, πῶς λέγουσί τινες ἐν ὑμῖν, ὅτι ἀνάστασις νεκρῶν οὐκ ἔστι;» καὶ ταύτῃ πάλιν ὑποτεμνόμενος

2. Γαλ. 2, 9.

χεῖρα»[2], λέγει. Διότι ἐὰν ἐστηρίζετο εἰς ἄλλους ἡ ἀξιοπιστία τοῦ Παύλου καὶ ἔπρεπε νὰ ἐπιβεβαιώνῃ τὴν διδασκαλίαν του μὲ τὴν μαρτυρίαν ἄλλων, πολὺ μεγάλην βλάβην θὰ ὑφίσταντο ἀπὸ αὐτὸ οἱ μαθηταί. Δὲν κάμνει λοιπὸν αὐτὸ ἀπὸ ἔπαρσιν, ἀλλ' ἀπὸ φόβον διὰ τὴν ὀρθότητα εἰς τὴν κήρυξιν τοῦ εὐαγγελίου. Δι' αὐτὸ καὶ ἐδῶ λέγει καθὼς ἐξισώνει τὸν ἑαυτόν του μὲ τοὺς ἄλλους ἀποστόλους· «Εἴτε ἐγώ, εἴτε ἐκεῖνοι, τὰ ἴδια κηρύσσομεν». Καλῶς εἶπε «κηρύσσομεν» καὶ ἔδειξεν ἔτσι πολλὴν οἰκειότητα καὶ πεποίθησιν. Διότι δὲν ὁμιλῶ κρυφὰ καὶ μυστικά, ἀλλὰ περισσότερον καὶ ἀπὸ τὴν σάλπιγγα φωνάζω. Καὶ δὲν εἶπεν, ἐκηρύξαμεν, ἀλλὰ καὶ τώρα τὰ ἴδια κηρύττομεν. «Καὶ ἔτσι ἐπιστεύσατε». Ἐδῶ δὲν εἶπε, «πιστεύετε», ἀλλ' «ἐπιστεύσατε». Ἐπειδὴ ἐκλονίζοντο, δι' αὐτὸ ἀνέτρεξεν εἰς τὸ παρελθὸν προσθέτων πλέον καὶ τὴν ἰδικήν των μαρτυρίαν.

2. «Ἐὰν λοιπὸν ὁ Χριστὸς κηρύσσεται ὅτι ἀνεστήθη ἐκ νεκρῶν, πῶς λέγουν μερικοὶ μεταξύ σας ὅτι δὲν ὑπάρχει ἀνάστασις νεκρῶν;». Βλέπεις πῶς θεμελιώνει τὸν συλλογισμὸν μὲ ἄριστον τρόπον καὶ ἀποδεικνύει τὴν ἀνάστασιν ἀπὸ τὸ ὅτι ἀνεστήθη ὁ Χριστός, ἀφοῦ ἀπέδειξεν ἐκεῖνο προηγουμένως μὲ πολλοὺς τρόπους; Διότι, λέγει, καὶ οἱ προφῆται εἶπον αὐτὸ καὶ ὁ Χριστὸς τὸ ἀπέδειξε μὲ τὸ νὰ ἐμφανισθῇ, καὶ ἐμεῖς τὸ κηρύσσομεν, καὶ σεῖς ἐπιστεύσατε, καὶ πλέκει τετραπλῆν τὴν μαρτυρίαν, μὲ τὴν προφητείαν τῶν προφητῶν, μὲ τὴν ἀπὸ τὴν ἔκβασιν τῶν πραγμάτων, μὲ τὴν τῶν ἀποστόλων, μὲ τὴν τῶν μαθητῶν μαρτυρίαν· μᾶλλον δὲ καὶ πενταπλῆν. Διότι καὶ αὐτὴ ἡ αἰτία τοῦ θανάτου τοῦ Κυρίου ἀποδεικνύει τὴν ἀνάστασιν, τὸ ὅτι ἀπέθανε διὰ τὰς ἁμαρτίας ἄλλων καὶ ὄχι ἰδικάς του.

Ἀφοῦ λοιπὸν ἀπεδείχθη αὐτό, εἶναι φανερὸν ὅτι ἀκολουθεῖ καὶ τὸ ἄλλο, ὅτι ἀνίστανται καὶ οἱ ὑπόλοιποι νεκροί. Δι' αὐτὸ καὶ ὡσὰν νὰ πρόκειται δι' ἀλήθειαν, ποὺ ἤδη ἔχει ὁμολογηθῆ, κατηγορεῖ καὶ ἀπορεῖ μὲ τοὺς λόγους· «Ἀφοῦ λοιπὸν ὁ Χριστὸς κηρύττεται ὅτι ἀνεστήθη ἐκ νεκρῶν, πῶς λέγουν μερικοὶ μεταξύ σας ὅτι δὲν ὑπάρχει ἀνάστασις νεκρῶν;»· καὶ μὲ αὐτὸ πάλιν ἀποκρούει τὴν

τὴν θρασύτητα τῶν ἀντιλεγόντων. Οὐ γὰρ εἶπε, πῶς λέγετε ὑμεῖς, ἀλλά, «πῶς τινες λέγουσιν ἐν ὑμῖν»· καὶ οὔτε πάντων ποιεῖται τὴν κατηγορίαν, οὔτε αὐτοὺς τούτους, οὓς αἰτιᾶται, δήλους καθίστησιν, ὥστε μὴ ποιῆσαι ἀναισχυντοτέρους, οὐδ' αὖ πάλιν ἀποκρύπτεται καθόλου, ὥστε αὐτοὺς διορθῶσαι. Διὰ δὴ τοῦτο καὶ ἀποσχίσας αὐτοὺς τοῦ πλήθους, πρὸς αὐτοὺς ἀποδύεται, ταύτῃ τε ἀσθενεστέρους ποιῶν καὶ καταπλήττων, καὶ τοὺς ἄλλους ἐν τοῖς πρὸς τούτους ἀγῶσι κατέχων τε ἐπὶ τῆς ἀληθείας ἀσφαλέστερον, καὶ οὐκ ἀφεὶς αὐτομολῆσαι πρὸς τοὺς διαφθείρειν αὐτοὺς ἐσπουδακότας. Καὶ γὰρ καταφορικῶς παρεσκεύασται χρήσασθαι τῷ λόγῳ.

Εἶτα ἵνα μὴ λέγωσιν, ὅτι τοῦτο μὲν σαφὲς καὶ δῆλον ἅπασι, τὸ τὸν Χριστὸν ἐγηγέρθαι, καὶ οὐδεὶς ἀμφιβάλλει· οὐ μὴν τοῦτο καὶ τὸ ἕτερον συναναγκάζει, τὴν τῶν ἀνθρώπων ἀνάστασιν· τὸ μὲν γὰρ καὶ προανεφωνήθη καὶ ἐξέβη καὶ ἐμαρτυρήθη διὰ τῆς ὄψεως, τὸ τῆς τοῦ Χριστοῦ ἀναστάσεως· τὸ δὲ ἔτι ἐν ἐλπίσιν ἐστί, τὸ ἡμέτερον· ὅρα τί ποιεῖ· ἐκ θατέρου μέρους πάλιν αὐτὸ κατασκευάζει, ὅπερ πολλῆς δυνάμεως ἦν. Τί γὰρ λέγουσί τινες, φησί, ὅτι οὐκ ἔστι νεκρῶν ἀνάστασις; Οὐκοῦν καὶ ἐκεῖνο πάλιν ἐκ τούτου ἀνῄρηται, τὸ τὸν Χριστὸν ἐγηγέρθαι. Διὸ καὶ ἐπάγει λέγων· «Εἰ δὲ ἀνάστασις νεκρῶν οὐκ ἔστιν, οὐδὲ Χριστὸς ἐγήγερται». Εἶδες τὴν βίαν καὶ τὴν φιλονεικείαν Παύλου τὴν ἄμαχον, πῶς οὐκ ἐκ τοῦ δήλου μόνον τὸ ἀμφιβαλλόμενον, ἀλλὰ καὶ ἐκ τοῦ ἀμφιβαλλομένου τοῖς ἀντιλέγουσι τέως ἐκεῖνο τὸ δῆλον πειρᾶται ἀποδεικνύναι; οὐκ ἐπειδὴ ἐδεῖτο ἀποδείξεως τὸ ἤδη γεγενημένον, ἀλλ' ἵνα δείξῃ τοῦτο ὁμοίως ἐκείνῳ πιστὸν ὄν.

Καὶ ποία αὕτη ἀκολουθία, φησί; Τὸ μὲν γὰρ τοῦ Χριστοῦ μὴ ἐγερθέντος, μηδὲ ἄλλους ἐγείρεσθαι, ἀκόλουθον· τὸ

θρασύτητα αὐτῶν ποὺ ἀντιλέγουν. Διότι δὲν εἶπε, πῶς λέγετε ἐσεῖς, ἀλλά, «πῶς μερικοὶ λέγουν μεταξύ σας»· καὶ οὔτε εἰς ὅλους ἀπευθύνει τὴν κατηγορίαν, οὔτε αὐτοὺς τοὺς ὁποίους κατηγορεῖ φανερώνει, διὰ νὰ μὴ γίνουν περισσότερον ἀναίσχυντοι, οὔτε πάλιν τοὺς ἀποκρύπτει τελείως, διὰ νὰ τοὺς διορθώσῃ. Δι' αὐτὸ λοιπόν, ἀφοῦ τοὺς ἐξεχώρισεν αὐτοὺς ἀπὸ τὸ πλῆθος, ἀντιμετωπίζει πλέον αὐτούς, καὶ μὲ αὐτὸ καὶ τοὺς ἀποδυναμώνει καὶ τοὺς φέρει ἰσχυρὸν πλήγμα, καὶ κρατεῖ τοὺς ἄλλους στερεώτερα εἰς τὴν ἀλήθειαν μὲ τοὺς ἀγῶνας πρὸς ἐκείνους ποὺ ἀντιλέγουν καὶ δὲν ἀφήνει νὰ λιποτακτήσουν πρὸς ἐκείνους ποὺ προσπαθοῦν νὰ τοὺς διαφθείρουν. Διότι προητοιμάσθη νὰ ὁμιλήσῃ μὲ πολὺ ἔντονον τρόπον.

Εἰς τὴν συνέχειαν, διὰ νὰ μὴ λέγουν ὅτι αὐτὸ μὲν εἶναι σαφὲς καὶ φανερὸν εἰς ὅλους, τὸ ὅτι ὁ Χριστὸς ἀνεστήθη, καὶ κανεὶς δὲν ἀμφιβάλλει δι' αὐτό, ἀλλ' αὐτὸ δὲν κάμνει ἀναγκαῖον καὶ τὸ ἄλλο, δηλαδὴ τὴν ἀνάστασιν τῶν ἀνθρώπων, διότι ἡ μὲν ἀνάστασις τοῦ Χριστοῦ προεφητεύφθη καὶ ἔγινε καὶ ἐμαρτυρήθη διὰ τῆς ἐμφανίσεώς του, τὸ ἄλλο ὅμως, ἡ ἰδική μας ἀνάστασις, εἶναι ἀκόμη ἐλπὶς καὶ ὄχι γεγονός, πρόσεχε τί κάμνει· ἀπὸ ἄλλην πλευρὰν ἀποδεικνύει πάλιν αὐτό, πρᾶγμα ποὺ ἦτο ἔργον μεγάλης δυνάμεως. **Τί λοιπὸν λέγουν μερικοί, λέγει, ὅτι δὲν ὑπάρχει ἀνάστασις νεκρῶν;** Λοιπὸν καὶ ἐκεῖνο πάλιν ἀναιρεῖται ἀπὸ αὐτό, ἀπὸ τὴν ἀνάστασιν τοῦ Χριστοῦ. Δι' αὐτὸ καὶ προσθέτει τοὺς λόγους· «Ἐὰν δὲν ὑπάρχῃ ἀνάστασις νεκρῶν, τότε οὔτε ὁ Χριστὸς ἀνεστήθη». Εἶδες τὴν δύναμιν καὶ τὸν εἰρηνικὸν ἀγῶνα τοῦ Παύλου πῶς, ὄχι μόνον ἀπὸ τὸ φανερὸν ἀποδεικνύει τὸ ἀμφισβητούμενον, ἀλλὰ καὶ ἀπὸ τὸ ἴδιον τὸ ἀμφισβητούμενον ἐπιχειρεῖ ν' ἀποδείξῃ εἰς τοὺς ἀντιλέγοντας ἐκεῖνο ποὺ εἶναι καταφανές; ὄχι διότι ἐχρειάζετο ἀπόδειξιν αὐτὸ ποὺ ἤδη εἶχε γίνει, ἀλλὰ διὰ νὰ δείξῃ ὅτι αὐτὸ εἶναι ἐξ ἴσου ἀξιόπιστον μὲ ἐκεῖνο.

Καὶ ποία συνέπεια ὑπάρχει εἰς αὐτά; Θὰ εἰπῇ κάποιος. Διότι ἐὰν ὁ Χριστὸς δὲν ἀνεστήθη, τὸ νὰ μὴ ἀνίστανται ἄλλοι εἶναι ἑπόμενον· ἀλλὰ τὸ νὰ μὴ ἀνεστήθη ὁ Χριστὸς

δέ, εἰ ἄλλοι μὴ ἐγερθεῖεν, μηδὲ τοῦτον ἐγηγέρθαι, πῶς ἂν ἔχοι λόγον τινά; Ἐπεὶ οὖν τοῦτο οὐ σφόδρα ἐδόκει λόγον ἔχειν, ὅρα πῶς αὐτὸ ἐργάζεται σοφῶς, ἄνωθεν τὰ σπέρματα προκαταβάλλων ἐπ' αὐτῆς τοῦ κηρύγματος τῆς ὑποθέσεως, οἷον ὅτι ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν ἀποθανὼν ἐγήγερται, καὶ ὅτι ἀπαρχὴ τῶν κεκοιμημένων ἐστίν. Ἡ γὰρ ἀπαρχὴ τίνος ἂν εἴη ἀπαρχή, εἰ μὴ τῶν ἐγειρομένων; πῶς δ' ἂν εἴη ἀπαρχή, οὐκ ἐγειρομένων ἐκείνων ὧν ἐστιν ἀπαρχή; πῶς οὖν οὐκ ἐγείρονται; Εἰ δὲ οὐκ ἐγείρονται, διὰ τί ἠγέρθη ὁ Χριστός; διὰ τί ἦλθε; διὰ τί σάρκα ἀνέλαβεν, εἰ μὴ ἔμελλεν ἀναστήσειν σάρκα; οὐ γὰρ ἐδεῖτο αὐτός, ἀλλὰ δι' ἡμᾶς. Ἀλλὰ ταῦτα μὲν ὕστερον τίθησιν προϊών, τέως δέ φησιν· «Εἰ νεκροὶ οὐκ ἐγείρονται, οὐδὲ Χριστὸς ἐγήγερται»· ὡς ἐκείνου τούτῳ συνημμένου. Εἰ γὰρ μὴ ἔμελλεν ἀνίστασθαι, οὐδ' ἂν ἐκεῖνο ἐποίησεν. Εἶδες κατὰ μικρὸν ὅλην τὴν οἰκονομίαν ἀνατρεπομένην ἐκ τῶν ἐκείνων ῥημάτων καὶ τῆς περὶ τὴν ἀνάστασιν ἀπιστίας; Ἀλλὰ τέως οὐδὲν περὶ τῆς σαρκώσεως λέγει, ἀλλὰ περὶ τῆς ἀναστάσεως. Οὐ γὰρ τῷ σαρκωθῆναι, ἀλλὰ τῷ ἀποθανεῖν τὸν θάνατον ἔλυσεν· ἐπεὶ σάρκα ἔχοντος, ἔτι ἐκράτει ἡ τυραννὶς ἡ ἐκείνου.

3. «Εἰ δὲ Χριστὸς οὐκ ἐγήγερται, κενὸν ἄρα τὸ κήρυγμα ἡμῶν». Καίτοιγε ἀκόλουθον ἦν εἰπεῖν, εἰ δὲ Χριστὸς οὐκ ἐγήγερται, τοῖς φανεροῖς μάχεσθε, καὶ προφήταις τοσούτοις, καὶ πραγμάτων ἀληθείᾳ· ἀλλὰ τὸ πολλῷ φοβερώτερον αὐτοῖς τίθησι· «Κενὸν ἄρα τὸ κήρυγμα ἡμῶν, κενὴ δὲ καὶ ἡ πίστις ὑμῶν». Κατασεῖσαι γὰρ αὐτῶν τὴν διάνοιαν βούλεται. Τὸ πᾶν ἀπωλέσαμεν, φησίν, ἅπαντα οἴχεται, εἰ μὴ ἠγέρθη. Εἶδες ὅσον τῆς οἰκονομίας τὸ μυστήριον; Εἰ γὰρ ἀποθανὼν οὐκ ἴσχυσεν ἀναστῆναι, οὔτε ἡ ἁμαρτία λέλυται, οὔτε ὁ θάνα-

ἐπειδὴ δὲν ἀνεστήθησαν ἄλλοι πῶς ἠμπορεῖ νὰ σταθῇ λογικῶς; Ἐπειδὴ ὅμως αὐτὸ δὲν ἐφαίνετο πολὺ πειστικόν, κοίταξε πῶς τὸ χειρίζεται σαφῶς μὲ τὸ νὰ ρίπτῃ ἐκ τῶν προτέρων τὰ σπέρματα ἄνωθεν ἀπὸ αὐτὴν τὴν διδασκαλίαν τοῦ κηρύγματος, ὅπως ὅτι, ἀφοῦ ἀπέθανε διὰ τὰς ἁμαρτίας μας ἀνεστήθη καὶ ὅτι εἶναι ἡ πρώτη συγκομιδὴ αὐτῶν ποὺ ἔχουν κοιμηθῆ. Διότι ἡ πρώτη συγκομιδή, ποίων συγκομιδὴ θὰ ἦτο, ἐὰν ὄχι ἐκείνων ποὺ ἀνίστανται; πῶς ὅμως θὰ ἦτο πρώτη συγκομιδή, ἐὰν δὲν ἀνίστανται ἐκεῖνοι τῶν ὁποίων εἶναι πρώτη συγκομιδή; Πῶς λοιπὸν δὲν ἀνίστανται; Ἐὰν δὲ δὲν ἀνίστανται, διατί ἀνεστήθη ὁ Χριστός; διατί ἦλθε; διατί προσέλαβε σάρκα ἐὰν δὲν ἐπρόκειτο ν' ἀναστήσῃ σάρκα; διότι δὲν εἶχεν ἀνάγκην ἐκεῖνος, ἀλλὰ δι' ἐμᾶς ἐνηνθρώπησε καὶ ἀνεστήθη. Αὐτὰ ὅμως τὰ λέγει μετά, καθὼς προχωρεῖ, ἐν τῷ μεταξὺ δὲ λέγει· «Ἐὰν δὲν ὑπάρχῃ ἀνάστασις νεκρῶν, τότε οὔτε ὁ Χριστὸς ἀνεστήθη», ὡσὰν νὰ εἶναι ἐκεῖνο συνδεδεμένον μὲ αὐτό. Διότι ἐὰν δὲν ἐπρόκειτο ν' ἀναστηθῇ, οὔτε ἐκεῖνο θὰ ἔκαμνε. Εἶδες πῶς ὀλίγον κατ' ὀλίγον ὁλόκληρον τὸ σωτηριῶδες σχέδιον τοῦ Θεοῦ ἀνατρέπεται ἀπὸ τοὺς λόγους ἐκείνων καὶ τὴν ἀπιστίαν εἰς τὴν ἀνάστασιν; Ἀλλ' ἐδῶ ἀκόμη τίποτε δὲν λέγει διὰ τὴν σάρκωσιν, ἀλλὰ διὰ τὴν ἀνάστασιν. Διότι ὄχι μὲ τὴν ἐνσάρκωσιν, ἀλλὰ μὲ τὸν θάνατον κατήργησε τὸν θάνατον· διότι ὅσον ἔφερε σάρκα, ἀκόμη ἐπεκράτει ἡ τυραννία τοῦ διαβόλου.

3. «Ἐὰν δὲ ὁ Χριστὸς δὲν ἀνεστήθη, τότε εἶναι χωρὶς νόημα τὸ κήρυγμά μας». Ἂν καὶ τὸ φυσικὸν θὰ ἦτο νὰ εἰπῇ, ἐὰν δὲ δὲν ἀνεστήθη ὁ Χριστός, τότε πολεμεῖτε τὰ φανερὰ καὶ τόσους προφήτας καὶ τὴν ἀλήθειαν τῶν πραγμάτων· ἀλλὰ λέγει αὐτὸ ποὺ εἶναι πολὺ φοβερώτερον· «τότε εἶναι χωρὶς νόημα τὸ κήρυγμά μας, εἶναι καὶ ἡ πίστις σας χωρὶς νόημα». Διότι θέλει νὰ συγκλονίσῃ τὴν ψυχήν μας. Ἐχάσαμεν τὰ πάντα, λέγει, τὰ πάντα ἐχάθησαν, ἐὰν δὲν ἀνεστήθη. Εἶδες πόσον μέγα εἶναι τὸ μυστήριον τῆς σωτηριώδους οἰκονομίας; Διότι ἐάν, ἀφοῦ ἀπέθανε, δὲν ἠμπόρεσε ν' ἀναστηθῇ, οὔτε ἡ ἁμαρτία κατελύθη, οὔτε ὁ θάνα-

τος καθήρηται, οὔτε ἡ κατάρα ἀνήρηται. Καὶ οὐχ ἡμεῖς δὲ μόνον κενὰ ἐκηρύξαμεν, ἀλλὰ καὶ ὑμεῖς κενὰ ἐπιστεύσατε. Καὶ οὐ ταύτῃ μόνον δείκνυσι τὴν ἀτοπίαν τούτων τῶν πονηρῶν δογμάτων, ἀλλὰ καὶ ἐπαγωνίζεται λέγων· «Εὑρισκόμεθα δὲ καὶ ψευδομάρτυρες τοῦ Θεοῦ, ὅτι ἐμαρτυρήσαμεν κατ' αὐτοῦ, ὅτι ἤγειρε τὸν Χριστόν, ὃν οὐκ ἤγειρεν, εἴπερ ἄρα νεκροὶ οὐκ ἐγείρονται». Εἰ δὲ ἄτοπον τοῦτο, κατηγορία Θεοῦ καὶ συκοφαντία, καὶ οὐκ ἤγειρεν, ὥς φατε, οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ἕτερα ἕψεται ἄτοπα. Καὶ πάλιν αὐτὰ κατασκευάζει, καὶ ἀναλαμβάνει λέγων· «Εἰ γὰρ νεκροὶ οὐκ ἐγείρονται, οὐδὲ Χριστὸς ἐγήγερται». Εἰ γὰρ μὴ ἔμελλε τοῦτο ποιεῖν, οὐδ' ἂν παρεγένετο. 'Αλλ' οὐ λέγει τοῦτο, ἀλλὰ τὸ τέλος, τὴν ἀνάστασιν αὐτοῦ, δι' αὐτῆς πάντα ἕλκων. «Εἰ δὲ Χριστὸς οὐκ ἐγήγερται, ματαία ἡ πίστις ὑμῶν». Τῷ σαφεῖ καὶ ὡμολογημένῳ τὴν ἀνάστασιν τοῦ Χριστοῦ συνεχῶς περιτίθησιν, ἀπὸ τοῦ ἰσχυροτέρου καὶ τὸ ἀσθενὲς εἶναι δοκοῦν καὶ ἀμφίβολον ἰσχυρὸν ποιῶν καὶ σαφές.

«Ἔτι ἐστὲ ἐν ταῖς ἁμαρτίαις ὑμῶν». Εἰ γὰρ οὐκ ἠγέρθη, οὐδὲ ἀπέθανεν· εἰ δὲ οὐκ ἀπέθανεν, οὐδὲ τὴν ἁμαρτίαν ἔλυσεν· ὁ γὰρ θάνατος αὐτοῦ, τῆς ἁμαρτίας λύσις. «Ἴδε» γάρ, φησίν, «ὁ ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου». Πῶς δὲ αἴρων; Τῷ θανάτῳ. Διὸ καὶ ἀμνὸν ἐκάλεσεν, ὡς σφαττόμενον. Εἰ δὲ οὐκ ἀνέστη, οὐδὲ ἐσφάγη· εἰ δὲ οὐκ ἐσφάγη, οὐδὲ ἡ ἁμαρτία ἐλύθη· εἰ δὲ οὐκ ἐλύθη, ἐν αὐτῇ ἐστε, εἰκῇ ἐκηρύξαμεν· εἰ δὲ εἰκῇ ἐκηρύξαμεν, εἰκῇ ἐπιστεύσατε, ὅτι ἀπηλλάγητε. Ἄλλως δὲ καὶ ὁ θάνατος ἀθάνατος μένει, εἰ μὴ ἀνέστη. Εἰ γὰρ καὶ αὐτὸς κατεσχέθη ὑπὸ τοῦ θανάτου, καὶ οὐκ ἔλυσεν αὐτοῦ τὰς ὠδῖνας, πῶς πάντας τοὺς ἄλλους ἀπήλλαξεν ἔτι αὐτὸς κατεχό-

τος κατηργήθη, οὔτε ἡ κατάρα ἔχει ἀρθῆ. Καὶ ὄχι μόνον ἐμεῖς ἐκηρύξαμεν χωρὶς νόημα, ἀλλὰ καὶ σεῖς ἐπιστεύσατε πράγματα χωρὶς νόημα. Καὶ ὄχι μόνον μὲ αὐτὰ δεικνύει ὅτι εἶναι ἄτοπα αὐταὶ αἱ πονηραὶ διδασκαλίαι, ἀλλ' ἐπὶ πλέον αὐτῶν ἀγωνίζεται καὶ δι' ἄλλα, λέγων· «Γινόμεθα δὲ καὶ ψευδομάρτυρες τοῦ Θεοῦ, διότι ἐμαρτυρήσαμεν διὰ τόν Θεὸν ὅτι ἀνέστησε τὸν Χριστόν, ἐνῷ δὲν τὸν ἀνέστησεν, ἐὰν πράγματι οἱ νεκροὶ δὲν ἀνίστανται». Ἐὰν δὲ εἶναι ἄτοπον αὐτό, ὅτι κατηγοροῦμεν καὶ συκοφαντοῦμεν τὸν Θεόν, καὶ δὲν τὸν ἀνέστησεν, ὅπως λέγετε, ὄχι μόνον αὐτό, ἀλλὰ καὶ ἄλλα ἄτοπα θ' ἀκολουθήσουν. Καὶ πάλιν θεμελιώνει καὶ ἐνισχύει αὐτὰ μὲ τοὺς λόγους· «Διότι, ἐὰν οἱ νεκροὶ δὲν ἀνίστανται, τότε οὔτε ὁ Χριστὸς ἔχει ἀναστηθῆ». Διότι ἐὰν δὲν ἐπρόκειτο νὰ τὸ κάνῃ αὐτό, οὔτε θὰ ἤρχετο. Δὲν λέγει ὅμως αὐτό, ἀλλὰ τὸ τέλος, τὴν ἀνάστασίν του, καὶ ἑλκύει ὅλα τὰ ἄλλα μὲ αὐτήν. «Ἐὰν δὲ ὁ Χριστὸς δὲν ἔχῃ ἀναστηθῆ, δὲν ἔχει καμμίαν ἀξίαν ἡ πίστις σας». Προσάπτει συνεχῶς εἰς τὸ σαφὲς καὶ ὡμολογημένον τὴν ἀνάστασιν τοῦ Χριστοῦ, διὰ νὰ κάνῃ πιστευτὸν καὶ σαφὲς αὐτὸ ποὺ φαίνεται ἀσθενὲς καὶ ἀμφίβολον.

«Εὑρίσκεσθε ἀκόμη μέσα εἰς τὰς ἁμαρτίας σας». Διότι, ἐὰν δὲν ἀνεστήθη, οὔτε ἀπέθανεν· ἐὰν ὅμως δὲν ἀπέθανεν, οὔτε τὴν ἁμαρτίαν κατέλυσε· καθ' ὅσον ὁ θάνατός του εἶναι ἡ κατάλυσις τῆς ἁμαρτίας. Διότι λέγει· «Ἰδοὺ ὁ ἀμνὸς τοῦ Θεοῦ ποὺ σηκώνει τὴν ἁμαρτίαν τοῦ κόσμου». Πῶς ὅμως τὴν σηκώνει; Μὲ τὸν θάνατον. Δι' αὐτὸ καὶ τὸν ὠνόμασεν ἀμνόν, διότι ἐπρόκειτο νὰ σφαγῇ. Ἐὰν δὲ δὲν ἀνεστήθη, οὔτε ἐσφάγη· ἐὰν δὲ οὔτε ἐσφάγη, οὔτε ἡ ἁμαρτία κατελύθη· ἐὰν ὅμως δὲν κατελύθη, εὑρίσκεσθε ἀκόμη μέσα εἰς αὐτήν· ἐὰν δὲ εἶσθε εἰς αὐτήν, μάταια ἐκηρύξαμεν· ἐὰν δὲ εἰς μάτην ἐκηρύξαμεν, μάταια ἐπιστεύσατε ὅτι ἔχετε ἀπαλλαγῆ ἀπὸ τὴν ἁμαρτίαν. Ἄλλως τε δὲ καὶ ὁ θάνατος παραμένει ἀθάνατος ἐὰν δὲν ἀνεστήθη. Διότι, ἐὰν καὶ ὁ Χριστὸς ἐκυριεύθη ἀπὸ τὸν θάνατον καὶ δὲν κατέλυσε τοὺς φοβεροὺς πόνους ποὺ γεννᾷ, πῶς ἀπήλλαξε τοὺς ἄλλους ἐνῷ αὐτὸς ἀκόμη κατείχετο ἀπὸ

μενος; Διὸ καὶ ἐπάγει· «Ἄρα καὶ οἱ κοιμηθέντες ἐν Χριστῷ ἀπώλοντο». Καὶ τί λέγω περὶ ὑμῶν, φησίν, ὅπου γε καὶ ἐκεῖνοι πάντες ἀπολώλασιν, οἱ τὸ πᾶν διανύσαντες, καὶ οὐχ ὑποκείμενοι λοιπὸν τῇ ἀδηλίᾳ τοῦ μέλλοντος; Τὸ δέ, «ἐν Χριστῷ», ἢ τὸ ἐν τῇ πίστει, φησίν, ἢ οἱ δι' αὐτὸν ἀποθανόντες, οἱ πολλοὺς ὑπομείναντες κινδύνους, οἱ πολλὰς ταλαιπωρίας, οἱ διὰ τῆς στενῆς ὁδοῦ βαδίσαντες.

Ποῦ νῦν εἰσι τὰ πονηρὰ τῶν Μανιχαίων στόματα, τῶν λεγόντων ἀνάστασιν αὐτὸν ἐνταῦθα λέγειν τῆς ἁμαρτίας τὴν ἀπαλλαγήν; Οἱ γὰρ πυκνοὶ οὗτοι καὶ συνεχεῖς συλλογισμοὶ καὶ ἀντιστρέφοντες, οὐδὲν τούτων ἐμφαίνουσιν ὧν ἐκεῖνοι λέγουσιν, ἀλλ' ὅπερ ἡμεῖς φαμεν. Καὶ γὰρ ἀνάστασις τοῦ πεπτωκότος λέγεται. Διὰ τοῦτο καὶ συνεχῶς ἐπιλέγει οὐ τὸ ἐγηγέρθαι μόνον, ἀλλὰ καὶ τὸ ἐκ νεκρῶν προστιθείς. Καὶ Κορίνθιοι δὲ οὐ περὶ ἀφέσεως ἁμαρτημάτων ἀμφέβαλλον, ἀλλὰ περὶ σωμάτων ἀναστάσεως. Ποία δὲ ὅλως ἀνάγκη, εἰ μὴ ἀναμάρτητοι εἶεν οἱ ἄνθρωποι, τὸ μηδὲ τὸν Χριστὸν τοῦτο εἶναι; Εἰ γὰρ μὴ ἔμελλεν ἐγείρειν, ἀκόλουθον τὸ λέγειν, τίνος ἕνεκεν ἦλθε, καὶ σάρκα ἔλαβε, καὶ ἀνέστη; τὸ δὲ ὑμέτερον οὐκέτι. Καὶ γὰρ ἁμαρτανόντων ἀνθρώπων καὶ μὴ ἁμαρτανόντων, ἀεὶ συνέστηκε τῷ Θεῷ τὸ ἀναμάρτητον, καὶ οὐχ ἕπεται τὸ ἡμέτερον ἐκείνῳ, οὐδὲ ἀντιστρέφει τοῦτο πρὸς ἐκεῖνο, ὥσπερ ἐπὶ τῆς τῶν σωμάτων ἀναστάσεως.

4. «Εἰ ἐν τῇ ζωῇ ταύτῃ ἠλπικότες ἐσμὲν ἐν Χριστῷ μόνον, ἐλεεινότεροι πάντων ἀνθρώπων ἐσμέν». Τί λέγεις, ὦ Παῦλε; πῶς ἐν τῇ ζωῇ ταύτῃ μόνον ἠλπικότες ἐσμέν, εἰ σώματα οὐκ ἐγείγερται, τῆς ψυχῆς μενούσης καὶ ἀθανάτου οὔσης; Ὅτι κἂν μένῃ ἡ ψυχή, κἂν μυριάκις ἀθάνατος ᾖ, ὥσπερ οὖν καὶ ἔστι, τῆς σαρκὸς χωρὶς οὐκ ἀπολήψεται τὰ ἀπόρρητα ἀγαθὰ ἐκεῖνα, ὥσπερ οὖν οὐδὲ κολασθήσεται.

τὸν θάνατον; Δι᾽ αὐτὸ καὶ προσθέτει· «Ἄρα καὶ ἐκεῖνοι ποὺ ἀπέθανον μὲ πίστιν εἰς τὸν Χριστόν, ἔχουν χαθῇ». Καὶ τί λέγω δι᾽ ἐσᾶς, λέγει, ἀφοῦ ἀκόμη καὶ ἐκεῖνοι, ποὺ κατώρθωσαν τὰ πάντα καὶ δὲν ὑπετάγησαν πλέον εἰς τὴν ἀβεβαιότητα τοῦ μέλλοντος, ἐχάθησαν ὅλοι; Τὸ δὲ «ἐν Χριστῷ», ἢ σημαίνει μὲ πίστιν εἰς τὸν Χριστόν, ἢ ἐννοεῖ αὐτοὺς ποὺ ἀπέθανον διὰ τὸν Χριστόν, ποὺ ὑπέμειναν πολλοὺς κινδύνους καὶ ταλαιπωρίας, ποὺ ἐβάδισαν διὰ τῆς στενῆς ὁδοῦ.

Ποῦ εἶναι τώρα τὰ πονηρὰ στόματα τῶν Μανιχαίων, ποὺ λέγουν ὅτι αὐτὸς ἀνάστασιν ἐδῶ ὀνομάζει τὴν ἀπαλλαγὴν ἀπὸ τὴν ἁμαρτίαν; Διότι αὐτοὶ οἱ ἀλλεπάλληλοι καὶ πυκνοὶ συλλογισμοὶ ποὺ δεικνύουν τὸ ἀντίθετον, δὲν ἀποδεικνύουν τίποτε ἀπὸ ὅσα λέγουν ἐκεῖνοι, ἀλλ᾽ αὐτὸ ποὺ λέγομεν ἐμεῖς. Βέβαια καὶ ἡ ἀνόρθωσις αὐτοῦ ποὺ ἔχει πέσει λέγεται ἀνάστασις. Δι᾽ αὐτὸ καὶ συνεχῶς λέγει ἐπιπροσθέτως ὄχι μόνον ὅτι ἀνεστήθη, ἀλλὰ καὶ ἐκ νεκρῶν. Καὶ οἱ Κορίνθιοι δὲ ἀμφέβαλλον, ὄχι διὰ τὴν ἄφεσιν τῶν ἁμαρτιῶν, ἀλλὰ διὰ τὴν ἀνάστασιν τῶν σωμάτων. Διὰ ποῖον λόγον δέ, ἐπειδὴ οἱ ἄνθρωποι δὲν εἶναι ἀναμάρτητοι, θὰ ἔπρεπε νὰ μὴ εἶναι οὔτε ὁ Χριστός; Διότι, ἐὰν δὲν ἐπρόκειτο ν᾽ ἀναστήσῃ, εἶναι ἑπόμενον νὰ εἴπουμεν, διατί ἦλθε καὶ ἐσαρκώθη καὶ ἀνεστήθη; ὄχι ὅμως αὐτὸ ποὺ λέγετε ἐσεῖς. Διότι εἴτε ἁμαρτάνουν εἴτε δὲν ἁμαρτάνουν οἱ ἄνθρωποι, παραμένει αἰωνίως σταθερὸν τὸ ἀναμάρτητον εἰς τὸν Θεὸν καὶ δὲν ἀκολουθεῖ τὸ ἰδικόν μας ἐκεῖνο, οὔτε ἀντιστρέφει αὐτὸ ἐκεῖνο, ὅπως συμβαίνει εἰς τὴν ἀνάστασιν τῶν σωμάτων.

4. «Ἐὰν μόνον διὰ τὴν ζωὴν αὐτὴν ἔχωμεν ἐλπίσει εἰς τὸν Χριστόν, τότε εἴμεθα οἱ πλέον ἀξιολύπητοι ἀπὸ ὅλους τοὺς ἀνθρώπους». Τί λέγεις, Παῦλε; Πῶς ἠλπίσαμεν μόνον εἰς αὐτὴν τὴν ζωήν, ἐὰν τὰ σώματα δὲν ἀνίστανται, ἐνῷ ἡ ψυχὴ παραμένει καὶ εἶναι ἀθάνατος; Διότι καὶ ἐὰν μένῃ ἡ ψυχὴ καὶ ἐὰν εἶναι αἰωνίως ἀθάνατος, ὅπως βέβαια καὶ εἶναι, χωρὶς τὸ σῶμα δὲν θ᾽ ἀπολαύσῃ ἐκεῖνα τὰ ἀπόρρητα ἀγαθά, ὅπως βέβαια οὔτε καὶ θὰ κολασθῇ. «Διότι τὰ

«Πάντα γὰρ φανερωθήσεται ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ, ἵνα ἕκαστος κομίσηται τὰ διὰ τοῦ σώματος, πρὸς ἃ ἔπραξεν, εἴτε ἀγαθά, εἴτε κακά». Διὰ τοῦτό φησιν· «Εἰ ἐν τῇ ζωῇ ταύτῃ ἠλπικότες ἐσμὲν ἐν Χριστῷ μόνον, ἐλεεινότεροι πάντων ἐσμὲν ἀνθρώπων». Εἰ γὰρ οὐκ ἀνίσταται τὸ σῶμα, ἀστεφάνωτος ἡ ψυχὴ μένει ἔξω τῆς μακαριότητος ἐκείνης τῆς ἐν οὐρανοῖς· εἰ δὲ τοῦτο, οὐδενὸς ἀπολαυσόμεθα τότε καθόλου· εἰ δὲ οὐδενός, ἐν τῷ παρόντι τὰ τῶν ἀμοιβῶν. Τί οὖν ἡμῶν κατὰ τοῦτο ἀθλιώτερον γένοιτ' ἄν, φησί;

Ταῦτα δὲ ἔλεγεν ὁμοῦ μὲν εἰς τὸν περὶ ἀναστάσεως τῶν σωμάτων στηρίζων αὐτοὺς λόγον, ὁμοῦ δὲ καὶ περὶ τῆς ἀθανάτου ζωῆς ἐκείνης πείθων, ἵνα μὴ εἰς τὸ παρὸν νομίζωσι τὰ ἡμέτερα καταλύειν πάντα. Κατασκευάσας γὰρ ἱκανῶς διὰ τῶν ἔμπροσθεν, ὅπερ ἐβούλετο, καὶ εἰπών, εἰ νεκροὶ οὐκ ἐγείρονται, οὐδὲ Χριστὸς ἐγήγερται· εἰ δὲ Χριστὸς οὐκ ἠγέρθη, ἀπωλόμεθα, καὶ ἔτι ἐσμὲν ἐν ταῖς ἁμαρτίαις· πάλιν καὶ τοῦτο ἐπάγει, κατασείων αὐτῶν τὴν ἀπόνοιαν. Καὶ γὰρ ὅταν μέλλῃ τι τῶν ἀναγκαίων εἰσάγειν δογμάτων, τῷ φόβῳ τὴν πώρωσιν αὐτῶν διασαλεύει πρῶτον. Ὃ δὴ καὶ ἐνταῦθα ἐποίησεν, ἀνωτέρω τε αὐτὰ διασπείρας, καὶ ἐναγωνίους καταστήσας αὐτούς, ὡς τοῦ παντὸς ἐκπεσόντας· καὶ νῦν πάλιν ἑτέρως, καὶ ὡς ἂν μάλιστα ἤλγησαν, τὸ αὐτὸ τοῦτο ποιῶν, καὶ λέγων· «Ἐλεεινότεροι πάντων ἀνθρώπων ἐσμέν», εἰ μετὰ τοσούτους πολέμους καὶ θανάτους καὶ τὰ μυρία δεινά, τοσούτων μέλλοιμεν ἐκπίπτειν ἀγαθῶν, καὶ μέχρι τοῦ παρόντος τὰ ἡμέτερα ἕστηκε. Καὶ γὰρ πάντα τῆς ἀναστάσεως ἤρτηται. Ὥστε καὶ ἐντεῦθεν δῆλον, ὅτι οὐ περὶ ἁμαρτημάτων ὁ λόγος αὐτῷ ἦν, ἀλλὰ περὶ σωμάτων ἀναστάσεως, καὶ ζωῆς τῆς παρούσης καὶ τῆς μελλούσης.

---

3. Β' Κορ. 5, 10.

πάντα πρέπει νὰ φανερωθοῦν ἐμπρὸς εἰς τὸ βῆμα τοῦ Χριστοῦ, διὰ νὰ λάβῃ ὁ καθεὶς ὅ,τι τοῦ ἁρμόζει δι᾽ ὅσα ἔπραξε μὲ τὸ σῶμά του, εἴτε ἀγαθά, εἴτε κακά»[3]. Δι᾽ αὐτὸ λέγει· «Ἐὰν μόνον διὰ τὴν ζωὴν αὐτὴν ἔχωμεν ἐλπίσει εἰς τὸν Χριστόν, εἴμεθα οἱ πλέον ἀξιολύπητοι ἀπὸ ὅλους τοὺς ἀνθρώπους». Διότι, ἐὰν δὲν ἀνίσταται τὸ σῶμα ἡ ψυχὴ δὲν λαμβάνει τοὺς στεφάνους καὶ μένει ἔξω ἀπὸ ἐκείνην τὴν μακαριότητα τῶν οὐρανῶν· ἐὰν δὲ συμβῇ αὐτό, τίποτε ἀπολύτως δὲν θ᾽ ἀπολαύσωμεν τότε· ἐὰν ὅμως δὲν ἀπολαύσωμεν τίποτε, τότε αἱ ἀμοιβαὶ εἶναι μόνον αὐταὶ τῆς παρούσης ζωῆς. Τί ἀθλιώτερον λοιπόν, λέγει, θὰ ἠμποροῦσε νὰ ὑπάρξῃ ἀπὸ ἐμᾶς τοὺς ἀνθρώπους ὡς πρὸς αὐτό.

Αὐτὰ δὲ τὰ ἔλεγε καὶ διὰ νὰ τοὺς στηρίζῃ εἰς τὸ δόγμα διὰ τὴν ἀνάστασιν τῶν σωμάτων καὶ διὰ νὰ τοὺς πείθῃ διὰ τὴν ἀθάνατον ἐκείνην ζωήν, διὰ νὰ μὴ νομίζουν ὅτι τὰ ἀνθρώπινα τελειώνουν ὅλα εἰς τὴν παροῦσαν ζωήν. Διότι, ἀφοῦ ἀπέδειξεν ἀρκετὰ μὲ τὰ προηγούμενα αὐτὸ ποὺ ἤθελε καὶ εἶπεν, ἐὰν οἱ νεκροὶ δὲν ἀνίστανται, οὔτε ὁ Χριστὸς ἀνεστήθη· ἐὰν δὲ ὁ Χριστὸς δὲν ἀνεστήθη, τότε χανόμεθα καὶ εὑρισκόμεθα ἀκόμη εἰς τὰς ἁμαρτίας· προσθέτει πάλιν καὶ αὐτό, διὰ νὰ συνταράξῃ τὴν ἀνοησίαν των. Διότι, ὅταν πρόκειται νὰ διδάξῃ κάποιο ἀπὸ τὰ δόγματα ποὺ πρέπει ἀπαραιτήτως νὰ πιστεύωνται, ἀφανίζει προηγουμένως τὴν πώρωσίν των μὲ τὸν φόβον. Πρᾶγμα ποὺ ἔκανε λοιπὸν καὶ ἐδῶ, ἀφοῦ προηγουμένως διέσπειρεν αὐτὰ καὶ τοὺς ἔβαλεν εἰς ἀγωνίαν, ἀφοῦ ἔδειξεν ὅτι ἐξέπεσαν ἀπὸ τὰ πάντα· καὶ τώρα πάλιν μὲ ἄλλον τρόπον, καὶ ὡσὰν νὰ ἐστενοχωρήθησαν πολύ, ἀφοῦ κάμνει τὸ ἴδιον, καὶ λέγει· «Εἴμεθα περισσότερον ἀξιολύπητοι ἀπὸ ὅλους τοὺς ἀνθρώπους», ἐὰν μετὰ ἀπὸ τόσους ἀγῶνας καὶ θανάτους καὶ ἀπείρους συμφορὰς πρόκειται νὰ ἐκπέσωμεν ἀπὸ τέτοια ἀγαθὰ καὶ ὁ μισθός μας ἐξαντλεῖται εἰς τὴν παροῦσαν ζωήν. Διότι ὅλα ἀπὸ τὴν ἀνάστασιν ἐξαρτῶνται. Ὥστε καὶ ἀπὸ ἐδῶ εἶναι φανερόν, ὅτι δὲν ἐγίνετο λόγος διὰ τὰ ἁμαρτήματα ἀπὸ τὸν Παῦλον, ἀλλὰ διὰ τὴν ἀνάστασιν τῶν σωμάτων καὶ διὰ τὴν ζωὴν τὴν παροῦσαν καὶ τὴν μέλλουσαν.

5. «Νυνὶ δὲ Χριστὸς ἐγήγερται ἐκ νεκρῶν, ἀπαρχὴ τῶν κεκοιμημένων». Δείξας ὅσα ἐκ τοῦ μὴ πιστεύεσθαι τὴν ἀνάστασιν τίκτεται κακά, ἀναλαμβάνει τὸν λόγον πάλιν, καί φησι· «Νυνὶ δὲ Χριστὸς ἐγήγερται ἐκ νεκρῶν»· συνεχῶς τὸ «ἐκ νεκρῶν» προστιθείς, ὥστε ἀποῤῥάψαι τῶν αἱρετικῶν τὰ στόματα. «Ἀπαρχὴ τῶν κεκοιμημένων». Εἰ δὲ ἀπαρχή, καὶ τούτους ἀναστῆναι δεῖ. Εἰ δὲ ἀνάστασιν τὴν τῶν ἁμαρτιῶν ἀπαλλαγὴν ἔλεγεν, οὐδεὶς δὲ ἁμαρτίας ἐκτός· καὶ γὰρ Παῦλος λέγει, «Οὐδὲν ἐμαυτῷ σύνοιδα, ἀλλ' οὐκ ἐν τούτῳ δεδικαίωμαι»· πῶς ἔσονταί τινες οἱ ἀνιστάμενοι καθ' ὑμᾶς; Ὁρᾷς ὅτι περὶ σωμάτων ὁ λόγος αὐτῷ ἦν; Καὶ ἵνα ἀξιόπιστον αὐτὸ ποιήσῃ, συνεχῶς τὸν Χριστὸν εἰς τὸ μέσον προφέρει, τὸν ἀναστάντα ἐν σαρκί. Εἶτα καὶ αἰτιολογεῖ. Ὅπερ γὰρ ἔφην, ὅταν ἀποφαίνηται μέν, τὴν δὲ αἰτίαν μὴ λέγῃ, οὐχ οὕτως εὐπαράδεκτος ὁ λόγος γίνεται τοῖς πολλοῖς. Τίς οὖν ἡ αἰτία; «Ἐπειδὴ γὰρ δι' ἀνθρώπου ὁ θάνατος, καὶ δι' ἀνθρώπου ἡ ἀνάστασις τῶν νεκρῶν». Εἰ δὲ δι' ἀνθρώπου, σῶμα πάντως ἔχοντος.

Καὶ ὅρα αὐτοῦ τὴν σύνεσιν, πῶς καὶ ἑτέρως ἀναγκαῖον ποιεῖ τὸν λόγον. Τὸν γὰρ ἡττηθέντα, φησίν, αὐτὸν καὶ ἀναμαχέσασθαι δεῖ, τὴν καταβληθεῖσαν φύσιν αὐτὴν καὶ νικῆσαι· οὕτω γὰρ τὸ ὄνειδος ἀπετρίβετο. Ἴδωμεν δὲ ποῖόν φησι θάνατον. «Ὥσπερ γὰρ ἐν τῷ Ἀδὰμ πάντες ἀποθνήσκουσιν, οὕτω καὶ ἐν τῷ Χριστῷ πάντες ζωοποιηθήσονται». Τί οὖν; πάντες, εἰπέ μοι, ἀπέθανον τὸν τῆς ἁμαρτίας θάνατον ἐν τῷ Ἀδάμ; Πῶς οὖν Νῶε δίκαιος ἐν τῇ γενεᾷ αὐτοῦ; πῶς δὲ Ἀβραάμ; πῶς δὲ Ἰώβ; πῶς δὲ οἱ ἄλλοι ἅπαντες; Τί δέ, εἰπέ μοι, πάντες ζωοποιηθήσονται ἐν τῷ Χριστῷ; Καὶ ποῦ οἱ εἰς γέενναν ἀπαγόμενοι; Ἂν μὲν γὰρ περὶ σώματος εἰ-

5. «Τώρα ὅμως ὁ Χριστὸς ἀνεστήθη ἐκ νεκρῶν, καὶ ἔγινεν ἡ ἀρχὴ δι' ὅσους ἐκοιμήθησαν». Ἀφοῦ ἔδειξε πόσα κακὰ γεννῶνται ἀπὸ τοῦ νὰ μὴ πιστεύῃ κανεὶς εἰς τὴν ἀνάστασιν, ἐπαναλαμβάνει πάλιν τὸν λόγον καὶ λέγει· «Τώρα ὅμως ὁ Χριστὸς ἀνεστήθη ἐκ νεκρῶν» καὶ προσθέτει συνεχῶς τὸ «ἐκ νεκρῶν» διὰ νὰ φράξῃ τὰ στόματα τῶν αἱρετικῶν. «Γενόμενος ἀπαρχὴ αὐτῶν ποὺ ἐκοιμήθησαν». Ἐφ' ὅσον δὲ εἶναι ἀπαρχή, πρέπει ν' ἀναστήσῃ καὶ αὐτούς. Ἐὰν ὅμως ἔλεγεν ἀνάστασιν τὴν ἀπαλλαγὴν ἀπὸ τὰς ἁμαρτίας, κανεὶς δὲ δὲν εἶναι ἐκτὸς ἁμαρτίας· διότι ὁ Παῦλος λέγει, «Εἰς τίποτε δὲν μὲ ἐλέγχει ἡ συνείδησίς μου, ἀλλ' αὐτὸ δὲν ἀποτελεῖ καὶ τὴν δικαίωσίν μου»· πῶς θὰ ὑπάρξουν μερικοὶ οἱ ὁποῖοι κατὰ τὰ λεγόμενά σας θ' ἀναστηθοῦν; Βλέπεις ὅτι ὁ λόγος του ἀνεφέρετο εἰς τὴν ἀνάστασιν τῶν σωμάτων; Καὶ διὰ νὰ τὸ κάνῃ ἀξιοπίστευτον αὐτό, συνεχῶς ἀναφέρει τὸν Χριστὸν ὁ ὁποῖος ἀνεστήθη μαζὶ μὲ τὸ σῶμα. Ὕστερα λέγει καὶ τὴν αἰτίαν. Διότι, ὅπως εἶπον, ὅταν διδάσκῃ τὴν ἀλήθειαν, ἀλλὰ δὲν τὴν αἰτιολογεῖ, δὲν γίνεται πολὺ παραδεκτὸς ὁ λόγος εἰς τοὺς πολλούς. Ποία λοιπὸν ἡ αἰτία; «Διότι ἐπειδὴ διὰ μέσου ἀνθρώπου ἦλθεν ὁ θάνατος, διὰ μέσου ἀνθρώπου ἦλθε καὶ ἡ ἀνάστασις τῶν νεκρῶν». Ἐὰν δὲ διὰ μέσου ἀνθρώπου, ὁπωσδήποτε ἀνθρώπου μὲ σῶμα.

Καὶ πρόσεχε τὴν σύνεσίν του, πῶς καὶ μὲ ἄλλον τρόπον κάμνει τὸν λόγον κατ' ἀνάγκην πιστευτόν. Αὐτὸς δηλαδὴ ποὺ ἔχει ἡττηθῇ, λέγει, πρέπει νὰ ἐπανορθώσῃ τὴν ἧτταν διὰ νέας μάχης καὶ νὰ νικήσῃ αὐτὴν τὴν φύσιν ἡ ὁποία κατεβλήθη· διότι ἔτσι ἐξαλείφεται ἡ ἐντροπή. Ἂς ἰδοῦμεν ὅμως ποῖον θάνατον ἐννοεῖ. «Ὅπως δηλαδὴ ἐν τῷ Ἀδὰμ ὅλοι ἀποθνήσκουν, ἔτσι καὶ ἐν τῷ Χριστῷ ὅλοι θὰ ζωοποιηθοῦν». Τί λοιπόν; εἰπέ μου, ὅλοι ἀπέθανον τὸν θάνατον τῆς ἁμαρτίας ἐν τῷ Ἀδάμ; Πῶς λοιπὸν ὁ Νῶε ἦτο δίκαιος εἰς τὴν γενεάν του; πῶς ὁ Ἀβραάμ; πῶς ὁ Ἰώβ; πῶς δὲ ὅλοι οἱ ἄλλοι; Τί δέ, εἰπέ μου, ὅλοι θὰ ζωοποιηθοῦν ἐν τῷ Χριστῷ; Καὶ ποῦ εἶναι αὐτοὶ ποὺ θὰ ριφθοῦν εἰς τὴν γέενναν; Ἂν μὲν λοιπὸν αὐτὸ ἐλέχθη μόνον διὰ τὸ σῶμα,

ρημένον ᾖ τοῦτο, ἕστηκεν ὁ λόγος· ἐὰν δὲ περὶ δικαιοσύνης καὶ ἁμαρτίας, οὐκέτι.

Εἶτα, ἵνα μὴ τὴν ζωοποίησιν κοινὴν ἀκούσας, καὶ τοὺς ἁμαρτωλοὺς νομίσῃς σώζεσθαι, ἐπήγαγεν· «Ἕκαστος δὲ ἐν τῷ ἰδίῳ τάγματι». Μὴ γάρ, ἐπειδὴ ἀνάστασιν ἤκουσας, νόμιζε πάντως τῶν αὐτῶν ἀπολαύειν. Εἰ γὰρ ἐπὶ τῆς τιμωρίας οὐ πάντες τὰ αὐτὰ πείσονται, ἀλλὰ πολλὴ ἡ διαφορά, πολλῷ μᾶλλον, ἔνθα ἁμαρτωλοὶ καὶ δίκαιοι, πλείων ἡ διάστασις ἔσται. «Ἀπαρχὴ Χριστός, ἔπειτα οἱ τοῦ Χριστοῦ»· τουτέστιν, οἱ πιστοὶ καὶ οἱ εὐδοκιμηκότες. «Εἶτα τὸ τέλος». Ὅταν γὰρ ἀναστῶσιν ἐκεῖνοι, τὰ πράγματα ἅπαντα λήψεται τέλος, οὐ καθάπερ τοῦ ἀναστάντος τοῦ Χριστοῦ τὰ πράγματα ἕστηκεν ἔτι μετέωρα. Διὸ προσέθηκεν, «Ἐν τῇ παρουσίᾳ αὐτοῦ», ἵνα μάθῃς ὅτι περὶ ἐκείνου τοῦ καιροῦ διαλέγεται. «Ὅταν παραδῷ τὴν βασιλείαν τῷ Θεῷ καὶ Πατρί· ὅταν καταργήσῃ πᾶσαν ἀρχὴν καὶ ἐξουσίαν καὶ δύναμιν».

6. Ἐνταῦθά μοι προσέχετε μετὰ ἀκριβείας, καὶ ὁρᾶτε μή τι διαφύγῃ τῶν λεγομένων ὑμᾶς· καὶ γὰρ πρὸς ἐχθροὺς ἡμῖν ἡ μάχη. Διὸ πρότερον τὴν εἰς ἄτοπον ἀπαγωγὴν δεῖ γυμνάζειν, ὃ καὶ Παῦλος πολλάκις ποιεῖ· οὕτω γὰρ μάλιστα ἃ λέγουσιν, εὐφώρατα ἡμῖν φανεῖται. Ἐρώμεθα οὖν αὐτοὺς πρῶτον, τί ἐστι τὸ εἰρημένον, «Ὅταν παραδῷ τὴν βασιλείαν τῷ Θεῷ καὶ Πατρί»; Εἰ γὰρ ἁπλῶς ἐκλάβοιμεν τοῦτο, καὶ μὴ θεοπρεπῶς, οὐκ ἔσται μετὰ ταῦτα ἔχων αὐτήν· ὁ γὰρ παραδοὺς ἑτέρῳ, παύεται λοιπὸν τοῦ κατέχειν αὐτός. Καὶ οὐ τοῦτο μόνον ἔσται τὸ ἄτοπον, ἀλλ' ὅτι οὐδὲ ἐκεῖνος ὁ παραλαβὼν εὑρεθήσεται πρὶν ἢ παραλαβεῖν ἔχων. Οὐκοῦν κατ' ἐκείνους οὔτε ὁ Πατὴρ βασιλεὺς ἦν ἔμπροσθεν, καὶ διῴκει τὰ ἡμέτερα, οὔτε ὁ Υἱὸς μετὰ ταῦτα φανεῖται βασιλεὺς ὤν. Πῶς οὖν περὶ μὲν τοῦ Πατρός φησιν αὐτός, ὅτι «Ὁ Πατὴρ

τότε εὐσταθεῖ ὁ λόγος, ἐὰν ὅμως ἐλέχθη δι᾽ ἁγιότητα καὶ ἁμαρτίαν, καθόλου.

Εἰς τὴν συνέχειαν, ἐπειδὴ ἤκουσες ὅτι ὅλοι θὰ ζωοποιηθοῦν, διὰ νὰ μὴ νομίσῃς ὅτι καὶ οἱ ἁμαρτωλοὶ σώζονται, προσέθεσεν˙ «Ὁ καθεὶς δὲ ἀνάλογα μὲ τὴν θέσιν του». Μὴ νομίζῃς δηλαδή, ἐπειδὴ ἤκουσες ἀνάστασιν, ὅτι ὅλοι θ᾽ ἀπολαύσουν τὰ ἴδια. Διότι ἐὰν ὡς πρὸς τὴν τιμωρίαν δὲν θὰ πάθουν ὅλοι τὰ ἴδια, ἀλλὰ θὰ ὑπάρξῃ μεγάλη διαφορά, πολὺ περισσότερον θὰ εἶναι μεγαλυτέρα ἡ ἀπόστασις μεταξὺ ἁμαρτωλῶν καὶ δικαίων. «Ἡ ἀρχὴ εἶναι ὁ Χριστός, ἔπειτα, κατὰ τὴν παρουσίαν του, ὅσοι εἶναι τοῦ Χριστοῦ»˙ δηλαδή, οἱ πιστοὶ καὶ αὐτοὶ ποὺ προέκοψαν εἰς τὴν ἀρετήν. «Ὕστερα ἔρχεται τὸ τέλος». Ὅταν δηλαδὴ ἀναστηθοῦν ἐκεῖνοι, ὅλα τὰ πράγματα θὰ λάβουν τέλος, ὄχι ὅπως τώρα ποὺ ἐνῷ ἀνεστήθη ὁ Χριστὸς τὰ πάντα ἔμειναν ἐκκρεμῆ. Δι᾽ αὐτὸ προσέθεσε, «Κατὰ τὴν παρουσίαν του», διὰ νὰ μάθῃς ὅτι ὁμιλεῖ δι᾽ ἐκεῖνον τὸν καιρόν. «Ὅταν θὰ παραδώσῃ τὴν βασιλείαν εἰς τὸν Θεὸν καὶ Πατέρα, ὅταν θὰ καταργήσῃ κάθε ἀρχὴν καὶ κάθε ἐξουσίαν καὶ δύναμιν».

6. Ἐδῶ προσέχετε, παρακαλῶ, μὲ ἀκρίβειαν καὶ βλέπετε μήπως σᾶς διαφύγῃ τίποτε ἀπὸ αὐτὰ ποὺ σᾶς λέγω˙ διότι μὲ ἐχθροὺς ἀγωνιζόμεθα. Δι᾽ αὐτὸ πρῶτον πρέπει νὰ ἐφαρμόζωμεν τὴν εἰς ἄτοπον ἀπαγωγήν, πρᾶγμα ποὺ πολλὰς φορὰς κάμνει καὶ ὁ Παῦλος˙ διότι ἔτσι αὐτὰ ποὺ λέγουν θὰ γίνουν τελείως φανερὰ δι᾽ ἐμᾶς. Ἂς ἐρωτήσωμεν λοιπὸν αὐτοὺς πρῶτον, τί σημαίνει αὐτὸ ποὺ ἐλέχθη, «Ὅταν θὰ παραδώσῃ τὴν βασιλείαν εἰς τὸν Θεὸν καὶ Πατέρα». Διότι ἐὰν αὐτὸ τὸ ἐννοήσωμεν ἀνθρωπίνως καὶ ὄχι ὅπως πρέπει εἰς τὸν Θεόν, τότε θὰ πρέπει νὰ συμπεράνωμεν ὅτι μετὰ τὴν παράδοσιν δὲν θὰ ἔχῃ τὴν βασιλείαν˙ διότι αὐτὸς ποὺ παραδίδει εἰς ἄλλον, παύει εἰς τὸ ἑξῆς νὰ κατέχῃ αὐτός. Καὶ ὄχι μόνον αὐτὸ τὸ ἄτοπον θὰ προκύψῃ, ἀλλὰ καὶ ὅτι οὔτε ὁ Πατὴρ ποὺ θὰ παραλάβῃ θὰ φανῇ ὅτι κατεῖχε πρὶν παραλάβῃ. Λοιπόν, κατὰ τὰ λεγόμενα ἐκείνων, οὔτε ὁ Πατὴρ ἦτο προηγουμένως βασιλεύς, οὔτε ὁ Υἱὸς θὰ φανῇ ὅτι εἶναι βασιλεὺς μετὰ ἀπὸ αὐτά. Πῶς λοιπὸν διὰ

μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι»; περὶ δὲ αὐτοῦ ὁ Δανιήλ, ὅτι «Ἡ βασιλεία αὐτοῦ αἰώνιος, ἥτις οὐ παρελεύσεται»;

Εἶδες πόσα ἄτοπα τίκτεται, καὶ μαχόμενα ταῖς Γραφαῖς, ὅταν ἀνθρωπίνως ἐκλαμβάνῃ τις τὰ λεγόμενα; Ποίαν δὲ καὶ ἀρχὴν ἄρα ἐνταῦθά φησι καταργεῖν; τὴν τῶν ἀγγέλων; Ἄπαγε. Ἀλλὰ τὴν τῶν πιστῶν; Οὐδὲ τοῦτο. Ἀλλὰ ποίαν; Τὴν τῶν δαιμόνων, περὶ ἧς φησιν. «Οὐκ ἔστιν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχάς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου». Νῦν μὲν γὰρ οὐδέπω κατήργηνται τέλεον· ἐνεργοῦσι γὰρ πολλαχοῦ· τότε δὲ παύσονται. «Δεῖ γὰρ αὐτὸν βασιλεύειν, ἄχρις οὗ ἂν θῇ πάντας τοὺς ἐχθροὺς ὑπὸ τοὺς πόδας αὐτοῦ». Πάλιν κἀντεῦθεν ἕτερον ἄτοπον τίκτεται, ἂν μὴ καὶ τοῦτο θεοπρεπῶς ἐκλάβωμεν. Τὸ γάρ, «ἄχρις», τέλους ἐστὶ καὶ διορισμοῦ· ἐπὶ δὲ Θεοῦ τοῦτο οὐκ ἔστιν. «Ἔσχατος ἐχθρὸς καταργεῖται ὁ θάνατος». Πῶς ἔσχατος; Μετὰ πάντας, μετὰ τὸν διάβολον, μετὰ τὰ ἄλλα ἅπαντα. Καὶ γὰρ καὶ ἐν ἀρχῇ ἔσχατος εἰσῆλθε. Πρότερον γὰρ ἡ συμβουλὴ τοῦ διαβόλου, καὶ ἡ παρακοή, καὶ τότε ὁ θάνατος. Τῇ μὲν οὖν δυνάμει καὶ νῦν κατήργηται, τῇ δὲ ἐνεργείᾳ τότε.

«Πάντα γὰρ ὑπέταξεν ὑπὸ τοὺς πόδας αὐτοῦ. Ὅταν δὲ εἴπῃ ὅτι πάντα ὑποτέτακται, δῆλον ὅτι ἐκτὸς τοῦ ὑποτάξαντος αὐτῷ τὰ πάντα. Ὅταν δὲ ὑποταγῇ αὐτῷ τὰ πάντα, τότε καὶ αὐτὸς ὁ Υἱὸς ὑποταγήσεται τῷ ὑποτάξαντι αὐτῷ τὰ πάντα». Καὶ μὴν ἔμπροσθεν οὐ τὸν Πατέρα ἔλεγεν εἶναι τὸν ὑποτάξαντα, ἀλλ' αὐτὸν καταργοῦντα. «Ὅταν γὰρ καταργήσῃ», φησί, «πᾶσαν ἀρχὴν καὶ πᾶσαν ἐξουσίαν» καὶ πάλιν, «Δεῖ γὰρ αὐτὸν βασιλεύειν ἄχρις οὗ ἂν θῇ πάντας τοὺς

4. Ἰω. 5, 17.
5. Δαν. 2, 44.
6. Ἐφ. 6, 12.

μὲν τὸν Πατέρα λέγει αὐτὸς ὅτι, «Ὁ Πατήρ μου ἐργάζεται πάντοτε καὶ ἐγὼ ἐπίσης ἐργάζομαι»[4]; διὰ τὸν ἴδιον δὲ ὁ Δανιήλ, ὅτι «Ἡ βασιλεία τοῦ Θεοῦ εἶναι βασιλεία εἰώνιος, ἡ ὁποία δὲν θὰ παρέλθῃ ποτέ»[5];

Εἶδες πόσα ἄτοπα γεννῶνται, τὰ ὁποῖα ἀντιτίθενται εἰς τὰς γραφάς, ὅταν ἐννοῇ κανεὶς μὲ ἀνθρώπινον τρόπον αὐτὰ ποὺ λέγονται; Ποίαν ἀρχὴν δὲ λέγει ἐδῶ ὅτι θὰ καταργήσῃ; τὴν τῶν ἀγγέλων; Μακρυὰ ἀπὸ τέτοιαν σκέψιν! Ἀλλὰ μήπως τῶν πιστῶν; Οὔτε αὐτό. Ἀλλὰ ποίαν; Τὴν τῶν δαιμόνων, διὰ τὴν ὁποίαν λέγει, «Δὲν διεξάγομεν πάλην μὲ σάρκα καὶ αἷμα, ἀλλὰ μὲ τὰς ἀρχάς, τὰς ἐξουσίας, τοὺς κοσμοκράτορας τοῦ σκοτεινοῦ τούτου κόσμου»[6]. Διότι τώρα μὲν δὲν ἔχουν τελείως καταργηθῇ· καθ' ὅσον ἐνεργοῦν εἰς πολλὰ σημεῖα· τότε ὅμως θὰ παύσουν. «Διότι πρέπει αὐτὸς νὰ βασιλεύῃ, ἕως ὅτου θέσῃ ὅλους τοὺς ἐχθροὺς κάτω ἀπὸ τὰ πόδια του». Πάλιν καὶ ἀπὸ ἐδῶ ἄλλο ἄτοπον γεννᾶται, ἐὰν δὲν ἐννοήσωμεν καὶ αὐτὸ θεοπρεπῶς. Διότι τὸ «ἕως» σημαίνει τέλος καὶ προσδιορισμόν· εἰς τὸν Θεὸν ὅμως δὲν ὑπάρχει αὐτό. «Ὁ τελευταῖος ἐχθρὸς ποὺ θὰ καταργηθῇ εἶναι ὁ θάνατος». Πῶς δηλαδὴ τελευταῖος; Μετὰ ἀπὸ ὅλους, μετὰ ἀπὸ τὸν διάβολον, μετὰ ἀπὸ ὅλα τὰ ἄλλα. Καθ' ὅσον καὶ ἐξ ἀρχῆς τελευταῖος εἰσῆλθεν εἰς τὴν δημιουργίαν. Διότι πρῶτον ἐδόθη ἡ συμβουλὴ ἀπὸ τὸν διάβολον, ἠκολούθησεν ἡ παρακοή, καὶ τότε ἐπῆλθεν ὁ θάνατος. Καὶ ὡς πρὸς τὴν δύναμιν μὲν καὶ τώρα ἔχει καταργηθῇ, ἀλλ' ὡς πρὸς τὴν ἐνέργειαν τότε.

«Διότι ὅλα ὑπέταξεν ὁ Πατὴρ κάτω ἀπὸ τὰ πόδια τοῦ Χριστοῦ. Ὅταν δὲ ὁ Πατὴρ εἴπῃ εἰς τὸν Χριστὸν ὅτι ὅλα πλέον ἔχουν ὑποταγῇ εἰς ἐσέ, θὰ εἶναι φανερὸν ὅτι ἀπὸ αὐτὴν τὴν ὑποταγὴν θὰ ἐξαιρῆται ὁ Πατήρ, ποὺ ὑπέταξεν εἰς τὸν Χριστὸν τὰ πάντα. Ὅταν δὲ ὑποταγοῦν εἰς αὐτὸν τὰ πάντα, τότε καὶ ὁ Υἱὸς θὰ ὑποταγῇ κατὰ τὴν ἀνθρωπίνην φύσιν εἰς τὸν Θεὸν ποὺ ὑπέταξεν ὅλα εἰς αὐτόν». Καὶ ὅμως προηγουμένως δὲν ἔλεγεν ὅτι ὁ Πατὴρ ὑπέταξε τὰ πάντα, ἀλλ' ὅτι ὁ Υἱὸς καταργεῖ. Διότι «ὅταν καταργήσῃ», λέγει, «κάθε ἀρχὴν καὶ ἐξουσίαν»· καὶ πάλιν, «Διότι πρέπει

ἐχθροὺς ὑπὸ τοὺς πόδας αὐτοῦ». Πῶς οὖν ἐνταῦθα τὸν Πατέρα φησί; Καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ δοκοῦν ἄπορον εἶναι, ἀλλ' ὅτι καὶ δέδοικε δέος σφόδρα ἄτοπον, καὶ κέχρηται ἐπιδιορθώσει λέγων, «Ἐκτὸς τοῦ ὑποτάξαντος αὐτῷ τὰ πάντα», ὥς τινων ὑποπτευόντων, μήποτε καὶ ὁ Πατὴρ ὑποταγῇ τῷ Υἱῷ· οὗ τί γένοιτ' ἂν ἀλογώτερον; Ἀλλ' ὅμως αὐτὸ δέδοικε. Τί οὖν ἐστι; καὶ γὰρ πολλὰ τὰ ζητήματα ἐφεξῆς κεῖται· ἀλλὰ συντείνατέ μοι τὴν διάνοιαν. Καὶ γὰρ ἀναγκαῖον ἡμῖν πρῶτον Παύλου τὸν σκοπὸν εἰπεῖν καὶ τὴν γνώμην, ἣν πανταχοῦ τις ἂν εὕροι διαλάμπουσαν, καὶ τότε τὴν λύσιν ἐπαγαγεῖν· καὶ γὰρ καὶ τοῦτο πρὸς τὴν λύσιν ἡμῖν συντελεῖ.

Τίς οὖν ἡ Παύλου γνώμη, καὶ τί τὸ ἔθος; Ἄλλως, ὅταν περὶ τῆς θεότητος διαλέγεται μόνης, φθέγγεται, καὶ ἑτέρως, ὅταν εἰς τὸν τῆς οἰκονομίας ἐμπέσῃ λόγον. Ὅταν γὰρ ἐπιλάβηται τῆς σαρκός, ἀδεῶς ἅπαντα λοιπὸν λέγει τὰ ταπεινά, θαρρῶν ὡς οὔσης τῆς δεξομένης τὰ λεγόμενα. Ἴδωμεν τοίνυν καὶ ἐνταῦθα πότερον περὶ γυμνῆς τῆς θεότητος ὁ λόγος αὐτῷ, ἢ μετὰ τῆς οἰκονομίας ἀποφαίνεται περὶ αὐτοῦ ταῦτα, ἅπερ φησί· μᾶλλον δὲ πρότερον δείξωμεν, ποῦ τοῦτο ἐποίησεν ὅπερ εἶπον. Ποῦ τοίνυν τοῦτο ἐποίησε; Φιλιππησίοις γράφων φησίν· «Ὅς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβών, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος, καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος, ἐταπείνωσεν ἑαυτόν, ὑπήκοος γενόμενος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ. Διὸ καὶ ὁ Θεὸς αὐτὸν ὑπερύψωσεν».

Εἶδες πῶς, ὅτε μὲν περὶ τῆς θεότητος διελέγετο μόνης, τὰ μεγάλα ἐκεῖνα εἴρηκε, τὸ ἐν μορφῇ Θεοῦ ὑπάρχειν, καὶ τὸ εἶναι ἴσα τῷ γεγεννηκότι, καὶ αὐτῷ τὸ πᾶν ἀνατίθησιν·

7. Φιλ. 2, 6-9.

αὐτὸς νὰ βασιλεύῃ μέχρις ὅτου θέσῃ ὅλους τοὺς ἐχθροὺς κάτω ἀπὸ τὰ πόδια του». Πῶς λοιπὸν ἐδῶ λέγει τὸν Πατέρα; Καὶ ὄχι μόνον αὐτὸ φαίνεται ἄξιον ἀπορίας, ἀλλ' ὅτι καὶ φοβεῖται φόβον τελείως ἄτοπον καὶ χρησιμοποιεῖ διόρθωσιν ὅταν λέγῃ, «ἐκτὸς ἀπὸ τὸν Πατέρα ποὺ ὑπέταξεν εἰς τὸν Χριστὸν τὰ πάντα», ὡσὰν νὰ ὑπωπτεύοντο κάποιοι μήπως καὶ ὁ Πατὴρ ὑποταγῇ εἰς τὸν Υἱόν· ἀπὸ τὸ ὁποῖον τί θὰ ἦτο περισσότερον παράλογον; Καὶ ὅμως αὐτὸ ἐφοβήθη. Τί συμβαίνει λοιπόν; διότι πολλὰ ζητήματα δημιουργοῦνται εἰς τὸ ἑξῆς· ἀλλὰ προσηλώσατε τὸν νοῦν σας εἰς αὐτὰ ποὺ θὰ σᾶς εἰπῶ. Διότι εἶναι ἀναγκαῖον δι' ἐμᾶς νὰ εἰποῦμεν πρῶτον τὸν σκοπὸν καὶ τὴν γνώμην τοῦ Παύλου, τὴν ὁποίαν θὰ εὕρῃ κανεὶς νὰ διαλάμπῃ παντοῦ, καὶ τότε νὰ δώσωμεν τὴν λύσιν· διότι καὶ αὐτὸ συντελεῖ εἰς τὴν λύσιν.

Ποία λοιπὸν ἡ γνώμη τοῦ Παύλου καὶ ποία ἡ συνήθεια ποὺ ἐπεκράτει; Μὲ ἄλλον τρόπον ὁμιλεῖ ὅταν ἀναφέρεται μόνον εἰς τὴν θεότητα καὶ μὲ ἄλλον ὅταν κάμνει λόγον διὰ τὴν θείαν οἰκονομίαν. Ὅταν δηλαδὴ καταπιάνεται μὲ τὴν σάρκα, λέγει ἀφόβως λοιπὸν ὅλα ὅσα εἶναι ταπεινωτικὰ δι' αὐτήν, ἐπειδὴ ἔχει τὸ θάρρος ὅτι αὐτὰ ποὺ λέγονται εἶναι παραδεκτά. Ἂς ἰδοῦμεν λοιπὸν καὶ ἐδῶ διὰ ποῖον ἀπὸ τὰ δύο ὁμιλεῖ, διὰ τὴν ἰδίαν τὴν θεότητα ἢ καθὼς ὁμιλεῖ διὰ τὴν οἰκονομίαν, λέγει συγχρόνως καὶ αὐτὰ ποὺ λέγει διὰ τὸν Θεόν· μᾶλλον δὲ προηγουμένως ἂς δείξωμεν ποῦ ἔκαμεν αὐτὸ τὸ ὁποῖον εἶπον, ποῦ ἔκανε λοιπὸν αὐτό; Ὅταν γράφῃ εἰς τοὺς Φιλιππησίους λέγει· «Ὁ ὁποῖος, ἂν καὶ εἶχε θεϊκὴν ὕπαρξιν, δὲν ἐθεώρησε τὸ ὅτι ἦτο ἴσος πρὸς τὸν Πατέρα ὡσὰν κάτι πρὸς ἁρπαγήν, ἀλλ' ἐκένωσε τὸν ἑαυτόν του λαβὼν μορφὴν δούλου, γενόμενος ὅμοιος πρὸς τοὺς ἀνθρώπους, καί, ἀφοῦ κατὰ τὸ σχῆμα εὑρέθη ὡς ἄνθρωπος, ἐταπείνωσε τὸν ἑαυτόν του γενόμενος ὑπήκοος μέχρι θανάτου καὶ μάλιστα θανάτου σταυρικοῦ. Διὰ τοῦτο καὶ ὁ Πατὴρ τὸν ὑπερύψωσεν»[7].

Εἶδες πῶς, ὅταν μὲν ὡμίλει διὰ μόνην τὴν θεότητα εἶπεν ἐκεῖνα τὰ μεγάλα, τὸ ὅτι εἶχε θεϊκὴν ὕπαρξιν, καὶ

ἐπειδὴ δὲ ἔδειξεν αὐτόν σοι σαρκωθέντα, κατεβίβασε πάλιν τὸν λόγον; Εἰ γὰρ μὴ ταῦτα διέλοις, πολλὴ ἡ μάχη τῶν εἰρημένων. Καὶ γὰρ εἰ ἴσα Θεῷ ἦν, πῶς τὸν ἴσον ἑαυτῷ ὑπερύψωσεν; εἰ ἐν μορφῇ Θεοῦ ἦν, πῶς ἐχαρίσατο αὐτῷ ὄνομα; Ὁ γὰρ χαριζόμενος, τῷ μὴ ἔχοντι χαρίζεται, καὶ ὁ ὑψῶν, τὸν ἔμπροσθεν ταπεινὸν ὄντα ὑψοῖ. Εὑρεθήσεται ἄρα ἀτελὴς ὢν καὶ ἐνδεῶς ἔχων, πρὶν ἢ λαβεῖν τὸ ὕψος καὶ τὸ ὄνομα· καὶ μυρία ἕτερα λήμματα ἐντεῦθεν ἕψεται ἄτοπα. Ἀλλ' ἐὰν τὴν οἰκονομίαν προσθῇς, οὐχ ἁμαρτήσῃ ταῦτα λέγων. Ταῦτα δὴ καὶ ἐνταῦθα λογίζου, καὶ μετὰ τῆς γνώμης ἐκδέχου ταύτης τὰ εἰρημένα.

7. Μετὰ δὲ τούτων καὶ ἑτέρας αἰτίας ἐροῦμεν τοῦ οὕτω συγκεῖσθαι ταυτηνὶ τὴν περικοπὴν τῆς Γραφῆς. Τέως δὲ ἐκεῖνο ἀναγκαῖον εἰπεῖν, ὅτι καὶ περὶ ἀναστάσεως ὁ λόγος ἦν τῷ Παύλῳ, πράγματος ἀδυνάτου δοκοῦντος εἶναι καὶ σφόδρα ἀπιστουμένου· καὶ πρὸς Κορινθίους ἐπέστελλεν, ἔνθα πλείους οἱ φιλόσοφοι οἱ τὰ τοιαῦτα κωμῳδοῦντες ἀεί. Καὶ γὰρ ἐν τοῖς ἄλλοις ἀλλήλοις συρρηγνύμενοι, ἐν τούτῳ πάντες ἅτε ἐξ ἑνὸς στόματος συνέπνευσαν, δογματίζοντες μὴ εἶναι ἀνάστασιν. Ἀγωνιζόμενος τοίνυν ὑπὲρ τοιαύτης ὑποθέσεως οὕτως ἀπιστουμένης καὶ καταγελωμένης, καὶ διὰ τὴν πρόληψιν τὴν γεγενημένην καὶ διὰ τὴν τοῦ πράγματος δυσκολίαν, καὶ βουλόμενος κατασκευάσαι τὸ δυνατόν, πρῶτον ἐκ τῆς ἀναστάσεως τοῦ Χριστοῦ τοῦτο ἐργάζεται· καὶ ἀποδείξας αὐτὴν καὶ ἀπὸ τῶν προφητῶν, καὶ ἀπὸ τῶν ἑωρακότων, καὶ ἀπὸ τῶν πιστευσάντων, ἐπειδὴ ἔλαβεν ὡμολογημένην τὴν εἰς ἄτοπον ἀπαγωγήν, καὶ τὴν τῶν ἀνθρώπων

τὸ ὅτι ἦτο ἴσος μὲ τὸν Πατέρα ποὺ τὸν γεννᾷ ἀχρόνως, καὶ ἀποδίδει εἰς αὐτὸν τὸ πᾶν, ὅταν ὅμως σοῦ ἔδειξεν ὅτι ἐσαρκώθη, ἀφήρεσε πάλιν τὸ μεγαλεῖον ἀπὸ τὸν λόγον; Ἐὰν λοιπὸν δὲν διαχωρίσῃς αὐτά, τότε θὰ ὑπάρχῃ πολλὴ ἀντίφασις εἰς αὐτὰ ποὺ ἐλέχθησαν. Διότι ἐὰν ἦτο ἴσος πρὸς τὸν Πατέρα, πῶς ὑπερύψωσεν αὐτὸν ποὺ ἦτο ἴσος μὲ τὸν ἑαυτόν του; ἐὰν εἶχε θεϊκὴν ὕπαρξιν, πῶς ἐχάρισεν εἰς αὐτὸν ὄνομα; Καθ' ὅσον αὐτὸς ποὺ χαρίζει, χαρίζει εἰς ἐκεῖνον ποὺ δὲν ἔχει καὶ αὐτὸς ποὺ ὑψώνει, ὑψώνει αὐτὸν ποὺ πρὶν ἦτο ταπεινός. Συνεπῶς θὰ εὑρεθῇ ἀτελὴς καὶ ἔχων ἀνάγκην, πρὶν λάβῃ τὸ ὕψος καὶ τὸ ὄνομα· καὶ ἄπειραι ἄλλαι προτάσεις ἄτοποι θ' ἀκολουθήσουν ἀπὸ αὐτό. Ἀλλ' ἐὰν βάλῃς πλησίον αὐτῶν τὴν οἰκονομίαν τοῦ Θεοῦ, δὲν θὰ πέσῃς εἰς ἁμαρτίαν μὲ τὸ νὰ λέγῃς αὐτά. Αὐτὰ λοιπὸν νὰ σκέπτεσαι καὶ ἐδῶ καὶ μὲ αὐτὴν τὴν γνώμην νὰ δεχθῇς αὐτὰ ποὺ ἐλέχθησαν.

7. Μαζὶ δὲ μὲ αὐτὰ θὰ εἴπουμεν καὶ ἄλλας αἰτίας ἀπὸ τὰς ὁποίας φαίνεται ὅτι αὐτὸ εἶναι τὸ νόημα τῆς περικοπῆς αὐτῆς τῆς γραφῆς. Ἐν τῷ μεταξὺ ὅμως πρέπει νὰ εἴπουμεν ὅτι ὁ λόγος ἐγίνετο ἀπὸ τὸν Παῦλον διὰ τὴν ἀνάστασιν, ποὺ ἐθεωρεῖτο ὅτι εἶναι ἀδύνατον πρᾶγμα καὶ πολὺ ἀπίστευτον· καὶ ὅτι ἔγραφεν εἰς τοὺς Κορινθίους, ὅπου ἦσαν περισσότεροι οἱ φιλόσοφοι οἱ ὁποῖοι πάντοτε περιγελοῦν τὰ πράγματα τῆς πίστεως. Διότι, ἂν καὶ εἰς ὅλα τὰ ἄλλα συγκρούονται μεταξύ των, εἰς αὐτὸ ὅλοι, ὡσὰν νὰ εἶχον ἓν στόμα, συνεφώνησαν καὶ ἐδίδασκον ὅτι δὲν ὑπάρχει ἀνάστασις. Ἀγωνιζόμενος λοιπὸν διὰ μίαν τέτοιαν ἀλήθειαν ἡ ὁποία ἀντεμετωπίζετο μὲ τόσην ἀπιστίαν καὶ περιεγελᾶτο καὶ ἐξ αἰτίας τῆς προλήψεως ποὺ ὑπῆρχε καὶ ἐξ αἰτίας τῆς δυσκολίας τοῦ πράγματος, καὶ θέλων ν' ἀποδείξῃ ὅτι εἶναι δυνατόν, ἐπιχειρεῖ αὐτὸ πρῶτον ἀπὸ τὴν ἀνάστασιν τοῦ Χριστοῦ· καὶ ἀφοῦ ἀπέδειξεν αὐτὴν καὶ ἀπὸ τοὺς προφήτας καὶ ἀπὸ αὐτοὺς ποὺ εἶδον τὸν Χριστὸν ἀνεστημένον, καὶ ἀπὸ αὐτοὺς ποὺ ἐπίστευσαν, ἀφοῦ προεκάλεσε καὶ ἔλαβεν ὡς ὡμολογημένην τὴν γνώμην των διὰ τῆς εἰς ἄτοπον ἀπαγωγῆς, ἀποδεικνύει λοιπὸν καὶ μὲ ἀν-

κατασκευάζει λοιπόν. «Εἰ γὰρ νεκροὶ οὐκ ἐγείρονται», φησίν, «οὐδὲ Χριστὸς ἐγήγερται».

Εἶτα συνεχῶς ταῦτα ἀντιστρέψας ἐν τοῖς ἔμπροσθεν, ἑτέρως πάλιν ἐπιχειρεῖ, ἀπαρχὴν αὐτὸν καλῶν, καὶ δεικνὺς καταργοῦντα πᾶσαν ἀρχὴν καὶ ἐξουσίαν καὶ δύναμιν, καὶ θάνατον ἔσχατον. Πῶς οὖν καταργηθείη, φησίν, ἐὰν μὴ πρότερον, ἅπερ εἶχεν, ἀποβάλῃ σώματα; Ἐπεὶ οὖν μεγάλα περὶ τοῦ μονογενοῦς ἐφθέγξατο, ὅτι παραδίδωσι τὴν βασιλείαν, τουτέστιν, ὅτι αὐτὸς ἀνύει ταῦτα, καὶ αὐτὸς τὸν πόλεμον νικᾷ, καὶ πάντα τίθησιν ὑπὸ τοὺς πόδας αὐτοῦ, ἐπήγαγε, τὴν ἀπιστίαν τῶν πολλῶν διορθούμενος· «Δεῖ γὰρ αὐτὸν βασιλεύειν, ἄχρις οὗ ἂν θῇ πάντας τοὺς ἐχθροὺς ὑπὸ τοὺς πόδας αὐτοῦ». Οὐ τέλος ἐπιτιθεὶς τῇ βασιλείᾳ τό, «ἄχρις», ἀλλ' ἀξιόπιστον ποιῶν τὸ εἰρημένον, καὶ θαρρεῖν παρασκευάζων. Μὴ γάρ, ἐπειδὴ ἤκουσας, φησίν, ὅτι καταργήσει πᾶσαν ἀρχὴν καὶ ἐξουσίαν καὶ δύναμιν, καὶ τὸν διάβολον, καὶ τὰς τῶν δαιμόνων φάλαγγας τὰς τοσαύτας, καὶ τῶν ἀπίστων τὰ πλήθη, καὶ τοῦ θανάτου τὴν τυραννίδα, καὶ τὰ κακὰ ἅπαντα, φοβηθῇς ὡς ἀτονοῦντος αὐτοῦ· ἕως ἂν γὰρ ποιήσῃ ταῦτα πάντα, δεῖ βασιλεύειν αὐτόν· οὐ τοῦτο λέγων, ὅτι μετὰ τὸ ποιῆσαι οὐ βασιλεύει, ἀλλ' ἐκεῖνο κατασκευάζων, ὅτι κἂν μὴ νῦν γένηται, πάντως ἔσται. Οὐ γὰρ διακόπτεται αὐτοῦ ἡ βασιλεία· κρατεῖ γὰρ καὶ ἰσχύει καὶ μένει, ἕως ἂν πάντα κατορθώσῃ.

Τοῦτο δὲ τὸ ἔθος καὶ ἐν τῇ παλαιᾷ εὕροι τις ἄν, ὡς ὅταν λέγῃ, «Τὸ δὲ ῥῆμα Κυρίου μένει εἰς τὸν αἰῶνα»· καί, «Σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσι». Ταῦτα δὲ λέγει ὁ προφήτης καὶ τὰ τοιαῦτα, ἐπειδὰν περὶ πραγμάτων διηγῆται μακρῷ χρόνῳ κατορθουμένων καὶ πάντως ἐσομένων, τὴν δειλίαν τῶν παχυτέρων ἀκροατῶν ἐκβάλλων. Ὅτι δὲ τὸ «ἄχρις», ἐπὶ Θεοῦ λεγόμενον, καὶ «ἕως», οὐκ

---

8. Ἠσ. 4, 8.
9. Ψαλ. 101, 28.

θρωπίνους συλλογισμούς. «Διότι ἐὰν οἱ νεκροὶ δὲν ἀνίστανται», λέγει, «οὔτε ὁ Χριστὸς ἀνέστη».

Εἰς τὴν συνέχειαν, ἀφοῦ προηγουμένως ἀντέστρεψεν αὐτὰ πολλὰς φοράς, μὲ ἄλλον πάλιν τρόπον ἐπιχειρεῖ, μὲ τὸ νὰ ὀνομάζῃ τὸν Χριστὸν ἀπαρχὴν καὶ νὰ δεικνύῃ ὅτι καταργεῖ κάθε ἀρχὴν καὶ ἐξουσίαν καὶ δύναμιν, καὶ τελευταῖον τὸν θάνατον. Πῶς λοιπὸν θὰ καταργηθῇ, θὰ εἰπῇ κάποιος, ἐὰν προηγουμένως δὲν ἀποβάλῃ τὰ σώματα ποὺ εἶχεν; Ἐπειδὴ λοιπὸν εἶπον μεγάλα πράγματα διὰ τὸν μονογενῆ, ὅτι παραδίδει τὴν βασιλείαν, δηλαδὴ ὅτι αὐτὸς ἐκτελεῖ αὐτὰ καὶ αὐτὸς νικᾷ εἰς τὸν πόλεμον καὶ θέτει ὁ Πατὴρ τὰ πάντα κάτω ἀπὸ τὰ πόδια του, προσέθεσε διὰ νὰ διορθώσῃ τὴν ἀπιστίαν πολλῶν· «Διότι πρέπει αὐτὸς νὰ βασιλεύῃ μέχρις ὅτου ὅλους τοὺς ἐχθροὺς θέσῃ κάτω ἀπὸ τὰ πόδια του». Δὲν ἐχρησιμοποίησε τὸ «ἄχρις» μὲ τὴν ἔννοιαν τοῦ τέλους τῆς βασιλείας, ἀλλὰ διὰ νὰ κάνῃ ἀξιόπιστον αὐτὸ ποὺ ἐλέχθη καὶ νὰ τοὺς ἐνθαρρύνῃ. Δηλαδή, λέγει, μή, ἐπειδὴ ἤκουσες ὅτι θὰ καταργήσῃ κάθε ἀρχὴν καὶ ἐξουσίαν καὶ δύναμιν καὶ τὸν διάβολον καὶ τὰς τόσας φάλαγγας τῶν διαβόλων καὶ τὰ πλήθη τῶν ἀπίστων καὶ τὴν τυραννίαν τοῦ θανάτου καὶ ὅλα τὰ κακά, φοβηθῇς ὡσὰν νὰ ἀτονῇ ὁ Θεός· διότι ἕως ὅτου κάνῃ ὅλα αὐτά, πρέπει αὐτὸς νὰ βασιλεύῃ· δὲν ἐννοεῖ ὅτι ἀφοῦ τὸ κάνῃ αὐτὸ ὁ Χριστὸς δὲν θὰ βασιλεύῃ μετά, ἀλλ' ἀποδεικνύει ὅτι καὶ ἐὰν δὲν γίνῃ τώρα, ὁπωσδήποτε ὅμως θὰ γίνῃ. Διότι δὲν διακόπτεται ἡ βασιλεία του, ἀλλ' ἐπικρατεῖ καὶ ἰσχύει καὶ μένει, ἕως ὅτου ἐπιτύχῃ τὰ πάντα.

Αὐτὴν δὲ τὴν πεποίθησιν ἠμπορεῖ νὰ εὕρῃ κανεὶς καὶ εἰς τὴν παλαιὰν Διαθήκην, ὅπως ὅταν λέγῃ, «Ὁ δὲ λόγος τοῦ Θεοῦ μένει αἰωνίως»[8]· καί, «Σὺ ὅμως εἶσαι ὁ ἴδιος καὶ τὰ ἔτη τῆς ζωῆς σου δὲν θὰ ἐξαντληθοῦν»[9]. Αὐτὰ καὶ τὰ παρόμοια δὲ τὰ λέγει ὁ προφήτης, ὅταν ὁμιλεῖ διὰ πράγματα ποὺ κατορθοῦνται εἰς μακρὸν χρόνον, ἀλλὰ θὰ γίνουν ὁπωσδήποτε, διὰ νὰ ἀποδιώξῃ τὴν δειλίαν αὐτῶν ποὺ ἔχουν σαρκικὸν φρόνημα. Διὰ τὸ ὅτι δὲ τὸ «ἄχρις», ὅταν λέγεται διὰ τὸν Θεόν, καὶ τὸ «ἕως», δὲν σημαίνουν τέλος,

ἔστι τέλους, ἄκουσον τί φησιν· «Ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος σὺ εἶ»· καὶ πάλιν, «Ἐγώ εἰμι, ἐγώ εἰμι»· καί, «Ἕως ἂν καταγηράσητε, ἐγώ εἰμι». Διὰ δὴ τοῦτο καὶ ἔσχατον τίθησι τὸν θάνατον, ἵνα ἀπὸ τῆς τῶν ἄλλων νίκης καὶ τοῦτο εὐπαράδεκτον γένηται τῷ ἀπιστοῦντι. Ὅταν γὰρ τὸν διάβολον ἀνέλῃ τὸν εἰσαγαγόντα τὸν θάνατον, πολλῷ μᾶλλον τὸ ἔργον τὸ ἐκείνου καταλύσει.

8. Ἐπεὶ οὖν πάντα αὐτῷ ἀνατέθεικε, τὸ καταργεῖν τὰς ἀρχάς, τὰς ἐξουσίας, τὸ κατορθῶσαι τὴν βασιλείαν, λέγω δὴ τῶν πιστῶν τὴν σωτηρίαν, τὴν τῆς οἰκουμένης εἰρήνην, τὴν τῶν κακῶν ἀναίρεσιν· τοῦτο γάρ ἐστι τὴν βασιλείαν κατορθῶσαι· τὸ καταλῦσαι τὸν θάνατον· καὶ οὐκ εἶπεν, ὅτι ὁ Πατὴρ δι' αὐτοῦ, ἀλλ' αὐτὸς καταργήσει, καὶ αὐτὸς θήσει ὑπὸ τοὺς πόδας αὐτοῦ, καὶ οὐδαμοῦ τοῦ γεγεννηκότος ἐμνημόνευσεν· ἐφοβήθη λοιπόν, μὴ διὰ τοῦτο δόξῃ παρά τισι τῶν ἀλογωτέρων ἢ μείζων εἶναι τοῦ Πατρὸς ὁ Υἱός, ἢ ἑτέρα τις ἀρχὴ ἀγέννητος. Καὶ διὰ τοῦτο ἠρέμα ἀσφαλιζόμενος παραμυθεῖται τὸν ὄγκον τῶν εἰρημένων, λέγων· «Πάντα γὰρ ὑπέταξεν ὑπὸ τοὺς πόδας αὐτοῦ»· πάλιν τῷ Πατρὶ τὰ κατορθώματα ἀνατιθείς, οὐχ ὡς ἀτονοῦντος τοῦ παιδός· πῶς γάρ, ᾧ τοσαῦτα ἐμαρτύρησεν ἔμπροσθεν, καὶ πάντα ἀνέθηκε τὰ εἰρημένα; ἀλλὰ διὰ τὴν αἰτίαν ἣν εἶπον, καὶ ἵνα δείξῃ κοινὰ Πατρὶ καὶ Υἱῷ τὰ ὑπὲρ ἡμῶν γενόμενα ἅπαντα. Ὅτι γὰρ αὐτὸς ἑαυτῷ ἤρκεσεν εἰς τὸ ὑποτάξαι αὐτῷ τὰ πάντα, ἄκουσον πάλιν Παύλου λέγοντος· «Ὃς μετασχηματίσει τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν εἰς τὸ γενέσθαι σύμμορφον τῷ σώματι τῆς δόξης αὐτοῦ, κατὰ τὴν ἐνέργειαν τοῦ δύνασθαι αὐτὸν καὶ ὑποτάξαι ἑαυτῷ τὰ πάντα».

Εἶτα καὶ ἐπιδιορθώσει κέχρηται λέγων· «Ὅταν δὲ εἴπῃ,

---

10. Ψαλμ. 89, 2.
11. Ἐξ. 3, 14.
12. Ἠσ. 46, 4.
13. Φιλ. 3, 21.

ἄκουσε τί λέγει· «Σὺ ὑπῆρχες προαιωνίως καὶ θὰ ὑπάρχης εἰς τοὺς αἰῶνας τῶν αἰώνων»[10]· καὶ πάλιν, «Ἐγὼ εἶμαι ὁ ὑπάρχων»[11] καί, «Ἕως ὅτου φθάσετε εἰς βαθὺ γῆρας, ἐγὼ ὑπάρχω»[12]. Δι' αὐτὸ λοιπὸν καὶ θέτει τελευταῖον τὸν θάνατον, ὥστε ἀπὸ τὴν νίκην εἰς τὰ ἄλλα νὰ γίνῃ καὶ αὐτὸ εὐκόλως παραδεκτὸν εἰς τὸν ἄπιστον. Διότι ὅταν καταργήσῃ τὸν διάβολον, ποὺ εἰσήγαγε τὸν θάνατον, πολὺ περισσότερον θὰ καταλύσῃ τὸ ἔργον του.

8. Ἐπειδὴ λοιπὸν ἀνέθεσε τὰ πάντα εἰς τὸν Χριστόν, τὸ νὰ καταργήσῃ τὰς ἀρχάς, τὰς ἐξουσίας, τὸ νὰ καθιερώσῃ τὴν βασιλείαν, ἐννοῶ δηλαδὴ τὴν σωτηρίαν τῶν πιστῶν, τὴν εἰρήνην τῆς οἰκουμένης, τὴν ἀναίρεσιν τῶν κακῶν· διότι αὐτὸ σημαίνει νὰ καθιερώσῃ τὴν βασιλείαν· τὸ νὰ καταργήσῃ τὸν θάνατον· καὶ δὲν εἶπεν, ὅτι ὁ Πατὴρ δι' αὐτοῦ θὰ κάνῃ αὐτά, ἀλλ' ὅτι αὐτὸς θὰ καταργήσῃ καὶ ὅτι ὁ ἴδιος θὰ ὑποτάξῃ τὰ πάντα κάτω ἀπὸ τὰ πόδια του, καὶ πουθενὰ δὲν ἀνέφερε τὸν Πατέρα· ἐφοβήθη λοιπόν, μήπως δι' αὐτὸ νομισθῇ ἀπὸ μερικοὺς ἀπὸ τοὺς πλέον ἀνοήτους, ὅτι ἢ ἀνώτερος εἶναι ὁ Υἱὸς ἀπὸ τὸν Πατέρα, ἢ κάποια ἄλλη ἀρχὴ ἀγέννητος ὑπάρχει. Καὶ δι' αὐτὸ διὰ νὰ τοὺς ἀσφαλίσῃ κατ' ὀλίγον ἀπὸ αὐτὸν τὸν κίνδυνον μετριάζει τὸ μέγεθος αὐτῶν ποὺ ἐλέχθησαν, μὲ τοὺς λόγους· «Διότι τὰ πάντα ὑπέταξε κάτω ἀπὸ τὰ πόδια του», ἀποδίδων ἔτσι πάλιν τὰ κατορθώματα εἰς τὸν Πατέρα, ὄχι ὡσὰν νὰ ἀτονῇ ὁ Υἱός, διότι πῶς εἶναι δυνατόν, ἀφοῦ δι' αὐτὸν ἐμαρτύρησε τόσα μεγάλα πράγματα προηγουμένως, καὶ ὅλα ὅσα ἐλέχθησαν τὰ ἀπέδωσαν εἰς αὐτόν; ἀλλὰ διὰ τὸν λόγον τὸν ὁποῖον εἶπον καὶ διὰ νὰ δείξῃ ὅτι ὅλα ὅσα ἔγιναν πρὸς χάριν μας, ἔγιναν ἀπὸ κοινοῦ ἀπὸ τὸν Πατέρα καὶ τὸν Υἱόν. Διότι διὰ τὸ ὅτι ὁ Χριστὸς ἠμπορεῖ μόνος νὰ ὑποτάξῃ τὰ πάντα εἰς τὸν ἑαυτόν του, ἄκουσε πάλιν τὸν Παῦλον ποὺ λέγει· «Ὁ Χριστὸς θὰ μεταμορφώσῃ τὸ ταπεινόν μας σῶμα, ὥστε νὰ λάβῃ τὴν ἰδίαν μορφὴν πρὸς τὸν ἔνδοξον σῶμά του, μὲ τὴν δύναμιν μὲ τὴν ὁποίαν ἠμπορεῖ καὶ νὰ ὑποτάξῃ τὰ πάντα εἰς τὸν ἑαυτόν του»[13].

Εἰς τὴν συνέχειαν χρησιμοποιεῖ καὶ διόρθωσιν μὲ τοὺς

ὅτι πάντα ὑποτέτακται, δῆλον ὅτι ἐκτὸς τοῦ ὑποτάξαντος αὐτῷ τὰ πάντα», οὐ μικρὰν κἀντεῦθεν τῷ μονογενεῖ μαρτυρῶν δόξαν. Εἰ γὰρ ἐλάττων ἦν καὶ πολὺ καταδεέστερος, οὐκ ἂν τοῦτο ἐφοβήθη ποτὲ τὸ δέος. Καὶ οὐδὲ τούτῳ ἀρκεῖται, ἀλλὰ καὶ ἕτερον προστίθησι λέγων. Ἵνα γὰρ μή τις ὑποπτεύῃ καὶ λέγῃ, τί γὰρ εἰ καὶ μὴ ὑποτέτακται ὁ Πατήρ; οὐδὲν τοῦτο κωλύει ἰσχυρότερον εἶναι τὸν Υἱόν· δείσας τὴν ἀσεβῆ ταύτην ὑπόνοιαν, ἐπειδὴ ἐκεῖνο οὐκ ἤρκει καὶ τοῦτο δεῖξαι, προσέθηκεν ἐκ περιουσίας πολλῆς· «Ὅταν δὲ ὑποταγῇ αὐτῷ τὰ πάντα, τότε καὶ αὐτὸς ὁ Υἱὸς ὑποταγήσεται»· τὴν πολλὴν πρὸς τὸν Πατέρα ὁμόνοιαν δεικνύς, καὶ ὅτι οὗτος ἀρχὴ πάντων τῶν ἀγαθῶν καὶ αἰτία πρώτη, ὁ τὸν τοσαῦτα δυνάμενον καὶ κατορθοῦντα γεγεννηκώς.

Εἰ δὲ πλέον εἴρηκεν ἢ ἀπῄτει τοῦ πράγματος ἡ ὑπόθεσις, μὴ θαυμάσῃς· τὸν γὰρ διδάσκαλον τὸν ἑαυτοῦ μιμούμενος, ταῦτα ποιεῖ. Καὶ γὰρ αὐτὸς ὁμόνοιαν δεῖξαι βουλόμενος πρὸς τὸν γεγεννηκότα, καὶ ὅτι οὐ παρὰ γνώμην αὐτοῦ ἀφῖκται, τοσοῦτον καταβαίνει, οὐχ ὅσον ἀπῄτει τῆς ὁμονοίας ἡ ἀπόδειξις, ἀλλ' ὅσον ἐδεῖτο τῶν παρόντων ἡ ἀσθένεια. Εὔχεται γὰρ τῷ γεγεννηκότι δι' οὐδὲν ἄλλο, ἢ διὰ τοῦτο, καὶ τὴν αἰτίαν τιθεὶς φησιν, «Ἵνα πιστεύσωσιν ὅτι σύ με ἀπέστειλας». Τοῦτον οὖν μιμούμενος καὶ ἐνταῦθα ἐκ περιουσίας τῇ λέξει κέχρηται, οὐχ ἵνα δουλείαν κατηναγκασμένην ὑποπτεύσῃς, ἄπαγε, ἀλλ' ἵνα τὰ ἄτοπα ἐκεῖνα δόγματα ἐκ περιουσίας ἐκβάλῃ. Καὶ γὰρ ὅταν βούληταί τι πρόρριζον ἀνασπάσαι, πολλῇ κέχρηται τῇ περιουσίᾳ.

Οὕτω γοῦν καὶ περὶ γυναικὸς πιστῆς λέγων καὶ ἀνδρὸς ἀπίστου ὁμιλούντων ἀλλήλοις νόμῳ γάμου, ἵνα μὴ νομίσῃ ἡ γυνὴ μολύνεσθαι ἀπὸ τῆς μίξεως καὶ τῶν περιπλοκῶν τῶν

---

14. Ἰω. 11, 42.

λόγους· «Ὅταν δὲ ὁ Πατὴρ εἰπῇ εἰς τὸν Χριστόν, ὅτι ὅλα πλέον ἔχουν ὑποταγῇ εἰς σέ, εἶναι φανερὸν ὅτι ἀπὸ αὐτὴν τὴν ὑποταγὴν θὰ ἐξαιρῆται ὁ Πατήρ, ὁ ὁποῖος ὑπέταξεν εἰς τὸν Χριστὸν τὰ πάντα», καὶ μαρτυρεῖ ἔτσι ὄχι μικρὰν δόξαν διὰ τὸν μονογενῆ. Διότι ἐὰν ἦτο κατώτερος καὶ πολὺ ὑποδεέστερος, δὲν θὰ κατελαμβάνετο ποτὲ ἀπὸ αὐτὸν τὸν φόβον. Καὶ οὔτε εἰς αὐτὸ ἀρκεῖται, ἀλλὰ προσθέτει καὶ ἄλλο μὲ τοὺς λόγους. Διὰ νὰ μὴ ὑποπτεύεται δηλαδὴ κανεὶς καὶ λέγει, τί λοιπὸν καὶ ἂν δὲν ὑπετάγη ὁ Πατήρ; τίποτε δὲν ἐμποδίζει αὐτὸ εἰς τὸ νὰ εἶναι ἰσχυρότερος ὁ Υἱός· ἐπειδὴ ἐφοβήθη αὐτὴν τὴν ἀσεβῆ ὑπόνοιαν, ἐπειδὴ ἐκεῖνο δὲν ἦτο ἀρκετὸν ν' ἀποδείξῃ καὶ αὐτό, προσέθεσε μὲ πολλὴν ἔμφασιν· «Ὅταν δὲ ὑποταγοῦν εἰς αὐτὸν τὰ πάντα, τότε καὶ αὐτὸς ὁ Υἱὸς θὰ ὑποταγῇ»· καὶ δεικνύει ἔτσι ὅτι ὑπάρχει ἀπόλυτος ὁμόνοια πρὸς τὸν Πατέρα καὶ ὅτι αὐτὸς εἶναι ἡ ἀρχὴ ὅλων τῶν ἀγαθῶν καὶ ἡ πρώτη αἰτία, ὁ ὁποῖος ἔχει γεννήσει ἀχρόνως τὸν Υἱὸν ποὺ ἠμπορεῖ καὶ κατορθώνει τόσον πολλὰ καὶ ἀκατόρθωτα δι' ἄλλον.

Ἐὰν δὲ εἶπε περισσότερα ἀπὸ ὅσα ἀπῄτει ἡ ὑπόθεσις τοῦ πράγματος, μὴ ἀπορήσῃς· διότι κάμνει αὐτὰ μιμούμενος τὸν διδάσκαλόν του. Διότι καὶ ὁ Χριστὸς ὅταν θέλῃ νὰ δείξῃ ὁμόνοιαν πρὸς τὸν Πατέρα ποὺ τὸν ἐγέννησεν ἀχρόνως καὶ ὅτι δὲν ἦλθε χωρὶς τὴν ἰδικήν του θέλησιν, συγκαταβαίνει τόσον, ὄχι ὅσον ἀπῄτει ἡ ἀπόδειξις τῆς ὁμονοίας, ἀλλ' ὅσον ἐχρειάζετο ἡ ἀσθένεια τῶν παρόντων. Διότι προσεύχεται εἰς τὸν Πατέρα διὰ κανένα ἄλλον λόγον, παρὰ δι' αὐτό, καὶ ἀφοῦ ἀφανέρωσε τὴν αἰτίαν, λέγει· «διὰ νὰ πιστεύσουν ὅτι σὺ μὲ ἀπέστειλες»[14]. Μιμούμενος λοιπὸν καὶ ἐδῶ τὸν Χριστὸν χρησιμοποιεῖ μὲ ἔμφασιν τὴν λέξιν, ὄχι διὰ νὰ ὑποπτευθῇς ἀναγκαστικὴν δουλείαν, μακρυὰ ἀπὸ αὐτὴν τὴν βλασφημίαν, ἀλλὰ διὰ νὰ ἐκβάλῃ τὴν πίστιν εἰς τὰς παραλόγους ἐκείνας δοξασίας. Διότι ὅταν θέλῃ νὰ ἐκριζώσῃ κάτι χρησιμοποιεῖ πολλὴν ἔμφασιν.

Ἔτσι λοιπὸν καὶ ὅταν ὁμιλῇ διὰ τὴν σχέσιν γυναικὸς πιστῆς καὶ ἀνδρὸς ἀπίστου οἱ ὁποῖοι συνδέονται μὲ νόμιμον γάμον, διὰ νὰ μὴ νομίσῃ ἡ γυνὴ ὅτι μολύνεται ἀπὸ τὴν

περὶ τὸν ἄπιστον, οὐκ εἶπεν, ὅτι οὐκ ἔστιν ἀκάθαρτος ἡ γυνή, οὐδ' ὅτι οὐδὲν βλάπτεται παρὰ τοῦ ἀπίστου, ἀλλ', ὃ πολλῷ πλέον ἦν, ὅτι καὶ ὁ ἄπιστος ἡγίασται δι' αὐτῆς, οὐ τοῦτο δεῖξαι βουλόμενος, ὅτι ὁ Ἕλλην ἅγιος ἐγένετο ἐξ ἐκείνης, ἀλλὰ τῇ ὑπερβολῇ τοῦ ῥήματος τὸν φόβον αὐτῆς ἐκλῦσαι σπεύδων. Οὕτω καὶ ἐνταῦθα τῇ περιουσίᾳ τῆς λέξεως τὸ ἀσεβὲς ἐκεῖνο δόγμα ἀνελεῖν ἐσπουδακώς, εἶπεν ὅπερ εἴρηκεν. Ὥσπερ γὰρ ἀσθενῆ τὸν Υἱὸν ὑποπτεύειν, τῆς ἐσχάτης παρανομίας ἐστὶ (διόπερ αὐτὸ διορθοῦται λέγων, ὅτι πάντας τοὺς ἐχθροὺς αὐτοῦ θήσει ὑπὸ τοὺς πόδας αὐτοῦ)· οὕτω τούτου ἀσεβέστερον πάλιν τὸ ἐλάττονα νομίζειν τὸν Πατέρα· διὸ καὶ αὐτὸ μετὰ πολλῆς ἀναιρεῖ τῆς ὑπερβολῆς.

Καὶ ὅρα πῶς αὐτὸ τίθησιν. Οὐ γὰρ εἶπεν, «ἐκτὸς τοῦ ὑποτάξαντος», ἁπλῶς, ἀλλά, «δῆλον ὅτι». Εἰ γὰρ καὶ ὡμολόγηται, φησίν, ἀλλ' ὅμως ἀσφαλίζομαι. Καὶ ἵνα μάθῃς, ὅτι αὕτη ἐστὶν ἡ αἰτία τῶν εἰρημένων, ἐκεῖνο ἄν σε ἐροίμην· ἆρα προσθήκη γίνεται ὑποταγῆς τότε τῷ Υἱῷ; Καὶ πῶς οὐκ ἄτοπον καὶ Θεοῦ ἀνάξιον; Ἡ γὰρ μεγίστη ὑποταγὴ καὶ ὑπακοὴ αὕτη, τὸ τὸν Θεὸν ὄντα δούλου μορφὴν λαβεῖν. Πῶς οὖν τότε ὑποταγήσεται; Ὁρᾷς ὅτι τὴν ἄτοπον ὑποψίαν ἀναιρῶν, τοῦτο τέθεικε; καὶ τοῦτο δὲ μετὰ τῆς προσηκούσης ὑπονοίας. Ὡς γὰρ Υἱῷ προσῆκε καὶ Θεῷ, οὕτως ὑπακούει, οὐκ ἀνθρωπίνως, ἀλλ' ἐλευθεριάζων καὶ ἐξουσίαν πᾶσαν ἔχων. Ἐπεὶ πῶς σύνθρονος; πῶς ὡς ὁ Πατὴρ ἐγείρει, οὕτω καὶ αὐτὸς οὓς θέλει; πῶς τὰ τοῦ Πατρός, αὐτοῦ πάντα, καὶ τὰ αὐτοῦ, τοῦ Πατρός; Ταῦτα γὰρ ἐξουσίαν ἐπηκριβωμένην πρὸς τὸν γεγεννηκότα ἡμῖν ἐνδείκνυται.

9. Τί δέ ἐστι, «ὅταν παραδῷ τὴν βασιλείαν; Βασιλείας

σαρκικὴν ἕνωσιν καὶ τὰς περιπτύξεις μὲ τὸν ἄπιστον, δὲν εἶπεν ὅτι εἶναι ἀκάθαρτος ἀπὸ αὐτὸ ἡ γυνή, οὔτε ὅτι δὲν βλάπτεται καθόλου ἀπὸ τὸν ἄπιστον, ἀλλ' αὐτὸ ποὺ ἦτο πολὺ περισσότερον, ὅτι δηλαδὴ καὶ ὁ πιστὸς ἁγιάζεται ἀπὸ αὐτήν, ὄχι διότι αὐτὸ ἤθελε ν' ἀποδείξῃ, ὅτι δηλαδὴ ὁ εἰδωλολάτρης ἔγινεν ἅγιος διὰ μέσου ἐκείνης, ἀλλ' ἐπειδὴ προσπαθεῖ μὲ τὴν ὑπερβολὴν εἰς τὸν λόγον νὰ διαλύσῃ τὸν φόβον τῆς πιστῆς. Ἔτσι καὶ ἐδῶ ἐπειδὴ προσεπάθησε μὲ τὴν ὑπερβολὴν εἰς τὴν λέξιν νὰ ἀναιρέσῃ τὴν ἀσεβῆ ἐκείνην δοξασίαν, δι' αὐτὸ εἶπεν αὐτὸ ποὺ εἶπεν. Διότι ὅπως τὸ νὰ ὑποπτεύεται κανεὶς τὸν Υἱὸν ὡς ἀδύνατον εἶναι ἀποτέλεσμα ἐσχάτης παρανομίας (δι' αὐτὸ διορθώνει αὐτὸ μὲ τοὺς λόγους ὅτι θὰ θέσῃ κάτω ἀπὸ τὰ πόδια του ὅλους τοὺς ἐχθρούς του) ἔτσι εἶναι ἀσεβέστερον ἀπὸ αὐτὸ τὸ νὰ νομίζῃ κανεὶς πάλιν τὸν Πατέρα κατώτερον· δι' αὐτὸ ἀναιρεῖ καὶ αὐτὸ μὲ πολλὴν ἔμφασιν καὶ ὑπερβολήν.

Καὶ πρόσεχε πῶς λέγει αὐτό. Δὲν εἶπεν δηλαδή, «ἐκτὸς ἀπὸ τὸν Πατέρα ποὺ ὑπέταξε τὰ πάντα εἰς τὸν Υἱόν», ἁπλῶς, ἀλλ' «εἶναι φανερόν». Ἂν καὶ ἔχετε βεβαίως ὁμολογήσει πίστιν εἰς αὐτό, ἐννοεῖ, ἐγὼ ὅμως σᾶς ἀσφαλίζω. Καὶ διὰ νὰ πεισθῇς ὅτι αὐτὴ εἶναι ἡ αἰτία δι' ὅσα ἐλέχθησαν, θὰ σὲ ἐρωτοῦσα τὸ ἑξῆς· ἆρά γε εἶναι δυνατὸν νὰ προστεθῇ τότε ὑποταγὴ εἰς τὸν Υἱόν; Καὶ πῶς αὐτὸ δὲν εἶναι ἄτοπον καὶ ἀνάξιον τοῦ Θεοῦ; Διότι ἡ μεγίστη ὑποταγὴ καὶ ὑπακοὴ εἶναι τὸ ὅτι, ἐνῷ εἶναι Θεός, ἔλαβε μορφὴν δούλου. Πῶς λοιπὸν θὰ ὑποταγῇ τότε; Βλέπεις ὅτι αὐτὸ το εἶπε διὰ ν' ἀναιρέσῃ τὴν παράλογον ὑποψίαν; Καὶ αὐτὸ ὅμως τὸ εἶπε μὲ τὴν πρέπουσαν ἔννοιαν. Δηλαδὴ ὅπως ἥρμοζεν εἰς Υἱὸν καὶ Θεόν, ἔτσι ὑπακούει, ὄχι ἀνθρωπίνως, ἀλλὰ μὲ ἐλευθερίαν καὶ μὲ κάθε ἐξουσίαν. Διότι πῶς θὰ ἦτο σύνθρονος; πῶς, ὅπως ὁ Πατὴρ ἀνιστᾷ, ἔτσι καὶ ὁ Υἱὸς ὁποίους θέλει; Πῶς ὅσα εἶναι τοῦ Πατρὸς ὅλα εἶναι ἰδικά του, καὶ τὰ ἰδικά του τοῦ Πατρός; Αὐτὰ λοιπὸν μᾶς δεικνύουν τελείαν ἐξουσίαν, ὅπως καὶ ὁ Πατὴρ ποὺ τὸν ἔχει γεννήσει ἀχρόνως.

9. Τί σημαίνει δέ, «ὅταν θὰ παραδώσῃ τὴν βασιλείαν»;

τοῦ Θεοῦ δύο οἶδεν ἡ Γραφή, τὴν μὲν κατ' οἰκείωσιν, τὴν δὲ κατὰ δημιουργίαν. Βασιλεύει μὲν γὰρ ἁπάντων, καὶ Ἑλλήνων καὶ Ἰουδαίων καὶ δαιμόνων καὶ τῶν ἀντιτεταγμένων, κατὰ τὸν τῆς δημιουργίας λόγον· βασιλεύει δὲ τῶν πιστῶν καὶ ἑκόντων καὶ ὑποτεταγμένων, κατὰ τὸν τῆς οἰκειώσεως. Αὕτη ἡ βασιλεία καὶ ἀρχὴν ἔχειν λέγεται. Περὶ γὰρ ταύτης φησὶ καὶ ἐν τῷ δευτέρῳ ψαλμῷ, «Αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου»· περὶ ταύτης καὶ αὐτὸς εἴρηκε τοῖς μαθηταῖς, «Ἐδόθη μοι πᾶσα ἐξουσία ὑπὸ τοῦ Πατρός μου», τῷ γεγεννηκότι ἅπαντα ἀνατιθείς, οὐχ ὡς αὐτὸς οὐκ ἀρκῶν, ἀλλὰ δεικνὺς ὅτι Υἱός ἐστι, καὶ οὐχὶ ἀγέννητος. Ταύτην οὖν παραδίδωσι, τουτέστι, κατορθοῖ.

Τί δήποτ' οὖν περὶ τοῦ Πνεύματος, φησίν, οὐδὲν εἴρηκεν; Ὅτι οὐ περὶ τούτου ὁ λόγος αὐτῷ ἦν νῦν, οὐδὲ ὁμοῦ πάντα συγχεῖ. Ἐπεὶ καὶ ὅταν λέγῃ, «Εἷς Θεὸς ὁ Πατήρ, καὶ εἷς Κύριος Ἰησοῦς», οὐ πάντως ἔλαττον ἀφεὶς εἶναι τὸ Πνεῦμα, διὰ τοῦτο σιγᾷ, ἀλλ' ἐπειδὴ τέως οὐ κατήπειγε, τοῦτο εἶπεν. Οἶδε γὰρ καὶ τοῦ Πατρὸς μεμνῆσθαι μόνου, καὶ οὐ διὰ τοῦτο τὸν Υἱὸν ἐκβαλοῦμεν· οἶδε καὶ τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος μόνου, καὶ οὐ διὰ τοῦτο τὸν Πατέρα ἀθετήσομεν. Τί δέ ἐστιν, «Ἵνα ᾖ ὁ Θεὸς τὰ πάντα ἐν πᾶσιν»; Ἵνα ἅπαντα εἰς αὐτὸν ἀνηρτημένα ᾖ, ἵνα μὴ δύο τις ἀρχὰς ἀνάρχους ὑποπτεύῃ, μηδὲ ἑτέραν βασιλείαν ἀπεσχισμένην· ἵνα μηδὲν αὐτοῦ ἀπηρτισμένον ᾖ. Ὅταν γὰρ οἱ μὲν ἐχθροὶ ὑπὸ τοὺς πόδας ὦσι κείμε-

Βασιλείας τοῦ Θεοῦ δύο γνωρίζει ἡ ἁγία Γραφή, τὴν μὲν μίαν αὐτὴν ποὺ οἰκειοῦται ὁ ἄνθρωπος ὅταν ἁγιασθῇ, τὴν δὲ ἄλλην, αὐτὴν ποὺ ὑπάρχει ἀπὸ τὴν δημιουργίαν. Διότι βασιλεύει μὲν εἰς ὅλους, καὶ εἰς τοὺς εἰδωλολάτρας καὶ εἰς τοὺς Ἰουδαίους καὶ εἰς τοὺς δαίμονας καὶ εἰς ὅσους ἀντιτάσσονται εἰς αὐτόν, λόγῳ τῆς δημιουργίας των ἀπὸ τὸν Θεόν, βασιλεύει ὅμως εἰς τοὺς πιστοὺς μὲ τὴν ἰδικήν των θέλησιν καὶ ἐπειδὴ ἔχουν μόνοι των ὑποταγῆ εἰς τὸν Θεόν, λόγῳ τοῦ ὅτι ἔχουν οἰκειωθῆ μαζί του. Αὐτὴ ἡ βασιλεία λέγομεν ὅτι ἔχει ἐξουσίαν. Διότι δι' αὐτὴν λέγει καὶ εἰς τὸν δεύτερον ψαλμόν, «Ζήτησε ἀπὸ ἐμὲ καὶ θὰ σοῦ δώσω ὑπὸ τὴν κυριαρχίαν σου ὅλα τὰ ἔθνη τῆς γῆς»˙ δι' αὐτὴν καὶ ὁ ἴδιος εἶπεν εἰς τοὺς μαθητάς, «Μοῦ ἐδόθη πλήρης ἐξουσία εἰς τὸν οὐρανὸν καὶ εἰς τὴν γῆν ἀπὸ τὸν Πατέρα μου», καὶ ἀπέδωσεν ἔτσι τὰ πάντα εἰς τὸν Πατέρα ποὺ τὸν ἔχει ἀνάρχως γεννήσει, ὄχι ὅτι ὁ ἴδιος δὲν ἔχει δύναμιν καὶ ἐξουσίαν, ἀλλὰ διὰ νὰ δείξῃ ὅτι Υἱὸς εἶναι καὶ ὄχι ἀγέννητος ὅπως ὁ Πατήρ. Αὐτὴν λοιπὸν παραδίδει, δηλαδὴ φέρει εἰς καλὴν ἔκβασιν.

Ἀλλὰ διατί ἆρά γε δὲν εἶπε τίποτε διὰ τὸ ἅγιον Πνεῦμα; θὰ εἰπῇ κάποιος. Διότι δὲν γίνεται λόγος τώρα δι' αὐτό, οὔτε συγχέει τὰ πρόσωπα τῆς ἁγίας Τριάδος. Διότι καὶ ὅταν λέγῃ, «Ἕνας Θεός, ὁ Πατήρ, καὶ ἕνας Κύριος, ὁ Ἰησοῦς»˙ δὲν ἀποσιωπᾷ ὁπωσδήποτε τὸ ἅγιον Πνεῦμα, ἐπειδὴ τὸ θεωρεῖ κατώτερον, ἀλλ' εἶπεν αὐτὸ ἐπειδὴ ἕως τότε δὲν ἦτο ἀναγκαῖον νὰ ὁμιλήσῃ καὶ διὰ τὸ ἅγιον Πνεῦμα. Διότι πολλὰς φορὰς μνημονεύει καὶ μόνον τὸν Πατέρα, καὶ δὲν θὰ ἐκβάλωμεν δι' αὐτὸν τὸν λόγον καὶ τὸν Υἱόν˙ μνημονεύει καὶ τὸν Υἱὸν καὶ τὸ ἅγιον Πνεῦμα μόνον, καὶ δὲν θὰ ἀπορρίψωμεν δι' αὐτὸ τὴν πίστιν εἰς τὸν Πατέρα. Τί σημαίνει ὅμως, «διὰ νὰ εἶναι ὁ Θεὸς τὰ πάντα ἐν πᾶσι»; Νὰ ἐξαρτῶνται τὰ πάντα ἀπὸ τὸν Θεόν, νὰ μὴ νομίζῃ κανεὶς ὅτι ὑπάρχουν δύο ἐξουσίαι ἄναρχοι, οὔτε ἄλλη βασιλεία ποὺ ἔχει ἀποσχισθῆ ἀπὸ τὴν βασιλείαν τοῦ Θεοῦ˙ διὰ νὰ μὴ ὑπάρχῃ τίποτε ποὺ νὰ εἶναι ἀποχωρισμένον ἀπὸ τὸν Θεόν. Διότι, ὅταν οἱ μὲν ἐχθροὶ τοῦ Θεοῦ εὑρίσκονται

νοι τοῦ παιδός, ὁ δὲ ἔχων αὐτοὺς ὑπὸ πόδας ἐρριμένους μὴ στασιάζῃ πρὸς τὸν γεγεννηκότα, ἀλλ' ὁμονοῇ μετὰ πολλῆς τῆς ἀκριβείας, αὐτὸς ἔσται τὰ πάντα ἐν πᾶσι. Τινὲς δὲ καὶ τῆς κακίας τὴν ἀναίρεσιν δηλοῦντα τοῦτό φασιν αὐτὸν εἰρηκέναι, ὡς πάντων εἰκόντων λοιπὸν καὶ οὐδενὸς ἀνθισταμένου οὐδὲ πονηρευομένου. Ὅταν γὰρ ἁμαρτία μὴ ᾖ, εὔδηλον ὅτι ὁ Θεὸς ἔσται τὰ πάντα ἐν πᾶσιν. Εἰ δὲ μὴ ἀνίστανται τὰ σώματα, πῶς ταῦτα ἀληθῆ; ὁ γὰρ χαλεπώτατος ἐχθρὸς ἁπάντων θάνατος μένει ἀνύσας ὅπερ ἠθέλησεν. Οὐχί, φησίν· οὐδὲ γὰρ ἁμαρτήσονται λοιπόν, φησί.

Καὶ τί τοῦτο; Οὐδὲ γὰρ περὶ τοῦ θανάτου τῆς ψυχῆς, ἀλλὰ περὶ τοῦ σωματικοῦ διαλέγεται ἐνταῦθα. Πῶς οὖν καταργεῖται; Νίκη γάρ τοῦτό ἐστι, τὸ τὰ ἀφαιρεθέντα καὶ κατεχόμενα λαβεῖν. Εἰ δὲ μέλλοι κατέχεσθαι ἐν τῇ γῇ τὰ σώματα, ἄρα μένει αὐτοῦ ἡ τυραννίς, τούτων μὲν κατεχομένων, ἑτέρου δὲ οὐκ ὄντος σώματος ἔνθα ἡττηθήσεται. Ἂν δὲ τοῦτο, ὅπερ εἶπεν ὁ Παῦλος, γένηται, ὥσπερ οὖν καὶ γενήσεται, καὶ λαμπρὰ ἡ νίκη φανεῖται, τοῦ Θεοῦ δυνηθέντος ἀναἀναστῆσαι τὰ κατασχεθέντα ὑπ' αὐτοῦ σώματα. Ἐπεὶ καὶ πολέμιον τότε τις νικᾷ, ὅταν λάβῃ τὰ σκῦλα, οὐχ ὅταν ἀφῇ παρ' αὐτῷ μένειν· εἰ δὲ μή τις τολμῴη τὰ αὐτοῦ λαβεῖν, πῶς ἂν φαίημεν αὐτὸν ἡττῆσθαι; Τοῦτον καὶ ὁ Χριστὸς τῆς νίκης τὸν τρόπον ἐν τοῖς εὐαγγελίοις νενικηκέναι φησίν, οὕτω λέγων· «Ὅταν δήσῃ τὸν ἰσχυρόν, τότε καὶ τὰ σκεύη αὐτοῦ διαρπάσει». Ἐπεὶ εἰ μὴ τοῦτο γένοιτο, οὐδὲ νίκη σαφὴς ἂν εἴη.

Ὥσπερ γὰρ ἐπὶ τοῦ θανάτου τῆς ψυχῆς ὁ ἀποθανὼν δεδικαίωται ἀπὸ τῆς ἁμαρτίας, καὶ οὐκ ἂν εἴποιμεν τοῦτο νίκην εἶναι· ἐκεῖνος γάρ ἐστιν ὁ νενικηκώς, οὐχ ὁ μὴ προσθεὶς τοῖς κακοῖς, ἀλλ' ὁ τὴν ἤδη γεγενημένην τῶν παθῶν αἰχμαλωσίαν διαλύσας· οὕτω δὴ καὶ ἐνταῦθα, οὐ τὸ στῆναι

εἰς ὑποταγὴν κάτω ἀπὸ τὰ πόδια τοῦ Υἱοῦ, ὁ δὲ Υἱός, ἐνῷ θὰ ἔχῃ αὐτοὺς κάτω ἀπὸ τὰ πόδια του δὲν θὰ ἐπαναστατῇ πρὸς τὸν Πατέρα, ἀλλ᾽ θὰ ὁμονοῇ ἀπολύτως, αὐτὸς θὰ εἶναι τὰ πάντα ἐν πᾶσι. Μερικοὶ δὲ λέγουν ὅτι μὲ αὐτὸ ποὺ εἶπεν ὁ Παῦλος δηλοῖ τὴν κατάργησιν τῆς κακίας, ἐπειδὴ ὅλοι πλέον θὰ ἔχουν ὑποταγῇ καὶ κανεὶς δὲν θὰ ἀνθίσταται οὔτε θὰ ἁμαρτάνῃ. Ὅταν λοιπὸν δὲν ὑπάρχῃ ἁμαρτία, εἶναι φανερὸν ὅτι ὁ Θεὸς θὰ εἶναι τὰ πάντα ἐν πᾶσιν. Ἐὰν ὅμως δὲν ἀνίστανται τὰ σώματα, πῶς ἀληθεύουν αὐτά; διότι ὁ φοβερώτατος ἐχθρὸς ἀπὸ ὅλους, ὁ θάνατος, παραμένει ἀφοῦ κατώρθωσεν ὅ,τι ἤθελεν. Ὄχι, ἀπαντᾷ˙ διότι δὲν θὰ ἁμαρτήσουν πλέον, λέγει.

Καὶ τί σημαίνει αὐτό; Διότι δὲν ὁμιλεῖ διὰ τὸν θάνατον τῆς ψυχῆς ἐδῶ, ἀλλὰ τοῦ σώματος. Πῶς λοιπὸν καταργεῖται; Διότι νίκη αὐτὸ εἶναι, τὸ ν᾽ ἀνακτήσῃ κανεὶς αὐτὰ ποὺ τοῦ ἀφῄρεσαν καὶ τὰ κατέχουν. Ἐὰν ὅμως πρόκειται νὰ μένουν εἰς τὴν γῆν τὰ σώματα, ἄρα παραμένει ἡ τυραννία τοῦ θανάτου, ἀφοῦ τὰ μὲν σώματά μας κατέχονται, ἄλλο σῶμα δὲ δὲν ὑπάρχει ἀπὸ τὸ ὁποῖον θὰ ἡττηθῇ. Ἂν ὅμως γίνῃ αὐτὸ ποὺ εἶπεν ὁ Παῦλος, ὅπως βεβαίως καὶ θὰ γίνῃ, ἡ νίκη θὰ ἐμφανισθῇ λαμπρά, ἀφοῦ ὁ Θεὸς θ᾽ ἀναστήσῃ τὰ σώματα ποὺ ἐκρατήθησαν ἀπὸ τὸν θάνατον. Διότι καὶ τὸν ἀντίπαλον τότε τὸν νικᾷ κανείς, ὅταν πάρῃ τὰ λάφυρα, ὄχι ὅταν ἀφήσῃ αὐτὸν νὰ τὰ κατέχῃ˙ ἐὰν ὅμως κανεὶς δὲν θὰ ἐτόλμα νὰ λάβῃ ἀπὸ αὐτὸν πάλιν τὰ ἰδικά του, πῶς θὰ ἐλέγομεν ὅτι ἡττήθη; Μὲ αὐτὸν τὸν τρόπον νίκης λέγεται εἰς τὰ Εὐαγγέλια, ὅτι καὶ ὁ Χριστὸς ἐνίκησε μὲ τοὺς ἑξῆς λόγους˙ «Ὅταν δέσῃ τὸν ἰσχυρὸν διάβολον, τότε θὰ ἁρπάσῃ τοὺς ἀνθρώπους ποὺ τοὺς κατέχει ὡσὰν σκεύη». Διότι ἐὰν δὲν ἐγίνετο αὐτό, δὲν θὰ ἦτο σαφὴς νίκη.

Ὅπως ἀκριβῶς λοιπὸν εἰς τὸν θάνατον τῆς ψυχῆς αὐτὸς ποὺ ἀπέθανεν ἔχει καταδικασθῇ ἀπὸ τὴν ἁμαρτίαν, καὶ δὲν θὰ ἐλέγομεν ὅτι αὐτὸ εἶναι νίκη˙ διότι ὁ νικητὴς εἶναι ὄχι ἐκεῖνος ποὺ δὲν ἐπῆγε μὲ τὸ μέρος τῶν κακῶν, ἀλλ᾽ αὐτὸς ποὺ διέλυσε τὴν αἰχμαλωσίαν τῶν παθῶν ποὺ ἤδη εἶχε συντελεσθῇ˙ ἔτσι λοιπὸν καὶ ἐδῶ δὲν θὰ ἔλεγον

τὸν θάνατον ἐπινεμόμενον τὰ σώματα φαίην ἂν εἶναι νίκην λαμπράν, ἀλλὰ τὸ τὰ κατασχεθέντα ἤδη ἀποσπασθῆναι παρ' αὐτοῦ. Εἰ δὲ ἔτι φιλονεικοῖεν καὶ λέγοιεν περὶ τοῦ ψυχικοῦ θανάτου ταῦτα εἰρῆσθαι, πῶς ἔσχατος καταργεῖται οὗτος; καὶ γὰρ ἐφ' ἑκάστῳ βαπτιζομένῳ κατηργήθη τέλεον. Ἂν μέντοι περὶ σώματος λέγῃς, ἔχει χώραν τὸ εἰρημένον, οἷον ὅτι ἔσχατος καταργεῖται. Εἰ δέ τις διαπορoίη τίνος ἕνεκεν περὶ ἀναστάσεως διαλεγόμενος, οὐ παρήγαγεν εἰς μέσον τὰ ἀναστάντα σώματα ἐπὶ τοῦ Κυρίου, ἐκεῖνο ἂν εἴποιμεν, ὅτι οὐκ ἦν τοῦτο ὑπὲρ τῆς ἀναστάσεως εἰπεῖν. Τὸ γὰρ τοὺς ἀναστάντας δεῖξαι πάλιν ἀποθνήσκοντας, οὐκ ἦν ἀποδεικνύντος ὅτι εἰς τέλος καταργεῖται ὁ θάνατος. Διὰ γὰρ τοῦτο καὶ ἔσχατον αὐτὸν εἶπε καταργεῖσθαι, ἵνα μηκέτι ὑποπτεύσῃς αὐτὸν ἀνίστασθαι. Τῆς γὰρ κακίας ἀναιρεθείσης, πολλῷ μᾶλλον ὁ θάνατος παύσεται. Οὐδὲ γὰρ ἂν ἔχοι λόγον, τῆς πηγῆς ξηραινομένης, τὸν ἐξ αὐτῆς συνεστάναι ποταμόν, καὶ τῆς ῥίζης ἀφανιζομένης, τὸν καρπὸν μένειν.

10. Ἐπεὶ οὖν ἐν τῇ τελευταίᾳ ἡμέρᾳ οἱ ἐχθροὶ καταργοῦνται τοῦ Θεοῦ μετὰ τοῦ θανάτου καὶ τοῦ διαβόλου καὶ τῶν δαιμόνων, μὴ ἀσχάλλωμεν ἐπὶ τοῖς εὐημεροῦσιν ἐχθροῖς τοῦ Θεοῦ. «Οἱ γὰρ ἐχθροὶ τοῦ Κυρίου ἅμα τῷ δοξασθῆναι αὐτοὺς καὶ ὑψωθῆναι ἐκλείποντες, ὡσεὶ καπνὸς ἐξέλιπον». Ὅταν ἴδῃς τινὰ τῶν ἐχθρῶν τοῦ Θεοῦ πλουτοῦντα, δορυφορούμενον, κόλακας ἔχοντα πολλούς, μὴ καταπέσῃς, ἀλλὰ στέναξον, δάκρυσον, παρακάλεσον τὸν Θεόν, ὥστε αὐτὸν εἰς τοὺς φίλους κατατάξαι· καὶ ὅσῳ ἂν εὖ πράττῃ ἐχθρὸς ὤν, τοσούτῳ αὐτὸν μᾶλλον πένθησον. Τοὺς γὰρ ἁμαρτωλοὺς ἀεὶ μὲν θρηνεῖν δεῖ, μάλιστα δὲ ὅταν καὶ πλούτου καὶ πολλῆς ἀπολαύωσιν εὐημερίας, καθάπερ τοὺς νοσοῦντας, ὅταν γα-

15. Ψαλμ. 36, 20.

ὅτι λαμπρὰ νίκη εἶναι τὸ νὰ βασιλεύῃ ὁ θάνατος καὶ νὰ κατατρώγῃ τὰ σώματά μας, ἀλλὰ τὸ ν᾽ ἀποσπασθοῦν ἀπὸ αὐτὸν ὅσα εἶχε κυριεύσει. Ἐὰν ὅμως διεφώνουν ἀκόμη καὶ ἔλεγον ὅτι αὐτὰ ἐλέχθησαν διὰ τὸν ψυχικὸν θάνατον, πῶς καταργεῖται τελευταῖος αὐτός; διότι εἰς τὸν κάθε βαπτιζόμενον κατηργήθη τελείως. Ἐὰν ὅμως λέγῃς διὰ τὸν θάνατον τοῦ σώματος, ἔχει νόημα αὐτὸ ποὺ ἐλέχθη, δηλαδὴ τὸ ὅτι καταργεῖται τελευταῖος. Ἐὰν δὲ κάποιος θὰ εἶχε τὴν ἀπορίαν διὰ ποῖον λόγον ἐνῷ ὡμιλοῦσε διὰ τὴν ἀνάστασιν, δὲν ἀνέφερε τὰ σώματα τῶν νεκρῶν ποὺ ἀνεστήθησαν κατὰ τὸν θάνατον τοῦ Κυρίου ἐπάνω εἰς τὸν σταυρόν, θὰ τοῦ ἀπαντήσωμεν ὅτι δὲν ἥρμοζε νὰ τὸ εἰπῇ αὐτὸ διὰ τὴν ἀνάστασιν. Διότι τὸ νὰ δείξῃ αὐτοὺς ποὺ ἀνεστήθησαν ν᾽ ἀποθνήσκουν πάλιν, δὲν θὰ ἀπεδείκνυεν ὅτι εἰς τὸ τέλος καταργεῖται ὁ θάνατος. Διότι δι᾽ αὐτὸ καὶ εἶπεν ὅτι καταργεῖται αὐτὸς τελευταῖος, διὰ νὰ μὴ νομίσῃς ὅτι θὰ ὑπάρξῃ καὶ πάλιν. Διότι, ἀφοῦ θὰ ἔχῃ καταργηθῇ ἡ κακία, πολὺ περισσότερον θὰ παύσῃ ὁ θάνατος. Διότι δὲν εἶναι δυνατόν, ὅταν ξηραίνεται ἡ πηγή, νὰ ἐξακολουθῇ νὰ ὑπάρχῃ ὁ ποταμὸς ποὺ προέρχεται ἀπὸ αὐτὴν καὶ ὅταν καταστρέφεται ἡ ρίζα νὰ παραμένῃ ὁ καρπός.

10. Ἀφοῦ λοιπὸν κατὰ τὴν τελευταίαν ἡμέραν καταργοῦνται οἱ ἐχθροὶ τοῦ Θεοῦ μαζὶ μὲ τὸν θάνατον καὶ τὸν διάβολον καὶ τοὺς δαίμονας, ἂς μὴ θρηνολογοῦμεν διὰ τὸ ὅτι εὐημεροῦν οἱ ἐχθροὶ τοῦ Θεοῦ. «Διότι οἱ ἐχθροὶ τοῦ Θεοῦ δὲν θὰ προλάβουν νὰ δοξασθοῦν καὶ νὰ ὑψωθοῦν καὶ θὰ ἐξαφανισθοῦν ὅπως ὁ καπνός»[15]. Ὅταν ἰδῇς κάποιον ἀπὸ τοὺς ἐχθροὺς τοῦ Θεοῦ νὰ πλουτῇ, νὰ περιστοιχίζεται ἀπὸ ὑπηρέτας, νὰ ἔχῃ πολλοὺς κόλακας, μὴ στενοχωρηθῇς, ἀλλὰ νὰ στενάξῃς, νὰ δακρύσῃς, νὰ παρακαλέσῃς τὸν Θεὸν νὰ τὸν κατατάξῃ μεταξὺ τῶν φίλων του· καὶ ὅσον περισσότερον εὐημερεῖ, ἐνῷ εἶναι ἐχθρός, τόσον περισσότερον νὰ τὸν πενθήσῃς. Διότι τοὺς ἁμαρτωλοὺς πάντοτε μὲν πρέπει νὰ τοὺς θρηνῶμεν, ἀλλὰ πολὺ περισσότερον ὅταν ἀπολαμβάνουν καὶ πλοῦτον καὶ πολλὴν εὐημερίαν, ὅπως ἐκείνους ποὺ ὑποφέρουν ἀπὸ κάποιαν νό-

στρίζωνται καὶ μεθύωσιν.

Ἀλλ' εἰσί τινες, οἳ καὶ τούτων ἀκούοντες τῶν ῥημάτων, οὕτως ἀθλίως διάκεινται, ὡς στενάζειν ἐφ' ἑαυτοῖς πικρὸν καὶ λέγειν, ὅτι δακρύων ἄξιος ἐγὼ ὁ μηδὲν ἔχων. Καλῶς εἶπες, ὁ μηδὲν ἔχων, οὐκ ἐπειδὴ οὐκ ἔχεις ἅπερ ἐκεῖνος, ἀλλ' ἐπειδὴ μακαριστὸν τὸ πρᾶγμα νομίζεις· διὸ καὶ μυρίων ἄξιος ἂν εἴης θρήνων. Καὶ γὰρ εἴ τις ἐν ὑγείᾳ ζῶν μακαρίζοι τὸν ἀρρωστοῦντα καὶ ἐν μαλακῇ στρωμνῇ κατακείμενον, ἐκείνου πολλῷ ταλαιπωρότερος καὶ ἀθλιώτερος οὗτος, ὅτι τῶν οἰκείων ἀγαθῶν οὐδεμίαν αἴσθησιν ἔχει. Ὃ δὴ καὶ ἐπὶ τούτων ἔστιν ἰδεῖν συμβαῖνον· ὅθεν καὶ ὁ βίος ἅπας συγκέχυται καὶ τετάρακται. Ταῦτα γὰρ τὰ ῥήματα μυρίους ἀπώλεσε, καὶ τῷ διαβόλῳ προέπιε, καὶ τῷ λιμῷ τηκομένων ἐλεεινοτέρους ἐποίησεν. Ὅτι γὰρ οἱ τοῦ πλείονος ἐφιέμενοι, οὗτοι καὶ τῶν προσαιτούντων εἰσὶν ἀθλιώτεροι, ἅτε καὶ μείζονι καὶ δριμυτέρᾳ ἀθυμίᾳ τούτων κατεχόμενοι, δῆλον ἐντεῦθεν. Αὐχμὸς κατέλαβέ ποτε τὴν πόλιν τὴν ἡμετέραν, καὶ πάντες ἔτρεμον ὑπὲρ τῶν ἐσχάτων, καὶ τὸν Θεὸν παρεκάλουν λῦσαι τουτὶ τὸ δέος. Καὶ ἦν ἰδεῖν τοῦτο τὸ ὑπὸ Μωϋσέως εἰρημένον, χαλκοῦν τὸν οὐρανὸν γεγενημένον, καὶ θάνατον τῶν ἁπάντων θανάτων χαλεπώτερον καθ' ἑκάστην προσδοκώμενον τὴν ἡμέραν. Ἀλλ' ὕστερον, δόξαν τῷ φιλανθρώπῳ Θεῷ, παρ' ἐλπίδα ἅπασαν κατεφέρετο πολὺς καὶ ἄπειρος ἄνωθεν ὑετός, καὶ πάντες ἐν πανηγύρει καὶ ἑορτῇ λοιπόν, ἅτε ἐξ αὐτῶν ἀναβάντες τῶν τοῦ θανάτου πυλῶν. Ἀλλ' ἐν τοσούτοις ἀγαθοῖς καὶ τῇ κοινῇ πάντων εὐφροσύνῃ, τῶν ζαπλούτων τις τούτων στυγνός, κατηφής, ἀποτεθνηκὼς ὑπὸ τῆς ἀθυμίας περιῄει, καὶ πολλῶν τὴν αἰτίαν πυνθανομένων, δι' ἣν ἐν τῇ κοινῇ

16. Δευτ. 28, 23.

σον, ὅταν παραδίδωνται εἰς πολυφαγίαν καὶ μέθην.

Ὑπάρχουν ὅμως μερικοί, οἱ ὁποῖοι καὶ μόνον ποὺ ἀκούουν αὐτοὺς τοὺς λόγους, εὑρίσκονται εἰς τόσον ἀθλίαν διάθεσιν, ὥστε νὰ στενάζουν πικρῶς ἀπὸ μέσα των καὶ νὰ λέγουν ὅτι εἶμαι ἀξιοδάκρυτος ἐγὼ ποὺ δὲν ἔχω τίποτε. Ὀρθῶς εἶπες ὅτι δὲν ἔχεις τίποτε, ὄχι διότι δὲν ἔχεις αὐτὰ ποὺ δὲν ἔχει ἐκεῖνος, ἀλλ' ἐπειδὴ θεωρεῖς τὸ πρᾶγμα ἄξιον μακαρισμοῦ· δι' αὐτὸ καὶ εἶσαι ἄξιος χιλιάδων θρήνων. Διότι, καὶ ὅταν κάποιος, ἐνῷ ἔχει ὑγείαν, μακαρίζει αὐτὸν ποὺ εἶναι ἄρρωστος καὶ κατάκειται εἰς μαλακὸν στρῶμα, εἶναι πολὺ δυστυχέστερος καὶ ἀθλιώτερος αὐτός, διότι δὲν ἔχει καμμίαν αἴσθησιν ἀπὸ τὰ ἰδικά του ἀγαθά. Πρᾶγμα βέβαια ποὺ εἶναι δυνατὸν νὰ ἴδῃς νὰ συμβαίνῃ καὶ εἰς αὐτούς· δι' αὐτὸ καὶ ὁλόκληρος ἡ ζωὴ πίπτει εἰς σύγχυσιν καὶ ταραχήν. Αὐτοὶ λοιπὸν οἱ λόγοι κατέστρεψαν ἀπείρους ἀνθρώπους καὶ τοὺς παρέδωσαν εἰς τὸν διάβολον καὶ τοὺς ἔκαναν περισσότερον ἀξιοθρήνητους ἀπὸ αὐτοὺς ποὺ λειώνουν ἀπὸ τὴν πεῖναν. Τὸ ὅτι λοιπὸν αὐτοὶ ποὺ ἐπιθυμοῦν περισσότερα εἶναι ἀθλιώτεροι καὶ ἀπὸ τοὺς ἐπαίτας, ἐπειδὴ καὶ ἀπὸ μεγαλυτέραν καὶ ἀπὸ σκληροτέραν λύπην ἀπὸ ὅσον ἐκεῖνοι κατέχονται, εἶναι φανερὸν ἀπὸ τὸ ἑξῆς. Κάποτε ἐκυρίευσε τὴν πόλιν μας ξηρασία καὶ ὅλοι ἔτρεμον διὰ τὸ τέλος καὶ παρεκάλουν τὸν Θεὸν νὰ τοὺς ἀπαλλάξῃ ἀπὸ αὐτὸν τὸν κίνδυνον. Καὶ ἔβλεπε κανεὶς αὐτὸ ποὺ ἐλέχθη ἀπὸ τὸν Μωϋσῆν, νὰ ἔχῃ γίνει δηλαδὴ χαλκόχρους ὁ οὐρανὸς καὶ ν' ἀναμένεται καθ' ἡμέραν θάνατος φοβερώτερος ἀπὸ ὅλους τοὺς θανάτους[16]. Μετὰ ἀπὸ ὀλίγον καιρὸν ὅμως, δόξα εἰς τὸν φιλάνθρωπον Θεόν, ἐντελῶς ἀπροσδοκήτως ἔπεσε πολλὴ καὶ ἄπειρος βροχὴ ἀπὸ τὸν οὐρανόν, καὶ ὅλοι ἐπανηγύριζον πλέον καὶ ἑώρταζον, ὡσὰν νὰ εἶχον ἀναβῆ εἰς τὴν ζωὴν ἀπὸ αὐτὰς τὰς πύλας τοῦ θανάτου. Μέσα εἰς τόσα ἀγαθὰ ὅμως καὶ εἰς τὴν κοινὴν εὐφροσύνην ὅλων, κάποιος ἀπὸ αὐτοὺς τοὺς πολὺ πλουσίους περιήρχετο περίλυπος, σκυθρωπός, ὡσὰν νεκρὸς ἀπὸ τὴν θλῖψιν, καὶ καθὼς πολλοὶ ἐζήτουν νὰ μάθουν τὴν αἰτίαν, διὰ τὴν ὁποίαν εἰς τὴν κοινὴν χαρὰν ὅλων

πάντων ἀνθρώπων ἡδονῇ μόνος ἀλγεῖ, οὐδὲν κατασχεῖν ἔνδον ἴσχυσε τὸ χαλεπὸν τοῦτο πάθος, ἀλλ' ὑπὸ τῆς τυραννίδος τοῦ νοσήματος κεντούμενος, εἰς μέσον ἐξήνεγκε τὴν αἰτίαν. Μυρία γὰρ μέτρα σίτου κεκτημένος, φησίν, οὐκ ἔχω πῶς διάθωμαι ταῦτα λοιπόν. Ἆρ' οὖν τοῦτον μακαριοῦμεν, εἰπέ μοι, ὑπὲρ τούτων τῶν ῥημάτων, ὑπὲρ ὧν καὶ καταλεύεσθαι αὐτὸν ἔδει, τὸν θηρίου παντὸς ὠμότερον, τὸν κοινὸν ἐχθρόν; Τί λέγεις, ἄνθρωπε; ἀλγεῖς ὅτι μὴ πάντες ἀπώλοντο, ἵνα σὺ συναγάγῃς χρυσίον; Οὐκ ἤκουσας τί φησιν ὁ Σολομῶν, «Ὁ τιμιουλκῶν σῖτον, δημοκατάρατος»; ἀλλὰ περιέρχῃ κοινὸς ἐχθρὸς τῶν τῆς οἰκουμένης ἀγαθῶν, καὶ τῇ φιλοτιμίᾳ τοῦ δεσπότου τῆς οἰκουμένης πολέμιος, καὶ τοῦ μαμωνᾶ φίλος, μᾶλλον δὲ δοῦλος; Οὐ γὰρ ἐκκοπῆναι τὴν γλῶτταν ἐκείνην ἔδει; οὐ γὰρ σβεσθῆναι τὴν καρδίαν τὴν ταῦτα τεκοῦσαν τὰ ῥήματα;

Εἶδες πῶς οὐκ ἀφίησιν ἀνθρώπους εἶναι τοὺς ἀνθρώπους τὸ χρυσίον, ἀλλὰ θηρία καὶ δαίμονας; Τί γὰρ ἂν τούτου γένοιτ' ἂν ἐλεεινότερον τοῦ πλουσίου, τοῦ καθ' ἑκάστην ἡμέραν εὐχομένου γενέσθαι λιμόν, ἵνα αὐτῷ γένηται χρυσίον; Καὶ γὰρ εἰς τοὐναντίον αὐτῷ τὸ πάθος περιΐσταται λοιπόν. Οὐδὲ γὰρ χαίρει τῇ ἀφθονίᾳ τῆς τῶν καρπῶν κτήσεως, ἀλλὰ δι' αὐτὸ μὲν οὖν τοῦτο ἀλγεῖ λοιπόν, ὅτι ἄπειρα κέκτηται. Καίτοι τὸν πολλὰ κεκτημένον χαίρειν ἔδει· οὗτος δὲ δι' αὐτὸ τοῦτο ἀθυμεῖ. Ὁρᾷς ὅτι, ὅπερ ἔλεγον, οὐ τοσαύτην ἀπὸ τῶν παρόντων καρποῦνται τὴν ἡδονὴν οἱ πλουτοῦντες, ὅσην ἀπὸ τῶν μηδέπω προσγενομένων ὑπομένουσι τὴν ἀθυμίαν; Ὁ γὰρ σίτου μυριάδας ἀπείρους κεκτημένος τοῦ πεινῶντος μᾶλλον ἤλγει καὶ ἔστενε· καὶ ὁ μὲν τὴν ἀναγκαίαν ἔχων τροφήν, ἐστεφανοῦτο καὶ ἐσκίρτα καὶ ηὐχαρίστει τῷ Θεῷ· ὁ δὲ τοσοῦτον κεκτημένος ἐδυσχέραινε καὶ ἀπολωλέναι ἐνόμιζεν.

---

17. Παροιμ. 11, 26.

τῶν ἀνθρώπων μόνος αὐτὸς στενοχωρεῖται, δὲν ἠμπόρεσε νὰ κρύψῃ μέσα του αὐτὸ τὸ φοβερὸν πάθος, ἀλλ' ἐπειδὴ ἐβασανίζετο ἀπὸ τὴν τυραννικὴν αὐτὴν νόσον, ἐφανέρωσε τὴν αἰτίαν. Διότι ἐνῷ εἶχα πάρα πολὺν σῖτον, λέγει, δὲν ἔχω τώρα ποῦ νὰ τὸν διαθέσω. Ἆρά γε λοιπὸν θὰ μακαρίσωμεν αὐτόν, εἰπέ μου, δι' αὐτοὺς τοὺς λόγους, διὰ τοὺς ὁποίους θὰ ἔπρεπε καὶ νὰ ἐξαφανισθῇ αὐτός, ποὺ ἦτο σκληρότερος ἀπὸ ὅλα τὰ θηρία, ὁ κοινὸς ἐχθρὸς ὅλων; Τί λέγεις, ἄνθρωπε; θλίβεσαι διότι δὲν ἀπέθανον ὅλοι διὰ νὰ συσσωρεύσῃς ἐσὺ χρυσόν; Δὲν ἤκουσες τί λέγει ὁ Σολομῶν, «ὅποιος πωλεῖ σῖτον ἀκριβά, εἶναι κατηραμένος ἀπὸ τὸν λαόν»[17]; ἀλλὰ περιέρχεσαι κοινὸς ἐχθρὸς τῶν ἀγαθῶν τῆς οἰκουμένης, καὶ εὑρισκόμενος μέσα εἰς τὴν γενναιοδωρίαν τοῦ Θεοῦ γίνεσαι ἐχθρὸς ποὺ πολεμεῖ τὴν οἰκουμένην καὶ φίλος τοῦ μαμωνᾶ, ἢ μᾶλλον δοῦλος; Δὲν ἔπρεπε λοιπὸν νὰ κοπῇ ἐκείνη ἡ γλῶσσα; δὲν ἔπρεπε νὰ ἀποθάνῃ ἡ καρδία ποὺ ἐγέννησε τέτοιους λόγους;

Εἶδες πῶς ὁ χρυσὸς δὲν ἀφήνει τοὺς ἀνθρώπους νὰ εἶναι ἄνθρωποι, ἀλλὰ θηρία καὶ δαίμονες; Διότι τί θὰ ἦτο ἐλεεινότερον ἀπὸ αὐτὸν τὸν πλούσιον, ποὺ καθημερινῶς ηὔχετο νὰ ἐπικρατήσῃ πεῖνα, διὰ νὰ συγκεντρώσῃ αὐτὸς χρυσόν; Καὶ μάλιστα εἰς τὸ ἀντίθετον μεταβάλλεται δι' αὐτὸν πλέον τὸ πάθος. Διότι δὲν χαίρει διὰ τὴν ἀφθονίαν τῶν καρπῶν ποὺ ἀπέκτησεν, ἀλλὰ δι' αὐτὸν ἀκριβῶς τὸν λόγον βασανίζεται εἰς τὸ ἑξῆς, διὰ τὸ ὅτι ἔχει ἀποκτήσει πολλά. Ἂν καὶ θὰ ἔπρεπεν αὐτὸς ποὺ κατέχει πολλὰ νὰ χαίρεται· αὐτὸς ὅμως δι' αὐτὸν ἀκριβῶς τὸν λόγον θλίβεται. Βλέπεις ὅτι αὐτὸ ποὺ ἔλεγον συμβαίνει, δὲν ἀποκομίζουν τόσην χαρὰν ἀπὸ αὐτὰ ποὺ ἔχουν οἱ πλούσιοι, ὅσην λύπην ὑπομένουν ἀπὸ ὅσα δὲν ἀπέκτησαν ἀκόμη; Διότι αὐτὸς ποὺ κατεῖχε ἀμέτρητον ποσότητα σίτου ἐθλίβετο καὶ ἐστέναζε περισσότερον ἀπὸ αὐτὸν ποὺ ἐπείνα· καὶ αὐτὸς μὲν ποὺ εἶχε μόνον τὴν ἀναγκαίαν τροφήν, ἐπανηγύριζε καὶ ἐχαίρετο καὶ ηὐχαρίστει τὸν Θεόν, ἐνῷ αὐτὸς ποὺ κατεῖχε τόσον πολλὰ ἦτο δυσηρεστημένος καὶ ἐνόμιζεν ὅτι χάνεται.

Οὐκ ἄρα περιουσία ἐστὶν ἡ τὴν ἡδονὴν ποιοῦσα, ἀλλὰ γνώμη φιλόσοφος· ὡς ταύτης ἄνευ, κἂν τὰ πάντα τις λαβὼν ἔχῃ, ὡς πάντων ἐστερημένος οὕτω διακείσεται καὶ θρηνήσει. Ἐπεὶ καὶ οὗτος, περὶ οὗ νῦν ὁ λόγος ἡμῖν, εἰ καὶ τοσαύτης ἀπέδοτο τιμῆς ἅπερ εἶχεν, ὅσης ἐβούλετο, πάλιν ἂν ἤλγησεν ὅτι μὴ πλείονος· καὶ εἰ πλείονος ἴσχυσε, πάλιν ἂν ἑτέραν ἐζήτησεν ὑπερβολήν· καὶ εἰ τὸ μέδιμνον ἑνὸς χρυσίου διέθετο, κἀνταῦθα διεκόπτετο πάλιν ὑπὸ τῆς ἀθυμίας, ὅτι μὴ τὸ ἡμιμέδιμνον τοσούτου ἦν. Εἰ δὲ μὴ παρὰ τὴν ἀρχὴν τοσούτου ἡ τιμή, μὴ θαυμάσῃς· ἐπεὶ καὶ οἱ μεθύοντες οὐκ ἐξ ἀρχῆς ἐμπίπρανται, ἀλλ' ὅταν πολλοῦ τοῦ ἀκράτου ἐμφορηθῶσι, τότε χαλεπωτέραν ἀνάπτουσι τὴν φλόγα. Καὶ οὗτοι τοίνυν ὅσῳ ἂν πλείονα περιβάλωνται, τοσούτῳ ἐν μείζονι ἐνδείᾳ καθίστανται, καὶ οἱ πλείονα κερδαίνοντες, αὐτοὶ μάλιστά εἰσιν οἱ πενόμενοι.

Ταῦτα δέ μοι οὐ πρὸς τοῦτον εἴρηται μόνον, ἀλλὰ καὶ πρὸς ἕκαστον τῶν τὰ τοιαῦτα νοσούντων, καὶ τὴν τῶν ὠνίων τιμὴν ἐπιτεινόντων, καὶ τῶν πλησίον τὴν πενίαν πραγματευομένων. Φιλανθρωπίας μὲν γὰρ οὐδεὶς οὐδαμοῦ λόγος· πανταχοῦ δὲ ὁ τῆς πλεονεξίας ἔρως ἐπὶ τοῦ καιροῦ τῆς πράσεως πολλοὺς ἐξάγει· καὶ σῖτον καὶ οἶνον ὁ μὲν θᾶττον, ὁ δὲ βραδύτερον ἀπέδοτο, οὐδέτερος μέντοι ἀπὸ κηδεμονίας, ἀλλ' ὁ μέν, ἵνα πλείονα λάβῃ, ὁ δὲ ἵνα μὴ ἔλαττον, τραπέντος αὐτῷ τοῦ καρποῦ. Ἐπειδὴ γὰρ οἱ πλείους οὐ πολὺν τῶν τοῦ Θεοῦ νόμων ποιούμενοι λόγον, πάντα ἔνδον κατακλείσαντες ἔχουσιν, ἑτέρως αὐτοὺς εἰς φιλανθρωπίαν ἐξάγων ὁ Θεός, ἵνα κἂν ἀνάγκῃ τι ποιήσωσι χρηστόν, μείζονος ζημίας ἐνέβαλε δέος, οὐκ ἀφιεὶς εἰς πολὺν διαρκεῖν χρόνον τῆς γῆς τοὺς καρπούς, ἵνα κἂν τὴν ἀπὸ τῆς φθορᾶς δεδοικότες βλά-

Ἄρα δὲν εἶναι ἡ περιουσία αὐτὴ ποὺ φέρει τὴν χαρὰν ἀλλ' ἡ ὀρθὴ διάθεσις καὶ γνώμη· διότι χωρὶς αὐτήν, καὶ ἂν ἀκόμη κανεὶς τὰ πάντα ἀποκτήσῃ καὶ κατέχῃ, θὰ αἰσθάνεται ὡσὰν νὰ στερῆται τὰ πάντα καὶ θὰ θρηνῇ. Διότι καὶ αὐτός, διὰ τὸν ὁποῖον ὁμιλοῦμεν τώρα, ἂν καὶ ἐπώλει αὐτὰ ποὺ εἶχεν εἰς ὅποιαν τιμὴν ἤθελε, πάλιν ἐστενοχωρήθη, διότι δὲν ἐπώλει εἰς περισσοτέραν· καὶ ἐὰν ἠμπόρει εἰς μεγαλυτέραν, πάλιν θὰ ἐζήτει ἄλλην ὑπερβολήν· καὶ ἐὰν ἀκόμη ἐπώλει τὸ κιλὸν πρὸς ἓν χρυσοῦν νόμισμα, καὶ πάλιν θὰ ἐβασανίζετο ἀπὸ τὴν λύπην, διότι δὲν ἐπώλησε τὸ ἥμισυ κιλὸν εἰς αὐτὴν τὴν τιμήν. Διὰ τὸ ὅτι δὲ δὲν ἦτο ἀπὸ τὴν ἀρχὴν τόση ἡ τιμὴ τοῦ σίτου, μὴ ἀπορήσῃς· διότι καὶ αὐτοὶ ποὺ μεθοῦν, δὲν καίγονται ἀπὸ τὴν ἀρχήν, ἀλλ' ὅταν γεμίσουν ἀπὸ πολὺν δυνατὸν οἶνον, τότε ἀνάπτουν φοβερωτέραν τὴν φλόγα. Καὶ αὐτοὶ λοιπόν, ἀπὸ ὅσον περισσότερα ἀγαθὰ περιβάλλονται, εἰς τόσον μεγαλυτέραν πτωχείαν περιπίπτουν, καὶ αὐτοὶ ποὺ κερδίζουν περισσότερα, αὐτοὶ εἶναι οἱ περισσότερον πτωχοί.

Αὐτὰ δὲ ἐλέχθησαν ὄχι μόνον δι' αὐτόν, ἀλλὰ καὶ διὰ τὸν καθένα ἀπὸ ὅσους πάσχουν ἀπὸ τέτοιαν νόσον καὶ αὐξάνουν τὴν τιμὴν εἰς τὰ ἐμπορεύματα καὶ ἐμπορεύονται τὴν πτωχείαν τῶν πλησίον. Διὰ φιλανθρωπίαν δὲ πουθενὰ οὔτε λόγος· ἐνῷ παντοῦ ὁ ἔρως τῆς πλεονεξίας κατὰ τὴν ὥραν τῆς ἀγορᾶς παρασύρει πολλοὺς εἰς τὸ πάθος· καὶ σῖτον καὶ οἶνον, ἄλλος μὲν ἐνωρίτερον, ἄλλος δὲ ἀργότερον ἐπώλησε, κανεὶς ὅμως ἀπὸ φροντίδα διὰ τὸν συνάνθρωπον, ἀλλ' ὁ μὲν διὰ νὰ κερδίσῃ περισσότερα, ὁ δὲ διὰ νὰ μὴ κερδίσῃ ὀλιγώτερα, ἐπώλησεν τὸν καρπόν. Ἐπειδὴ λοιπὸν οἱ περισσότεροι δὲν σκέπτονται πολὺ τὸν νόμον τοῦ Θεοῦ καὶ κρατοῦν τὰ χρήματά τους μέσα εἰς τὰ ταμεῖα των, διὰ νὰ τοὺς ὁδηγήσῃ ὁ Θεὸς μὲ ἄλλον τρόπον εἰς φιλανθρωπίαν, διὰ νὰ κάνουν κάποιαν ἀγαθοεργίαν τοὐλάχιστον ἀφοῦ εὑρεθοῦν εἰς κάποιαν ἀνάγκην, ἔβαλε μέσα εἰς τὴν ψυχήν των φόβον διὰ μεγαλυτέραν ζημίαν μὲ τὸ νὰ μὴ ἀφήσῃ νὰ διατηροῦνται διὰ πολὺν χρόνον οἱ καρποὶ τῆς γῆς, ὥστε, ἀφοῦ φοβηθοῦν τοὐλάχι-

σην, προθῶσι τοῖς δεομένοις καὶ ἄκοντες, ἅπερ οἴκοι κατορύξαντες τηροῦσι κακῶς. Ἀλλὰ γὰρ καὶ μετὰ ταῦτα οὕτω τινές εἰσιν ἄπληστοι, ὡς μηδὲ ἐντεῦθεν παιδεύεσθαι. Πολλοὶ γοῦν καὶ πίθους ὁλοκλήρους ἐκένωσαν, πένητι μὲν οὐδὲ κύαθον δόντες, οὐδὲ ἀργυρίου τοῖς δεομένοις, ὀξίνην δὲ γινόμενον εἰς τὴν γῆν ῥίψαντες ἅπαντα, καὶ τοὺς πίθους αὐτῶν προσδιαφθείραντες τῷ καρπῷ. Ἕτεροι δὲ πάλιν οὐδὲ μάζης μιᾶς τῷ πεινῶντι μεταδόντες, ὁλόκληρα σιτοδοχεῖα εἰς ποταμὸν ἔρριψαν· καὶ ἐπειδὴ τοῦ Θεοῦ κελεύοντος διδόναι τοῖς δεομένοις οὐκ ἤκουσαν, τοῦ σητὸς ἐπιτάττοντος καὶ ἄκοντες τὸ ἔνδον ἅπαν ἐξήντλησαν εἰς ἀπώλειαν καὶ φθορὰν ἐσχάτην, πολὺν μὲν τὸν γέλωτα, πολλὰς δὲ τὰς ἀρὰς κατὰ τῆς ἑαυτῶν κεφαλῆς μετὰ τῆς ζημίας ἐπισπασάμενοι ταύτης.

Καὶ τὰ μὲν ἐνταῦθα, τοιαῦτα· τὰ δὲ ἐκεῖ, τίς παραστήσει λόγος; Ὥσπερ γὰρ οὗτοι τὸν σητόβρωτον ἐνταῦθα σῖτον ἄχρηστον γενόμενον εἰς ποταμοὺς ῥίπτουσιν, οὕτω τοὺς ταῦτα ἐργασαμένους δι' αὐτὸ τοῦτο ἀχρήστους γενομένους εἰς τὸν τοῦ πυρὸς ῥίπτει ποταμὸν ὁ Θεός. Καθάπερ γὰρ τὸν σῖτον ὁ σὴς καὶ ὁ σκώληξ, οὕτω τὰς τούτων ψυχὰς ἡ ὠμότης κ ἡ ἀπανθρωπία διέφαγε. Τούτων δὲ αἴτιον, τὸ τοῖς παροῦσι προσηλῶσθαι, καὶ πρὸς τὴν ζωὴν ταύτην κεχηνέναι μόνον· ὅθεν καὶ μυρίας ἀθυμίας μεστοὶ γίνονται οἱ τοιοῦτοι. Κἂν γὰρ ὁτιοῦν εἴπῃς ἡδύ, πάντα ἱκανός ἐστιν ἀφανίσαι τῆς τελευτῆς ὁ φόβος, καὶ τέθνηκεν ὁ τοιοῦτος ἔτι ζῶν. Καὶ τὸ μὲν τοὺς ἀπίστους ταῦτα πάσχειν, θαυμαστὸν οὐδέν· ὅταν δὲ οἱ τοσούτων μυστηρίων ἀπολελαυκότες, καὶ τοσαῦτα περὶ τῶν μελ-

στον τὴν βλάβην ἀπὸ τὴν φθοράν, νὰ δώσουν εἰς αὐτοὺς ποὺ ἔχουν ἀνάγκην καὶ χωρὶς νὰ θέλουν, αὐτὰ ποὺ κακῶς κρατοῦν εἰς τὴν οἰκίαν των ὅπου τὰ ἔχουν θάψει. Ἀλλ᾽ ἀκόμη καὶ μετὰ ἀπὸ αὐτὰ εἶναι τόσον ἄπληστοι μερικοί, ὥστε οὔτε ἀπὸ αὐτὸ νὰ διδάσκωνται καὶ νὰ διορθώνωνται. Πολλοὶ λοιπὸν ἐκένωσαν καὶ πιθάρια ὁλόκληρα, ἀφοῦ εἰς τοὺς μὲν πτωχοὺς δὲν ἔδωσαν οὔτε ποτήριον, οὔτε ἓν ἀργυροῦν νόμισμα εἰς αὐτοὺς ποὺ ἔχουν ἀνάγκην, ἀφοῦ δὲ ἔρριψαν τὰ πάντα εἰς τὴν γῆν ἐξύνισαν καὶ ἀφοῦ κατέστρεψαν καὶ τὰ πιθάρια μαζὶ μὲ τὸν καρπόν. Ἄλλοι δὲ πάλιν, ἐνῷ δὲν ἔδωσαν οὔτε τεμάχιον ζύμης εἰς αὐτὸν ποὺ πεινᾷ, ὁλοκλήρους ἀποθήκας σίτου ἔρριψαν εἰς ποταμόν· καὶ ἐπειδὴ δὲν ἤκουσαν τὸν Θεὸν ποὺ παραγγέλει νὰ δίδωμεν εἰς ὅσους ἔχουν ἀνάγκην, ἐξεκένωσαν τὰ πάντα ἀπὸ τὰς ἀποθήκας των εἰς ἀπώλειαν καὶ φθορὰν καὶ χωρὶς νὰ θέλουν, διότι τοὺς ἠνάγκασεν ὁ σκώληξ, καὶ ἐπέσυραν ἔτσι μαζὶ μὲ αὐτὴν τὴν ζημίαν καὶ πολὺν γέλωτα καὶ κατάρας εἰς τὰς κεφαλάς των.

Καὶ αἱ μὲν συνέπειαι εἰς τὴν ἐδῶ ζωὴν εἶναι τέτοιαι, τὰς συνεπείας ὅμως τῆς αἰωνίου ζωῆς ποῖος λόγος θὰ διηγηθῇ; Διότι, ὅπως αὐτοὶ ἐδῶ τὸν σκωληκοφαγωμένον σῖτον ποὺ ἔγινεν ἄχρηστος ρίπτουν εἰς ποταμούς, ἔτσι αὐτοὺς ποὺ ἔπραξαν αὐτά, ἀφοῦ ἔγιναν δι᾽ αὐτὸν τὸν λόγον ἄχρηστοι, τοὺς ρίπτει ὁ Θεὸς εἰς τὸν ποταμὸν τοῦ πυρός. Διότι ὅπως τὸν σῖτον ὁ σκῶρος καὶ ὁ σκώληξ, ἔτσι κατέφαγε τὰς ψυχάς των ἡ θηριωδία καὶ ἡ ἀπανθρωπία. Ἡ δὲ αἰτία δι᾽ αὐτὰ εἶναι τὸ ὅτι προσηλώθησαν εἰς τὰ παρόντα καὶ ἐξετίμησαν μόνον αὐτὴν τὴν ζωήν· δι᾽ αὐτὸ καὶ αὐτοὶ γεμίζουν ἀπὸ ἀπείρους θλίψεις. Διότι ὁποιοδήποτε πρᾶγμα ἀπὸ τὰ τῆς παρούσης ζωῆς καὶ ἂν εἰπῇς γλυκύ, ὅλα εἶναι ἱκανὸς νὰ τὰ ἐξαφανίσῃ ὁ φόβος τοῦ τέλους αὐτῆς τῆς ζωῆς καὶ ἔχει ἀποθάνει αὐτὸς ποὺ εἶναι τέτοιος, ἐνῷ εἶναι ἀκόμη εἰς τὴν ζωήν. Καὶ τὸ νὰ πάσχουν μὲν αὐτὰ οἱ ἄπιστοι, δὲν εἶναι καθόλου ἄξιον ἀπορίας, ὅταν ὅμως αὐτοί, ποὺ ἔχουν ἀπολαύσει τόσα μυστήρια καὶ ἔχουν διδαχθῆ σοφῶς τόσα διὰ τὴν μέλλουσαν ζωήν, προσκολλῶνται εὐ-

λόντων φιλοσοφήσαντες, τοῖς παροῦσιν ἐμφιλοχωρῶσι, τίνος ἂν εἶεν ἄξιοι συγγνώμης;

11. Πόθεν οὖν γίνεται τὸ τοῖς παροῦσιν ἐμφιλοχωρεῖν; Ἀπὸ τοῦ τρυφῇ προσέχειν, καὶ λιπαίνειν τὴν σάρκα, καὶ θρύπτειν τὴν ψυχήν, καὶ βαρὺ τὸ φορτίον ἐργάζεσθαι, καὶ πολὺ τὸ σκότος, καὶ παχὺ τὸ παραπέτασμα. Ἐν γὰρ τῇ τρυφῇ τὸ μὲν κρεῖττον δουλοῦται, τὸ δὲ χεῖρον κρατεῖ· καὶ τὸ μὲν τυφλοῦται πάντοθεν καὶ σύρεται πεπυρωμένον, τὸ δὲ ἄγει καὶ περιάγει πανταχοῦ, ἐν τῇ τῶν ἀγομένων ὀφεῖλον κεῖσθαι τάξει. Καὶ γὰρ πολὺς ὁ σύνδεσμος τῆς ψυχῆς πρὸς τὸ σῶμα, τοῦτο τοῦ δημιουργοῦ μηχανησαμένου, ἵνα μὴ ὡς ἀλλότριον αὐτὸ πείθωσί τινες μισεῖν. Ὁ μὲν γὰρ Θεὸς τοὺς ἐχθροὺς ἐκέλευσε φιλεῖν· ὁ δὲ διάβολος τοσοῦτον ἴσχυσεν, ὡς καὶ τὸ οἰκεῖον σῶμα πεῖσαί τινας μισεῖν. Ὅταν γὰρ εἴπῃ, ὅτι τοῦ διαβόλου ἐστίν, οὐδὲν ἄλλο κατασκευάζει ἢ τοῦτο· ὅπερ ἐσχάτης ληδωρίας ἐστίν. Εἰ γὰρ τοῦ διαβόλου ἐστί, τίς ἡ τοσαύτη συμφωνία, ὡς ἐπιτήδειον αὐτὸ πάντοθεν εἰς τὰς τῆς φιλοσόφου ψυχῆς ἐνεργείας κατασκευάσαι; Καὶ εἰ ἐπιτήδειον, φησί, πῶς αὐτὴν τυφλοῖ; Οὐχὶ τὸ σῶμά ἐστι τὸ τυφλοῦν τὴν ψυχήν, ἄπαγε, ἄνθρωπε, ἀλλ᾽ ἡ τρυφή.

Τῆς δὲ τρυφῆς πόθεν ἐφιέμεθα; Οὐ παρὰ τὸ σῶμα ἔχειν, οὐδαμῶς, ἀλλὰ παρὰ προαίρεσιν πονηράν. Τὸ γὰρ σῶμα τροφῆς δεῖται, οὐ τρυφῆς, τὸ σῶμα τοῦ τρέφεσθαι χρῄζει, οὐχὶ τοῦ διακόπτεσθαι καὶ διαρρεῖν. Οὐδὲ γὰρ ψυχῇ μόνον, ἀλλὰ καὶ αὐτῷ τῷ σώματι τῷ τρεφομένῳ πολέμιον ἡ τρυφή. Καὶ γὰρ ἀσθενέστερον ἀντὶ ἰσχυροῦ γίνεται, καὶ μαλακώτερον ἀντὶ στερροῦ, καὶ ἐπίνοσον ἀντὶ ὑγιεινοῦ, καὶ βα-

χαρίστως εἰς τὰ πράγματα τῆς παρούσης ζωῆς, ποίας συγγνώμης θὰ ἦσαν ἄξιοι;

11. Ἀπὸ ποῦ λοιπὸν προέρχεται τὸ πάθος τοῦ νὰ προσκολλᾶται κανεὶς εἰς τὰ γήϊνα; Ἀπὸ τὸ ὅτι ἔχουν τὸν νοῦν των προσηλωμένον εἰς τὴν ἀπόλαυσιν καὶ παχύνουν τὴν σάρκα καὶ χαυνώνουν τὴν ψυχὴν καὶ κάμνουν βαρὺ τὸ φορτίον καὶ πολὺ τὸ σκότος καὶ ἀδιαπέραστον τὸ παραπέτασμα. Διότι εἰς τὴν ἀπόλαυσιν τὸ μὲν ἀνώτερον ὑποτάσσεται, τὸ δὲ χειρότερον ἐπικρατεῖ, καὶ τὸ μὲν ἓν τυφλοῦται τελείως καὶ σύρεται τυφλόν, τὸ δὲ ἄλλο ὁδηγεῖ καὶ περιφέρεται παντοῦ, ἐνῷ πρέπει νὰ εὑρίσκεται εἰς τὴν θέσιν ἐκείνην ποὺ ὁδηγοῦνται. Καθ' ὅσον εἶναι πολὺ στενὸς ὁ σύνδεσμος τῆς ψυχῆς πρὸς τὸ σῶμα καὶ αὐτὸ τὸ ἔκανε ὁ Θεός, διὰ νὰ μὴ πείθῃ κανεὶς κανένα νὰ μισῇ τὸ σῶμα του ὡσὰν ξένον καὶ ἐχθρικόν. Διότι ὁ μὲν Θεὸς ἔδωσεν ἐντολὴν ν' ἀγαπῶμεν καὶ τοὺς ἐχθρούς, ἐνῷ ὁ διάβολος τόσον πολὺ ἐκυριάρχησεν, ὥστε νὰ πείσῃ μερικοὺς νὰ μισοῦν καὶ τὸ ἴδιον τὸ σῶμά των. Διότι ὅταν εἰπῇ ὅτι τοῦ διαβόλου εἶναι τὸ σῶμα, τίποτε ἄλλο δὲν ἀποδεικνύει, παρὰ αὐτὸ τὸ πρᾶγμα· πρᾶγμα ποὺ εἶναι ἡ χειρίστη μωρολογία. Διότι ἐὰν εἶναι τὸ διαβόλου, πῶς ὑπάρχει τόση συμφωνία, ὥστε νὰ ἀποδείξῃ αὐτὸ ἀπὸ κάθε πλευρὰν πρόσφορον εἰς τὰς ἐνεργείας τῆς φρονίμου καὶ συνετῆς ψυχῆς; Καὶ ἐὰν εἶναι πρόσφορον καὶ φιλικόν, θὰ εἰπῇ κάποιος, πῶς τυφλώνει τὴν ψυχήν; Δὲν εἶναι τὸ σῶμα ποὺ τυφλώνει τὴν ψυχήν, ἄνθρωπε, μακρυὰ ἀπὸ τέτοιον βλάσφημον λόγον, ἀλλ' ἡ ἀπόλαυσις.

Διατί ὅμως ἐπιθυμοῦμεν τὴν ἀπόλαυσιν; Δὲν ἔχομεν ἀπὸ τὸ σῶμα αὐτὴν τὴν ἐπιθυμίαν, καθόλου, ἀλλ' ἀπὸ κακὴν προαίρεσιν. Διότι τὸ σῶμα ἔχει ἀνάγκην ἀπὸ τροφὴν καὶ ὄχι ἀπὸ τρυφήν, τὸ σῶμα ἔχει ἀνάγκην νὰ τρέφεται, ὄχι νὰ ἀποχαυνώνεται καὶ νὰ ζῇ μὲ ἀπολαύσεις. Διότι ὄχι μόνον εἰς τὴν ψυχήν, ἀλλὰ καὶ εἰς αὐτὸ τὸ σῶμα ποὺ τρέφεται εἶναι ἐχθρὸς ἡ ἀπόλαυσις. Διότι ἀντὶ νὰ γίνεται ἰσχυρόν, γίνεται ἀσθενέστερον, καὶ ἀντὶ στερεόν, γίνεται περισσότερον μαλθακόν, καὶ ἀσθενικὸν ἀντὶ ὑγιεινόν, καὶ

ρύτερον ἀντὶ κούφου, καὶ ἀραιότερον ἀντὶ πυκνοῦ, καὶ αἰσχρὸν ἀντὶ ὡραίου, καὶ δυσωδέστερον ἀντὶ εὐώδους, καὶ ἀκάθαρτον ἀντὶ καθαροῦ, καὶ περιώδυνον ἀντὶ ἀνειμένου, καὶ ἄχρηστον ἀντὶ χρησίμου, καὶ παλαιὸν ἀντὶ νέου, καὶ σαθρὸν ἀντὶ ἰσχυροῦ, καὶ βραδὺ καὶ νωθρὸν ἀντὶ ταχέος, καὶ χωλὸν ἀντὶ ἀρτίου. Καίτοι εἰ τοῦ διαβόλου ἦν, οὐκ ἐχρῆν ὑπὸ τῶν οἰκείων αὐτὸ παραβλάπτεσθαι, τῆς κακίας λέγω. Ἀλλ' οὔτε τὸ σῶμα, οὔτε τὰ σιτία, τοῦ διαβόλου, ἀλλ' ἡ τρυφὴ μόνη. Διὰ γὰρ ταύτης τὰ μυρία ὁ πονηρὸς δαίμων ἐκεῖνος ἀνύει κακά. Οὕτω δῆμον ὁλόκληρον ἐξετραχήλισεν· «Ἐλιπάνθη» γάρ, φησί, «καὶ ἐπαχύνθη, καὶ ἐπλατύνθη, καὶ ἀπελάκτισεν ὁ ἠγαπημένος». Καὶ Σοδόμοις δὲ ἐντεῦθεν ἡ ἀρχὴ τῶν κεραυνῶν ἐκείνων ἐγένετο. Καὶ τοῦτο δηλῶν ὁ Ἰεζεκιὴλ ἔλεγε· «Πλὴν τοῦτο τὸ ἀνόμημα Σοδόμων, ἐν ὑπερηφανίᾳ καὶ ἐν πλησμονῇ ἄρτων καὶ ἐν εὐθηνίαις ἐσπατάλων». Διὰ τοῦτο καὶ ὁ Παῦλος ἔλεγεν· «Ἡ δὲ σπαταλῶσα, ζῶσα τέθνηκε». Τί δήποτε; Ὅτι ὥσπερ τάφον τὸ σῶμα περιφέρει μυρίοις συνδεδεμένον κακοῖς.

Εἰ δὲ τὸ σῶμα οὕτως ἀπόλλυται, πῶς ἡ ψυχὴ διακείσεται, πόσου θορύβου, πόσων κυμάτων, πόσης ζάλης ἀνάπλεως ἔσται; Διά τοι τοῦτο πρὸς πάντα ἄχρηστος γίνεται, καὶ οὔτε εἰπεῖν, οὔτε ἀκοῦσαι, οὔτε βουλεύσασθαι, οὔτε πρᾶξαί τι τῶν δεόντων ῥᾳδίως δυνήσεται· ἀλλ' ὥσπερ κυβερνήτης, χειμῶνος κρατήσαντος τῆς τέχνης, αὐτῷ τῷ πλοίῳ καὶ τοῖς ἐπιβάταις ὑποβρύχιος γίνεται, οὕτω καὶ ἡ ψυχὴ μετὰ τοῦ σώματος εἰς τὴν χαλεπὴν τῆς ἀναισθησίας καταποντίζεται ἄβυσσον. Καὶ γὰρ καθάπερ μύλην τινὰ τὴν γαστέρα ἡμῖν ἐνέθηκεν ὁ Θεός, σύμμετρον αὐτῇ δύναμιν δούς, καὶ τάξας μέτρον ῥητόν, ὅπερ αὐτὴν ἀλεῖν δεῖ καθ' ἑκάστην ἡμέραν.

---

18. Δευτ. 32, 15.
19. Ἰεζ. 16, 49.
20. Α' Τιμ. 5, 6.

βαρύτερον ἀντὶ ἐλαφρόν, καὶ ἀραιότερον ἀντὶ πυκνόν, καὶ ἄσχημον ἀντὶ ὡραῖον, καὶ δυσωδέστερον ἀντὶ εὐῶδες, καὶ ἀκάθαρτον ἀντὶ καθαρόν, καὶ περισσοτέρους πόνους ὑποφέρει ἀντὶ νὰ εἶναι ἀπηλλαγμένον ἀπὸ αὐτούς, καὶ ἄχρηστον ἀντὶ χρήσιμον, καὶ γέρικον ἀντὶ νεανικόν, καὶ ἀδύνατον ἀντὶ ἰσχυρόν, καὶ ἀργὸν καὶ νωθρὸν ἀντὶ ταχύ, καὶ ἀνάπηρον ἀντὶ ἀρτιμελές. Ἂν καὶ βέβαια ἐὰν ἦτο τοῦ διαβόλου δὲν ἔπρεπε νὰ βλάπτεται ἀπὸ τὰ τοῦ διαβόλου, δηλαδὴ τὴν κακίαν. Ἀλλ᾿ οὔτε τὸ σῶμα, οὔτε αἱ τροφαὶ εἶναι τοῦ διαβόλου, ἀλλὰ μόνον ἡ ἀπόλαυσις. Διότι μὲ τὴν βοήθειαν αὐτῆς κατορθώνει τὰ ἀμέτρητα κακὰ ἐκεῖνος ὁ δαίμων. Ἔτσι ἐξέτρεψεν ὁλόκληρον λαόν· διότι, «ἐτράφη ὑπερβολικά», λέγει, «καὶ ἐπάχυνεν καὶ ἐκαυχήθη καὶ ἀπηρνήθη τὸν Θεὸν ὁ ἠγαπημένος ἀπὸ τὸν Θεόν»[18]. Καὶ εἰς τὰ Σόδομα δὲ αὐτὰ ἔγιναν αἰτία δι᾿ ἐκείνους τοὺς κεραυνούς. Καὶ αὐτὸ ἐδήλωσεν ὁ Ἰεζεκιὴλ ὅταν ἔλεγεν· «Αὐτὴ ἦτο ἡ ἁμαρτία τῶν Σοδόμων ποὺ ὡδήγησεν εἰς τὴν ἀκολασίαν, τὸ ὅτι ἐβυθίζοντο εἰς ἀπολαύσεις, εἰς ὑπερηφάνειαν καὶ χορτασμὸν φαγητῶν καὶ ἀφθονίαν οἴνου»[19]. Δι᾿ αὐτὸ καὶ ὁ Παῦλος ἔλεγεν· «Ἐκείνη ὅμως ποὺ ζῇ εἰς ἀπολαύσεις ἔχει ἀποθάνει, ἂν καὶ εὑρίσκεται εἰς τὴν ζωήν»[20]. Διατί ἄρά γε; Διότι ὡσὰν τάφον περιφέρει τὸ σῶμα ποὺ ἔχει συνδεθῇ μὲ ἄπειρα κακά.

Ἐὰν ὅμως τὸ σῶμα καταστρέφεται εἰς τέτοιον βαθμόν, εἰς ποίαν κατάστασιν θὰ εὑρεθῇ ἡ ψυχή, ἀπὸ πόσην σύγχυσιν, πόσην τρικυμίαν, πόσην ζήλην θὰ γεμίσῃ; Δι᾿ αὐτὸ λοιπὸν γίνεται ἄχρηστος δι᾿ ὅλα καὶ οὔτε νὰ εἰπῇ, οὔτε ν᾿ ἀκούσῃ, οὔτε νὰ ἐπιθυμήσῃ, οὔτε νὰ πράξῃ κάτι ἀπὸ τὰ πρέποντα ἠμπορεῖ· ἀλλ᾿ ὅπως ἀκριβῶς ὁ κυβερνήσης, ὅταν ἡ κακοκαιρία νικήσῃ τὴν ναυτικὴν τέχνην, μαζὶ μὲ τὸ πλοῖον καὶ τοὺς ἐπιβάτας βυθίζεται εἰς τὴν θάλασσαν, ἔτσι καὶ ἡ ψυχὴ μαζὶ μὲ τὸ σῶμα βυθίζεται εἰς τὴν φοβερὰν ἄβυσσον τῆς ἀναισθησίας. Διότι ὁ Θεὸς ἔθεσεν μέσα εἰς τὸ σῶμα μας ὡσὰν κάποιαν μυλόπετραν τὴν κοιλίαν, καὶ ἔδωσεν εἰς αὐτὴν ἀνάλογον δύναμιν καὶ ὥρισεν ὡρισμένον μέτρον, τὸ ὁποῖον πρέπει αὐτὴ ν᾿ ἀλέθῃ καθ᾿ ἡμέραν.

Ἂν οὖν τις ἐπιβάλῃ πλείονα, ἀκατέργαστα γενόμενα τῷ παντὶ λυμαίνεται.

Ἐντεῦθεν νόσοι καὶ ἀσθένειαι καὶ ἀμορφίαι· καὶ γὰρ οὐκ ἐπίνοσον μόνον, ἀλλὰ καὶ αἰσχρὰν ποιεῖ ἡ τρυφὴ τὴν καλήν. Ὅταν γὰρ ἐρεύγηται συνεχῶς ἀηδῆ, καὶ σεσηπότος οἴνου πνέῃ, καὶ πλέον τοῦ δέοντος ἐρυθαίνηται, καὶ τὸν προσήκοντα γυναικὶ ῥυθμὸν διαφθείρῃ, καὶ τὴν εὐκοσμίαν ἀπολέσῃ πᾶσαν, καὶ πλαδαρὰ μὲν ἡ σὰρξ γίνηται, ὕφαιμοι δὲ καὶ διατεταμέναι αἱ βλεφαρίδες, καὶ πάχος πλέον τοῦ δέοντος, καὶ πολυσαρκία περιττή, ἐννόησον πόση γίνεται ἐντεῦθεν ἀηδία. Ἐγὼ δὲ καὶ ἰατρῶν ἤκουσα λεγόντων, ὅτι πολλοῖς καὶ πρὸς ὕψος ἀναδραμεῖν ἡ τρυφὴ μάλιστα ἐνεπόδισε. Τοῦ γὰρ Πνεύματος ἐγκοπτομένου τῷ πλήθει τῶν καταβαλλομένων, καὶ περὶ τὴν τούτων ἐργασίαν ἀσχολουμένου, ὅπερ εἰς αὔξησιν ἔδει προχωρεῖν, τοῦτο δαπανᾶται εἰς τὴν τῶν περιττῶν ἐργασίαν.

Τί ἄν τις εἴποι τὰς ποδαλγίας, τὸ ῥεῦμα τὸ πανταχοῦ πλανώμενον, τὰς ἄλλας νόσους τὰς ἐντεῦθεν, τὴν βδελυρίαν ἅπασαν; Οὐδὲν γὰρ οὕτως ἀηδές, ὡς γυνὴ πολλὰ σιτουμένη. Διὰ τοῦτο ἐν ταῖς πενεστέραις πλείονα τὴν εὐμορφίαν ἴδοι τις ἄν, τῶν περιττωμάτων ἀναλισκομένων καὶ οὐχὶ προσπεπλασμένων αὐταῖς, πηλοῦ τινος περιττοῦ δίκην, εἰκῇ καὶ μάτην. Ἡ γὰρ καθημερινὴ γυμνασία, καὶ οἱ πόνοι, καὶ αἱ ταλαιπωρίαι, καὶ ἡ σύμμετρος τράπεζα, καὶ ἡ λιτὴ δίαιτα πολλὴν μὲν αὐταῖς τὴν εὐεξίαν, πολλὴν δὲ ἐντεῦθεν καὶ τὴν ὥραν παρέχουσιν.

Εἰ δὲ τὴν ἡδονὴν τῆς τρυφῆς λέγοις, μέχρι τῆς φάρυγγος αὐτὴν εὑρήσεις μόνον. Ὁμοῦ τε γὰρ τὴν γλῶτταν παρῆλθε καὶ ἀπέστη, πολλὰς ἐναφιεῖσα τὰς ἀηδίας. Μὴ γάρ μοι κατακειμένους μόνον τοὺς τρυφῶντας ἴδῃς, ἀλλ' ὅταν αὐτοὺς

Ἂν κάποιος λοιπὸν τὴν ἀναγκάσῃ νὰ ἀλέσῃ περισσότερα, μένοντα αὐτὰ ἀκατέργαστα, βλάπτουν ὁλόκληρον τὸ σῶμα.

Ἀπ' αὐτὸ τὸ πρᾶγμα προέρχονται νόσοι καὶ ἀσθένειαι καὶ ἀσχημίαι· διότι ὄχι μόνον νοσηράν, ἀλλὰ καὶ ἄσχημον κάμνει ἡ ἀπόλαυσις τὴν ὡραίαν γυναῖκα. Διότι, ὅταν ἐρεύγεται ἀηδιαστικὰ καὶ ἡ ἀναπνοή της μυρίζει οἶνον σάπιον ποὺ χωνεύει καὶ κοκκινίζει περισσότερον ἀπὸ τὸ κανονικὸν καὶ παραβιάζει τὸ μέτρον ποὺ ἁρμόζει εἰς γυναῖκα καὶ χάσῃ ἐντελῶς τὴν κοσμιότητα, καὶ ἡ μὲν σὰρξ γίνεται πλαδαρή, αἱ δὲ βλεφαρίδες τεντώνονται καὶ κοκκινίζουν ἀπὸ τὸ αἷμα ποὺ συγκεντροῦται κάτω ἀπὸ αὐτάς, καὶ πάχος περισσότερον ἀπὸ ὅσον πρέπει συσσωρεύεται καὶ πολυσαρκία περιττή, σκέψου πόση ἀηδία προκαλεῖται ἀπὸ αὐτά. Ἐγὼ δὲ ἤκουσα καὶ ἰατροὺς νὰ λέγουν ὅτι πολλὰς γυναῖκας ἡ ἀπόλαυσις τὰς ἠμπόδισε νὰ γίνουν ὑψηλότεραι. Διότι, ἐπειδὴ ἡ ζωϊκὴ λειτουργία ἐμποδίζεται ἀπὸ τὸ πλῆθος τῶν τροφῶν καὶ τῶν ποτῶν, καὶ ἀπασχολεῖται μὲ τὴν κατεργασίαν αὐτῶν, αὐτὸ ποὺ ἔπρεπε νὰ προχωρῇ εἰς τὸ ν' αὐξηθῇ, αὐτὸ ἐξαντλεῖται εἰς τὸ νὰ κατεργάζεται περιττὰς τροφάς.

Τί θὰ ἠμποροῦσε δὲ νὰ εἰπῇ κανεὶς διὰ τοὺς πόνους τῶν ποδιῶν, τὸ ρεῦμα νοσώδους ὕλης ποὺ πλανᾶται παντοῦ, τὰς ἄλλας νόσους ποὺ γεννῶνται ἀπὸ αὐτό, ὅλην τὴν ἀηδίαν; Διότι τίποτε δὲν εἶναι τόσον ἄσχημον, ὅσον ἡ γυναῖκα ποὺ τρώγει πολύ. Δι' αὐτὸ εἰς τὰς πτωχοτέρας θὰ ἰδῇ κανεὶς περισσοτέραν εὐμορφίαν, διότι τὰ περιττὰ καταναλίσκονται καὶ δὲν προστίθενται εἰς τὴν σάρκα των ὡσὰν περιττὴ λάσπη, ἄσκοπα καὶ μάταια. Διότι ἡ καθημερινὴ ἐξάσκησις καὶ οἱ κόποι καὶ αἱ ταλαιπωρίαι καὶ τὸ μέτριον φαγητὸν καὶ ἡ ἁπλῆ διατροφή, δίδουν εἰς αὐτὰς πολλὴν εὐεξίαν καὶ ὡραιότητα.

Ἐὰν δὲ εἰπῇς διὰ τὴν ἡδονὴν τῆς ἀπολαύσεως θὰ εὕρῃς αὐτὴν μόνον μέχρι τὸν φάρυγγα. Διότι μόλις ἐγγίσῃ τὴν γλῶσσαν παρέρχεται καὶ χάνεται, ἀφοῦ ἀφήσῃ πολλὴν ἀηδίαν. Διότι μὴ βλέπῃς μόνον κατὰ τὴν ὥραν τῆς ἀπολαύσεως αὐτοὺς ποὺ παραδίδονται εἰς ἡδονάς, ἀλλ' ὅ-

ἀναστάντας ἴδῃς, τότε παρακολούθησον, καὶ ὄψεις θηρίων μᾶλλον καὶ ἀλόγων, ἢ ἀνθρώπων σώματα. Ὄψει γὰρ καρηβαροῦντας, διατεινομένους, συνδεδεμένους, κλίνης δεομένους καὶ στρωμνῆς καὶ ἡσυχίας πολλῆς, καὶ καθάπερ ἐν κλυδωνίῳ πολλῷ ταραττομένους, καὶ τῶν διασωζόντων δεομένους, καὶ ἐπιθυμοῦντας τῆς καταστάσεως ἐκείνης, ἐν ᾗ πρὶν ἢ διαρραγῆναι ἦσαν. Καθάπερ γὰρ αἱ κύουσαι τῶν γυναικῶν, οὕτω βαρούμενοι τὰς γαστέρας περιφέρονται, καὶ μόλις ἐπιβαίνουσι, καὶ μόλις βλέπουσι, καὶ μόλις φθέγγονται, καὶ πάντα μόλις. Ἂν δὲ μικρὸν αὐτοὺς τύχῃ καταδαρθεῖν, ὀνείρατα πάλιν ἄτοπα καὶ μυρίων γέμοντα φαντασιῶν ὁρῶσι.

Τί ἄν τις εἴποι τὴν ἑτέραν τούτων μανίαν, τὴν τῶν ἀφροδισίων λέγω; Καὶ γὰρ καὶ αὕτη τὰς πηγὰς ἐντεῦθεν ἔχει· καὶ καθάπερ ἵπποι θηλυμανεῖς, οὕτω τῷ οἴστρῳ τῆς μέθης κεντούμενοι, πᾶσιν ἐπιπηδῶσιν, ἀλογώτερον καὶ μανικώτερον ἐκείνων σκιρτῶντες, καὶ πολλὰ ἕτερα ἀσχημονοῦντες, ἃ μηδὲ εἰπεῖν θέμις. Οὐδὲ γὰρ ἴσασι λοιπὸν οὔτε ἃ πάσχουσιν, οὔτε ἃ πράττουσιν. Ἀλλ' οὐχ ὁ μὴ τρυφῶν τοιοῦτος· ἀλλ' ἐν λιμένι κάθηται τὰ ἑτέρων ὁρῶν ναυάγια, καὶ ἡδονῆς ἀπολαύει καθαρᾶς, καὶ διαρκοῦς, τὴν ἐλευθέρῳ προσήκουσαν ζωὴν μετιών. Ταῦτ' οὖν εἰδότες, φύγωμεν τὰ πονηρὰ τῆς τρυφῆς συμπόσια, καὶ λιτῆς ἀντεχώμεθα τραπέζης, ἵνα καὶ τὴν ψυχὴν καὶ τὸ σῶμα, εὖ διακείμενοι, πᾶσάν τε ἐργασώμεθα ἀρετήν, καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ταν τοὺς ἰδῇς νὰ ἔχουν τελειώσει, τότε παρατήρησέ τους καὶ θὰ ἰδῇς εἰς αὐτοὺς σώματα ποὺ ὁμοιάζουν περισσότερον μὲ σώματα θηρίων καὶ ἀλόγων ζώων, παρὰ ἀνθρώπων. Διότι θὰ τοὺς ἰδῇς νὰ ἔχουν βαρεῖαν τὴν κεφαλήν, νὰ τανύζωνται, νὰ εἶναι ὡσὰν δεμένοι, νὰ ἔχουν ἀνάγκην ἀπὸ κλίνην καὶ στρῶμα καὶ πολλὴν ἡσυχίαν καὶ νὰ ταράσσωνται ὡσὰν νὰ εὑρίσκωνται εἰς τρικυμίαν μεγάλην καὶ νὰ ἔχουν ἀνάγκην ἀπὸ ἄλλους νὰ τοὺς σώσουν καὶ νὰ ἐπιθυμοῦν τὴν κατάστασιν ἐκείνην εἰς τὴν ὁποίαν εὑρίσκοντο πρὶν παραγεμίσουν τόσον ὥστε νὰ εἶναι ἕτοιμοι νὰ ἐκραγοῦν. Διότι ὅπως αἱ γυναῖκες ποὺ ἐγκυμονοῦν, ἔτσι περιφέρονται μὲ βαρείας κοιλίας καὶ μόλις βαδίζουν καὶ μόλις βλέπουν καὶ μόλις ὁμιλοῦν καὶ ὅλα μόλις. Ἐὰν δὲ κοιμηθοῦν ὀλίγον, βλέπουν ὄνειρα πάλιν ἀπρεπῆ καὶ γεμᾶτα ἀπὸ ἀπείρους φαντασίας.

Τί θὰ ἠμποροῦσε δὲ νὰ εἴπῃ κανεὶς διὰ τὴν ἄλλην μανίαν των, δηλαδὴ τὴν τῆς σαρκικῆς ἡδονῆς; Διότι καὶ αὐτὴ ἐδῶ ἔχει τὰς πληγάς της· καὶ ὅπως οἱ ἵπποι ποὺ λυσσοῦν διὰ σαρκικὴν μίξιν, ἔτσι κυριαρχοῦνται ἀπὸ τὴν λύσσαν τῆς μέθης καὶ ἐφορμοῦν εἰς οἱανδήποτε καὶ χοροπηδοῦν μὲ περισσοτέραν κτηνωδίαν καὶ μανίαν ἀπὸ ἐκείνους καὶ πολλὰς ἄλλας ἀσχημίας διαπράττουν, τὰς ὁποίας οὔτε νὰ εἴπουμεν ἐπιτρέπεται. Δὲν γνωρίζουν τίποτε λοιπόν, οὔτε αὐτὰ ποὺ πάσχουν, οὔτε αὐτὰ ποὺ πράττουν. Ἀλλ᾽ αὐτὸς ποὺ δὲν παραδίδεται εἰς γαστριμαργίαν δὲν εἶναι τέτοιος· ἀλλὰ κάθεται εἰς λιμένα καὶ βλέπει τὰ ναυάγια τῶν ἄλλων καὶ ἀπολαμβάνει καθαρὰν καὶ διαρκῆ ἡδονὴν καὶ ζῇ τὴν ζωὴν ποὺ ἁρμόζει εἰς ἐλεύθερον ἄνθρωπον. Αὐτὰ λοιπόν, κατανοήσαντες, ἂς ἀποφεύγωμεν τὰ πονηρὰ συμπόσια μὲ τὰς ἀπολαύσεις καὶ ἂς προτιμῶμεν ἁπλῆν καὶ μετρημένην τροφήν, ὥστε, ἔχοντες καλὴν διάθεσιν καὶ ψυχικὴν καὶ σωματικήν, νὰ καλλιεργήσωμεν κάθε ἀρετὴν καὶ νὰ ἐπιτύχωμεν τὰ μέλλοντα ἀγαθὰ μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ Μ΄
Α΄ Κορ. 14, 29 - 34

«Ἐπεὶ τί ποιήσουσιν οἱ βαπτιζόμενοι ὑπὲρ τῶν νεκρῶν, εἰ ὅλως νεκροὶ οὐκ ἐγείρονται; τί καὶ βαπτίζονται ὑπὲρ τῶν νεκρῶν;».

1. Ἑτέρῳ πάλιν ἐπιχειρεῖ κεφαλαίῳ, ποτὲ μὲν ἐξ ὧν ὁ Θεὸς ποιεῖ, ποτὲ δὲ ἐξ αὐτῶν ὧν πράττουσι, τὰ λεγόμενα κατασκευάζων. Οὐ μικρὸν δὲ καὶ τοῦτο εἰς συνηγορίαν δικαίωμα, ὅταν τοὺς ἀντιλέγοντας αὐτοὺς μάρτυρας παραγάγῃ, δι' ὧν ποιοῦσι, τῶν λεγομένων. Τί οὖν ἐστιν ὅ φησιν; ἢ βούλεσθε πρῶτον εἴπω, πῶς παραποιοῦσι τὴν ῥῆσιν ταύτην οἱ τὰ Μαρκίωνος νοσοῦντες; Καὶ οἶδα μὲν ὅτι πολὺν κινήσω γέλωτα, πλὴν ἀλλὰ καὶ διὰ τοῦτο μάλιστα ἐρῶ, ἵνα μειζόνως αὐτῶν φύγητε τὴν νόσον. Ἐπειδὰν γάρ τις κατηχούμενος ἀπέλθῃ παρ' αὐτοῖς, τὸν ζῶντα ὑπὸ τὴν κλίνην τοῦ τετελευτηκότος κρύψαντες, προσίασι τῷ νεκρῷ, καὶ διαλέγονται, καὶ πυνθάνονται, εἰ βούλοιτο λαβεῖν τὸ βάπτισμα· εἶτα ἐκείνου μηδὲν ἀποκρινομένου, ὁ κεκρυμμένος κάτωθεν ἀντ' ἐκείνου φησίν, ὅτι δὴ βούλοιτο βαπτισθῆναι· καὶ οὕτω βαπτίζουσιν αὐτὸν ἀντὶ τοῦ ἀπελθόντος, καθάπερ ἐπὶ τῆς σκηνῆς παίζοντες· τοσοῦτον ἴσχυσεν ἐν ταῖς τῶν ῥαθύμων ψυχαῖς ὁ διάβολος. Εἶτα ἐγκαλούμενοι, τουτὶ παράγουσι τὸ ῥῆμα λέγοντες, ὅτι καὶ ὁ ἀπόστολος εἴρηκεν, «Οἱ βαπτιζόμενοι ὑπὲρ τῶν νεκρῶν».

ΛΟΓΟΣ Μ΄
Α΄ Κορ. 14, 29 - 34

«Διότι τί θὰ κάνουν ἐκεῖνοι ποὺ βαπτίζονται διὰ τοὺς νεκρούς, ἐὰν οἱ νεκροὶ δὲν ἀνίστανται καθόλου; διατί λοιπὸν καὶ βαπτίζονται διὰ τοὺς νεκρούς;».

1. Μὲ ἄλλον τρόπον πάλιν ἐπιχειρεῖ νὰ ἀποδείξῃ αὐτὰ ποὺ λέγει, ἄλλοτε μὲν ἀπὸ ὅσα κάμνει ὁ Θεός, ἄλλοτε δὲ ἀπὸ ὅσα πράττουν αὐτοί. Δὲν εἶναι δὲ μικρὸν ἐπιχείρημα καὶ αὐτό, τὸ νὰ φέρῃ δηλαδὴ ὡς μάρτυρας αὐτοὺς τοὺς ἰδίους ποὺ ἀντιλέγουν, μὲ ὅσα πράττουν, διὰ νὰ συνηγορήσουν εἰς ὅσα λέγει. Τί εἶναι λοιπὸν αὐτὸ ποὺ λέγει; ἢ θέλετε πρῶτον νὰ εἰπῶ πῶς παραποιοῦν αὐτὸν τὸν λόγον αὐτοὶ ποὺ πάσχουν ἀπὸ τὴν νόσον τοῦ Μαρκίωνος; Καὶ γνωρίζω μὲν ὅτι θὰ προκαλέσω πολὺν γέλωτα, ἀλλὰ δι' αὐτὸ καὶ θὰ τὸ εἰπῶ, διὰ ν' ἀποφύγετε μὲ περισσοτέραν φροντίδα τὴν νόσον των. Ἐὰν λοιπὸν κάποιος ἀπὸ ὅσους κατηχοῦνται εἰς τὴν πίστιν μας φύγῃ καὶ ὑπάγῃ εἰς αὐτούς, ἀφοῦ κρύψουν κάποιον ζωντανὸν κάτω ἀπὸ τὴν κλίνην τοῦ νεκροῦ, τὸν πλησιάζουν καὶ τὸν παρουσιάζουν εις τὸν νεκρὸν καὶ ὁμιλοῦν εἰς αὐτὸν καὶ τὸν ἐρωτοῦν ἐὰν θὰ ἤθελε νὰ λάβῃ τὸ βάπτισμα· καὶ ἐπειδὴ ἐκεῖνος δὲν ἀποκρίνεται, ἀπαντᾷ αὐτὸς ποὺ ἔχει κρυφθῇ κάτω ἀπὸ τὴν κλίνην ἀντὶ ἐκείνου, ὅτι θὰ ἤθελε νὰ βαπτισθῇ· καὶ ἔτσι βαπτίζουν αὐτὸν ἀντὶ τοῦ νεκροῦ, ὅπως ἀκριβῶς ὅταν παίζουν εἰς τὸ θέατρον· τόσον πολὺ ἐκυριάρχησεν ὁ διάβολος εἰς τὰς ψυχὰς τῶν ραθύμων. Ὕστερον ὅταν κατηγοροῦνται, προβάλλουν ὡς δικαιολογίαν αὐτὸν τὸν λόγον τοῦ ἀποστόλου ἰσχυριζόμενοι ὅτι καὶ ὁ ἀπόστολος εἶπεν, «Ἐκεῖνοι ποὺ βαπτίζονται διὰ τοὺς νεκρούς»

Εἶδες τὸν καταγέλωτα τὸν πολύν; Ἆρ' οὖν πρὸς ταῦτα ἀντειπεῖν ἄξιον; Οὐκ ἔγωγε οἶμαι· πλὴν εἰ μὴ καὶ τοῖς μαινομένοις, ὑπὲρ ὧν παραπαίοντες φθέγγονται, διαλέγεσθαι δεῖ. Ἵνα δὲ μηδεὶς τῶν σφόδρα ἀφελεστέρων ἁλῷ, ἀναγκαῖον ὑπομεῖναι καὶ τὴν πρὸς τούτους ἀντίρρησιν. Εἰ γὰρ τοῦτο ἔλεγε Παῦλος, τίνος ἕνεκεν ἠπείλησεν ὁ Θεὸς τῷ μὴ βαπτιζομένῳ; Οὐ γάρ ἐστι τινὰ μὴ βαπτισθῆναι λοιπὸν ἐπινοηθέντος τούτου· ἄλλως δὲ τὸ ἔγκλημα οὐκέτι παρὰ τὸν ἀπελθόντα γίνεται, ἀλλὰ παρὰ τὸν ζῶντα. Τίσι δὲ ἔλεγεν, «Ἐὰν μὴ φάγητέ μου τὴν σάρκα, καὶ πίητέ μου τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς»; τοῖς ζῶσιν, ἢ τοῖς τετελευτηκόσιν, εἰπέ μοι; καὶ πάλιν, «Ἐὰν μή τις ἀναγεννηθῇ ἐξ ὕδατος καὶ πνεύματος, οὐ δύναται ἰδεῖν τὴν βασιλείαν τοῦ Θεοῦ»; Εἰ γὰρ τοῦτο ἐφεῖται, καὶ οὐ χρεία γνώμης τῆς τοῦ λαμβάνοντος, οὐδὲ συγκαταθέσεως τῆς ἐν τῷ ζῆν, τί κωλύει καὶ Ἕλληνας καὶ Ἰουδαίους οὕτω γενέσθαι πιστούς, ἑτέρων μετὰ τὴν τελευτὴν ἐκείνων ὑπὲρ ἐκείνων ταῦτα ποιούντων; Ἀλλ' ἵνα μὴ ἐπιπλέον τὰ ἀραχνίδια διακόπτοντες ματαιοπονῶμεν, φέρε τῆς ῥήσεως ταύτης τὴν δύναμιν ὑμῖν ἀναπτύξωμεν.

2. Τί οὖν φησιν ὁ Παῦλος; Πρῶτον ἀναμνῆσαι βούλομαι τοὺς μεμυημένους ὑμᾶς μιᾶς ῥήσεως, ἣν κατὰ τὴν ἑσπέραν ἐκείνην οἱ μυσταγωγοῦντες ὑμᾶς λέγειν κελεύουσι, καὶ τότε ἐρῶ καὶ τὸ τοῦ Παύλου· οὕτω γὰρ ὑμῖν καὶ τοῦτο ἔσται σαφέστερον. Μετὰ γὰρ τὰ ἄλλα πάντα τοῦτο προστίθεμεν, ὃ νῦν ὁ Παῦλος λέγει. Καὶ βούλομαι μὲν αὐτὸ σαφῶς εἰπεῖν, οὐ τολμῶ δὲ διὰ τοὺς ἀμυήτους· οὗτοι γὰρ δυσκολωτέραν ἡμῖν ποιοῦσι τὴν ἐξήγησιν, ἀναγκάζοντες ἢ μὴ λέγειν σαφῶς, ἢ εἰς αὐτοὺς ἐκφέρειν τὰ ἀπόρρητα. Πλὴν ἀλλ' ὡς ἂν

1. Ἰω. 6, 53.
2. Ἰω. 3, 5.

Εἶδες πόσον γελλοῖα πράγματα κάμνουν; Ἆρά γε λοιπὸν ἀξίζει ν' ἀντικρούσῃ κανεὶς αὐτά; Ἐγὼ τοὐλάχιστον δὲν νομίζω· ἐκτὸς ἐὰν πρέπει νὰ ὁμιλῶμεν καὶ διὰ τοὺς παράφρονας, δι' ὅσα λέγουν εἰς τὴν παραφροσύνην των. Ἀλλὰ διὰ νὰ μὴ παρασυρθῇ καὶ κυριευθῇ κανεὶς ἀπὸ τοὺς ἀφελεστέρους, εἶναι ἀνάγκη νὰ ὑπομείνωμεν τὴν ἀναίρεσιν καὶ αὐτῶν. Ἐὰν λοιπὸν ὁ Παῦλος ἔλεγεν αὐτὸ ὡς ἰδικήν του πίστιν, διατί ὁ Θεὸς εἶπεν, ὅτι ὅποιος δὲν βαπτίζεται καταδικάζεται; Διότε, ἀφοῦ ἐπενοήθη αὐτὸ δὲν εἶναι δυνατὸν πλέον νὰ μείνῃ κανεὶς ἀβάπτιστος· ἐξ ἄλλου δὲ ἡ κατηγορία δὲν ἀπευθύνεται εἰς ὅποιον ἀπέθανεν, ἀλλὰ δι' ὅποιον ζῇ. Εἰς ποίους δὲ ἔλεγεν, «Ἐὰν δὲν φάγετε εἰς τὴν θείαν Εὐχαριστίαν τὸ σῶμα του καὶ δὲν πίετε τὸ αἷμα μου, δὲν ἔχετε ζωὴν μέσα σας»[1]; εἰς τοὺς ζῶντας ἢ τοὺς νεκρούς; εἰπέ μου. Καὶ πάλιν, «Ἐὰν δὲν γεννηθῇ κανεὶς ἀπὸ τὸ ὕδωρ τοῦ βαπτίσματος καὶ ἀπὸ τὸ ἅγιον Πνεῦμα, δὲν ἠμπορεῖ νὰ εἰσέλθῃ εἰς τὴν βασιλείαν τοῦ Θεοῦ»[2]; Ἐὰν λοιπὸν αὐτὸ ἐπιτρέπεται καὶ δὲν χρειάζεται ἡ γνώμη ἐκείνου ποὺ λαμβάνει τὸ βάπτισμα, οὔτε συγκατάθεσίς του ἐνόσῳ εἶναι εἰς τὴν ζωήν, τί ἐμποδίζει νὰ γίνουν πιστοὶ καὶ Ἕλληνες καὶ Ἰουδαῖοι μὲ αὐτὸν τὸν τρόπον, ἀφοῦ μετὰ τὸν θάνατόν των κάνουν αὐτὰ διὰ λογαριασμὸν ἐκείνων; Ἀλλὰ διὰ νὰ μὴ ματαιοπονῶμεν περισσότερον μὲ τὸ νὰ κόπτωμεν ἱστοὺς ἀραχνῶν, ἔλα νὰ σοῦ ἀναπτύξω τὸν πλοῦτον καὶ τὴν ἰσχὺν αὐτοῦ τοῦ λόγου.

2. Τί θέλει νὰ εἰπῇ λοιπὸν ὁ Παῦλος; Πρῶτον θέλω νὰ ὑπενθυμίσω εἰς ἐσᾶς, ποὺ ἔχετε μυηθῇ, ἕνα λόγον, τὸν ὁποῖον κατὰ τὴν νύκτα ἐκείνην μᾶς προστάσσουν νὰ λέγωμεν ἐκεῖνοι ποὺ μᾶς μυσταγωγοῦν, καὶ τότε θὰ εἰπῶ καὶ τὸ τί ἐννοεῖ ὁ Παῦλος· διότι ἔτσι καὶ αὐτὸ θὰ γίνῃ σαφέστερον. Μετὰ ἀπὸ ὅλα τὰ ἄλλα δηλαδὴ προσθέτομεν καὶ αὐτὸ ποὺ λέγει τώρα ὁ Παῦλος. Καὶ θέλω μὲν νὰ εἰπῶ σαφῶς αὐτό, ἀλλὰ δὲν τολμῶ, διότι ὑπάρχουν ἐδῶ καὶ ἀμύητοι· διότι αὐτοὶ μᾶς κάμνουν δυσκολωτέραν τὴν ἐξήγησιν μὲ τὸ νὰ μᾶς ἀναγκάζουν ἢ νὰ μὴ ὁμιλῶμεν σαφῶς ἢ νὰ ἀποκαλύψωμεν εἰς αὐτοὺς τὰ ἀπόρρητα. Πλὴν ὅμως,

οἷός τε ὦ, συνεσκιασμένος ἐρῶ. Μετὰ γὰρ τὴν ἀπαγγελίαν τῶν μυστικῶν ῥημάτων ἐκείνων καὶ φοβερῶν, καὶ τοὺς φρικτοὺς κανόνας τῶν ἐκ τοῦ οὐρανοῦ κατενεχθέντων δογμάτων, καὶ τοῦτο πρὸς τῷ τέλει προστίθεμεν, ὅταν μέλλωμεν βαπτίζειν, κελεύοντες λέγειν, ὅτι πιστεύω εἰς νεκρῶν ἀνάστασιν· καὶ ἐπὶ τῇ πίστει ταύτῃ βαπτιζόμεθα. Μετὰ γὰρ τὸ ὁμολογῆσαι τοῦτο μετὰ τῶν ἄλλων, τότε καθιέμεθα εἰς τὴν πηγὴν τῶν ἱερῶν ναμάτων ἐκείνων. Τοῦτο τοίνυν ἀναμιμνήσκω ὁ Παῦλος ἔλεγεν· «Εἰ μὴ ἔστιν ἀνάστασις, τί καὶ βαπτίζῃ ὑπὲρ τῶν νεκρῶν;», τουτέστι, τῶν σωμάτων. Καὶ γὰρ ἐπὶ τούτῳ βαπτίζῃ, τῇ τοῦ νεκροῦ σώματος ἀναστάσει, πιστεύων ὅτι οὐκέτι μένει νεκρόν.

Καὶ σὺ μὲν διὰ τῶν ῥημάτων λέγεις νεκρῶν ἀνάστασιν· ὁ δὲ ἱερεύς, ὥσπερ ἐν εἰκόνι τινί, ἅπερ ἐπίστευσας καὶ διὰ τῶν ῥημάτων ὡμολόγησας, δείκνυσί σοι καὶ διὰ τῶν πραγμάτων αὐτῶν. Ὅταν χωρὶς σημείου πιστεύσῃς, τότε σοι καὶ τὸ σημεῖον παρέχει· ὅταν τὰ σαυτοῦ ποιήσῃς, τότε καὶ ὁ Θεός σε πληροφορεῖ. Πῶς καὶ τίνι τρόπῳ; Διὰ τοῦ ὕδατος. Τὸ γὰρ βαπτίζεσθαι καὶ καταδύεσθαι, εἶτα ἀνανεύειν, τῆς εἰς ᾅδου καταβάσεώς ἐστι σύμβολον καὶ τῆς ἐκεῖθεν ἀνόδου. Διὸ καὶ τάφον τὸ βάπτισμα ὁ Παῦλος καλεῖ λέγων, «Συνετάφημεν οὖν αὐτῷ διὰ τοῦ βαπτίσματος εἰς τὸν θάνατον». Ἀπὸ τούτου καὶ τὸ μέλλον ἀξιόπιστον ποιεῖ, τῶν σωμάτων λέγω τὴν ἀνάστασιν. Τοῦ γὰρ σῶμα ἀναστῆναι πολλῷ μεῖζον τὸ ἁμαρτήματα ἀφανίσαι. Καὶ τοῦτο ὁ Χριστὸς ἀποφαινόμενος ἔλεγε· «Τί γάρ ἐστιν εὐκοπώτερον εἰπεῖν, ἀφέωνταί σοι αἱ ἁμαρτίαι, ἢ εἰπεῖν, ἆρον τὸν κράββατόν σου, καὶ περιπάτει;». Τὸ μὲν δυσκολώτερον ἐκεῖνο, φησίν· ἐπειδὴ δὲ ἀπιστεῖτε ἅτε ἀδήλῳ ὄντι, καὶ τὸ εὐκολώτερον ἀντὶ δυσκόλου ποιεῖσθε τῆς ἐμῆς δυνάμεως ἀπόδειξιν, οὐδὲ τοῦτο παραιτήσομαι παρασχεῖν ὑμῖν τὸ δεῖγμα. «Τότε

3. Ρωμ. 6, 4.
4. Ματθ. 9, 5-6.

ὅσον εἶναι δυνατόν, θὰ ὁμιλήσω συγκεκαλυμμένα. Μετὰ δηλαδὴ ἀπὸ τὴν ἀπαγγελίαν ἐκείνων τῶν μυστικῶν καὶ φοβερῶν λόγων καὶ τοὺς φρικτοὺς κανόνας τῶν δογμάτων ποὺ ἔχουν ἀποκαλυφθῆ καὶ κατέλθει ἀπὸ τὸν οὐρανόν, προσθέτομεν καὶ αὐτὸ πρὸς τὸ τέλος, τὸ ὁποῖον ἀπαιτοῦμεν νὰ λέγουν, ὅταν πρόκειται νὰ βαπτίσωμεν, δηλαδὴ ὅτι πιστεύω εἰς ἀνάστασιν νεκρῶν· καὶ εἰς αὐτὴν τὴν πίστιν βαπτιζόμεθα. Διότι, ἀφοῦ πρῶτον ὁμολογήσωμεν αὐτὸ μαζὶ μὲ τὰ ἄλλα, τότε βυθιζόμεθα εἰς τὴν πηγὴν ἐκείνων τῶν ἱερῶν ναμάτων. Αὐτὸ λοιπὸν ὑπενθυμίζων ὁ Παῦλος ἔλεγεν· «Ἐὰν δὲν ὑπάρχῃ ἀνάστασις, διατί βαπτίζεσαι διὰ τοὺς νεκρούς;», δηλαδή, διὰ τὰ σώματα. Διότι δι' αὐτὸ βαπτίζεσαι, διὰ τὴν ἀνάστασιν τοῦ νεκροῦ σώματος, μὲ τὴν πίστιν ὅτι δὲν μένει νεκρόν.

Καὶ σὺ μὲν ὁμολογεῖς ἀνάστασιν νεκρῶν μὲ τοὺς λόγους· ἐνῷ ὁ ἱερεύς, ὡσὰν εἰς κάποιαν εἰκόνα, αὐτὰ ποὺ ἐπίστευσες καὶ ὡμολόγησες μὲ λόγους, σοῦ δεικνύει καὶ μὲ αὐτὰ τὰ πράγματα. Ὅταν πιστεύσῃς χωρὶς σημεῖον, τότε σοῦ δίδει καὶ τὸ σημεῖον· ὅταν κάνῃς ὅσα πρέπει νὰ κάνῃς, τότε καὶ ὁ Θεὸς σὲ βεβαιώνει. Πῶς καὶ μὲ ποῖον τρόπον; Μὲ τὸ ὕδωρ. Διότι τὸ νὰ βαπτίζεσαι καὶ νὰ καταδύεσαι, ὕστερον νὰ ἀνέρχεσαι ἀπὸ τὸ ὕδωρ, εἶναι σύμβολον τῆς καθόδου τοῦ Χριστοῦ εἰς τὸν Ἅδην καὶ τῆς ἀνόδου ἀπὸ ἐκεῖ, δηλαδὴ τῆς ἀναστάσεως. Δι' αὐτὸ καὶ ὁ Παῦλος ὀνομάζει τάφον τὸ βάπτισμα ὅταν λέγῃ, «Ἔχομεν ταφῆ λοιπὸν μαζὶ μὲ τὸν Χριστὸν εἰς τὸν θάνατόν του»[3]. Ἀπὸ αὐτὸ κάμνει καὶ τὸ μέλλον ἀξιόπιστον, δηλαδὴ τὴν ἀνάστασιν τῶν σωμάτων. Διότι ἀπὸ τοῦ νὰ ἀναστήσῃ τὸ σῶμα εἶναι πολὺ μεγαλύτερον τὸ νὰ ἐξαλείψῃ τὰς ἁμαρτίας. Καὶ αὐτὸ ἐδείκνυεν ὁ Χριστὸς ὅταν ἔλεγε· «Διότι τί εἶναι εὐκολώτερον; Νὰ εἰπῶ, 'Συγχωροῦνται αἱ ἁμαρτίαι σου' ἢ νὰ εἰπῶ 'πάρε τὸ κρεββάτι σου καὶ περιπάτει';»[4]. Τὸ μὲν δυσκολώτερον εἶναι νὰ συχωρηθοῦν αἱ ἁμαρτίαι, λέγει· ἐπειδὴ ὅμως δὲν πιστεύετε, διότι δὲν εἶναι ἀκόμη φανερόν, καὶ θεωρεῖτε τὸ εὐκολώτερον ὡσὰν δυσκολώτερον, διὰ ν' ἀποδειχθῆ ἡ δύναμίς μου, δὲν θὰ ἀρνηθῶ νὰ σᾶς δώσω οὔτε

λέγει τῷ παραλυτικῷ· ἐγερθεὶς ἆρον τὴν κλίνην σου, καὶ ὕπαγε εἰς τὸν οἶκόν σου».

Καὶ πῶς τοῦτο δύσκολον, φησίν, ὅταν καὶ βασιλεῦσι καὶ ἄρχουσι δυνατὸν ᾖ; καὶ γὰρ μοιχοὺς καὶ ἀνδροφόνους ἀφιᾶσιν ἐκεῖνοι. Παίζεις, ἄνθρωπε, ταῦτα λέγων. Ἁμαρτήματα μὲν γὰρ ἀφεῖναι μόνῳ Θεῷ δυνατόν· ἄρχοντες δὲ καὶ βασιλεῖς, κἂν μοιχούς, κἂν ἀνδροφόνους ἀφῶσι, τῆς μὲν κολάσεως τῆς παρούσης ἀπαλλάττουσι, τὴν δὲ ἁμαρτίαν αὐτῶν οὐκ ἐκκαθαίρουσι· κἂν εἰς ἀρχὰς ἀγάγωσι τοὺς ἀφεθέντας, κἂν αὐτὴν περιβάλωσι τὴν ἁλουργίδα, κἂν τὸ διάδημα ἐπιθῶσιν· ἀλλὰ βασιλέας μὲν ἐποίησαν οὕτω, τῆς δὲ ἁμαρτίας οὐκ ἠλευθέρωσαν· Θεὸς γὰρ μόνος τοῦτο ποιεῖ. Ὃ δὴ καὶ ἐν τῷ λουτρῷ τῆς παλιγγενεσίας ἐργάζεται· αὐτῆς γὰρ ἅπτεται τῆς ψυχῆς ἡ χάρις, κἀκεῖθεν πρόρριζον ἀνασπᾷ τὴν ἁμαρτίαν.

Διὰ δὴ τοῦτο τοῦ μὲν ὑπὸ βασιλέως ἀφεθέντος ρυπῶσαν τὴν ψυχὴν ἔστιν ἰδεῖν, τὴν δὲ τοῦ βαπτισθέντος οὐκέτι, ἀλλ' αὐτῶν τῶν ἡλιακῶν ἀκτίνων καθαρωτέραν, καὶ οἵα ἐξ ἀρχῆς γεννηθεῖσα ἦν, μᾶλλον δὲ καὶ ἐκείνης ἀμείνω πολλῷ. Πνεύματος γὰρ ἀπολαύει τοῦ πανταχόθεν αὐτὴν πυροῦντος καὶ τὴν ἁγιωσύνην ἐπιτείνοντος. Καὶ ὥσπερ σίδηρον ἢ χρυσὸν ἀναχωνεύων, καθαρὸν καὶ καινὸν ἄνωθεν ποιεῖς· οὕτω δὴ καὶ τὸ Πνεῦμα τὸ ἅγιον ὥσπερ ἐν χωνευτηρίῳ τῷ βαπτίσματι ἀναχωνεῦον αὐτήν, καὶ δαπανῶν τὰ ἁμαρτήματα, χρυσίου παντὸς καθαροῦ καθαρώτερον ἀποστίλβειν παρασκευάζει. Καὶ τὴν τῶν σωμάτων δὲ ἀνάστασιν ἀξιόπιστον κἀντεῦθέν σοι πάλιν δείκνυσιν οὖσαν. Ἐπειδὴ γὰρ ἡ ἁμαρτία τὸν θάνατον εἰσήγαγε, τῆς ρίζης ξηρανθείσης, οὐδὲν δεῖ λοιπὸν ἀμφιβάλλειν ὑπὲρ τῆς τοῦ καρποῦ ἀπωλείας. Διὰ

αὐτὴν τὴν ἀπόδειξιν. «Τότε λέγει εἰς τὸν παραλυτικόν· Σήκω, πάρε τὸ κρεβάτι σου καὶ πήγαινε εἰς τὸ σπίτι σου».

Καὶ πῶς εἶναι δύσκολον αὐτό, θὰ εἰπῇ κάποιος, ὅταν αὐτὸ εἶναι δυνατὸν ἀκόμη καὶ εἰς ἄρχοντας καὶ βασιλεῖς; διότι καὶ ἐκεῖνοι συγχωροῦν καὶ μοιχοὺς καὶ δολοφόνους. Παίζεις, ἄνθρωπε, ὅταν λέγῃς αὐτά. Διότι ἡ συγχώρησις τῶν ἁμαρτιῶν εἶναι δυνατὴ μόνον εἰς τὸν Θεόν· οἱ ἄρχοντες δὲ καὶ οἱ βασιλεῖς, καὶ ἂν συγχωρήσουν μοιχοὺς καὶ δολοφόνους, ἀπὸ τὴν μὲν τιμωρίαν εἰς τὴν παροῦσαν ζωὴν τοὺς ἀπαλλάσουν, ἀλλὰ τὴν ἁμαρτίαν των δὲν τὴν ἐξαλείφουν· καὶ ἂν ὑψώσουν, αὐτοὺς ποὺ συνεχώρησαν, εἰς ἀξιώματα, καὶ ἂν τοὺς ἐνδύσουν ἀκόμη καὶ μὲ τὴν βασιλικὴν πορφύραν, καὶ ἂν ἀκόμη θέσουν εἰς τὴν κεφαλήν των τὸ στέμμα, βασιλεῖς μὲν τοὺς ἀνέδειξαν ἔτσι, ἀπὸ τὴν ἁμαρτίαν ὅμως δὲν τοὺς ἠλευθέρωσαν· διότι μόνον ὁ Θεὸς τὸ κάμνει αὐτό. Αὐτὸ ἀκριβῶς κάμνει καὶ εἰς τὸ βάπτισμα· διότι ἡ χάρις ἐγγίζει τὴν ἰδίαν τὴν ψυχὴν καὶ ἐκριζώνει ἀπὸ ἐκεῖ ἐντελῶς τὴν ἁμαρτίαν.

Δι᾿ αὐτὸ λοιπὸν τὴν ψυχὴν ἐκείνου ποὺ συνεχωρήθη ἀπὸ βασιλέα θὰ τὴν ἰδῇς ρυπαράν, τὴν ψυχὴν ὅμως ἐκείνου ποὺ ἐβαπτίσθη καθόλου ρυπαράν, ἀλλὰ καθαρωτέραν καὶ ἀπὸ αὐτὰς τὰς ἀκτῖνας τοῦ ἡλίου, καὶ τέτοιαν ποὺ ἦτο ὅταν ἐδημιουργήθη εἰς τὴν ἀρχήν, μᾶλλον δὲ καὶ ἀπὸ ἐκείνην πολὺ καλυτέρα. Διότι ἀπολαμβάνει τὸ ἅγιον Πνεῦμα ποὺ τὴν καταλάμπει καὶ τὴν καθαρίζει τελείως καὶ τὴν θερμαίνει καὶ αὐξάνει μέσα της τὴν ἁγιωσύνην. Καὶ ὅπως ὅταν λειώνῃς καὶ ξαναχύνῃς σίδηρον ἢ χρυσὸν τὸν κάμνεις καθαρὸν καὶ καινουργῆ, ἔτσι λοιπὸν καὶ τὸ ἅγιον Πνεῦμα ὡσὰν εἰς χωνευτήριον ξαναχωνεύει τὴν ψυχὴν καί, ἀφοῦ ἐξαλείψῃ τὰ ἁμαρτήματα, τὴν κάμνει ν᾿ ἀστράφτῃ καθαρώτερον καὶ ἀπὸ τὸν πλέον καθαρὸν χρυσόν. Ἀλλὰ καὶ τὴν ἀνάστασιν τῶν σωμάτων σοῦ ἀποδεικνύει μὲ αὐτὸ ἀξιόπιστον. Ἐπειδὴ δηλαδὴ ἡ ἁμαρτία εἰσήγαγε τὸν θάνατον, ἀφοῦ ἐξηράνθη ἡ ρίζα της, δὲν πρέπει καθόλου πλέον ν᾿ ἀμφιβάλλωμεν διὰ τὴν καταστροφὴν τοῦ καρποῦ. Διὰ τοῦτο, ἀφοῦ πρῶτον ὡμολόγησες διὰ τοῦ βαπτίσματος

τοῦτο πρότερον εἰπὼν ἁμαρτιῶν ἄφεσιν, τότε ὁμολογεῖς καὶ νεκρῶν ἀνάστασιν, ἐντεῦθεν καὶ εἰς ἐκεῖνο χειραγωγούμενος.

Εἶτα ἐπειδὴ οὐκ ἀρκεῖ τὸ ὄνομα τῆς ἀναστάσεως δεῖξαι τὸ πᾶν· πολλοὶ γὰρ ἀναστάντες πάλιν ἀπῆλθον, ὡς οἱ ἐν τῇ παλαιᾷ, ὡς Λάζαρος, ὡς οἱ ἐν τῷ καιρῷ τοῦ σταυροῦ· κελεύει λέγειν, καὶ εἰς ζωὴν αἰώνιον, ἵνα μηκέτι θάνατον ὑποπτεύσῃ τις μετὰ τὴν ἀνάστασιν ἐκείνην. Τούτων τοίνυν τῶν ῥημάτων ἀναμιμνήσκων ὁ Παῦλός φησι· «Τί ποιήσουσιν οἱ βαπτιζόμενοι ὑπὲρ τῶν νεκρῶν;». Εἰ γὰρ μὴ ἔστιν ἀνάστασις, φησί, σκηνὴ τὰ ῥήματα ταῦτα. Εἰ μὴ ἔστιν ἀνάστασις, πῶς αὐτοὺς πείθομεν πιστεύειν, ἅπερ οὐ διδόαμεν; ὥσπερ ἂν εἴ τις κελεύων γραμματεῖον ἐκθέσθαι ὅτι τὸ καὶ τὸ ἔλαβε, μηκέτι δῴη τὰ ἐγγραφέντα, εἶτα μετὰ τὴν ὑπογραφὴν ἀπαιτοίη τὰ ἐγγεγραμμένα. Τί γὰρ ποιήσει λοιπὸν ὁ ὑπογράψας, ὑπεύθυνον μὲν ἑαυτὸν ποιήσας, οὐ λαβὼν δὲ ἅπερ ὡμολόγησεν εἰληφέναι; Τοῦτο γὰρ καὶ ἐνταῦθα λέγει περὶ τῶν βαπτιζομένων. Τί ποιήσουσιν οἱ βαπτιζόμενοι, φησίν, ὑπογράψαντες μὲν ἀνάστασιν σωμάτων νεκρῶν, οὐ λαμβάνοντες δέ, ἀλλ' ἀπατώμενοι; Τί δὲ ὅλως καὶ τῆς ὁμολογίας ταύτης ἔδει, εἰ τὸ ἔργον μὴ εἵπετο;

3. «Τί καὶ ἡμεῖς κινδυνεύομεν πᾶσαν ὥραν; Καθ' ἡμέραν ἀποθνήσκω, νὴ τὴν ὑμετέραν καύχησιν, ἣν ἔχω ἐν Χριστῷ Ἰησοῦ». Ὅρα πάλιν πόθεν ἐπιχειρεῖ κατασκευάσαι τὸ δόγμα, ἀπὸ τῆς οἰκείας ψήφου, μᾶλλον δὲ οὐ τῆς αὐτοῦ μόνον, ἀλλὰ καὶ τῆς τῶν λοιπῶν ἀποστόλων. Οὐ μικρὸν δὲ καὶ τοῦτο, τὸ τοὺς διδασκάλους εἰσάγειν σφόδρα πεπληροφορημένους, καὶ τοῦτο δεικνύντας οὐ διὰ λόγων μόνον, ἀλλὰ καὶ δι' αὐτῶν τῶν πραγμάτων. Διὰ δὴ τοῦτο οὐ λέγει ἁπλῶς, καὶ ἡμεῖς πεπείσθεμα· οὐδὲ γὰρ ἤρκει τοῦτο πεῖσαι μό-

ἄφεσιν ἁμαρτιῶν, τότε ὁμολογεῖς καὶ ἀνάστασιν νεκρῶν, διότι ἀπὸ αὐτὸ ὁδηγεῖσαι καὶ εἰς ἐκεῖνο.

Ἔπειτα, ἐπειδὴ δὲν εἶναι ἀρκετὸν τὸ ὄνομα τῆς ἀναστάσεως διὰ νὰ δείξῃ ὅλα αὐτά, διότι πολλοὶ ἀφοῦ ἀνέστησαν ἀπέθανον πάλιν, ὅπως αὐτοὶ ποὺ ἀνέστησαν εἰς τὴν περίοδον τῆς παλαιᾶς Διαθήκης, ὅπως ὁ Λάζαρος, ὅπως αὐτοὶ ποὺ ἀνεστήθησαν κατὰ τὴν ὥραν τῆς σταυρώσεως, προστάσσει ἡ ἐκκλησία νὰ ὁμολογῶμεν καὶ ζωὴν αἰώνιον, διὰ νὰ μὴ φαντασθῇ κανεὶς θάνατον μετὰ ἀπὸ ἐκείνην τὴν ἀνάστασιν. Αὐτοὺς λοιπὸν τοὺς λόγους καθὼς ὑπενθυμίζει ὁ Παῦλος λέγει· «Τί θὰ κάνουν αὐτοὶ ποὺ βαπτίζονται διὰ τοὺς νεκρούς;». Διότι ἐὰν δὲν ὑπάρχῃ ἀνάστασις, λέγει, τότε εἶναι θέατρον αὐτοὶ οἱ λόγοι. Ἐὰν δὲν ὑπάρχῃ ἀνάστασις, πῶς πείθομεν αὐτοὺς νὰ πιστεύουν αὐτὰ ποὺ δὲν δίδομεν; ὅπως ἐὰν κάποιος ἔγραφεν εἰς συμφωνητικὸν ὅτι ἔλαβεν αὐτὸ καὶ ἐκεῖνο, καὶ δὲν ἔδιδεν αὐτὰ ποὺ ἐγράφησαν ἐκεῖ, καὶ ὕστερον μετὰ τὴν ὑπογραφὴν ἐπήγαινε καὶ ἐζήτει αὐτὰ ποὺ εἶχον γραφῇ. Τί θὰ κάνῃ λοιπὸν αὐτὸς ποὺ ὑπέγραψεν, ἀφοῦ τὸν ἑαυτόν του μὲν ἔκανε ὑπεύθυνον μὲ τὴν ὑπογραφήν, ἀλλὰ δὲν ἔλαβεν αὐτὰ ποὺ μὲ τὴν ὑπογραφὴν ὡμολόγησεν ὅτι ἔλαβεν; Αὐτὸ λοιπὸν λέγει καὶ ἐδῶ διὰ τοὺς βαπτιζομένους. Τί θὰ κάνουν οἱ βαπτιζόμενοι, λέγει, ποὺ ὑπέγραψαν μὲν ἀνάστασιν τῶν σωμάτων τῶν νεκρῶν, δὲν λαμβάνουν ὅμως αὐτὸ ποὺ ὑπέγραψαν, ἀλλ᾽ ἀπατῶνται; Τί θὰ ἐχρειάζετο δὲ καὶ ἡ ὁμολογία αὐτή, ἐὰν δὲν ἠκολούθει τὸ ἔργον;

3. «Διατί καὶ ἐμεῖς κινδυνεύομεν κάθε ὥραν; Κάθε ἡμέραν ἀποθνήσκω, μὰ τὴν καύχησιν ποὺ ἔχω δι᾽ ἐσᾶς διὰ τοῦ Χριστοῦ Ἰησοῦ τοῦ Κυρίου μας». Πρόσεχε πάλιν ἀπὸ ποῦ ἐπιχειρεῖ ν᾽ ἀποδείξῃ τὸ δόγμα, ἀπὸ τὴν ἰδικήν του πίστιν, μᾶλλον δὲ ὄχι μόνον τὴν ἰδικήν του, ἀλλὰ καὶ τῶν ὑπολοίπων ἀποστόλων. Δὲν εἶναι δὲ μικρὸν ἐπιχείρημα καὶ αὐτό, τὸ νὰ προβάλλῃ δηλαδὴ τοὺς διδασκάλους ἀπολύτως πεπεισμένους καὶ νὰ δεικνύουν αὐτὸ ὄχι μόνον μὲ λόγους, ἀλλὰ καὶ μὲ τὰ ἴδια τὰ ἔργα των. Δι᾽ αὐτὸ λοιπὸν δὲν λέγει ἁπλῶς ὅτι καὶ ἐμεῖς ἔχομεν πεισθῆ, διότι δὲν ἦτο ἀρκετὸν

νον· ἀλλὰ καὶ τὴν διὰ τῶν πραγμάτων ἀπόδειξιν παρέχεται· ὡς ἂν εἰ ἔλεγε, τὸ μὲν ῥήμασι ταῦτα ὁμολογεῖν οὐδὲν ἴσως ὑμῖν δοκεῖ θαυμαστὸν εἶναι· εἰ δὲ καὶ τὴν ἀπὸ τῶν ἔργων ὑμῖν παράσχοιμεν φωνήν, τί πρὸς τοῦτο ἔχοιτε ἀντειπεῖν; Ἀκούσατε τοίνυν, πῶς καὶ διὰ τῶν κινδύνων ταῦτα καθ' ἑκάστην ὁμολογοῦμεν τὴν ἡμέραν. Καὶ οὐκ εἶπεν, ἐγώ, ἀλλ', «ἡμεῖς», παραλαμβάνων πάντας ὁμοῦ τοὺς ἀποστόλους, καὶ ταύτῃ μετριάζων τε καὶ ἀξιόπιστον ποιῶν τὸν λόγον. Τί γὰρ ἂν ἔχοιτε εἰπεῖν; ὅτι ἀπατῶμεν ὑμᾶς ταῦτα κηρύττοντες, καὶ κενοδοξίας ἕνεκεν δογματίζομεν; Ἀλλ' οὐκ ἐῶσι ταῦτα ψηφίζεσθαι οἱ κίνδυνοι. Τίς γὰρ ἂν ἕλοιτο κινδυνεύειν διηνεκῶς εἰκῇ καὶ μάτην; Διὸ καὶ ἔλεγε, «Τί καὶ ἡμεῖς κινδυνεύομεν πᾶσαν ὥραν;». Εἰ γὰρ καὶ ἕλοιτό τις διὰ κενοδοξίαν, ἅπαξ καὶ δεύτερον τοῦτο αἱρήσεται, οὐχὶ πάντα τὸν βίον, καθάπερ ἡμεῖς· ἡμεῖς γὰρ τὴν ζωὴν ἅπασαν εἰς τοῦτο κατεστησάμεθα.

«Καθ' ἡμέραν ἀποθνήσκω, νὴ τὴν ὑμετέραν καύχησιν, ἣν ἔχω ἐν Χριστῷ Ἰησοῦ»· καύχησιν ἐνταῦθα τὴν αὐτῶν προκοπὴν λέγων. Ἐπειδὴ γὰρ πολλοὺς ἔδειξε τοὺς κινδύνους ὄντας, ἵνα μὴ δόξῃ ὡς ἀποδυρόμενος ταῦτα λέγειν, οὐ μόνον οὐκ ἀλγῶ, φησίν, ἀλλὰ καὶ καυχῶμαι τῷ ταῦτα πάσχειν ὑπὲρ ὑμῶν. Διπλῇ δὲ ἐναβρύνεσθαι φησί, καὶ τῷ δι' αὐτοὺς κινδυνεύειν, καὶ τῷ ὁρᾶν αὐτοὺς ἐπιδιδόντας. Εἶτα τὸ αὐτῷ σύνηθες ποιῶν, ἐπειδὴ μεγάλα ἐφθέγξατο, ἀμφότερα ἀνατίθησι τῷ Χριστῷ. Πῶς δὲ ἀποθνήσκει καθ' ἑκάστην ἡμέραν; Τῇ προθυμίᾳ καὶ τῷ κατασκευάσθαι πρὸς τοῦτο. Καὶ τίνος ἕνεκεν ταῦτα λέγει; Πάλιν τὸν περὶ τῆς ἀναστάσεως καὶ διὰ τούτων κατασκευάζων λόγον. Τίς γὰρ ἂν ἕλοιτο, φησί, τοσούτους ὑπομένειν θανάτους, ἀναστάσεως οὐκ οὔσης οὐδὲ ζωῆς μετὰ ταῦτα; Εἰ γὰρ οἱ πιστεύοντες τῇ ἀναστάσει, μόλις ἂν ὑπὲρ αὐτῆς κινδυνεύσαιεν, εἰ μὴ σφόδρα εἶεν γενναῖοι, πολλῷ μᾶλλον ὁ μὴ πιστεύων, φησίν, οὐκ ἂν

μόνον αὐτὸ διὰ νὰ πείσῃ, ἀλλὰ δίδει καὶ τὴν ἐκ τῶν πραγμάτων ἀπόδειξιν˙ ὡσὰν νὰ ἔλεγεν ὅτι τὸ νὰ ὁμολογῇ κανεὶς αὐτὰ μὲ λόγον δὲν σᾶς φαίνεται ἴσως καθόλου ἄξιον θαυμασμοῦ˙ ἐὰν ὅμως σᾶς παρουσιάσωμεν καὶ τὴν φωνὴν ποὺ ἐκβάλλουν τὰ ἔργα, τί θὰ ἔχετε νὰ ἀντιτάξετε εἰς αὐτό; Ἀκούσατε λοιπὸν πῶς ὁμολογοῦμεν αὐτὰ κάθε ἡμέραν καὶ μὲ τοὺς κινδύνους τοὺς ὁποίους διατρέχομεν. Καὶ δὲν εἶπεν, ἐγώ, ἀλλ' «ἐμεῖς», συμπεριλαμβάνων ὅλους μαζὶ τοὺς ἀποστόλους, καὶ μὲ αὐτὸ μετριάζει ἔτσι τὸν λόγον καὶ τὸν κάμνει ἀξιόπιστον. Διότι τί θὰ εἴχατε νὰ εἰπῆτε; ὅτι σᾶς ἐξαπατῶμεν μὲ τὸ νὰ κηρύττωμεν αὐτὰ καὶ διδάσκομεν ἀπὸ κενοδοξίαν; Ἀλλὰ δὲν ἀφήνουν νὰ ἔχετε τέτοιαν γνώμην οἱ κίνδυνοι ποὺ διατρέχομεν. Διότι ποῖος θὰ ἐπεθύμει νὰ κινδυνεύῃ συνεχῶς μάταια καὶ ἄσκοπα; Δι' αὐτὸ καὶ ἔλεγε, «Διατί καὶ ἐμεῖς κινδυνεύομεν κάθε ὥραν;». Διότι καὶ ἐὰν τὸ ἐπεθύμει κανεὶς ἀπὸ ματαιοδοξίαν, θὰ τὸ ἀπεφάσιζε διὰ μίαν ἢ καὶ δευτέραν φοράν, ὄχι δι' ὅλην τὴν ζωήν του ὅπως ἐμεῖς˙ διότι ἐμεῖς ὅλην τὴν ζωήν μας ἀφιερώσαμεν εἰς αὐτό.

«Κάθε ἡμέραν ἀποθνήσκω, μὰ τὴν καύχησιν ποὺ ἔχω δι' ἐσᾶς διὰ τοῦ Ἰησοῦ Χριστοῦ»˙ καύχησιν ἐδῶ ὀνομάζει τὴν προκοπὴν τῶν πιστῶν τοῦ ποιμνίου. Ἐπειδὴ ὅμως ἔδειξε τοὺς ὑπάρχοντας κινδύνους ὅτι εἶναι πολλοί, διὰ νὰ μὴ φανῇ ὅτι λέγει αὐτὰ ἐπειδὴ δυσανασχετεῖ, ὄχι μόνον δὲν πονῶ, λέγει, ἀλλὰ καὶ καυχῶμαι διότι ὑποφέρω τόσα πρὸς χάριν σας. Καυχᾶται δὲ ἁπλᾶ, λέγει, καὶ διὰ τὸ ὅτι κινδυνεύει δι' αὐτούς, καὶ διὰ τὸ ὅτι τοὺς βλέπει νὰ προκόπτουν. Ὕστερον, πράττων καὶ ἐδῶ αὐτὸ ποὺ συνηθίζει, ἐπειδὴ εἶπε πράγματα ποὺ τὸν ἐπαινοῦν, ἀποδίδει καὶ τὰ δύο εἰς τὸν Χριστόν. Πῶς ἀποθνήσκει δὲ κάθε ἡμέραν; Ὡς πρὸς τὴν προθυμίαν καὶ τὴν προετοιμασίαν δι' αὐτό. Καὶ διατί λέγει αὐτά; Διὰ ν' ἀποδείξῃ πάλιν καὶ μὲ αὐτὰ τὸν λόγον διὰ τὴν ἀνάστασιν. Ποῖος δηλαδὴ θὰ ἐπεθύμει, λέγει, νὰ ὑπομείνῃ τόσους θανάτους, ἐὰν δὲν ὑπῆρχεν ἀνάστασις, οὔτε ζωὴ μετὰ ἀπὸ αὐτά; Διότι, ἐὰν αὐτοὶ ποὺ πιστεύουν εἰς τὴν ἀνάστασιν, μόλις ποὺ θὰ ἐξετίθεντο εἰς κίνδυνον δι' αὐτήν, ἐὰν δὲν ἦσαν πολὺ γενναῖοι, πολὺ περισσότερον

ἕλοιτο τοσούτους ὑπομεῖναι θανάτους, καὶ οὕτω χαλεπούς. Καὶ γὰρ κατὰ μικρὸν ὅρα πόσην ποιεῖται τὴν αὔξησιν. Εἶπεν, ὅτι κινδυνεύομεν, προσέθηκεν, ὅτι πᾶσαν ὥραν, εἶτα, ὅτι καθ' ἡμέραν, εἶτα, ὅτι οὐ κινδυνεύω μόνον, φησίν, ἀλλὰ καὶ ἀποθνήσκω. Δείκνυσι δὴ λοιπὸν καὶ ποταποὺς θανάτους, οὕτω λέγων· «Εἰ κατὰ ἄνθρωπον ἐθηριομάχησα ἐν Ἐφέσῳ, τί μοι ὄφελος;». Τί ἐστιν, «Εἰ κατὰ ἄνθρωπον;». Ὅσον τὸ εἰς ἀνθρώπους ἧκον, ἐθηριομάχησε. Τί γὰρ εἰ ὁ Θεὸς ἐξήρπασέ με τῶν κινδύνων;

Ὥστε ὁ μάλιστα ὑπὲρ τούτων ὀφείλων μεριμνᾶν, ἐγώ εἰμι, ὁ τοσούτους κινδύνους πομένων, καὶ μηδεμίαν μηδέπω λαβὼν ἀμοιβήν. Εἰ γὰρ μὴ παραγίνεται ὁ τῆς ἀντιδόσεως καιρός, ἀλλὰ μέχρι τοῦ παρόντος τὰ ἡμέτερα συγκέκλεισται, ἡμεῖς ἐν μείζονι ζημίᾳ ἐσμέν. Ὑμεῖς μὲν γὰρ ἀκινδύνως ἐπιστεύσατε, ἡμεῖς δὲ καθ' ἑκάστην σφαττόμεθα τὴν ἡμέραν. Ταῦτα δὲ ἅπαντα ἔλεγεν, οὐκ ἐπειδὴ οὐκ εἶχεν ὄφελος καὶ ἐν αὐτῷ τῷ πάσχειν, ἀλλὰ διὰ τὴν τῶν πολλῶν ἀσθένειαν, καὶ ὥστε αὐτοὺς εἰς τὸν περὶ τῆς ἀναστάσεως στηρίξαι λόγον· οὐκ ἐπειδὴ αὐτὸς ἐπὶ μισθῷ ἔτρεχεν· ἀρκοῦσα γὰρ ἦν αὐτῷ ἀντίδοσις τὸ ποιῆσαι τὸ δοκοῦν τῷ Θεῷ. Ὥστε κα ὅταν λέγῃ, «Εἰ ἐν τῇ ζωῇ ταύτῃ ἠλπικότες ἐσμὲν ἐν Χριστῷ μόνον, ἐλεεινότεροι πάντων ἀνθρώπων ἐσμέν», κἀκεῖ πάλιν δι' ἐκείνους, ὥστε τῷ φόβῳ τῆς ἀθλιότητος ταύτης διασεῖσαι αὐτῶν τὴν ἀπιστίαν τὴν περὶ τῆς ἀναστάσεως, καὶ πρὸς τὴν ἀσθένειαν αὐτῶν συγκαταβαίνων, οὕτω φησί. Καὶ γὰρ ὁ μέγας μισθός, τὸ ἀρέσκειν διαπαντὸς τῷ Χριστῷ· καὶ χωρὶς τῆς ἀντιδόσεως, μεγίστη ἀμοιβὴ τὸ δι' αὐτὸν κινδυνεύειν.

4. «Εἰ νεκροὶ οὐκ ἐγείρονται, φάγωμεν καὶ πίωμεν· αὔριον γὰρ ἀποθνήσκομεν». Τοῦτο λοιπὸν τὸ ῥῆμα καὶ κωμῳ-

αὐτὸς ποὺ δὲν πιστεύει, λέγει, δὲν θὰ ἤθελε νὰ ὑπομείνῃ τόσους θανάτους καὶ τόσον φοβερούς. Διότι κοίταξε πῶς προοδευτικὰ ἐντείνει αὐτὰ ποὺ λέγει. Εἶπεν ὅτι κινδυνεύομεν, προσέθεσεν, ὅτι κάθε ὥραν, ὕστερον, ὅτι κάθε ἡμέραν, ὕστερον ὅτι, ὄχι μόνον κινδυνεύω, λέγει, ἀλλὰ καὶ ἀποθνήσκω. Δεικνύει λοιπὸν καὶ τί εἴδους θανάτους, μὲ τοὺς λόγους· «Ἐὰν κατὰ ἄνθρωπον ἐπολέμησα μὲ τὰ θηρία εἰς τὴν Ἔφεσον, ποῖον τὸ ὄφελος;». Τί σημαίνει, «Εἰς κατὰ ἄνθρωπον»; Ὅσον εἶναι δυνατὸν εἰς ἀνθρώπους, ἐπολέμησα μὲ τὰ θηρία. Διότι τί πόλεμος θὰ ἦτο ἐὰν ὁ Θεὸς μὲ ἐλύτρωνεν ἀπὸ τοὺς κινδύνους;

Ὥστε αὐτὸς ποὺ πρέπει περισσότερον νὰ ἀνησυχῇ δι' αὐτὰ εἶμαι ἐγώ, ποὺ ὑπομένω τόσους κινδύνους καὶ δὲν ἔχω ἀκόμη λάβει καμμίαν ἀμοιβήν. Ἐὰν λοιπὸν δὲν πρόκειται νὰ ἔλθῃ ὁ καιρὸς τῆς ἀνταποδόσεως, ἀλλὰ τὰ ἀνθρώπινα περιορίζονται καὶ τελειώνουν ὅλα μὲ τὴν παροῦσαν ζωήν, ἐμεῖς ὑφιστάμεθα τὴν μεγαλυτέραν ζημίαν. Διότι σεῖς μὲν ἐπιστεύσατε χωρὶς νὰ κινδυνεύσετε, ἐνῷ ἐμεῖς κάθε ἡμέραν σφαγιαζόμεθα. Ἔλεγε δὲ αὐτὰ ὅλα, ὄχι ἐπειδὴ δὲν εἶχεν ὄφελος καὶ εἰς αὐτὰ ἀκόμη τὰ παθήματα, ἀλλ' ἐξ αἰτίας τῆς ἀδυναμίας τῶν πολλῶν καὶ διὰ νὰ τοὺς στηρίξῃ εἰς τὴν διδασκαλίαν διὰ τὴν ἀνάστασιν· ὄχι διότι ὁ ἴδιος ἠγωνίζετο διὰ τὸν μισθόν· διότι τοῦ ἦτο ἀρκετὸν ὡς ἀνταπόδοσις τὸ νὰ κάνῃ τὸ θέλημα τοῦ Θεοῦ. Ὥστε καὶ ὅταν λέγῃ, «Ἐὰν εἰς τὴν ζωὴν αὐτὴν ἔχωμεν στηρίξει τὰς ἐλπίδας μας μόνον εἰς τὸν Χριστόν, εἴμεθα οἱ περισσότερον ἀξιολύπητοι ἀπὸ ὅλους τοὺς ἀνθρώπους», καὶ τότε πάλιν δι' ἐκείνους τὸ λέγει, ὥστε μὲ τὸν φόβον αὐτῆς τῆς ἀθλιότητος νὰ ἐκριζώσῃ τὴν ἀπιστίαν των εἰς τὴν ἀνάστασιν, καὶ ἐπειδὴ συγκαταβαίνει εἰς τὴν ἀδυναμίαν των. Διότι ἡ μεγαλυτέρα ἀμοιβὴ εἶναι τὸ ν' ἀρέσῃ πάντοτε εἰς τὸν Χριστόν· καὶ χωρὶς καμμίαν ἀνταπόδοσιν, εἶναι μεγίστη ἀμοιβὴ τὸ νὰ κινδυνεύῃ διὰ τὸν Χριστόν.

4. «Ἐὰν οἱ νεκροὶ δὲν ἀνίστανται, τότε ἂς φάγωμεν καὶ ἂς πίωμεν, διότι αὔριον ἀποθνήσκομεν». Αὐτὸς ὁ λόγος λοιπὸν λέγεται μὲ σκοπὸν νὰ διακωμῳδήσῃ αὐτὰ ποὺ λέ-

δοῦντός ἐστι. Δι οὐδὲ οἴκοθεν αὐτὸ παρήγαγεν, ἀλλὰ τὸν προφήτην ἐπέστησε τὸν μεγαλοφωνότατον Ἠσαΐαν, ὃς περί τινων ἀπηλγηκότων διαλεγόμενος καὶ ἀπεγνωσμένων, ἔλεγε ταυτὶ τὰ ῥήματα· «Οἱ σφάζοντες μόσχους καὶ θύοντες πρόβατα, ὥστε φαγεῖν κρέα καὶ πιεῖν οἶνον· οἱ λέγοντες, φάγωμεν καὶ πίωμεν· αὔριον γὰρ ἀποθνήσκομεν. Ἀνακεκαλυμμένα ταῦτά ἐστιν εἰς τὰ ὦτα Κυρίου Σαβαώθ· καὶ οὐκ ἀφεθήσεται ὑμῖν ἡ ἁμαρτία αὕτη, ἕως ἂν ἀποθάνητε». Εἰ δὲ τότε συγγνώμης ἦσαν ἀπεστερημένοι οἱ ταῦτα λέγοντες, πολλῷ μᾶλλον ἐπὶ τῆς χάριτος.

Εἶτα ἵνα μὴ τραχύτερον ποιήσῃ τὸν λόγον, οὐκ ἐπὶ πολὺ τῇ εἰς ἄτοπον ἀπαγωγῇ ἐπιμένει, ἀλλὰ πάλιν ἐπὶ παραίνεσιν τρέπει τὸν λόγον, λέγων· «Μὴ πλανᾶσθε· φθείρουσιν ἤθη χρηστὰ ὁμιλίαι κακαί». Ταῦτα δὲ ἔλεγεν, ὁμοῦ μὲν αὐτῶν καθαπτόμενος ὡς ἀνοήτων· χρηστὰ γὰρ ἐνταῦθα ἤθη εὐφήμως τὰ εὐεξαπάτητα ἐκάλεσεν· ὁμοῦ δέ, ὡς οἷόν τε ἐστί, καὶ συγγνώμης ὑπὲρ τῶν ἔμπροσθεν αὐτοῖς μεταδιδοὺς εἰς τὸ ἀνενεγκεῖν, καὶ τὸ πλέον τῶν ἐγκλημάτων ἀποσκευαζόμενος ἀπ' ἐκείνων καὶ εἰς ἑτέρους μετατιθείς, ὥστε καὶ ταύτῃ εἰς μετάνοιαν αὐτοὺς ἐφελκύσασθαι. Ὃ καὶ ἐν τῇ πρὸς Γαλάτας ἐπιστολῇ ποιεῖ λέγων· «Ὁ δὲ ταράσσων ὑμᾶς βαστάσει τὸ κρίμα, ὅστις ἂν ᾖ».

«Ἐκνήψατε δικαίως, καὶ μὴ ἁμαρτάνετε»· ὡς πρὸς μεθύοντας καὶ μαινομένους. Τὸ γὰρ ἀθρόον πάντα ἀπὸ τῶν χειρῶν ῥῖψαι, μεθυόντων καὶ μαινομένων ἦν, τῷ μηκέτι ὁρᾶν ἃ ἑώρων, μηδὲ πιστεύειν οἷς ἔμπροσθεν ὡμολόγησαν. Τί δέ ἐστι, «δικαίως»; Ἐπὶ συμφέροντι καὶ χρησίμῳ. Ἔστι γὰρ ἀδίκως νήφειν, ὅταν ἐπὶ βλάβῃ τῆς ἑαυτοῦ ψυχῆς διεγηγερμένος τις ᾖ. Καλῶς δὲ καὶ τό, «μὴ ἁμαρτάνετε», προσέθηκε, δεικνὺς ὅτι ἐντεῦθεν αὐτοῖς τὰ σπέρματα τῆς

5. Ἠσ. 22, 13-14.
6. Γαλ. 5, 10.

γει. Δι' αὐτὸ δὲν ἀνέφερεν αὐτὸ μὲ ἰδικούς του λόγους, ἀλλ' ἐπαρουσίασε τὸν Ἠσαΐαν μὲ τὴν ἐξοχωτάτην φωνήν, ὁ ὁποῖος ὅταν ὁμιλῇ διὰ κάποιους οἱ ὁποῖοι περιέπεσαν εἰς ἀπελπισίαν καὶ ἀπόγνωσιν, ἔλεγεν αὐτοὺς τοὺς λόγους· «Αὐτοὶ ποὺ σφάζουν μόσχους καὶ θυσιάζουν πρόβατα διὰ νὰ φάγουν κρέας καὶ νὰ πιοῦν οἶνον καὶ λέγουν, ἂς φάγωμεν καὶ ἂς πίωμεν, διότι αὔριον ἀποθνήσκομεν. Φανερὰ εἶναι αὐτὰ εἰς τὸν Κύριον Σαβαώθ· καὶ δὲν θὰ μείνῃ ἀτιμώρητος αὐτὴ ἡ ἁμαρτία σας μέχρι τὸν θάνατόν σας»[5]. Ἐὰν δὲ τότε ἦσαν ἀσυγχώρητοι αὐτοὶ ποὺ λέγουν αὐτά, πολὺ περισσότερον εἰς τὴν ἐποχὴν τῆς χάριτος.

Ἔπειτα διὰ νὰ μὴ κάνῃ τὸν λόγον σκληρότερον, δὲν ἐπιμένει πολὺ εἰς τὴν εἰς ἄτοπον ἀπαγωγήν, ἀλλὰ μετατρέπει πάλιν τὸν λόγον εἰς παραίνεσιν καὶ λέγει· «Μὴ πλανᾶσθε· αἱ κακαὶ συναναστροφαὶ διαφθείρουν τὰ καλὰ ἤθη». Ἔλεγε δὲ αὐτὰ καὶ διὰ νὰ τοὺς κατηγορήσῃ ὡς ἀνοήτους· διότι καλὰ ἤθη ἐδῶ ὠνόμασεν κατ' εὐφημισμὸν αὐτὰ ποὺ ἐξαπατῶνται εὐκόλως· καί, συγχρόνως, ὅσον ἦτο δυνατόν, ἀφοῦ τοὺς συγχωρήσῃ διὰ τὰ προηγούμενα νὰ τοὺς ἐπιστρέψῃ εἰς τὴν πίστιν, καὶ τὸ μεγαλύτερον μέρος ἀπὸ τὰς κατηγορίας ἀφοῦ ἐπῆρεν ἀπὸ ἐκείνους καὶ τὸ μετέφερεν εἰς ἄλλους, ὥστε καὶ μὲ αὐτὸ νὰ τοὺς προσελκύσῃ εἰς μετάνοιαν. Αὐτὸ κάμνει καὶ εἰς τὴν πρὸς Γαλάτας ἐπιστολὴν ὅταν λέγῃ· «Ἐκεῖνος δὲ ποὺ σᾶς ταράσσει, αὐτὸς θὰ φέρῃ τὸ κρίμα, ὁποιοσδήποτε καὶ ἂν εἶναι»[6].

«Συνέλθετε εἰς τὸν ἑαυτόν σας ὅπως εἶναι δίκαιον καὶ μὴ ἁμαρτάνετε»· ὡσὰν νὰ ὁμιλῇ εἰς μεθυσμένους καὶ τρελλούς. Διότι τὸ νὰ πετάξουν ἀπὸ τὰ χέρια των τὰ πάντα διὰ μιᾶς, ἦτο πρᾶξις ποὺ ἁρμόζει εἰς μεθυσμένους καὶ τρελλούς, καὶ τὸ νὰ μὴ βλέπουν αὐτὰ ποὺ ἔβλεπον, οὔτε νὰ πιστεύουν αὐτὰ ποὺ πρὶν εἶχον ὡμολογήσει. Τί σημαίνει δέ, «ὅπως εἶναι δίκαιον»; Ὅπως εἶναι συμφέρον καὶ χρήσιμον. Διότι εἶναι δυνατὸν νὰ εἶναι κανεὶς εἰς ἐγρήγορσιν χωρὶς νὰ ὠφελῆται, ὅταν ἀγρυπνᾷ διὰ νὰ βλάπτῃ τὴν ψυχήν του. Καλῶς προσέθεσε δὲ καὶ τό, «μὴ ἁμαρτάνετε», διὰ νὰ δείξῃ ὅτι ἀπὸ αὐτὸ προέρχονται τὰ σπέρματα τῆς

ἀπιστίας. Καὶ πολλαχοῦ τοῦτο αἰνίττεται, ὅτι βίος διεφθαρμένος πονηρὰ τίκτει δόγματα· ὡς ὅταν λέγῃ, «Ρίζα πάντων τῶν κακῶν ἡ φιλαργυρία, ἧς τινες ὀρεγόμενοι, ἀπεπλανήθησαν τῆς πίστεως». Καὶ γὰρ πολλοὶ τῶν πονηρὰ συνειδότων ἑαυτοῖς, καὶ οὐ βουλομένων δοῦναι δίκην, ἀπὸ τοῦ φόβου τούτου καὶ εἰς τὴν περὶ τῆς ἀναστάσεως παραβλάπτονται πίστιν· ὥσπερ οὖν οἱ μεγάλα κατορθοῦντες καὶ καθ' ἑκάστην αὐτὴν ἐπιθυμοῦσι τὴν ἡμέραν ἰδεῖν.

«Ἀγνωσίαν γὰρ Θεοῦ τινες ἔχουσι· πρὸς ἐντροπὴν ὑμῖν λέγω». Ὅρα πῶς πάλιν μετατίθησι τὰ ἐγκλήματα εἰς ἑτέρους. Οὐ γὰρ εἶπεν, ὅτι ἀγνωσίαν ἔχετε, ἀλλ', «ἀγνωσίαν τινὲς ἔχουσι». Τὸ γὰρ τῇ ἀναστάσει διαπιστεῖν, οὐ σφόδρα εἰδότος ἐστὶ τὴν τοῦ Θεοῦ δύναμιν τὴν ἄμαχον καὶ πρὸς πάντα ἀρκοῦσαν. Εἰ γὰρ ἐξ οὐκ ὄντων τὰ ὄντα ἐποίησε, πολλῷ μᾶλλον τὰ διαλυθέντα δυνήσεται ἀναστῆσαι. Καὶ ἐπειδὴ σφόδρα αὐτῶν καθήψατο, καὶ μεθ' ὑπερβολῆς ἐκωμῴδησεν, εἰς γαστριμαργίαν, εἰς ἄνοιαν, εἰς παραπληξίαν διαβάλλων, παραμυθούμενος τὰ εἰρημένα, φησί· «Πρὸς ἐντροπὴν ὑμῖν λέγω», τουτέστιν, ὥστε διορθῶσαι, ὥστε ἐπαναγαγεῖν, ὥστε αἰσχυνθέντας ὑμᾶς γενέσθαι βελτίους. Δέδοικε γὰρ μὴ πέρα τοῦ δέοντος τεμών, ἀποσκιρτῆσαι ποιήσῃ.

5. Ταῦτα δὲ μὴ πρὸς ἐκείνους εἰρῆσθαι νομίζωμεν μόνον, ἀλλὰ καὶ νῦν εἰρῆσθαι πρὸς ἅπαντας τοὺς τὰ αὐτὰ νοσοῦντας, καὶ τοὺς βίον διεφθαρμένον ἔχοντας. Καὶ γὰρ οὐχὶ οἱ τὰ πονηρὰ δόγματα ἔχοντες μόνον, ἀλλὰ καὶ οἱ ἁμαρτίαις κατεχόμενοι χαλεπαῖς, μεθίουσί τε καὶ παραπαίουσι. Διὸ καὶ πρὸς αὐτοὺς ἂν λεχθείη δικαίως τό, «Ἐκνήψατε», καὶ μάλιστα πρὸς τοὺς τῷ κάρῳ τῆς πλεονεξίας βεβαρημένους, τοὺς κακῶς ἁρπάζοντας. Ἔστι γὰρ ἁρπαγὴ καλὴ ἡ τῶν

ἀπιστίας. Καὶ εἰς πολλὰ σημεῖα ὑπαινίσσεται αὐτό, ὅτι δηλαδὴ ἁμαρτωλὴ ζωὴ γεννᾷ ἐσφαλμένας δοξασίας εἰς τὴν πίστιν· ὅπως ὅταν λέγῃ, «Ρίζα ὅλων τῶν κακῶν εἶναι ἡ φιλαργυρία, ἀπὸ τὴν ὁποίαν ἀφοῦ ἐκυριεύθησαν μερικοί, ἀπεπλανήθησαν ἀπὸ τὴν πίστιν». Διότι πολλοὶ ποὺ ἐλέγχονται δι' ἁμαρτίας ἀπὸ τὴν συνείδησίν των καὶ δὲν θέλουν νὰ κριθοῦν, ἀπὸ τὸν φόβον αὐτὸν βλάπτονται καὶ εἰς τὴν πίστιν διὰ τὴν ἀνάστασιν· ὅπως λοιπὸν αὐτοὶ ποὺ κατορθώνουν μεγάλα εἰς τὴν πίστιν, ἐπιθυμοῦν καὶ τὴν κάθε ἡμέραν νὰ τὴν ἰδοῦν.

«Λέγω αὐτά, διότι μερικοὶ δὲν γνωρίζουν καθόλου τὸν Θεόν· πρὸς ἐντροπήν σας τὸ λέγω». Κοίταξε πῶς πάλιν μεταθέτει εἰς ἄλλους τὰς κατηγορίας. Διότι δὲν εἶπεν ὅτι, ἔχετε ἄγνοιαν, ἀλλά, «μερικοὶ δὲν γνωρίζουν καθόλου τὸν Θεόν». Διότι τὸ ν' ἀπιστῇ κανεὶς εἰς τὴν ἀνάστασιν, δὲν χαρακτηρίζει ἄνθρωπον ποὺ γνωρίζει καλῶς τὴν δύναμιν τοῦ Θεοῦ, ποὺ εἶναι ἀκαταμάχητος καὶ ἀρκετὴ δι' ὁ,τιδήποτε. Διότι, ἐὰν ἐδημιούργησε τὰ ὄντα ἀπὸ τὸ μηδέν, πολὺ περισσότερον θὰ ἠμπορέσῃ ν' ἀναστήσῃ αὐτὰ ποὺ διελύθησαν καὶ ἀποσυνετέθησαν. Καὶ ἐπειδὴ τοὺς προσέβαλε πολὺ καὶ τοὺς περιεγέλασεν ὑπερβαλικά, μὲ τὸ νὰ τοὺς κατηγορῇ διὰ γαστριμαργίαν, ἀνοησίαν, παραφροσύνην, διὰ νὰ τοὺς παρηγορήσῃ δι' ὅσα εἶπε, λέγει· «Πρὸς ἐντροπήν σας τὸ λέγω», δηλαδή, διὰ νὰ διορθωθῆτε, διὰ νὰ ἐπανέλθετε, διὰ νὰ ἐντραπῆτε καὶ νὰ γίνετε καλύτεροι. Διότι φοβεῖται μήπως, ἐὰν βαθύνῃ τὴν τομὴν περισσότερον, τοὺς κάνῃ νὰ ἀπομακρυνθοῦν.

5. Αὐτὰ δὲ ἂς μὴ νομίζωμεν ὅτι ἐλέχθησαν μόνον πρὸς ἐκείνους, ἀλλ' ὅτι ἔχουν λεχθῆ καὶ διὰ σήμερον πρὸς ὅλους ποὺ πάσχουν τὰ ἴδια καὶ ἔχουν διεφθαρμένα ἤθη καὶ ζωήν. Διότι, ὄχι μόνον αὐτοὶ ποὺ ἔχουν αἱρετικὰς δοξασίας, ἀλλὰ καὶ αὐτοὶ ποὺ κατέχονται ἀπὸ μεγάλας ἁμαρτίας, εὑρίσκονται εἰς μέθην καὶ παραφροσύνην. Δι' αὐτὸ καὶ πρὸς αὐτοὺς θὰ ἐλέγετο δικαίως τὸ «Συνέλθετε», καὶ μάλιστα πρὸς αὐτοὺς ποὺ βαρύνονται ἀπὸ τὸν λήθαργον τῆς πλεονεξίας, αὐτοὺς ποὺ ἁρπάζουν τὰ τῶν συνανθρώπων των. Διότι ὑ-

οὐρανῶν ἁρπαγή, ἡ μηδὲν βλάπτουσα. Ἐν μὲν γὰρ τοῖς χρήμασιν οὐκ ἔστιν ἕτερον γενέσθαι πλούσιον, μὴ ἑτέρου πρότερον γενομένου πένητος· ἐπὶ δὲ τῶν πνευματικῶν οὐκ ἔνι τοῦτο, ἀλλὰ τοὐναντίον ἅπαν, οὐκ ἔστι τινὰ γενέσθαι πλούσιον, μὴ ἕτερον ποιήσαντα εὔπορον· ἂν γὰρ μηδένα ὠφελήσῃς, οὐ δυνήσῃ γενέσθαι εὔπορος. Ἐν μὲν γὰρ τοῖς σωματικοῖς ἡ μετάδοσις μείωσιν ποιεῖ· ἐν δὲ τοῖς πνευματικοῖς ἡ μετάδοσις πλεονασμὸν ἐργάζεται, καὶ τὸ μὴ μεταδοῦναι, τοῦτο πολλὴν πενίαν κατασκευάζει, καὶ κόλασιν ἐσχάτην ἐπάγει.

Καὶ δείκνυσι τοῦτο ὁ τὸ τάλαντον κατορύξας. Καὶ γὰρ ὁ λόγον ἔχων σοφίας, μεταδοὺς ἑτέρῳ, ηὔξησε τὴν περιουσίαν, πολλοὺς ποιήσας τοὺς σοφούς· οἴκοι δὲ κατακρύψας, ἀπεστέρησεν ἑαυτὸν τῆς περιουσίας, οὐ κτησάμενος τὴν τῶν πολλῶν ὠφέλειαν. Πάλιν ὁ χαρίσματα ἔχων ἕτερα, πολλοὺς ἰασάμενος ἐξέτεινε τὴν δωρεάν· καὶ οὔτε αὐτὸς ἐξεκενώθη τῇ μεταδόσει, καὶ πολλοὺς ἑτέρους ἐνέπλησε τῆς πνευματικῆς δωρεᾶς. Καὶ ἐπὶ πάντων τῶν πνευματικῶν ἀκίνητος οὗτος ὁ κανὼν διαμένει. Οὕτω καὶ ἐπὶ τῆς βασιλείας, ὁ μὲν κοινωνοὺς πολλοὺς κατασκευάζων ἑαυτῷ τῆς βασιλείας, ταύτῃ μειζόνως αὐτῆς ἀπολαύσεται πάλιν· ὁ δὲ μηδένα σπουδάζων λαβεῖν κοινωνόν, καὶ αὐτὸς ἐκπεσεῖται τῶν πολλῶν ἀγαθῶν ἐκείνων. Εἰ γὰρ ἡ σοφία ἡ αἰσθητὴ οὐ δαπανᾶται, μυρίων ἁρπαζόντων, οὔτε ὁ τεχνίτης πολλοὺς τοὺς τεχνίτας ποιῶν ἀπόλλυσι τὴν τέχνην, πολλῷ μᾶλλον ὁ τὴν βασιλείαν ἁρπάζων ἐλάττονα οὐκ ἐργάσεται, ἀλλὰ τότε πλείων ἔσται ὁ πλοῦτος ἡμῖν, ὅταν πολλοὺς ἐπὶ τοῦτο καλῶμεν.

Ἁρπάσωμεν τοίνυν τὰ μὴ ἀναλισκόμενα, ἀλλὰ πλεονάζοντα ἐν τῷ ἁρπάζεσθαι· ἁρπάσωμεν τὰ μηδένα ἔχοντα συκο-

πάρχει ἁρπαγὴ καλή, ἡ ἁρπαγὴ τῶν οὐρανῶν, ἡ ὁποία δὲν βλάπτει καθόλου. Καθ' ὅσον εἰς μὲν τὰ χρήματα δὲν εἶναι δυνατὸν νὰ γίνῃ κάποιος πλούσιος, ἐὰν κάποιος προηγουμένως δὲν γίνῃ πτωχός, εἰς τὰ πνευματικὰ ὅμως δὲν συμβαίνει αὐτό, ἀλλὰ τὸ τελείως ἀντίθετον, δὲν εἶναι δυνατὸν νὰ γίνῃ κάποιος πλούσιος, ἐὰν δὲν κάνῃ κάποιον ἄλλον εὔπορον· διότι ἐὰν δὲν ὠφελήσῃς κανένα, δὲν ἠμπορεῖς νὰ γίνῃς πλούσιος. Διότι εἰς μὲν τὰ σωματικά, τὸ νὰ δίδῃς ἐπιφέρει ἐλάττωσιν, ἐνῷ εἰς τὰ πνευματικὰ τὸ νὰ δίδῃς φέρει πλεόνασμα καὶ τὸ νὰ μὴ δίδῃς, αὐτὸ προκαλεῖ πολλὴν πτωχείαν καὶ προξενεῖ τὴν χειροτέραν κόλασιν.

Καὶ αὐτὸ τὸ ἀποδεικνύει αὐτὸς ποὺ ἔκρυψε τὸ τάλαντον. Διότι αὐτὸς ποὺ ἔχει καὶ ἠμπορεῖ νὰ διδάξῃ σοφίαν, ὅταν δώσῃ εἰς ἄλλον, αὐξάνει τὸ κέρδος μὲ τὸ ὅτι κάνει πολλοὺς τοὺς σοφούς· ἐὰν ὅμως κρύψῃ αὐτὴν εἰς τὸν ἑαυτόν του, στερεῖ τὸν ἑαυτόν του ἀπὸ τὸ κέρδος, ἀφοῦ δὲν ἐκαρπώθη τὴν ὠφέλειαν τῶν πολλῶν. Πάλιν ἐκεῖνος ποὺ ἔχει ἄλλα χαρίσματα, μὲ τὸ νὰ ἰατρεύσῃ ἄλλους ἐξήπλωσε τὴν δωρεάν· καὶ χωρὶς αὐτὸς νὰ στερηθῇ μὲ τὸ νὰ δώσῃ, ἐγέμισε πολλοὺς ἄλλους μὲ τὴν πνευματικὴν δωρεάν. Καὶ εἰς ὅλα τὰ πνευματικὰ παραμένει ἀμετακίνητος αὐτὸς ὁ κανών. Ἔτσι καὶ εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, αὐτὸς μὲν ποὺ κάμνει πολλοὺς κοινωνοὺς τῆς βασιλείας μαζὶ μὲ τὸν ἑαυτόν του, θ' ἀπολαύσῃ αὐτὴν πάλιν περισσότερον, ἐνῷ αὐτὸς ποὺ ἐπιδιώκει νὰ μὴ κάνῃ κανένα κοινωνόν, θὰ ἐκπέσῃ καὶ αὐτὸς ἀπὸ ἐκεῖνα τὰ πολλὰ ἀγαθά. Διότι, ἐὰν ἡ σοφία ποὺ εἶναι αἰσθητὴ δὲν δαπανᾶται ἀκόμη καὶ ἂν εἶναι χιλιάδες αὐτοὶ ποὺ τὴν ἁρπάζουν, οὔτε ὁ τεχνίτης μὲ τὸ νὰ κάμνῃ πολλοὺς τοὺς τεχνίτας χάνει τὴν τέχνην, πολὺ περισσότερον αὐτὸς ποὺ ἁρπάζει τὴν βασιλείαν τοῦ Θεοῦ, δὲν θὰ ἐπιτύχῃ ὀλιγώτερα, ἀλλὰ τότε θὰ εἶναι περισσότερος ὁ πλοῦτος μας, ὅταν προσκαλῶμεν πολλοὺς εἰς αὐτό.

Ἂς ἁρπάξωμεν λοιπὸν αὐτὰ ποὺ δὲν ἐλαττοῦνται, ἀλλὰ πλεονάζουν ὅταν ἁρπάζωνται· ἂς ἁρπάζωμεν αὐτὰ ποὺ δὲν προσβάλλονται ἀπὸ κανένα συκοφάντην, οὔτε

φάντην, μηδὲ βάσκανον. Καὶ γὰρ εἰ χρυσίου τόπος ἦν πηγὴν ἔχων ἀναβλύζουσαν ἀέναον, καὶ τοσούτῳ πλέον ἐπέρρει, ὅσῳ πλέον ἐξηντλεῖτο, ἕτερος δὲ τόπος ἦν θησαυρὸν ἔχων κατορωρυγμένον, πόθεν ἂν ἠθέλησας πλουτεῖν; οὐχὶ ἐκεῖθεν ὅθεν πολλὴ ἡ ἐπιρροὴ καὶ οὐδεὶς ὁ φθόνος; Παντί που δῆλον. Ἀλλ' ἵνα μὴ λόγῳ τοῦτο μόνον ἀναπλάσωμεν, λογίσασθε ἐπὶ τοῦ ἀέρος τὸ εἰρημένον καὶ ἐπὶ τοῦ ἡλίου· ταῦτα γὰρ ἁρπάζεται παρὰ πάντων, καὶ πάντας πληροῖ.

Ἀλλὰ ταῦτα μέν, καὶ ἀπολαυόντων καὶ μὴ ἀπολαυόντων, ὅμοια μένει μὴ ἐλαττούμενα· ὃ δὲ ἐγὼ εἶπον, πολλῷ μεῖζόν ἐστιν. Οὐ γὰρ ὁμοία μένει ἡ πνευματικὴ σοφία διαδιδομένη καὶ μὴ διαδιδομένη, ἀλλ' αὔξεται μᾶλλον διαδιδομένη. Εἰ δέ τις οὐκ ἀνέχεται τῶν εἰρημένων, ἀλλ' ἔτι τῇ τῶν βιωτικῶν προστέτηκε πενίᾳ ἁρπάζων τὰ ἐλαττούμενα, κἂν τούτῳ πάλιν ἀναμιμνησκέσθω τῆς τροφῆς τοῦ μάννα, καὶ φοβείσθω τὸ παράδειγμα τῆς κολάσεως. Ὅπερ γὰρ ἐπ' ἐκείνης συνέβαινε, τοῦτο καὶ ἐπὶ τῶν πλεονεκτούντων νῦν ἐκβαῖνον ἔστιν ἰδεῖν. Τί δὲ τότε συνέβαινε; Σκώληκες ἔβρυον ἀπὸ τῆς πλεονεξίας. Τοῦτο καὶ νῦν γίνεται ἐπὶ τούτων. Τὸ μὲν γὰρ μέτρον τῆς τροφῆς τὸ αὐτὸ ἅπασι· μίαν γὰρ πληροῦμεν γαστέρα· ἡ δὲ κόπρος παρὰ σοὶ πλείων τῷ τρυφῶντι. Καὶ καθάπερ ἐκεῖ ἐν ταῖς οἰκίαις οἱ τὸ πλέον τοῦ νενομισμένου συλλέγοντες, οὐ μάννα συνῆγον, ἀλλὰ σκώληκας πλείους καὶ σηπεδόνα· οὕτω δὴ καὶ ἐν τῇ τρυφῇ καὶ ἐν τῇ πλεονεξίᾳ, οὐ τρυφὴν πλείονα, ἀλλὰ φθορὰν πλείονα συνάγουσιν οἱ γαστριζόμενοι καὶ μεθύοντες.

Ἀλλ' ὅμως τοσούτῳ χείρους ἐκείνων οἱ νῦν, ὅσῳ ἐκεῖνοι μὲν ἅπαξ παθόντες τοῦτο, ἐσωφρονίσθησαν· οὗτοι δὲ καθ' ἑκάστην ἡμέραν τὸν σκώληκα τοῦτον ἐκείνου πολλῷ

φθονερόν. Διότι καὶ ἐὰν ὑπῆρχε κάποιος τόπος ποὺ νὰ εἶχε πηγὴν ποὺ ν' ἀναβλύζῃ ἀδιακόπως καὶ αἰωνίως χρυσόν, καὶ τόσον περισσότερον ἀνέβλυζεν, ὅσον περισσότερον ἠντλεῖτο, ὑπῆρχε δὲ καὶ ἄλλος τόπος ποὺ νὰ ἔχῃ θησαυρὸν κρυμμένον μέσα εἰς τὴν γῆν, ἀπὸ ποῦ θὰ ἤθελες νὰ πλουτίσῃς; ὄχι ἀπὸ ἐκεῖ, ὅπου ἡ ροὴ τοῦ χρυσοῦ εἶναι πολλὴ καὶ δὲν ἐπισύρει καθόλου φθόνον; Εἶναι ὁλοφάνερον. Ἀλλὰ διὰ νὰ μὴ φέρωμεν τὸ παράδειγμα μόνον μὲ τὸν λόγον, σκεφθῆτε αὐτὸ ποὺ εἶπον διὰ τὸν ἀέρα καὶ τὸν ἥλιον· διότι αὐτὰ ἁρπάζονται ἀπὸ ὅλους καὶ ὑπερκαλύπτουν τὰς ἀνάγκας ὅλων.

Ἀλλ' αὐτὰ μέν, εἴτε τὰ ἀπολαμβάνουν οἱ ἄνθρωποι, εἴτε ὄχι, παραμένουν τὰ ἴδια χωρὶς νὰ ἐλαττοῦνται, ἐνῷ αὐτὸ ποὺ εἶπον ἐγώ, εἶναι πολὺ μεγαλύτερον. Διότι ἡ πνευματικὴ σοφία δὲν μένει ὁμοία ὅταν διαδίδεται, ἀλλὰ περισσότερον αὐξάνει ὅταν διαδίδεται. Ἐὰν δὲ κάποιος δὲν παραδέχεται αὐτὰ ποὺ ἐλέχθησαν, ἀλλ' ἀκόμη εἶναι προσκολλημένος εἰς τὴν πτωχείαν τῶν βιωτικῶν πραγμάτων μὲ τὸ ν' ἁρπάζῃ αὐτὰ ποὺ ἐλαττώνονται, ἂς ἐνθυμηθῇ τουλάχιστον τὴν τροφὴν τοῦ μάννα καὶ ἂς φοβηθῇ τὸ παράδειγμα τῆς τιμωρίας. Διότι αὐτὸ ἀκριβῶς ποὺ συνέβαινε τότε, αὐτὸ θὰ ἴδῃ κανεὶς νὰ συμβαίνῃ καὶ τώρα εἰς τοὺς πλεονέκτας. Τί συνέβαινε δὲ τότε; Ἐγέμιζεν ὁ τόπος ἀπὸ σκώληκας ἐξ αἰτίας τῆς πλεονεξίας. Αὐτὸ γίνεται καὶ τώρα εἰς αὐτούς. Διότι τὸ μέτρον μὲν τῆς τροφῆς εἶναι τὸ ἴδιον εἰς ὅλους· διότι μίαν κοιλίαν γεμίζομεν· ἡ κόπρος ὅμως εἶναι περισσοτέρα εἰς ἐσένα ποὺ ἐπιδίδεσαι εἰς ἀπολαύσεις φαγητῶν. Καὶ ὅπως ἀκριβῶς ἐκεῖ αὐτοὶ ποὺ συνέλεγον περισσότερον ἀπὸ ὅσον ἐχρειάζετο, δὲν συνεκέντρωνον μάννα, ἀλλὰ περισσοτέρους σκώληκας καὶ σαπίλαν, ἔτσι καὶ εἰς τὰς ἀπολαύσεις καὶ τὴν πλεονεξίαν, ὄχι περισσοτέραν ἀπόλαυσιν, ἀλλὰ φθορὰν περισσοτέραν συγκεντρώνουν αὐτοὶ ποὺ τρώγουν ὑπερβολικὰ καὶ μεθοῦν.

Ἀλλ' εἶναι τόσον χειρότεροι ἀπὸ ἐκείνους οἱ σημερινοί, ὅσον ἐκεῖνοι μὲν ἀφοῦ ἔπαθον μίαν φορὰν αὐτό, ἐσωφρονίσθησαν, ἐνῷ αὐτοὶ κάθε ἡμέραν ἀφοῦ εἰσάγουν εἰς

χαλεπώτερον εἰς τὰς οἰκίας τὰς ἑαυτῶν εἰσάγοντες, οὔτε αἰσθάνονται, οὔτε κορέννυνται. Ὅτι γὰρ ταῦτα ἐκείνοις ἔοικε κατὰ τὸν τῆς ματαιοπονίας λόγον· τῇ γὰρ τιμωρίᾳ πολλῷ ταῦτα χαλεπώτερα· ἐντεῦθεν σκόπει. Τίνι γὰρ διαφέρει ὁ πλούσιος τοῦ πένητος; Οὐχ ἓν σῶμα περιβάλλει; οὐ μίαν τρέφει γαστέρα; τίνι οὖν πλεονεκτεῖ; Ταῖς φροντίσι, τῷ δαπανᾶσθαι, τῷ παρακούειν Θεοῦ, τῷ διαφθείρειν τὴν σάρκα, τῷ λυμαίνεσθαι τὴν ψυχήν. Ταῦτα γάρ ἐστιν, οἷς πλεονεκτεῖ τὸν πένητα· ὡς εἴγε πολλὰς ἐπλήρου γαστέρας, τάχα τι καὶ λέγειν εἶχον, οἷον ὅτι πλείων ἡ χρεία, καὶ μείζων ἡ τῆς δαπάνης ἀνάγκη.

Ἀλλὰ καὶ νῦν ἔχουσι, φησίν, εἰπεῖν, ὅτι πολλὰς πληροῦσι, τὰς τῶν οἰκετῶν, τὰς τῶν θεραπαινίδων. Ἀλλ' οὐ χρείας ἕνεκεν, οὐδὲ φιλανθρωπίας τοῦτο γίνεται, ἀλλὰ τύφου μόνον· ὅθεν οὐδ' ἂν ἀνάσχοιντό τις τῆς ἀπολογίας αὐτῶν. Διὰ τί γὰρ πολλοὺς ἔχεις οἰκέτας; Ὥσπερ γὰρ ἐν ἱματίοις τὴν χρείαν διώκειν δεῖ μόνον, καὶ ἐν τραπέζῃ, οὕτω καὶ ἐν οἰκέταις. Τίς οὖν ἡ χρεία; Οὐκ ἔστιν οὐδεμία. Καὶ γὰρ ἑνὶ τὸν ἕνα χρῆσθαι δεσπότην οἰκέτῃ μόνον ἐχρῆν· μᾶλλον δὲ καὶ δύο καὶ τρεῖς δεσπότας ἑνὶ οἰκέτῃ. Εἰ δὲ βαρὺ τοῦτο, ἐννόησον τοὺς οὐδὲ ἕνα ἔχοντας, καὶ εὐκολωτέρας ἀπολαύοντας θεραπείας. Καὶ γὰρ αὐτάρκεις τῇ διακονίᾳ τῇ ἑαυτῶν ἐποίησεν ὁ Θεός, μᾶλλον δὲ καὶ τῇ τοῦ πλησίον. Εἰ δὲ ἀπιστεῖς, ἄκουε Παύλου λέγοντος· «Ταῖς χρείαις μου καὶ τοῖς οὖσι μετ' ἐμοῦ ὑπηρέτησαν αἱ χεῖρες αὗται».

Εἶτα ὁ μὲν τῆς οἰκουμένης διδάσκαλος καὶ τῶν οὐρανῶν ἄξιος, οὐκ ᾐσχύνετο μυρίοις ὑπηρετῶν· σὺ δέ, εἰ μὴ πολλὰς περιφέροις ἀνδραπόδων ἀγέλας, αἰσχρὸν εἶναι νομίζεις, οὐκ εἰδὼς ὅτι τοῦτο μὲν οὖν μάλιστά ἐστί σε τὸ καταισχῦνον; Καὶ γὰρ διὰ τοῦτο καὶ χεῖρας ἡμῖν ἔδωκεν ὁ Θεὸς καὶ πό-

7. Πράξ. 22, 34.

τὰς οἰκίας των αὐτὸν τὸν σκώληκα ποὺ εἶναι πολὺ χειρότερος ἀπὸ ἐκεῖνον, οὔτε αἰσθάνονται τί κάμνουν, οὔτε χορταίνουν. Διὰ τὸ ὅτι αὐτὰ ὁμοιάζουν μὲ ἐκεῖνα κατὰ τὴν ματαιοπονίαν, διότι αὐτὰ κατὰ τὴν τιμωρίαν εἶναι πολὺ χειρότερα, διαπίστωσέ το ἀπὸ ἐδῶ. Εἰς τί δηλαδὴ διαφέρει ὁ πλούσιος ἀπὸ τὸν πτωχόν; Δὲν ἐνδύει καὶ αὐτὸς μόνον ἓν σῶμα; δὲν τρέφει μίαν κοιλίαν; εἰς τί λοιπὸν πλεονεκτεῖ; Εἰς τὰς φροντίδας, εἰς τὸ ὅτι ἐξοδεύεται, εἰς τὸ ὅτι παρακούει τὸν Θεόν, εἰς τὸ ὅτι βλάπτει τὸ σῶμα, εἰς τὸ ὅτι καταστρέφει τὴν ψυχήν του. Καθ᾽ ὅσον αὐτὰ εἶναι ἐκεῖνα εἰς τὰ ποῖα πλεονεκτεῖ ὡς πρὸς τὸν πτωχόν· διότι ἐὰν πράγματι ἐγέμιζε πολλὰς κοιλίας, θὰ εἶχον νὰ εἰπῶ κάτι, ὅπως ὅτι ἔχει μεγαλυτέραν ἀνάγκην καὶ εἶναι ἀπαραίτητον νὰ δαπανήσῃ περισσότερα.

Ἀλλὰ καὶ τώρα ἔχουν νὰ εἰποῦν, ἴσως θὰ εἰπῇ κάποιος, ὅτι ἐκπληροῦν πολλὰς ἀνάγκας, δηλαδὴ τὰς ἀνάγκας τῶν ὑπηρετριῶν. Αὐτὸ ὅμως γίνεται, ὄχι λόγῳ ἀνάγκης, οὔτε λόγῳ φιλανθρωπίας, ἀλλὰ μόνον λόγῳ ὑπερηφανείας· δι᾽ αὐτὸ κανεὶς λοιπὸν δὲν θ᾽ ἀνείχετο τὴν δικαιολογίαν των. Διατί λοιπὸν ἔχεις πολλοὺς ὑπηρέτας; Διότι, ὅπως εἰς τὰ ἐνδύματα πρέπει νὰ ἐπιδιώκωμεν μόνον τὰ ἀναγκαῖα, καὶ εἰς τὸ φαγητόν, ἔτσι καὶ εἰς τοὺς ὑπηρέτας. Ποία λοιπὸν ἡ ἀνάγκη; Δὲν ὑπάρχει καμμία. Διότι κάθε κύριος ἔπρεπε νὰ χρησιμοποιῇ μόνον ἕνα ὑπηρέτην· μᾶλλον δὲ καὶ δύο καὶ τρεῖς κύριοι ἕνα ὑπηρέτην. Ἐὰν δὲ αὐτὸ φαίνεται βαρύ, σκέψου αὐτοὺς ποὺ δὲν ἔχουν οὔτε ἕνα καὶ ὑπηρετοῦνται εὐκολώτερον. Διότι ὁ Θεὸς τοὺς ἔκαμεν αὐτάρκεις εἰς τὸ νὰ ὑπηρετοῦν τὸν ἑαυτόν των, μᾶλλον δὲ καὶ τὸν πλησίον. Ἐὰν ὅμως δὲν πιστεύῃς, ἄκουσε τὸν Παῦλον ποὺ λέγει· «Τὰς ἀνάγκας τὰς ἰδικάς μου καὶ τῶν συντρόφων μου ἐξυπηρέτησαν αὐτὰ τὰ χέρια μου»[7].

Λοιπόν, ὁ μὲν διδάσκαλος τῆς οἰκουμένης καὶ ἄξιος τῶν οὐρανῶν, δὲν ἐνετρέπετο νὰ ὑπηρετῇ χιλιάδας, ἐνῷ ἐσύ, ἐὰν δὲν περιφέρῃς πολλὰς ἀγέλας ὑπηρετῶν, νομίζεις ὅτι εἶναι αἰσχρὸν καὶ δὲν γνωρίζεις ὅτι αὐτὸ μὲν εἶναι ποὺ σὲ ἐντροπιάζει περισσότερον; Καθ᾽ ὅσον δι᾽ αὐτὸ καὶ

δας, ἵνα μὴ δεώμεθα οἰκετῶν. Οὐδὲ γὰρ χρείας ἕνεκεν τὸ τῶν δούλων ἐπεισήχθη γένος, ἐπεὶ μετὰ τοῦ Ἀδὰμ ἐπλάσθη ἂν καὶ δοῦλος· ἀλλ' ἁμαρτίας ἐστὶ τὸ ἐπιτίμιον, καὶ τῆς παρακοῆς ἡ κόλασις. Ὁ δὲ Χριστὸς παραγενόμενος καὶ τοῦτο ἔλυσεν· «Ἐν γὰρ Χριστῷ Ἰησοῦ οὐκ ἔστι δοῦλος, οὐκ ἐλεύθερος». Ὥστε οὐκ ἀναγκαῖον τὸ δοῦλον ἔχειν· εἰ δὲ καὶ ἀναγκαῖον, ἕνα που μόνον, ἢ τὸ πολὺ δεύτερον. Τί βούλεται τὰ σμήνη τῶν οἰκετῶν; Καθάπερ γὰρ οἱ προβατοπῶλαι καὶ οἱ σωματοκάπηλοι, οὕτως ἐν βαλανείῳ, οὕτως ἐν ἀγορᾷ περιίασιν οἱ πλουτοῦντες.

Πλὴν ἀλλ' οὐδὲν ἀκριβολογοῦμαι· ἔστω σοι καὶ δεύτερος οἰκέτης· εἰ δὲ πολλοὺς συνάγεις, οὐ φιλανθρωπίας ἕνεκεν τοῦτο ποιεῖς, ἀλλὰ θρυπτόμενος. Ἐπεί, εἰ κηδόμενος, μηδένα εἰς διακονίαν ἀπασχολήσῃς τὴν σήν, ἀλλ' ἀγοράσας, καὶ τέχνας διδάξας ὥστε ἀρκεῖν ἑαυτοῖς, ἄφες ἐλευθέρους. Ὅταν δὲ μαστίζῃς, ὅταν δεσμεύῃς, οὐκέτι φιλανθρωπίας τὸ ἔργον. Καὶ οἶδα μὲν ὅτι φορτικός εἰμι τοῖς ἀκούουσιν· ἀλλὰ τί πάθω; Εἰς τοῦτο κεῖμαι, καὶ οὐ παύσομαι ταῦτα λέγων, ἄν τε γένηταί τι πλέον, ἄν τε μηδέν. Τί γάρ σοι βούλεται τὸ σοβεῖν ἐπὶ τῆς ἀγορᾶς; Μὴ γὰρ μεταξὺ θηρίων περιπατεῖς, ὅτι ἀπελαύνεις τοὺς ἐντυγχάνοντας; Μὴ φοβηθῇς· οὐδεὶς δάκνει τῶν προσιόντων, καὶ πλησίον σοι βαδιζόντων.

Ἀλλ' ὕβριν ἡγῇ τὸ μετὰ πάντων συμβαδίζειν; Καὶ πόσης ταῦτα μανίας, πόσης τερατωδείας, τὸν μὲν ἵππον πλησίον ἑπόμενον μὴ νομίζειν φέρειν ὕβριν, ἄνθρωπον δέ, εἰ μὴ ἀπὸ μυρίων ἐλαύνοιτο σταδίων, καταισχύνειν ἡγεῖσθαι; Τί δὲ καὶ παῖδας ῥαβδούχους ἔχεις, ὡς δούλοις κεχρημένος τοῖς ἐλευθέροις, μᾶλλον δὲ αὐτὸς παντὸς ἀτιμότερον οἰκέ-

μᾶς ἔδωσε χέρια ὁ Θεὸς καὶ πόδια, διὰ νὰ μὴ χρειαζώμεθα ὑπηρέτας. Διότι τὸ γένος τῶν δούλων δὲν ἔγινε λόγῳ ἀνάγκης, ἀφοῦ μαζὶ μὲ τὸν Ἀδὰμ ἐπλάσθη, ἂν καὶ δοῦλος· ἀλλ' εἶναι ποινὴ ἁμαρτίας καὶ τιμωρία τῆς παρακοῆς. Ὁ Χριστὸς ὅμως ὅταν ἦλθε κατέλυσε καὶ τὴν δουλείαν· «Διότι ἐν Χριστῷ Ἰησοῦ δὲν ὑπάρχει δοῦλος, οὔτε ἐλεύθερος»[κ]. Ὥστε δὲν εἶναι ἀνάγκη νὰ ἔχῃ κανεὶς δοῦλον. Ἐὰν δὲ εἶναι ἀναγκαῖον, ἕνα μόνον ἢ τὸ πολὺ δεύτερον. Τί θέλουν τὰ κοπάδια τῶν ὑπηρετῶν; Διότι ὅπως οἱ ἔμποροι προβάτων καὶ οἱ σωματέμποροι, ἔτσι εἰς τὸ λουτρὸν καὶ εἰς τὴν ἀγορὰν περιέρχονται οἱ πλούσιοι.

Ἀλλὰ δὲν ἐξετάζω μὲ ἀκρίβειαν· ἂς ἔχῃς καὶ δεύτερον ὑπηρέτην· ἐὰν ὅμως συγκεντρώνῃς πολλούς, δὲν κάμνεις αὐτὸ ἀπὸ φιλανθρωπίαν, ἀλλ' ἀπὸ ὑπερηφάνειαν. Διότι, ἐὰν τὸ κάμνῃς ἀπὸ ἐνδιαφέρον, μὴ ἀπασχολήσῃς κανένα εἰς τὴν ὑπηρεσίαν σου, ἀλλ', ἀφοῦ ἀγοράσῃς καὶ διδάξῃς τέχνας εἰς αὐτούς, ὥστε νὰ κερδίζουν ἀρκετὰ διὰ τὸν ἑαυτόν των, ἄφησέ τους ἐλευθέρους. Ὅταν ὅμως τοὺς μαστιγώνῃς, ὅταν τοὺς δένῃς, δὲν εἶναι καθόλου ἔργον φιλανθρωπίας. Καὶ γνωρίζω μὲν ὅτι εἶμαι φορτικὸς εἰς τοὺς ἀκροατάς· ἀλλὰ τί νὰ κάνω; Εἰς αὐτὸ ἔχω ταχθῇ καὶ δὲν θὰ παύσω νὰ λέγω αὐτά, εἴτε γίνει κάτι, εἴτε ὄχι. Τί σοῦ χρειάζεται λοιπὸν νὰ φοβίζῃς τοὺς ἄλλους καὶ νὰ τοὺς ἀπομακρύνῃς εἰς τὴν ἀγοράν; Μήπως περιπατεῖς μεταξὺ θηρίων καὶ ἀποδιώκεις ὅσους εὑρεθοῦν ἐκεῖ; Μὴ φοβηθῇς· κανεὶς δὲν δαγκώνει ἀπὸ ὅσους προσέρχονται καὶ βαδίζουν πλησίον σου.

Ἀλλὰ θεωρεῖς ὑποτιμητικὸν νὰ βαδίζῃς μαζὶ μὲ τοὺς ἄλλους; Καὶ πόσης παραφροσύνης, πόσης τερατωδίας γεννήματα εἶναι αὐτά, τὸν μὲν ἵππον ποὺ σὲ ἀκολουθεῖ ἀπὸ πλησίον νὰ μὴ θεωρῇς ὅτι σὲ ὑποτιμᾷ, ἐνῷ ὁ συνάνθρωπος, ἐὰν δὲν ἀπομακρυνθῇ ὥστε ν' ἀπέχῃ πολλὰ χιλιόμετρα ἀπὸ ἐσένα, νὰ νομίζῃς ὅτι αὐτὸ σὲ ἐντροπιάζει; Διατί δὲ ἔχεις καὶ ὑπηρέτας ῥαβδούχους καὶ χρησιμοποιεῖς τοὺς ἐλευθέρους ὡς δούλους, μᾶλλον δὲ σὺ ὁ ἴδιος ζῇς μὲ τρόπον περισσότερον ἀτιμωτικὸν ἀπὸ κάθε ὑπηρέτην;

του ζῶν; Καὶ γὰρ παντὸς εὐτελέστερος οἰκέτου ὁ τοσοῦτον περιφέρων τῦφον. Διὰ τοῦτο οὐδὲ ὄψονται τὴν ὄντως ἐλευθερίαν οἱ τῷ χαλεπῷ τούτῳ καταδουλώσαντες ἑαυτοὺς πάθει. Εἰ γὰρ ἀπελαύνειν βούλει καὶ σοβεῖν, μὴ τοὺς προσιόντας, ἀλλὰ τὸν τῦφον ἀπέλασον· μὴ διὰ τοῦ παιδός, ἀλλὰ διὰ σαυτοῦ· μὴ τῇ μάστιγι ταύτῃ, ἀλλὰ τῇ πνευματικῇ. Νῦν μὲν γάρ σου ὁ παῖς ἀπελαύνει τοὺς συμβαδίζοντας, σὲ δὲ ἄνωθεν ἡ ἀπόνοια αἴσχρότερον, ἢ ὁ οἰκέτης τοὺς πλησίον. Ἂν δὲ ἀπὸ τοῦ ἵππου καταβάς, ἐλάσῃς αὐτὴν διὰ τῆς ταπεινοφροσύνης, ὑψηλότερον καθεδῇ καὶ ἐν μείζονι σαυτὸν καταστήσεις τιμῇ, οὐδὲν τοῦ παιδὸς εἰς τοῦτο δεόμενος. Ὅταν γὰρ μέτριος γενόμενος χαμαὶ βαδίζῃς, ἐπὶ τοῦ ὀχήματος καθεδῇ τῆς ταπεινοφροσύνης τοῦ μέχρι τῶν οὐρανῶν σε ἀνάγοντος, τοῦ πτηνοὺς ἔχοντος ἵππους· ἂν δὲ ἀποπεσὼν ἐκείνου, εἰς τὸ τῆς ἀλαζονείας μεταβῇς, τῶν χαμαὶ συρομένων ἑρπετῶν οὐδὲν ἄμεινον διάκεισαι, ἀλλὰ καὶ ἀθλιώτερον πολλῷ καὶ ἐλεεινότερον. Τοὺς μὲν γὰρ ἡ τοῦ σώματος πήρωσις οὕτω καταναγκάζει σύρεσθαι, σὲ δὲ ἡ τῆς ἀλαζονείας νόσος. «Καὶ γὰρ πᾶς ὁ ὑψῶν ἑαυτόν», φησί, «ταπεινωθήσεται».

Ἵν' οὖν μὴ ταπεινωθῶμεν, ἀλλὰ ὑψωθῶμεν, ἐπὶ τὸ ὕψος ἔλθωμεν ἐκεῖνο. Οὕτω γὰρ καὶ ἀνάπαυσιν εὑρήσομεν ταῖς ψυχαῖς ἡμῶν κατὰ τὸν θεῖον χρησμόν, καὶ τῆς ἀληθοῦς καὶ ὑψηλοτάτης ἐπιτευξόμεθα τιμῆς· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

---

8. Ματθ. 23, 12.

Διότι εἶναι εὐτελέστερος ἀπὸ κάθε ὑπηρέτην αὐτὸς ποὺ περιφέρει καὶ ἐπιδεικνύει τόσην ἀλαζονείαν. Δι' αὐτὸ δὲν θὰ ἰδοῦν τὴν ἀληθῆ ἐλευθερίαν αὐτοὶ ποὺ ὑπεδούλωσαν τοὺς ἑαυτούς των εἰς τὸ φοβερὸν αὐτὸ πάθος. Διότι ἐὰν θέλῃς ν' ἀποδιώκῃς καὶ ν' ἀπομακρύνῃς, ὄχι αὐτοὺς ποὺ εὑρίσκονται πλησίον σου, ἀλλὰ τὴν ὑπερηφάνειαν ν' ἀποδιώξῃς˙ ὄχι διὰ τοῦ ὑπηρέτου, ἀλλὰ διὰ τοῦ ἑαυτοῦ σου˙ ὄχι μὲ αὐτὸ τὸ μαστίγιον, ἀλλὰ μὲ τὸ πνευματικόν. Διότι τώρα μὲν ὁ ὑπηρέτης σου ἀποδιώκει αὐτοὺς ποὺ συμβαδίζουν μαζί σου, ἀλλ' ἐσένα ἡ ἀνοησία σὲ ἀποδιώκει ἀπὸ τὸν οὐρανὸν περισσότερον ἐξευτελιστικὰ ἀπὸ ὅσον ὁ ὑπηρέτης τοὺς πλησίον. Ἐὰν ὅμως, ἀφοῦ κατεβῇς ἀπὸ τὸν ἵππον, ἀποδιώξῃς αὐτὴν μὲ τὴν ταπεινοφροσύνην, θὰ ἀνέλθῃς ὑψηλότερον καὶ θὰ δώσῃς εἰς τὸν ἑαυτόν σου μεγαλυτέραν τιμήν, ἀφοῦ δὲν θὰ ἔχῃς καθόλου ἀνάγκην ἀπὸ τὸν ὑπηρέτην σου δι' αὐτὸ τὸ πρᾶγμα. Διότι, ὅταν ἀφοῦ γίνῃς μετριόφρων βαδίζῃς πεζός, κάθεσαι ἐπάνω εἰς τὸ ὄχημα τῆς ταπεινοφροσύνης ποὺ σὲ ἀνυψώνει μέχρι τὸν οὐρανόν, ποὺ ἔχει ὡς ἵππους πτηνά˙ ἐὰν ὅμως, ἀφοῦ πέσῃς ἀπὸ ἐκεῖνο, μεταβῇς εἰς τὸ ὄχημα τῆς ἀλαζονείας, δὲν εὑρίσκεσαι εἰς καθόλου καλυτέραν κατάστασιν ἀπὸ τὰ ἑρπετά, ἀλλὰ καὶ εἰς πολὺ ἀθλιωτέραν καὶ ἐλεεινοτέραν ἀπὸ αὐτά. Διότι τὰ μὲν ἑρπετὰ τὰ ἀναγκάζει ἡ σωματικὴ ἀνικανότης νὰ σύρωνται ἔτσι, ἐνῷ ἐσένα ἡ νόσος τῆς ἀλαζονείας. Διότι «Ὅποιος ὑψώνει τὸν ἑαυτόν του», λέγει, «θὰ ταπεινωθῇ»[8].

Διὰ νὰ μὴ ταπεινωθῶμεν, λοιπόν, ἀλλὰ νὰ ὑψωθῶμεν, ἂς ἔλθωμεν εἰς ἐκεῖνο τὸ ὕψος. Διότι ἔτσι καὶ ἀνάπαυσιν θὰ εὕρωμεν εἰς τὰς ψυχάς μας συμφώνως πρὸς τὴν θείαν ὑπόσχεσιν, καὶ θὰ ἐπιτύχωμεν τὴν ἀληθῆ καὶ ὑψηλοτάτην τιμήν, τὴν ὁποίαν εἴθε νὰ ἐπιτύχωμεν ὅλοι, μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα αἰωνίως. Ἀμήν.

ΛΟΓΟΣ ΜΑ΄
Α΄ Κορ. 15, 35-47

«Ἀλλ' ἐρεῖ τις, πῶς ἐγείρονται οἱ νεκροί; ποίῳ δὲ σώματι ἔρχονται; Ἄφρον, σὺ ὃ σπείρεις, οὐ ζωοποιεῖται, ἐὰν μὴ ἀποθάνῃ».

1. Ἤμερος ὢν σφόδρα καὶ ταπεινὸς ὁ ἀπόστολος πανταχοῦ, ἐνταῦθα καὶ πληκτικώτερον τῷ λόγῳ κέχρηται διὰ τὴν ἀτοπίαν τῶν ἀντιλεγόντων. Οὐ μὴν ἀρκεῖται τούτῳ, ἀλλὰ καὶ λογισμοὺς καὶ παραδείγματα τίθησι, καὶ τὸν σφόδρα φιλόνεικον ταύτῃ χειρούμενος. Καὶ ἀνωτέρω μέν φησιν, «Ἐπειδὴ δι' ἀνθρώπου ὁ θάνατος, καὶ δι' ἀνθρώπου ἡ ἀνάστασις»· ἐνταῦθα δὲ ἀντίθεσιν λύει παρ' Ἑλλήνων εἰσαγομένην. Καὶ ὅρα πῶς πάλιν ὑποτέμνεται τὸ σφοδρὸν τῆς διαβολῆς. Οὐ γὰρ εἶπεν, ἀλλ' ἴσως ἐρεῖτε, ἀλλ' ἀδιόριστον τέθεικε τὸν ἀντιλέγοντα, ἵνα μετὰ ἀδείας καταφορικῷ χρώμενος τῷ λόγῳ, μὴ σφόδρα πλήξῃ τοὺς ἀκούοντας. Καὶ τίθησι δύο τὰς ἐπαπορήσεις, τοῦ τρόπου τῆς ἀναστάσεως, καὶ τῆς ποιότητος τῶν σωμάτων. Καὶ γὰρ περὶ ἀμφοτέρων ἠπόρουν λέγοντες, πῶς ἐγείρεται τὸ διαλυθέν; καί, «ποίῳ σώματι ἔρχεται;». Τί δέ ἐστι, «ποίῳ σώματι;». Οἷον τούτῳ τῷ φθαρέντι, τῷ ἀπολωλότι, ἢ ἑτέρῳ τινί;

Εἶτα δεικνὺς ὅτι οὐ τὰ ἀμφιβαλλόμενα ζητοῦσιν, ἀλλὰ τὰ ὡμολογημένα, εὐθέως πληκτικώτερον ἀπαντᾷ λέγων· «Ἄφρον, σὺ ὃ σπείρεις οὐ ζωοποιεῖται, ἐὰν μὴ ἀποθάνῃ». Ὅπερ καὶ ἡμεῖς εἰώθαμεν ποιεῖν ἐπὶ τῶν τοῖς ὡμολογημένοις ἀντιλεγόντων. Καὶ τίνος ἕνεκεν οὐκ εὐθέως ἐπὶ τὴν δύ-

ΛΟΓΟΣ ΜΑ´
Α´ Κορ. 15, 35-47

«Ἀλλὰ θὰ ἐρωτήσῃ κάποιος· Πῶς ἀνίστανται οἱ νεκροί; μὲ ποῖον δὲ σῶμα ἐπανέρχονται εἰς τὴν ζωήν;' Ἀνόητε, ἐκεῖνο ποὺ σπείρεις ἐσύ, δὲν λαμβάνει ζωήν, ἐὰν προηγουμένως δὲν ἀποθάνῃ».

1. Ἐνῷ παντοῦ εἶναι πολὺ ἥμερος καὶ ταπεινὸς ὁ ἀπόστολος, ἐδῶ χρησιμοποιεῖ τὸν λόγον διὰ νὰ κτυπήσῃ ἐντόνως, ἐξ αἰτίας τῆς ἀπρεπείας αὐτῶν ποὺ ἀντέλεγον. Δὲν ἀρκεῖται βεβαίως εἰς αὐτό, ἀλλὰ προβάλλει καὶ συλλογισμοὺς καὶ παραδείγματα καὶ καθυποτάσσει μὲ αὐτὰ καὶ τὸν περισσότερον φιλόνεικον. Καὶ ἀνωτέρω μὲν λέγει, «Ἐπειδὴ διὰ μέσου ἀνθρώπου ἦλθεν ὁ θάνατος, διὰ μέσου ἀνθρώπου ἦλθε καὶ ἡ ἀνάστασις τῶν νεκρῶν», ἐδῶ ὅμως λύει ἀντίρρησιν ποὺ ἔχει εἰσαχθῆ ἀπὸ εἰδωλολάτρας. Καὶ πρόσεχε πῶς πάλιν μετριάζει τὴν σφοδρότητα τῆς κατηγορίας. Δὲν εἶπε δηλαδή, ἴσως ὅμως θὰ εἰπῆτε, ἀλλ' ἐπαρουσίασεν ἀόριστον αὐτὸν ποὺ ἀντιλέγει, ὥστε νὰ χρησιμοποιήσῃ ἐλεύθερα τὸν λόγον μὲ σφοδρότητα καὶ νὰ μὴ προσβάλῃ πολὺ τοὺς ἀκροατάς. Καὶ Προβάλλει δύο ἀπορίας, μίαν διὰ τὸν τρόπον τῆς ἀναστάσεως καὶ μίαν διὰ τὴν ποιότητα τῶν σωμάτων. Διότι καὶ διὰ τὰ δύο ἠπόρουν καὶ ἔλεγον, πῶς ἀνίσταται αὐτὸ ποὺ διελύθη; καί, «μὲ ποῖον σῶμα ἐπανέρχονται;». Ἴδιον μὲ αὐτὸ ποὺ ἐφθάρη, ποὺ ἔχει ἀφανισθῆ, ἢ μὲ κάποιο ἄλλο;

Ἐν συνεχείᾳ διὰ νὰ δείξῃ ὅτι ζητοῦν ἀπάντησιν ὄχι εἰς πράγματα ποὺ δημιουργοῦν ἀμφιβολίαν, ἀλλ' εἰς αὐτὰ ποὺ ἤδη ἔχουν ὁμολογήσει, ἀπαντᾷ ἀμέσως μὲ σφοδρότητα καὶ λέγει· «Ἀνόητε, ἐκεῖνο ποὺ σπείρεις ἐσύ, δὲν λαμβάνει ζωήν, ἐὰν προηγουμένως δὲν ἀποθάνῃ». Πρᾶγμα ποὺ κάμνομεν καὶ ἐμεῖς συνήθως εἰς αὐτοὺς ποὺ ἀντιλέγουν εἰς πράγματα ποὺ ἔχουν ὁμολογήσει. Καὶ διατί δὲν

ναμιν τοῦ Θεοῦ κατέφυγεν; Ὅτι ἀπίστοις διαλέγεται. Ὅταν μὲν γὰρ πρὸς πιστοὺς αὐτῷ ὁ λόγος ᾖ, οὐ σφόδρα δεῖται λογισμῶν. Διόπερ εἰπὼν ἀλλαχοῦ, ὅτι «Μετασχηματίσει τὸ σῶμα τῆς ταπεινώσεως ὑμῶν εἰς τὸ γενέσθαι σύμμορφον τῷ σώματι τῆς δόξης αὐτοῦ», καὶ πλέον τι τῆς ἀναστάσεως ἐνδειξάμενος, οὐ τέθεικε παραδείγματα, ἀλλ' ἀντὶ πάσης ἀποδείξεως τοῦ Θεοῦ τὴν δύναμιν εἰς μέσον ἤγαγε, προσθεὶς καὶ εἰπών, «Κατὰ τὴν ἐνέργειαν τοῦ δύνασθαι αὐτὸν καὶ ὑποτάξαι αὐτῷ τὰ πάντα». Ἐνταῦθα δὲ καὶ λογισμοὺς κινεῖ. Ἐπειδὴ γὰρ ἀπὸ τῶν Γραφῶν αὐτὸ κατεσκεύασε, καὶ ταῦτα προστίθησιν ἐκ περιουσίας λοιπὸν πρὸς τοὺς οὐ πειθομένους ταῖς γραφαῖς, καί φησιν· «Ἄφρον, σὺ ὃ σπείρεις». Τουτέστι, παρὰ σαυτοῦ τὴν ἀπόδειξιν ἔχεις τούτων, δι' ὧν πράττεις καθ' ἑκάστην ἡμέραν, καὶ ἀμφιβάλλεις ἔτι; Διὰ ταῦτά σε ἄφρονα καλῶ, ὅτι τὰ καθ' ἡμέραν ὑπὸ σοῦ γινόμενα ἀγνοεῖς, καὶ αὐτὸς δημιουργὸς ἀναστάσεως ὢν περὶ Θεοῦ ἀμφιβάλλεις. Διὸ σφόδρα ἐμφατικῶς εἶπε, «Σὺ ὃ σπείρεις», σὺ ὁ θνητὸς καὶ ἀπολλύμενος.

Καὶ ὅρα πῶς ταῖς λέξεσιν οἰκείως τῇ ὑποκειμένῃ κέχρηται ὑποθέσει. «Οὐ ζωοποιεῖται» γάρ, φησίν, «ἐὰν μὴ ἀποθάνῃ». Τὰς γὰρ οἰκείας λέξεις τῶν σπερμάτων ἀφείς, οἷον τὸ βλαστάνει καὶ φύεται καὶ σήπεται, καὶ διαλύεται, τὰς καταλλήλους ἥρμοσε τῇ σαρκὶ τῇ ἡμετέρᾳ, τὸ «ζωοποιεῖται» καὶ «ἀποθάνῃ», ὅπερ οὐ σπερμάτων κυρίως ἐστίν, ἀλλὰ σωμάτων. Καὶ οὐκ εἶπεν, ὅτι μετὰ τὸ ἀποθανεῖν ζῇ, ἀλλ', ὃ μεῖζόν ἐστιν, ὅτι διὰ τοῦτο ζῇ, ἐπειδὴ ἀποθνήσκει. Ὁρᾷς ὅτι, ὅπερ ἀεὶ λέγω, εἰς τοὐναντίον ἀεὶ περιτρέπει τὸν λόγον. Ὃ γὰρ ἐποιοῦντο ἐκεῖνοι τεκμήριον τοῦ μὴ ἀνίστασθαι, τοῦτο τοῦ ἀνίστασθαι ποιεῖται ἀπόδειξιν· καὶ γὰρ ἔλεγον, οὐκ ἀνίσταται, ἐπειδὴ ἀπέθανε. Τί οὖν αὐτὸς ἀντι-

---

1. Φιλιπ. 3, 21.

ἐστράφη ἀμέσως εἰς τὴν δύναμιν τοῦ Θεοῦ; Διότι ὁμιλεῖ εἰς ἀπίστους. Καθ' ὅσον, ὅταν μὲν ὁμιλῇ πρὸς πιστούς, δὲν ἔχει ἀνάγκην ἀπὸ συλλογισμοὺς καὶ ἐπιχειρήματα. Δι' αὐτὸ ὅταν εἶπεν ἀλλοῦ, ὅτι «Θὰ μεταμορφώσῃ τὸ ταπεινόν μας σῶμα, ὥστε νὰ λάβῃ τὴν ἰδίαν μορφὴν πρὸς τὸ ἔνδοξον σῶμα του»[1], καὶ ἐφανέρωσε κάτι περισσότερον ἀπὸ τὴν ἀνάστασιν τῶν σωμάτων, δὲν ἀνέφερε παραδείγματα, ἀλλ' ἀντὶ ὁποιασδήποτε ἀποδείξεως προέβαλε τὴν δύναμιν μὲ τὴν ὁποίαν ἠμπορεῖ καὶ νὰ ὑποτάξῃ τὰ πάντα εἰς τὸν ἑαυτόν του»[1]. Ἐδῶ ὅμως προβάλλει καὶ ἐπιχειρήματα. Ἐπειδὴ δηλαδὴ ἀπέδειξεν αὐτὸ ἀπὸ τὰς Γραφάς, προσθέτει λοιπὸν καὶ αὐτὰ ἐπὶ πλέον πρὸς ἐκείνους ποὺ πείθονται εἰς τὰς Γραφὰς καὶ λέγει· «Ἀνόητε, αὐτὸ ποὺ σπείρεις ἐσύ». Δηλαδή, ἀπὸ τὸν ἴδιον τὸν ἑαυτόν σου ἔχεις τὴν ἀπόδειξιν δι' αὐτά, μὲ ὅσα κάμνεις κάθε ἡμέραν, καὶ ἀμφιβάλλεις ἀκόμη; Δι' αὐτὰ σὲ ἀποκαλῶ ἀνόητον, διότι ἀγνοεῖς αὐτὰ ποὺ γίνονται ἀπὸ ἐσένα εἰς τὴν καθημερινὴν ζωήν, καὶ ἐνῷ σὺ ὁ ἴδιος εἶσαι δημιουργὸς ἀναστάσεως ἀμφιβάλλεις ἐὰν εἶναι ὁ Θεός. Δι' αὐτὸ μὲ πολλὴν ἔμφασιν εἶπεν, «Αὐτὸ ποὺ σπείρεις ἐσύ», σὺ ποὺ εἶσαι θνητὸς καὶ ποὺ χάνεσαι.

Καὶ πρόσεχε πῶς χρησιμοποιεῖ τὰς λέξεις ὅπως ἁρμόζει εἰς τὸ θέμα διὰ τὸ ὁποῖον πρόκειται. Δηλαδὴ «δὲν λαμβάνει ζωήν», λέγει, «ἐὰν δὲν ἀποθάνῃ». Ἀφοῦ δηλαδὴ ἄφησε τὰς λέξεις ποὺ ἁρμόζουν εἰς τὰ σπέρματα, ὅπως τὸ βλαστάνει καὶ φυτρώνει καὶ σαπίζει καὶ διαλύεται, προσήρμοσεν εἰς τοὺς λόγους του αὐτὰς ποὺ εἶναι κατάλληλαι διὰ ν' ἀναφερθοῦν εἰς τὴν σάρκα μας, τὸ «λαμβάνει ζωὴν» καὶ «ἀποθάνῃ», πρᾶγμα ποὺ εἶναι γνώρισμα ὄχι τῶν σπερμάτων κυρίως, ἀλλὰ τῶν σωμάτων. Καὶ δὲν εἶπεν ὅτι ζῇ ἀφοῦ ἀποθάνῃ καὶ μετά, ἀλλά, πρᾶγμα ποὺ εἶναι μεγαλύτερον, ὅτι δι' αὐτὸ ζῇ, ἐπειδὴ ἀποθνήσκει. Βλέπεις ὅτι, αὐτὸ ποὺ λέγω συνεχῶς, γυρίζει πάντοτε τὸν λόγον εἰς τὸ ἀντίθετον; Αὐτὸ δηλαδὴ ποὺ ἐχρησιμοποίουν ἐκεῖνοι ὡς ἀπόδειξιν, ὅτι ὁ ἄνθρωπος δὲν ἀνίσταται, αὐτὸ κάμνει ἀπόδειξιν διὰ τὸ ὅτι ἀνίσταται· διότι ἔλεγον, δὲν ἀνίσταται,

στρέψας φησί; Καὶ μὴν εἰ μὴ ἀπέθανεν, οὐκ ἂν ἀνέστη· καὶ διὰ τοῦτο ἀνίσταται, ἐπειδὴ ἀπέθανε. Καθάπερ γὰρ ὁ Χριστὸς σαφέστερον αὐτὸ τοῦτο ἐνδείκνυται λέγων· «Ὁ κόκκος τοῦ σίτου, ἐὰν πεσὼν εἰς τὴν γῆν μὴ ἀποθάνῃ, αὐτὸς μόνος μένει· ἐὰν δὲ ἀποθάνῃ, πολὺν καρπὸν φέρει». Ἐκεῖθεν καὶ ὁ Παῦλος τὸ παράδειγμα τοῦτο ἑλκύσας, οὐκ εἶπεν, ὅτι οὐ ζῇ, ἀλλ', «οὐ ζωοποιεῖται», πάλιν τοῦ Θεοῦ τὴν δύναμιν παραλαμβάνων, καὶ δεικνὺς ὅτι οὐχ ἡ τῆς γῆς φύσις, ἀλλ' αὐτὸς τὸ πᾶν ἐργάζεται.

Καὶ τί δήποτε οὐχ ὅπερ οἰκειότερον ἦν, τοῦτο ἤγαγεν εἰς μέσον, τὸ σπέρμα λέγω τὸ ἀνθρώπινον; Καὶ γὰρ καὶ ἡ ἡμετέρα γέννησις ἀπὸ φθορᾶς ἄρχεται, ὥσπερ ἡ τοῦ σίτου. Ὅτι οὐκ ἦν ἴσον, ἀλλὰ τοῦτο πλέον. Ὁλόκληρον γάρ τι ζητεῖ φθειρόμενον, ἐκεῖνο δὲ μέρος ἦν· διόπερ τοῦτο εἰς μέσον ἄγει. Ἄλλως δέ, ἐκεῖνο μὲν καὶ ἀπὸ ζῶντος πρόεισι, καὶ εἰς ζῶσαν ἐμπίπτει γαστέρα· ἐνταῦθα δὲ οὐκ εἰς σάρκα, ἀλλ' εἰς τὴν γῆν ὁ σπόρος καταβάλλεται, καὶ εἰς αὐτὴν διαλύεται, καθάπερ τὸ σῶμα τὸ τεθνηκός. Διὸ καὶ ταύτῃ οἰκειότερον ἦν τὸ ὑπόδειγμα.

2. «Καὶ ὁ σπείρων, οὐ τὸ σῶμα τὸ γενησόμενον σπείρει». Τὰ μὲν γὰρ ἔμπροσθεν εἰρημένα, πρὸς τὸ λέγειν πῶς ἐγείρονται, τοῦτο δέ, πρὸς τὸ διαπορεῖν ποίῳ σώματι ἔρχονται. Τί δέ ἐστιν, «Οὐ τὸ σῶμα τὸ γενησόμενον σπείρεις»; Οὐ στάχυν ὁλόκληρον, οὐδὲ σῖτον νέον. Ἐνταῦθα γὰρ οὐκέτι πρὸς τὴν ἀνάστασιν ὁ λόγος, ἀλλὰ πρὸς τὸν τρόπον τῆς ἀναστάσεως, ποταπὸν τὸ σῶμα τὸ μέλλον ἀνίστασθαι, οἷον εἰ τοιοῦτον, ἢ βέλτιον καὶ λαμπρότερον· καὶ ἀμφότερα ἀπὸ τοῦ αὐτοῦ ὑποδείγματος λαμβάνει, δεικνὺς ὅτι πολλῷ βέλτιον. Ἀλλ' οἱ αἱρετικοὶ μηδὲν τούτων συνιέντες ἐπιπηδῶσι καὶ λέγουσιν, ὅτι ἕτερον σῶμα πίπτει, καὶ ἕτερον σῶμα ἀνίστα-

2. Ἰω. 12, 24.

ἐπειδὴ ἀπέθανε. Τί λέγει λοιπὸν ὁ Παῦλος ἀντιστρέφων τὸ ἐπιχείρημά των; Καὶ ὅμως ἐὰν δὲν ἀπέθνησκε δὲν θὰ ἀνίστατο· καὶ δι' αὐτὸ ἀνίσταται, ἐπειδὴ ἀπέθανεν. Ὅπως δηλαδὴ ὁ Χριστὸς δεικνύει σαφέστερον αὐτὸ τὸ ἴδιον ὅταν λέγῃ· «Ἐὰν ὁ σπόρος τοῦ σίτου ἀφοῦ πέσῃ εἰς τὴν γῆν δὲν ἀποθάνῃ, μένει αὐτὸς μόνος· ἐὰν ὅμως ἀποθάνῃ, φέρει πολὺν καρπόν»[2]· ἀπὸ ἐκεῖ ἀφοῦ ἔλαβε καὶ ὁ Παῦλος αὐτὸ τὸ παράδειγμα, δὲν εἶπεν ὅτι δὲν ζῇ, ἀλλά, «δὲν ζωοποιεῖται», ἀναφερόμενος πάλιν εἰς τὴν δύναμιν τοῦ Θεοῦ καὶ δεικνύων ὅτι ὄχι ἡ φύσις τῆς γῆς, ἀλλ' ὁ Θεὸς κάμνει τὸ πᾶν.

Καὶ διατί ἆρά γε δὲν ἀνέφερεν αὐτὸ ποὺ ἥρμοζε περισσότερον εἰς αὐτά, δηλαδὴ τὸ ἀνθρώπινον σπέρμα; Διότι καὶ ἡ ἰδική μας γέννησις ἀπὸ φθορὰν ἀρχίζει, ὅπως καὶ τοῦ σίτου. Διότι δὲν ἦτο τὸ ἴδιον, ἀλλ' αὐτὸ ποὺ εἶπεν ἦτο μεγαλύτερον. Διότι ζητεῖ κάτι ποὺ νὰ ἀποθνήσκῃ τελείως καὶ νὰ σαπίζῃ, ἐνῷ ἐκεῖνο ἐν μέρει ἀποθνήσκει· καθ' ὅσον αὐτὸ δὲν ἀναφέρεται εἰς αὐτό. Ἐξ ἄλλου δέ, ἐκεῖνο μὲν καὶ προέρχεται ἀπὸ ζῶντα ὀργανισμὸν καὶ μέσα πίπτει εἰς ζῶσαν κοιλίαν, ἐνῷ εἰς τὴν περίπτωσιν αὐτὴν ὁ σπόρος σπείρεται ὄχι εἰς σάρκα, ἀλλ' εἰς τὸ χῶμα καὶ εἰς αὐτὸ ἀποσυντίθεται, ὅπως τὸ σῶμα ποὺ ἔχει ἀποθάνει. Δι' αὐτὸ καὶ αὐτὸ τὸ παράδειγμα ἥρμοζε περισσότερον ἐδῶ.

2. «Καὶ αὐτὸς ποὺ σπείρει, δὲν σπείρει τὸ σῶμα ποὺ θὰ φυτρώσῃ». Τὰ μὲν λοιπὸν προηγουμένως λεχθέντα ἐλέχθησαν ὡς ἀπάντησις εἰς τὸ πῶς ἀνίστανται οἱ νεκροί, αὐτὸ δέ, ὡς ἀπάντησις εἰς τὴν ἀπορίαν μὲ ποῖον σῶμα ἐπανέρχονται εἰς τὴν ζωήν. Τί σημαίνει δέ, «δὲν σπείρεις τὸ σῶμα ποὺ θὰ φυτρώσῃ»; Ὄχι ὁλόκληρον στάχυν, οὔτε νέον φυτόν. Διότι ἐδῶ δὲν γίνεται λόγος διὰ τὴν ἀνάστασιν, ἀλλὰ διὰ τὸν τρόπον τῆς ἀναστάσεως, ποῖον τὸ σῶμα ποὺ πρόκειται ν' ἀναστηθῇ, ἐὰν δηλαδὴ θὰ εἶναι τὸ ἴδιον ἢ καλύτερον καὶ λαμπρότερον· καὶ λαμβάνει καὶ τὰς δύο ἀπαντήσεις ἀπὸ τὸ ἴδιον παράδειγμα καὶ δεικνύει ὅτι θὰ εἶναι πολὺ καλύτερον. Οἱ αἱρετικοὶ ὅμως, ἐπειδὴ δὲν καταλαβαίνουν τίποτε ἀπὸ αὐτά, ἐπιτίθενται καὶ λέγουν, ὅτι

ται. Πῶς οὖν ἀνάστασις ἂν εἴη; τοῦ γὰρ πεσόντος ἐστὶν ἡ ἀνάστασις. Ποῦ δὲ τὸ θαυμαστὸν καὶ παράδοξον κατὰ τοῦ θανάτου νικητήριον, εἰ ἄλλο πίπτει καὶ ἄλλο ἀνίσταται; οὐκέτι γὰρ φανήσεται ἐκεῖνος ἀποδούς, ὅπερ ἔλαβεν αἰχμάλωτον. Πῶς δὲ τὸ ὑπόδειγμα ἁρμόσειεν ἂν τοῖς εἰρημένοις; οὐ γὰρ ἄλλη μὲν οὐσία σπείρεται, ἄλλη δὲ ἐγείρεται, ἀλλ' ἡ αὐτὴ βελτίων. Ἔσται δὲ οὐδὲ ὁ Χριστὸς τὸ αὐτὸ σῶμα ἀνειληφώς, ἀπαρχὴ τῶν ἀνισταμένων γενόμενος· ἀλλὰ καθ' ὑμᾶς ἐκεῖνο μὲν ἔρριψε, καίτοιγε οὐδὲν ἡμαρτηκός, ἕτερον δὲ ἔλαβεν. Πόθεν ἄρα τὸ ἕτερον; τοῦτο μὲν γὰρ ἐκ παρθένου, ἐκεῖνο δὲ πόθεν; Ὁρᾷς εἰς ὅσην ἀτοπίαν ὁ λόγος ἐξεκυλίσθη; Διὰ τί γὰρ καὶ τοὺς τύπους δείκνυσι τῶν ἥλων; οὐχὶ τοῦτο ἀποδεῖξαι θέλων, ὅτι αὐτὸ ἐκεῖνό ἐστι τὸ ἀνασκολοπισθέν, καὶ αὐτὸ πάλιν ἀνέστη;

Τί δὲ αὐτῷ καὶ ὁ τύπος βούλεται ὁ τοῦ Ἰωνᾶ; οὐ γὰρ δήπου ἄλλος μὲν κατεπόθη, ἄλλος δὲ εἰς τὴν γῆν ἐξηνέχθη Ἰωνᾶς. Τί δὲ καὶ ἔλεγε, «Λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν»; τὸν γὰρ λυόμενον δηλονότι τοῦτον καὶ ἀνίστη. Διὸ καὶ προσέθηκε ὁ εὐαγγελιστής, ὅτι «Ἐκεῖνος δὲ ἔλεγε περὶ τοῦ ναοῦ τοῦ σώματος αὐτοῦ». Τί οὖν φησιν, «Οὐ τὸ σῶμα τὸ γενησόμενον σπείρεις»; Τουτέστιν, οὐ τὸν ἄσταχυν· καὶ γὰρ αὐτός ἐστι, καὶ οὐκ αὐτός· αὐτὸς μέν, ὅτι αὐτὴ ἡ οὐσία· οὐκ αὐτὸς δέ, ὅτι βελτίων οὗτος, τῆς μὲν αὐτῆς οὐσίας μενούσης, μείζονος δὲ τῆς εὐπρεπείας γινομένης, καὶ καινοῦ τοῦ αὐτοῦ ἀνισταμένου· ἐπειδὴ εἰ μὴ τοῦτο ἦν, οὐδὲ ἀναστάσεως ἔδει, εἰ μὴ βέλτιον ἀνίστασθαι ἔμελλε. Τί γὰρ καὶ καθῄρει τὴν οἰκίαν, εἰ μὴ λαμ-

---

3. Ἰω. 2, 19.
4. Ἰω. 2, 21.

ἄλλο σῶμα θάπτεται καὶ ἄλλο ἀνίσταται. Πῶς λοιπὸν θὰ ἦτο δυνατὸν νὰ ὑπάρχῃ ἀνάστασις; διότι ἡ ἀνάστασις ἀναφέρεται εἰς αὐτὸ ποὺ ἐτάφη. Πρὸς τί δὲ ἡ θαυμαστὴ καὶ παράδοξος πανήγυρις διὰ τὴν κατάργησιν τοῦ θανάτου, ἀφοῦ ἄλλο θάπτεται καὶ ἄλλο ἀνίσταται; διότι ἐκεῖνος ποὺ συνέλαβε τὸ σῶμα αἰχμάλωτον, δὲν θὰ τὸ ἐπιστρέψῃ εἰς τὴν ζωήν. Πῶς δὲ θὰ προσαρμόσωμεν τὸ παράδειγμα εἰς αὐτὰ ποὺ ἐλέχθησαν; διότι δὲν εἶναι ἄλλη ἡ οὐσία ποὺ σπείρεται καὶ ἄλλη αὐτὴ ποὺ ἀνίσταται, ἀλλ' ἡ ἰδία καλυτέρα. Διότι ἐὰν δὲν συνέβαινεν αὐτό, τότε θὰ ἔπρεπε νὰ δεχθῶμεν, ὅτι οὔτε ὁ Χριστὸς ἀνέλαβε τὸ ἴδιον σῶμα ὅταν ἔγινε μὲ τὴν ἀνάστασίν του ἀπαρχὴ αὐτῶν ποὺ ἀνίστανται· ἀλλὰ κατὰ τὰ λεγόμενά σας, ἐκεῖνο μὲν τὸ ἀπέρριψεν, ἂν καὶ δὲν ἡμάρτησε καθόλου, ἔλαβε δὲ ἄλλο. Ἀπὸ ποῦ ἆρά γε τὸ ἄλλο; διότι αὐτὸ μὲν ἀπὸ τὴν Παρθένον, ἐκεῖνο δὲ ἀπὸ ποῦ; Βλέπεις εἰς πόσην ἀνοησίαν παρεδόθη ἀχαλίνωτος ὁ λόγος; Διότι διατί δεικνύει καὶ τὰς οὐλὰς ἀπὸ τὰς πληγάς; ὄχι διότι θέλει ν' ἀποδείξῃ ὅτι αὐτὸ τὸ σῶμα εἶναι ἐκεῖνο ποὺ ἐσταυρώθη καὶ τὸ ἴδιον πάλιν ἀνεστήθη;

Τί θέλει δὲ εἰς αὐτὸν καὶ ἡ προτύπωσις ἀπὸ τὸν Ἰωνᾶν; διότι βέβαια δὲν ἦτο ἄλλος Ἰωνᾶς ἐκεῖνος τὸν ὁποῖον κατέπιε τὸ κῆτος καὶ ἄλλος ἐκεῖνος ποὺ ἐξῆλθεν εἰς τὴν ξηράν. Διατί δὲ καὶ ἔλεγε, «Κρημνίσατε τὸν ναὸν αὐτὸν καὶ εἰς τρεῖς ἡμέρας θὰ τὸν ἀνεγείρω»[3]; Εἶναι φανερὸν λοιπὸν ὅτι αὐτὸν ποὺ θὰ καταλυθῇ αὐτὸν καὶ θὰ ἀναστήσῃ. Δι' αὐτὸ καὶ προσέθεσεν ὁ εὐαγγελιστής· «Ἐκεῖνος ὅμως ἔλεγε διὰ τὸν ναὸν τοῦ σώματός του»[4]. Τί σημαίνει λοιπόν, «Ἐκεῖνο ποὺ σπείρεις δὲν εἶναι τὸ σῶμα ποὺ θὰ φυτρώσῃ»; Δηλαδή, ὄχι τὸν στάχυν· καθ' ὅσον αὐτὸς καὶ εἶναι ὁ ἴδιος καὶ δὲν εἶναι· εἶναι μὲν ὁ ἴδιος, διότι εἶναι ἡ αὐτὴ οὐσία, ἀλλὰ καὶ δὲν εἶναι ὁ ἴδιος, διότι εἶναι καλύτερος αὐτός, ἀφοῦ ἡ μὲν οὐσία παραμένει ἡ ἰδία, ἡ δὲ ὡραιότης γίνεται μεγαλυτέρα, καὶ ὁ ἴδιος σῖτος ἀνίσταται καινουργής· διότι, ἐὰν δὲν συνέβαινεν αὐτό, οὔτε θὰ ἐχρειάζετο ἀνάστασις, ἐὰν δὲν ἐπρόκειτο δηλαδὴ ν' ἀναστηθῇ καλύτερος. Πρὸς τί δηλαδὴ ἐκρήμνισε τὴν οἰκίαν, ἐὰν δὲν ἐπρόκειτο

προτέραν ἔμελλεν οἰκοδομεῖν; Τοῦτο τοίνυν πρὸς τοὺς νομίζοντας τὴν αὐτὴν εἶναι φθορὰν εἶπεν.

Εἶτα, ἵνα μὴ ἄλλο τις πάλιν ὑποπτεύσῃ σῶμα ἐντεῦθεν εἰρῆσθαι, παραμυθεῖται τὸ αἴνιγμα, καὶ αὐτὸς ἑρμηνεύει τὸ εἰρημένον, μὴ συγχωρῶν τῷ ἀκροατῇ ἀλλαχοῦ περιάγειν τὴν ἔννοιαν τὴν ἐντεῦθεν. Τί τοίνυν δεῖ τῶν ἡμετέρων λόγων; Ἄκουσον αὐτοῦ λέγοντος καὶ ἑρμηνεύοντος τί ἐστιν, «Οὐ τὸ σῶμα τὸ γενησόμενον σπείρεις». Εὐθέως γὰρ ἐπήγαγεν, «Ἀλλὰ γυμνὸν κόκκον, εἰ τύχοι σίτου, ἤ τινος τῶν τοιούτων σπερμάτων». Τουτέστιν, «οὐ τὸ σῶμα τὸ γενησόμενον»· οἷον οὐχ οὕτω περιβεβλημένον, οὐδὲ καλάμην ἔχοντα καὶ ἀνθέρικας, «ἀλλὰ γυμνὸν κόκκον, εἰ τύχοι σίτου, ἤ τινος τῶν τοιούτων». «Καὶ ὁ Θεὸς αὐτῷ δίδωσι σῶμα, καθὼς ἠθέλησε». Ναί, φησίν, ἀλλ' ἐκεῖ τῆς φύσεως τὸ ἔργον ἐστί. Ποίας φύσεως, εἰπέ μοι; Καὶ γὰρ καὶ ἐκεῖ τὸ πᾶν ὁ Θεὸς ἐργάζεται, οὐχ ἡ φύσις, οὐδὲ ἡ γῆ, οὐδὲ ὁ ὑετός. Διόπερ καὶ αὐτὸς ταῦτα δηλῶν, καὶ γῆν καὶ ὑετὸν καὶ ἀέρα καὶ ἥλιον καὶ χεῖρας γεωργικὰς ἀφείς, ἐπήγαγεν, ὅτι «Ὁ Θεὸς αὐτῷ δίδωσι σῶμα, καθὼς ἠθέλησε». Μὴ τοίνυν περιεργάζου μηδὲ πολυπραγμόνει, πῶς καὶ τίνι τρόπῳ, ὅταν Θεοῦ δύναμιν καὶ θέλημα ἀκούσῃς. «Καὶ ἑκάστῳ τῶν σπερμάτων τὸ ἴδιον σῶμα». Ποῦ τοίνυν τὸ ἀλλότριον; τὸ γὰρ ἴδιον δίδωσιν. Ὥστε ὅταν λέγῃ, «Οὐ τὸ γενησόμενον σπείρεις», οὐ τοῦτο λέγει, ὅτι ἄλλη ἀντ' ἄλλης οὐσίας ἀνίσταται, ἀλλ' ὅτι βελτίων, ὅτι λαμπροτέρα. «Ἑκάστῳ» γάρ, φησί, «τῶν σπερμάτων τὸ ἴδιον σῶμα».

3. *Ἐντεῦθεν λοιπὸν καὶ τὴν διαφορὰν εἰσάγει τῆς τότε ἐσομένης ἀναστάσεως. Μὴ γάρ, ἐπειδὴ σῖτος σπείρετε καὶ πάντες στάχυες ἀνέρχονται, διὰ τοῦτο νομίσῃς καὶ ἐν τῇ ἀναστάσει ἰσοτιμίαν εἶναι. Μάλιστα μὲν γὰρ οὐδὲ ἐν τοῖς σπέρμασι μία τάξις, ἀλλὰ τὰ μὲν τιμιώτερα, τὰ δὲ καταδεέστερα. Διὸ καὶ ἐπήγαγεν, «Ἑκάστῳ τὸ ἴδιον σῶμα».*

καὶ πάλιν νὰ τὴν οἰκοδομήσῃ λαμπροτέραν; Αὐτὸ λοιπὸν τὸ εἶπεν πρὸς ἐκείνους ποὺ νομίζουν ὅτι πρόκειται διὰ τὸν ἴδιον θάνατον.

Εἰς τὴν συνέχειαν, διὰ νὰ μὴ φαντασθῇ πάλιν κάποιος, ὅτι ἐδῶ ἐλέχθη ἄλλο σῶμα, ἐξηγεῖ τὴν ἀσάφειαν καὶ ἑρμηνεύει ὁ ἴδιος αὐτὸ ποὺ ἐλέχθη, διὰ νὰ μὴ ἀφήσῃ τὸν ἀκροατὴν νὰ ὁδηγήσῃ ἀλλοῦ τὴν ἔννοιαν ἀπὸ αὐτό. Τί χρειάζονται λοιπὸν οἱ ἰδικοί μου λόγοι; Ἄκουσε τὸν ἴδιον ποὺ λέγει καὶ ἑρμηνεύει τί σημαίνει, «Ἐκεῖνο ποὺ σπείρεις δὲν εἶναι τὸ σῶμα ποὺ θὰ φυτρώσῃ». Διότι ἀμέσως προσέθεσεν, «ἀλλὰ γυμνὸν σπόρον, εἴτε σῖτον, εἴτε ἄλλον ἀπὸ τοὺς ὑπολοίπους σπόρους». Δηλαδή, «ὄχι τὸ σῶμα ποὺ θὰ φυτρώσῃ»· ὄχι ἐνδεδυμένον ἔτσι, οὔτε μὲ καλάμην, οὔτε μὲ στάχυν, «ἀλλὰ γυμνὸν σπόρον, εἴτε σίτου, εἴτε ἄλλον ἀπὸ τοὺς ὑπολοίπους σπόρους». «Καὶ ὁ Θεὸς δίδει εἰς αὐτὸν σῶμα, κατὰ τὸ θέλημά του». Ναί, θὰ εἰπῇ, ἀλλ' ἐκεῖ τὸ ἔργον εἶναι τῆς φύσεως. Εἰπέ μου, ποίας φύσεως; Διότι καὶ ἐκεῖ ὁ Θεὸς κάμνει τὸ πᾶν, ὄχι ἡ φύσις, οὔτε ἡ γῆ, οὔτε ἡ βροχή. Δι' αὐτὸ ἀκριβῶς καὶ ὁ Παῦλος ὅταν λέγῃ αὐτά, ἀφοῦ ἀφήνει καὶ γῆν καὶ βροχὴν καὶ ἀέρα καὶ ἥλιον καὶ γεωργικὰ χέρια, προσέθεσεν ὅτι «ὁ Θεὸς δίδει εἰς αὐτὸν σῶμα κατὰ τὸ θέλημά του». Μὴ περιεργάζεσαι λοιπόν, οὔτε νὰ πολυεξετάζῃς πῶς καὶ μὲ ποῖον τρόπον γίνεται, ὅταν ἀκούσῃς ὅτι γίνεται μὲ τὴν δύναμιν τοῦ Θεοῦ. «Καὶ εἰς τὸν κάθε σπόρον ἰδικόν του σῶμα». Ποῦ εἶναι λοιπὸν τὸ ξένον; διότι εἰς τὸ καθὲν δίδει τὸ ἰδικόν του. Ὥστε, ὅταν λέγῃ, «Ἐκεῖνο ποὺ σπείρεις δὲν εἶναι τὸ σῶμα ποὺ θὰ φυτρώσῃ», δὲν ἐννοεῖ ὅτι ἀνίσταται ἄλλη οὐσία ἀντὶ ἄλλης, ἀλλ' ὅτι εἶναι καλύτερον αὐτό, ὅτι εἶναι λαμπρότερον. Διότι, «Εἰς τὸν κάθε σπόρον», λέγει, «τὸ ἰδικόν του σῶμα».

3. Ἐδῶ λοιπὸν διευκρινίζει καὶ τὴν διαφορὰν τῆς ἀναστάσεως ποὺ θὰ γίνῃ τότε. Μὴ νομίσῃς δηλαδὴ ὅτι, ἐπειδὴ σπείρεται σῖτος καὶ φυτρώνουν στάχυα ὅλοι οἱ σπόροι, θὰ γίνῃ τὸ ἴδιον καὶ εἰς τὴν ἀνάστασιν. Ἐξ ἄλλου δὲ οὔτε εἰς τὰ σπέρματα ὑπάρχει μία τάξις, ἀλλὰ τὰ μὲν εἶναι πολυτιμότερα, τὰ δὲ ὑποδεέστερα. Δι' αὐτὸ καὶ προσέθεσεν, «Εἰς

Πλὴν οὐκ ἀρκεῖται τούτῳ, ἀλλ' ἑτέραν ζητεῖ διαφορὰν μείζονα καὶ σαφεστέραν. Ἵνα γὰρ μὴ ἀκούσας, ὅπερ ἔφην, ὅτι πάντες ἀνίστανται, πάντας τῶν αὐτῶν ἀπολαύειν νομίσῃς, προκατεβάλετο μὲν καὶ ἐν τοῖς ἔμπροσθεν τῆς ἐννοίας ταύτης τὰ σπέρματα, εἰπών, «Ἕκαστος δὲ ἐν τῷ ἰδίῳ τάγματι»· ἐργάζεται δὲ αὐτὸ σαφέστερον καὶ ἐνταῦθα πάλιν λέγων· «Οὐ πᾶσα σὰρξ ἡ αὐτή».

Τί λέγω γάρ, φησίν, ἐπὶ τῶν σπερμάτων; ἐπὶ τῶν σωμάτων γυμνάσωμεν αὐτὸ τοῦτο, περὶ ὧν ὁ λόγος ἡμῖν νῦν. Διὸ καὶ ἐπάγει λέγων· «Ἄλλη μὲν ἀνθρώπων, ἄλλη δὲ σὰρξ κτηνῶν, καὶ ἄλλη πτηνῶν, καὶ ἀλλ' ἑτέρα μὲν ἡ τῶν ἐπουρανίων δόξα, ἑτέρα δὲ ἡ τῶν ἐπιγείων. Ἄλλη δόξα ἡλίου, καὶ ἄλλη δόξα σελήνης, καὶ ἄλλη δόξα ἀστέρων· ἀστὴρ γὰρ ἀστέρος διαφέρει ἐν δόξῃ». Καὶ τί βούλεται αὐτῷ ταυτὶ τὰ ῥήματα; Τίνος ἕνεκεν ἐκ τῆς ἀναστάσεως τῆς τῶν σωμάτων εἰς τὸν περὶ ἀστέρων καὶ ἡλίου λόγον ἐξέπεσεν; Οὐκ ἐξέπεσεν, οὐδὲ ἀπερράγη τῆς ὑποθέσεως, ἄπαγε, ἀλλ' ἔτι αὐτῆς ἔχεται. Ἐπειδὴ γὰρ τὸν περὶ τῆς ἀναστάσεως κατεσκεύασε λόγον, δείκνυσι λοιπὸν ὅτι πολλὴ τῆς δόξης τότε ἡ διαφορά, εἰ καὶ ἡ ἀνάστασις μία. Καὶ διαιρεῖ εἰς δύο τὸ πᾶν τέως, εἰς τὰ ἐπουράνια καὶ τὰ ἐπίγεια.

Ὅτι μὲν γὰρ τὰ σώματα ἀνίσταται, ἔδειξε διὰ τοῦ σίτου, ὅτι δὲ οὐκ ἐν τῇ αὐτῇ δόξῃ πάντα, δείκνυσιν ἐντεῦθεν. Ὥσπερ γὰρ τὸ ἀπιστεῖν τῇ ἀναστάσει, ὑπτίους ποιεῖ, οὕτω πάλιν ῥαθύμους τὸ νομίζειν πάντας τῶν αὐτῶν ἀξιοῦσθαι. Διόπερ ἀμφότερα διορθοῦται. Καὶ τὰ μὲν ἐν τοῖς ἔμπροσθεν ἀπήρτισε, τούτου δὲ ἄρχεται νῦν. Καὶ ποιήσας δύο τάγματα δικαίων τε καὶ ἁμαρτωλῶν, αὐτὰ τὰ δύο ταῦτα εἰς πολλὰ πάλιν κατατέμνει μέρη, δεικνὺς ὅτι οὔτε δίκαιοι καὶ ἁμαρ-

τὸν καθένα τὸ ἰδικόν του σῶμα». Δὲν ἀρκεῖται ὅμως εἰς αὐτό, ἀλλὰ ἀναζητεῖ ἄλλην διαφορὰν μεγαλυτέραν καὶ περισσότερον σαφῆ. Διὰ νὰ μὴ νομίσῃς δηλαδή, ὅπως εἶπον, ἐπειδὴ ἤκουσες ὅτι ὅλοι ἀνίστανται, ἀπολαμβάνουν ὅλοι τὰ ἴδια, ὡμίλησέ μου ἐκ τῶν προτέρων διὰ τὰ σπέρματα μὲ αὐτὴν τὴν ἔννοιαν, ὅταν εἶπεν, «ὁ καθεὶς εἰς τὴν τάξιν του», κάμνει ὅμως αὐτὸ σαφέστερον καὶ ἐδῶ πάλιν μὲ τοὺς λόγους˙ «Ἡ κάθε σὰρξ δὲν εἶναι ἰδία».

Διατί, λέγει, κάμνω λόγον διὰ τὰ σπέρματα; Ἂς ἐφαρμόσωμεν εἰς τὰ σώματα αὐτὸ ποὺ συζητῶμεν. Δι' αὐτὸ καὶ προσθέτει τοὺς λόγους˙ «Ἀλλ' ἄλλη εἶναι ἡ σὰρξ τῶν ἀνθρώπων, ἄλλη ἡ σὰρξ τῶν κτηνῶν, ἄλλη τῶν ἰχθύων, ἄλλη τῶν πτηνῶν. Καὶ ὑπάρχουν σώματα ἐπουράνια καὶ σώματα ἐπίγεια˙ ἀλλ' ἄλλη εἶναι ἡ λαμπρότης τῶν ἐπουρανίων, ἄλλη τῶν γηΐνων. Ἄλλη εἶναι ἡ λαμπρότης τοῦ ἡλίου, ἄλλη τῆς σελήνης, καὶ ἄλλη ἡ λαμπρότης τῶν ἀστέρων, διότι ἀστὴρ ἀπὸ ἀστέρα διαφέρει κατὰ τὴν λάμψιν». Καὶ τί θέλει νὰ εἰπῇ μὲ αὐτοὺς τοὺς λόγους; Διατί ἀπὸ τὴν ἀνάστασιν τῶν σωμάτων ἐξέπεσεν εἰς τὸν λόγον περὶ ἀστέρων καὶ ἡλίου; Δὲν ἐξέπεσεν, οὔτε ἀπεμακρύνθη ἀπὸ τὸ θέμα, μακρυὰ ἀπὸ τέτοιαν σκέψιν!, ἀλλ' εὑρίσκεται ἀκόμη μέσα εἰς τὸ θέμα. Ἀφοῦ δηλαδὴ ἀπέδειξε τὸν λόγον διὰ τὴν ἀνάστασιν, δεικνύει λοιπὸν ὅτι θὰ εἶναι μεγάλη ἡ διαφορὰ εἰς τὴν λαμπρότητα τότε, ἂν καὶ ἡ ἀνάστασις εἶναι μία. Καὶ ἕως ἐδῶ διαιρεῖ τὰ πάντα εἰς δύο, εἰς τὰ ἐπουράνια καὶ εἰς τὰ ἐπίγεια.

Τὸ ὅτι λοιπὸν ἀνίστανται μὲν τὰ σώματα, ἀπέδειξε μὲ τὸ παράδειγμα τοῦ σίτου, τὸ ὅτι δὲ δὲν θὰ εἶναι τῆς ἰδίας λαμπρότητος ὅλα, τὸ ἀποδεικνύει ἐδῶ. Διότι, ὅπως ἡ ἀπιστία εἰς τὴν ἀνάστασιν κάμνει τοὺς ἀνθρώπους ἀμελεῖς, ἔτσι πάλιν τοὺς κάμνει ραθύμους καὶ νωθροὺς τὸ νὰ νομίζουν ὅτι ὅλοι θ' ἀξιωθοῦν τὰ ἴδια. Δι' αὐτὸ διορθώνει καὶ τὰ δύο. Καὶ τὰ μὲν ἐτελείωσε προηγουμένως, ἐνῷ τὸ ἄλλο ἀρχίζει τώρα. Καὶ ἀφοῦ διέκρινε δύο τάξεις, δικαίων καὶ ἁμαρτωλῶν δηλαδή, αὐτὰς τὰς δύο πάλιν διακρίνει εἰς πολλὰ μέρη, διὰ νὰ δείξῃ ὅτι οὔτε δίκαιοι καὶ ἁμαρτωλοὶ

τωλοὶ τῶν αὐτῶν τεύξονται, οὔτε δίκαιοι δικαίοις πάντες ὁμοίως, οὔτε ἁμαρτωλοὶ ἁμαρτωλοῖς. Ποιεῖ τοίνυν πρῶτον μίαν τομὴν δικαίων καὶ ἁμαρτωλῶν λέγων, «Σώματα ἐπουράνια, καὶ σώματα ἐπίγεια»· διὰ μὲν τῶν ἐπιγείων τούτους αἰνιττόμενος, διὰ δὲ τῶν ἐπουρανίων ἐκείνους. Εἶτα λοιπὸν τῶν ἁμαρτωλῶν διαφορὰν πρὸς ἁμαρτωλοὺς εἰσάγει, λέγων· «Οὐ πᾶσα σὰρξ ἡ αὐτὴ σάρξ· ἀλλὰ ἄλλη μὲν ἰχθύων, ἄλλη δὲ πτηνῶν καὶ κτηνῶν». Καίτοι πάντα σώματα, ἀλλὰ τὰ μὲν ἐν πλείονι, τὰ δὲ ἐν ἐλάττονι εὐτελείᾳ· καὶ ἐν ζωῇ δὲ ὁμοίως, καὶ ἐν αὐτῇ τῇ κατασκευῇ. Καὶ εἰπὼν τοῦτο, ἀναβαίνει πάλιν εἰς τὸν οὐρανὸν λέγων· «Ἄλλη δόξα ἡλίου, καὶ ἄλλη δόξα σελήνης». Ὥσπερ γὰρ ἐν τοῖς ἐπιγείοις σώμασι διαφορά, οὕτω καὶ ἐν τοῖς ἐπουρανίοις, καὶ διαφορά, οὐχ ἡ τυχοῦσα, ἀλλὰ καὶ μέχρι τῶν ἐσχάτων. Οὐ γὰρ ἡλίῳ πρὸς σελήνην, οὐδὲ σελήνῃ πρὸς ἀστέρας διαφορὰ μόνον, ἀλλὰ καὶ ἀστράσι πρὸς ἀστέρας. Εἰ γὰρ καὶ πάντα ἐν οὐρανῷ, ἀλλὰ τὰ μὲν πλείονος, τὰ δὲ ἐλάττονος μετέχει δόξης. Τί τοίνυν ἐντεῦθεν καταμανθάνομεν; Ὅτι εἰ καὶ ἐν βασιλείᾳ πάντες, οὐ πάντες τῶν αὐτῶν ἀπολαύσονται· καὶ εἰ πάντες ἐν γεέννῃ οἱ ἁμαρτωλοί, οὐ πάντες τὰ αὐτὰ ὑπομενοῦσι. Διὸ καὶ ἐπήγαγεν· «Οὕτω καὶ ἡ ἀνάστασις τῶν νεκρῶν». Οὕτω, πῶς; «Ἐν διαφορᾷ πολλῇ.

4. Εἶτα ἀφεὶς τοῦτον τὸν λόγον ὡς ἀρκούντως ἀποδειχθέντα, πάλιν ἐπ' αὐτὴν τῆς ἀναστάσεως τὴν ἀπόδειξιν καὶ τὸν τρόπον ἔρχεται, λέγων· «Σπείρεται ἐν φθορᾷ ἐγείρεται ἐν ἀφθαρσίᾳ». Καὶ θέα σύνεσιν. Ἐπὶ μὲν τῶν σπερμάτων τῷ τῶν σωμάτων ἐχρήσατο ὀνόματι λέγων, «Οὐ ζωοποιεῖται, ἐὰν μὴ ἀποθάνῃ»· ἐπὶ δὲ τῶν σωμάτων τῇ τῶν σπερμάτων προσηγορίᾳ, λέγων, «Σπείρεται ἐν φθορᾷ, ἐγείρεται ἐν ἀ-

θὰ ἀξιωθοῦν τὰ ἴδια, ἀλλ' οὔτε οἱ δίκαιοι μὲ δικαίους ὅλοι θὰ δοξασθοῦν τὸ ἴδιον, οὔτε οἱ ἁμαρτωλοὶ μὲ τοὺς ἁμαρτωλοὺς θὰ κολασθοῦν ἐξ ἴσου. Κάμνει λοιπὸν πρῶτον μίαν διάκρισιν μεταξὺ δικαίων καὶ ἁμαρτωλῶν μὲ τοὺς λόγους, «Σώματα ἐπουράνια καὶ σώματα ἐπίγεια»· καὶ ὑπαινίσσεται μὲ τὰ ἐπίγεια μὲν τοὺς ἁμαρτωλούς, μὲ τὰ ἐπουράνια δὲ τοὺς δικαίους. Ὕστερον λοιπὸν κάμνει τὴν διάκρισιν τῶν ἁμαρτωλῶν πρὸς ἁμαρτωλοὺς καὶ λέγει· «Δὲν εἶναι κάθε σὰρξ ἡ ἰδία σάρξ, ἀλλ' ἄλλη εἶναι ἡ σὰρξ τῶν ἰχθύων, ἄλλη ἡ σὰρξ τῶν πτηνῶν, ἄλλη ἡ σὰρξ τῶν κτηνῶν». Ἂν καὶ ὅλα εἶναι σώματα, ἄλλα μὲν εἶναι περισσότερον, ἄλλα δὲ ὀλιγώτερον εὐτελῆ· καὶ εἰς τὴν ζωὴν δὲ ἐξ ἴσου, ὅσον καὶ εἰς τὴν κατασκευήν. Καὶ ἀφοῦ εἶπεν αὐτό, ἀναβαίνει πάλιν εἰς τὸν οὐρανὸν μὲ τοὺς λόγους· «Ἄλλη ἡ λαμπρότης τοῦ ἡλίου καὶ ἄλλη τῆς σελήνης». Ὅπως ἀκριβῶς δηλαδὴ ὑπάρχει διαφορὰ εἰς τὰ ἐπίγεια σώματα, ἔτσι καὶ εἰς τὰ ἐπουράνια, καὶ διαφορὰ ὄχι τυχαία, ἀλλὰ μέχρι καὶ τὰ τελευταῖα. Διότι δὲν ὑπάρχει διαφορὰ μεταξὺ ἡλίου καὶ σελήνης μόνον, οὔτε σελήνης καὶ ἀστέρων, ἀλλὰ καὶ ἀστέρων πρὸς ἀστέρας. Διότι ἂν καὶ ὅλα εἶναι εἰς τὸν οὐρανόν, ἄλλα μὲν ἔχουν περισσοτέραν, ἄλλα δὲ ὀλιγωτέραν λαμπρότητα. Τί διδασκόμεθα λοιπὸν ἀπὸ ἐδῶ; Ὅτι, ἂν καὶ ὅλοι οἱ δίκαιοι εἰσέρχονται εἰς τὴν βασιλείαν τοῦ Θεοῦ, δὲν θ' ἀπολαύσουν ὅλοι τὰ ἴδια· καὶ ἂν καὶ ὅλοι οἱ ἁμαρτωλοὶ εἰσέρχωνται εἰς τὴν γέενναν, δὲν θὰ ὑποστοῦν ὅλοι τὰ ἴδια. Δι' αὐτὸ καὶ προσέθεσεν· «Ἔτσι θὰ γίνῃ καὶ ἡ ἀνάστασις τῶν νεκρῶν». Ἔτσι, πῶς; Μὲ μεγάλην διαφορὰν μεταξύ των.

4. Ἀκολούθως, ἀφοῦ ἄφησεν αὐτὸ τὸ θέμα, διότι ἀπεδείχθη ἀρκετά, ἔρχεται πάλιν εἰς αὐτὴν τὴν ἀπόδειξιν καὶ τὸν τρόπον τῆς ἀναστάσεως μὲ τοὺς λόγους· «Σπείρεται εἰς κατάστασιν φθορᾶς, ἀνίσταται εἰς κατάστασιν ἀφθαρσίας». Καὶ πρόσεχε σύνεσιν. Εἰς μὲν τὰ σπέρματα ἐχρησιμοποίησε τὸ ὄνομα τῶν σωμάτων ὅταν εἶπε, «Δὲν ζωοποιεῖται, ἐὰν δὲν ἀποθάνῃ», εἰς δὲ τὰ σώματα χρησιμοποιεῖ τὴν ὀνομασίαν τῶν σπερμάτων μὲ τοὺς λόγους, «Σπείρε-

φθαρσίᾳ». Οὐκ εἶπε, φύεται, ἵνα μὴ τῆς γῆς ἔργον νομίσῃς, ἀλλ', «ἐγείρεται». Σπορὰν δὲ ἐνταῦθα, οὐ τὴν γένεσιν ἡμῶν λέγει τὴν ἐν μήτρᾳ, ἀλλὰ τὴν ταφὴν τὴν ἐν τῇ γῇ, τῶν τετελευτηκότων σωμάτων τὴν διάλυσιν, τὴν τέφραν. Διὸ εἰπών, «Σπείρεται ἐν φθορᾷ, ἐγείρεται ἐν ἀφθαρσίᾳ», ἐπήγαγε· «Σπείρεται ἐν ἀτιμίᾳ». Τί γὰρ εἰδεχθέστερον νεκροῦ διαρρυέντος; «Ἐγείρεται ἐν δόξῃ· σπείρεται ἐν ἀσθενείᾳ». Οὔπω γὰρ ἡμέραι τριάκοντα, καὶ τὸ πᾶν ἀπώλετο· καὶ κατασχεῖν ἑαυτὴν ἡ σὰρξ οὐ δύναται, οὐδὲ πρὸς μίαν ἀρκέσαι ἡμέραν.

«Ἐγείρεται ἐν δυνάμει». Τότε γὰρ οὐδὲν αὐτοῦ περιέσται λοιπόν. Διὰ δὴ τοῦτο καὶ ἐκείνων ἐδεήθη τῶν ὑποδειγμάτων, ἵνα μὴ ταῦτα ἀκούοντες πολλοί, ὅτι ἐν ἀφθαρσίᾳ καὶ δόξῃ καὶ δυνάμει ἐγείρονται, νομίσωσι μηδεμίαν εἶναι διαφορὰν τῶν ἀνισταμένων. Πάντες μὲν γὰρ ἀνίστανται, καὶ ἐν δυνάμει καὶ ἐν ἀφθαρσίᾳ καὶ ἐν δόξῃ ταύτῃ τῇ τῆς ἀφθαρσίας· οὐ μέντοι τῆς τιμῆς τῆς αὐτῆς οὐδὲ τῆς ἀσφαλείας πάντες.

«Σπείρεται σῶμα ψυχικόν, ἐγείρεται σῶμα πνευματικόν». Τί λέγεις; τοῦτο δὲ οὐ πνευματικόν; Πνευματικὸν μέν, ἀλλ' ἐκεῖνο πολλῷ πλέον. Νῦν μὲν γὰρ καὶ ἀφίπταται τοῦ Πνεύματος τοῦ ἁγίου πολλάκις ἡ πολλὴ χάρις, ἁμαρτανόντων μεγάλα τινῶν, καὶ τοῦ Πνεύματος δὲ παρόντος τῆς ψυχῆς, ἡ ζωὴ τῆς σαρκός, καὶ τὸ τοιοῦτο κενόν ἐστι τούτου χωρίς· τότε δὲ οὐχ οὕτως, ἀλλὰ διηνεκῶς παραμένει τῇ σαρκὶ τῶν δικαίων, καὶ αὐτοῦ ἔσται τὸ κράτος παρούσης καὶ τῆς ψυχῆς. Ἢ γάρ τι τοιοῦτον ᾐνίξατο, εἰπών, «πνευματικόν», ἢ ὅτι κουφότερον ἔσται καὶ λεπτότερον, καὶ οἷον καὶ ἐπ' ἀέρος ὀχεῖσθαι, μᾶλλον δὲ ἀμφότερα. Εἰ δὲ ἀπιστεῖς τῷ λόγῳ, ὅρα τὰ ἐπουράνια σώματα τὰ οὕτω λαμπρὰ καὶ διαρκῆ τέως

ται εἰς κατάστασιν φθορᾶς, ἀνίσταται εἰς κατάστασιν ἀφθαρσίας». Δὲν εἶπε, φυτρώνει, διὰ νὰ μὴ νομίσῃς ὅτι εἶναι ἔργον τῆς γῆς, ἀλλά, ἀνίσταται. Σπορὰν δὲ ἐδῶ δὲν ἐννοεῖ τὴν σύλληψίν μας εἰς τὴν μήτραν, ἀλλὰ τὴν ταφὴν εἰς τὴν γῆν, τὴν ἀποσύνθεσιν τῶν σωμάτων ποὺ ἀπέθανον, τὴν στάκτην. Δι' αὐτὸ ὅταν εἶπε, «Σπείρεται εἰς κατάστασιν φθορᾶς, ἀνίσταται ἄφθαρτον», προσέθεσε˙ «Σπείρεται εἰς κατάστασιν ἀτιμίας καὶ δυσωδίας». Διότι τί εἶναι περισσότερον βδελυρὸν καὶ ἄσχημον ἀπὸ νεκρὸν ποὺ σαπίζει; «Ἀνίσταται ἔνδοξον˙ σπείρεται εἰς κατάστασιν ἀδυναμίας». Διότι δὲν περνοῦν τριάκοντα ἡμέραι καὶ ἔχει χαθῆ τελείως˙ καὶ δὲν ἠμπορεῖ νὰ συγκρατήσῃ τὸν ἑαυτόν της ἡ σὰρξ διὰ νὰ μὴ λειώσῃ, οὔτε διὰ μίαν ἡμέραν.

«Ἀνίσταται εἰς κατάστασιν δυνάμεως». Διότι τότε τίποτε πλέον δὲν θὰ τὸ νικήσῃ. Δι' αὐτὸ λοιπὸν καὶ ἐχρειάσθησαν αὐτὰ τὰ παραδείγματα, ὥστε νὰ μὴ νομίσουν μερικοί, καθὼς ἀκούουν αὐτά, ὅτι ὅταν ἀνίστανται εἰς ἀφθαρσίαν καὶ δόξαν καὶ δύναμιν, δὲν ὑπάρχει καμμία διαφορὰ εἰς αὐτοὺς ποὺ ἀνίστανται. Διότι ὅλοι μὲν ἀνίστανται εἰς κατάστασιν καὶ δυνάμεως καὶ ἀφθαρσίας καὶ δόξης, αὐτῆς τῆς δόξης τῆς ἀφθαρσίας δηλαδή˙ ἀλλὰ δὲν ἀπολαμβάνουν ὅλοι τὴν ἰδίαν τιμήν, οὔτε ὅλοι τὴν ἰδίαν ἀσφάλειαν.

«Σπείρεται σῶμα φυσικόν, ἀνίσταται σῶμα πνευματικόν». Τί λέγεις; αὐτὸ δὲν εἶναι πνευματικόν; Εἶναι μὲν πνευματικόν, ἀλλ' ἐκεῖνο πολὺ περισσότερον. Διότι τώρα μὲν πολλὰς φορὰς ἡ μεγάλη χάρις τοῦ ἁγίου Πνεύματος ἀναχωρεῖ ὅταν μερικοὶ πράττουν μεγάλας ἁμαρτίας, καὶ ἐνῷ εἶναι παρὸν τὸ πνεῦμα τῆς ψυχῆς, ποὺ δίδει ζωὴν εἰς τὴν σάρκα, ὅμως καὶ αὐτὸ εἶναι κενὸν χωρὶς τὸ ἅγιον Πνεῦμα˙ τότε ὅμως δὲν θὰ εἶναι ἔτσι, ἀλλὰ θὰ παραμένῃ αἰωνίως εἰς τὸ σῶμα τῶν δικαίων καὶ θὰ εἶναι ἰδική του ἡ δύναμις, ἐνῷ θὰ εἶναι παροῦσα καὶ ἡ ψυχή. Ἢ λοιπὸν κάτι τέτοιο ὑπῃνίχθη ὅταν εἶπε, «πνευματικόν», ἢ ὅτι θὰ εἶναι ἐλαφρότερον καὶ λεπτότερον καὶ τέτοιο ποὺ νὰ ἀναβαίνῃ καὶ νὰ φέρεται εἰς τὸν ἀέρα, μᾶλλον δὲ καὶ τὰ δύο. Ἐὰν δὲ δὲν πιστεύῃς εἰς τὸν λόγον, κοίταξε τὰ ἐπουράνια σώ-

καὶ ἐν ἀγηράτῳ λήξει μένοντα, καὶ πίστευσον ἐντεῦθεν, ὅτι δύναται ὁ Θεὸς ποιῆσαι καὶ ταῦτα τὰ φθαρτὰ ἄφθαρτα καὶ πολλῷ βελτίω τῶν ὁρωμένων.

5. «Οὕτω καὶ γέγραπται· ἐγένετο ὁ πρῶτος ἄνθρωπος Ἀδὰμ εἰς ψυχὴν ζῶσαν· ὁ ἔσχατος Ἀδὰμ εἰς πνεῦμα ζωοποιοῦν». Καίτοι τὸ μὲν γέγραπται, τὸ δὲ οὐ γέγραπται· πῶς οὖν εἶπεν, ὅτι γέγραπται; Ἀπὸ τῆς τῶν πραγμάτων ἐκβάσεως αὐτὸ μετέφρασεν· ὅπερ ἔθος αὐτῷ συνεχῶς ποιεῖν. Καὶ γὰρ ἔθος τοῦτο προφητικόν. Καὶ γὰρ τὴν Ἱερουσαλὴμ πόλιν δικαιοσύνης ἔφησεν ὁ προφήτης κληθήσεσθαι, καὶ οὐκ ἐκλήθη. Τί οὖν; ἐψεύσατο ὁ προφήτης; Οὐδαμῶς· τὴν γὰρ διὰ τῶν πραγμάτων ἔκβασιν λέγει. Καὶ τὸν Χριστὸν δὲ Ἐμμανουήλ· καὶ οὐδὲ αὐτὸς οὕτω κέκληται, ἀλλὰ τὰ πράγματα ταύτην ἀφίησι τὴν φωνήν. Οὕτω καὶ ἐνταῦθα, «Ὁ ἔσχατος Ἀδὰμ εἰς πνεῦμα ζωοποιοῦν». Ταῦτα δὲ εἶπεν, ἵνα μάθῃς ὅτι καὶ τῆς παρούσης ζωῆς καὶ τῆς μελλούσης τὰ σύμβολα ἤδη καὶ τὰ ἐνέχυρα ἔφθασε, τῆς μὲν παρούσης ὁ Ἀδάμ, τῆς δὲ μελλούσης ὁ Χριστός. Ἐπειδὴ γὰρ τὰ χρηστότερα ἐν ἐλπίσι τίθησι, δείκνυσι τὴν ἀρχὴν ἤδη ἐκβεβηκυῖαν, καὶ τὴν ῥίζαν καὶ τὴν πηγὴν φανεῖσαν. Εἰ δὲ ἡ ῥίζα καὶ ἡ πηγὴ πᾶσι κατάδηλος, οὐδὲν δεῖ περὶ τῶν καρπῶν ἀμφιβάλλειν. Διὸ λέγει, «Ὁ ἔσχατος Ἀδὰμ εἰς πνεῦμα ζωοποιοῦν». Καὶ ἀλλαχοῦ δέ, «Ζωοποιήσει τὰ θνητὰ σώματα ὑμῶν διὰ τοῦ ἐνοικοῦντος αὐτοῦ πνεύματος ἐν ὑμῖν». Ἄρα τοῦ πνεύματος τὸ ζωοποιεῖν.

Εἶτα ἵνα μή τις εἴπῃ, διὰ τί πρεσβύτερα τὰ χείρονα, καὶ τὰ μὲν ὅλα ἐξέβη τὰ ψυχικά, οὐ μέχρι τῆς ἀπαρχῆς, τὰ δὲ ἕως τῆς ἀπαρχῆς μόνον; δείκνυσιν ὅτι καὶ αἱ ἀρχαὶ ἑκατέρων οὕτω διετάγησαν. «Οὐ» γὰρ «πρῶτον», φησί, «τὸ πνευ-

---

5. Ρωμ. 8, 11.

ματα ποὺ εἶναι τόσον λαμπρὰ καὶ διαρκοῦν μέχρι τώρα καὶ μένουν ἀγήραστα, καὶ πίστεψε ἀπὸ αὐτό, ὅτι ἠμπορεῖ ὁ Θεὸς καὶ αὐτὰ τὰ φθαρτὰ νὰ κάνῃ ἄφθαρτα καὶ πολὺ καλύτερα ἀπὸ αὐτὰ ποὺ εἶναι ὁρατά.

5. «Ἔτσι εἶναι καὶ γραμμένον· ἔγινεν ὁ πρῶτος ἄνθρωπος, ὁ Ἀδάμ, μὲ ψυχὴν ζωντανὴν ποὺ ζωοποιεῖ καὶ τὸ σῶμα· ὁ τελευταῖος Ἀδάμ, ὁ Κύριος, πνεῦμα ποὺ δίδει ζωὴν πνευματικήν». Καὶ ὅμως, τὸ μὲν ἔχει γραφῇ, τὸ δὲ ὄχι· πῶς λοιπὸν εἶπεν ὅτι ἔχει γραφῇ; Ἑρμήνευσεν αὐτὸ ἀπὸ τὴν ἔκβασιν τῶν πραγμάτων· πρᾶγμα ποὺ ἐσυνήθιζε πάντοτε νὰ τὸ κάμνῃ. Καὶ μάλιστα αὐτὸ ἦτο προφητικὴ συνήθεια. Διότι καὶ ὁ Ἡσαΐας εἶπεν ὅτι ἡ Ἰερουσαλὴμ θὰ ὀνομασθῇ πόλις δικαιοσύνης καὶ δὲν ὠνομάσθη. Τί λοιπόν; Ἐψεύσθη ὁ προφήτης; Καθόλου· διότι λέγει τὴν ἔκβασιν τῶν πραγμάτων. Καὶ διὰ τὸν Χριστὸν εἶπεν ὅτι θὰ ὀνομασθῇ Ἐμμανουήλ· καὶ οὔτε ὁ Χριστὸς ὠνομάσθη ἔτσι, ἀλλὰ τὰ πράγματα φωνάζουν αὐτὸ τὸ γεγονός. Ἔτσι καὶ ἐδῶ, «Ὁ τελευταῖος Ἀδάμ, πνεῦμα ποὺ δίδει ζωὴν πνευματικήν. Αὐτὰ δὲ τὰ εἶπε διὰ νὰ μάθῃς ὅτι τὰ σύμβολα καὶ ὁ ἀρραβὼν καὶ τῆς παρούσης καὶ τῆς μελλούσης ζωῆς ἤδη ἔχουν φθάσει, τῆς μὲν παρούσης ζωῆς ὁ Ἀδάμ, τῆς δὲ μελλούσης ὁ Χριστός. Διότι, ἐπειδὴ τοποθετεῖ τὰ πολυτιμότερα ἀγαθὰ εἰς τὴν ἐλπιζομένην ζωήν, δεικνύει ὅτι ἡ ἀρχὴ ἤδη ἔχει γίνει καὶ ὅτι ἡ ρίζα καὶ ἡ πηγὴ ἔχουν φανῇ. Ἀφοῦ δὲ ἡ ρίζα καὶ ἡ πηγὴ εἶναι καταφανὴς εἰς ὅλους, δὲν πρέπει ν' ἀμφιβάλλωμεν καθόλου διὰ τοὺς καρπούς. Δι' αὐτὸ λέγει, «Ὁ τελευταῖος Ἀδάμ, πνεῦμα ποὺ ζωοποιεῖ»· καὶ ἀλλοῦ ὅμως λέγει, «Θὰ ζωοποιήσῃ τὰ θνητὰ σώματά σας διὰ τοῦ Πνεύματός του ποὺ κατοικεῖ μέσα σας»[5]. Ἄρα τὸ ἅγιον Πνεῦμα ζωοποιεῖ.

Ἔπειτα διὰ νὰ μὴ εἰπῇ κάποιος, διατί ἐκτιμῶνται ὡσὰν ἀνώτερα τὰ κατώτερα καὶ τὰ μὲν φυσικὰ ἔχουν συντελεσθῇ ὅλα καὶ δὲν ἐσταμάτησαν εἰς τὴν ἀρχήν, ἐνῷ τὰ πνευματικὰ ἐσταμάτησαν μόνον εἰς τὴν ἀρχήν; δεικνύει ὅτι καὶ αἱ ἀρχαὶ καὶ τῶν δύο ἔτσι κατετάγησαν. Δηλαδή, «δὲν ἔγινε πρῶτον τὸ πνευματικὸν σῶμα, ἀλλὰ τὸ φυσι-

ματικόν, ἀλλὰ τὸ ψυχικόν, ἔπειτα τὸ πνευματικόν». Καὶ οὐ λέγει, διὰ τί, ἀλλ' ἀρκεῖται τῇ τοῦ Θεοῦ διατάξει, τὴν ἀπὸ τῶν πραγμάτων ψῆφον ἔχων μαρτυροῦσαν τῇ ἀρίστῃ τοῦ Θεοῦ οἰκονομίᾳ, καὶ δεικνὺς ὅτι ἐπὶ τὸ βέλτιον ἀεὶ τὰ ἡμέτερα πρόεισιν, ἅμα κἀντεῦθεν πιστούμενος τὸν λόγον. Εἰ γὰρ τὰ ἐλάττονα ἐξέβη, πολλῷ μᾶλλον τὰ βελτίω προσδοκᾶν χρή.

Ἐπεὶ οὖν τοιούτων μέλλομεν ἀπολαύειν ἀγαθῶν, εἰς ταύτην ἑαυτοὺς κατατάξωμεν τὴν τάξιν, τὴν κατὰ τὸν ἥλιον λάμπουσαν· καὶ μὴ κλαίωμεν τοὺς ἀπιόντας, ἀλλὰ τοὺς κακῶς τὸν βίον καταλύοντας. Ἐπεὶ καὶ γεωργός, ὅταν ἴδῃ τὸν σῖτον διαλυόμενον, οὐ θρηνεῖ· ἀλλ' ἕως μὲν ἂν βλέπῃ στερεὸν ἐν τῇ γῇ μένοντα, δέδοικε καὶ τρέμει· ἐπειδὰν δὲ ἴδῃ διαλυθέντα, χαίρει. Ἀρχὴ γὰρ τῆς μελλούσης σπορᾶς ἡ διάλυσις. Οὕτω καὶ ἡμεῖς τότε χαίρωμεν, ὅταν πέσῃ ἡ οἰκία ἡ φθαρτή, ὅταν σπαρῇ ὁ ἄνθρωπος. Καὶ μὴ θαυμάσῃς, εἰ σπορὰν τὴν ταφὴν ἐκάλεσε· καὶ γὰρ αὕτη βελτίων ἡ σπορά. Ἐκείνην μὲν γὰρ διαδέχονται θάνατοι καὶ πόνοι καὶ κίνδυνοι καὶ φροντίδες, ταύτην δέ, ἂν ὀρθῶς βιῶμεν, στέφανοι καὶ βραβεῖα· καὶ τὴν μὲν φθορὰ καὶ θάνατος, τὴν δὲ ἀφθαρσία καὶ ἀθανασία καὶ τὰ μυρία ἀγαθά. Ἐπ' ἐκείνης τῆς σπορᾶς συμπλοκαὶ καὶ ἡδοναὶ καὶ ὕπνος, ἐπὶ ταύτης δὲ φωνὴ μόνον ἐκ τῶν οὐρανῶν καταβαίνουσα, καὶ πάντα ἀθρόως τελεσφορεῖται. Καὶ ὁ ἀνιστάμενος οὐκέτι λοιπὸν ἐπὶ βίον ἄγεται πολύμοχθον, ἀλλ' ἔνθα ἀπέδρα ὀδύνη καὶ λύπη καὶ στεναγμός.

Εἰ δὲ καὶ προστασίαν ἐπιζητεῖς, καὶ διὰ τοῦτο θρηνεῖς τὸν ἄνδρα, ἐπὶ τὸν κοινὸν πάντων προστάτην καὶ σωτῆρα καὶ εὐεργέτην κατάφυγε τὸν Θεόν, ἐπὶ τὴν ἄμαχον συμμαχίαν, ἐπὶ τὴν εὔκολον βοήθειαν, ἐπὶ τὴν διαρκῆ σκέπην τὴν

κόν, ἔπειτα τὸ πνευματικόν». Καὶ δὲν λέγει, διατί, ἀλλ' ἀρκεῖται εἰς τὴν τάξιν ποὺ ἔθεσεν ὁ Θεός, διότι ἔχει ἀπὸ τὰ ἴδια τὰ πράγματα τὴν ἐμπειρίαν ποὺ μαρτυρεῖ διὰ τὴν ἀρίστην πρόνοιαν τοῦ Θεοῦ, καὶ διὰ νὰ δείξῃ ὅτι τὰ ἰδικά μας πράγματα προοδεύουν συνεχῶς πρὸς τὸ καλύτερον, καὶ συγχρόνως πιστοποιεῖ ἔτσι καὶ ἀπὸ αὐτὸ τὸν λόγον του. Διότι, ἐὰν τὰ κατώτερα ἔχουν συντελεσθῇ, πολὺ περισσότερον πρέπει νὰ ἀναμένωμεν ὅτι θὰ γίνουν τὰ πολὺ ἀνώτερα ἀπὸ αὐτά.

Ἐπειδὴ λοιπὸν τέτοια ἀγαθὰ πρόκειται ν' ἀπολαύσωμεν, ἄς κατατάξωμεν τὸν ἑαυτόν μας εἰς αὐτὴν τὴν τάξιν ποὺ λάμπει ὅπως ὁ ἥλιος· καὶ ἄς μὴ κλαίωμεν αὐτοὺς ποὺ ἀπέθανον, ἀλλ' αὐτοὺς ποὺ μέχρι τὸ τέλος τοῦ βίου των ἔζησαν κακῶς. Διότι καὶ ὁ γεωργός, ὅταν ἰδῇ τὸν σπόρον τοῦ σίτου νὰ σαπίζῃ μέσα εἰς τὴν γῆν, δὲν θρηνεῖ· ἀλλ' ἕως ὅτου μὲν τὸν βλέπει νὰ μένῃ εἰς τὴν γῆν χωρὶς νὰ σαπίζῃ, φοβᾶται καὶ τρέμει· ὅταν ὅμως τὸν ἰδῇ νὰ ἔχῃ σαπίσει, χαίρεται. Διότι ἡ ἀρχὴ τῆς μελλούσης σπορᾶς εἶναι ἡ ἀποσύνθεσις τοῦ σπόρου μέσα εἰς τὸ χῶμα. Ἔτσι καὶ ἐμεῖς ἄς χαιρώμεθα τότε, ὅταν πέσῃ ἡ φθαρτὴ οἰκία, ὅταν σπαρῇ ὁ ἄνθρωπος μέσα εἰς τὴν γῆν. Καὶ μὴ ἀπορήσῃς διὰ τὸ ὅτι ὠνόμασε τὴν ταφὴν σποράν· καὶ μάλιστα αὐτὴ ἡ σπορὰ εἶναι καλυτέρα. Διότι ἐκείνην μὲν διαδέχονται θάνατοι καὶ κόποι καὶ κίνδυνοι καὶ φροντίδες, ἐνῷ αὐτήν, ἐὰν ζῶμεν ὅπως πρέπει, στέφανοι καὶ βραβεῖα· καὶ τὴν μὲν διαδέχεται φθορὰ καὶ θάνατος, τὴν δὲ ἀφθαρσία καὶ ἀθανασία καὶ ἄπειρα ἀγαθά. Εἰς ἐκείνην τὴν σπορὰν συγκρούσεις καὶ ἡδοναὶ καὶ ὕπνος, εἰς αὐτὴν δὲ μόνον φωνὴ ποὺ καταβαίνει ἀπὸ τοὺς οὐρανοὺς καὶ τὰ πάντα ἀμέσως καρπίζουν. Καὶ αὐτὸς ποὺ ἀνίσταται δὲν ὁδηγεῖται ποτὲ πλέον εἰς ζωὴν γεμάτην μόχθους, ἀλλ' ἐκεῖ ὅπου δὲν ὑπάρχει ποτὲ ὀδύνη καὶ λύπη καὶ στεναγμός.

Ἐὰν δὲ ἐπιζητῇς προστασίαν καὶ δι' αὐτὸ θρηνῇς τὸν ἄνδρα, κατάφυγε εἰς τὸν κοινὸν προστάτην καὶ σωτῆρα καὶ εὐεργέτην, τὸν Θεόν, εἰς τὴν ἀκαταμάχητον συμμαχίαν, εἰς τὴν ἄμεσον βοήθειαν, εἰς τὴν διαρκῆ σκέπην ποὺ εἶναι

πανταχοῦ παροῦσαν καὶ πανταχόθεν ἡμᾶς τειχίζουσαν. Ἀλλ' ἡ συνήθεια ποθεινὸν καὶ ἐπέραστον. Οἶδα κἀγώ· ἀλλ' ἂν ἐπιτρέψῃς τῷ λογισμῷ τὸ πάθος, καὶ λογίσῃ πρὸς ἑαυτὴν τίς ὁ λαβών, καὶ ὅτι γενναίως ἐνεγκὼν θυσίαν τὴν γνώμην ἀναφέρεις τῷ Θεῷ, καὶ τοῦτο τὸ κῦμα δυνήσῃ διαδραμεῖν, καὶ ὅπερ ὁ χρόνος ἐργάζεται, τοῦτο ἡ φιλοσοφία ποιήσει· ἂν δὲ καταμαλακισθῇς, λήξει μὲν τῷ χρόνῳ τὸ πάθος, σοὶ δὲ οὐδένα τὸν μισθὸν οἴσει. Μετὰ δὲ τῶν λογισμῶν τούτων καὶ παραδείγματα σύλλεγε, τὰ ἐν τῷ παρόντι βίῳ, τὰ ἐν ταῖς θείαις γραφαῖς. Ἐννόησον ὅτι ὁ Ἀβραὰμ κατέσφαξε τὸν υἱὸν τὸν ἑαυτοῦ καὶ οὔτε ἐδάκρυσεν, οὔτε πικρὸν ῥῆμα ἐξέβαλεν. Ἀλλ' ἐκεῖνος Ἀβραάμ, φησίν, ἦν. Καὶ μὴν σὺ ἐπὶ μείζονα ἐκλήθης σκάμματα. Ὁ δὲ Ἰὼβ ἤλγησε μέν, τοσοῦτον δέ, ὅσον εἰκὸς πατέρα φιλόπαιδα καὶ σφόδρα κηδόμενον τῶν ἀπελθόντων· ὡς ἅ γε νῦν ποιοῦμεν ἡμεῖς, ἐχθρῶν καὶ πολεμίων ἐστίν. Οὐδὲ γάρ, εἴ τινος εἰς βασίλεια ἀπενεχθέντος καὶ στεφανωθέντος, ἔκοπτες σαυτὸν καὶ ἐθρήνεις, φίλον ἄν σε τοῦ στεφανωθέντος ἔφην εἶναι, ἀλλ' ἐχθρὸν σφόδρα καὶ πολέμιον. Ἀλλ' οὐδὲ νῦν ἐκεῖνον θρηνῶ, φησίν, ἀλλ' ἐμαυτόν. Ἀλλ' οὐδὲ τοῦτο φιλοῦντος, τὸ θέλειν ἔτι ἐναγώνιον εἶναι ἐκεῖνον διὰ σαυτόν, καὶ ὑποκεῖσθαι τῇ ἀδηλίᾳ τοῦ μέλλοντος, παρὸν στεφανοῦσθαι καὶ προσορμεῖν, ἢ πελάγιον σαλεύειν, ἐξὸν ἐν λιμένι εἶναι.

Ἀλλ' οὐκ οἶδα ποῦ κεχώρηκε, φησί. Διὰ τί οὐκ οἶδας, εἰπέ μοι; Εἴτε γὰρ ὀρθῶς ἐβίου εἴτε ἑτέρως, δῆλον ποῦ χωρήσει. Δι' αὐτὸ γὰρ τοῦτο κόπτομαι, φησίν, ὅτι ἁμαρτωλὸς ἀπῆλθε. Σκῆψις ταῦτα καὶ πρόφασις. Εἰ γὰρ διὰ τοῦτο ἀπελθόντα ἐθρήνεις, ζῶντα πλάσαι ἐχρῆν καὶ ῥυθμίσαι· ἀλλὰ τὰ σαυτοῦ σὺ πανταχοῦ σκοπεῖς, οὐ τὰ ἐκείνου.

παροῦσα παντοῦ καὶ μᾶς ὀχυρώνει ἀπὸ παντοῦ. Ἀλλ' ἡ συνήθεια τὸν ἔκαμε ποθητὸν καὶ ἀγαπητόν. Τὸ γνωρίζω καὶ ἐγώ· ἀλλ' ἐὰν βάλῃς τὸ πάθος κάτω ἀπὸ τὴν σκέψιν καὶ συλλογισθῇς ποῖος εἶναι ἐκεῖνος ποὺ τὸν ἐπῆρε καὶ ὅτι, ἐὰν ὑπομείνῃς μὲ γενναιότητα, προσφέρεις τὴν διάθεσίν σου αὐτὴν θυσίαν εἰς τὸν Θεόν, θὰ ἠμπορέσῃς νὰ περάσῃς αὐτὴν τὴν δοκιμασίαν καὶ αὐτὸ ποὺ κάμνει ὁ χρόνος, αὐτὸ θὰ κάνῃ ἡ σύνεσις καὶ ἡ ὀρθὴ στάσις· ἐὰν ὅμως παραδοθῇς χωρὶς ἀντίστασιν εἰς τὸ πάθος, τὸ μὲν πάθος μὲ τὸν χρόνον θὰ παρέλθῃ, εἰς ἐσένα ὅμως δὲν θὰ φέρῃ κανένα μισθόν. Μαζὶ δὲ μὲ τὰς σκέψεις αὐτὰς λάμβανε καὶ παραδείγματα, καὶ αὐτὰ ποὺ ὑπάρχουν εἰς τὴν παροῦσαν ζωὴν καὶ ἀπὸ αὐτὰ ποὺ περιέχονται εἰς τὰς ἁγίας Γραφάς. Σκέψου ὅτι ὁ Ἀβραὰμ ἔσφαξε τὸν υἱόν του καὶ οὔτε ἐδάκρυσεν, οὔτε πικρὸν λόγον εἶπεν. Ἀλλά, θὰ εἰπῇ, ἐκεῖνος ἦτο Ἀβραάμ. Καὶ ὅμως σὺ ἔχεις κληθῆ εἰς μεγαλυτέρους ἀγῶνας. Ὁ δὲ Ἰὼβ ἐπόνεσε μέν, ἀλλὰ τόσον, ὅσον εἶναι φυσικὸν εἰς πατέρα ποὺ ἀγαπᾷ τὰ παιδιά του καὶ φροντίζει αὐτὰ ποὺ ἀπέθανον· διότι αὐτὰ ποὺ κάμνομεν ἐμεῖς εἶναι ἔργα ἐχθρῶν καὶ ἀντιπάλων. Διότι, ἐὰν κάποιος εἶχεν ἀμειφθῆ καὶ στεφανωθῆ, καὶ ἐπένθεις καὶ ἐθρήνεις, δὲν θὰ ἔλεγον ὅτι εἶσαι φίλος ἐκείνου ποὺ ἐστεφανώθη, ἀλλὰ πάρα πολὺ ἐχθρὸς καὶ ἀντίπαλος. Δὲν θρηνῶ ὅμως ἐκεῖνον, θὰ εἰπῇ, ἀλλὰ τὸν ἑαυτόν μου. Ἀλλ' οὔτε αὐτὸ εἶναι ἔργον ἀνθρώπου ποὺ ἀγαπᾷ, τὸ νὰ θέλῃ δηλαδὴ ἐκεῖνος νὰ εὑρίσκεται ἀκόμη εἰς ἀγῶνα δι' ἐσὲ καὶ νὰ ὑπόκειται εἰς τὴν ἀβεβαιότητα τοῦ μέλλοντος, ἐνῷ πηγαίνει διὰ νὰ στεφανωθῇ καὶ νὰ ἀράξῃ, ἢ νὰ κλυδωνίζεται εἰς τὸ πέλαγος, ἐνῷ εἶναι δυνατὸν νὰ εὑρίσκεται εἰς λιμένα.

Ἀλλὰ δὲν γνωρίζω ποῦ ἐπῆγε, θὰ εἰπῇ. Διατί δὲν γνωρίζεις; εἰπέ μου. Διότι εἴτε ἔζη ὀρθῶς, εἴτε ὄχι, εἶναι φανερὸν ποῦ θὰ ὑπάγῃ. Ἀλλὰ δι' αὐτὸ ἀκριβῶς πενθῶ, θὰ εἰπῇ, διότι ἀπέθανεν ἁμαρτωλός. Αὐτὰ εἶναι δικαιολογία καὶ πρόφασις. Διότι ἐὰν ἐθρήνεις διὰ τὸ ὅτι ἀπέθανεν ἔτσι, ἔπρεπεν, ὅσον ἔζη, νὰ τὸν διαπλάσῃς καὶ νὰ τὸν συμμορφώσῃς πρὸς τὰς ἐντολάς· ἀλλ' ἐσὺ παντοῦ τὰ ἰδικά σου

Εἰ δὲ καὶ ἁμαρτωλὸς ἀπῆλθε, καὶ διὰ τοῦτο δεῖ χαίρειν, ὅτι ἐνεκόπη τὰ ἁμαρτήματα, καὶ οὐ προσέθηκε τῇ κακίᾳ, καὶ βοηθεῖν, ὡς ἂν οἷόν τε ᾖ, οὐ δάκρυσιν, ἀλλ' εὐχαῖς καὶ ἱκετηρίαις καὶ ἐλεημοσύναις καὶ προσφοραῖς. Οὐ γὰρ ἁπλῶς ταῦτα ἐπινενόηται, οὐδὲ εἰκῇ μνήμην ποιούμεθα τῶν ἀπελθόντων ἐπὶ τῶν θείων μυστηρίων, καὶ ὑπὲρ αὐτῶν πρόσιμεν, δεόμενοι τοῦ ἀμνοῦ τοῦ κειμένου τοῦ λαβόντος τὴν ἁμαρτίαν τοῦ κόσμου, ἀλλ' ἵνα τις αὐτοῖς ἐντεῦθεν γένηται παραμυθία. Οὐδὲ μάτην ὁ παρεστὼς τῷ θυσιαστηρίῳ τῶν φρικτῶν μυστηρίων τελουμένων βοᾷ· ὑπὲρ πάντων τῶν ἐν Χριστῷ κεκοιμημένων, καὶ τῶν τὰς μνείας ὑπὲρ αὐτῶν ἐπιτελούντων. Εἰ γὰρ μὴ ὑπὲρ αὐτῶν αἱ μνεῖαι ἐγίνοντο, οὐδ' ἂν ταῦτα ἐλέχθη. Οὐ γάρ ἐστι σκηνὴ τὰ ἡμέτερα, μὴ γένοιτο· πνεύματος γὰρ διατάξει ταῦτα γίνεται.

6. Βοηθῶμεν τοίνυν αὐτοῖς, καὶ μνείαν ὑπὲρ αὐτῶν ἐπιτελῶμεν. Εἰ γὰρ τοὺς παῖδας τοῦ Ἰὼβ ἐκάθαιρεν ἡ τοῦ πατρὸς θυσία, τί ἀμφιβάλλεις, εἰ καὶ ἡμῶν ὑπὲρ τῶν ἀπελθόντων προσφερόντων γίνεταί τις αὐτοῖς παραμυθία; Εἴωθε γὰρ ὁ Θεὸς καὶ ἑτέροις ὑπὲρ ἑτέρων χαρίζεσθαι. Καὶ τοῦτο ἐδείκνυ ὁ Παῦλος λέγων, «Ἵνα ἐν πολλῷ προσώπῳ τὸ εἰς ἡμᾶς χάρισμα διὰ πολλῶν εὐχαριστηθῇ ὑπὲρ ἡμῶν». Μὴ δὴ ἀποκάμωμεν τοῖς ἀπελθοῦσι βοηθοῦντες, καὶ προσφέροντες ὑπὲρ αὐτῶν, καὶ ἀξιοῦντες εὐχὰς ὑπὲρ αὐτῶν τελεῖσθαι. Καὶ γὰρ τὸ κοινὸν τῆς οἰκουμένης κεῖται καθάρσιον. Διὰ τοῦτο θαρροῦντες ὑπὲρ τῆς οἰκουμένης δεόμεθα τότε, καὶ μετὰ μαρτύρων αὐτοὺς καλοῦμεν, μετὰ ὁμολογητῶν, μετὰ ἱερέων. Καὶ γὰρ ἓν σῶμά ἐσμεν ἅπαντες, κἂν λαμπρότερα μέλη μελῶν· καὶ δυνατὸν πάντοθεν συγγνώμην αὐτοῖς συναγαγεῖν, ἀπὸ τῶν εὐχῶν, ἀπὸ τῶν ὑπὲρ αὐτῶν δώρων, ἀπὸ τῶν

---

6. Β΄ Κορ. 1, 11.

βλέπεις, ὄχι τὰ ἰδικά του. Ἀλλὰ καὶ ἂν ἀπέθανεν ἁμαρτωλός, καὶ δι' αὐτὸ πρέπει νὰ χαίρεσαι, διότι ἔπαυσαν τὰ ἁμαρτήματα καὶ δὲν προσέθεσεν εἰς τὴν κακίαν, καὶ νὰ βοηθῇς, ὅσον εἶναι δυνατόν, ὄχι μὲ δάκρυα, ἀλλὰ μὲ προσευχὰς καὶ ἱκεσίας καὶ ἐλεημοσύνας καὶ προσφοράς. Διότι δὲν ὑπῆρξαν τυχαία ἐπινόησις αὐτά, οὔτε ματαίως κάμνομεν μνημόσυνα διὰ τοὺς νεκροὺς εἰς τὰ θεῖα μυστήρια καὶ προσφέρομεν ὑπὲρ αὐτῶν καὶ παρακαλοῦμεν τὸν Ἀμνὸν ποὺ εὑρίσκεται ἐκεῖ, ποὺ ἀνέλαβε τὴν ἁμαρτίαν τοῦ κόσμου, ἀλλὰ διὰ νὰ ἔλθῃ εἰς αὐτοὺς κάποια παρηγορία. Οὔτε αὐτὸς ποὺ ἵσταται ἐνώπιον τοῦ θυσιαστηρίου τῶν φρικτῶν μυστηρίων ματαίως φωνάζει· ὑπὲρ ὅλων ὅσων ἐκοιμήθησαν ἐν Χριστῷ, καὶ τελοῦν τὰ μνημόσυνα ὑπὲρ αὐτῶν. Ἐὰν λοιπὸν δὲν ἐγίνοντο ὑπὲρ αὐτῶν τὰ μνημόσυνα, οὔτε αὐτὰ θὰ εἶχον λεχθῇ. Διότι δὲν εἶναι θέατρον αὐτὰ ποὺ τελοῦμεν, μὴ γένοιτο, ἀλλὰ γίνονται αὐτὰ μὲ τὴν ἐντολὴν τοῦ ἁγίου Πνεύματος.

6. Ἂς βοηθῶμεν λοιπὸν τοὺς νεκροὺς καὶ ἂς τελῶμεν μνημόσυνα ὑπὲρ αὐτῶν. Διότι, ἐὰν τὰ παιδιὰ τοῦ Ἰὼβ ἐκαθάριζεν ἡ θυσία, διατί ἀμφιβάλλεις, διὰ τὸ ὅτι, ὅταν προσφέρωμεν καὶ ἡμεῖς ὑπὲρ τῶν νεκρῶν, δίδεται εἰς αὐτοὺς κάποια παρηγορία; Διότι πολλὰς φορὰς ὁ Θεὸς χαρίζει καὶ εἰς ἄλλους χάριν ἄλλων. Καὶ αὐτὸ ἐδείκνυεν ὁ Παῦλος ὅταν ἔλεγεν, «Ὥστε νὰ ἀποδοθῇ εὐχαριστία ἀπὸ πολλοὺς διὰ τὴν χάριν ποὺ ἔδωσεν ὁ Θεὸς εἰς ἐμᾶς»[8]. Ἂς μὴ κουρασθῶμεν λοιπὸν νὰ βοηθῶμεν αὐτοὺς ποὺ ἀπῆλθον ἀπὸ τὴν παροῦσαν ζωὴν καὶ νὰ προσφέρωμεν ὑπὲρ αὐτῶν καὶ νὰ ζητῶμεν νὰ γίνωνται δεήσεις ὑπὲρ αὐτῶν. Διότι ὑπάρχει ἡ κοινὴ ἐξιλέωσις τῆς οἰκουμένης. Δι' αὐτὸ μὲ θάρρος ἂς προσευχώμεθα τότε ὑπὲρ τῆς οἰκουμένης, καὶ ἂς καλῶμεν καὶ αὐτοὺς μαζὶ μὲ τοὺς μάρτυρας, τοὺς ὁμολογητάς, τοὺς ἱερεῖς. Διότι ἓν σῶμα εἴμεθα ὅλοι, ἔστω καὶ ἂν ὑπάρχουν μέλη ποὺ εἶναι λαμπρότερα ἀπὸ ἄλλα μέλη· καὶ εἶναι δυνατὸν ἀπὸ παντοῦ νὰ κερδήσωμεν δι' αὐτοὺς συγγνώμην, ἀπὸ τὰς δεήσεις, ἀπὸ τὰ δῶρα ποὺ κάμνομεν ὑπὲρ αὐτῶν, ἀπὸ ἐκείνους ποὺ κα-

μετ' αὐτῶν καλουμένων.

Τί τοίνυν ἀλγεῖς, τί δὲ θρηνεῖς, ὁπότε τοσαύτην δυνατὸν συγγνώμην συναγαγεῖν τῷ ἀπελθόντι; Ἀλλ' ὅτι σὺ γέγονας ἔρημος, καὶ προστάτην ἀπώλεσας; Ἀλλὰ μηδέποτε τοῦτο εἴπῃς· οὐδὲ γὰρ τὸν Θεὸν ἀπώλεσας. Ὥστε ἕως ἂν τοῦτον ἔχῃς, καὶ ἀνδρὸς αὐτὸς ἔσται σοι μείζων, καὶ πατρός, καὶ παιδός, καὶ κηδεστοῦ· καὶ γὰρ καὶ ζώντων ἐκείνων, οὗτος ἦν ὁ τὰ πάντα ποιῶν. Ταῦτα τοίνυν ἐννόει, καὶ λέγε κατὰ τὸν Δαυΐδ, «Κύριος φωτισμός μου καὶ σωτήρ μου, τίνα φοβηθήσομαι;». Εἰπέ, σὺ εἶ ὁ πατὴρ τῶν ὀρφανῶν, καὶ κριτὴς τῶν χηρῶν· καὶ ἐπίσπασαι αὐτοῦ τὴν βοήθειαν, καὶ μᾶλλον αὐτὸν ἕξεις νῦν προνοοῦντα ἢ πρότερον, ὅσον ἐν μείζονι κατέστης ἀπορίᾳ.

Ἀλλὰ παιδίον ἀπώλεσας; Οὐ ἀπώλεσας, μὴ λέγε· ὕπνος τὸ πρᾶγμά ἐστιν, οὐ θάνατος, μετάστασις, οὐκ ἀπώλεια, ἀποδημία ἀπὸ τῶν ἐλαττόνων ἐπὶ τὰ βελτίω. Μὴ δὴ παρόξυνε τὸν Θεόν, ἀλλ' ἵλεω ποίει. Ἂν γὰρ ἐνέγκῃς γενναίως, ἔσται τις κἀντεῦθεν τῷ ἀπελθόντι καὶ σοὶ παραμυθία· ἂν δὲ τοὐναντίον ποιῇς, μᾶλλον ἐξάπτεις τὴν ὀργὴν τοῦ Θεοῦ. Καὶ γὰρ εἰ παιδὸς μαστιχθέντος ὑπὸ δεσπότου, σὺ παρεστὼς ἐδυσχέρανας, μειζόνως ἂν παρώξυνας κατὰ σεαυτοῦ τὸν δεσπότην. Μὴ δὴ ποίει τοῦτο, ἀλλ' εὐχαρίστει, ἵνα σοι καὶ ταύτῃ σκεδασθῇ τὸ νέφος τῆς ἀθυμίας. Εἰπὲ κατὰ τὸν μακάριον ἐκεῖνον, «Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο». Ἐννόησον ὅσοι μᾶλλόν σου εὐαρεστοῦντες οὐδὲ ἔλαβον τὴν ἀρχὴν παῖδας, οὐδὲ πατέρες ἐκλήθησαν. Οὐδὲ γὰρ ἐγώ, φησίν, ἐβουλόμην· καὶ γὰρ βέλτιον ἦν μηδὲ πεῖραν σχεῖν, ἢ μετὰ τὸ γεύσασθαι τῆς ἡδονῆς ἐκπεσεῖν. Μή, παρακαλῶ, μὴ λέγε ταῦτα, μὴ παροργίσῃς καὶ ταύτῃ τὸν δεσπότην· ἀλλ'

7. Ψαλμ. 26, 1.
8. Ἰὼβ 1, 21.

λοῦμεν μαζὶ μὲ αὐτά.

Διατί λοιπὸν στενοχωρεῖσαι, διατί θρηνεῖς ἀφοῦ εἶναι δυνατὸν μὲ τόσους τρόπους νὰ κερδήσῃς συγγνώμην δι' ἐκεῖνον ποὺ ἔφυγεν; Ἀλλὰ διὰ τὸ ὅτι σὺ ἔμεινες ἔρημος καὶ ἔχασες τὸν προστάτην σου; Ἀλλὰ ποτὲ μὴ τὸ εἰπῇς αὐτό· διότι δὲν ἔχασες τὸν Θεόν. Ὥστε, ἐφ' ὅσον ἔχεις τὸν Θεόν, αὐτὸς θὰ εἶναι δι' ἐσὲ μεγαλύτερος προστάτης καὶ ἀπὸ ἄνδρα καὶ ἀπὸ πατέρα καὶ ἀπὸ παιδὶ καὶ ἀπὸ συγγενῆ· διότι καὶ ὅταν ἔζων ἐκεῖνοι, ὁ Θεὸς ἦτο ποὺ ἔκαμνε τὰ πάντα. Αὐτὰ λοιπὸν νὰ σκέπτεσαι καὶ νὰ λέγῃς ὅπως ὁ Δαυΐδ, «Ὁ Κύριος εἶναι ἐκεῖνος ποὺ μὲ φωτίζει καὶ μὲ σώζει, ποῖον θὰ φοβηθῶ;»[7]. Εἰπέ, σὺ εἶσαι ὁ πατὴρ τῶν ὀρφανῶν καὶ προστάτης τῶν χηρῶν· καὶ προσελκύεις τὴν βοήθειάν του καὶ θὰ ἔχῃς αὐτὸν νὰ προνοῇ τώρα τόσον περισσότερον ἀπὸ πρίν, ὅσον εἰς μεγαλυτέραν ἀνάγκην ἔχεις ἔλθει.

Ἀλλ' ἔχεις χάσει παιδί; Δὲν τὸ ἔχασες, μὴ λέγῃς ἔτσι· ὕπνος εἶναι αὐτό, ὄχι θάνατος, μετατόπισις, ὄχι ἀπώλεια, ταξείδιον ἀπὸ τὰ κατώτερα εἰς τὰ καλύτερα. Μὴ παροργίζῃς λοιπὸν τὸν Θεόν, ἀλλὰ κάνε τον εὐμενῆ ἀπέναντί σου. Διότι ἐὰν ὑπομείνῃς μὲ γενναιότητα θὰ ἔχῃ καὶ ἀπὸ αὐτὸ ὁ νεκρὸς καὶ ἐσὺ κάποιαν παρηγορίαν, ἐὰν ὅμως κάμνῃς τὸ ἀντίθετον, ἐξάπτεις περισσότερον τὴν ὀργὴν τοῦ Θεοῦ. Διότι, ἐὰν κάποιο παιδὶ ἐμαστιγώνετο ἀπὸ τὸν οἰκοδεσπότην καὶ σὺ ποὺ θὰ παρευρίσκεσο τὸν ἠμπόδιζες, περισσότερον θὰ ἐξώργιζες ἐναντίον σου τὸν οἰκοδεσπότην. Μὴ κάμνῃς λοιπὸν αὐτό, ἀλλὰ νὰ εὐχαριστῇς, διὰ νὰ διασκορπισθῇ καὶ μὲ αὐτὸ τὸ νέφος τῆς λύπης. Εἰπὲ ὅπως ἐκεῖνος ὁ μακάριος, «Ὁ Κύριος τὸ ἔδωσεν, ὁ Κύριος τὸ ἐπῆρε»[8]. Σκέψου ὅτι ἄλλοι ποὺ εὐαρεστοῦν τὸν Θεὸν περισσότερον ἀπὸ ἐσέ, δὲν ἀπέκτησαν καθόλου παιδιά, οὔτε ὠνομάσθησαν πατέρες. Ἀλλ' οὔτε ἐγώ, θὰ εἰπῇς, ἤθελον· διότι καλύτερον ἦτο νὰ μὴ ἔχω ἐμπειρίαν, παρὰ νὰ τὸ χάσω ἀφοῦ πρῶτον ἐγεύθην τὴν ἡδονὴν ἀπὸ τὴν ἀπόκτησίν του. Μή, παρακαλῶ, μὴ λέγῃς τέτοια, διὰ νὰ μὴ παροργίσῃς καὶ μὲ αὐτὰ τὸν Κύριον· ἀλλὰ δι' ὅσα μὲν ἔλαβες,

ὑπὲρ μὲν ὧν ἔλαβες, εὐχαρίστησον· ὑπὲρ δὲ ὧν οὐκ εἰς τέλος ἔχεις, δόξαζε. Οὐκ εἶπεν ὁ Ἰώβ, ὅτι βέλτιον ἦν μὴ λαβεῖν, τοῦτο δ σὺ λέγεις ἀγνωμόνως, ἀλλὰ καὶ ὑπὲρ ἐκείνων ηὐχαρίστει λέγων, «Ὁ Κύριος ἔδωκε», καὶ ὑπὲρ τούτων ηὐλόγει λέγων, «Ὁ Κύριος ἀφείλετο· εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον εἰς τοὺς αἰῶνας». Καὶ τὴν γυναῖκα οὕτως ἐπεστόμιζε δικαιολογούμενος πρὸς αὐτήν, καὶ τὰ θαυμαστὰ ἐκεῖνα φθεγγόμενος ῥήματα· «Εἰ τὰ μὲν ἀγαθὰ ἐδεξάμεθα παρὰ Κυρίου, τὰ δὲ κακὰ οὐχ ὑποίσομεν;». Καίτοιγε μετὰ ταῦτα χαλεπώτερος γέγονεν ὁ πειρασμός· ἀλλ' ἐκεῖνος οὐδὲ οὕτως ἐξελύετο, ἀλλ' ὁμοίως ἔφερε γενναίως, καὶ ἐδόξαζε.

Τοῦτο καὶ σὺ ποίει, καὶ λογίζου πρὸς ἑαυτόν, ὅτι οὐκ ἄνθρωπος ἔλαβεν, ἀλλ' ὁ Θεός· ὁ Θεὸς ὁ ποιήσας, ὁ μᾶλλόν σου κηδόμενος, καὶ τὸ συμφέρον εἰδώς, οὐ πολέμιός τις οὐδὲ ἐπίβουλος. Ὅρα πόσοι ζῶντες ἀβίωτον τὸν βίον τοῖς γονεῦσιν ἐποίησαν. Τοὺς δὲ γενναίους οὐχ ὁρᾷς; φησίν. Ὁρῶ καὶ τούτους, ἀλλὰ καὶ τούτων ἀσφαλέστερα τὰ κατὰ τὸν παῖδα τὸν σόν. Εἰ γὰρ καὶ εὐδοκιμοῦσιν, ἀλλ' ἐν ἀδήλῳ τὰ τοῦ τέλους αὐτῶν· ὑπὲρ δὲ ἐκείνου λοιπὸν οὐ δέδοικας οὐδὲ τρέμεις μή τι πάθῃ, ἢ μεταβολήν τινα δέξηται. Ταῦτα καὶ ἐπὶ γυναικὸς λογίζου καλῆς καὶ οἰκουροῦ, καὶ ὑπὲρ πάντων εὐχαρίστει τῷ Θεῷ, κἂν ἀπολέσῃς γυναῖκα, δόξαζε. Ἴσως σε εἰς ἐγκράτειαν ἀγαγεῖν βούλεται ὁ Θεός, ἐπὶ μείζονα καλεῖ σκάμματα, ἐλευθερῶσαί σε τοῦ δεσμοῦ ἠθέλησεν. Ἂν οὕτω φιλοσοφῶμεν, καὶ τὴν παροῦσαν κερδανοῦμεν εὐθυμίαν, καὶ τῶν μελλόντων ἐπιτευξόμεθα στεφάνων, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

---

9. Ἰὼβ 2, 10.

εὐχαρίστησέ τον· δι' ὅσα δὲ δὲν τὰ ἔχεις μέχρι τὸ τέλος, δόξαζέ τον. Δὲν εἶπεν ὁ Ἰώβ, ὅτι ἦτο καλύτερον νὰ μὴ ἀποκτήσῃ παιδιά, αὐτὸ ποὺ σὺ λέγεις μὲ ἀχαριστίαν, ἀλλ' ηὐχαρίστησε καὶ δι' ἐκεῖνα μὲ τοὺς λόγους, «ὁ Κύριος ἔδωσε», καὶ δι' αὐτὰ ηὐλόγει μὲ τοὺς λόγους, «Ὁ Κύριος τὰ ἐπῆρεν· ἂς εἶναι τὸ ὄνομα τοῦ Κυρίου εὐλογημένον εἰς τοὺς αἰῶνας». Καὶ τὴν γυναῖκα του ἔτσι ἀπεστόμωνεν ὅταν ἀντέτασσεν ἐπιχειρήματα εἰς τοὺς λόγους της καὶ ἔλεγε τοὺς θαυμαστοὺς ἐκείνους λόγους· «Ἐὰν τὰ μὲν ἀγαθὰ ἐδέχθημεν ἀπὸ τὸν Κύριον, τὰς δοκιμασίας δὲν θὰ τὰς δεχθῶμεν;»[9]. Καὶ ὅμως μετὰ ἀπὸ αὐτὰ ἔγινε φοβερώτερος ὁ πειρασμός· ἀλλ' ἐκεῖνος οὔτε τότε ἐχαλαρώνετο καὶ ὑπεχώρει, ἀλλ' ὑπέμενε μὲ τὴν ἰδίαν γενναιότητα καὶ ἐδόξαζε τὸν Θεόν.

Αὐτὸ νὰ κάμνῃς καὶ σὺ καὶ νὰ σκέπτεσαι μέσα σου ὅτι δὲν ἐπῆρεν ἄνθρωπος τὸ παιδί σου, ἀλλ' ὁ Θεός· ὁ Θεὸς ποὺ τὸ ἐδημιούργησε, ποὺ τὸ φροντίζει περισσότερον ἀπὸ ἐσένα καὶ γνωρίζει τὸ συμφέρον, ὄχι κάποιος ποὺ ἐπιβουλεύεται, οὔτε ἐχθρός. Κοίταξε πόσα παιδιὰ ἀπὸ ὅσα ζοῦν ἔκαναν εἰς τοὺς γονεῖς τὸν βίον ἀβίωτον. Ἀλλὰ δὲν βλέπεις ἐκείνους ποὺ ἔχουν πολλά; θὰ εἰπῇ. Βλέπω καὶ αὐτούς, ἀλλὰ καὶ ἀπὸ αὐτοὺς αὐτὰ ποὺ ἔγιναν εἰς τὸ ἰδικόν σου παιδὶ εἶναι ἀσφαλέστερα. Διότι ἂν καὶ εὐτυχοῦν, εἶναι ἀβέβαιον τὸ τέλος των· διὰ τὸ ἰδικόν σου λοιπὸν δὲν φοβεῖσαι, οὔτε τρέμεις μήπως πάθῃ κάτι ἢ μήπως ὑποστῇ κάποιαν μεταβολήν. Αὐτὰ νὰ σκέπτεσαι καὶ διὰ γυναῖκα καλὴν καὶ ἥσυχον καὶ πιστὴν καὶ δι' ὅλα νὰ εὐχαριστῇς τὸν Θεόν, καὶ ἂν χάσῃς γυναῖκα νὰ δοξάζῃς τὸν Θεόν. Ἴθως θέλει ὁ Θεὸς νὰ σὲ ὁδηγήσῃ εἰς ἐγκράτειαν, ἴσως σὲ καλεῖ σὲ μεγαλυτέρους ἀγῶνας, ἴσως ἠθέλησεν νὰ σὲ ἐλευθερώσῃ ἀπὸ τὸν θεσμόν. Ἂν ἔτσι σκεπτόμεθα καὶ φερώμεθα, καὶ εἰς τὴν παροῦσαν ζωὴν θὰ ἔχωμεν εὐθυμίαν, καὶ εἰς τὴν μέλλουσαν θὰ ἐπιτύχωμεν στεφάνους, τοὺς ὁποίους εἴθε ὅλοι νὰ ἐπιτύχωμεν μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΛΟΓΟΣ ΜΒ΄
Α΄ Κορ. 15, 47-58

«Ὁ πρῶτος ἄνθρωπος ἐκ γῆς χοϊκός, ὁ δεύτερος ἄνθρωπος ὁ Κύριος ἐξ οὐρανοῦ».

1. Ἐπειδὴ ψυχικὸν εἶπε πρῶτον καὶ πνευματικὸν δεύτερον, πάλιν, ἄλλην τίθησι διαφοράν, χοϊκὸν λέγων καὶ ἐπουράνιον. Ἡ μὲν γὰρ πρώτη τοῦ παρόντος ἦν βίου καὶ τοῦ μέλλοντος· αὕτη δὲ τοῦ πρὸ τῆς χάριτος καὶ τοῦ μετὰ τὴν χάριν. Τέθεικε δὲ αὐτὴν εἰς πολιτείαν ἀρίστην λέγων. Ἵνα γάρ, ὅπερ ἔφην, μὴ τῇ ἀναστάσει θαρροῦντες ἀμελῶσι βίου καὶ ἀκριβείας, πάλιν καὶ ἐντεῦθεν αὐτοὺς ἐναγωνίους ποιεῖ, καὶ παρακαλεῖ εἰς ἀρετήν, λέγων· «Ὁ πρῶτος ἄνθρωπος ἐκ γῆς χοϊκός, ὁ δεύτερος ἄνθρωπος ὁ Κύριος ἐξ οὐρανοῦ», τὸ πᾶν ἄνθρωπον καλῶν, καὶ τὸν μὲν ἀπὸ τοῦ κρείττονος, τὸν δὲ ἀπὸ τοῦ χείρονος ὀνομάζων. «Οἷος ὁ χοϊκός, τοιοῦτοι καὶ οἱ χοϊκοί»· οὕτως ἀπολοῦνται καὶ τελευτήσουσιν. «Οἷος ὁ ἐπουράνιος, τοιοῦτοι καὶ οἱ ἐπουράνιοι»· οὕτω μενοῦσιν ἀθάνατοι καὶ λάμποντες. Τί οὖν; οὐχὶ καὶ οὗτος ἀπέθανεν; Ἀπέθανε μέν, ἀλλ' οὐδὲν ἐντεῦθεν παρεβλάβη, ἀλλὰ καὶ ταύτῃ τὸν θάνατον κατέλυσεν. Εἶδες πῶς κἀντεῦθεν τῷ θανάτῳ τὸ περὶ τῆς ἀναστάσεως συνέστησε δόγμα; Ἔχων γάρ, ὅπερ ἔφθην εἰπών, τὴν ἀρχὴν καὶ τὴν κεφαλήν, φησί, μὴ ἀμφίβαλλε περὶ τοῦ σώματος παντός. Πλὴν καὶ τὴν περὶ πολιτείας ἀρίστης ἐντεῦθεν γυμνάζει παραίνεσιν, ὑπο-

ΛΟΓΟΣ ΜΒ΄
Α΄ Κορ. 15, 47-58

«Ὁ πρῶτος ἄνθρωπος ἐπλάσθη ἀπὸ τὴν γῆν, γήϊνος, ὁ δεύτερος ἄνθρωπος ποὺ εἶναι ὁ Κύριος, ἦλθεν ἀπὸ τὸν οὐρανόν».

1. Ἐπειδὴ ἔκανε διάκρισιν μεταξὺ φυσικοῦ καὶ πνευματικοῦ, παρουσιάζει πάλιν ἄλλην διαφοράν, ὁμιλῶν διὰ γήϊνον καὶ ἐπουράνιον. Ἡ μὲν πρώτη λοιπὸν ἀναφέρεται εἰς τὴν παροῦσαν καὶ τὴν μέλλουσαν ζωήν, αὐτὴ δὲ πρὶν ἀπὸ τὸν ἐρχομὸν καὶ μετὰ τὸν ἐρχομὸν τῆς χάριτος. Ἔκανε δὲ αὐτὴν τὴν διάκρισιν ὁμιλῶν δι' ἄριστον τρόπον ζωῆς. Δηλαδή, ὅπως εἶπον, διὰ νὰ μὴ ἀμελοῦν διὰ τὸν τρόπον ζωῆς καὶ τὴν ἀκριβῆ τήρησιν τῶν ἐντολῶν, ἐπαναπαυόμενοι εἰς τὴν ἀνάστασιν, πάλιν τοὺς ὁδηγεῖ μὲ αὐτὰ εἰς ἀγῶνα καὶ τοὺς παροτρύνει εἰς ἀρετὴν μὲ τοὺς λόγους· «Ὁ πρῶτος ἄνθρωπος ἐπλάσθη ἀπὸ τὴν γῆν, γήϊνος, ὁ δεύτερος ἄνθρωπος ποὺ εἶναι ὁ Κύριος, ἦλθεν ἀπὸ τὸν οὐρανόν», καὶ ἀποκαλεῖ ἄνθρωπον καὶ τὸν πρῶτον καὶ τὸν δεύτερον, ὀνομάζων ἔτσι τὸν μὲν ἀπὸ τὸ ἀνώτερον, τὸν δὲ ἀπὸ τὸ κατώτερον. «Ὅπως ἦτο ὁ γήϊνος, τέτοιοι εἶναι καὶ οἱ γήϊνοι» καὶ κατὰ τὸν ἴδιον τρόπον θὰ χαθοῦν καὶ θ' ἀποθάνουν. «Ὅπως εἶναι ὁ ἐπουράνιος, τέτοιοι εἶναι καὶ οἱ ἐπουράνιοι» καὶ κατὰ τὸν ἴδιον τρόπον θὰ μείνουν ἀθάνατοι καὶ θὰ λάμπουν. Τί λοιπόν; Δὲν ἀπέθανε καὶ αὐτός; Ἀπέθανε μέν, ἀλλὰ δὲν ἐβλάβη καθόλου ἀπὸ αὐτό, ἀλλ' ἀντιθέτως ἐνίκησε τὸν θάνατον καὶ μὲ αὐτό. Εἶδες πῶς καὶ ἀπὸ αὐτὸν τὸν θάνατον συνέστησε τὸ δόγμα περὶ τῆς ἀναστάσεως; Διότι ὅταν ἔχῃς, ὅπως εἶπον, τὴν ἀρχὴν καὶ τὴν κεφαλήν, λέγει, μὴ ἀμφιβάλλῃς δι' ὁλόκληρον τὸ σῶμα. Ἀλλ' ἐδῶ κάμνει παραίνεσιν καὶ διὰ τὸν ἄριστον

δείγματα ὑψηλοῦ καὶ φιλοσόφου βίου, καὶ οὐ τοιούτου τιθείς, καὶ τούτων ἀμφοτέρων παράγων τὰς ἀρχάς, τοῦ μὲν τὸν Χριστόν, τοῦ δὲ τὸν Ἀδάμ. Διὰ τοῦτο οὐδὲ ἁπλῶς εἶπεν, «ἐκ γῆς», ἀλλὰ «χοϊκός», τουτέστι, παχύς, τοῖς παροῦσι προσηλωμένος· καὶ πάλιν ἐπὶ τοῦ Χριστοῦ τοὐναντίον, «ὁ Κύριος ἐξ οὐρανοῦ».

Εἰ δὲ λέγοιέν τινες διὰ τοῦτο μὴν ἔχειν τὸν Κύριον σῶμα, διὰ τό, «ἐξ οὐρανοῦ», εἰρῆσθαι, ἱκανὰ μὲν καὶ τὰ εἰρημένα πάλαι ἐμφράξαι αὐτῶν τὰ στόματα, οὐδὲν δὲ κωλύει καὶ ἐντεῦθεν αὐτοὺς ἐπιστομίσαι. Τί γάρ ἐστιν, «ὁ Κύριος ἐξ οὐρανοῦ»; τὴν φύσιν λέγει, ἢ τὴν ἀρίστην πολιτείαν; Παντί που δῆλον, ὅτι τὴν πολιτείαν. Διὸ καὶ ἐπάγει, «Καθὼς ἐφορέσαμεν τὴν εἰκόνα τοῦ χοϊκοῦ»· τουτέστι, καθὼς φαῦλα ἐπράξαμεν· «φορέσωμεν καὶ τὴν εἰκόνα τοῦ ἐπουρανίου»· τουτέστιν, ἄριστα πράξωμεν. Χωρὶς δὲ τούτων, κἀκεῖνό σε ἡδέως ἂν ἐροίμην· περὶ φύσεως εἴρηται, «ὁ ἐκ γῆς χοϊκός», καί, «ὁ Κύριος ἐξ οὐρανοῦ»; Ναί, φησί. Τί οὖν; χοϊκὸς μόνον ἦν ὁ Ἀδάμ, ἢ καὶ ἄλλην τινὰ εἶχεν οὐσίαν συγγενῆ τοῖς ἄνω καὶ τοῖς ἀσωμάτοις, ἣν ψυχὴν καλεῖ ἡ Γραφὴ καὶ πνεῦμα; Παντί που δῆλον, ὅτι καὶ ταύτην. Οὐκοῦν οὐδὲ ὁ Κύριος ἄνωθεν ἦν μόνον, εἰ καὶ ἐξ οὐρανοῦ λέγοιτο, ἀλλὰ καὶ σάρκα ἀνειλήφει.

Ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· «Καθὼς ἐφορέσαμεν τὴν εἰκόνα τοῦ χοϊκοῦ», τὰς πονηρὰς πράξεις, «φορέσωμεν καὶ τὴν εἰκόνα τοῦ ἐπουρανίου», τὴν πολιτείαν τὴν ἐν τοῖς οὐρανοῖς. Εἰ δὲ περὶ φύσεως ἦν ὁ λόγος, οὐ παρακλήσεως ἐδεῖτο τὸ πρᾶγμα οὐδὲ συμβουλῆς· ὥστε κἀντεῦθεν δῆλον, ὅτι περὶ πολιτείας τὸ λεγόμενον. Διὸ καὶ συμβουλευτικῶς εἰσάγει τὸν λόγον, καὶ εἰκόνα καλεῖ, καὶ ταύτη πάλιν δηλῶν ὅτι περὶ πράξεως, οὐ περὶ φύσεως λέγει. Καὶ γὰρ

τρόπον ζωῆς μὲ τὸ νὰ προβάλῃ παραδείγματα ὑψηλοῦ καὶ εὐσεβοῦς τρόπου ζωῆς, καὶ ὄχι ὡσὰν αὐτὴν ἐδῶ τὴν ζωήν, καὶ παρουσιάζει τὰς ἀρχὰς καὶ τῶν δύο αὐτῶν, τῆς μὲν μιᾶς ζωῆς τὸν Χριστόν, τῆς δὲ ἄλλης τὸν Ἀδάμ. Δι' αὐτὸ δὲν εἶπεν ἁπλῶς, «ἀπὸ τὴν γῆν», ἀλλά, «γήϊνος», δηλαδὴ παχυλός, προσηλωμένος εἰς τὰ πράγματα τῆς παρούσης ζωῆς· καὶ πάλιν διὰ τὸν Χριστὸν τὸ ἀντίθετον, «ὁ Κύριος ἀπὸ τὸν οὐρανόν».

Ἐὰν ὅμως ἔλεγον μερικοὶ ὅτι δὲν ἔχει σῶμα ὁ Κύριος, ἐπειδὴ ἐλέχθη τό, «ἀπὸ τὸν οὐρανόν», εἶναι μὲν ἀρκετὰ καὶ αὐτὰ ποὺ ἐλέχθησαν παλαιότερον νὰ φράξουν τὰ στόματά των, ἀλλὰ τίποτε δὲν ἐμποδίζει καὶ ἀπὸ τὰ ἐδῶ νὰ τοὺς ἀποστομώσωμεν. Τί σημαίνει λοιπόν, «ὁ Κύριος ἀπὸ τὸν οὐρανόν»; τὴν φύσιν ἐννοεῖ ἢ τὸν ἄριστον τρόπον ζωῆς; Εἶναι καταφνὲς ὅτι ἐννοεῖ τὸν τρόπον ζωῆς. Δι' αὐτὸ καὶ προσθέτει, «ὅπως ἐφορέσαμεν τὴν εἰκόνα τοῦ γηΐνου», δηλαδή, ὅπως ἐπράξαμεν ἔργα ἁμαρτωλά, «θὰ φορέσωμεν καὶ τὴν εἰκόνα τοῦ ἐπουρανίου», δηλαδή, θὰ πράξωμεν ἔργα ἅγια. Ἐκτὸς ἀπὸ αὐτὰ δέ, θὰ σὲ ἠρώτων εὐχαρίστως καὶ ἐκεῖνο· διὰ τὴν φύσιν ἐλέχθη, «ὁ γήϊνος» ἀπὸ τὴν γῆν καί, «ὁ Κύριος ἀπὸ τὸν οὐρανόν»; Ναί, θὰ εἰπῇς. Τί λοιπόν; γήϊνος μόνον ἦτο ὁ Ἀδὰμ ἢ εἶχε καὶ κάποιαν ἄλλην οὐσίαν ποὺ ἦτο συγγενὴς μὲ τὰ οὐράνια καὶ τοὺς ἀσωμάτους, τὴν ὁποίαν ἡ Γραφὴ ὀνομάζει ψυχὴν καὶ πνεῦμα; Εἶναι φανερὸν ὅτι εἶχε καὶ αὐτήν. Λοιπόν, οὔτε ὁ Κύριος ἦτο μόνον οὐράνιος, ἔστω καὶ ἂν ἐλέχθη ἀπὸ τὸν οὐρανόν, ἀλλ' ἀνέλαβε καὶ σάρκα.

Αὐτὸ ποὺ λέγει δὲ σημαίνει τὸ ἑξῆς· «Ὅπως ἐφορέσαμεν τὴν εἰκόνα τοῦ γηΐνου», τὰς πονηρὰς πράξεις, «θὰ φορέσωμεν καὶ τὴν εἰκόνα τοῦ ἐπουρανίου», τὴν ζωὴν ποὺ εἶναι εἰς τοὺς οὐρανούς. Ἐὰν δὲ ὁ λόγος ἐγίνετο διὰ τὴν φύσιν, δὲν θὰ ἐχρειάζετο τὸ πρᾶγμα οὔτε προτροπήν, οὔτε συμβουλήν· ὥστε καὶ ἀπὸ ἐδῶ εἶναι φανερόν, ὅτι διὰ τὸν τρόπον ζωῆς ἐλέγετο αὐτό. Δι' αὐτὸ καὶ ὁμιλεῖ μὲ τρόπον συμβουλευτικὸν καὶ ὀνομάζει αὐτὸ εἰκόνα, καὶ δηλώνει ἔτσι καὶ μὲ αὐτό, ὅτι ὁμιλεῖ διὰ πρᾶξιν καὶ ὄχι διὰ

διὰ τοῦτο ἐγενόμεθα χοϊκοί, ἐπειδὴ πονηρὰ ἐπράξαμεν· οὐκ ἐπειδὴ ἐξ ἀρχῆς χοϊκοὶ διεπλάσθημεν, ἀλλ' ἐπειδὴ ἡμάρτομεν. Καὶ γὰρ ἡ ἁμαρτία πρῶτον, καὶ τότε ὁ θάνατος, καὶ τό, «Γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ»· τότε καὶ ὁ τῶν παθῶν εἰσῆλθεν ἑσμός. Οὐδὲ γὰρ τὸ ἐκ γῆς γεγενῆσθαι, ποιεῖ χοϊκὸν ἁπλῶς, ἐπεὶ καὶ ὁ Κύριος ἀπὸ τῆς μάζης καὶ τοῦ φυράματος τούτου ἦν, ἀλλὰ τὸ γήινα πράττειν· ὥσπερ οὖν καὶ ἐπουράνιον τὰ ἄξια τῶν οὐρανῶν ἐπιδείξασθαι.

Ἀλλὰ γὰρ τί χρὴ περιττὰ πονεῖν τοῦτο κατασκευάζοντα; Προϊὼν γὰρ αὐτὸς ἡμῖν ἐκκαλύπτει τὸ νόημα, λέγων οὕτω· «Τοῦτο δέ φημι, ἀδελφοί, ὅτι σὰρξ καὶ αἷμα βασιλείαν Θεοῦ οὐ κληρονομήσουσιν». Εἶδες πῶς ἑαυτὸν ἑρμηνεύει πάλιν, ἀπαλλάττων ἡμᾶς πραγμάτων; ὃ πολλαχοῦ ποιεῖ. Σάρκα γὰρ ἐνταῦθα τὰς πονηρὰς πράξεις καλεῖ, ὃ καὶ ἀλλαχοῦ πολλαχοῦ πεποίηκεν, οἷον ὡς ὅταν λέγῃ· «Ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν σαρκί»· καὶ πάλιν, «Οἱ δὲ ἐν σαρκὶ ὄντες, Θεῷ ἀρέσαι οὐ δύνανται». Ὥστε ὅταν λέγῃ, «Τοῦτο δέ φημι», οὐδὲν ἄλλο λέγει, ἢ ὅτι διὰ τοῦτο ταῦτα εἶπον, ἵνα μάθῃς ὅτι πονηραὶ πράξεις εἰς βασιλείαν οὐκ εἰσάγουσιν. Ἀπὸ γὰρ τῆς ἀναστάσεως εὐθέως καὶ τὸν τῆς βασιλείας εἰσήγαγε λόγον· διὸ καὶ ἐπήγαγεν, «Οὐδὲ ἡ φθορὰ τὴν ἀφθαρσίαν κληρονομεῖ»· τουτέστιν, ἡ κακία τὴν δόξαν ἐκείνην καὶ τὴν τῶν ἀφθάρτων πραγμάτων ἀπόλαυσιν. Καὶ γὰρ πολλαχοῦ πάλιν τῇ προσηγορίᾳ ταύτῃ τὴν κακίαν ἐκάλεσεν εἰπών· «Ὁ σπείρων εἰς τὴν σάρκα, ἐκ τῆς σαρκὸς θερίσει φθοράν». Εἰ δὲ περὶ σώματος ἔλεγεν, ἀλλ' οὐ περὶ πονηρᾶς πράξεως, οὐκ ἂν εἶπε φθοράν· οὐδαμοῦ γὰρ τὸ σῶμα φθορὰν καλεῖ· οὐδὲ γάρ ἐστι φθορά, ἀλλὰ φθαρτόν. Διὸ προϊὼν καὶ περὶ αὐτοῦ

1. Γεν. 3, 19.
2. Ρωμ. 8, 9.
3. Ρω. 8, 8.

φύσιν. Διότι δι' αὐτὸ ἀκριβῶς ἐγίναμεν γήϊνοι, διότι ἐπράξαμεν ἁμαρτωλὰς πράξεις· ὄχι διότι ἀπὸ τὴν ἀρχὴν ἐδημιουργήθημεν γήϊνοι, ἀλλ' ἐπειδὴ ἡμαρτήσαμεν. Διότι ἡ ἁμαρτία ἔγινε πρῶτον, καὶ τότε ἠκολούθησεν ὁ θάνατος καὶ τό, «χῶμα εἶναι τὸ σῶμα σου καὶ εἰς τὸ χῶμα θὰ ἐπιστρέψῃς»[1] τότε εἰσέδυσε καὶ τὸ πλῆθος τῶν παθῶν. Διότι γήϊνον δὲν κάμνει τὸν ἄνθρωπον τὸ ὅτι ἐπλάσθη ἀπὸ τὴν γῆν, ἀφοῦ καὶ ὁ Κύριος ἀπὸ τὴν ἰδίαν ὕλην καὶ τὸ ἴδιον φύραμα ἦτο, ἀλλὰ τὸ νὰ πράττῃ κανεὶς γήϊνα ἔργα· ὅπως ἀκριβῶς λοιπὸν καὶ ἐπουράνιον κάμνει τὸν ἄνθρωπον τὸ νὰ ἔχῃ νὰ ἐπιδείξῃ ἔργα ἄξια τῶν οὐρανῶν.

'Αλλὰ τί χρειάζεται νὰ κοπιάζω περιττῶς διὰ ν' ἀποδείξω αὐτό; Διότι καθὼς προχωρεῖ ὁ ἴδιος μᾶς ἀποκαλύπτει τὸ νόημα μὲ τοὺς ἑξῆς λόγους· «Αὐτὸ δὲ σᾶς λέγω, ἀδελφοί, ὅτι σὰρξ καὶ αἷμα δὲν ἠμποροῦν νὰ κληρονομήσουν τὴν βασιλείαν τοῦ Θεοῦ». Εἶδες πῶς ἑρμηνεύει τὸν ἑαυτόν του πάλιν καὶ μᾶς ἀπαλλάσσει ἀπὸ δυσκολίας; πρᾶγμα ποὺ κάμνει εἰς πολλὰ σημεῖα. Σάρκα βέβαια ἐδῶ ὀνομάζει τὰς πονηρὰς πράξεις, πρᾶγμα ποὺ ἔκανε πολλὰς φοράς, ὅπως ὅταν λέγῃ· «Σεῖς ὅμως δὲν εἶσθε σαρκικοί»[2]· καὶ πάλιν, «Ἐκεῖνοι δὲ ποὺ εἶναι σαρκικοὶ δὲν ἠμποροῦν νὰ ἀρέσουν εἰς τὸν Θεόν»[3]. Ὥστε, ὅταν λέγῃ, «Αὐτὸ δὲ σᾶς λέγω», τίποτε ἄλλο δὲν ἐννοεῖ, παρὰ ὅτι δι' αὐτὸ εἶπον αὐτά, διὰ νὰ μάθῃς ὅτι ἁμαρτωλαὶ πράξεις δὲν εἰσάγουν τὸν ἄνθρωπον εἰς τὴν βασιλείαν. Διότι μετὰ τὴν ἀνάστασιν ἀμέσως ὡμίλησε διὰ τὴν βασιλείαν· δι' αὐτὸ καὶ προσέθεσεν, «Οὔτε ἡ φθορὰ κληρονομεῖ τὴν ἀφθαρσίαν»· δηλαδὴ ἡ κακία, ἐκείνην τὴν ἀπόλαυσιν τῶν ἀφθάρτων πραγμάτων. Διότι πολλὰς φορὰς πάλιν τὴν ὀνομασίαν αὐτὴν ἐχρησιμοποίησεν, ὅπως ὅταν εἶπεν· «Αὐτὸς ποὺ σπείρει εἰς τὴν σάρκα του, θὰ θερίσῃ ἀπὸ τὴν σάρκα φθοράν». Ἐὰν ὅμως ἔλεγε διὰ τὸ σῶμα καὶ ὄχι διὰ τὰς ἁμαρτωλὰς πράξεις, δὲν θὰ ἔλεγε φθοράν· διότι πουθενὰ δὲν ὀνομάζει τὸ σῶμα φθοράν, ἀφοῦ δὲν εἶναι φθορά, ἀλλὰ φθαρτόν. Δι' αὐτὸ καθὼς προχωρεῖ καὶ ὁμιλεῖ δι' αὐτό, δὲν ὠνόμασεν

διαλεγόμενος, οὐκ εἶπεν αὐτὸ φθοράν, ἀλλὰ φθαρτόν, λέγων· «Δεῖ γὰρ τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν».

2. Εἶτα τὴν περὶ πολιτείας πληρώσας παραίνεσιν, ὅπερ ἀεὶ ποιεῖ, ὑπόθεσιν ὑποθέσει συνεχῶς ἀναμιγνύς, εἰς τὸν περὶ ἀναστάσεως πάλιν τῶν σωμάτων ἐκβαίνει λόγον, οὕτω λέγων· «Ἰδοὺ μυστήριον ὑμῖν λέγω». Φρικτόν τι καὶ ἀπόρρητον, καὶ ὃ πάντες ἴσασι, μέλλει λέγειν· ὃ καὶ πολλὴν ἐνδείκνυται τὴν εἰς αὐτοὺς τιμήν, τὸ τὰ ἀπόρρητα λέγειν αὐτοῖς. Τί δὲ τοῦτό ἐστι; «Πάντες μὲν οὐ κοιμηθησόμεθα, πάντες δὲ ἀλλαγησόμεθα». Ὃ δὲ λέγει τοῦτό ἐστιν· οὐ πάντες μὲν ἀποθανούμεθα, πάντες δὲ ἀλλαγησόμεθα, καὶ οἱ μὴ ἀποθνήσκοντες· θνητοὶ γὰρ κἀκεῖνοι. Μὴ τοίνυν, ἐπειδὴ ἀποθνήσκεις, διὰ τοῦτο δείσῃς, φησίν, ὡς οὐκ ἀναστησόμενος. Εἰσὶ γάρ τινες, εἰσίν, οἳ καὶ τοῦτο διαφεύξονται· καὶ ὅμως οὐκ ἀρκεῖ τοῦτο αὐτοῖς εἰς τὴν ἀνάστασιν ἐκείνην, ἀλλὰ δεῖ καὶ ἐκεῖνα τὰ σώματα τὰ μὴ ἀποθνήσκοντα ἀλλαγῆναι, καὶ εἰς ἀφθαρσίαν μεταπεσεῖν.

«Ἐν ἀτόμῳ, ἐν ριπῇ ὀφθαλμοῦ, ἐν τῇ ἐσχάτῃ σάλπιγγι». Ὅτε πολλὰ περὶ ἀναστάσεως διελέχθη, τότε εὐκαίρως καὶ τὸ πολὺ παράδοξον αὐτῆς δείκνυσιν. Οὐ γὰρ τοῦτο θαυμαστὸν μόνον, ὅτι σήπεται πρῶτον τὰ σώματα, καὶ τότε ἀνίσταται, φησίν, οὐδ' ὅτι βελτίονα τῶν νῦν τὰ ἐκ τῶν σηπομένων ἀνιστάμενα, οὐδ' ὅτι ἐπὶ πολλῷ μείζονα λῆξιν μεταβαίνει, οὐδ' ὅτι ἕκαστος τὸ ἴδιον ἀπολαμβάνει καὶ οὐδεὶς τὸ ἕτερον, ἀλλ' ὅτι τὰ τοσαῦτα καὶ τηλικαῦτα καὶ πάντα λογισμὸν καὶ νοῦν ὑπερβαίνοντα ἐν ἀτόμῳ γίνεται, τουτέστιν, ἐν ἀκαριαίῳ χρόνῳ. Καὶ δηλῶν σαφέστερον τοῦτο, «ἐν ριπῇ ὀφθαλμοῦ», φησίν, ὅσον μύσαι βλέφαρον.

αὐτὸ φθοράν, ἀλλὰ φθαρτόν, μὲ τοὺς λόγους· «διότι πρέπει τὸ φθαρτὸν αὐτὸ σῶμα νὰ ἐνδυθῇ ἀφθαρσίαν».

2. Ἐν συνεχείᾳ διὰ νὰ ὁλοκληρώσῃ τὴν παραίνεσιν δι᾽ ἐνάρετον ζωήν, πρᾶγμα ποὺ κάμνει πάντοτε, ἀφοῦ ἀναμιγνύει συνεχῶς θέμα μὲ θέμα, ἔρχεται πάλιν εἰς τὴν διδασκαλίαν διὰ τὴν ἀνάστασιν τῶν σωμάτων καὶ λέγει· «Ἰδού, σᾶς ἀποκαλύπτω ἓν μυστήριον». Φρικτὸν καὶ ἀπόρρητον καὶ ποὺ δὲν τὸ γνωρίζουν ὅλοι, πρόκειται νὰ εἰπῇ· πρᾶγμα τὸ ὁποῖον καὶ δεικνύει ὅτι πολὺ τοὺς τιμᾷ διὰ νὰ λέγῃ εἰς αὐτοὺς τὰ ἀπόρρητα. Τί εἶναι δὲ αὐτὸ τὸ μυστήριον; «Ὅλοι μὲν δὲν θὰ ἀποθάνωμεν, ἀλλ᾽ ὅλοι θὰ μεταβληθῶμεν». Αὐτὸ ποὺ ἐννοεῖ δὲ εἶναι τὸ ἑξῆς· δὲν θ᾽ ἀποθάνωμεν μὲν ὅλοι, ἀλλὰ θὰ ἀλλάξωμεν σῶμα, καὶ αὐτοὶ ποὺ δὲν θὰ ἀποθάνουν· διότι θνητοὶ εἶναι καὶ ἐκεῖνοι. Μὴ λοιπόν, ἐπειδὴ ἀποθνήσκεις, φοβηθῇς δι᾽ αὐτό, ὅτι δὲν θ᾽ ἀναστηθῇς, λέγει. Διότι ὑπάρχουν μερικοί, ναί, ὑπάρχουν, οἱ ὁποῖοι θ᾽ ἀποφύγουν καὶ τὸν θάνατον· καὶ ὅμως δὲν ἀρκεῖ αὐτὸ εἰς αὐτοὺς δι᾽ ἐκείνην τὴν ἀνάστασιν, ἀλλὰ πρέπει καὶ ἐκεῖνα τὰ σώματα ποὺ δὲν θ᾽ ἀποθάνουν, νὰ μεταβληθοῦν καὶ νὰ γίνουν ἄφθαρτα.

«Εἰς μίαν στιγμήν, ὅσον χρειάζεται διὰ ν᾽ ἀνοιγοκλείσῃ ὁ ὀφθαλμός, ὅταν θὰ ἀκουσθῇ ἡ ἐσχάτη σάλπιγξ». Ὅταν εἶπεν ἤδη πολλὰ διὰ τὴν ἀνάστασιν, τότε εἰς τὴν κατάλληλον στιγμὴν δεικνύει καὶ τὸ πόσον πολὺ παράδοξος εἶναι. Δὲν εἶναι δηλαδὴ μόνον αὐτὸ ἀξιοθαύμαστον, ὅτι πρῶτον σαπίζουν τὰ σώματα καὶ ὕστερον ἀνίστανται, λέγει, οὔτε ὅτι αὐτὰ ποὺ ἀνίστανται ἀπὸ τὰ σώματα ποὺ ἔχουν σαπίσει εἶναι καλύτερα ἀπὸ τὰ σώματα ποὺ ἔχομεν τώρα, οὔτε ὅτι μεταβαίνουν εἰς πολὺ μεγαλυτέραν κληρονομίαν, οὔτε ὅτι ὁ καθεὶς ἀπολαμβάνει τὸ ἰδικόν του καὶ κανεὶς ὅ,τι ἀνήκει εἰς τὸν ἄλλον, ἀλλ᾽ ὅτι τὰ τόσα καὶ τέτοια καὶ ποὺ ὑπερβαίνουν κάθε σκέψιν καὶ νοῦν γίνονται εἰς μίαν στιγμήν, δηλαδὴ ἀκαριαίως. Καὶ διὰ νὰ δηλώσῃ σαφέστερον αὐτό, «εἰς ὅσον χρόνον χρειάζεται διὰ ν᾽ ἀνοιγοκλείσῃ ὁ ὀφθαλμός», λέγει, ὅσον χρειάζεται διὰ νὰ κλείσῃ κανεὶς τὸ βλέφαρον.

Εἶτα ἐπειδὴ μέγα εἶπε καὶ ἐκστάσεως γέμον, εἰ τοσαῦτα καὶ τηλικαῦτα πράγματα οὕτω γίνεται ταχέως, ἐπάγει εἰς ἀπόδειξιν τὴν ἀξιόπιστον τοῦ ἐργαζομένου, λέγων· «Σαλπίσει γάρ, καὶ οἱ νεκροὶ ἐγερθήσονται ἄφθαρτοι, καὶ ἡμεῖς ἀλλαγησόμεθα»· τό, «ἡμεῖς», οὐ περὶ ἑαυτοῦ λέγων, ἀλλὰ περὶ τῶν τότε ζώντων εὑρισκομένων. «Δεῖ γὰρ τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν». Ἵνα γὰρ μὴ ἀκούσας τις, ὅτι σὰρξ καὶ αἷμα βασιλείαν Θεοῦ οὐ κληρονομήσει, νομίσῃ τὰ σώματα μὴ ἀνίστασθαι, ἐπήγαγεν, ὅτι «Δεῖ τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν, καὶ τὸ θνητὸν τοῦτο ἐνδύσασθαι ἀθανασίαν». Φθαρτὸν δὲ τὸ σῶμα, καὶ θνητὸν τὸ σῶμα. Ὥστε τὸ μὲν σῶμα μένει· αὐτὸ γάρ ἐστι τὸ ἐνδυόμενον· ἡ δὲ θνητότης καὶ ἡ φθορὰ ἀφανίζεται, ἀθανασίας καὶ ἀφθαρσίας ἐπιούσης αὐτῷ. Μὴ τοίνυν ἀμφίβαλλε λοιπὸν πῶς ἄπειρον ζήσεται ζωήν, ὅταν ἀκούσῃς, ὅτι ἄφθαρτον γίνεται. «Ὅταν δὲ τὸ φθαρτὸν τοῦτο ἐνδύσηται ἀφθαρσίαν, καὶ τὸ θνητὸν τοῦτο ἐνδύσηται ἀθανασίαν, τότε γενήσεται ὁ λόγος ὁ γεγραμμένος, κατεπόθη ὁ θάνατος εἰς νῖκος». Ἐπειδὴ γὰρ μεγάλα καὶ ἀπόρρητα εἶπε, πάλιν ἀπὸ προφητείας πιστοῦται τὸν λόγον· «Κατεπόθη ὁ θάνατος εἰς νῖκος»· τουτέστιν, εἰς τέλος· οὐδὲ λείψανον αὐτοῦ μένει, οὐδὲ ὑποστροφῆς ἐλπίς, τῆς ἀφθαρσίας τὴν φθορὰν ἀναλωσάσης.

3. «Ποῦ σου, θάνατε, τὸ κέντρον; ποῦ σου, ᾅδη τὸ νῖκος;». Εἶδες ψυχὴν γενναίαν; Καὶ γὰρ ὡς νικητήρια θύων, καὶ ἔνθους γενόμενος, καὶ ὁρῶν ἤδη ὡς γεγενημένα τὰ μέλλοντα, ἐνάλλεται καὶ ἐπεμβαίνει τῷ θανάτῳ κειμένῳ, καὶ τὴν ἐπινίκιον ἀλαλάζει φωνὴν κατὰ τῆς τούτου κεφαλῆς κειμένης, μεγάλα βοῶν καὶ λέγων· «Ποῦ σου, θάνατε, τὸ κέντρον; ποῦ σου, ᾅδη, τὸ νῖκος;». Οἴχεται καὶ ἀπόλωλε καὶ ἠφάνισται παντελῶς, καὶ εἰκῇ πάντα ἐκεῖνα ἐποίησας. Οὐδὲ γὰρ ἀφώπλισε μόνον αὐτόν, οὐδ' ἐνίκησεν, ἀλλὰ καὶ ἀπώλεσε καὶ εἰς τὸ μηδόλως εἶναι κατέστησε. «Τὸ δὲ κέντρον τοῦ θανάτου ἡ ἁμαρτία· ἡ δὲ δύναμις τῆς ἁμαρτίας

Ἔπειτα, ἐπειδὴ εἶπε πρᾶγμα ποὺ εἶναι μεγάλο καὶ προκαλεῖ ἔκστασιν καὶ ἀπορίαν, διὰ τὸ ὅτι τόσα καὶ τέτοια πράγματα γίνονται εἰς τόσον σύντομον χρόνον, φέρει ὡς ἀπόδειξιν τὴν ἀξιοπιστίαν ἐκείνου ποὺ θὰ τὸ κάνῃ καὶ λέγει· «Διότι θὰ σαλπίσῃ ὁ ἄγγελος καὶ οἱ νεκροὶ θ' ἀναστηθοῦν ἄφθαρτοι καὶ ἐμεῖς θὰ ἀλλάξωμεν»· τὸ «ἐμεῖς» δὲν τὸ λέγει διὰ τὸν ἑαυτόν του, ἀλλὰ δι' ὅσους θὰ ζοῦν τότε. «Διότι πρέπει τὸ φθαρτὸν αὐτὸ νὰ ἐνδυθῇ ἀφθαρσίαν». Διὰ νὰ μὴ νομίσῃ λοιπὸν κανείς, ἐπειδὴ ἤκουσεν ὅτι σὰρξ καὶ αἷμα δὲν θὰ κληρονομήσουν τὴν βασιλείαν τοῦ Θεοῦ, ὅτι τὰ σώματα δὲν ἀνίστανται, προσέθεσεν ὅτι «Πρέπει τὸ φθαρτὸν αὐτὸ νὰ ἐνδυθῇ ἀφθαρσίαν καὶ τὸ θνητὸν αὐτὸ νὰ ἐνδυθῇ ἀθανασίαν». Φθαρτὸν δὲ λέγει τὸ σῶμα καὶ θνητὸν τὸ σῶμα. Ὥστε τὸ σῶμα μένει· διότι αὐτὸ εἶναι ποὺ ἐνδύεται· ἡ θνητότης ὅμως καὶ ἡ φθορὰ καταργοῦνται διότι ἔρχονται εἰς αὐτὸ ἀθανασία καὶ ἀφθαρσία. Μὴ λοιπὸν ἀμφιβάλλῃς διὰ τὸ ὅτι θὰ ζήσῃ ζωὴν χωρὶς τέλος ὅταν ἀκούσῃς ὅτι γίνεται ἄφθαρτον. «Ὅταν δὲ αὐτὸ ποὺ εἶναι φθαρτὸν ἐνδυθῇ τὴν ἀφθαρσίαν καὶ αὐτὸ ποὺ εἶναι θνητὸν ἐνδυθῇ τὴν ἀθανασίαν, τότε θὰ ἐκπληρωθῇ ὁ λόγος ποὺ εἶναι γραμμένος· Κατεβροχθίσθη ὁ θάνατος καὶ κατενικήθη»· δηλαδὴ ἐξηφανίσθη ἐντελῶς· οὔτε ἴχνος μένει ἀπὸ αὐτόν, οὔτε ἐλπὶς ἐπιστροφῆς, ἀφοῦ ἡ ἀφθαρσία ἐξηφάνισε τὴν φθοράν.

3. «Ποῦ εἶναι, θάνατε, τὸ κεντρί σου; Ποῦ εἶναι Ἅδη ἡ νίκη σου;». Εἶδες γενναίαν ψυχήν; Διότι ὡσὰν νὰ πανηγυρίζῃ διὰ νίκην καὶ γεμᾶτος ἀπὸ ἐνθουσιασμὸν καὶ βλέπων τὰ μέλλοντα ὡσὰν νὰ ἔχουν γίνει ἤδη, περιφρονεῖ καὶ καταπατεῖ τὸν θάνατον ποὺ ἔχει καταργηθῇ καὶ κραυγάζει τὴν ἐπινίκιον κραυγὴν ἐπάνω εἰς τὴν κεφαλήν του ποὺ ἔχει πλέον καταπέσει καὶ φωνάζει καὶ λέγει μεγάλα· «Ποῦ εἶναι, θάνατε, τὸ κεντρί σου; Ποῦ εἶναι Ἅδη ἡ νίκη σου;». Ἔφυγαν καὶ ἐχάθησαν καὶ ἠφανίσθησαν ἐντελῶς καὶ ματαίως ἔκανες ὅλα ἐκεῖνα. Διότι ὄχι μόνον τὸν ἀφώπλισε καὶ τὸν ἐνίκησεν, ἀλλὰ καὶ τὸν ἐξηφάνισε καὶ τὸν κατέστησεν ἀνύπαρκτον. «Διότι τὸ κεντρὶ τοῦ θανάτου εἶναι ἡ ἁ-

ὁ νόμος». Ὁρᾷς πῶς περὶ θανάτου σωματικοῦ ὁ λόγος; Οὐκοῦν καὶ περὶ ἀναστάσεως σωματικῆς. Εἰ γὰρ μὴ ἀνίσταται ταῦτα, πῶς κατεπόθη ὁ θάνατος; Καὶ οὐ τοῦτο μόνον, ἀλλὰ πῶς δύναμις τῆς ἁμαρτίας ὁ νόμος; Ὅτι μὲν γὰρ κέντρον τοῦ θανάτου ἡ ἁμαρτία, καὶ χαλεπωτέρα ἐκείνου, καὶ ἐν αὐτῇ τὴν ἰσχὺν οὗτος ἔχει, δῆλον· πῶς δὲ καὶ ταύτης δύναμις ὁ νόμος; Ὅτι χωρὶς αὐτοῦ ἀσθενὴς ἦν, πραττομένη μέν, οὐ δυναμένη δὲ οὕτω καταδικάσαι. Τὸ μὲν γὰρ κακὸν ἐγίνετο, σαφῶς δὲ οὐκ ἐδείκνυτο οὕτως. Ὥστε οὐ μικρὸν εἰσήνεγκεν ὁ νόμος, τὸ καὶ γνωρίσαι τὴν ἁμαρτίαν μᾶλλον, καὶ ἐπιτεῖναι τὴν κόλασιν.

Εἰ δὲ βουλόμενος κωλῦσαι χαλεπωτέραν ἀπέφηνεν, οὐ παρὰ τὸν ἰατρὸν τὸ ἔγκλημα, ἀλλὰ παρὰ τὸν κακῶς τῷ φαρμάκῳ χρησάμενον. Ἐπεὶ καὶ ἡ παρουσία τοῦ Χριστοῦ μᾶλλον ἐβάρησε τοὺς Ἰουδαίους, ἀλλ' οὐ διὰ τοῦτο αὐτῇ ἐγκαλέσομεν, ἀλλὰ ταύτην μὲν καὶ θαυμασόμεθα, ἐκείνους δὲ μειζόνως μισήσομεν βλαβέντας δι' ὧν ὠφελεῖσθαι ἔδει. Ὅτι γὰρ οὐκ αὐτὸς τὴν ἁμαρτίαν ἐδυνάμωσεν, ὁ Χριστὸς αὐτὸς ἐπλήρωσεν ἅπαντα, καὶ ἁμαρτίας ἐκτὸς ἦν. Σὺ δέ μοι σκόπει, πῶς καὶ ἐντεῦθεν τὴν ἀνάστασιν πιστοῦται. Εἰ γὰρ τοῦτο θανάτου αἴτιον τὸ ἁμαρτάνειν, ὁ δὲ Χριστὸς ἐλθὼν ἔλυσε τὴν ἁμαρτίαν, καὶ ἡμᾶς αὐτῆς διὰ τοῦ βαπτίσματος ἀπήλλαξε, καὶ μετὰ τῆς ἁμαρτίας καὶ τὸν νόμον ἔπαυσεν, οὗ παραβαινομένου αὕτη συνίστατο, τί λοιπὸν ἀμφιβάλλεις περὶ τῆς ἀναστάσεως; Πόθεν γὰρ λοιπὸν ὁ θάνατος κρατήσει; Ἀπὸ τοῦ νόμου; Ἀλλ' ἐλύθη οὗτος. Ἀλλ' ἀπὸ τῆς ἁμαρτίας; Ἀλλ' ἀνηρέθη αὕτη.

«Τῷ δὲ Θεῷ χάρις τῷ διδόντι ἡμῖν τὸ νῖκος διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ». Τὸ μὲν γὰρ τρόπαιον αὐτὸς

μαρτία· ἡ δὲ δύναμις τῆς ἁμαρτίας ὁ νόμος». Βλέπεις ὅτι ὁ λόγος γίνεται διὰ τὸν σωματικὸν θάνατον; Ἐπομένως λοιπὸν καὶ ὁ λόγος διὰ τὴν ἀνάστασιν ἀναφέρεται εἰς τὸ σῶμα. Διότι ἐὰν δὲν ἀνίσταται τὸ σῶμα πῶς κατεβροχθίσθη ὁ θάνατος; Καὶ ὄχι μόνον αὐτό, ἀλλὰ πῶς εἶναι δύναμις τῆς ἁμαρτίας ὁ νόμος; Διότι τὸ ὅτι μὲν κεντρὶ τοῦ θανάτου εἶναι ἡ ἁμαρτία καὶ ὅτι εἶναι χειροτέρα ἀπὸ ἐκεῖνον καὶ ὅτι εἰς αὐτὴν ἔχει τὴν δύναμίν του ὁ θάνατος, εἶναι φανερόν· πῶς ὅμως ὁ νόμος εἶναι δύναμις τῆς ἁμαρτίας; Διότι χωρὶς αὐτὸν ἦτο ἀσθενής, ἀφοῦ ἐπράττετο μέν, ἀλλὰ δὲν εἶχε δύναμιν νὰ καταδικάσῃ. Διότι τὸ μὲν κακὸν ἐγίνετο, ἀλλὰ δὲν ἐφαίνετο τόσον σαφῶς. Ὥστε ὁ νόμος δὲν συνέβαλεν ὀλίγον εἰς τὸ καὶ νὰ γνωρισθῇ ἡ ἁμαρτία περισσότερον καὶ νὰ αὐξήσῃ τὴν κόλασιν.

Ἀφοῦ ὅμως ἔδειξε τὴν ἁμαρτίαν μὲ σκοπὸν νὰ ἐμποδίσῃ χειροτέραν πτῶσιν τοῦ ἀνθρώπου εἰς αὐτήν, ἡ εὐθύνη δὲν εἶναι εἰς τὸν ἰατρόν, ἀλλ' εἰς αὐτὸν ποὺ ἐχρησιμοποίησεν κακῶς τὸ φάρμακον. Διότι καὶ ἡ παρουσία τοῦ Χριστοῦ ἔκανε τοὺς Ἰουδαίους περισσότερον ὑπευθύνους, δὲν θὰ κατηγορήσωμεν ὅμως αὐτὴν δι' αὐτό, ἀλλὰ αὐτὴν μὲν ἐπὶ πλέον θὰ τὴν θαυμάσωμεν, ἐνῷ ἐκείνους περισσότερον θὰ τοὺς μισήσωμεν διότι ἐζημιώθησαν ἀπὸ ἐκεῖνα ποὺ ἔπρεπε νὰ ὠφεληθοῦν. Διότι ὅτι δὲν ἐδυνάμωσε τὴν ἁμαρτίαν αὐτός, ὁ ἴδιος ὁ Χριστὸς ἐξεπλήρωσεν ὁλόκληρον τὸν νόμον καὶ ἦτο ἐκτὸς ἁμαρτίας. Σὺ δὲ πρόσεξε πῶς καὶ ἀπὸ ἐδῶ πιστοποιεῖ τὴν ἀνάστασιν. Διότι ἐὰν τὸ ν' ἁμαρτάνῃ ὁ ἄνθρωπος ἦτο αἴτιον θανάτου, ὁ δὲ Χριστὸς ἀφοῦ ἦλθε κατέλυσεν τὴν ἁμαρτίαν καὶ μᾶς ἀπήλλαξεν ἀπὸ αὐτὴν διὰ τοῦ βαπτίσματος καὶ μαζὶ μὲ τὴν ἁμαρτίαν κατέπαυσε καὶ τὴν ἰσχὺν τοῦ νόμου, εἰς τὴν παράβασιν τοῦ ὁποίου συνίστατο ἡ ἁμαρτία, διατί λοιπὸν ἀμφιβάλλεις διὰ τὴν ἀνάστασιν; Διότι ἀπὸ ποῦ πλέον θὰ ἐπικρατήσῃ ὁ θάνατος; Ἀπὸ τὸν νόμον; Ἀλλ' αὐτὸς κατελύθη. Ἀπὸ τὴν ἁμαρτίαν; Ἀλλ' αὐτὴ ἀνῃρέθη.

«Ἀλλ' ἃς εὐχαριστοῦμεν τὸν Θεόν, ποὺ μᾶς δίδει τὴν νίκην διὰ τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ». Διότι τὸ μὲν

ἔστησε, τῶν δὲ στεφάνων καὶ ἡμᾶς ἀπολαῦσαι ἐποίησε, καὶ τοῦτο οὐκ ἐξ ὀφειλῆς, ἀλλ' ἀπὸ φιλανθρωπίας μόνης. «Ἄρα οὖν, ἀδελφοί, ἑδραῖοι γίνεσθαι, ἀμετακίνητοι». Δικαία λοιπὸν καὶ εὔκαιρος ἡ παραίνεσις. Οὐδὲν γὰρ οὕτω σαλεύει, ὡς τὸ εἰκῆ νομίζειν κόπτεσθαι καὶ μάτην. «Περισσεύοντες ἐν τῷ ἔργῳ τοῦ Κυρίου πάντοτε»· τουτέστιν, ἐν τῷ βίῳ τῷ καθαρῷ. Καὶ οὐκ εἶπεν, ἐργαζόμενοι τὸ ἀγαθόν, ἀλλά, «περισσεύοντες», ἵνα μετὰ περιουσίας αὐτὸ ποιῶμεν, καὶ τὰ σκάμματα ὑπερβαίνωμεν. «Εἰδότες ὅτι ὁ κόπος ὑμῶν οὐκ ἔστι κενὸς ἐν Κυρίῳ». Τί λέγεις; πάλιν κόπος; Ἀλλὰ στεφάνους ἔχων, καὶ ὑπὲρ τῶν οὐρανῶν. Ὁ μὲν γὰρ πρότερος ὁ μετὰ τὸν παράδεισον, κόλασις τῶν ἁμαρτηθέντων, οὗτος δὲ ὑπόθεσις τῶν μελλόντων βραβείων. Ὥστε οὐδ' ἂν εἴη κόπος, ταύτῃ τε καὶ τῷ πολλῆς τῆς ἄνωθεν ἀπολαύειν βοηθείας· διὸ καὶ ἐπήγαγεν, «ἐν Κυρίῳ». Ὁ μὲν γὰρ πρότερος, ἵνα δίκην δῶμεν, οὗτος δέ, ἵνα τῶν μελλόντων τύχωμεν ἀγαθῶν.

4. Μὴ τοίνυν καθεύδωμεν, ἀγαπητοί. Οὐ γάρ ἐστιν, οὐκ ἔστι ῥαθυμοῦντα τῆς βασιλείας τῶν οὐρανῶν ἐπιτυχεῖν, οὐδὲ τρυφῶντας καὶ μαλακιζομένους. Ἀγαπητὸν γὰρ κατατεινομένους καὶ ὑποπιέζοντας τὸ σῶμα, καὶ μυρία ὑπομένοντας ἐπίπονα, δυνηθῆναι τυχεῖν τῶν ἀγαθῶν ἐκείνων. Ἢ οὐχ ὁρᾶτε τουτὶ τὸ μέσον τοῦ οὐρανοῦ πρὸς τὴν γῆν ὅσον ἐστί, καὶ ἡλίκος ὁ πόλεμος ἐφέστηκε, καὶ πῶς ὀξύρροπον ἄνθρωπος πρὸς τὴν κακίαν, καὶ πῶς εὐπερίστατον ἡ ἁμαρτία, καὶ ὅσαι ἐν μέσῳ παγίδες; Τί τοίνυν τοσαύτας ἐπισυρόμεθα φροντίδας ἐκτὸς τῶν φυσικῶν, καὶ πλείονα παρέχομεν ἑαυτοῖς πράγματα, καὶ μεῖζον ποιοῦμεν τὸ φορτίον; Οὐκ ἀρ-

τρόπαιον τῆς νίκης ἐκεῖνος τὸ ἔστησεν, ἀλλ' ἔκανε καὶ ἐμᾶς κοινωνοὺς εἰς τὴν ἀπόλαυσιν τῶν στεφάνων καὶ αὐτὸ ὄχι ἀπὸ ὑποχρέωσιν, ἀλλὰ μόνον ἀπὸ φιλανθρωπίαν. «Ὥστε λοιπόν, ἀδελφοί, γίνεσθε σταθεροί, ἀμετακίνητοι». Ὀρθὴ καὶ πρέπουσα εἰς τὴν περίστασιν εἶναι λοιπὸν ἡ παραίνεσις. Διότι τίποτε δὲν κλονίζει τόσον, ὅσον τὸ νὰ νομίζῃ κανεὶς ὅτι κοπιάζει μάταια καὶ ἄσκοπα «Ἐργαζόμενοι ὅλο καὶ περισσότερον εἰς τὸ ἔργον ποὺ ζητεῖ ὁ Κύριος»· δηλαδή, καθαρὰν ζωήν. Καὶ δὲν εἶπεν, ἐργαζόμενοι τὸ ἀγαθόν, ἀλλά, «ἐργαζόμενοι ὅλο καὶ περισσσότερον», διὰ νὰ πράττωμεν αὐτὸ μὲ πολὺν ζῆλον καὶ νὰ ὑπερβαίνωμεν τὸ σκάμμα τοῦ ἀγῶνος. «Γνωρίζοντες ὅτι ὁ κόπος σας ἐν Κυρίῳ δὲν εἶναι μάταιος». Τί λέγεις; πάλιν κόπος; Ναί, ἀλλὰ κόπος ποὺ βραβεύεται μὲ στεφάνους καὶ ποὺ γίνεται διὰ τὸν οὐρανόν. Διότι ὁ μὲν προηγούμενος ποὺ ἐγίνετο μετὰ τὴν ἐκδίωξιν ἀπὸ τὸν παράδεισον, ἦτο τιμωρία διὰ τὰς ἁμαρτίας, αὐτὸς ὅμως εἶναι ἡ προϋπόθεσις διὰ τὰ μέλλοντα βραβεῖα. Ὥστε δὲν εἶναι κόπος, ἀφοῦ ὁ ἀγὼν γίνεται δι' αὐτὸ καὶ ἀφοῦ ἀπολαμβάνομεν πολλὴν βοήθειαν ἄνωθεν· δι' αὐτὸ καὶ προσέθεσεν, «ἐν Κυρίῳ». Διότι ὁ προηγούμενος μὲν ἐγίνετο διὰ καταδίκην, αὐτὸς ὅμως διὰ νὰ τύχωμεν τὰ μέλλοντα ἀγαθά.

4. Ἂς μὴ μένωμεν ἀδρανεῖς λοιπόν, ἀγαπητοί. Διότι δὲν εἶναι δυνατόν, ναί, δὲν εἶναι δυνατὸν νὰ ἐπιτύχῃ τὴν βασιλείαν τῶν οὐρανῶν, ὅποιος εἶναι ράθυμος, οὔτε αὐτοὶ ποὺ παραδίδονται εἰς ἀπολαύσεις καὶ ἀποχαυνοῦνται. Καθ' ὅσον μόλις εἶναι δυνατὸν εἰς αὐτοὺς ποὺ κατατυραννοῦν καὶ βασανίζουν τὸ σῶμα καὶ ὑπομένουν ἄπειρα κοπιαστικά, νὰ ἠμπορέσουν νὰ ἀξιωθοῦν ἐκείνων τῶν ἀγαθῶν. Ἢ δὲν βλέπετε αὐτὴν τὴν ἀπόστασιν μεταξὺ γῆς καὶ οὐρανοῦ πόσον μεγάλη εἶναι καὶ πόσος πόλεμος ὑπάρχει καὶ πόσον πολὺ ἐπιρρεπὴς εἶναι ὁ ἄνθρωπος πρὸς τὴν κακίαν καὶ πόσον πολὺ περικυκλώνει ἡ ἁμαρτία καὶ πόσαι παγίδες εἰς τὸ μέσον; Διατί λοιπὸν ἀκολουθοῦμεν τόσας φροντίδας ἐκτὸς ἀπὸ τὰς φυσικὰς καὶ ἀσχολούμεθα μὲ περισσοτέρας φροντίδας καὶ κάμνομεν βαρύτερον τὸ φορτίον; Δὲν ἀρ-

κεῖ τὸ ὑπὲρ γαστρὸς φροντίζειν καὶ ἱματίων καὶ οἰκίας; οὐκ ἀρκεῖ ἡ μέριμνα τῶν ἀναγκαίων; Καίτοιγε καὶ τούτων ἀπήγαγεν ὁ Χριστός, λέγων· «Μὴ μεριμνήσητε τῇ ψυχῇ ὑμῶν τί φάγητε, μηδὲ τῷ σώματι ὑμῶν τί ἐνδύσησθε».

Εἰ δὲ ὑπὲρ τῆς ἀναγκαίας τροφῆς καὶ περιβολῆς μεριμνᾶν οὐ χρή, οὐδὲ ὑπὲρ τῆς ἐπιούσης ἡμέρας, οἱ τὸν τοσοῦτον φορτὸν ἐπεισάγοντες, καὶ καταχωνύντες ἑαυτούς, πότε δυνήσονται ἀνανεῦσαι; Οὐκ ἤκουσας Παύλου λέγοντος, «Οὐδεὶς στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ βίου πραγματείαις»; Ἡμεῖς δὲ καὶ τρυφῶμεν καὶ γαστριζόμεθα καὶ μεθύομεν, καὶ ὑπὲρ μὲν τῶν ἔξω κοπτόμεθα πραγμάτων, ἐν δὲ τοῖς τοῦ οὐρανοῦ μαλακιζόμεθα. Οὐκ ἴστε, ὅτι ὑπὲρ ἄνθρωπον ἡ ἐπαγγελία; Οὐκ ἔστι χαμαὶ βαδίζοντα τῶν οὐρανίων ἁψίδων ἐπιβῆναι. Ἡμεῖς δὲ οὐ κατὰ ἄνθρωπον σπουδάζομεν ζῆν, ἀλλὰ ἀλόγων ἐγενόμεθα χείρους. Οὐκ ἴστε ποίῳ παραστησόμεθα βήματι; οὐκ ἐννοεῖτε, ὅτι καὶ ῥημάτων καὶ ἐνθυμημάτων ἀπαιτούμεθα δίκας, καὶ οὐδὲ πραγμάτων φροντίζομεν; «Ὁ γὰρ ἐμβλέψας γυναικί», φησίν, «ἤδη ἐμοίχευσεν αὐτήν». Ἀλλ' ὅμως οἱ καὶ ὄψεως περιέργου λόγον ὑπέχοντες, οὐ παραιτοῦνται καὶ αὐτῇ ἐνσήπεσθαι τῇ ἁμαρτίᾳ.

Ὁ λέγων τῷ ἀδελφῷ αὐτοῦ, μωρέ, εἰς γέενναν ἐμπεσεῖται· ἡμεῖς δὲ οὐδὲ τοῦ μυρίοις αὐτοὺς καταισχύνειν ὀνείδεσι καὶ ποικίλως ἐπιβουλεύειν ἀφιστάμεθα. Ὁ τὸν φιλοῦντα φιλῶν, οὐδὲν ἔχει τοῦ ἐθνικοῦ πλέον· ἡμεῖς δὲ καὶ τούτοις βασκαίνομεν. Τίνα οὖν ἕξομεν συγγνώμην, ὅταν ὑπερβῆναι τὰ παλαιὰ κελευόμενοι σκάμματα, καὶ ἐλάττονα

---

4. Ματθ. 6, 25.
5. Β´ Τιμ. 2, 4.
6. Ματθ. 5, 28.

κεῖ νὰ φροντίζωμεν διὰ τὴν τροφὴν καὶ τὰ ἐνδύματα καὶ τὴν οἰκίαν; δὲν ἀρκεῖ ἡ μέριμνα διὰ τὰ ἀναγκαῖα; Ἂν καὶ βέβαια καὶ ἀπὸ αὐτὰ μᾶς παρήγγειλε ὁ Χριστὸς ν' ἀπομακρυνώμεθα ὅταν ἔλεγε· «Μὴ μεριμνᾶτε διὰ τὴν ζωήν σας τί θὰ φάγετε, οὔτε διὰ τὸ σῶμά σας τί θὰ φορέσετε»[4].

Ἀφοῦ λοιπὸν δὲν πρέπει νὰ μεριμνῶμεν διὰ τὴν ἀναγκαίαν τροφὴν καὶ ἐνδυμασίαν, οὔτε διὰ τὴν κάθε ἡμέραν ποὺ ἔρχεται, αὐτοὶ ποὺ φέρουν εἰς τὴν ζωήν των τόσην ἀναστάτωσιν καὶ θάπτουν τοὺς ἑαυτούς των, πότε θὰ ἠμπορέσουν νὰ ἀνανήψουν; Δὲν ἤκουσες τὸν Παῦλον ποὺ λέγει· «Ὅταν κανεὶς ὑπηρετῇ ὡς στρατιώτης δὲν ἐμπλέκεται εἰς βιοτικὰς ὑποθέσεις»[5]; Ἐμεῖς ὅμως παραδιδόμεθα εἰς ἀπολαύσεις καὶ γαστριμαργίαν καὶ μέθην, καὶ διὰ τὰς μὲν κοσμικὰς ὑποθέσεις κοπτόμεθα ἀπὸ ἐνδιαφέρον, ἐνῷ διὰ τὰ οὐράνια εἴμεθα νωθροὶ καὶ μαλθακοί. Δὲν γνωρίζετε ὅτι ἡ ὑπόσχεσις ὑπερβαίνει τὸν ἄνθρωπον; Δὲν εἶναι δυνατὸν αὐτὸς ποὺ βαδίζει καὶ προσκολλᾶται εἰς τὰ γήϊνα νὰ ἀναβῇ εἰς τὰς οὐρανίους ἀψίδας. Ἐμεῖς ὅμως δὲν προσπαθοῦμεν νὰ ζήσωμεν ὡς ἄνθρωποι, ἀλλ' ἐγίναμεν χειρότεροι ἀπὸ τὰ ζῷα. Δὲν γνωρίζετε εἰς ποῖον κριτήριον θὰ παρουσιασθοῦμεν; δὲν καταλαμβάνετε ὅτι καὶ διὰ τοὺς λόγους καὶ τὰς σκέψεις δίδομεν λόγον καὶ δὲν φροντίζομεν οὔτε ἀπὸ ὅσα ἐκάναμεν ν' ἀπαλλαγῶμεν; «Ὅποιος βλέπει γυναῖκα μὲ ἐπιθυμίαν πρὸς ἁμαρτίαν, ἤδη ἐμοίχευσεν αὐτήν»[6]. Ἀλλὰ καὶ αὐτοὶ ἀκόμη ποὺ εὐθύνονται δι' ἀκάθαρτον βλέμμα, δὲν ζητοῦν συγχώρησιν καὶ σαπίζουν μέσα εἰς αὐτὴν τὴν ἁμαρτίαν.

Αὐτὸς ποὺ ἀποκαλεῖ τὸν συνάνθρωπόν του ἀνόητον, θὰ ριφθῇ εἰς τὴν γέενναν· ἐμεῖς ὅμως δὲν ἀπομακρυνόμεθα οὔτε ἀπὸ τὸ νὰ κατεντροπιάζωμεν τοὺς συνανθρώπους μὲ ἀπείρους κατηγορίας καὶ νὰ τοὺς ἐπιβουλευώμεθα μὲ διαφόρους τρόπους. Αὐτὸς ποὺ ἀγαπᾷ ἐκεῖνον ἀπ' τὸν ὁποῖον ἀγαπᾶται, δὲν ἔχει τίποτε περισσότερον ἀπὸ τὸν εἰδωλολάτρην· ἐμεῖς ὅμως καὶ αὐτοὺς φθονοῦμεν. Ποίαν λοιπὸν συγγνώμην θὰ ἔχωμεν ὅταν, ἐνῷ ἔχομεν ἐντολὴν νὰ ὑπερβῶμεν τὰ παλαιὰ σκάμματα εἰς τὸν ἀγῶνα μας, κά-

ἐκείνου τοῦ μέτρου τὴν ἑαυτῶν πολιτείαν ὑφαίνωμεν; Τί ἡμᾶς ἐξαιρήσεται λόγος; τίς παραστήσεται καὶ βοηθήσει κολαζομένοις; Οὐκ ἔστιν οὐδείς, ἀλλ' ἀνάγκη πᾶσα οἰμώζοντας, ὀδυρομένους, βρύχοντας τοὺς ὀδόντας, στρεβλουμένους εἰς τὸ σκότος ἀπάγεσθαι τὸ ἀφεγγὲς ἐκεῖνο, εἰς τὰς ἀπαραιτήτους ὀδύνας, εἰς τὰς ἀνηκέστους τιμωρίας.

Διὸ δέομαι καὶ παρακαλῶ, καὶ αὐτῶν ἅπτομαι τῶν γονάτων, ἕως ἂν ἔχωμεν τὸ μικρὸν τοῦτο τῆς ζωῆς ἐφόδιον, κατανυγῆναι τοῖς εἰρημένοις, ἐπιστραφῆναι, βελτίους γενέσθαι, ἵνα μὴ κατὰ τὸν πλούσιον ἐκεῖνον ἀνήνυτα ἐκεῖ θρηνῶμεν ἀπελθόντες, καὶ ἀνίατα λοιπὸν ὀδυρώμεθα. Κἂν γὰρ πατέρα ἔχῃς, κἂν υἱόν, κἂν φίλον, κἂν ὀντιναοῦν παρρησίαν ἔχοντα πρὸς τὸν Θεόν, οὐδείς σε ποτὲ ἐξαιρήσεται τούτων ὑπὸ τῶν οἰκείων ἔργων προδιδόμενον. Τοιοῦτον γὰρ ἐκεῖνο τὸ δικαστήριον· ἀπὸ τῶν πράξεων δικάζει μόνων, καὶ ἄλλως ἐκεῖ σωθῆναι οὐκ ἔνι. Καὶ ταῦτα λέγω, οὐχ ἵνα λυπήσω, οὐδ' ἵνα εἰς ἀπόγνωσιν ἐμβάλω, ἀλλ' ἵνα μὴ ματαίαις μηδὲ ψυχραῖς ἐλπίσι τρεφόμενοι, καὶ εἰς τὸν δεῖνα καὶ εἰς τὸν δεῖνα θαρροῦντες, τῆς καθ' ἑαυτοὺς ἀμελήσωμεν ἀρετῆς. Ἂν μὲν γὰρ ῥαθυμήσωμεν, οὐ δίκαιος, οὐ προφήτης, οὐκ ἀπόστολος, οὐδεὶς ἡμῖν παραστήσεται, ἂν δὲ σπουδάσωμεν, ἀρκοῦσαν τὴν ἀπὸ τῶν ἔργων συνηγορίαν ἔχοντες, μετὰ παρρησίας ἀπελευσόμεθα, καὶ τῶν ἀγαθῶν ἐπιτευξόμεθα τῶν ἀποκειμένων τοῖς τὸν Θεὸν ἀγαπῶσιν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ σὺν τῷ ἁγίῳ καὶ ἀγαθῷ Πνεύματι ἡ δόξα, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

μνομεν τὴν ζωήν μας κατωτέραν καὶ ἀπὸ τὸ μέτρον ποὺ ἴσχυεν εἰς τὴν παλαιὰν Διαθήκην; Ποῖος λόγος θὰ μᾶς λυτρώση; ποῖος θὰ παραστῇ καὶ θὰ μᾶς βοηθήση ὅταν θὰ κολαζώμεθα; Δὲν ὑπάρχει κανείς, ἀλλ' ἀναγκαστικὰ θρηνοῦντες, ὀρυδόμενοι, τρίζοντες τὰ δόντια, βασανιζόμενοι, θὰ ὁδηγηθῶμεν εἰς τὸ πυκνὸν ἐκεῖνο σκότος, εἰς τὰς ἀδυσωπήτους ἐκείνας ὀδύνας, εἰς τὰς τιμωρίας ποὺ δὲν ἔχουν λύτρωσιν.

Δι' αὐτὸ ἱκετεύω καὶ παρακαλῶ καὶ γονατίζω, νὰ ἔλθωμεν εἰς κατάνυξιν ἀπὸ ὅσα ἐλέχθησαν, νὰ ἐπιστρέψωμεν, νὰ γίνωμεν καλύτεροι, διὰ νὰ μὴ θρηνῶμεν, δίχως τέλος, ἀφοῦ ἀπέλθωμεν εἰς τὴν κόλασιν, ὅπως ἐκεῖνος ὁ πλούσιος καὶ νὰ μὴ ὀδυρώμεθα πλέον χωρὶς νὰ εὑρίσκωμεν θεραπείαν ποτέ. Διότι καὶ ἂν ἀκόμη ἔχῃς πατέρα, εἴτε υἱόν, εἴτε φίλον, εἴτε ὁποιονδήποτε ποὺ εἰσακούεται ἀπὸ τὸν Θεόν, κανεὶς ποτὲ δὲν θὰ σὲ λυτρώση ἀπὸ αὐτοὺς ὅταν σὲ παραδίδουν καὶ σὲ καταστρέφουν τὰ ἴδια τὰ ἔργα σου. Διότι τέτοιο εἶναι ἐκεῖνο τὸ δικαστήριον· μόνον ἀπὸ τὰς πράξεις δικάζει καὶ δὲν εἶναι δυνατὸν νὰ σωθῇ κανεὶς μὲ ἄλλον τρόπον. Καὶ αὐτὰ τὰ λέγω, ὄχι διὰ νὰ σᾶς λυπήσω, οὔτε διὰ νὰ σᾶς ρίψω εἰς ἀπόγνωσιν, ἀλλὰ διὰ νὰ μὴ ἀμελήσωμεν διὰ τὴν ἀρετήν μας τρεφόμενοι μὲ ματαίας καὶ ψευδεῖς ἐλπίδας καὶ βασιζόμενοι εἰς τὸν τάδε ἢ τὸν τάδε ἅγιον. Διότι ἐὰν μὲν γίνωμεν ράθυμοι, οὔτε δίκαιος, οὔτε προφήτης, οὔτε ἀπόστολος, κανεὶς δὲν θὰ μᾶς βοηθήση, ἐὰν ὅμως ἀγωνισθῶμεν μὲ προσοχήν, ἀφοῦ θὰ ἔχωμεν ἀρκετὴν τὴν συνηγορίαν ἀπὸ τὰ ἔργα, θὰ ἀπέλθωμεν μὲ θάρρος καὶ θὰ ἐπιτύχωμεν τὰ ἀγαθὰ ποὺ ἀναμένουν αὐτοὺς ποὺ ἀγαποῦν τὸν Θεόν· τὰ ὁποῖα εἴθε νὰ ἐπιτύχωμεν ὅλοι μας μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖον εἰς τὸν Πατέρα καὶ εἰς τὸ ἅγιον Πνεῦμα ἀνήκει ἡ δόξα τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ ΜΓ΄
Α΄ Κορ. 16, 1 - 10

«Περὶ δὲ τῆς λογίας τῆς εἰς τοὺς ἁγίους, καθὼς διέταξα ταῖς ἐκκλησίαις τῆς Γαλατίας, οὕτω καὶ ὑμεῖς ποιήσατε».

1. *Ἀπαρτίσας τὸν περὶ τῶν δογμάτων λόγον, καὶ μέλλων εἰς τὸν ἠθικώτερον ἐμβαίνει, πάντα τὰ ἄλλα ἀφείς, ἐπὶ τὸ κεφάλαιον τῶν ἀγαθῶν χωρεῖ, τὸν περὶ ἐλεημοσύνης ποιούμενος λόγον. Καὶ οὐ πάντα προστίθησι τὸν ἠθικὸν λόγον, ἀλλὰ περὶ τούτου μόνου διαλεχθείς, ἀπαλλάττεται· καίτοιγε οὐδαμοῦ τοῦτο ἐποίησεν, ἀλλὰ καὶ περὶ ἐλεημοσύνης, καὶ περὶ σωφροσύνης, καὶ περὶ πραότητος, καὶ περὶ μακροθυμίας, καὶ περὶ τῶν ἄλλων ἁπάντων διαλέγεται ἐν ταῖς ἄλλαις ἐπιστολαῖς τελευτῶν. Τίνος οὖν ἕνεκεν ἐνταῦθα πρὸ τοῦ ἠθικοῦ τοῦτο μόνον γυμνάζει τὸ μέρος; Ὅτι καὶ τῶν ἔμπροσθεν εἰρημένων τὰ πλείονα ἠθικώτερα ἦν, δι᾿ ὧν τὸν πόρνον ἐκόλασε, δι᾿ ὧν τοὺς ἔξω δικαζομένους ἐσωφρόνιζε, δι᾿ ὧν τοὺς μεθύοντας καὶ γαστριζομένους ἐφόβησε, δι᾿ ὧν τοὺς στασιάζοντας καὶ φιλονεικοῦντας καὶ φιλαρχοῦντας κατεδίκασε, δι᾿ ὧν τοὺς ἀναξίως τοῖς μυστηρίοις προσιόντας τῇ ἀφορήτῳ δίκῃ ἐκείνῃ παρέδωκε, δι᾿ ὧν περὶ ἀγάπης διελέχθη. Διὰ δὴ τοῦτο, οὗ μάλιστα αὐτῷ ἔδει, τῆς εἰς τοὺς ἁγίους ἐπικουρίας, τούτου μέμνηται μόνου.*

Καὶ θέα τὴν σύνεσιν. Ὅτε αὐτοὺς περὶ ἀναστάσεως ἔπεισε, καὶ προθυμοτέρους ἐποίησε, τότε λοιπὸν καὶ περὶ

ΛΟΓΟΣ ΜΓ΄
Α΄ Κορ. 16, 1 - 10

«Όσον αφορᾷ τὴν συνεισφορὰν διὰ τοὺς ἁγίους, νὰ κάνετε καὶ σεῖς ὅπως ὥρισα εἰς τὰς ἐκκλησίας τῆς Γαλατίας».

1. Ἀφοῦ ἐτελείωσε τὸν λόγον διὰ τὰ δόγματα τῆς πίστεως καὶ ἐπειδὴ πρόκειται νὰ ἔλθῃ εἰς ἠθικὴν παραίνεσιν, ἀφοῦ ἄφησεν ὅλα τὰ ἄλλα, προχωρεῖ εἰς τὴν κορυφὴν τῶν ἀγαθῶν διὰ νὰ ὁμιλήσῃ διὰ τὴν ἐλεημοσύνην. Καὶ δὲν ἀναπτύσσει πλήρη ἠθικὸν λόγον, ἀλλ' ἀφοῦ ὡμίλησε μόνον διὰ τὴν ἐλεημοσύνην, σταματᾷ· ἂν καὶ βέβαια πουθενὰ δὲν ἔκαμε τὸ ἴδιον, ἀλλὰ καὶ δι' ἐλεημοσύνην καὶ διὰ σωφροσύνην καὶ διὰ πραότητα καὶ διὰ μακροθυμίαν καὶ δι' ὅλας τὰς ἄλλας ἀρετὰς ὁμιλεῖ εἰς τὸ τέλος τῶν ἄλλων ἐπιστολῶν. Διατί λοιπὸν ἐδῶ ὁμιλεῖ εἰς τὸν ἠθικόν του αὐτὸν λόγον μόνον δι' αὐτὴν τὴν ἀρετήν. Διότι καὶ ἀπὸ αὐτὰ ποὺ εἶπε πρὶν τὰ περισσότερα ἦσαν ἠθικαὶ παραινέσεις, αὐτὰ δηλαδὴ μὲ τὰ ὁποῖα ἐκόλασε τὸν πόρνον, ἐκεῖνα μὲ τὰ ὁποῖα ἐσυνέτιζεν ἐκείνους ποὺ καταφεύγουν εἰς τὰ ἐκτὸς τῆς ἐκκλησίας δικαστήρια, μὲ τὰ ἄλλα ποὺ ἐφόβησεν ὅσους γαστριμαργοῦν καὶ μεθοῦν, μὲ ὅσα κατεδίκασεν αὐτοὺς ποὺ δημιουργοῦν ταραχὰς καὶ φιλονεικοῦν καὶ ἀγαποῦν τὴν ἐξουσίαν, μὲ ὅσα παρέδωσεν εἰς ἀφόρητον κόλασιν ἐκείνους ποὺ προσέρχονται ἀναξίως εἰς τὰ μυστήρια, μὲ ὅσα ὡμίλησε διὰ τὴν ἀγάπην. Ἀκριβῶς δι' αὐτὸν λοιπὸν τὸν λόγον ἀναφέρεται μόνον εἰς αὐτὸ τὸ ὁποῖον τὸν ἐνδιέφερε πολύ, δηλαδὴ τὸ νὰ βοηθήσῃ τοὺς πιστούς.

Καὶ πρόσεχε τὴν σύνεσιν. Ὅταν ἔπεισεν αὐτοὺς διὰ τὴν ἀνάστασιν καὶ τοὺς ἔκανε προθυμοτέρους, τότε πλέον

τούτου διαλέγεται. Καίτοιγε καὶ ὑπὲρ τούτων διελέχθη πρὸς αὐτοὺς ἔμπροσθεν, ὅτε ἔλεγεν· «Εἰ ἡμεῖς ὑμῖν τὰ πνευματικὰ ἐσπείραμεν, μέγα, εἰ ἡμεῖς ὑμῶν τὰ σαρκικὰ θερίσομεν;» καί, «Τίς φυτεύει ἀμπελῶνα, καὶ ἐκ τοῦ καρποῦ αὐτοῦ οὐκ ἐσθίει;». Ἀλλ' ἐπειδὴ ᾔδει τοῦ κατορθώματος τὸ μέγεθος, οὐ παραιτεῖται καὶ τῷ τέλει τῆς ἐπιστολῆς αὐτὸ προσθεῖναι. Λογίαν δὲ τὴν συλλογὴν καλεῖ, ἐκ προοιμίων εὐθέως κοῦφον τὸ πρᾶγμα ποιῶν· ὅταν γὰρ ἐξ ἁπάντων συνεισφέρηται, ἑκάστῳ κοῦφον γίνεται τὸ ἐπίταγμα.

Εἰπὼν δὲ περὶ τῆς συλλογῆς, οὐκ εὐθέως εἶπεν, ἕκαστος ὑμῶν παρ' ἑαυτῷ τιθέτω θησαυρίζων· καίτοιγε τὸ ἀκόλουθον τοῦτο ἦν· ἀλλὰ πρῶτον εἰπών, «Καθὼς διέταξα ταῖς ἐκκλησίαις τῆς Γαλατίας», τότε τοῦτο ἐπήγαγεν, εἰς ζῆλον αὐτοὺς τῇ διηγήσει τῶν ἑτέροις κατορθουμένων ἄγων, καὶ ἐν τάξει διηγήματος αὐτὸ θείς· ὃ καὶ Ρωμαίοις ἐπιστέλλων ἐποίησε. Καὶ γὰρ ἐκείνοις δοκῶν διηγεῖσθαι τὴν πρόφασιν τῆς ἐπὶ τὰ Ἱεροσόλυμα ἀποδημίας, οὕτω τὸν περὶ ἐλεημοσύνης ἐμβάλλει λόγον, λέγων· «Νυνὶ δὲ πορεύομαι εἰς Ἱεροσόλυμα διακονῶν τοῖς ἁγίοις. Εὐδόκησε γὰρ Μακεδονία καὶ Ἀχαΐα κοινωνίαν τινὰ ποιήσασθαι εἰς τοὺς πτωχοὺς τῶν ἁγίων». Ἀλλ' ἐκείνους μὲν διὰ Μακεδόνων καὶ Κορινθίων, τούτους δὲ διὰ Γαλατῶν προτρέπει. «Καθὼς διέταξα γάρ, φησί, ταῖς ἐκκλησίαις τῆς Γαλατίας, οὕτω καὶ ὑμεῖς ποιήσατε». Καὶ γὰρ ᾐσχύνοντο λοιπὸν ἐλάττους Γαλατῶν φανῆναι. Καὶ οὐκ εἶπε, παρῄνεσα καὶ συνεβούλευσα, ἀλλά, «διέταξα», ὅπερ αὐθεντικώτερον. Καὶ οὐ παράγει μίαν πόλιν καὶ δύο καὶ τρεῖς, ἀλλ' ὁλόκληρον ἔθνος· ὅπερ καὶ ἐπὶ τῶν δογμάτων ποιεῖ, λέγων, «Καθὼς καὶ ἐν πάσαις

1. Ρωμ. 25, 25, 26.

ὁμιλεῖ καὶ δι' αὐτό. Ἂν καὶ ὡμίλησε βεβαίως εἰς αὐτοὺς δι' αὐτὰ καὶ πρίν, ὅταν ἔλεγεν˙ «Ἐὰν ἐμεῖς ἐσπείραμεν εἰς ἐσᾶς τὰ πνευματικά, εἶναι μεγάλο πρᾶγμα ἐὰν θερίσωμεν ἀπὸ ἐσᾶς ὑλικὰ πράγματα;» καί˙ «Ποῖος φυτεύει ἀμπελῶνα καὶ δὲν τρώγει ἀπὸ τὸν καρπόν του;». Ἀλλ' ἐπειδὴ ἐγνώριζε πόσον μεγάλο ἦτο τὸ κατόρθωμα, δὲν παραλείπει νὰ προσθέσῃ αὐτὸ καὶ εἰς τὸ τέλος τῆς ἐπιστολῆς. Συνεισφορὰν δὲ ὀνομάζει τὴν συλλογὴν καὶ κάμνει ἔτσι ἐλαφρὸν τὸ πρᾶγμα εὐθὺς ἐξ ἀρχῆς˙ διότι ὅταν συνεισφέρουν ὅλοι, γίνεται εἰς τὸν καθένα ἐλαφροτέρα ἡ ἐφαρμογὴ τῆς προσταγῆς.

Ἀφοῦ δὲ εἶπε διὰ τὴν συλλογὴν τῶν συνεισφορῶν, δὲν εἶπεν ἀμέσως, ὁ καθεὶς ἀπὸ σᾶς ἂς βάζῃ κατὰ μέρος ὅ,τι ἠμπορεῖ, ἂν καὶ αὐτὸ ἦτο ἑπόμενον νὰ εἰπῇ, ἀλλ' ἀφοῦ εἶπε πρῶτον, «ὅπως ὥρισα εἰς τὰς ἐκκλησίας τῆς Γαλατίας», τότε προσέθεσεν αὐτό, διὰ νὰ ὁδηγήσῃ αὐτοὺς εἰς ζῆλον μὲ τὴν διήγησιν τῶν κατορθωμάτων τῶν ἄλλων καὶ ἀφοῦ εἶπεν αὐτὸ μὲ μορφὴν διηγήσεως˙ πρᾶγμα ποὺ ἔκαμε καὶ ὅταν ἔγραφεν εἰς τοὺς Ρωμαίους. Διότι καὶ εἰς ἐκείνους, ἐπειδὴ ἤθελε νὰ εἰπῇ τὸν λόγον τοῦ ταξειδίου του εἰς τὰ Ἱεροσόλυμα, ἔτσι παρεμβάλλει τὸν λόγον περὶ ἐλεημοσύνης καὶ λέγει˙ «Τώρα ὅμως πηγαίνω εἰς τὴν Ἱερουσαλὴμ διὰ νὰ ὑπηρετήσω τοὺς ἐκεῖ ἁγίους. Διότι ἡ Μακεδονία καὶ ἡ Ἀχαΐα ἀπεφάσισαν νὰ προσφέρουν κάτι εἰς τοὺς πτωχοὺς ἀπὸ τοὺς ἁγίους τῆς Ἱερουσαλὴμ»[1]. Ἀλλ' ἐκείνους μὲν τοὺς προτρέπει χρησιμοποιῶν ὡς παράδειγμα τοὺς Μακεδόνας καὶ τοὺς Κορινθίους, αὐτοὺς δὲ χρησιμοποιῶν τοὺς Γαλάτας ὡς παράδειγμα. Διότι, «ὅπως ὥρισα», λέγει, «εἰς τὰς ἐκκλησίας τῆς Γαλατίας, ἔτσι νὰ κάνετε καὶ ἐσεῖς». Διότι θὰ ἐντρέποντο πλέον νὰ φανοῦν κατώτεροι ἀπὸ τοὺς Γαλάτας. Καὶ δὲν εἶπε, προέτρεψα καὶ συνεβούλευσα, ἀλλ', «ὥρισα», πρᾶγμα ποὺ ἦτο περισσότερον προστακτικόν. Καὶ δὲν παρουσιάζει μίαν πόλιν καὶ δύο καὶ τρεῖς, ἀλλ' ὁλόκληρον ἔθνος˙ πρᾶγμα ποὺ κάμνει καὶ ὅταν ὁμιλεῖ διὰ τὰ δόγματα τῆς πίστεως μὲ τοὺς λόγους, «Ὅπως καὶ εἰς ὅλας τὰς ἐκκλησίας τῶν ἁγίων».

ταῖς ἐκκλησίαις τῶν ἁγίων». Εἰ γὰρ πρὸς δογμάτων πίστιν τοῦτο ἰσχυρόν, πολλῷ μᾶλλον πρὸς ἔργων μίμησιν.

2. Τί οὖν διέταξας, εἰπέ μοι; «Κατὰ μίαν Σαββάτου», τουτέστι, Κυριακήν, «ἕκαστος ὑμῶν παρ' ἑαυτῷ τιθέτω θησαυρίζων ὅ τι ἂν εὐοδῶται». Ὅρα πῶς καὶ ἀπὸ τοῦ καιροῦ προτρέπει. Καὶ γὰρ ἡ ἡμέρα ἱκανὴ ἦν ἐναγαγεῖν εἰς ἐλεημοσύνην. Ἀναμνήσθητε γάρ, φησί, τίνων ἐτύχετε ἐν τῇ ἡμέρᾳ ταύτῃ. Τὰ γὰρ ἀπόρρητα ἀγαθά, καὶ ἡ ῥίζα καὶ ἡ ἀρχὴ τῆς ζωῆς τῆς ἡμετέρας ἐν ταύτῃ γέγονεν. Οὐ ταύτῃ δὲ μόνον ἐπιτήδειος ὁ καιρὸς εἰς προθυμίαν φιλανθρωπίας, ἀλλ' ὅτι καὶ ἄνεσιν ἔχει καὶ πόνων ἀτέλειαν. Ψυχὴ γὰρ ἀφιεμένη μόχθων, εὐκολωτέρα καὶ ἐπιτηδειοτέρα πρὸς τὸ ἐλεεῖν γίνεται. Μετὰ δὲ τούτων καὶ τὸ μυστηρίων ἐν αὐτῇ κοινωνεῖν οὕτω φρικτῶν καὶ ἀθανάτων πολλὴν ἐντίθησι προθυμίαν. Ἐν αὐτῇ τοίνυν «ἕκαστος ὑμῶν», οὐχ ἁπλῶς ὁ δεῖνα καὶ ὁ δεῖνα, ἀλλ' εἷς ἕκαστος, κἂν πένης ᾖ, κἂν πλούσιος, κἂν γυνή, κἂν ἀνήρ, κἂν δοῦλος, κἂν ἐλεύθερος, «παρ' ἑαυτῷ τιθέτω θησαυρίζων». Οὐκ εἶπεν, εἰς τὴν ἐκκλησίαν φερέτω, ἵνα μὴ διὰ τὸ μικρὸν αἰσχύνωνται, ἀλλὰ ταῖς κατ' ὀλίγον συναγωγαῖς αὐξήσας τὴν εἰσφοράν, τότε δεικνύτω ἐμοῦ παραγενομένου. Τέως δὲ παρὰ σαυτῷ τίθει, φησί, καὶ ποίησόν σου τὴν οἰκίαν ἐκκλησίαν, τὸ κιβώτιον γαζοφυλάκιον. Γενοῦ φύλαξ χρημάτων ἱερῶν, αὐτοχειροτόνητος οἰκονόμος πενήτων. Ἡ φιλανθρωπία ταύτην σοι δίδωσι τὴν ἱερωσύνην. Τούτου σύμβολόν ἐστι καὶ τὸ γαζοφυλάκιον νῦν· ἀλλὰ τὸ μὲν σύμβολον μένει, τὸ δὲ ἔργον οὐδαμοῦ.

Καὶ οἶδα μέν, ὅτι πολλοὶ τῶν συνεδρευόντων πάλιν ἡμῖν ἐγκαλέσουσιν, ὅταν ὑπὲρ τούτων διαλεγώμεθα, λέγοντες· μή, παρακαλῶ, μὴ γίνου φορτικὸς καὶ ἐπαχθὴς τοῖς ἀκούουσιν· ἐπίτρεψον τῇ προαιρέσει, δὸς τῇ γνώμῃ τῶν ἀκουόντων·

Ἐὰν λοιπὸν αὐτὸ εἶναι ἰσχυρὸν διὰ νὰ ὁδηγήσῃ εἰς πίστιν εἰς τὰ δόγματα, πολὺ περισσότερον εἶναι ἰσχυρὸν διὰ νὰ ὁδηγήσῃ εἰς μίμησιν ἔργων ἀρετῆς.

2. Τί ὥρισες λοιπόν; εἰπέ μου. «Κάθε πρώτην ἡμέραν τῆς ἑβδομάδος», δηλαδή, Κυριακήν, «ὁ καθεὶς ἀπὸ σᾶς ἂς βάζῃ κάτι κατὰ μέρος ἀναλόγως πρὸς ὅσα τοῦ δίδει ὁ Θεός». Κοίταξε πῶς προτρέπει καὶ ἀπὸ τὸν καιρόν. Διότι ἦτο κατάλληλος ἡ ἡμέρα τῆς Κυριακῆς διὰ νὰ ὁδηγήσῃ εἰς ἐλεημοσύνην. Δηλαδή, ἐνθυμηθῆτε, λέγει, ποίας δωρεᾶς ἠξιώθητε αὐτὴν τὴν ἡμέραν. Διότι τὰ ἀπόρρητα ἀγαθὰ καὶ ἡ ρίζα καὶ ἡ ἀρχὴ τῆς ζωῆς μας κατ' αὐτὴν τὴν ἡμέραν συνετελέσθησαν. Ὄχι μόνον δι' αὐτὸ εἶναι κατάλληλος ὁ καιρὸς διὰ νὰ ὁδηγήσῃ εἰς προθυμίαν διὰ φιλανθρωπίαν, ἀλλὰ καὶ διότι ἔχει καὶ ἄνεσιν καὶ ἀνάπαυσιν ἀπὸ τοὺς κόπους. Διότι ψυχὴ ἐλεύθερη ἀπὸ κόπους, γίνεται περισσότερον εὐκίνητος καὶ πρόσφορος δι' ἐλεημοσύνην. Μαζὶ δὲ μὲ αὐτὰ καὶ τὸ ὅτι γίνεται κοινωνὸς εἰς τόσον φρικτὰ καὶ ἀθάνατα μυστήρια ἐμπνέει πολλὴν προθυμίαν. Εἰς αὐτὴν λοιπὸν τὴν συνεισφορὰν «ὁ καθεὶς ἀπὸ σᾶς», ὄχι ἁπλῶς ὁ τάδε καὶ ὁ τάδε, ἀλλ' ὁ καθείς, εἴτε πτωχὸς εἶναι, εἴτε πλούσιος, εἴτε γυναῖκα, εἴτε ἄνδρας, εἴτε δοῦλος, εἴτε ἐλεύθερος, «ἂς βάζῃ κάτι κατὰ μέρος». Δὲν εἶπεν, ἂς τὰ φέρῃ εἰς τὴν ἐκκλησίαν, διὰ νὰ μὴ ἐντρέπωνται ὅσοι φέρουν ὀλίγα, ἀλλ' ἀφοῦ συγκεντρωθοῦν αἱ προσφοραί, τότε ἂς τὰ φέρουν ὅταν ἔλθω. Ἕως τότε δὲ νὰ συγκεντρώνῃς μόνος σου, λέγει, καὶ κάνε τὴν οἰκίαν σου ἐκκλησίαν, καὶ τὸ χρηματοκιβώτιον θησαυροφυλάκιον. Γίνε φύλαξ ἱερῶν χρημάτων, αὐτοχειροτόνητος φροντιστὴς πτωχῶν. Ἡ φιλανθρωπία σοῦ δίδει αὐτὴν τὴν ἱερωσύνην. Σύμβολον αὐτοῦ τοῦ πράγματος εἶναι τώρα καὶ τὸ θησαυροφυλάκιον· ἀλλὰ τὸ μὲν σύμβολον ὑπάρχει, τὸ δὲ ἔργον πουθενά.

Καὶ γνωρίζω μὲν ὅτι πολλοὶ ἀπὸ ὅσους ἔχετε συγκεντρωθῆ πάλιν θὰ μᾶς κατηγορήσουν ὅταν ὁμιλοῦμεν δι' αὐτά, καὶ θὰ λέγουν· μή, παρακαλῶ, μὴ γίνεσαι φορτικὸς καὶ βαρετὸς εἰς τοὺς ἀκροατάς· ἄφησε ἐλευθέραν τὴν προαίρεσιν, δῶσε τὴν ἀπόφασιν εἰς τὴν διάθεσιν τῶν ἀκροατῶν·

ὡς νῦν γε καταισχύνεις ἡμᾶς, ἐρυθριᾶν ποιεῖς· ἀλλ' οὐκ ἀνέχομαι τούτων τῶν λόγων. Οὐδὲ γὰρ Παῦλος ᾐσχύνετο ὑπὲρ τοιούτων συνεχῶς ἐνοχλῶν, καὶ προσαιτούντων φθεγγόμενος ῥήματα. Εἰ μὲν γὰρ τοῦτο ἔλεγον, ὅτι ἐμοὶ δὸς καὶ εἰς τὴν ἐμὴν κατάθες οἰκίαν, ἴσως ἂν αἰσχύνης ἦν τὸ λεγόμενον· μᾶλλον δὲ οὐδὲ τότε· «Οἱ γὰρ τῷ θυσιαστηρίῳ», φησί, «προσεδρεύοντες, τῷ θυσιαστηρίῳ συμμερίζονται»· πλὴν ἀλλ'. ἴσως ἄν τις ἐπετίμησεν, ὡς ὑπὲρ ἑαυτοῦ ποιουμένου τὸν λόγον· νῦν δὲ ὑπὲρ τῶν δεομένων τὴν ἱκετηρίαν τίθημι, μᾶλλον δὲ οὐχ ὑπὲρ τῶν δεομένων, ἀλλ' ὑπὲρ ὑμῶν τῶν παρεχόντων· διὸ καὶ παρρησιάζομαι. Ποία γὰρ αἰσχύνη εἰπεῖν, δὸς τῷ Κυρίῳ πεινῶντι, ἔνδυσον αὐτὸν γυμνὸν περιϊόντα, ὑπόδεξαι ξένον ὄντα; Ὁ δεσπότης σου οὐκ αἰσχύνεται ἐπὶ τῆς οἰκουμένης ταῦτα λέγων, «Ἐπείνασα, καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν», ὁ ἀνενδεὴς καὶ μηδενὸς χρῄζων· καὶ ἐγὼ αἰσχυνοῦμαι καὶ ὀκνήσω; Ἄπαγε· διαβολικῆς ἐπιβουλῆς αὕτη ἡ αἰσχύνη.

Οὐ τοίνυν αἰσχυνθήσομαι, ἀλλὰ καὶ μετὰ παρρησίας ἐρῶ, δότε τοῖς δεομένοις, καὶ μετὰ πλείονος, ἢ οἱ δεόμενοι, φωνῆς. Εἰ μὲν γὰρ ἔχει τις δεῖξαι καὶ ἐλέγξαι, ὅτι ταῦτα λέγοντες πρὸς ἑαυτοὺς ὑμᾶς ἕλκομεν, καὶ προσχήματι τῶν πενήτων αὐτοὶ κερδαίνομεν, οὐκ αἰσχύνης ἄξια ταῦτα μόνον, ἀλλὰ καὶ μυρίων κεραυνῶν, καὶ οὐδὲ ζῆν ἄξιον τοὺς τὰ τοιαῦτα ποιοῦντας. Εἰ δὲ τῇ τοῦ Θεοῦ χάριτι οὐδὲν ὑπὲρ ἑαυτῶν ἐνοχλοῦμεν, ἀλλ' ἀδαάπανον ὑμῖν τὸ εὐαγγέλιον ἐθήκαμεν, πονοῦντες μὲν οὐδαμῶς καθάπερ Παῦλος, τοῖς δὲ οἰκείοις ἀρκούμενοι, μετὰ πάσης ἐρῶ τῆς παρρησίας, δότε τοῖς δεομένοις, καὶ οὐ παύσομαι τοῦτο λέγων, καὶ μὴ δι-

2. Ματθ. 25, 42.

διότι τώρα μᾶς ἐντροπιάζεις, μᾶς κάμνεις νὰ κοκκινίζωμεν· δὲν ἀνέχομαι ὅμως αὐτοὺς τοὺς λόγους. Ἀλλ' οὔτε ὁ Παῦλος ἐντρέπετο νὰ ἐνοχλῇ συνεχῶς διὰ τέτοια πράγματα καὶ νὰ λέγῃ λόγους ποὺ ἁρμόζουν εἰς ἐπαίτας. Διότι, ἐὰν μὲν ἔλεγον, δῶσε εἰς ἐμὲ καὶ εἰς τὴν ἰδικήν μου οἰκίαν νὰ καταθέσῃς, ἴσως αὐτὸ θὰ ἦτο ἐντροπιαστικόν· μᾶλλον δὲ οὔτε τότε· διότι «αὐτοὶ ποὺ ἐργάζονται καὶ ὑπηρετοῦν εἰς τὸ θυσιαστήριον», λέγει, «νὰ συμμετέχουν εἰς τὰς προσφορὰς τοῦ θυσιαστηρίου»· παρ' ὅ,τι ὅμως ἔτσι εἶναι, ἴσως κάποιος νὰ ἐκατηγόρει, ὅτι ὁμιλῶ ὑπὲρ ἐμοῦ· τώρα ὅμως παρακαλῶ δι' αὐτοὺς ποὺ ἔχουν ἀνάγκην, μᾶλλον δὲ ὄχι δι' αὐτοὺς ποὺ ἔχουν ἀνάγκην, ἀλλὰ δι' ἐσᾶς τοὺς ἰδίους ποὺ δίδετε· δι' αὐτὸ καὶ ὁμιλῶ μὲ θάρρος. Διότι ποία ἐντροπὴ εἶναι νὰ εἰπῶ, δῶσε εἰς τὸν Κύριον ποὺ πεινᾷ, ἔνδυσέ τον ποὺ περιέρχεται γυμνός, φιλοξένησέ τον ποὺ εἶναι ξένος; Ὁ δεσπότης σου δὲν ἐντρέπεται ὅταν λέγῃ αὐτὰ εἰς τὴν οἰκουμένην, «Ἐπείνασα καὶ δὲν μοῦ ἐδώσατε νὰ φάγω»[2], ὁ ὁποῖος δὲν ἔχει καμμίαν ἀνάγκην καὶ δὲν χρειάζεται τίποτε· καὶ ἐγὼ θὰ ἐντραπῶ καὶ θὰ βαρυνθῶ; Μακρυὰ κάτι τέτοιο. Διαβολικοῦ δόλου εἶναι αὐτὴ ἡ ἐντροπή.

Δὲν θὰ ἐντραπῶ λοιπόν, ἀλλὰ καὶ μὲ θάρρος θὰ εἰπῶ, δώσατε εἰς αὐτοὺς ποὺ ἔχουν ἀνάγκην, καὶ μὲ δυνατωτέραν φωνὴν ἀπὸ ὅσον φωνάζουν αὐτοὶ ποὺ ἔχουν ἀνάγκην. Διότι ἐὰν μὲν ἠμπορῇ κανεὶς ν' ἀποδείξῃ καὶ νὰ κατηγορήσῃ ὅτι μὲ αὐτοὺς τοὺς λόγους ἐπιδιώκομεν νὰ σᾶς παρασύρωμεν εἰς τὸ ἰδικόν μας συμφέρον, καὶ μὲ πρόσχημα τοὺς πτωχοὺς κερδίζομεν οἱ ἴδιοι, αὐτὰ εἶναι ἄξια ὄχι μόνον ἐντροπῆς, ἀλλὰ καὶ χιλιάδων κεραυνῶν καὶ αὐτοὶ ποὺ κάμνουν τέτοια δὲν εἶναι ἄξιοι οὔτε νὰ ζοῦν. Ἀφοῦ ὅμως μὲ τὴν χάριν τοῦ Θεοῦ δὲν ἐνοχλοῦμεν διὰ τὸν ἑαυτόν μας, ἀλλὰ κάμνομεν τὸ εὐαγγέλιον ἀδάπανον καὶ δὲν κοπιάζομεν μὲν καθόλου ὅπως ὁ Παῦλος, ἀρκούμεθα δὲ εἰς τὰ ἰδικά μας ὑπάρχοντα, μὲ κάθε θάρρος θὰ εἰπῶ, δώσατε εἰς τοὺς πτωχοὺς καὶ δὲν θὰ παύσω νὰ λέγω αὐτὸ καὶ ἀκόμη καὶ ἂν δὲν δίδετε θὰ εἶμαι δι' ἐσᾶς σκληρὸς κατη-

δόντων ἔσομαι χαλεπὸς κατήγορος. Καὶ γὰρ εἰ στρατηγὸς ἤμην καὶ στρατιώτας εἶχον, οὐκ ἂν ᾐσχύνθην τοῖς στρατιώταις τροφὰς αἰτῶν. Σφόδρα γὰρ ἐρῶ τῆς σωτηρίας τῆς ὑμετέρας.

Ἀλλ' ἵνα καὶ ἐνεργέστερος ὁ λόγος γένηται καὶ δραστήριος μᾶλλον, Παῦλον προστάτην λαβών, μετ' ἐκείνου διαλέξομαι λέγων· «Ἕκαστος ὑμῶν παρ' ἑαυτῷ τιθέτω, θησαυρίζων ὅ τι ἂν εὐοδῶται». Σκόπει γὰρ αὐτοῦ κἀντεῦθεν τὸ ἀνεπαχθές. Οὐκ εἶπε, τοσόνδε καὶ τοσόνδε, ἀλλ', «ὅτι ἂν εὐοδῶται», εἴτε πολύ, εἴτε ὀλίγον· καὶ οὐκ εἶπεν, ὅ τι ἄν τις κερδάνῃ, ἀλλ' ὅ τι ἂν εὐοδωθῇ», δεικνὺς ὅτι παρὰ τοῦ Θεοῦ ἡ χορηγία. Οὐ ταύτῃ δὲ μόνον, ἀλλὰ καὶ τῷ μὴ ἐν ἑνὶ χρόνῳ τὸ πᾶν κελεῦσαι καταβαλεῖν, ῥᾳδίαν ποιεῖ τὴν συμβουλήν· τῷ γὰρ κατὰ μικρὸν συλλέγεσθαι ἀνεπαίσθητος ἡ λειτουργία καὶ ἡ δαπάνη. Διὰ δὴ τοῦτο οὐδὲ εὐθέως κελεύει εἰς μέσον ἀγαγεῖν, ἀλλὰ πολλὴν δίδωσι τὴν προθεσμίαν, καὶ τὴν αἰτίαν τιθείς φησιν· «Ἵνα μή, ὅταν ἔλθω, τότε λογίαι γίνωνται»· τουτέστιν, ἵνα μὴ ἐν τῷ καιρῷ τῆς εἰσφορᾶς, τότε ἀναγκάζησθε συνάγειν. Καὶ τούτῳ δὲ οὐχ ὡς ἔτυχεν αὐτοὺς πάλιν προέτρεψεν· ἡ γὰρ προσδοκία Παύλου προθυμοτέρους αὐτοὺς ἐποίει.

3. «Ὅταν δὲ ἔλθω, οὓς ἐὰν δοκιμάσητε, δι' ἐπιστολῶν τούτους πέμψω ἀπενεγκεῖν τὴν χάριν ὑμῶν εἰς Ἰερουσαλήμ». Οὐκ εἶπεν, ὁ δεῖνα καὶ ὁ δεῖνα, ἀλλ', «οὓς ἐὰν ὑμεῖς δοκιμάσητε», οὓς ἐὰν ἕλησθε, ὥστε ἀνύποπτον ποιῆσαι τὴν λειτουργίαν. Διὸ αὐτῶν ποιεῖ τὴν ψῆφον τῆς τῶν ἀποκομιζόντων αἱρέσεως. Οὐ γὰρ δήπου, φησίν, ἡ μὲν εἰσφορὰ ὑμῶν, ἡ δὲ ἐξουσία τῆς ἐκλογῆς τῶν ἀποκομιζόντων, οὐχ ὑμῶν. Εἶτα ἵνα μὴ αὐτὸς ἀπολιμπάνεσθαι δόξῃ, τὰ γράμματα προστίθησι, λέγων, «Οὓς ἐὰν δοκιμάσητε, δι' ἐπιστολῶν

γορος. Διότι, ἐὰν ἤμουν στρατηγὸς καὶ εἶχον στρατιώτας, δὲν θὰ ἐντρεπόμουν νὰ ζητῶ τροφὰς διὰ τοὺς στρατιώτας, Καθ' ὅσον πολὺ ἀγαπῶ τὴν σωτηρίαν σας.

Ἀλλὰ διὰ νὰ γίνῃ περισσότερον ἐνεργητικὸς καὶ ἀποτελεσματικὸς ὁ λόγος, ἀφοῦ λάβω ὡς συμπαραστάτην τὸν Παῦλον, μαζὶ μὲ ἐκεῖνον θὰ ὁμιλήσω καὶ θὰ εἰπῶ· «Ὁ καθεὶς ἀπὸ ἐσᾶς ἂς βάζῃ κάτι κατὰ μέρος, ἀναλόγως μὲ ὅσα τοῦ δίδει ὁ Θεός». Πρόσεχε λοιπὸν καὶ ἐδῶ πόσον ἐλαφρώνει τὸ βάρος. Δὲν εἶπε τόσον καὶ τόσον, ἀλλ', «ὅ,τι ἠμπορεῖ», εἴτε πολύ, εἴτε ὀλίγον· καὶ δὲν εἶπεν, ὅ,τι περισσεύει εἰς τὸν καθένα, ἀλλ' «ὅ,τι ἠμπορεῖ ἀπὸ αὐτὰ ποὺ τοῦ δίδει ὁ Θεός», καὶ δεικνύει ἔτσι ὅτι ἡ δαπάνη αὐτὴ εἶναι τοῦ Θεοῦ. Ὄχι μόνον δὲ μὲ αὐτό, ἀλλὰ καὶ μὲ τὸ νὰ προτρέψῃ νὰ καταβάλλουν τὴν προσφορὰν ἀφοῦ πρῶτον συγκεντρώσουν εἰς ἀνάλογον καιρὸν ὅ,τι ἠμποροῦν, κάμνει εὐκολοπραγματοποίητον τὴν συμβουλήν· διότι εἰς αὐτὸν ποὺ συγκεντρώνει ὀλίγα - ὀλίγα γίνεται ἀνεπαίσθητον τὸ ἔργον καὶ ἡ δαπάνη. Δι' αὐτὸ ἀκριβῶς δὲν παραγγέλλει νὰ τὰ παραδώσουν ἀμέσως, ἀλλὰ δίδει πολλὴν προθεσμίαν καὶ ἀφοῦ εἰπῇ τὴν αἰτίαν, λέγει· «διὰ νὰ μὴ γίνωνται ἔρανοι ὅταν ἔλθω»· δηλαδή, διὰ νὰ μὴ ἀναγκάζεσθε νὰ συγκεντρώνετε κατὰ τὸν καιρὸν ποὺ πρέπει νὰ προσφέρετε. Καὶ εἰς αὐτὸ δὲ δὲν προέτρεψε πάλιν τυχαῖα· διότι ἡ ἀναμονὴ τοῦ ὅτι θὰ ἴδουν τὸν Παῦλον τοὺς ἔκαμνε προθυμοτέρους.

3. «Ὅταν δὲ θὰ ἔλθω, ἐκείνους ποὺ θὰ ἐκλέξετε, αὐτοὺς θὰ στείλω διὰ νὰ φέρουν τὴν δωρεάν σας εἰς τὴν Ἰερουσαλήμ». Δὲν εἶπεν, ὁ δεῖνα καὶ ὁ δεῖνα, ἀλλ' «αὐτοὺς ποὺ θὰ ἐκλέξετε», αὐτοὺς ποὺ θέλετε, διὰ νὰ ἀπαλλάξῃ τὸ ἔργον ἀπὸ κάθε ὑποψίαν. Δι' αὐτὸ δίδει εἰς αὐτοὺς τὴν ψῆφον τῆς ἐκλογῆς αὐτῶν ποὺ θὰ μεταφέρουν τὴν δωρεάν. Διότι, ἀφοῦ ἡ προσφορὰ εἶναι ἰδική σας, λέγει, δὲν εἶναι ὀρθὸν ἡ ἐκλογὴ αὐτῶν ποὺ θὰ τὴν μεταφέρουν νὰ μὴ εἶναι ἰδική σας. Ὕστερον διὰ νὰ μὴ θεωρηθῇ ὅτι αὐτὸς ἀπέχει καὶ δὲν ἐνδιαφέρεται, προσθέτει τὰς ἐπιστολὰς μὲ τοὺς λόγους· «Ἐκείνους ποὺ θὰ ἐκλέξετε, αὐ-

πέμψω»· ὡς ἂν εἰ ἔλεγεν, ὅτι κἀγὼ συνέσομαι αὐτοῖς, καὶ κοινωνήσω τῆς λειτουργίας, διὰ τῶν γραμμάτων. Καὶ οὐκ εἶπε, τούτους πέμψω ἀπενεγκεῖν τὴν ἐλεημοσύνην ὑμῶν, ἀλλά, «τὴν χάριν ὑμῶν», ἵνα δείξῃ μεγάλα ἐργαζομένους, ἵνα δείξῃ αὐτοὺς κερδαίνοντας. Ἀλλαχοῦ δὲ καὶ εὐλογίαν καὶ κοινωνίαν καλεῖ, τὸ μέν, ἵνα μὴ ῥαθυμοτέρους ποιήσῃ, τὸ δέ, ἵνα μὴ ἐπάρῃ· οὐδαμοῦ μέντοιγε ἐλεημοσύνην ὠνόμασεν.

«Ἐὰν δὲ ᾖ ἄξιον τοῦ κἀμὲ πορεύεσθαι, σὺν ἐμοὶ πορεύσονται». Ἐνταῦθα πάλιν εἰς δαψίλειαν αὐτοὺς προτρέπει. Ἐὰν γὰρ τοσοῦτον ᾖ, φησίν, ὡς καὶ τῆς ἐμῆς δεῖσθαι παρουσίας, οὐδὲ τοῦτο παραιτήσομαι. Ἀλλ' εὐθέως μὲν τοῦτο οὐκ ἐπηγγείλατο, οὐδὲ εἶπεν, ἐπειδὰν παραγένωμαι, ἐγὼ ἀποκομίζω· οὐδὲ γὰρ ἂν οὕτως αὐτὸ ηὔξησεν, εἰ ἐξ ἀρχῆς αὐτὸ τέθεικεν· ὕστερον μέντοι καλῶς καὶ εὐκαίρως αὐτὸ προστίθησι. Διὰ δὴ τοῦτο οὐκ εὐθέως ὑπέσχετο, οὔτε καθάπαξ αὐτὸ ἀπεσιώπησεν, ἀλλ' εἰπὼν ὅτι πέμψω, τότε καὶ ἑαυτὸν προστίθησι. Διὰ δὴ τοῦτο οὐκ εὐθέως ὑπέσχετο, οὔτε καθάπαξ αὐτὸ ἀπεσιώπησεν, ἀλλ' εἰπὼν ὅτι πέμψω, τότε καὶ ἑαυτὸν προστίθησι. Καὶ ἐνταῦθα δὲ πάλιν κυρίους αὐτοὺς ἐποίησεν ἐν τῷ εἰπεῖν, «Ἐὰν ᾖ ἄξιον τοῦ κἀμὲ πορεύεσθαι»· τοῦτο δὲ ἐπ' ἐκείνοις ἔκειτο, τὸ πολὺ ποιῆσαι τὸ συλλεγόμενον, καὶ τοσοῦτον, ὡς δυσωπῆσαι καὶ αὐτὸν ἀναστῆναι. «Ἐλεύσομαι δὲ πρὸς ὑμᾶς», φησίν, «ὅταν Μακεδονίαν διέλθω». Εἶπε καὶ ἀνωτέρω τοῦτο, ἀλλὰ τότε μὲν μετὰ θυμοῦ· προσέθηκε γοῦν, «Καὶ γνώσομαι οὐ τὸν λόγον τῶν πεφυσιωμένων, ἀλλὰ τὴν δύναμιν»· ἐνταῦθα δὲ προσηνέστερον, ἵνα καὶ ποθήσωσιν αὐτοῦ τὴν παρουσίαν.

Εἶτα, ἵνα μὴ λέγωσι, τί οὖν, Μακεδόνας ἡμῶν προτιμᾷς; οὐκ εἶπεν, ἐπειδὰν ἀπέλθω, ἀλλ', «ἐπειδὰν διέλθω Μακεδονίαν». «Μακεδονίαν γὰρ διελεύσομαι. Πρὸς ὑμᾶς

---

3. Α΄ Κορ. 4, 19.

τοὺς θὰ στείλω μὲ ἐπιστολάς»· ὡσὰν νὰ ἔλεγεν ὅτι καὶ ἐγὼ θὰ συνενωθῶ μὲ αὐτοὺς καὶ θὰ συμμετάσχω εἰς τὸ ἔργον μὲ τὰς ἐπιστολάς. Καὶ δὲν εἶπε, θὰ στείλω αὐτοὺς νὰ μεταφέρουν τὴν ἐλεημοσύνην σας, ἀλλά, «τὴν δωρεάν σας», διὰ νὰ δείξῃ ὅτι κάμνουν μέγα ἔργον, διὰ νὰ δείξῃ ὅτι αὐτοὶ κερδίζουν. Ἀλλοῦ δὲ ὀνομάζει αὐτὸ καὶ εὐλογίαν καὶ κοινωνίαν, ἀφ' ἑνὸς μὲν διὰ νὰ μὴ τοὺς κάνῃ περισσότερον ἀμελεῖς, ἀφ' ἑτέρου δὲ διὰ νὰ μὴ ὑπερηφανευθοῦν· ἀλλὰ πουθενὰ δὲν ὠνόμασεν αὐτὸ ἐλεημοσύνην.

«Ἐὰν μάλιστα κριθῇ ὅτι ἀξίζει νὰ μεταβῶ καὶ ἐγώ, θὰ μεταβοῦν μαζί μου». Ἐδῶ πάλιν τοὺς προτρέπει εἰς γενναιοδωρίαν. Ἐὰν δηλαδὴ εἶναι τόσον τὸ ποσόν, ὥστε νὰ χρειάζεται καὶ ἡ δική μου παρουσία, οὔτε αὐτὸ δὲν θὰ τὸ ἀποφύγω. Ἀλλὰ δὲν ὑπεσχέθη μὲν αὐτὸ ἀμέσως, οὔτε εἶπεν, ὅταν ἔλθω ἐγὼ θὰ τὰ μεταφέρω· διότι δὲν θὰ ηὔξανεν ἔτσι τὸ ποσὸν ἐὰν ἔλεγεν αὐτὸ ἐξ ἀρχῆς ὡς δεδομένον· ἀλλὰ προσθέτει ὀρθῶς καὶ εἰς κατάλληλον στιγμὴν αὐτὸ ὕστερον. Δι' αὐτὸ λοιπὸν δὲν ὑπεσχέθη αὐτὸ ἀμέσως, οὔτε τὸ ἀπεσιώπησεν, ἀλλ' ἀφοῦ εἶπεν, ὅτι θὰ στείλω, τότε προσθέτει καὶ τὸν ἑαυτόν του. Ἀλλὰ καὶ ἐδῶ πάλιν ἄφησεν αὐτοὺς νὰ ἀποφασίσουν μὲ τὸ νὰ εἰπῇ, «ἐὰν ἀξίζῃ νὰ μεταβῶ καὶ ἐγώ»· αὐτὸ δὲ ἦτο εἰς τὴν προαίρεσίν των, τὸ νὰ κάνουν πολὺ τὸ ποσὸν καὶ τόσον ὥστε νὰ παρακινήσουν καὶ νὰ πείσουν καὶ αὐτὸν νὰ μεταβῇ μαζὶ μὲ αὐτοὺς ποὺ θὰ μεταφέρουν τὸ ποσόν. «Θὰ ἔλθω εἰς ἐσᾶς», λέγει, «ἀφοῦ περάσω τὴν Μακεδονίαν». Αὐτὸ τὸ εἶπε καὶ προηγουμένως, ἀλλὰ τότε μὲ θυμόν· διότι προσέθεσε, «Καὶ θὰ γνωρίσω τότε ὄχι τὴν εὐγλωττίαν αὐτῶν τῶν φαντασμένων, ἀλλὰ τὴν ἀπὸ τὸ ἅγιον Πνεῦμα δύναμίν των νὰ σώζουν ψυχάς»[8]· ἐδῶ ὅμως ὁμιλεῖ ἐπιεικέστερα, διὰ νὰ ποθήσουν τὴν παρουσίαν του ἐκεῖ.

Ἔπειτα, διὰ νὰ μὴ λέγουν, τί λοιπόν, προτιμᾷς τοὺς Μακεδόνας ἀπὸ ἐμᾶς; δὲν εἶπεν, ὅταν θὰ φύγω, ἀλλά, «ὅταν θὰ περάσω ἀπὸ τὴν Μακεδονίαν». «Διότι σκοπεύω νὰ μεταβῶ εἰς τὴν Μακεδονίαν· πλησίον σας ὅμως θὰ παραμείνω ἴσως ἀρκετὸν χρόνον ἢ καὶ θὰ περάσω ὅλον τὸν

δὲ τυχὸν παραμενῶ, ἢ καὶ παραχειμάσω». Οὐ γὰρ ὁδοῦ βούλομαι ποιήσασθαι πάρεργον ὑμᾶς, ἀλλ' ἐνδιατρῖψαι καὶ μεῖναι. Ὅτε γὰρ ταῦτα ἐπέστελλεν, ἐν Ἐφέσῳ ἦν, χειμῶνος ὄντος. Λέγει τοίνυν, ὅτι ἕως πεντηκοστῆς ἐν Ἐφέσῳ ἐπιμενῶ· μετὰ δὲ ταῦτα ἀπελεύσομαι εἰς Μακεδονίαν, καὶ διελθὼν αὐτήν, ἥξω πρὸς ὑμᾶς τοῦ θέρους· πολλάκις δὲ καὶ τὸν χειμῶνα πρὸς ὑμᾶς ποιήσω. Τίνος δὲ ἕνεκεν εἶπε, «τυχόν», καὶ οὐκ ἀπεφήνατο; Ὅτι οὐ πάντα προῄδει Παῦλος, καὶ συμφερόντως. Διὰ τοῦτο οὐδὲ ἁπλῶς ἀποφαίνεται, ἵνα, κἂν μὴ γένηται, ἔχῃ καταφυγήν, τό τε ἀδιορίστως προειπεῖν, καὶ τὴν τοῦ Πνεύματος ἐξουσίαν ἄγουσαν αὐτόν, ὅπουπερ ἐβούλετο, οὐκ ἔνθα αὐτὸς ἐπεθύμει· ὃ καὶ ἐν τῇ δευτέρᾳ τίθησιν ἐπιστολῇ, τῆς μελλήσεως ἕνεκεν ἀπολογούμενος, καὶ λέγων· «Ἢ ἃ βουλεύομαι, κατὰ σάρκα βουλεύομαι, ἵνα ᾖ παρ' ἐμοὶ τὸ ναὶ ναί, καὶ τὸ οὒ οὔ;

Ἵνα ὑμεῖς με προπέμψητε, οὗ ἐὰν πορεύωμαι». Καὶ τοῦτο ἀγάπης καὶ φιλοστοργίας πολλῆς. «Οὐ θέλω γὰρ ὑμᾶς ἄρτι ἐν παρόδῳ ἰδεῖν· ἐλπίζω γάρ τινα χρόνον ἐπιμεῖναι πρὸς ὑμᾶς, ἐὰν ὁ Κύριος ἐπιτρέψῃ». Ταῦτα δὲ ἔλεγεν, ὁμοῦ μὲ τὴν ἀγάπην ἐνδεικνύμενος, ὁμοῦ δὲ τοὺς ἁμαρτάνοντας φοβῶν, οὐ μὴν ἐκκεκαλυμμένως, ἀλλὰ προσχήματι φιλίας. «Ἐπιμενῶ δὲ ἐν Ἐφέσῳ ἕως τῆς πεντηκοστῆς». Εἰκότως ἀκριβῶς αὐτοῖς ἅπαντα λέγει, καθάπερ φίλοις δηλῶν. Καὶ γὰρ τοῦτο φιλίας, τὸ τὴν αἰτίαν εἰπεῖν, δι' ἣν οὐ παρεγένετο, δι' ἣν μέλλει, καὶ ποὺ διατρίβει. «Θύρα γάρ μοι ἀνέῳγε μεγάλη καὶ ἐνεργής, καὶ ἀντικείμενοι πολλοί». Καὶ εἰ μεγάλη, πῶς ἀντικείμενοι; Δι' αὐτὸ μὲν οὖν τοῦτο οἱ ἀντικείμενοι πολλοί, ἐπειδὴ μεγάλη ἡ πίστις, ἐπειδὴ μεγάλη

4. Β' Κορ. 1, 17.

χειμῶνα». Καθ' ὅσον δὲν θέλω νὰ σᾶς ἐπισκεφθῶ ἐνῷ θὰ εἶμαι περαστικὸς καὶ ὡσὰν εἰς πάρεργον, ἀλλὰ νὰ παραμείνω δι' ἀρκετὸν χρονικὸν διάστημα. Διότι ὅταν ἔγραφεν αὐτὴν τὴν ἐπιστολήν, ἦτο εἰς τὴν Ἔφεσον καὶ ἦτο χειμών. Λέγει λοιπὸν ὅτι μέχρι τὴν πεντηκοστὴν θὰ μείνω εἰς τὴν Ἔφεσον· κατόπιν δὲ θὰ ἀπέλθω εἰς τὴν Μακεδονίαν καί, ἀφοῦ περάσω ἀπὸ αὐτήν, θὰ φθάσω εἰς ἐσᾶς τὸ θέρος· ὑπάρχουν δὲ πολλαὶ πιθανότητες ὅτι θὰ περάσω μαζί σας καὶ τὸν χειμῶνα. Διατί ὅμως εἶπεν, «ἴσως» καὶ δὲν ὡμίλησε μὲ βεβαιότητα; Διότι δὲν προεγνώριζε τὰ πάντα ὁ Παῦλος καὶ ἔτσι συνέφερε. Δι' αὐτὸ δὲν ὁμιλεῖ μὲ βεβαιότητα, ὥστε, καὶ ἂν δὲν γίνῃ αὐτό, νὰ εἶναι δικαιολογημένος ἀπὸ τὸ ὅτι ἀορίστως προεῖπεν, ἀλλὰ καὶ διὰ νὰ ἀφήνῃ τὸν ἑαυτόν του εἰς τὴν ἐξουσίαν τοῦ ἁγίου Πνεύματος νὰ τὸν ὁδηγῇ ὅπου θέλει καὶ ὄχι ὅπου ἐπιθυμεῖ αὐτός· πρᾶγμα ποὺ λέγει καὶ εἰς τὴν δευτέραν ἐπιστολήν του πρὸς Κορινθίους, ὅταν ἀπολογῆται διὰ τὴν ἀργοπορίαν του καὶ λέγῃ· «Ἢ μήπως ὅ,τι ἀποφασίζω τὸ ἀποφασίζω ὡσὰν ἄνθρωπος σαρκικὸς ποὺ ὁρίζει τὸν ἑαυτόν του καὶ δὲν διευθύνεται ἀπὸ τὸ ἅγιον Πνεῦμα καὶ νὰ ἐξαρτᾶται ἀπὸ ἐμὲ ἐὰν θὰ εἶναι τὸ ναί, ναὶ καὶ τὸ ὄχι, ὄχι;»[4].

«Διὰ νὰ μὲ προπέμψετε σεῖς, ὁπουδήποτε μεταβῶ». Καὶ αὐτὸ ἦτο δεῖγμα πολλῆς ἀγάπης καὶ φιλοστοργίας. «Διότι δὲν θέλω τώρα νὰ σᾶς ἰδῶ περαστικός· ἐλπίζω νὰ μείνω μαζί σας ὀλίγον χρόνον, ἐὰν ὁ Κύριος τὸ ἐπιτρέψῃ». Αὐτὰ δὲ τὰ ἔλεγε καὶ διὰ νὰ δείξῃ τὴν ἀγάπην, καὶ διὰ νὰ φοβίσῃ συγχρόνως τοὺς ἁμαρτάνοντας, ὄχι ὅμως εὐθέως, ἀλλὰ μὲ τὸ πρόσχημα τῆς φιλίας. «Θὰ παραμείνω δὲ εἰς τὴν Ἔφεσον μέχρι τὴν Πεντηκοστήν». Καλῶς κάμνει καὶ λέγει εἰς αὐτοὺς ὅλα μὲ ἀκρίβειαν καὶ τὰ λέγει ὡσὰν εἰς φίλους. Διότι αὐτὸ ὀφείλεται εἰς φιλίαν τὸ νὰ εἰπῇ τὴν αἰτίαν διὰ τὴν ὁποίαν δὲν ἦλθε, διὰ τὴν ὁποίαν πρόκειται νὰ ἔλθῃ καὶ ποῦ εὑρίσκεται. «Διότι μοῦ ἠνοίχθη μεγάλη θύρα δι' ἀποτελεσματικὸν ἔργον καὶ οἱ ἐχθροὶ εἶναι πολλοί». Καὶ ἀφοῦ εἶναι μεγάλη ἡ θύρα, πῶς ὑπάρχουν ἐχθροί; Δι' αὐτὸ ἀκριβῶς λοιπὸν οἱ ἐχθροὶ εἶναι πολλοί, ἐπειδὴ

καὶ εὐρεῖα ἡ εἴσοδος. Τί δέ ἐστι, «θύρα μεγάλη»; Πολλοί εἰσιν οἱ παρεσκευασμένοι τὴν πίστιν δέξασθαι, πολλοὶ ἕτοιμοι προσελθεῖν καὶ ἐπιστρέψαι· εὐρύχωρός μοι ἡ εἴσοδος, ἀκμαζούσης λοιπὸν τῆς τῶν προσιόντων διανοίας εἰς τὴν τῆς πίστεως τὴν ὑπακοήν. Διὰ τοῦτο σφοδρῶς ὁ διάβολος ἔπνει, ἐπειδὴ πολλοὺς ἑώρα ἀφισταμένους αὐτοῦ. Διὸ δὴ καὶ ἀμφοτέρων ἕνεκεν μεῖναι ἐχρῆν, καὶ ἐπειδὴ μέγα τὸ κέρδος, καὶ πολὺς ὁ ἀγών. Καὶ τούτῳ δὲ αὐτοὺς παρεθάρρυνε τῷ εἰπεῖν, ὅτι πανταχοῦ λοιπὸν ὁ λόγος ἐνεργεῖται, καὶ βλαστάνει ῥαδίως. Εἰ δὲ πολλοὶ οἱ ἐπιβουλεύοντες, καὶ τοῦτο σημεῖον τῆς τοῦ εὐαγγελίου προκοπῆς. Οὐδέποτε γὰρ ὁ πονηρὸς δαίμων ἐκεῖνος ἀγριαίνει, ἀλλ' ἢ ὅταν πολλὰ τῶν σκευῶν αὐτοῦ ἁρπαζόμενα ἴδῃ.

4. Καὶ ἡμεῖς τοίνυν, ὅταν τι μέγα καὶ γενναῖον ἐργάσασθαι βουληθῶμεν, μὴ τοῦτο σκοπῶμεν, ὅτι πολλὴν ἔχει πόνον, ἀλλ' εἰς τὸ κέρδος βλέπωμεν. Ὅρα γοῦν καὶ Παῦλον οὐ διὰ τοῦτο ὀκνοῦντα, οὐ διὰ τοῦτο ἀναδυόμενον, ἐπειδὴ ἀντικείμενοι πολλοί, ἀλλ', ἐπειδὴ μεγάλη ἦν ἡ θύρα, ἐπικείμενον καὶ παραμένοντα. Καὶ γάρ, ὅπερ ἔφην, σημεῖον τοῦτο ἦν τοῦ γυμνοῦσθαι τὸν διάβολον. Οὐδὲ γάρ ἐστι μικρὰ καὶ φαῦλα πράττοντας, παροξῦναι τὸ πονηρὸν θηρίον ἐκεῖνο. Ὥστε ὅταν ἴδῃς ἄνδρα δίκαιον μεγάλα κατορθοῦντα, καὶ μυρία πάσχοντα δεινά, μὴ θαυμάσῃς. Τοὐναντίον γὰρ ἔδει θαυμάζειν, εἰ πολλὰς λαμβάνων ὁ διάβολος πληγάς, ἔμελλεν ἡσυχάζειν καὶ πράως φέρειν τὰ τραύματα. Οὐδὲ γάρ, εἰ ὄφις κεντούμενος συνεχῶς ἀγριαίνει καὶ ἐφάλλοιτο τῷ κεντοῦντι, θαυμάζειν χρή. Καὶ γὰρ ὄφεως παντὸς χαλεπώτερον ἕρπει ὁ διάβολος πᾶσιν ἐπιπηδῶν, καὶ ὥσπερ σκορπίος τὸ κέντρον ἄρας, διανίσταται. Μὴ δὴ τοῦτο ὑμᾶς θορυβείτω· καὶ γὰρ τὸν ἐκ πολμου καὶ νίκης καὶ σφαγῆς

εἶναι μεγάλη ἡ πίστις, ἐπειδὴ ἡ εἴσοδος εἶναι εὐρεῖα καὶ μεγάλη. Τί σημαίνει δὲ «θύρα μεγάλη»; Πολλοὶ εἶναι προητοιμασμένοι νὰ δεχθοῦν τὴν πίστιν, πολλοὶ εἶναι ἕτοιμοι νὰ προσέλθουν καὶ νὰ ἐπιστρέψουν εἰς τὸν Θεόν· εἶναι εὐρύχωρος ἡ εἴσοδος, ἀφοῦ εἶναι ὥριμος ἡ διάνοια τῶν προσερχομένων νὰ δεχθῇ νὰ ἀκούσῃ καὶ νὰ διδαχθῇ τὴν πίστιν. Δι' αὐτὸ ἐπετίθετο σφοδρῶς ὁ διάβολος, ἐπειδὴ πολλοὺς ἔβλεπε ν' ἀπομακρύνωνται ἀπὸ αὐτόν. Δι' αὐτὸ ἀκριβῶς ἐξ αἰτίας καὶ τῶν δύο ἔπρεπε νὰ μείνῃ, καὶ ἐπειδὴ ἦτο μέγα τὸ κέρδος, καὶ ἐπειδὴ ἦτο πολὺς ὁ ἀγών. Ἀλλὰ καὶ μὲ αὐτὸ τοὺς ἐνεψύχωνε, μὲ τὸ νὰ λέγῃ δηλαδὴ ὅτι τὸ κήρυγμα καρποφορεῖ παντοῦ καὶ ὅτι βλαστάνει πλουσίως. Ἐὰν δὲ εἶναι πολλοὶ οἱ ἐχθροί, εἶναι καὶ αὐτὸ σημεῖον τῆς προκοπῆς τοῦ εὐαγγελίου. Διότι ποτὲ δὲν ἐξαγριοῦται ὁ πονηρὸς ἐκεῖνος δαίμων, παρὰ ὅταν ἰδῇ νὰ ἁρπάζωνται πολλοὶ ἀπὸ ὅσους εἶχον γίνει ὄργανά του.

4. Καὶ ἐμεῖς λοιπόν, ὅταν θελήσωμεν νὰ κάνωμεν κάτι μεγάλο καὶ εὐγενές, ἃς μὴ βλέπωμεν ὅτι ἔχει πολὺν κόπον, ἀλλ' ἃς προσβλέπωμεν εἰς τὸ κέρδος. Πρόσεχε λοιπὸν καὶ τὸν Παῦλον ὁ ὁποῖος δὲν δειλιάζει, οὔτε ὑποχωρεῖ διότι οἱ ἐχθροὶ εἶναι πολλοί, ἀλλ', ἐπειδὴ ἦτο μεγάλη ἡ θύρα, παραμένει καὶ καταδιώκει τοὺς ἐχθρούς. Διότι, ὅπως εἶπον, αὐτὸ ἦτο σημεῖον τοῦ ὅτι ἀπογυμνοῦται ὁ διάβολος. Καθ' ὅσον δὲν εἶναι δυνατὸν νὰ ἐξαγριωθῇ τὸ πονηρὸν ἐκεῖνο θηρίον ὅταν πράττωμεν εὐτελῆ καὶ κακὰ ἔργα. Ὥστε, ὅταν ἰδῇς δίκαιον ἄνδρα νὰ κατορθώνῃ μεγάλα καὶ νὰ πάσχῃ ἄπειρα δεινά, μὴ ἀπορήσῃς. Διὰ τὸ ἀντίθετον μάλιστα θὰ ἔπρεπε ν' ἀπορῇς, ἐὰν δηλαδὴ ὁ διάβολος ἔμενεν ἥσυχος καὶ ὑπέμενε μὲ ἠρεμίαν τὰ τραύματα. Διότι δὲν πρέπει νὰ ἀποροῦμεν ἐὰν κάποιος ὄφις, ποὺ τὸν κεντοῦν, ἐξαγριοῦται καὶ ἐφορμᾷ ἐναντίον αὐτοῦ ποὺ τὸν κεντρίζει. Καὶ ὁ διάβολος βέβαια φοβερώτερον ἀπὸ κάθε ὄφιν ἕρπει καὶ ἐπιτίθεται εἰς ὅλους καὶ ἐφορμᾷ ὡσὰν σκορπίος ποὺ ἔχει σηκώσει τὸ κεντρί. Μὴ σᾶς ταράσσῃ λοιπὸν αὐτό· διότι καὶ αὐτὸς ποὺ ἐπιστρέφει ἀπὸ πόλεμον καὶ

ἐπανιόντα ἀνάγκη καὶ ἠμάχθαι, πολλάκις δὲ καὶ τραύματα ἔχειν.

Καὶ σὺ τοίνυν ὅταν ἴδῃς τινὰ ἐλεημοσύνας ποιοῦντα, καὶ ἄλλα μυρία ἐργαζόμενον ἀγαθά καὶ ταύτῃ συγκόπτοντα τοῦ διαβόλου τὴν δύναμιν, εἶτα πειρασμοῖς περιπεσόντα καὶ κινδύνοις, μὴ διὰ τοῦτο θορυβηθῇς· διὰ γὰρ τοῦτο περιέπεσε πειρασμῷ, ἐπειδὴ σφόδρα ἔπληξε τὸν διάβολον. Καὶ πῶς ὁ Θεὸς συνεχώρησε, φησίν; Ἵνα μᾶλλον στεφανωθῇ, ἵνα πλείονα λάβῃ πληγὴν ἐκεῖνος. Ὅταν γὰρ μετὰ τὸ ἀγαθὰ ποιεῖν καὶ δεινὰ πάσχων εὐχαριστῇ διαπαντός, πλήττεται ὁ διάβολος. Μέγα μὲν γάρ, καὶ ἐξ οὐρίας φερομένων τῶν πραγμάτων, καὶ ἐλεεῖν, καὶ ἀρετῆς ἀντέχεσθαι· πολλῷ δὲ μεῖζον τὸ δεῖνα πάσχοντα, μὴ ἀφίστασθαι τῆς καλῆς ταύτης ἐργασίας. Οὗτός ἐστιν ὁ διὰ τὸν Θεὸν μάλιστα ταῦτα ποιῶν.

Ὥστε κἂν κινδυνεύωμεν, ἀγαπητοί, κἂν ὁτιοῦν πάσχωμεν, μετὰ πλείονος ἐχώμεθα τῆς προθυμίας τῶν ὑπὲρ ἀρετῆς πόνων. Οὐδὲ γὰρ οὗτος ὁ τῆς ἀντιδόσεως καιρός. Μὴ τοίνυν ἐνταῦθα ἀπαιτῶμεν τοὺς στεφάνους, ἵνα μὴ ἐν τῷ καιρῷ τῶν στεφάνων ἐλαττώσωμεν ἡμῶν τὴν ἀμοιβήν. Καθάπερ γὰρ ἐπὶ τῶν τεχνιτῶν οἱ μὲν ἑαυτοὺς τρέφοντες καὶ ἐργαζόμενοι μείζονα τὸν μισθὸν λαμβάνουσιν, οἱ δὲ παρὰ τοῖς μισθωσαμένοις τρεφόμενοι, ὑποτέμνονται τοῦ μισθοῦ μέρος οὐ μικρόν· οὕτω καὶ ἐπὶ τῶν ἁγίων· ὁ μὲν μυρία ποιῶν ἀγαθὰ καὶ μυρία πάσχων κακά, ἀκέραιον ἔχει τὸν μισθόν, καὶ πολὺ πλείονα τὴν ἀμοιβήν, οὐχ ὑπὲρ τῶν ἀγαθῶν ὧν ἐποίησε μόνον, ἀλλὰ καὶ ὑπὲρ τῶν κακῶν ὧν ἔπαθεν· ὁ δὲ ἀνέσεως ἐνταῦθα ἀπολαύων καὶ τρυφῆς, οὐχ οὕτως ἔχει λαμπροὺς τοὺς στεφάνους ἐκεῖ.

Μὴ τοίνυν ἐνταῦθα ζητῶμεν τὴν ἀντίδοσιν, ἀλλὰ τότε μάλιστα χαίρωμεν, ὅταν κατορθοῦντες πάσχωμεν κακῶς. Οὐ γὰρ τὸν ἐκ τῶν κατορθωμάτων μόνον, ἀλλὰ καὶ τὸν

νίκην καὶ σφαγὴν κατ' ἀνάγκην θὰ εἶναι καὶ αἱματωμένος, πολλὰς φορὰς δὲ καὶ τραύματα θὰ ἔχῃ.

Καὶ σὺ λοιπὸν ὅταν ἰδῇς κάποιον νὰ κάμνῃ ἐλεημοσύνας καὶ ἄλλα πολλὰ ἀγαθὰ καὶ μὲ αὐτὰ νὰ κατακόπτῃ τὴν δύναμιν τοῦ διαβόλου καὶ ὕστερον νὰ ἔχῃ περιπέσει εἰς δοκιμασίαν καὶ κινδύνους, μὴ θορυβηθῇς δι' αὐτό· διότι δι' αὐτὸ ἔπεσεν εἰς δοκιμασίαν, ἐπειδὴ πολὺ ἐκτύπησε τὸν διάβολον. Καὶ πῶς ἐπέτρεψεν ὁ Θεός; θὰ εἴπῃς. Διὰ νὰ στεφανωθῇ περισσότερον, διὰ νὰ πληγωθῇ περισσότερον ὁ διάβολος. Διότι ὅταν, πράττων ἀγαθὰ καὶ δυστυχῶν, εὐχαριστεῖ συνεχῶς, κτυπᾶται ὁ διάβολος. Καθ' ὅσον εἶναι μὲν μέγα καλὸν καὶ ὅταν ὅλα ἔρχωνται κατ' εὐχὴν τὸ νὰ ἐλεῇ καὶ νὰ εἶναι ἀφωσιωμένος κανεὶς εἰς τὴν ἀρετήν, ἀλλὰ πολὺ περισσότερον ὅταν δυστυχῇ κανεὶς νὰ μὴ παραιτῆται ἀπὸ τὴν καλὴν αὐτὴν ἐργασίαν. Αὐτὸς εἶναι κατ' ἐξοχὴν ἐκεῖνος ποὺ πράττει αὐτὰ διὰ τὸν Θεόν.

Ὥστε καὶ ἂν κινδυνεύωμεν, ἀγαπητοί, καὶ ἂν πάσχωμεν ὁ,τιδήποτε, μὲ πολλὴν προθυμίαν ἂς ὑπομένωμεν τοὺς κόπους διὰ τὴν ἀρετήν. Διότι δὲν εἶναι τώρα ὁ καιρὸς τῆς ἀνταποδόσεως. Ἂς μὴ ζητοῦμεν λοιπὸν ἐδῶ τοὺς στεφάνους, διὰ νὰ μὴ μειώσωμεν τὴν ἀμοιβήν μας κατὰ τὸν καιρὸν τῶν στεφάνων. Διότι, ὅπως εἰς τοὺς τεχνίτας αὐτοὶ μὲν οἱ ὁποῖοι τρέφουν τοὺς ἑαυτούς των καὶ ἐργάζονται λαμβάνουν μεγαλύτερον μισθόν, ἐνῷ αὐτοὶ ποὺ τρέφονται ἀπὸ ἐκείνους οἱ ὁποῖοι τοὺς πληρώνουν, ὑφίστανται ὄχι μικρὰν μείωσιν τοῦ μισθοῦ των, ἔτσι καὶ εἰς τοὺς ἁγίους· αὐτὸς μὲν ποὺ πράττει πολλὰ ἀγαθὰ καὶ πάσχει πολλὰ κακὰ ἔχει ἀκέραιον τὸν μισθὸν καὶ πολὺ μεγαλυτέραν τὴν ἀμοιβήν, ὄχι μόνον διὰ τὰ ἀγαθὰ ποὺ ἔπραξεν, ἀλλὰ καὶ διὰ τὰ κακὰ ποὺ ὑπέστη· ἐνῷ αὐτὸς ποὺ ἀπολαμβάνει ἐδῶ ἄνεσιν καὶ ἀπόλαυσιν δὲν ἔχει τόσον λαμπροὺς τοὺς στεφάνους ἐκεῖ.

Ἂς μὴ ζητοῦμεν λοιπὸν ἐδῶ τὴν ἀνταπόδοσιν, ἀλλὰ τότε ἂς χαιρώμεθα περισσότερον, ὅταν, ἐνῷ κατορθώνομεν τὰ καλά, πάσχωμεν κακά. Διότι ὄχι μόνον τὸν μισθὸν ποὺ ἀναλογεῖ εἰς τὰ κατορθώματα, ἀλλὰ καὶ ἐκεῖνον ποὺ

τῶν πειρασμῶν μισθὸν ἡμῖν ὁ Θεὸς ἐκεῖ ταμιεύεται. Ἵνα δὲ καὶ σαφέστερον ὃ λέγω γένηται, ἔστωσαν δύο πλούσιοι ἐλεήμοονες, καὶ διδότωσαν πένησιν· εἶτα ὁ μὲν ἐπὶ τῷ πλούτῳ μενέτω, καὶ πάσης εὐημερίας ἀπολαυέτω· ὁ δὲ εἰς πενίαν πιπτέτω καὶ νόσους καὶ συμφοράς, καὶ χάριν ἐχέτω τῷ Θεῷ. Τούτων τοίνυν ἀπελθόντων ἐκεῖ, τίς μείζονα λήψεται τὸν στέφανον; Οὐκ εὔδηλον ὅτι ὁ νοσῶν καὶ ταλαιπωρούμενος, ὅτι καὶ εὖ ποιῶν καὶ πάσχων κακῶς οὐδὲν ἔπαθεν ἀνθρώπινον; Παντί που δῆλον. Καὶ γὰρ αὐτός ἐστιν ὁ ἀνδριὰς ὁ ἀδαμάντινος, οὗτος ὁ εὐγνώμων οἰκέτης. Εἰ γὰρ οὐδὲ δι' ἐλπίδα βασιλείας δεῖ τι ποιεῖν ἀγαθόν, ἀλλὰ διὰ τὸ τῷ Θεῷ δοκοῦν, ὃ πάσης βασιλείας μεῖζόν ἐστι, τίνος ἄξιός ἐστιν ὁ διὰ τὸ μὴ λαβεῖν ἐνταῦθα τὴν ἀντίδοσιν ἀργότερος περὶ τὴν ἀρετὴν γινόμενος;

Μὴ τοίνυν θορυβώμεθα, ὅταν ἴδωμεν, ὅτι ὁ δεῖνα χήρας καλῶν, καὶ δοχὰς συνεχεῖς ἐργαζόμενος, ἀπώλεσε τὴν οἰκίαν ἐμπρησθεῖσαν ἢ ἑτέραν τινὰ τοιαύτην ὑπέμεινε συμφοράν· καὶ γὰρ διὰ τοῦτο λήψεται τὸν μισθόν. Ἐπεὶ καὶ ὁ Ἰὼβ οὐχ οὕτως ἐπὶ ταῖς ἐλεημοσύναις ἐθαυμάζετο, ὡς ἐφ' οἷς ἔπαθε μετὰ ταῦτα. Διὰ τοῦτο καὶ οἱ φίλοι ἐξευτελίζονται οἱ τούτου, καὶ οὐδενὸς ἄξιοι λόγου νομίζονται εἶναι, ὅτι τὰς παρούσας ἐζήτουν ἀντιδόσεις, καὶ ἀπὸ τούτων τοῦ δικαίου κατεψηφίζοντο. Μὴ τοίνυν ἐνταῦθα ζητῶμεν τὴν ἀμοιβήν, μὴ πένητες καὶ πτωχοὶ γενώμεθα. Καὶ γὰρ ἐσχάτης τοῦτο εὐτελείας, οὐρανοῦ προκειμένου καὶ τῶν ὑπὲρ τὸν οὐρανόν, τὰ ἐνταῦθα περισκοπεῖν. Μὴ δὴ οὕτω ποιῶμεν· ἀλλ' ὅπερ ἂν ἐπέλθῃ τῶν ἀδοκήτων, τῶν ἐπιταγμάτων ἡμεῖς ἐχώμεθα τοῦ Θεοῦ διηνεκῶς, καὶ πειθώμεθα τῷ μακαρίῳ Παύλῳ, καὶ κιβώτιον πενήτων ποιῶμεν ἐπὶ τῆς οἰκίας, καὶ παρὰ τὸν τόπον, ὃν ἕστηκας εὐχόμενος, ἐκεῖ κείσθω, καὶ

ἀναλογεῖ εἰς τὰς δοκιμασίας ἀποταμιεύει δι' ἐμᾶς ὁ Θεὸς εἰς τὸν οὐρανόν. Διὰ νὰ γίνῃ δὲ σαφέστερον αὐτὸ ποὺ λέγω, ἂς λάβωμεν ὡς παράδειγμα δύο πλουσίους ἐλεήμονας ποὺ δίδουν εἰς τοὺς πτωχούς· ὕστερον ὁ μὲν ἕνας παραμένει πλούσιος καὶ ἀπολαμβάνει κάθε εὐημερίαν, ὁ δὲ ἄλλος πίπτει εἰς πτωχείαν καὶ νόσους καὶ συμφορὰς καὶ εὐχαριστεῖ τὸν Θεόν. Ὅταν λοιπὸν αὐτοὶ ἀπέλθουν ἐκεῖ, ποῖος θὰ λάβῃ μεγαλύτερον στέφανον; Δὲν εἶναι φανερὸν ὅτι αὐτὸς ποὺ ἠσθένησε καὶ ἐταλαιπωρήθη, διότι καὶ ὅταν ἦτο εἰς εὐημερίαν καὶ ὅταν ἦτο εἰς δυστυχίαν δὲν ἔπαυσε νὰ εἶναι ἐνάρετος; Εἶναι καταφανές. Καὶ βέβαια αὐτὸς εἶναι ὁ ἀδαμάντινος ἀνδριάς, αὐτὸς εἶναι ὁ εὐγνώμων ὑπηρέτης. Διότι, ἐὰν οὔτε διὰ τὴν ἐλπίδα τῆς βασιλείας πρέπει νὰ πράττωμεν τὸ ἀγαθόν, ἀλλὰ νὰ τὸ πράττωμεν διότι εἶναι θέλημα τοῦ Θεοῦ, ποὺ εἶναι ἀνώτερον ἀπὸ κάθε βασιλείαν, ποίας ἀμοιβῆς εἶναι ἄξιος αὐτὸς ποὺ, ἐπειδὴ δὲν ἔλαβεν ἐδῶ τὴν ἀνταπόδοσιν, ἔγινε βαρύτερος εἰς τὴν ἀρετήν;

Ἂς μὴ ταρασσώμεθα λοιπὸν ὅταν ἰδοῦμεν ὅτι ὁ τάδε, παρ' ὅ,τι ἐπροστάτευε χήρας καὶ συνεχῶς ἐφιλοξένει, ἔχασε τὴν οἰκίαν ἀπὸ πυρκαϊὰν ἢ ὑπέμεινεν ἄλλην τέτοιαν συμφοράν· καθ' ὅσον δι' αὐτὸ θὰ λάβῃ τὸν μισθόν. Διότι καὶ ὁ Ἰὼβ δὲν ἐθαυμάζετο τόσον διὰ τὰς ἐλεημοσύνας, ὅσον δι' ὅσα ἔπαθε μετὰ ἀπὸ αὐτά. Δι' αὐτὸ καὶ οἱ φίλοι του γίνονται τόσον εὐτελεῖς καὶ θεωροῦνται τελείως ἀνάξιοι λόγου, διότι ἐζήτουν τὰς ἀνταποδόσεις εἰς τὴν παροῦσαν ζωὴν καὶ ἀπὸ αὐτὰς ἔκρινον τὸ δίκαιον. Ἂς μὴ ζητῶμεν λοιπὸν ἐδῶ τὴν ἀμοιβήν, ἂς μὴ γινώμεθα πτωχοί. Διότι αὐτὸ εἶναι γνώρισμα ἐσχάτης μικρότητος, ἐνῷ εἶναι ἐμπρὸς ὁ οὐρανὸς καὶ αὐτὰ ποὺ ὑπερβαίνουν τὸν οὐρανόν, νὰ προσβλέπωμεν εἰς τὰ τῆς παρούσης ζωῆς. Ἂς μὴ κάμνωμεν ἔτσι λοιπόν· ἀλλ' ὁ,τιδήποτε ἔλθῃ ἀπροσδόκητον, ἐμεῖς ἂς εἴμεθα συνεχῶς προσηλωμένοι εἰς τὰ προστάγματα τοῦ Θεοῦ καὶ ἂς πειθώμεθα εἰς τὸν μακάριον Παῦλον, καὶ ἂς ἔχωμεν ταμεῖον πτωχῶν εἰς τὴν οἰκίαν καὶ εἰς τὸν τόπον εἰς τὸν ὁποῖον ἐστάθης προσευχόμενος ἐκεῖ νὰ

ὁσάκις ἂν εἰσέλθῃς εὔξασθαι, κατάθες πρῶτον τὴν ἐλεημοσύνην, καὶ τότε ἀνάπεμπε εὐχήν· καὶ ὥσπερ οὐκ ἂν ἕλοιο χερσὶν ἀνίπτοις εὔξασθαι, οὕτω μηδὲ ἐλεημοσύνης χωρίς. Καὶ γὰρ οὐκ ἔλαττον τοῦ εὐαγγελίου κρέμασθαι παρὰ τὴν κλίνην τὸ ἐλεημοσύνην κεῖσθαι. Εὐαγγέλιον μὲν γὰρ ἐὰν κρεμάσῃς μηδὲν ποιῶν, οὐδὲν τοσοῦτον ὠφεληθήσῃ· τοῦτο δὲ ἔχων τὸ κιβώτιον, ὅπλον ἔχεις κατὰ τοῦ διαβόλου, τὴν εὐχὴν ὑπόπτερον ποιεῖς, ἁγίαν κατασκευάζεις τὴν οἰκίαν, τροφὰς ἔνδον ἔχων ἀποκειμένας τοῦ βασιλέως.

Παρὰ τοῦτο καὶ ἡ κλίνη κείσθω τὸ κιβώτιον, καὶ ἀφαντασίαστος ἔσται ἡ νύξ· μόνον μηδὲν ἐξ ἀδικίας ἐκεῖ βαλλέσθω. Ἐλεημοσύνη γὰρ τὸ πρᾶγμά ἐστιν· ἐλεημοσύνην δὲ ἀπὸ ὠμότητος οὐκ ἔνι βλαστῆσαί ποτε. Βούλεσθε καὶ τὰς ἀφορμάς, ὅθεν δεῖ καταβάλλειν, εἴπω, ὥστε καὶ ταύτῃ ποιῆσαι εὔκολον τὴν τοιαύτην φοράν; Ὁ χειροτέχνης, οἷον ὁ ὑποδηματορράφος, ἢ ὁ σκυτοτόμος, ἢ ὁ χαλκοτύπος, ἢ ἕτερος ὁστισοῦν δημιουργός, ἐπειδὰν πωλήσῃ τι τῶν ἀπὸ τῆς τέχνης, ἀπαρχέσθω τῆς τιμῆς τοῦ Θεοῦ, καταβαλλέτω μικρὸν μέρος αὐτόθι, καὶ μεριζέσθω πρὸς τὸν Θεὸν ἐξ ἐλάττονος μοίρας. Οὐδὲ γὰρ μέγα τι αἰτῶ, ἀλλὰ τοσοῦτον ὅσον Ἰουδαίων οἱ νήπιοι, καὶ μυρίων γέμοντες κακῶν, τοσοῦτον οἱ τὸν οὐρανὸν προσδοκῶντες ἡμεῖς βάλλωμεν.

Ταῦτα δὲ οὐ νομοθετῶν, οὐδὲ κωλύων τὸ πλέον λέγω, ἀλλ' ἀξιῶν μὴ ἔλαττον τῆς δεκάτης μοίρας καταθεῖναι. Τοῦτο δὲ μὴ πωλῶν μόνον, ἀλλὰ καὶ ἀγοράζων ποίει, καὶ μισθὸν κομιζόμενος. Τοῦτον καὶ οἱ τοὺς ἀγροὺς κεκτημένοι τηρείτωσαν τὸν νόμον ἐν ταῖς προσόδοις· τοῦτον πάντες οἱ

εὑρίσκεται καὶ ὅσας φορὰς εἰσέλθῃς διὰ νὰ προσευχηθῇς, δῶσε πρῶτον τὴν ἐλεημοσύνην καὶ τότε νὰ ἀναπέμπῃς προσευχήν· καὶ ὅπως δὲν θὰ ἤθελες νὰ προσευχηθῇς χωρὶς προηγουμένως νὰ πλύνῃς τὰ χέρια σου, ἔτσι νὰ μὴ θέλῃς νὰ προσευχηθῇς καὶ χωρὶς ἐλεημοσύνην. Διότι τὸ νὰ ἀναπαύεσαι εἰς τὴν ἐλεημοσύνην δὲν εἶναι ὀλιγώτερον ἀπὸ τοῦ νὰ κρέμεται πλησίον τῆς κλίνης σου τὸ εὐαγγέλιον. Διότι ἐὰν μὲν κρεμάσῃς τὸ εὐαγγέλιον χωρὶς νὰ πράττῃς τίποτε, δὲν θὰ ὠφεληθῇς τόσον· ἐνῷ μὲ τὸ νὰ ἔχῃς αὐτὸ τὸ κιβώτιον, ἔχεις ὅπλον κατὰ τοῦ διαβόλου, δίδεις πτερὰ εἰς τὴν προσευχήν, κάμνεις ἁγίαν τὴν οἰκίαν μὲ τὸ νὰ ἀποταμιεύῃς μέσα τροφὰς διὰ νὰ τὰς προσφέρῃς εἰς τὸν βασιλέα διὰ τῶν πτωχῶν.

Πλησίον αὐτοῦ τοῦ κιβωτίου ἂς εἶναι καὶ ἡ κλίνη, καὶ θὰ εἶναι ἀπηλλαγμένη ἀπὸ κάθε σατανικὴν φαντασίαν ἡ νύκτα· μόνον νὰ μὴ εἰσέρχεται ἐκεῖ τίποτε ποὺ νὰ προέρχεται ἀπὸ ἀδικίαν. Διότι δι' ἐλεημοσύνην πρόκειται· ἐλεημοσύνη δὲ ἀπὸ ἀπανθρωπίαν δὲν ἠμπορεῖ ποτὲ νὰ βλαστήσῃ. Θέλετε νὰ εἰπῶ καὶ τὰς ἀφορμὰς διὰ τὰς ὁποίας πρέπει νὰ δίδετε, ὥστε καὶ μὲ αὐτὸ νὰ κάνω εὔκολον αὐτὴν τὴν προσφοράν; Ὁ χειροτέχνης, ὅπως ὁ ὑποδηματοποιὸς ἢ αὐτὸς ποὺ κατεργάζεται δέρματα ἢ σιδηρουργὸς ἢ ἄλλος ὁποιοσδήποτε τεχνίτης, ὅταν πωλήσῃ κάτι ἀπὸ ὅσα ἔκανε μὲ τὴν τέχνην του, ἂς δίδῃ ὡς τιμὴν εἰς τὸν Θεὸν τὴν ἀπαρχὴν τῶν ἐσόδων, ἂς καταβάλλῃ ἓν μικρὸν μέρος ἐδῶ, καὶ ἂς δίδῃ μερίδιον εἰς τὸν Θεὸν ἓν μικρὸν μέρος. Δὲν ζητῶ βέβαια τίποτε πολύ, ἀλλὰ τόσον, ὅσον οἱ πνευματικῶς νήπιοι ἀπὸ τοὺς Ἰουδαίους, οἱ ὁποῖοι καὶ ἦσαν γεμᾶτοι ἀπὸ ἄπειρα κακά, τόσον ἂς δίδωμεν ἐμεῖς ποὺ προσδοκῶμεν τὸν οὐρανόν.

Αὐτὰ τὰ λέγω δὲ ὄχι ὡς νόμον, οὔτε ἐμποδίζω τὸ περισσότερον, ἀλλὰ ζητῶ νὰ μὴ καταθέτῃ κανεὶς ὀλιγώτερον ἀπὸ τὸ ἓν δέκατον τῶν ἐσόδων του. Αὐτὸ δὲ νὰ κάμνῃς ὄχι μόνον ὅταν πωλῇς, ἀλλὰ καὶ ὅταν ἀγοράζῃς καὶ ὅταν λαμβάνῃς μισθόν. Αὐτὸν τὸν νόμον ἂς τηροῦν καὶ αὐτοὶ ποὺ ἔχουν ἀγροὺς καὶ εἰσοδήματα· αὐτὸν καὶ ὅλοι ὅσοι

τοὺς δικαίους συλλέγοντες πόρους. Πρὸς γὰρ τοὺς τόκους ἀπαιτοῦντας οὐδείς μοι λόγος, οὐδὲ πρὸς στρατιώτας τοὺς διασείοντας ἄλλους, καὶ πραγματευομένους ἀλλοτρίας συμφοράς· οὐδὲν γὰρ ἐκεῖθεν βούλεται δέχεσθαι ὁ Θεός· ἀλλὰ πρὸς τοὺς ἐκ δικαίων πόνων συλλέγοντας τὰ ὄντα, ταῦτα λέγω. Καὶ γὰρ ἐὰν ἐν τοιαύτῃ συνηθείᾳ καταστήσωμεν ἑαυτούς, ὑπὸ τοῦ συνειδότος κεντούμεθα λοιπὸν ἄν ποτε τοῦτον ἀπολίπωμεν τὸν νόμον, καὶ οὐδὲ βαρὺ λοιπὸν τὸ πρᾶγμα ἡγησόμεθα, καὶ κατὰ μικρὸν ἐπὶ τὰ μείζονα ἥξομεν· καὶ μελετήσαντες, χρημάτων καταφρονεῖν καὶ τὴν ῥίζαν τῶν κακῶν ἀνασπάσαντες τόν τε ἐνταῦθα μετὰ ἀδείας βιωσόμεθα βίον, καὶ τῆς μελλούσης τευξόμεθα ζωῆς, ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα σὺν τῷ ἁγίῳ καὶ ἀγαθῷ Πνεύματι εἰς τοὺς αἰῶνας. Ἀμήν.

συγκεντρώνουν μὲ τιμιότητα τὰ κέρδη των. Διότι δι' αὐτοὺς ποὺ λαμβάνουν τόκους δὲν κάμνω λόγον, οὔτε διὰ στρατιώτας ποὺ καταχρῶνται τὴν δύναμίν των διὰ νὰ ἐκβιάζουν ἄλλους καὶ προκαλοῦν συμφορὰς εἰς τοὺς ἄλλους· διότι τίποτε δὲν θέλει νὰ δεχθῇ ἀπὸ ἐκεῖ ὁ Θεός· ἀλλὰ πρὸς αὐτοὺς ποὺ ἀπὸ τιμίους κόπους συγκεντρώνουν τὰ ὑπάρχοντά των τὰ λέγω αὐτά. Διότι, ἐὰν καθιερώσωμεν εἰς τοὺς ἑαυτούς μας τέτοιαν συνήθειαν, θὰ μᾶς κεντᾷ πλέον ἡ συνείδησίς μας ἐάν ποτε ἐγκαταλείψωμεν αὐτὸν τὸν νόμον καὶ δὲν θὰ μᾶς φανῇ βαρὺ τὸ πρᾶγμα καὶ ὀλίγον κατ' ὀλίγον θὰ φθάσωμεν καὶ εἰς τὰ μεγάλα· καὶ ἀφοῦ ἐμάθομεν νὰ καταφρονῶμεν τὰ χρήματα καὶ ἐξεβάλομεν τελείως τὴν ρίζαν τῶν κακῶν, καὶ τὴν παροῦσαν ζωὴν ἂς ζήσωμεν μὲ ἐλευθερίαν καὶ τῆς μελλούσης ἂς τύχωμεν, τὴν ὁποίαν εἴθε νὰ ἐπιτύχωμεν ὅλοι μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖον εἰς τὸν Πατέρα καὶ εἰς τὸ ἅγιον καὶ ἀγαθὸν Πνεῦμα ἀνήκει ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΛΟΓΟΣ ΜΔ΄
Α΄ Κορ. 16, 10-24

«Ἐὰν δὲ ἔλθῃ Τιμόθεος πρὸς ὑμᾶς, βλέπετε ἵνα ἀφόβως γένηται πρὸς ὑμᾶς».

1. Τάχα τις ἡγεῖται ἀνάξιον εἶναι τῆς ἀνδρείας τῆς Τιμοθέου τὴν παράκλησιν ταύτην· ἀλλ᾽ οὐ Τιμοθέου ἕνεκεν τοῦτο εἴρηται, ἀλλὰ τῶν ἀκουόντων, ἵνα μὴ διὰ τῆς εἰς αὐτὸν ἐπιβουλῆς ἑαυτοὺς καταβλάψωσιν. Ἐκεῖνος μὲν γὰρ ἀεὶ πρὸς κινδύνους ἦν παρεμβεβλημένος. «Ὡς γὰρ πατρὶ τέκνον σὺν ἐμοὶ ἐδούλευσεν ἐν τῷ εὐαγγελίῳ», φησίν. Ἀλλ᾽ ἵνα μὴ ἀπὸ τῆς εἰς τὸν μαθητὴν θρασύτητος, καὶ εἰς τὸν διδάσκαλον προέλθωσι, καὶ χείρους γένωνται, πόρρωθεν αὐτοὺς καταστέλλει λέγων, «Ἵνα ἀφόβως γένηται πρὸς ὑμᾶς»· τουτέστιν, ἵνα μή τις αὐτοῦ κατεξανιστῆται τῶν ἀπεγνωσμένων ἐκείνων. Καὶ γὰρ ἔμελλεν αὐτοῖς ἴσως ἐπιτιμᾶν, ὑπὲρ ὧν καὶ Παῦλος ἐπέστειλε· καὶ γὰρ ἐπηγγείλατο δι᾽ αὐτὸ τοῦτο πέμπειν αὐτόν. «Ἔπεμψα» γὰρ «Τιμόθεον ὑμῖν», φησίν, «ὃς ὑμᾶς ἀναμνήσει τὰς ὁδούς μου τὰς ἐν Χριστῷ, καθὼς πανταχοῦ ἐν πάσῃ ἐκκλησίᾳ διδάσκω».

Ἵν᾽ οὖν μὴ εὐγενείᾳ καὶ πλούτῳ καὶ τῇ τοῦ δήμου συστάσει καὶ τῇ ἔξωθεν σοφίᾳ θαρροῦντες ἐπίθωνται καὶ διαπτύωσι καὶ ἐπιβουλεύσωσιν, ἀλγοῦντες τοῖς ἐλέγχοις τοῖς παρ᾽ αὐτοῦ, ἢ ὑπὲρ ὧν ὁ διδάσκαλος ἐπετίμησε, δίκην αὐτὸν ἀπαιτήσωσιν ἐκεῖνον ἀμυνόμενοι, διὰ τοῦτό φησιν, «Ἵνα ἀφόβως γένηται πρὸς ὑμᾶς». Μὴ γάρ μοι τοὺς ἔξωθεν εἴπῃς τοὺς Ἕλληνας καὶ ἀπίστους· τὰ παρ᾽ ὑμῶν ἀπαιτῶ, ὑπὲρ ὧν καὶ ἡ ἐπιστολὴ ἅπασα συνετέθη, οὓς καὶ ἐν ἀρχῇ

1. Φιλιπ. 2, 22.

ΛΟΓΟΣ ΜΔ΄
Α΄ Κορ. 16, 10 - 24

«Ἐὰν δὲ ἔλθῃ ὁ Τιμόθεος, προσέξετε νὰ μείνῃ μαζί σας χωρὶς φόβον».

1. Ἴσως κανεὶς θεωρεῖ ὅτι αὐτὴ ἡ παράκλησις εἶναι ἀναξία τῆς ἀνδρείας τοῦ Τιμοθέου· ὅμως δὲν εἶπεν αὐτὸ διὰ τὸν Τιμόθεον, ἀλλὰ διὰ τοὺς παραλήπτας τῆς ἐπιστολῆς, διὰ νὰ μὴ βλάψουν τοὺς ἑαυτούς των μὲ τὴν ἔχθραν πρὸς αὐτόν. Καθ' ὅσον ἐκεῖνος μὲν πάντοτε ἐρρίπτετο μέσα εἰς τοὺς κινδύνους. Διότι, λέγει, «Ὡσὰν παιδὶ μαζὶ μὲ τὸν πατέρα του ὑπηρέτησεν μαζί μου εἰς τὸ εὐαγγέλιον»[1]. Ἀλλὰ διὰ νὰ μὴ προχωρήσουν ἀπὸ τὴν θρασύτητα πρὸς τὸν μαθητὴν εἰς τὴν θρασύτητα πρὸς τὸν διδάσκαλον καὶ γίνουν χειρότεροι, ἀπὸ μακρὰν τοὺς καταπραΰνει μὲ τοὺς λόγους «νὰ μείνῃ μαζί σας χωρὶς φόβον»· δηλαδή, νὰ μὴ ἐπαναστατήσῃ ἐναντίον του κανεὶς ἀπὸ ἐκείνους ποὺ συμβουλεύουν τὰ ἀντίθετα. Καθ' ὅτι ἐπρόκειτο ἴσως νὰ τοὺς ἐπιπλήξῃ δι' ὅσα καὶ ὁ Παῦλος τοὺς ἔγραφεν, ἀφοῦ ὑπεσχέθη ὅτι δι' αὐτὸ ἀκριβῶς στέλλει αὐτόν. Διότι λέγει· «Δι' αὐτὸ σᾶς ἔστειλα τὸν Τιμόθεον, ὁ ὁποῖος θὰ σᾶς ὑπενθυμίσῃ τὰς διδασκαλίας μου ἐν Χριστῷ, καθὼς τὰς διδάσκω παντοῦ εἰς κάθε ἐκκλησίαν».

Διὰ νὰ μὴ ἐπιτίθενται λοιπὸν λαμβάνοντες θάρρος ἀπὸ τὴν εὐγενῆ καταγωγὴν καὶ τὸν πλοῦτον καὶ τὴν καταγωγὴν τοῦ λαοῦ καὶ τὴν κοσμικὴν σοφίαν καὶ περιφρονοῦν καὶ ἐπιβουλεύονται ἀπὸ δυσφορίαν διὰ τοὺς ἐλέγχους ποὺ θὰ γίνουν ἀπὸ αὐτὸν ἢ δι' ὅσα τοὺς ἐπέπληξεν ὁ διδάσκαλος, ζητήσουν λόγον ἀπὸ αὐτὸν ἐκδικούμενοι τὸν Παῦλον, δι' αὐτὸ λέγει, «νὰ μείνῃ μαζί σας χωρὶς φόβον». Μὴ μοῦ εἰπῇς λοιπὸν διὰ τοὺς ἐκτὸς τῆς Ἐκκλησίας εἰδωλολάτρας καὶ ἀπίστους· αὐτὰ ποὺ ὀφείλετε σεῖς ἀπαιτῶ, διὰ τὰ ὁποῖα καὶ ἡ ἐπι-

καὶ προοιμίοις ἐφόβησε. Διὰ τοῦτο εἶπε, «πρὸς ὑμᾶς». Εἶτα ἀπὸ τῆς διακονίας ἀξιόπιστον αὐτὸν ποιεῖ λέγων· «Τὸ γὰρ ἔργον Κυρίου ἐργάζεται». Μὴ γὰρ δὴ τοῦτο ἴδῃς, φησίν, εἰ μὴ πλούσιος, εἰ μὴ εὐπαίδευτος, μηδὲ πρεσβύτης, ἀλλὰ τί ἐπιτέτακται καὶ ἀνύει· «Τὸ γὰρ ἔργον Κυρίου ἐργάζεται». Τοῦτο δὲ ἀντὶ πάσης αὐτῷ καὶ εὐγενείας καὶ πλούτου καὶ ἡλικίας καὶ σοφίας ἀπόχρη. Καὶ οὐκ ἠρκέσθη τούτῳ, ἀλλὰ προσέθηκε· «Καθὼς καὶ ἐγώ»· καὶ ἀνωτέρω, «Ὅ ἐστί μου τέκνον ἀγαπητὸν καὶ πιστὸν ἐν Κυρίῳ· αὐτὸς ὑμᾶς ἀναμνήσει τὰς ὁδούς μου τὰς ἐν Χριστῷ.

Ἐπεὶ οὖν καὶ νέος ἦν, καὶ μόνος ἐνεχειρίσθη δήμου τοσούτου διόρθωσιν, ἀμφότερα δὲ εἰς καταφρόνησιν ἦγεν, εἰκότως ἐπάγει· «Μή τις οὖν αὐτὸν ἐξουθενήσῃ». Καὶ οὐ τοῦτο ἀπαιτεῖ μόνον, ἀλλὰ καὶ τιμὴν πλείονα· διό καί φησι, «Προπέμψατε δὲ αὐτὸν μετ' εἰρήνης»· τουτέστιν, ἀφόβως, μὴ μάχας καὶ φιλονεικίας ἐμποιοῦντες, μὴ ἔχθρας καὶ ἀπεχθείας, ἀλλ' ὑποταγὴν ἅπασαν ὡς διδασκάλῳ παρέχοντες. «Ἵνα ἔλθῃ πρός με· ἐκδέχομαι γὰρ αὐτὸν μετὰ τῶν ἀδελφῶν». Καὶ τοῦτο φοβοῦντος αὐτοὺς ἦν. Ἵνα γὰρ εἰδότες, ὅτι πάντα εἰρήσεται πρὸς αὐτὸν ἅπερ ἂν πάθῃ, ἐπιεικέστεροι γένωνται, διὰ τοῦτο προσέθηκεν· «Ἐκδέχομαι γὰρ αὐτόν». Ἄλλως δὲ καὶ ἐντεῦθεν ἀξιόπιστον ποιεῖ, εἴγε μέλλων ἐξιέναι, αὐτὸν περιμένει, καὶ τὴν εἰς ἐκείνους δείκνυσιν ἀγάπην, ὅταν τὸν οὕτω χρήσιμον δι' αὐτοὺς φαίνηται πέμψας.

2. «Περὶ δὲ Ἀπολλὼ τοῦ ἀδελφοῦ πολλὰ παρεκάλεσα αὐτόν, ἵνα ἔλθῃ πρὸς ὑμᾶς». Οὗτος καὶ εὐπαίδευτος δοκεῖ εἶναι, καὶ πρεσβύτερος τοῦ Τιμοθέου. Ἵν' οὖν μὴ λέγωσι, τί δήποτε τὸν μὲν ἄνδρα οὐκ ἀπέστειλε, τὸν δὲ νέον ἀντ' ἐκείνου; ὅρα καὶ τοῦτο πῶς παραμυθεῖται, ἀδελφόν τε αὐτὸν καλῶν, καὶ πολλὰ παρακεκληκέναι λέγων. Ἵνα γὰρ μὴ

στολὴ ὁλόκληρος ἐγράφη, τοὺς ὁποίους καὶ εἰς τὴν ἀρχὴν καὶ εἰς τὸ προοίμιον τῆς ἐπιστολῆς ἐφόβησε. Δι᾽ αὐτὸ εἶπε, «προσέξατε σεῖς». Ἔπειτα δεικνύει αὐτὸν ἀξιόπιστον ἀπὸ τὴν ὑπηρεσίαν του μὲ τοὺς λόγους˙ «Διότι ἐργάζεται τὸ ἔργον τοῦ Κυρίου». Μὴ βλέπῃς λοιπὸν αὐτό, λέγει, ἐὰν δὲν εἶναι πλούσιος, ἐὰν δὲν ἔχῃ μεγάλην μόρφωσιν, οὔτε μεγάλην ἡλικίαν, ἀλλὰ τί ἐντολὴν ἔχει καὶ τί ἐκτελεῖ. «Διότι τὸ ἔργον τοῦ Κυρίου ἐργάζεται». Τοῦτο δὲ ἦτο ἀρκετὸν εἰς αὐτὸν ἀντὶ εὐγενοῦς καταγωγῆς καὶ πλούτου καὶ ἡλικίας καὶ σοφίας. Καὶ δὲν ἠρκέσθη εἰς αὐτό, ἀλλὰ προσέθεσεν˙ «ὅπως καὶ ἐγώ»˙ καὶ προηγουμένως, «ὁ ὁποῖος εἶναι τέκνον μου ἀγαπητὸν καὶ πιστὸν ἐν Κυρίῳ˙ αὐτὸς θὰ σᾶς ὑπενθυμίσῃ τὰς διδασκαλίας μου ἐν Χριστῷ».

Ἐπειδὴ λοιπὸν καὶ νέος ἦτο καὶ μόνος ἀνέλαβε τὴν διόρθωσιν τόσου λαοῦ, καὶ τὰ δύο δὲ προεκάλουν περιφρόνησιν, ὀρθῶς προσθέτει˙ «Κανεὶς λοιπὸν ἂς μὴ τὸν περιφρονήσῃ». Καὶ δὲν ἀπαιτεῖ μόνον αὐτό, ἀλλὰ καὶ περισσοτέραν τιμήν˙ δι᾽ αὐτὸ καὶ λέγει, «Κατευοδώσατέ τον μὲ εἰρήνην»˙ δηλαδή, χωρὶς νὰ προκαλῆτε φόβον, χωρὶς νὰ κάμνετε πολέμους καὶ φιλονεικίας, χωρὶς ἔχθρας καὶ μίση, ἀλλὰ μὲ τελείαν ὑπακοὴν ὡσὰν νὰ πρόκειται ἀκριβῶς διὰ διδάσκαλον. «Διὰ νὰ ἔλθῃ πρὸς ἐμέ˙ διότι τὸν περιμένω μαζὶ μὲ τοὺς ἐδῶ ἀδελφούς». Καὶ αὐτὸ διὰ νὰ τοὺς φοβίσῃ τὸ εἶπε. Διότι διὰ νὰ γίνουν μετριοπαθέστεροι μὲ τὸ νὰ γνωρίζουν ὅτι θὰ εἰπῇ τὰ πάντα εἰς αὐτόν, ὅσα πάθῃ, δι᾽ αὐτὸ προσέθεσεν αὐτό˙ «Διότι τὸν περιμένω». Ἄλλως τε δὲ μὲ αὐτὸ καὶ αὐτὸν δεικνύει ἀξιόπιστον, ἀφοῦ βέβαια πρὶν ἀναχωρήσῃ τὸν περιμένει, καὶ δεικνύει τὴν ἀγάπην του πρὸς ἐκείνους, μὲ τὸ νὰ φανερώνῃ ὅτι ἔστειλεν εἰς αὐτοὺς τὸν τόσον χρήσιμον Τιμόθεον.

2. «Ὅσον ἀφορᾷ τὸν Ἀπολλὼ τὸν ἀδελφόν, πολὺ τὸν παρεκάλεσα νὰ ἔλθῃ εἰς ἐσᾶς». Αὐτὸς φαίνεται ὅτι καὶ καλὴν μόρφωσιν ἔχει καὶ μεγαλύτερος· εἰς ἡλικίαν εἶναι ἀπὸ τὸν Τιμόθεον. Διὰ νὰ μὴ λέγουν λοιπόν, διατί δὲν ἔστειλες τὸν ἄνδρα, ἀλλὰ τὸν νέον ἀντὶ ἐκείνου; κοίταξε πῶς τοὺς καθησυχάζει καὶ δι᾽ αὐτὸ καὶ μὲ τὸ ὅτι ὀνομάζει

δόξῃ προτετιμηκέναι αὐτοῦ τὸν Τιμόθεον, καὶ μᾶλλον αὐτὸν σεμνύνειν, καὶ διὰ τοῦτο μὴ ἀπεσταλκέναι, καὶ πλείονα ἐκκαύσῃ τὸν φθόνον, ἐπήγαγε, «Πολλὰ αὐτὸν παρεκάλεσα, ἵνα ἔλθῃ». Τί οὖν, οὐκ εἶξεν ἐκεῖνος οὐδὲ ἐπένευσεν, ἀλλ' ἀντέστη καὶ ἐφιλονείκησεν; Οὐ λέγει τοῦτο, ἀλλ' ἵνα μήτε ἐκεῖνον διαβάλῃ, καὶ ὑπὲρ ἑαυτοῦ ἀπολογήσηται, φησί· «Καὶ πάντως οὐκ ἦν θέλημα, ἵνα νῦν ἔλθῃ». Εἶτα ἵνα μὴ λέγωσιν, ὅτι σκῆψις ταῦτα καὶ πρόφασις, ἐπήγαγεν· «Ἐλεύσεται δὲ πρὸς ὑμᾶς, ὅταν εὐκαιρήσῃ». Τοῦτο καὶ ὑπὲρ ἐκείνου ἀπελογήσατο, καὶ αὐτοὺς ἐπιποθοῦντας αὐτὸν ἀνέπαυσε τῇ ἐλπίδι τῆς παρουσίας. Εἶτα δεικνὺς ὅτι οὐκ ἐν τοῖς διδασκάλοις, ἀλλὰ καὶ ἐν ἑαυτοῖς ὀφείλουσι τὰς ἐλπίδας ἔχειν τῆς σωτηρίας, φησί· «Γρηγορεῖτε, στήκετε ἐν τῇ πίστει»· οὐκ ἐν τῇ σοφίᾳ τῇ ἔξω. Οὐ γάρ ἐστιν ἐκεῖ ἑστάναι, ἀλλὰ φέρεσθαι· ὥσπερ οὖν ἐν τῇ πίστει ἑστάναι. «Ἀνδρίζεσθε, κραταιοῦσθε. Πάντα ὑμῶν ἐν ἀγάπῃ γινέσθω».

Ταῦτα δὲ λέγων, δοκεῖ μὲν παραινεῖν, καθάπτεται δὲ αὐτῶν ὡς ῥαθυμούντων. Διὸ λέγει· «Γρηγορεῖτε», ὡς καθευδόντων· «Στήκετε», ὡς σαλευομένων· «Ἀνδρίζεσθε, κραταιοῦσθε», ὡς μαλακιζομένων· «Πάντα ὑμῶν ἐν ἀγάπῃ γινέσθω», ὡς στασιαζόντων. Καὶ τὸ μὲν πρὸς τοὺς ἀπατῶντας, τὸ «Γρηγορεῖτε, στήκετε»· τὸ δὲ πρὸς τοὺς ἐπιβουλεύοντας, τὸ «Ἀνδρίζεσθε»· τὸ δὲ πρὸς τοὺς στασιάζοντας καὶ διασπᾶν ἐπιχειροῦντας, τὸ «Πάντα ὑμῶν ἐν ἀγάπῃ γινέσθω», ὅπερ σύνδεσμός ἐστι τελειότητος, καὶ ῥίζα καὶ πηγὴ τῶν ἀγαθῶν. Τί δέ ἐστι, τὸ «Πάντα ἐν ἀγάπῃ»; Εἴτε ἐπιτιμᾷ τις, φησίν, εἴτε ἄρχει, εἴτε ἄρχεται, εἴτε μανθάνει, εἴτε διδάσκει,

αὐτὸν ἀδελφὸν καὶ μὲ τὸ ὅτι λέγει πολλὰ διὰ νὰ τοὺς παρηγορήσῃ. Διὰ νὰ μὴ νομισθῇ λοιπὸν ὅτι προετίμησεν ἀπὸ τὸν Ἀπολλὼ τὸν Τιμόθεον καὶ ὅτι περισσότερον τιμᾷ αὐτὸν καὶ δι' αὐτὸ δὲν τὸν ἔστειλε καὶ ἐξάψῃ ἔτσι περισσότερον τὸν φθόνον, προσέθεσε, «Πολὺ τὸν παρεκάλεσα νὰ ἔλθῃ». Τί λοιπόν, δὲν ὑπεχώρησεν ἐκεῖνος, οὔτε ὑπήκουσεν, ἀλλ' ἀντεστάθη καὶ ἐφιλονείκησε; Δὲν λέγει αὐτό, ἀλλὰ μὲ τρόπον ποὺ καὶ ἐκεῖνον νὰ μὴ κατηγορήσῃ καὶ διὰ τὸν ἑαυτόν του ν' ἀπολογηθῇ, λέγει˙ «ἀλλὰ δὲν ἤθελε νὰ ἔλθῃ τώρα». Ἔπειτα διὰ νὰ μὴ λέγουν, ὅτι αὐτὰ εἶναι δικαιολογία καὶ πρόφασις, προσέθεσε˙ «Θὰ ἔλθῃ ὅμως ὅταν εὐκαιρήσῃ». Αὐτὸ τὸ εἶπε καὶ διὰ ν' ἀπολογηθῇ ὑπὲρ ἐκείνου καὶ διὰ ν' ἀναπαύσῃ καὶ αὐτοὺς ποὺ ἐπεθύμουν νὰ τὸν ἰδοῦν μὲ τὴν ἐλπίδα τοῦ ὅτι θὰ ἔλθῃ. Ὕστερον διὰ νὰ δείξῃ ὅτι ὄχι εἰς τοὺς διδασκάλους, ἀλλὰ καὶ εἰς τοὺς ἑαυτούς των πρέπει νὰ ἔχουν τὰς ἐλπίδας τῆς σωτηρίας, λέγει˙ «Ἀγρυπνεῖτε, μένετε σταθεροὶ εἰς τὴν πίστιν»˙ ὄχι εἰς τὴν κοσμικὴν σοφίαν. Διότι δὲν εἶναι δυνατὸν ἐκεῖ νὰ μένῃ σταθερὸς κανείς, ἀλλὰ περιφέρεται˙ ὅπως ἀκριβῶς βέβαια εἰς τὴν πίστιν ἠμπορεῖ νὰ μένῃ σταθερός. «Νὰ εἶσθε ἀνδρεῖοι καὶ ἰσχυροί. Ὅλα ὅσα κάμνετε, ἂς γίνωνται μὲ ἀγάπην.

Μὲ τὸ νὰ λέγῃ λοιπὸν αὐτὰ φαίνεται μὲν ὅτι παροτρύνει, ἀλλ' ὅμως τοὺς κατηγορεῖ ὡς ραθύμους. Δι' αὐτὸ λέγει˙ «Ἀγρυπνεῖτε», ὡσὰν νὰ κοιμῶνται˙ «Μένετε σταθεροί», ὡσὰν νὰ κλονίζωνται˙ «Νὰ εἶσθε ἀνδρεῖοι καὶ δυνατοί», ὡσὰν νὰ ἔχουν χαυνωθῇ˙ «Ὅ,τι κάμνετε μὲ ἀγάπην ἂς γίνεται», ὡσὰν νὰ εὑρίσκοντο εἰς ἔχθραν. Καὶ τὴν μὲν προτροπήν, «Ἀγρυπνεῖτε, μένετε σταθεροὶ» τὴν λέγει σχετικὰ μὲ αὐτοὺς ποὺ τοὺς ἐξαπατοῦν, τὴν δὲ «Νὰ εἶσθε ἀνδρεῖοι», σχετικὰ μὲ ἐκείνους ποὺ τοὺς ἐπιβουλεύονται, τὴν δὲ «Ὅ,τι κάνετε ἂς γίνεται μὲ ἀγάπην», πρᾶγμα ποὺ εἶναι σύνδεσμος τελειότητος καὶ ρίζα καὶ πηγὴ τῶν ἀγαθῶν, σχετικὰ μὲ ἐκείνους ποὺ προεκάλουν ταραχὰς καὶ προσεπάθουν νὰ τοὺς διασπάσουν. Τί σημαίνει δὲ τό, «Ὅλα ἂς γίνωνται μὲ ἀγάπην»; Εἴτε ἐπιπλήττει κανείς, λέγει, εἴτε ἐξουσιάζει, εἴτε ἐξουσιάζεται, εἴτε μανθάνει, εἴτε διδά-

πάντα μετὰ ἀγάπης· ἐπειδὴ καὶ τὰ εἰρημένα ἅπαντα ἐκ τοῦ ταύτην ἠμελῆσθαι ἐγένετο. Εἰ γὰρ αὕτη μὴ ἠμελήθη, οὐκ ἂν ἐφυσιώθησαν, οὐκ ἂν εἶπον, «Ἐγὼ μέν εἰμι Παύλου, ἐγὼ δὲ Ἀπολλώ»· εἰ αὕτη ἦν, οὐκ ἂν ἔξω ἐδικάσαντο, μᾶλλον δὲ οὐδ' ἂν ἐδικάσαντο· εἰ αὕτη ἦν, οὐκ ἂν ἐκεῖνος τοῦ πατρὸς τὴν γυναῖκα ἔλαβεν, οὐκ ἂν τῶν ἀσθενούντων ἀδελφῶν κατεφρόνησαν, οὐκ ἂν αἱρέσεις εἶχον, οὐκ ἂν ἐκενοδόξησαν ἐπὶ τοῖς χαρίσμασι. Διὰ τοῦτό φησι, «Πάντα μετὰ ἀγάπης γινέσθω».

3. «Παρακαλῶ δὲ ὑμᾶς, ἀδελφοί, οἴδατε τὴν οἰκίαν Στεφανᾶ, ὅτι ἐστὶν ἀπαρχὴ τῆς Ἀχαΐας, καὶ εἰς διακονίαν τοῖς ἁγίοις ἔταξαν ἑαυτούς». Καὶ ἀρχόμενος τούτου μέμνηται λέγων, «Ἐβάπτισα δὲ καὶ τὸν Στεφανᾶ οἶκον»· καὶ νῦν ἀπαρχὴν αὐτὸν οὐχὶ τῆς Κορίνθου μόνον, ἀλλὰ καὶ ὅλης τῆς Ἑλλάδος φησίν. Οὐ μικρὸν δὲ καὶ τοῦτο ἐγκώμιον, τὸ πρῶτον τῷ Χριστῷ προσελθεῖν. Διὸ καὶ ἐν τῇ πρὸς Ρωμαίους ἐπιστολῇ ἐντεῦθεν ἐγκωμιάζων τινὰς ἔλεγεν, «Οἳ καὶ πρὸ ἐμοῦ γεγόνασιν ἐν Χριστῷ». Καὶ οὐκ εἶπεν, ὅτι πρῶτοι ἐπίστευσαν, ἀλλὰ ἀπαρχὴ ἐγένοντο, δεικνὺς ὅτι μετὰ τῆς πίστεως καὶ βίον ἄριστον ἐπεδείξαντο, ὥσπερ ἐπὶ καρπῶν, πάντοθεν ἑαυτοὺς ἀξίους παρέχοντες. Καὶ γὰρ τὴν ἀπαρχὴν ἀμείνω τῶν λοιπῶν εἶναι χρή, ὧν ἐστιν ἀπαρχή· ὃ δὴ καὶ τούτοις διὰ τῆς ῥήσεως ταύτης ἐπεμαρτύρησεν ὁ Παῦλος. Οὐδὲ γὰρ ἐπίστευσαν μόνον γνησίως, ὅπερ ἔφην, ἀλλὰ καὶ πολλὴν ἐπεδείξαντο τὴν εὐλάβειαν, καὶ ἀκμάζουσαν τὴν ἀρετήν, καὶ τὴν ἐν ἐλεημοσύναις φιλοτιμίαν. Οὐκ ἐντεῦθεν δὲ μόνον, ἀλλὰ καὶ ἑτέρωθεν αὐτῶν τὴν εὐλάβειαν δείκνυσιν, ἐκ τοῦ καὶ τὴν οἰκίαν ἅπασαν εὐσεβείας πληρῶσαι. Ὅτι δὲ καὶ ἐν ἔργοις ἐκόμων ἀγαθοῖς, δηλοῖ διὰ τῶν

σκει, ὅλα νὰ γίνωνται μὲ ἀγάπην· ἐπειδὴ καὶ ὅλα ὅσα ἀνεφέρθησαν, ὅλα προῆλθον ἀπὸ τὸ ὅτι παρημελήθη ἡ ἀγάπη. Διότι, ἐὰν δὲν εἶχε παραμεληθῆ αὐτή, δὲν θὰ ἔπιπτον εἰς ὑπερηφάνειαν, δὲν θὰ ἔλεγον, «Ἐγὼ μὲν εἶμαι τοῦ Παύλου, ἐγὼ δὲ τοῦ Ἀπολλώ»· ἐὰν ἡ ἀγάπη ὑπῆρχε, δὲν θὰ ἐδικάζοντο εἰς κοσμικὰ δικαστήρια, μᾶλλον δὲ οὔτε κἂν θὰ ἐδικάζοντο· ἐὰν ὑπῆρχεν ἡ ἀγάπη, οὔτε ἐκεῖνος θὰ ἐλάμβανε τὴν γυναῖκα τοῦ πατρός του, δὲν θὰ κατεφρόνουν τοὺς πτωχοὺς ἀδελφούς, δὲν θὰ εἶχον διαιρεθῆ, δὲν θὰ εἶχον πέσει εἰς ματαιοδοξίαν διὰ τὰ χαρίσματα. Δι᾽ αὐτὸ λέγει, «Ὅλα ἂς γίνωνται μὲ ἀγάπην».

3. «Σᾶς παρακαλῶ δέ, ἀδελφοί, γνωρίζετε τὴν οἰκογένειαν τοῦ Στεφανᾶ ποὺ ἔγιναν ἀπαρχὴ τῶν Χριστιανῶν τῆς Ἀχαΐας καὶ ἀφιέρωσαν τὸν ἑαυτόν των εἰς τὸ νὰ ὑπηρετοῦν τοὺς ἁγίους». Καὶ εἰς τὴν ἀρχὴν μνημονεύει αὐτὸ ὅταν λέγῃ, «Ἐβάπτισα δὲ καὶ τὴν οἰκογένειαν τοῦ Στεφανᾶ»· καὶ τώρα λέγει αὐτὸν πρῶτον ὄχι μόνον εἰς τὴν Κόρινθον, ἀλλὰ καὶ εἰς ὅλην τὴν Ἑλλάδα. Δὲν εἶναι δὲ μικρὸς ἔπαινος καὶ αὐτός, τὸ νὰ προσέλθῃ κανεὶς πρῶτος εἰς τὸν Χριστόν. Δι᾽ αὐτὸ καὶ εἰς τὴν πρὸς Ρωμαίους ἐπιστολὴν ὅταν ἐπαινῇ μερικοὺς δι᾽ αὐτό, λέγει, «Οἱ ὁποῖοι καὶ πρὶν ἀπὸ ἐμὲ ἐπίστευσαν εἰς τὸν Χριστόν». Καὶ δὲν εἶπεν, ὅτι ἁπλῶς ἐπίστευσαν πρῶτοι, ἀλλ᾽ ὅτι ἔγιναν πρῶτοι, ἀπαρχή, διὰ νὰ δείξῃ ὅτι μαζὶ μὲ τὴν πίστιν ἐπέδειξαν καὶ ἀρίστην ὡς πρὸς τὴν ἀρετὴν ζωήν, ὅπως καὶ εἰς τοὺς καρποὺς προσφέρομεν θυσίαν τοὺς καλυτέρους, μὲ τὸ νὰ προσφέρουν τοὺς ἑαυτούς των ἀξίους ἀπὸ κάθε πλευράν. Διότι ἡ ἀπαρχὴ πρέπει νὰ εἶναι καλυτέρα ἀπὸ τοὺς ὑπολοίπους καρποὺς τῶν ὁποίων εἶναι ἀπαρχή· πρᾶγμα τὸ ὁποῖον ἐβεβαίωσε δι᾽ αὐτοὺς μὲ αὐτοὺς τοὺς λόγους ὁ Παῦλος. Καθ᾽ ὅσον ὄχι μόνον ἐπίστευσαν γνησίως, ὅπως εἶπον, ἀλλ᾽ ἐπέδειξαν καὶ πολλὴν εὐλάβειαν καὶ μεγίστην ἀρετὴν καὶ γενναιοδωρίαν εἰς τὰς ἐλεημοσύνας. Ὄχι μόνον ἀπὸ αὐτὰ ὅμως, ἀλλὰ καὶ ἀπὸ ἄλλου δεικνύει τὴν εὐλάβειάν των, δηλαδὴ καὶ ἀπὸ τὸ ὅτι ὁλόκληρος ἡ οἰκογένεια ἦτο εὐσεβής. Ὅτι δὲ ἐφρόντιζον καὶ δι᾽ ἀγαθὰ ἔργα, τὸ

ἑξῆς λέγων· «Εἰς διακονίαν τοῖς ἁγίοις ἔταξαν ἑαυτούς». Ἠκούσατε ἡλίκα τῆς φιλοξενίας τὰ ἐγκώμια; Οὐ γὰρ εἶπε, διακονοῦσιν, ἀλλ', «ἔταξαν ἑαυτούς»· τοῦτον τὸν βίον εἵλοντο διαπαντός, ταύτην μελετῶσι τὴν μελέτην.

«Ἵνα καὶ ὑμεῖς ὑποτάσσησθε τοῖς τοιούτοις. Τουτέστιν, ἵνα συναντιλαμβάνησθε καὶ εἰς δαπάνην χρημάτων καὶ εἰς σώματος διακονίαν, ἵνα κοινωνῆτε. Καὶ γὰρ ἐκείνοις ὁ κόπος ἔσται κοῦφος, ὅταν ἔχωσι συμμάχους, καὶ τὰ τῆς εὐεργεσίας εἰς πλείονας διαβήσεται. Καὶ οὐκ εἶπεν ἁπλῶς, συνεργεῖτε, ἀλλὰ καὶ ἐν οἷς ἂν κελεύωσι πείθεσθε, τὴν ἐπιτεταμένην ὑπακοὴν ἐνδεικνύμενος. Καὶ ἵνα μὴ δόξῃ αὐτοῖς χαρίζεσθαι, προσέθηκε· Καὶ παντὶ τῷ κοπιῶντι καὶ συνεργοῦντι». Κοινὸς ἔστω, φησίν, ὁ νόμος οὗτος. Οὐδὲ γὰρ ἰδιαζόντως περὶ ἐκείνων λέγω, ἀλλ' εἴ τις κατ' ἐκείνους, καὶ οὗτος ἀπολαυέτω τούτων. Διὰ τοῦτο καὶ ἀρχόμενος συνιστᾶν, αὐτοὺς μάρτυρας καλεῖ, λέγων· «Παρακαλῶ δὲ ὑμᾶς, οἴδατε τὴν οἰκίαν Στεφανᾶ». Ἴστε γάρ, φησί, καὶ ὑμεῖς πῶς κάμνουσι, καὶ οὐ παρ' ἡμῶν δεῖσθε μαθεῖν.

4. «Ἐχάρην δὲ ἐπὶ τῇ παρουσίᾳ Στεφανᾶ καὶ Φουρτουνάτου καὶ Ἀχαϊκοῦ, ὅτι τὸ ὑμῶν ὑστέρημα αὐτοὶ ἀνεπλήρωσαν· ἀνέπαυσαν γὰρ τὸ ἐμὸν πνεῦμα καὶ τὸ ὑμῶν». Ἐπειδὴ γὰρ εἰκὸς ἦν αὐτοὺς ἐξηγριῶσθαι πρὸς τούτους· οὗτοι γὰρ οἱ ἐλθόντες εἰσὶ καὶ δηλώσαντες αὐτῷ τὰ κατὰ τὴν στάσιν· δι' αὐτῶν γὰρ καὶ ἔγραψαν τὰ περὶ τῶν παρθένων, τὰ περὶ τῶν γεγαμηκότων· ὅρα πῶς αὐτοὺς κατεπραΰνεν, ἐν ἀρχῇ μὲν τῆς ἐπιστολῆς εἰπών, «Ἐδηλώθη γάρ μοι περὶ ὑμῶν ὑπὸ τῶν Χλόης», καὶ τούτους κρύψας, κἀκείνους εἰς μέσον ἀγαγών· εἰκὸς γὰρ ἐκείνους διὰ τούτων δηλῶσαι· ἐνταῦθα δέ, «Τὸ ὑμῶν ὑστέρημα ἀνεπλήρωσαν, καὶ ἀνέπαυσαν τὸ ἐ-

δηλώνει μὲ τοὺς λόγους· «καὶ ἀφιέρωσαν τὸν ἑαυτόν των εἰς τὸ νὰ ὑπηρετοῦν τοὺς ἁγίους. Ἠκούσατε πόσον μεγάλοι εἶναι οἱ ἔπαινοι διὰ τὴν φιλοξενίαν; Διότι δὲν εἶπεν, ὑπηρετοῦν, ἀλλ', «ἀφιέρωσαν τὸν ἑαυτόν των»· αὐτὴν τὴν ζωὴν ἐπεθύμουν συνεχῶς, αὐτὴν τὴν φροντίδα δεικνύουν.

«Νὰ ὑποτάσσεσθε καὶ σεῖς εἰς ὅσους εἶναι τέτοιοι». Δηλαδή, νὰ συμβοηθῆτε καὶ εἰς χρηματικὴν δαπάνην καὶ εἰς σωματικὸν κόπον, νὰ συμμετέχετε εἰς τὰ ἔργα των. Διότι καὶ εἰς ἐκείνους ὁ κόπος θὰ εἶναι ἐλαφρός, ὅταν ἔχουν συμμάχους καὶ τὰ ἔργα τῆς εὐεργεσίας θὰ μοιρασθοῦν εἰς περισσοτέρους. Καὶ δὲν εἶπεν ἁπλῶς, συνεργάζεσθε, ἀλλὰ καὶ εἰς ὅσα σᾶς παραγγέλουν νὰ πείθεσθε, διὰ νὰ δείξῃ ἐντόνως καὶ σαφῶς τὴν ὑπακοήν. Καὶ διὰ νὰ μὴ φανῇ ὅτι ἔχει προσωπικοὺς λόγους διὰ νὰ προτιμᾷ αὐτούς, προσέθεσε· «Καὶ εἰς κάθε ἄλλον ποὺ κοπιάζει καὶ συνεργάζεται». Ἂς εἶναι κοινὸς δι' ὅλους, λέγει, αὐτὸς ὁ νόμος. Διότι δὲν λέγω ἰδιαιτέρως δι' ἐκείνους, ἀλλ' ἐὰν κανεὶς εἶναι ὅπως ἐκεῖνοι, ἂς ἀπολαμβάνῃ καὶ αὐτὸς τῆς ἰδίας τιμῆς. Δι' αὐτὸ καὶ ὅταν ἀρχίζῃ νὰ τοὺς συνιστᾷ, καλῇ μάρτυρας τοὺς ἰδίους, μὲ τοὺς λόγους· «Σᾶς παρακαλῶ, γνωρίζετε τὴν οἰκογένειαν τοῦ Στεφανᾶ». Γνωρίζετε δηλαδή, λέγει, καὶ σεῖς πῶς κοπιάζουν καὶ δὲν ἔχετε ἀνάγκην νὰ μάθετε ἀπὸ ἐμᾶς.

4. «Ἐχάρην δὲ διὰ τὸν ἐρχομὸν τοῦ Στεφανᾶ, τοῦ Φουρτουνάτου καὶ τοῦ Ἀχαϊκοῦ, διότι αὐτοὶ ἀνεπλήρωσαν τὸ κενὸν ἀπὸ τὴν ἀπουσίαν σας· διότι ἀνέπαυσαν τὸ πνεῦμα τὸ ἰδικόν μου καὶ τὸ ἰδικόν σας». Ἐπειδὴ λοιπὸν ἦτο πιθανὸν νὰ ἐξαγριωθοῦν οἱ Κορίνθιοι ἐναντίον αὐτῶν, διότι αὐτοὶ ἦσαν ποὺ ἦλθον καὶ ἀνέφεραν εἰς τὸν Παῦλον τὰ σχετικὰ μὲ τὴν διχόνοιαν, διὰ μέσου αὐτῶν δὲ καὶ ἔγραψαν τὰ σχετικὰ μὲ τὰς παρθένους καὶ τοὺς ἐγγάμους, κοίταξε πῶς τοὺς κατεπραΰνεν, ἀφοῦ εἰς τὴν ἀρχὴν μὲν τῆς ἐπιστολῆς, «Ἐπληροφορήθην δι' ἐσᾶς ἀπὸ τοὺς ἀνθρώπους τῆς Χλόης» καὶ τοὺς ἔκρυψε καὶ ἐνεφάνισεν ἐκείνους· διότι ἔπρεπε ν' ἀναφερθῇ εἰς ἐκείνους διὰ μέσου αὐτῶν· ἐδῶ δέ, «ἀνεπλήρωσαν τὸ κενὸν ἀπὸ τὴν ἀπουσίαν σας

μὸν πνεῦμα καὶ τὸ ὑμῶν»· δεικνὺς ἀντὶ πάντων ἐλθόντας, καὶ ἑλομένους ἀποδημίαν στείλασθαι τοσαύτην ὑπὲρ αὐτῶν.

Πῶς οὖν ἵνα τοῦτο τὸ ἴδιον κοινὸν γένηται; Εἰς τὸ ὑστέρημα παραμυθήσασθε διὰ τῆς εὐνοίας τῆς εἰς αὐτούς· ἐὰν τιμήσητε, ἐὰν ἀποδέξησθε αὐτούς, ἐὰν τῇ εὐποιΐᾳ κοινωνήσητε. Διό φησιν, «Ἐπιγινώσκετε οὖν τοὺς τοιούτους». Καὶ ἐπαινῶν τοὺς ἐλθόντας, συμπλέκει καὶ ἐκείνους τῷ ἐγκωμίῳ, τοῖς ἀπεσταλμένοις τοὺς ἀπεσταλκότας, λέγων, ὅτι «ἀνέπαυσαν τὸ ἐμὸν πνεῦμα καὶ τὸ ὑμῶν». «Ἐπιγινώσκετε οὖν τοὺς τοιούτους», ὅτι δι' ὑμᾶς πατρίδα καὶ οἰκίαν κατέλιπον. Εἶδες σύνεσιν; πῶς δείκνυσιν οὐ Παύλῳ μᾶλλον ἢ ἐκείνοις αὐτοὺς χαρισαμένους, τῷ τὴν πόλιν ἅπασαν ἐν αὐτοῖς περιφέρειν· ὃ καὶ τούτους ἀξιοπίστους ἐποίει, καὶ ἐκείνους οὐκ ἠφίει τούτων ἀποσχίζεσθαι, ἅτε δι' αὐτῶν παραστάντας τῷ Παύλῳ.

«Ἀσπάζονται ὑμᾶς αἱ ἐκκλησίαι πᾶσαι τῆς Ἀσίας». Ἀεὶ συνάγει καὶ συγκολλᾷ τὰ μέλη διὰ τοῦ ἀσπασμοῦ. «Ἀσπάζονται ὑμᾶς ἐν Κυρίῳ πολλὰ Ἀκύλας καὶ Πρίσκιλλα». Παρ' αὐτοῖς γὰρ ἔμενε, σκηνοποιὸς ὤν. «Σὺν τῇ κατ' οἶκον αὐτῶν ἐκκλησίᾳ». Καὶ τοῦτο οὐ μικρὰ ἀρετή, τὸ καὶ τὴν οἰκίαν ἐκκλησίαν ποιῆσαι. «Ἀσπάζονται ὑμᾶς οἱ ἀδελφοὶ πάντες. Ἀσπάσασθε ἀλλήλους ἐν φιλήματι ἁγίῳ». Ταύτην τὴν τοῦ ἁγίου φιλήματος ἐνταῦθα μόνον τίθησι προσθήκην. Τί δήποτε; Σφόδρα διεστήκεσαν ἀλλήλων τῷ λέγειν, «Ἐγὼ μέν εἰμι Παύλου, ἐγὼ δὲ Ἀπολλώ, ἐγὼ δὲ Κηφᾶ, ἐγὼ δὲ Χριστοῦ»· τῷ τὸν μὲν πεινᾶν, τὸν δὲ μεθύειν· τῷ μάχας καὶ ζηλοτυπίας καὶ κρίματα ἔχειν. Καὶ ἀπὸ τῶν χαρισμάτων πολὺς ὁ φθόνος ἦν, πολλὴ ἡ ὑπερηφανία. Ἐπεὶ οὖν αὐτοὺς συνῆψε διὰ τῆς παραινέσεως, εἰκότως κελεύει καὶ διὰ τοῦ φιλήματος τοῦ ἁγίου συνάπτεσθαι. Τοῦτο γὰρ ἑνοῖ, καὶ ἓν τίκτει σῶμα· τοῦτο ἅγιόν ἐστι, τὸ μὴ μετὰ δόλου καὶ ὑποκρίσεως.

5. «Ὁ ἀσπασμὸς τῇ ἐμῇ χειρὶ Παύλου». Δείκνυσι μετὰ

καὶ ἀνέπαυσαν τὸ πνεῦμα τὸ ἰδικόν μου καὶ τὸ ἰδικόν σας», διὰ νὰ ἐμφανίσῃ αὐτοὺς ὅτι ἦλθον ὡς ἐκπρόσωποι ὅλων καὶ ὅτι ἠθέλησαν νὰ κάμουν τόσον μέγα ταξίδι χάριν αὐτῶν.

Πῶς ὅμως νὰ γίνῃ κοινὸν αὐτὸ ποὺ εἶναι προσωπικόν; Ἐὰν μετριάσετε τὸ ὑστέρημα μὲ τὴν ἀγάπην σας πρὸς αὐτούς· ἐὰν τοὺς τιμήσετε, ἐὰν τοὺς δεχθῆτε, ἐὰν συμμετάσχετε εἰς τὰ καλὰ ἔργα των. Δι' αὐτὸ λέγει· «Ν' ἀναγνωρίζετε καὶ νὰ ἐκτιμᾶτε λοιπὸν ὅσους εἶναι τέτοιοι», διότι δι' ἐσᾶς ἐγκατέλειψαν πατρίδα καὶ οἰκίαν. Εἶδες σύνεσιν; πῶς δεικνύει ὅτι ὄχι διὰ τὸν Παῦλον, ἀλλὰ δι' ἐκείνους ἔκαναν ὅ,τι ἔκαναν, μὲ τὸ νὰ δεικνύῃ ὅτι ἀπὸ αὐτοὺς ἐκπροσωπεῖται ὅλη ἡ πόλις· πρᾶγμα τὸ ὁποῖον καὶ αὐτοὺς ἔκαμνε ἀξιοπίστους καὶ ἐκείνους δὲν τοὺς ἄφηνε ν' ἀποχωρίζωνται ἀπὸ αὐτούς, ἀφοῦ ἀντ' αὐτῶν ἐπαρουσιάσθησαν εἰς τὸν Παῦλον.

«Σᾶς ἀσπάζονται αἱ ἐκκλησίαι τῆς Ἀσίας». Πάντοτε συγκεντρώνει καὶ συνενώνει τὰ μέλη τῆς ἐκκλησίας διὰ τοῦ ἀσπασμοῦ. «Σᾶς στέλλουν πολλοὺς χαιρετισμοὺς ἐν Κυρίῳ ὁ Ἀκύλας καὶ ἡ Πρίσκιλλα». Ἐπειδὴ εἰς αὐτοὺς ἔμενεν ὡς σκηνοποιός. «Μαζὶ μὲ τὴν ἐκκλησίαν τοῦ οἴκου των». Καὶ αὐτὸ δὲν ἦτο μικρὰ ἀρετή, τὸ νὰ κάνουν καὶ τὴν οἰκίαν ἐκκλησίαν. «Σᾶς χαιρετοῦν μὲ ἀσπασμοὺς ὅλοι οἱ ἀδελφοί. Ἀσπασθῆτε ὁ ἕνας τὸν ἄλλον μὲ φίλημα ἅγιον». Αὐτὴν τὴν προσθήκην διὰ τὸ ἅγιον φίλημα, μόνο εἰς αὐτὴν τὴν ἐπιστολὴν θέτει. Διατί ἆρά γε; Διότι εἶχον ἔλθει εἰς διάστασιν καὶ μεγάλην ψυχρότητα μεταξύ των μὲ τὸ νὰ λέγουν, «Ἐγὼ μὲν εἶμαι τοῦ Παύλου, ἐγὼ δὲ τοῦ Ἀπολλώ, ἐγὼ δὲ τοῦ Κηφᾶ, ἐγὼ δὲ τοῦ Χριστοῦ»· διὰ τὸ ὅτι ἄλλος μὲν πεινᾷ, ἄλλος δὲ μεθύει· διὰ τὸ ὅτι ἔχουν πολέμους καὶ ζηλοτυπίας καὶ δικαστήρια. Καὶ ἀπὸ τὰ χαρίσματά των εἶχον πέσει εἰς πολὺν φθόνον καὶ μεγάλην ὑπερηφάνειαν. Ἀφοῦ λοιπὸν τοὺς συνέδεσε μὲ τὴν παραίνεσιν, ὀρθῶς προτρέπει νὰ συμφιλιωθοῦν καὶ μὲ τὸ ἅγιον φίλημα. Διότι αὐτὸ ἑνώνει καὶ γεννᾷ ἓν σῶμα· αὐτὸ εἶναι ἅγιον, τὸ ὁποῖον δὲν δίδεται μὲ δόλον καὶ ὑποκρισίαν.

5. «Ὁ χαιρετισμὸς αὐτὸς ἐγράφη μὲ τὸ χέρι ἐμοῦ τοῦ

πολλῆς σπουδῆς τὴν ἐπιστολὴν συντεθεῖσαν· διὸ καὶ τοῦτο προσέθηκεν. «Εἴ τις οὐ φιλεῖ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ἔστω ἀνάθεμα». Δι' ἑνὸς τούτου ῥήματος πάντας ἐφόβησε, τοὺς τὰ μέλη αὐτῶν ποιοῦντας πόρνης μέλη, τοὺς σκανδαλίζοντας τοὺς ἀδελφοὺς διὰ τῶν εἰδωλοθύτων, τοὺς ἀπ' ἀνθρώπων ὀνομαζομένους, τοὺς τῇ ἀναστάσει διαπιστοῦντας. Οὐκ ἐφόβησε δὲ μόνον, ἀλλὰ καὶ ἔδειξε τῆς ἀρετῆς τὴν ὁδόν, καὶ τῆς κακίας τὴν πηγήν. Ὥσπερ γὰρ σφοδρὰ περὶ αὐτὸν ἡ ἀγάπη γινομένη, πάντα τῶν ἁμαρτημάτων τὰ εἴδη κατασβέννυσι καὶ ἐξωθεῖ· οὕτως ὅταν ἀσθενεστέρα ᾖ, βλαστάνειν ταῦτα ποιεῖ.

«Μαραναθά». Τίνος ἕνεκεν τοῦτο εἴρηται; τί δήποτε καὶ Ἑβραΐδι φωνῇ; Ἐπειδὴ πάντων τῶν κακῶν ὁ τῦφος αἴτιος ἦν, τοῦτον δὲ τὸν τῦφον ἡ ἔξωθεν σοφία ἐποίει, καὶ τοῦτο τὸ κεφάλαιον τῶν κακῶν ἦν, ὃ μάλιστα τὴν Κορίνθου διέσπασε· καταστέλλων αὐτὴν οὐδὲ Ἑλλάδα κέχρηται τῇ γλώσσῃ, ἀλλὰ τῇ Ἑβραΐδι, δεικνὺς ὅτι οὐ μόνον οὐκ αἰσχύνεται τὴν ἰδιωτείαν, ἀλλὰ καὶ μετὰ πολλῆς ἀσπάζεται τῆς θερμότητος. Τί δέ ἐστι «Μαραναθά»; Ὁ Κύριος ἡμῶν ἦλθε. Τίνος οὖν ἕνεκεν αὐτὸ τοῦτό φησι; Τὸν τῆς οἰκονομίας βεβαιῶν λόγον, ἐξ ὧν μάλιστα τὰ σπέρματα τῆς ἀναστάσεως συντέθεικεν· οὐ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ ἐκείνους ἐντρέπων, ὡς ἂν εἰ ἔλεγεν· ὁ κοινὸς πάντων δεσπότης καταβῆναι τοσοῦτον κατηξίωσε, καὶ ὑμεῖς ἐν τοῖς αὐτοῖς ἐστε, καὶ ἐπιμένετε ἁμαρτάνοντες καὶ οὐ φρίττετε τῆς ἀγάπης τὴν ὑπερβολήν, τῶν ἀγαθῶν τὸ κεφάλαιον; Ἐννόησον γὰρ τοῦτο μόνον, φησί, καὶ ἀρκέσει σοι εἰς πάσης ἀρετῆς προκοπήν, καὶ πᾶσαν δυνήσῃ κατασβέσαι ἁμαρτίαν.

6. «Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μεθ' ὑμῶν». Τοῦτο διδασκάλου, τὸ μὴ μόνον συμβουλαῖς, ἀλλὰ καὶ

Παύλου». Δεικνύει ὅτι μὲ πολλὴν ἐπιμέλειαν καὶ ἐνδιαφέρον ἐγράφη ἡ ἐπιστολή· δι' αὐτὸ καὶ προσέθεσεν αὐτό. «Ἐὰν κανεὶς δὲν ἀγαπᾷ τὸν Κύριον Ἰησοῦν Χριστόν, ἂς εἶναι ἀνάθεμα». Μὲ αὐτὸν τὸν ἕνα λόγον ὅλους τοὺς ἐφόβησεν, αὐτοὺς ποὺ κάμνουν τὰ μέλη τους μέλη πόρνης, αὐτοὺς ποὺ σκανδαλίζουν τοὺς ἀδελφοὺς μὲ τὰ εἰδωλόθυτα, αὐτοὺς ποὺ δοξάζονται ἀπὸ ἀνθρώπους, αὐτοὺς ποὺ δὲν πιστεύουν εἰς τὴν ἀνάστασιν. Δὲν ἐφόβησε μόνον ὅμως, ἀλλὰ καὶ ἔδειξε τὴν ὁδὸν τῆς ἀρετῆς καὶ τὴν πηγὴν τῆς κακίας. Διότι ὅπως ἀκριβῶς, ὅταν ἡ ἀγάπη διὰ τὸν Χριστὸν γίνεται πολὺ δυνατή, ἐξαφανίζει καὶ διώκει ἔξω ἀπὸ τὸν ἄνθρωπον κάθε εἶδος ἁμαρτίας, ἔτσι ὅταν εἶναι ἀσθενεστέρα, κάμνει αὐτὰ νὰ βλαστάνουν.

«Μαραναθά». Διατί τὸ εἶπεν αὐτό; Καὶ διατί εἰς τὴν ἑβραϊκήν; Ἐπειδὴ αἴτιος ὅλων τῶν κακῶν ἦτο ἡ ὑπερηφάνεια, αὐτὴν δὲ τὴν ὑπερηφάνειαν τὴν προεκάλει ἡ κοσμικὴ σοφία καὶ αὐτὸ ἦτο ἡ κορωνὶς τῶν κακῶν, τὸ ὁποῖον κυρίως διέσπασε τὴν Κόρινθον, διὰ νὰ ταπεινώσῃ αὐτὴν δὲν χρησιμοποιεῖ τὴν ἑλληνικὴν γλῶσσαν, ἀλλὰ τὴν ἑβραϊκήν, καὶ δεικνύει ἔτσι ὅτι, ὄχι μόνον δὲν ἐντρέπεται νὰ εἶναι ἁπλοϊκὸς καὶ ἀπαίδευτος εἰς τὴν εἰδωλολατρικὴν ἑλληνικὴν σοφίαν, ἀλλὰ καὶ τὴν ἀσπάζεται καὶ μὲ πολλὴν θερμότητα. Τί σημαίνει δὲ «Μαραναθά»; Ὁ Κύριός μας ἦλθε. Διατί λοιπὸν τὸ λέγει αὐτό; Διὰ νὰ βεβαιώσῃ τὸ κήρυγμα διὰ τὴν οἰκονομίαν, ἀπὸ ἐκεῖνα ἀπὸ τὰ ὁποῖα κυρίως συνέθεσε τοὺς καρποὺς τῆς ἀναστάσεως· ὄχι δὲ μόνον δι' αὐτό, ἀλλὰ καὶ διὰ νὰ τοὺς ἐντροπιάσῃ, ὡσὰν νὰ ἔλεγεν· ὁ κοινὸς Κύριος καὶ δεσπότης ὅλων μᾶς ἐτίμησε μὲ τὸ νὰ καταβῇ τόσον, καὶ σεῖς εἶσθε ἀκόμη εἰς τὰ ἴδια καὶ ἐπιμένετε νὰ ἁμαρτάνετε καὶ δὲν φρίττετε διὰ τὴν ὑπερβολὴν τῆς ἀγάπης, τὸ ἀποκορύφωμα τῶν ἀγαθῶν; Διότι σκέψου αὐτὸ μόνον, λέγει, καὶ θὰ σοῦ εἶναι ἀρκετὸν διὰ νὰ προκόψῃς εἰς κάθε ἀρετὴν καὶ θὰ ἠμπορέσῃς νὰ ἐξαφανίσῃς τελείως κάθε ἁμαρτίαν.

6. «Ἡ χάρις τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ ἂς εἶναι μαζί σας». Αὐτὸ εἶναι ἔργον διδασκάλου, τὸ νὰ βοηθῇ ὄχι

εὐχαῖς βοηθεῖν. «Ἡ ἀγάπη μου μετὰ πάντων ὑμῶν ἐν Χριστῷ Ἰησοῦ. Ἀμήν». Ἵνα γὰρ μὴ νομίσωσι, ὅτι κολακεύων αὐτοὺς εἰς τοῦτο κατέληξε, φησίν, «ἐν Χριστῷ Ἰησοῦ». Οὐδὲν γὰρ ἀνθρώπινον ἔχει οὐδὲ σαρκικόν, ἀλλὰ πνευματική τις ἐστί· διὸ καὶ σφόδρα γνησία. Καὶ γὰρ σφόδρα ἐρῶντος τὸ ῥῆμα ἦν. Καὶ γὰρ ἐπειδὴ διειστήκει τῷ τόπῳ, καθάπερ δεξιᾶς τινος ἐκτάσει, ταῖς τῆς ἀγάπης αὐτοὺς χερσὶ περιλαμβάνει λέγων, «Ἡ ἀγάπη μου μεθ' ὑμῶν», ὡς ἂν εἰ ἔλεγε, μετὰ πάντων ὑμῶν ἐγώ. Δι' ὧν δείκνυσιν, ὅτι οὐ θυμοῦ οὐδὲ ὀργῆς ἦν τὰ γραφέντα, ἀλλὰ κηδεμονίας, ὅπου γε μετὰ τοσαύτην κατηγορίαν οὐκ ἀποστρέφεται, ἀλλὰ καὶ φιλεῖ καὶ περιλαμβάνει πόρρωθεν αὐτοὺς ὄντας, διὰ τῶν ἐπιστολῶν καὶ τῶν γραμμάτων τούτων αὐτοῖς περιχυθείς. Οὕτω γὰρ τὸν διορθοῦντα δεῖ ποιεῖν· ὡς ὅ γε ὀργῇ μόνον ποιῶν, οἰκεῖον πάθος πληροῖ· ὁ δὲ μετὰ τὸ διορθῶσαι τὸν ἁμαρτάνοντα, καὶ τὰ τῆς ἀγάπης ἐπιδεικνύμενος, δείκνυσιν ὅτι κἀκεῖνα φιλοστοργίας ἦν, ἅπερ ἐπιπλήττων ἔλεγεν.

Οὕτω δὴ καὶ ἡμεῖς ἀλλήλους παιδεύωμεν, καὶ μήτε ὁ ἐλέγχων ὀργιζέσθω (οὐ γὰρ διορθώσεως τοῦτο, ἀλλὰ πάθους), μήτε ὁ ἐλεγχόμενος δυσχεραινέτω (ἰατρεία γὰρ τὸ γινόμενον, οὐκ ἀπέχθεια). Εἰ δὲ ἰατρῶν παῖδες καίουσι καὶ οὐκ ἐγκαλοῦνται, πολλάκις καὶ διαμαρτάνοντες τοῦ τέλους, ἀλλὰ καὶ ἀλγοῦντες οἱ καιόμενοι καὶ τεμνόμενοι, εὐεργέτας εἶναι νομίζουσι τοὺς τὴν ἀλγηδόνα ταύτην διεγείροντας· πολλῷ μᾶλλον τὸν δεχόμενον ἔλεγχον οὕτω διακεῖσθαι χρή, καὶ ὡς ἰατρῷ προσέχειν τῷ διορθοῦντι, ἀλλ' οὐχ ὡς ἐχθρῷ. Καὶ ἡμεῖς δὲ οἱ ἐπιτιμῶντες οὕτω προσίωμεν, μετὰ πολλῆς τῆς ἡμερότητος, μετὰ πολλῆς τῆς συνέσεως. Κἂν ἴδῃς τὸν ἀδελφὸν πλημμελοῦντα, ὡς ὁ Χριστὸς ἐκέλευσε, μὴ δημοσίευε τὸν ἔλεγχον, ἀλλὰ μεταξὺ σοῦ καὶ αὐτοῦ μόνον, οὐκ ὀνειδίζων, οὐδὲ ἐπεμβαίνων κειμένῳ, ἀλλὰ ἀλγῶν καὶ τηκόμενος·

μόνον μὲ συμβουλάς, ἀλλὰ καὶ μὲ εὐχάς. «Ἡ ἀγάπη μου εἶναι μαζὶ μὲ ὅλους σας ἐν Χριστῷ Ἰησοῦ». Τίποτε ἀνθρώπινον δὲν ἔχει δηλαδή, οὔτε σαρκικόν, ἀλλὰ πνευματικὴ εἶναι· δι' αὐτὸ καὶ εἶναι ἀπολύτως γνησία. Διότι αὐτοὶ ἦσαν λόγοι ἀνθρώπου ποὺ ἀγαπᾷ πολύ. Διότι ἐπειδὴ εὑρίσκετο μακρὰν ὡσὰν κατὰ κάποιον τρόπον μὲ τὴν ἔκτασιν τῆς δεξιᾶς χειρὸς τοὺς ἐναγκαλίζεται ὅταν λέγῃ, «Ἡ ἀγάπη μου μαζί σας», ὡσὰν νὰ ἔλεγε, μαζὶ μὲ ὅλους σας ἐγώ. Μὲ αὐτὰ δεικνύει ὅτι ὅσα ἐγράφησαν δὲν ἦσαν λόγοι θυμοῦ οὔτε ὀργῆς, ἀλλὰ πατρικῆς φροντίδος, ἀφοῦ βέβαια μετὰ ἀπὸ τόσας κατηγορίας δὲν τοὺς ἀποστρέφεται, ἀλλὰ καὶ τοὺς ἀγαπᾷ καὶ τοὺς ἐγκολποῦται ἐνῷ εὑρίσκονται μακράν, ἀφοῦ τοὺς ἐνηγκαλίσθη μὲ αὐτὰ τὰ γραφόμενα καὶ τὰς ἐπιστολάς. Ἔτσι λοιπὸν πρέπει νὰ κάμνῃ αὐτὸς ποὺ διορθώνει· διότι αὐτὸς ποὺ μόνον μὲ ὀργὴν ἐπιχειρεῖ νὰ διορθώσῃ, ἐπιδιώκει νὰ ἱκανοποιήσῃ τὸ πάθος του· ἐνῷ αὐτὸς ποὺ μετὰ τὴν διόρθωσιν ἐκείνου ποὺ ἁμαρτάνει δεικνύει καὶ τὴν ἀγάπην, ἀποδεικνύει ὅτι καὶ οἱ λόγοι ποὺ ἔλεγεν, ὅταν ἐπέπληττεν, ἦσαν ἀποτέλεσμα πατρικῆς ἀγάπης.

Ἔτσι λοιπὸν καὶ ἐμεῖς ἂς ἐκπαιδεύωμεν ὁ ἕνας τὸν ἄλλον, καὶ οὔτε αὐτὸς ποὺ ἐλέγχει νὰ ὀργίζεται (διότι αὐτὸ δὲν εἶναι ἔργον διορθώσεως, ἀλλὰ πάθους), οὔτε αὐτὸς ποὺ ἐλέγχεται νὰ δυσανασχετῇ (διότι αὐτὸ ποὺ γίνεται εἶναι θεραπεία καὶ ὄχι ἐχθρότης). Ἐὰν δὲ οἱ ὑπηρέται τῶν ἰατρῶν καίουν καὶ δὲν κατηγοροῦνται, ἂν καὶ πολλὰς φορὰς ἀποτυγχάνουν τοῦ σκοποῦ, ἀλλὰ ἂν καὶ πονοῦν αὐτοὶ ποὺ καίονται καὶ κόπτονται, θεωροῦν εὐεργέτας αὐτοὺς ποὺ προκαλοῦν αὐτὸν τὸν πόνον, πολὺ περισσότερον πρέπει νὰ αἰσθάνεται ἔτσι αὐτὸς ποὺ δέχεται ἔλεγχον καὶ νὰ προσέχῃ εἰς αὐτὸν ποὺ διορθώνει ὡσὰν εἰς ἰατρὸν καὶ ὄχι ἐχθρόν. Ἀλλὰ καὶ ἐμεῖς ποὺ ἐλέγχομεν ἔτσι ἂς προσερχώμεθα, μὲ πολλὴν ἡμερότητα, μὲ πολλὴν σύνεσιν. Καὶ ἐὰν ἴδῃς τὸν ἀδελφὸν νὰ σφάλλῃ, ὅπως παρήγγειλεν ὁ Χριστός, μὴ κάμνῃς τὸν ἔλεγχον δημοσίως, ἀλλὰ μόνον μεταξύ σου καὶ αὐτοῦ, ὄχι ὡσὰν κατήγορος, οὔτε ὡσὰν νὰ ἐπεμβαίνῃς, ἀλλὰ μὲ πόνον καὶ λύπην διὰ τὴν ἀ-

καὶ ἕτοιμον σαυτὸν πάρεχε καὶ πρὸς τὸ ἐλέγχεσθαι, εἴ τι διαμαρτάνοις.

Ἵνα δὲ καὶ σαφέστερον ὃ λέγω γένηται, καθ' ὑπόθεσιν τὸν λόγον γυμνάσωμεν· μὴ γὰρ δὴ γένοιτο ἐπὶ τῆς ἀληθείας αὐτῆς εὐπορῆσαι παραδείγματος τοιούτου. Ἔστω τις ἀδελφὸς παρθένῳ συνοικῶν, κόσμιος μὲν καὶ σώφρων, πλὴν ἀλλὰ μηδὲ οὕτω διαφευγέτω τὴν πονηρὰν δόξαν. Ἂν τοίνυν ἀκούσῃς θρυλουμένην τὴν συνοίκησιν ταύτην, μὴ καταφρονήσῃς, μηδὲ εἴπῃς· αὐτὸς γὰρ οὐ κέκτηται νοῦν; αὐτὸς γὰρ οὐκ οἶδε τί τὸ συμφέρον; εἰκῇ φιλοῦ, καὶ μὴ μισοῦ εἰκῇ· τί γάρ μοι μέλει ἔχθραν ἀναδέξασθαι περιττήν; Ταῦτα ληρώδη ῥήματα τῶν θηρίων, μᾶλλον δὲ τῶν δαιμόνων. Οὐ γάρ ἐστιν εἰκῇ μισεῖσθαι τὸν ἐπὶ διορθώσει τοῦτο ποιοῦντα, ἀλλ' ἐπὶ μεγάλοις ἀγαθοῖς καὶ στεφάνοις ἀπορρήτοις. Εἰ δὲ λέγοις, τί γάρ, αὐτὸς οὐκ ἔχει νοῦν; ἀκούσῃ παρ' ἡμῶν, ὅτι οὐκ ἔχει· μεθύει γὰρ τῷ πάθει. Εἰ γὰρ ἐπὶ τῶν ἔξωθεν δικαστηρίων οἱ ἀδικούμενοι οὐκ ἂν δύναιντο εἰπεῖν ὑπὲρ ἑαυτῶν ζέοντες τῇ ὀργῇ, καίτοιγε οὐκ ἔστιν ἔγκλημα ἡ συμπάθεια αὕτη· πόσῳ μᾶλλον οἱ συνηθείᾳ πονηρᾷ κατεχόμενοι. Διὰ τοῦτο λέγω, ὅτι κἂν μυριάκις ᾖ φρόνιμος, οὐκ ἔχει νοῦν ἐγρηγορότα. Τί γὰρ τοῦ Δαυῒδ συνετώτερον ἦν, ἀνθρώπου λέγοντος, «Τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι»; Ἀλλ' ὅτε τὴν τοῦ στρατιώτου γυναῖκα εἶδεν ὀφθαλμοῖς ἀδίκοις, τότε, ὅπερ ἐπὶ τῆς θαλάττης τῆς μαινομένης τοὺς ἐμπλέοντας πάσχειν ἔλεγε, «Πᾶσα ἡ σοφία αὐτοῦ κατεπόθη»· καὶ ἑτέρων ἐδεῖτο τῶν διορθωσόντων, καὶ οὐδὲ ᾐσθάνετο οἵων κακῶν ἦν ἐντός. Διὸ καὶ θρηνῶν τὰ ἁμαρτήματα αὐτοῦ, ἔλεγεν· «Ὡσεὶ φορτίον βαρὺ ἐβαρύνθησαν ἐπ' ἐμέ· προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου ἀπὸ προσώπου τῆς ἀφροσύνης μου». Οὐ τοίνυν ἔχει νοῦν ὁ

---

2. Ψαλμ. 50, 8.
3. Ψαλμ. 106, 27.
4. Ψαλμ. 37, 5-6.

μαρτίαν˙ καὶ νὰ παραδίδῃς προθύμως καὶ τὸν ἑαυτόν σου εἰς ἔλεγχον, ὅταν διαπράττῃς κάποιαν ἁμαρτίαν.

Διὰ νὰ γίνῃ δὲ καὶ σαφέστερον αὐτὸ ποὺ λέγω, ἂς ἐφαρμόσωμεν τὸν λόγον εἰς παράδειγμα˙ διότι εἴθε νὰ μὴ γίνῃ νὰ ὑπάρξῃ πραγματικῶς τέτοιον παράδειγμα. Ἂς λάβωμεν κάποιον ἀδελφὸν ποὺ συνοικεῖ μὲ παρθένον, ὁ ὁποῖος εἶναι μὲν σεμνὸς καὶ ἁγνός, ἀλλ' ὅμως οὔτε ἔτσι ἀποφεύγει τὴν κακὴν φήμην. Ἂν λοιπὸν ἀκούσῃς νὰ φημολογῆται αὐτὴ ἡ συγκατοίκησις, μὴ περιφρονήσῃς, οὔτε νὰ εἴπῃς˙ αὐτὸς λοιπὸν δὲν ἔχει νοῦν; αὐτὸς δὲν γνωρίζει ποῖον εἶναι τὸ συμφέρον του; χωρὶς λόγον ν' ἀγαπᾶσαι καὶ χωρὶς λόγον νὰ μὴ μισῆσαι˙ τί μοῦ χρειάζεται λοιπὸν νὰ δημιουργήσω περιττὴν ἔχθραν; Αὐτὰ εἶναι ἀνόητοι φλυαρίαι τῶν θηρίων, μᾶλλον δὲ τῶν δαιμόνων. Διότι δὲν εἶναι δυνατὸν νὰ μισῆται χωρὶς λόγον αὐτὸς ποὺ κάμνει αὐτὸ διὰ διόρθωσιν, ἀλλὰ κερδίζει μεγάλα ἀγαθὰ καὶ ἀπορρήτους στεφάνους. Ἐὰν ὅμως λέγῃς, τί λοιπόν, αὐτὸς δὲν ἔχει νοῦν; θ' ἀκούσῃς ἀπὸ ἐμᾶς ὅτι δὲν ἔχει˙ διότι μεθύει ἀπὸ τὸ πάθος. Διότι, ἐὰν εἰς τὰ κοσμικὰ δικαστήρια αὐτοὶ ποὺ ἀδικοῦνται δὲν θὰ ἠμποροῦσαν νὰ εἰποῦν κάτι διὰ νὰ ὑπερασπίσουν τὸν ἑαυτόν των ἐπειδὴ ἀνάπτουν ἀπὸ ὀργήν, ἂν καὶ βέβαια δὲν εἶναι ἐπιλήψιμα αὐτὰ τὰ αἰσθήματα, πόσον μᾶλλον αὐτοὶ ποὺ κατέχονται ἀπὸ ἁμαρτωλὴν συνήθειαν. Δι' αὐτὸ λέγω, ὅτι καὶ ἂν ἀκόμη εἶναι πάρα πολὺ λογικὸς καὶ στοχαστικός, δὲν ἔχει νοῦν ἐπάγρυπνον. Διότι ποῖος ἦτο συνετώτερος ἀπὸ τὸν Δαυΐδ, ἄνθρωπον ποὺ ἔλεγε, «Ἐφανέρωσες εἰς ἐμὲ τὰ ἄγνωστα καὶ κρύφια τῆς σοφίας Σου»[2]; Ἀλλ' ὅταν εἶδε μὲ ἁμαρτωλοὺς ὀφθαλμοὺς τὴν γυναῖκα τοῦ στρατιώτου, τότε, αὐτὸ ποὺ πάσχουν ὅσοι πλέουν εἰς πολὺ τρικυμισμένην θάλασσαν ἔλεγεν, «ὅλη ἡ σοφία του ἐξηφανίσθη»[3]˙ καὶ ἐχρειάζετο ἄλλους διὰ νὰ τὸν διορθώσουν, καὶ οὔτε ᾐσθάνετο μέσα εἰς ποῖα κακὰ εὑρίσκετο. Δι' αὐτὸ καὶ θρηνῶν τὰς ἁμαρτίας του ἔλεγεν˙ «ὠσὰν βαρὺ φορτίον μοῦ πιέζουν τὴν ψυχήν˙ ἀπὸ μεγάλην μου ἀνοησίαν ἐβρώμησαν καὶ ἐσάπισαν τὰ τραύματα ποὺ μοῦ ἐπροξένησαν αἱ ἁμαρτίαι»[4]. Δὲν ἔχει λοιπὸν νοῦν αὐ-

ἁμαρτάνων· μεθύει γὰρ καὶ ἐσκότωται.

Μὴ δὴ ταῦτα λέγε, μηδὲ προστίθει ἐκεῖνο, ὅτι οὐδέν μοι μέλει· «Ἕκαστος γὰρ τὸ ἴδιον φορτίον βαστάσει». Καὶ γὰρ καὶ σοὶ μέγιστον ἔγκλημα φύεται, ὅτι πεπλανημένον ἰδὼν οὐκ ἀνέστησας. Εἰ γὰρ τὸ ὑποζύγιον τοῦ ἐχθροῦ κατὰ τὸν Ἰουδαίων νόμον παρορᾶν οὐ χρή, ὁ μὴ ὑποζύγιον μηδὲ ἐχθροῦ ψυχὴν ἀπολλυμένην περιορῶν, ἀλλὰ φίλου, ποίαν ἕξει συγγνώμην; Οὐδὲ γὰρ ἀρκεῖ εἰς ἀπολογίαν ἡμῖν τὸ νοῦν ἔχειν ἐκεῖνον· ἐπεὶ καὶ ἡμεῖς πολλὰ πολλάκις παραινέσαντες, ἑαυτοῖς οὐκ ἠρκέσαμεν οὐδὲ ἐγενόμεθα χρήσιμοι. Τοῦτο τοίνυν καὶ περὶ ἐκείνου σκόπει τοῦ πλημμελοῦντος, ὅτι εἰκὸς αὐτὸν παρὰ σοῦ μᾶλλον, ἢ παρ' ἑαυτοῦ δέξασθαι συμβουλίαν ἀρίστην, καὶ μὴ λέγε, τί δέ μοι μέλει τούτων; Φοβήθητι τὸν πρῶτον εἰρηκότα τοῦτο τὸ ῥῆμα. Τὸ γάρ, «Μὴ φύλαξ εἰμὶ τοῦ ἀδελφοῦ μου;» εἰς ταυτὸν φέρει τούτῳ. Ἐντεῦθεν τὰ κακὰ τίκτεται πάντα, ὅτι τὰ τοῦ σώματος τοῦ ἡμετέρου ἀλλότρια ἡγούμεθα εἶναι.

Τί φῄς; οὐδέν σοι μέλει τοῦ ἀδελφοῦ; Ἀλλὰ τίνι μελήσει; Τῷ ἀπίστῳ, τῷ ἐπιχαίροντι καὶ ὀνειδίζοντι καὶ ἐναλλομένῳ; Ἀλλὰ τῷ διαβόλῳ, τῷ ὠθοῦντι καὶ ὑποσκελίζοντι; Καὶ πόθεν τοῦτο, ὅτι ἀνύω, φησί, λέγων καὶ συμβουλεύων τὰ δέοντα; Πόθεν δὲ δῆλον ὅτι οὐκ ἀνύσεις; Καὶ γὰρ τοῦτο πάλιν ἐσχάτης ἀνοίας, ἐν ἀδήλῳ τοῦ τέλους κειμένου, ῥαθυμίας ὡμολογημένης ἐγκλήματα ἀναδέχεσθαι. Καίτοι ὁ Θεὸς τὰ μέλλοντα προειδώς, πολλάκις εἶπε, καὶ οὐκ ἤνυσε, καὶ οὐδὲ οὕτω ἀπέστη, καὶ ταῦτα εἰδώς, ὅτι οὐ μέλλει πείθειν. Εἰ δὲ ὁ προειδὼς ὅτι οὐδὲν πλέον ποιήσει, τοῦ διορθοῦν οὐκ

5. Γαλ. 6, 5.
6. Γεν. 4, 9.

τός πού ἁμαρτάνει· διότι εὑρίσκεται εἰς μέθην καὶ σκότος.

Μὴ λέγῃς λοιπὸν αὐτά, οὔτε νὰ προσθέτῃς ἐκεῖνο, ὅτι δὲν σὲ ἐνδιαφέρει καθόλου· «διότι ὁ καθεὶς θὰ βαστάσῃ τὸ φορτίον τῶν ἰδικῶν του ἁμαρτιῶν»[5]. Διότι καὶ διὰ σὲ γεννᾶται μεγάλη ἐνοχή, διότι ἐνῷ τὸν εἶδες νὰ ἔχῃ πλανηθῆ δὲν τὸν ἀνώρθωσες. Διότι ἐάν, συμφώνως πρὸς τὸν νόμον τῶν Ἰουδαίων, δὲν πρέπει νὰ παραβλέπωμεν οὔτε τὸ ζῷον τοῦ ἐχθροῦ, αὐτὸς πού ἀδιαφορεῖ ὄχι διὰ ζῷον, οὔτε διὰ κάποιου ἐχθροῦ του τὴν ψυχὴν ἡ ὁποία χάνεται, ἀλλὰ διὰ ψυχὴν φίλου, ποίας συγγνώμης θὰ τύχῃ; Διότι δὲν μᾶς ἀρκεῖ διὰ ν' ἀπολογηθῶμεν τὸ νὰ ἔχωμεν μόνον ἐκεῖνον τὸν νοῦν· διότι καὶ ἐμεῖς ἀφοῦ προετρέψαμεν πολλὰ πολλὰς φοράς, εἰς τοὺς ἑαυτούς μας δὲν ὑπήρξαμεν ἀρκετοί, οὔτε ἐγίναμεν χρήσιμοι. Αὐτὸ λοιπὸν νὰ σκέπτεσαι καὶ δι' ἐκεῖνον πού σφάλλει, διότι τὸ πρέπον εἶναι μᾶλλον ἀπὸ ἐσὲ νὰ δεχθῇ ἀρίστην συμβουλὴν αὐτός, παρὰ ἀπὸ τὸν ἑαυτόν του, καὶ μὴ λέγῃς, τί μὲ ἐνδιαφέρει δι' αὐτά; Φοβήσου ἐκεῖνον πού εἶπε πρῶτος αὐτὸν τὸν λόγον. Διότι τό, «Μήπως εἶμαι φύλαξ τοῦ ἀδελφοῦ μου;»[6], ὁδηγεῖ εἰς αὐτοὺς τοὺς λόγους. Ἀπὸ ἐδῶ γεννῶνται ὅλα τὰ κακά, ἀπὸ τὸ ὅτι αὐτὰ πού ἀνήκουν εἰς τὸ σῶμα μας νομίζομεν ὅτι εἶναι ξένα.

Τί λέγεις; Δὲν σὲ ἐνδιαφέρει ὁ ἀδελφός σου; Ἀλλὰ διὰ ποῖον θὰ ἐνδιαφερθῇς; Διὰ τὸν ἄπιστον, δι' ἐκεῖνον πού χαίρει διὰ τὸ κακὸν καὶ κατακρίνει καὶ καταπατεῖ; Μήπως διὰ τὸν διάβολον πού ὠθεῖ εἰς τὴν ἁμαρτίαν καὶ ρίπτει τὸν ἄνθρωπον κάτω; Καὶ ἀπὸ ποῦ εἶναι βέβαιον ὅτι θὰ φέρω κάποιο ἀποτέλεσμα μὲ τὸ νὰ λέγω καὶ νὰ συμβουλεύω τὰ πρέποντα; θὰ εἰπῇς. Ἀλλ' ἀπὸ ποῦ εἶναι φανερὸν ὅτι δὲν θὰ ἐπιτύχῃς; Διότι καὶ αὐτὸ πάλιν εἶναι μεγίστης ἀνοησίας, ἐνῷ δηλαδὴ τὸ ἀποτέλεσμα δὲν εἶναι φανερὸν νὰ ἀναλαμβάνῃς ἁμαρτίας ὡμολογημένης ραθυμίας. Καὶ ὅμως ὁ Θεὸς πού προγνωρίζει τὰ μέλλοντα, πολλὰς φορὰς εἶπε καὶ δὲν ὡδήγησεν εἰς μετάνοιαν καὶ οὔτε τότε ἀπεμακρύνθη ἂν καὶ ἐγνώριζε ἀκόμη καὶ ὅτι δὲν πρόκειται νὰ πείσῃ. Ἐὰν δὲ ἐκεῖνος πού προγνωρίζει ὅτι τίποτε δὲν

ἀφίσταται, τίνα ἕξεις ἀπολογίαν ὁ ἀγνοῶν τὸ μέλλον παντελῶς, καὶ ἐκλυόμενος καὶ ναρκῶν; Καὶ γὰρ πολλάκις ἐπιχειρήσαντες ἤνυσαν πολλοί· καὶ ὅτε μάλιστα ἀπέγνωσαν, τότε μάλιστα ἐπέτυχον. Ἐὰν δὲ καὶ μηδὲν ποιήσῃς πλέον, τὸ σαυτοῦ πεποίηκας.

Μὴ τοίνυν ἀπάνθρωπος γίνου, μήτε ἀνηλεὴς μήτε ὀλίγωρος. Ὅτι γὰρ ὠμότητος ταῦτα τὰ ῥήματα καὶ ῥαθυμίας, δῆλον ἐκεῖθεν. Τίνος γὰρ ἕνεκεν, ἑνὸς τῶν μελῶν τοῦ σώματός σου κάμνοντος, οὐ λέγεις, τί μοι μέλει; καί, πόθεν δῆλον, ὅτι εἰ ἐπιμελείας τυγχάνει, ὑγιαίνει; ἀλλὰ πάντα ποιεῖς, ἵνα κἂν μηδὲν ὠφελήσῃς, μὴ ἔχῃς ἐγκαλεῖν σεαυτῷ, ὅτι τῶν ὀφειλόντων γενέσθαι τι παρελείφθη. Εἶτα τῶν μὲν τοῦ σώματος οὕτω φροντιοῦμεν μελῶν, τῶν δὲ τοῦ Χριστοῦ ἀμελήσομεν; καὶ ποῦ ταῦτα συγγνώμης ἄξια; Εἰ γάρ σε μὴ κατακάμπτω λέγων, ὅτι τοῦ μέλους σου φρόντισον, ἵνα κἂν τῷ φόβῳ γένῃ βελτίων, τοῦ σώματος ἀναμιμνήσκω σε τοῦ Χριστοῦ. Πῶς γὰρ οὐ φρίκης ἄξιον σηπομένην αὐτοῦ τὴν σάρκα ὁρᾶν, καὶ περιορᾶν; Καὶ εἰ μὲν οἰκέτην ἔχοις ἢ ὄνον σηπεδόνα ἔχοντα, οὐκ ἂν ἀνάσχοιο περιϊδεῖν· τὸ δὲ σῶμα τοῦ Χριστοῦ ψώρας ὁρῶν ἐμπεπλησμένον, παρατρέχεις; καὶ οὐχ ἡγῇ ταῦτα μυρίων ἄξια εἶναι κεραυνῶν; Διὰ τοῦτο πάντα ἄνω καὶ κάτω γέγονε, διὰ τὴν ἀπανθρωπίαν ταύτην, διὰ τὴν ῥαθυμίαν.

7. Διὸ δή, παρακαλῶ, ταύτην ἐκβάλωμεν τὴν ὠμότητα. Πρόσελθε ἐκείνῳ τῷ συνοικοῦντι τῇ παρθένῳ, καὶ εἰπὲ μικρὸν ἐγκώμιον τἀδελφοῦ, ἀπὸ τῶν ἄλλων ὧν ἔχει πλεονεκτημάτων αὐτὸ συντιθείς· καὶ ὥσπερ ὕδατι θερμῷ περικλύζων τοῖς ἐπαίνοις, οὕτω χάλασον αὐτοῦ τὸν ὄγκον τοῦ τραύματος. Ταλάνισον καὶ σαυτόν, κατηγόρησον τοῦ κοινοῦ

θὰ ἀλλάξῃ, δὲν παραιτεῖται ἀπὸ τοῦ νὰ διορθώνῃ, ποίαν ἀπολογίαν θὰ ἔχῃς σὺ ποὺ ἀγνοεῖς ἐντελῶς τὸ μέλλον καὶ χαυνοῦσαι καὶ πίπτεις εἰς νάρκην; Διότι πολλοὶ ποὺ πολλὰς φορὰς ἐπεχείρησαν ἐπέτυχαν· καὶ ὅταν τελείως ἀπηλπίσθησαν, τότε ἐπέτυχον τὰ μέγιστα. Ἀλλὰ καὶ ἐὰν δὲν κάνῃς τίποτε περισσότερον, ὅμως ἐσὺ ἔκανες τὸ καθῆκον σου.

Μὴ γίνεσαι λοιπὸν ἀπάνθρωπος, οὔτε ἄσπλαγχνος, οὔτε ἀδιάφορος. Διότι, ὅτι αὐτοὶ οἱ λόγοι εἶναι λόγοι μεγάλης σκληρότητος καὶ ἀδιαφορίας, εἶναι φανερὸν ἀπὸ ἐκεῖ. Διότι διὰ ποῖον λόγον ὅταν ἓν μέλος τοῦ σώματός σου ἀσθενῇ δὲν λέγεις, τί μὲ ἐνδιαφέρει; καί, ἀπὸ ποῦ εἶναι φανερὸν ὅτι, ἐὰν τύχῃ καταλλήλου φροντίδος, ἐπανακτᾷ τὴν ὑγείαν; ἀλλὰ κάμνεις τὰ πάντα, ὥστε καὶ ἂν ἀκόμη δὲν ὠφελήσῃς καθόλου αὐτό, νὰ μὴ κατηγορῇς τὸν ἑαυτόν σου ὅτι παρέλειψες νὰ κάνῃς κάτι ἀπὸ αὐτὰ ποὺ ἔπρεπεν. Ἀλλὰ διὰ τὰ μὲν μέλη τοῦ σώματος φροντίζομεν τόσον, ἐνῷ διὰ τὰ μέλη τοῦ Χριστοῦ θὰ ἀμελήσωμεν; καὶ πῶς εἶναι δυνατὸν ν' ἀξιωθοῦν συγγνώμης τέτοια ἔργα; Διότι, ἐὰν δὲν σὲ λυγίσω μὲ τὸ νὰ σοῦ λέγω νὰ φροντίσῃς τὸ μέλος σου, διὰ νὰ γίνῃς καλύτερος τοὐλάχιστον μὲ τὸν φόβον, σοῦ ὑπενθυμίζω τὸ σῶμα τοῦ Χριστοῦ. Διότι πῶς δὲν εἶναι ἄξιον φρίκης τὸ νὰ βλέπῃς τὴν σάρκα τοῦ Χριστοῦ νὰ σαπίζῃ καὶ νὰ ἀδιαφορῇς; Καὶ ὅταν μὲν ἔχῃς ὑπηρέτην ἢ ὄνον ποὺ νὰ ἔχῃ πληγὴν ἡ ὁποία εἶναι γεμάτη ἀπὸ πύον καὶ σαπίζει, δὲν ἀνέχεσαι νὰ τὸν παραβλέψῃς· ἐνῷ τὸ σῶμα τοῦ Χριστοῦ ποὺ τὸ βλέπεις νὰ ἔχῃ γεμίσει ψώραν, τὸ προσπερνᾷς ἀδιάφορος; καὶ δὲν νομίζεις ὅτι αὐτὰ εἶναι ἄξια χιλιάδων κεραυνῶν; Δι' αὐτὸ τὰ πάντα ἔγιναν ἄνω - κάτω, ἐξ αἰτίας αὐτῆς τῆς ἀπανθρωπίας καὶ ἀδιαφορίας.

7. Δι' αὐτὸ λοιπὸν παρακαλῶ, ἂς ἀποβάλωμεν αὐτὴν τὴν ἀπανθρωπίαν. Πήγαινε εἰς ἐκεῖνον ποὺ συγκατοικεῖ μὲ τὴν παρθένον καὶ εἰπὲ μικρὸν ἔπαινον εἰς τὸν ἀδελφόν, ἀφοῦ πλέξῃς αὐτὸν ἀπὸ τὰ ἄλλα πλεονεκτήματα ποὺ ἔχει ὡς πρὸς τὴν ἀρετήν· καὶ ἀφοῦ τὸν περιβρέξῃς ὡσὰν μὲ θερμὸν ὕδωρ μὲ τοὺς ἐπαίνους, ἔτσι ἄνοιξε τὸ πρήξιμον τοῦ τραύματος. Οἰκτίρισε καὶ τὸν ἑαυτόν σου, κατηγόρησε

τῶν ἀνθρώπων γένους, δεῖξον ὅτι πάντες ἐν ἁμαρτήμασι τυγχάνομεν, αἴτησον συγγνώμην εἰπών, ὅτι μείζοσι σαυτοῦ πράγμασιν ἐπιχειρεῖς, ἀλλ' ἡ ἀγάπη πάντα πείθει τολμᾶν. Εἶτα συμβουλεύων, μὴ ἐπιτακτικῶς, ἀλλ' ἀδελφικῶς τοῦτο ποίει· καὶ τούτοις πᾶσι χαλάσας τὴν φλεγμονήν, καὶ παραμυθησάμενος τὴν ἀλγηδόνα τὴν ἐκ τῆς τομῆς συμβαίνουσαν τοῦ μέλλοντος ἐλέγχου γίνεσθαι, καὶ πολλάκις τῇ παραιτήσει χρησάμενος, καὶ παρακαλέσας μὴ ὀργισθῆναι· ὅταν αὐτὸν καταδήσῃς τούτοις, τότε ἔπαγε τὴν πληγήν, μήτε δεσμῶν τὸ πρᾶγμα, μήτε ἐκλύων, ἵνα μήτε ἐκεῖθεν ἀποπηδήσῃ, μήτε ἐντεῦθεν καταφρονήσῃ. Ἄν τε γὰρ μὴ καιρίαν δῷς, οὐδὲν εἰργάσω πλέον· ἂν δὲ σφοδρῶς πλήξῃς, ἀποσκιρτῆσαι ἐποίησας. Διὸ δὴ καὶ μετὰ ταῦτα πάντα ἐλέγχειν μέλλων, ἀνάμιξον πάλιν ἐγκώμιον τοῖς ἐλέγχοις· καὶ ἐπειδὴ αὐτὸ καθ' ἑαυτὸ τὸ γινόμενον οὐ δύναται εἶναι ἐγκώμιον· οὐ γὰρ ἄξιον ἐπαίνου τὸ κόρῃ συνοικεῖν παρθένῳ· ἀπὸ τῆς γνώμης τοῦ συνοικοῦντος τοῦτο ἐργάζου, καὶ εἰπέ, ὅτι οἶδα μὲν ὅτι διὰ τὸν Θεὸν σὺ ποιεῖς, καὶ τὴν ἐρημίαν καὶ τὸ ἀπροστάτευτον τῆς ἀθλίας ἐκείνης ἰδὼν χεῖρα ὤρεξας.

Κἂν μὴ ταύτῃ ποιῇ τῇ γνώμῃ, σὺ οὕτω λέγε, καὶ μετὰ τοῦτο προστίθει καὶ ταῦτα, πάλιν παραιτήσει χρώμενος καὶ λέγων, ὅτι οὐκ ἐπιτάττων, ἀλλ' ὑπομιμνήσκων ταῦτά φημι· διὰ τὸν Θεὸν σὺ ποιεῖς, οἶδα κἀγώ· ἀλλ' ἴδωμεν μή τι τίκτηται ἐκ τούτου κακὸν ἕτερον· κἂν μηδὲν ᾖ, κάτεχε ἔνδον, καὶ ἔχου τῆς καλῆς ταύτης σπουδῆς, ὁ κωλύων οὐδείς· ἂν δὲ βλάβη τις ἐντεῦθεν γίνηται τοῦ κέρδους μείζων, φυλαξώμεθα, παρακαλῶ, μὴ σπεύδοντες μίαν ἀναπαῦσαι ψυχήν,

ὁλόκληρον τὸ ἀνθρώπινον γένος, δεῖξε ὅτι ὅλοι εὑρισκόμεθα εἰς ἁμαρτίας. Ζήτησε συγγνώμην ἀφοῦ εἰπῆς ὅτι ἐπιχειρεῖς πράγματα μεγαλύτερα ἀπὸ τὰς δυνάμεις σου, ἀλλ' ἡ ἀγάπη σὲ πείθει καὶ τολμᾷς δι' ὅλα. Ἔπειτα, καθὼς συμβουλεύεις, μὴ ὁμιλεῖς εἰς ἐπιτακτικὸν τόνον, ἀλλ' ὡς ἀδελφός· καὶ μὲ ὅλα αὐτὰ ἀφοῦ μετριάσῃς τὴν φλεγμονήν, καὶ ἀφοῦ ἀνακουφίσῃς τὸν πόνον ποὺ θὰ προκληθῇ ἀπὸ τὴν τομὴν τοῦ ἐλέγχου ποὺ πρόκειται νὰ κάνῃς, καὶ ἀφοῦ ζητήσῃς συγγνώμην πολλὰς φορὰς καὶ παρακαλέσῃς νὰ μὴ ὀργισθῇ, ὅταν τὸν δέσῃς καλῶς μὲ αὐτά, τότε ἄνοιξε τὴν πληγήν, ἔτσι ὥστε οὔτε νὰ τὸν δεσμεύῃς, οὔτε νὰ τὸν λύῃς μέχρι χαυνώσεως, ὥστε οὔτε διὰ τὸ ἓν νὰ φύγῃ, οὔτε διὰ τὸ ἄλλο νὰ περιφρονήσῃ. Διότι ἂν δὲν κάνῃς τὴν πληγὴν εἰς καίριον σημεῖον καὶ χρόνον, δὲν ἐπέτυχες τίποτε· ἐὰν πάλιν κτυπήσῃς μὲ σφοδρότητα, θὰ τὸν κάνῃς νὰ φύγῃ. Δι' αὐτὸ λοιπὸν καὶ μετὰ ἀπὸ ὅλα αὐτὰ ἀκόμη ἐνῷ πρόκειται νὰ τὸν ἐλέγξῃς, ἀνάμιξε πάλιν ἔπαινον μαζὶ μὲ τοὺς ἐλέγχους· καὶ ἐπειδὴ αὐτὸ ποὺ γίνεται δὲν ἠμπορεῖ ἀπὸ μόνον του νὰ εἶναι ἔπαινος, διότι δὲν εἶναι ἄξιον ἐπαίνου τὸ νὰ συγκατοικῇ κανεὶς μὲ παρθένον, κάνε τὸν ἔπαινον ἀπὸ τὴν διάθεσιν ἐκείνου ποὺ συγκατοικεῖ καὶ εἰπέ, ὅτι γνωρίζω μὲν ὅτι διὰ τὸν Θεὸν τὸ κάμνεις αὐτὸ καὶ ὅτι ἐπειδὴ εἶδες ἐκείνην τὴν ἀθλίαν ἔρημον καὶ ἀπροστάτευτον ἥπλωσες χεῖρα βοηθείας εἰς αὐτήν.

Καὶ ἂν ἀκόμη δὲν ἔχῃ πράξει αὐτὸ μὲ αὐτὴν τὴν διάθεσιν, ἐσὺ ἔτσι λέγε, καὶ μετὰ ἀπὸ αὐτὸ νὰ προσθέτῃς καὶ αὐτά, ἀφοῦ πάλιν ζητήσῃς συγγνώμην καὶ εἰπῇς ὅτι δὲν τὰ λέγω αὐτὰ ὡς ὑπόδειξιν καὶ προσταγήν, ἀλλ' ὡς ὑπενθύμισιν· σὺ διὰ τὸν Θεὸν πράττεις αὐτό, τὸ γνωρίζω καὶ ἐγώ· ἀλλ' ἂς ἴδοῦμεν μήπως ἀπὸ αὐτὸ γεννᾶται κάποιο ἄλλο κακόν· καὶ ἐὰν μὲν κανὲν κακὸν δὲν προέρχεται ἀπὸ αὐτό, νὰ τὴν κρατῇς μέσα εἰς τὴν οἰκίαν σου καὶ νὰ ἔχῃς τὴν καλὴν αὐτὴν φροντίδα, κανεὶς δὲν σὲ ἐμποδίζει· ἐὰν ὅμως ἀπὸ αὐτὸ προκαλῆται βλάβη μεγαλυτέρα ἀπὸ τὸ κέρδος, ἂς φυλαχθῶμεν, παρακαλῶ, μήπως, ἐνῷ προσπαθῶμεν νὰ σώσωμεν μίαν ψυχήν, σκανδαλίσωμεν χιλιάδας.

μυρίας σκανδαλίσωμεν. Καὶ μὴ προσθῇς εὐθέως τὰ κείμενα τοῖς σκανδαλίζουσι κολαστήρια, ἀλλὰ τὴν αὐτοῦ προσλάμβανε μαρτυρίαν, λέγων· οὐ χρείαν ἔχεις μαθεῖν ταῦτα παρ' ἐμοῦ, οἶδας καὶ αὐτὸς ὅτι ἐάν τις ἕνα τῶν μικρῶν τούτων σκανδαλίσῃ, πόση ἠπείληται δίκη· καὶ οὕτως ἠδύνας τὸν λόγον, καὶ λεάνας τὴν ὀργήν, ἐπιτίθει τὸ φάρμακον τῆς διορθώσεως.

Εἰ δὲ προφασίζοιτο πάλιν τὴν ἐρημίαν αὐτῆς, μηδὲ οὕτως ἐλέγξῃς τὴν σκῆψιν, ἀλλ' εἰπὲ πρὸς αὐτόν· μηδέν σε τούτων φοβείτω, ἀπολογίαν ἕξεις ἀρκοῦσαν, τὸ ἑτέρων σκάνδαλον· οὐδὲ γὰρ διὰ ῥαθυμίαν, ἀλλ' ἐκείνων κηδόμενος, ταύτης ἀπέστης τῆς σπουδῆς. Καὶ τὰ μὲν τῆς συμβουλῆς ἔστω ἐν βραχεῖ· οὐδὲ γὰρ δεῖται διδασκαλίας πολλῆς· τὰ δὲ τῆς συγγνώμης πάλιν πολλὰ καὶ ἐπάλληλα· καὶ ἐπὶ τὴν ἀγάπην κατάφευγε συνεχῶς, συσκιάζων τὸ φορτικὸν τῶν εἰρημένων, καὶ τὴν ἐξουσίαν αὐτῷ διδούς, καὶ λέγων· ὅτι ἐγὼ μὲν ταῦτα παραινῶ καὶ συμβουλεύω, τοῦ δὲ πεισθῆναι κύριος αὐτός· οὐδὲ γὰρ καταναγκάζω καὶ βιάζομαι, ἀλλὰ τῇ οἰκίᾳ σου τὸ πᾶν ἐπιτρέπω γνώμῃ. Ἂν οὕτω μεταχειρίζωμεν τὸν ἔλεγχον, δυνησόμεθα ῥᾳδίως τοὺς ἁμαρτάνοντας διορθοῦν· ὡς ἅ γε νῦν ποιοῦμεν, θηρίων μᾶλλόν ἐστι καὶ ἀλόγων, ἢ ἀνθρώπων. Ἂν γὰρ αἴσθωνταί τινες νῦν τοιαῦτά τινος ἁμαρτάνοντος, ἐκείνῳ μὲν οὐδὲν διαλέγονται, αὐτοὶ δὲ καθάπερ γραΐδια μεθύοντα ψιθυρίζουσι μετ' ἀλλήλων· καὶ οὐδαμοῦ τό, εἰκῇ φιλοῦ, εἰκῇ μὴ μισοῦ, ἐνταῦθα δοκεῖ χώραν ἔχειν αὐτοῖς, ἀλλ' ὅταν μὲν κατηγορῆσαι ἐπιθυμῶσι, καταφρονοῦσι τοῦ μὴ εἰκῇ μισεῖσθαι, μᾶλλον δὲ καὶ τοῦ κολάζεσθαι· οὐδὲ γὰρ μῖσος ἐντεῦθεν μόνον, ἀλλὰ καὶ κόλασις τίκτεται· ὅταν δὲ διορθώσεως δέῃ, τοῦτό τε

Καὶ μὴ προσθέσῃς εὐθέως τὴν κόλασιν ποὺ ἀναμένει ἐκείνους ποὺ σκανδαλίζουν, ἀλλὰ χρησιμοποίησε τὴν ἰδικήν του μαρτυρίαν μὲ τοὺς λόγους· δὲν ἔχεις ἀνάγκην νὰ μάθῃς αὐτὰ ἀπὸ ἐμέ, γνωρίζεις καὶ ὁ ἴδιος ὅτι ἐὰν κανεὶς σκανδαλίσῃ ἕνα ἀπὸ αὐτοὺς ποὺ θεωροῦνται ἀσήμαντοι, πόση καταδίκη ἔχει ἀπειληθῇ· καὶ ἔτσι ἀφοῦ γλυκάνῃς τὸν λόγον καὶ καταπραΰνῃς τὴν ὀργήν, βάλε ἐπάνω εἰς τὴν πληγὴν τὸ φάρμακον τῆς διορθώσεως.

Ἐὰν τυχὸν δὲ πάλιν προφασίζεται ὅτι ἡ παρθένος εἶναι ἔρημος, οὔτε τότε νὰ τὸν ἐλέγξῃς διὰ τὴν πρόφασιν, ἀλλ᾽ εἰπὲ εἰς αὐτόν, τίποτε ἀπὸ αὐτὰ ἂς μὴ σὲ φοβίζῃ, θὰ ἔχῃς ἀρκετὴν ἀπολογίαν τὸ ὅτι δὲν ἐσκανδάλισες ἄλλους· διότι ὄχι ἀπὸ ἀμέλειαν, ἀλλ᾽ ἀπὸ ἐνδιαφέρον δι᾽ ἐκείνους παρητήθης ἀπὸ αὐτὴν τὴν φροντίδα. Καὶ οἱ μὲν λόγοι τῆς συμβουλῆς ἂς εἶναι σύντομοι· διότι δὲν χρειάζεται πολλὴ διδασκαλία· οἱ δὲ λόγοι τῆς συγγνώμης πάλιν ἂς εἶναι πολλοὶ καὶ ἀλλεπάλληλοι· καὶ νὰ καταφεύγῃς συνεχῶς εἰς τὴν ἀγάπην, διὰ νὰ μετριάζῃς τὴν φορτικότητα τῶν λόγων καὶ νὰ δίδῃς εἰς αὐτὸν τὴν ἐξουσίαν διὰ τὴν ἀπόφασιν καὶ νὰ λέγῃς ὅτι, ἐγὼ μὲν αὐτὰ προτρέπω καὶ συμβουλεύω, τὸ νὰ πεισθῇ δὲ εἶναι εἰς τὴν ἰδικήν του προαίρεσιν καὶ ἐξουσίαν· δὲν σὲ καταναγκάζω δηλαδή, οὔτε σὲ βιάζω, ἀλλ᾽ ἀφήνω τὸ πᾶν εἰς τὴν ἰδικήν σου ἀπόφασιν. Ἐὰν ἐπιχειρῶμεν ἔτσι τὸν ἔλεγχον, θὰ ἠμποροῦμεν εὐκόλως νὰ διορθώνωμεν ἐκείνους ποὺ ἁμαρτάνουν· διότι αὐτὰ ποὺ πράττομεν τώρα, εἶναι ἔργα θηρίων μᾶλλον καὶ ἀλόγων ζῴων, παρὰ ἀνθρώπων. Διότι, ἐὰν μερικοὶ τώρα ἀντιληφθοῦν κάποιον νὰ πίπτῃ εἰς τέτοιου εἴδους ἁμαρτίας, εἰς ἐκεῖνον μὲν τίποτε δὲν λέγουν, ἐνῷ αὐτοὶ ὡσὰν γραΐδια ποὺ μεθύουν ψιθυρίζουν μεταξύ των· καὶ πουθενὰ δὲν φαίνεται νὰ ἐφαρμόζεται εἰς αὐτοὺς τό, δίχως λόγον νὰ ἀγαπᾶσαι, δίχως λόγον νὰ μὴ μισῆσαι, ἀλλ᾽ ὅταν μὲν ἐπιθυμοῦν νὰ κακολογήσουν, ἀδιαφοροῦν διὰ τό, μὴ μισηθῇς χωρὶς λόγον, μᾶλλον δὲ καὶ τὸ μὴ κολάζεσαι χωρὶς λόγον· διότι ἀπὸ αὐτὸ ὄχι μόνον μῖσος, ἀλλὰ καὶ κόλασις γεννᾶται· ὅταν δὲ εἶναι ἀνάγκη διορθώσεως, καὶ αὐτὸ καὶ

αὐτὸ καὶ μυρίας ἑτέρας προφέρουσι προφάσεις. Ταῦτα γὰρ τότε ἐννοεῖν ἐχρῆν, ὅταν κακηγορῇς, ὅταν διαβάλλῃς, τό, εἰκῇ μὴ μισοῦ, καὶ τό, οὐδὲν ἀνύω, καὶ τό, οὐδέν μοι μέλει.

Νῦν δέ, τότε μὲν πολυπράγμων εἶ σφοδρῶς καὶ περίεργος, καὶ μίσους καταφρονεῖς καὶ μυρίων κακῶν· ὅταν δὲ ὑπὲρ τῆς σωτηρίας τοῦ ἀδελφοῦ φροντίζειν δέῃ, τότε καὶ ἀπράγμων καὶ ἀνεπαχθής τις εἶναι βούλει. Καίτοι ἀπὸ μὲν κακηγορίας καὶ τὸ πρὸς ἀνθρώπους καὶ τὸ πρὸς τὸν Θεὸν γίνεται μῖσος, καὶ οὐ σφόδρα σοι τούτου μέλει· ἀπὸ δὲ τῆς κατ' ἰδίαν συμβουλῆς καὶ τῶν τοιούτων ἐλέγχων καὶ πρὸς τοῦτον καὶ πρὸς τὸν Θεὸν ἔσται σοι φιλία. Ἂν δὲ καὶ αὐτὸς μισῇ, ὁ Θεὸς μένει διὰ τοῦτο μᾶλλον φιλῶν· μᾶλλον δὲ οὐδὲ οὕτω μισήσει, ὡς ἡνίκα ἐμίσει κακηγοροῦντα· ἀλλὰ τότε μὲν ὡς ἐχθρὸν καὶ πολέμιον ἀποστραφήσεται, νυνὶ δὲ πατρὸς ἡγήσεται παντὸς αἰδεσιμώτερον. Κἂν φανερῶς δυσχεραίνῃ, κατὰ νοῦν καὶ ἰδίᾳ πολλὰς εἴσεταί σοι χάριτας.

8. Ταῦτα οὖν ἐννοοῦντες, ἐπιμελώμεθα τῶν μελῶν τῶν ἡμετέρων, καὶ μὴ κατ' ἀλλήλων τὴν γλῶτταν ἀκονῶμεν, μηδὲ λαλῶμεν ῥήματα καταποντισμοῦ, τὴν δόξαν τοῦ πλησίον ὑπορύττοντες, καὶ καθάπερ ἐν πολέμῳ καὶ μάχῃ βάλλοντες καὶ βαλλόμενοι. Τί γὰρ ὄφελος νηστείας ἢ ἀγρυπνίας λοιπόν, ὅταν γλῶττα μεθύῃ, καὶ κυνείων κρεῶν ἀκαθαρτοτέραν σιτῆται τράπεζαν, αἱμοβόρος γενομένη, καὶ προχέουσα βόρβορον, καὶ ἀμάρας ὀχετὸν τὸ στόμα ποιῇ, μᾶλλον δὲ καὶ πολὺ ταύτης βδελυρώτερον; Τὸ μὲν γὰρ ἐκεῖθεν προϊόν, σῶμα ἐμόλυνε· τὸ δὲ ἐντεῦθεν, πολλάκις ψυχὴν ἀπέπνιξε. Ταῦτα οὐ τῶν κακῶς ἀκουόντων μάτην κηδόμενος λέγω· ἐκεῖνοι

χιλιάδας ἄλλας δικαιολογίας προβάλλουν. Διότι τότε ἔπρεπε νὰ σκέπτεσαι αὐτά, ὅταν κακολογῇς, ὅταν διαβάλλῃς, τό, νὰ μὴ μισῇς ἄδικα, καὶ τό, δὲν ἠμπορῶ νὰ κάνω τίποτε διὰ τὴν σωτηρίαν τοῦ ἀδελφοῦ, καὶ τό, δὲν μὲ ἐνδιαφέρει καθόλου.

Τώρα ὅμως, ἐνῷ τότε εἶσαι πολυάσχολος εἰς αὐτὰ καὶ περίεργος, καὶ καταφρονεῖς καὶ τὸ μῖσος καὶ ἄπειρα κακά, ὅταν ὅμως πρέπῃ νὰ φροντίζῃς διὰ τὴν σωτηρίαν τοῦ ἀδελφοῦ, τότε θέλεις νὰ εἶσαι καὶ ἀμέριμνος καὶ ἀδρανὴς καὶ ἀποφεύγεις νὰ γίνῃς φορτικός. Ἂν καὶ βέβαια ἀπὸ τὴν μὲν κακολογίαν γεννᾶται τὸ μῖσος καὶ πρὸς τοὺς ἀνθρώπους καὶ πρὸς τὸν Θεόν, καὶ δὲν σὲ ἐνδιαφέρει πολὺ αὐτό, ἐνῷ ἀπὸ τὴν κατ᾽ ἰδίαν συμβουλὴν καὶ τοὺς μὲ τέτοιον τρόπον ἐλέγχους γεννᾶται δι᾽ ἐσὲ ἀγάπη καὶ μὲ αὐτὸν καὶ μὲ τὸν Θεόν. Ἀλλὰ καὶ ἐὰν αὐτὸς μισῇ, ὁ Θεὸς σὲ ἀγαπᾷ δι᾽ αὐτὸ περισσότερον˙ μᾶλλον δὲ οὔτε ἔτσι θὰ σὲ μισήσῃ, ὅσον σὲ ἐμίσει διότι τὸν κατέκρινες κρυφά˙ ἀλλὰ τότε μὲν ὡς ἐχθρὸν καὶ ἀντίπαλον θὰ σὲ ἀποστραφῇ, τώρα ὅμως θὰ σὲ θεωρήσῃ σεβαστότερον καὶ ἀπὸ πατέρα. Καὶ ἂν ἀκόμη φαινομενικὰ δυσανασχετῇ, μέσα του καὶ κατ᾽ ἰδίαν θὰ σοῦ ὀφείλῃ μεγάλην χάριν.

8. Τέτοια λοιπὸν σκεπτόμενοι, ἂς φροντίζωμεν διὰ τὰ μέλη μας, καὶ ἂς μὴ ἀκονίζωμεν τὴν γλῶσσαν ὁ ἕνας ἐναντίον τοῦ ἄλλου, οὔτε νὰ λέγωμεν λόγους ποὺ βυθίζουν καὶ ὑποσκάπτουν τὴν ὑπόληψιν τοῦ πλησίον καὶ νὰ κτυπῶμεν καὶ κτυπώμεθα ὡσὰν νὰ εὑρισκώμεθα εἰς πόλεμον καὶ μάχην. Διότι τί θὰ ὠφεληθῶμεν λοιπὸν ἀπὸ τὴν νηστείαν ἢ τὴν ἀγρυπνίαν, ὅταν ἡ γλῶσσα μεθύῃ καὶ τρώγῃ εἰς τράπεζαν ποὺ εἶναι περισσότερον ἀκάθαρτος καὶ ἀπὸ κρέατα σκύλου, μὲ τὸ νὰ γίνεται αἱμοβόρος, νὰ ἐκχέῃ βόρβορον, καὶ νὰ κάμνῃ τὸ στόμα ὑπόνομον καὶ ὀχετόν, μᾶλλον δὲ καὶ πολὺ συγχαμερώτερον ἀπὸ αὐτόν; Διότι αὐτὸ μὲν ποὺ προέρχεται ἀπὸ ἐκεῖ μολύνει τὸ σῶμα, ἐνῷ αὐτὸ ποὺ ἐκβάλλεται ἀπὸ αὐτὸ τὸ στόμα, πολλὰς φορὰς πνίγει τὴν ψυχήν. Αὐτὰ δὲν τὰ λέγω ἀπὸ φροντίδα δι᾽ ἐκείνους ποὺ ἀκούουν νὰ τοὺς κακολογοῦν ἀδίκως˙ διότι ἐκεῖνοι εἶναι ἄ-

γὰρ καὶ στεφάνων εἰσὶν ἄξιοι, ὅταν φέρωσι γενναίως τὰ λεγόμενα· ἀλλ' ὑμῶν τῶν λεγόντων. Τὸν μὲν γὰρ κακῶς ἀκούοντα μάτην μακαρίζουσιν αἱ Γραφαί, τὸν δὲ κακῶς λέγοντα ἐκβάλλουσι τῶν ἱερῶν μυστηρίων, μᾶλλον δὲ καὶ αὐτῶν τῶν περιβόλων. «Τὸν» γὰρ «καταλαλοῦντα», φησί, «λάθρα τοῦ πλησίον αὐτοῦ, τοῦτον ἐξεδίωκον». Καὶ τῆς τῶν ἱερῶν δὲ βίβλων τὸν τοιοῦτον ἀνάξιον εἶναί φησιν ἀναγνώσεως. «Ἵνα τί» γάρ, φησίν, «ἐκδιηγῇ σὺ τὰ δικαιώματά μου, καὶ ἀναλαμβάνεις τὴν διαθήκην μου διὰ στόματός σου;». Εἶτα τὴν αἰτίαν τιθεὶς φησι· «Καθήμενος κατὰ τοῦ ἀδελφοῦ σου κατελάλεις».

Καὶ ἐνταῦθα μὲν οὐ διώρισεν, εἴτε ἀληθῆ, εἴτε ψευδῆ· ἀλλαχοῦ δὲ καὶ τοῦτο ἀπηγόρευσε, δεικνὺς ὅτι κἂν ἀληθῆ λέγῃς, οὔ σοι ταῦτα ῥητέα. «Μὴ κρίνετε» γάρ, φησίν, «ἵνα μὴ κριθῆτε»· ἐπεὶ καὶ ὁ τελώνην κατηγορῶν κατεδικάζετο, καίτοιγε ἀληθῆ κατηγορῶν ἐκείνου. Τί οὖν, ἂν ᾖ τις θρασὺς καὶ μιαρός, φησίν, οὐ διορθωτέον αὐτόν, οὐδὲν ἐλεγκτέον ἡμῖν; Ἐλεγκτέον καὶ διορθωτέον, οὕτω δὲ ὡς ἔμπροσθεν εἶπον· ἐὰν δὲ ὀνειδίζων τοῦτο ποιῇς, ὅρα μὴ τὸν Φαρισαῖον ἐκεῖνον μιμούμενος, τὰ ἐκείνου πάθῃς. Οὐδὲν γὰρ ἐντεῦθεν γίνεται κέρδος, οὐ σοὶ τῷ λέγοντι, οὐκ ἐκείνῳ τῷ ἀκούοντι, οὐ τῷ κατηγορουμένῳ· ἀλλ' ὁ μὲν ἀναισχυντότερος γίνεται· ἕως μὲν γὰρ λανθάνει, καὶ αἰδεῖσθαι οἶδεν· ἐπειδὰν δὲ γένηται δῆλος καὶ καταφανής, καὶ τὸν ἐντεῦθεν ἐκβάλλει χαλινόν· ὁ δὲ ἀκούων πάλιν μειζόνως βλαβήσεται. Ἄν τε γὰρ κατορθώματα συνίδῃ ἑαυτῷ, φυσᾶται ταῖς ἑτέρου κατηγορίαις ὀγκούμενος· ἄν τε ἁμαρτήματα, προθυμότερος εἰς πονη-

7. Ψαλμ. 100, 5.
8. Ψαλμ. 49, 16.
9. Ψαλμ. 49, 20.

ξιοι καὶ στεφάνων, ὅταν ὑπομένουν μὲ γενναιότητα αὐτὰ ποὺ λέγονται εἰς βάρος των· ἀλλὰ δι' ἐσᾶς ποὺ λέγετε αὐτά. Καθ' ὅσον αὐτὸν μὲν ποὺ ἀκούει νὰ τὸν κακολογοῦν ἀδίκως, τὸν μακαρίζουν αἱ Γραφαί, ἐνῷ αὐτὸν ποὺ κακολογεῖ, τὸν ἀποβάλλουν ἀπὸ τὴν συμμετοχὴν εἰς τὰ ἱερὰ μυστήρια, μᾶλλον δὲ καὶ ἀπὸ αὐτὸν τὸν περίβολον τοῦ ναοῦ. Διότι, «τὸν ἄνθρωπον ποὺ κατέκρινε τὸν πλησίον του κρυφά», λέγει, «τὸν ἀπεμάκρυνα ἀπ' ἐμπρός μου»[7]. Ἀλλὰ καὶ τῆς ἀναγνώσεως τῶν ἱερῶν βιβλίων εἶναι ἀνάξιος αὐτός, λέγει. Διότι, λέγει· «Διατί τολμᾷς ἐσὺ νὰ ἀναφέρῃς τὰς ἐντολάς μου, νὰ ἀναλαμβάνῃς δηλαδὴ εἰς τὸ στόμα σου τὴν διαθήκην μου, ἀφοῦ τὴν παραβαίνεις;»[8]. Ἔπειτα, διὰ νὰ δείξῃ τὴν αἰτίαν, λέγει· «Κάθεσαι καὶ καταφέρεσαι κατὰ τοῦ πλησίον σου»[9].

Καὶ ἐδῶ μὲν δὲν προσδιώρισεν ἐὰν αἱ κατηγορίαι εἶναι ἀληθεῖς ἢ ψευδεῖς· ἀλλοῦ δὲ ἀπηγόρευσε καὶ αὐτό, διὰ νὰ δείξῃ ὅτι καὶ ἂν ἀκόμη λέγῃς ἀλήθειαν ὅταν κατακρίνῃς, οὔτε καὶ τότε πρέπει νὰ λέγῃς αὐτά. Διότι, «Μὴ κατακρίνετε, διὰ νὰ μὴ κατακριθῆτε», λέγει· καθ' ὅσον καὶ αὐτὸς ποὺ ἐκατηγόρει τὸν τελώνην κατεδικάζετο, ἂν καὶ αἱ κατηγορίαι του ἦσαν ἀληθεῖς. Τί λοιπόν, ἐὰν κάποιος εἶναι θρασὺς καὶ ρυπαρός, θὰ εἰπῇς, δὲν πρέπει νὰ τὸν διορθώσωμεν, οὔτε νὰ τὸν ἐλέγξωμεν; Νὰ τὸν ἐλέγξῃς καὶ νὰ τὸν διορθώσῃς, ἀλλ' ἔτσι ὅπως εἶπον προηγουμένως· ἐὰν ὅμως κάμνῃς αὐτὸ διὰ νὰ κατηγορῇς, πρόσεχε μήπως, μιμούμενος ἐκεῖνον τὸν Φαρισαῖον, πάθῃς τὰ ἴδια μὲ ἐκεῖνον Διότι κανὲν κέρδος δὲν γεννᾶται ἀπὸ αὐτό, οὔτε δι' ἐσὲ ποὺ λέγεις, οὔτε δι' ἐκεῖνον ποὺ ἀκούει, οὔτε δι' αὐτὸν τὸν ὁποῖον κατηγορεῖς. Ἀλλ' αὐτὸς γίνεται περισσότερον ἀναίσχυντος· ἕως ὅτου ὅμως δὲν ἔχει ἀποκαλυφθῆ, ἐντρέπεται ἀκόμη· ἐνῷ ὅταν φανερωθῇ καὶ γνωστοποιηθῇ εἰς ὅλους, τότε ἐκβάλλει καὶ τὸν χαλινὸν τῆς ἐντροπῆς· ἐκεῖνος δὲ ποὺ ἀκούει πάλιν θὰ βλαβῇ περισσότερον. Διότι καὶ ἐὰν ἔχῃ συνείδησιν διὰ τὸν ἑαυτόν του ὅτι ἔχει κατορθώσει κάτι, ὑπερηφανεύεται καὶ φουσκώνει ὅταν ἀκούῃ νὰ κατηγορῆται ἄλλος· καὶ ἐὰν ἔχῃ ἁμαρτίας, γίνεται προ-

ρίαν καθίσταται. Αὐτός τε ὁ λέγων πάλιν καὶ παρὰ τῷ ἀκούοντι πονηρὰν λήψεται δόξαν, καὶ τὸν Θεὸν μειζόνως καθ' ἑαυτοῦ παροξυνεῖ.

Διό, παρακαλῶ, πᾶν δυσῶδες ἐκβαλόντες ῥῆμα, εἴ τι ἀγαθὸν πρὸς οἰκοδομήν, τοῦτο λέγωμεν. Ἀλλ' ἀμύνασθαι ἐκεῖνον ἐπιθυμεῖς; Τί οὖν ἀντ' ἐκείνου σαυτὸν ἀμύνῃ; Ὁ γὰρ τοὺς λελυπηκότας ἀμύνασθαι σπουδάζων, οὕτως ὡς ὁ Παῦλος ἀμύνασθαι ἐκέλευσεν· «Ἐὰν πεινᾷ ὁ ἐχθρός σου, ψώμιζε αὐτόν· ἐὰν διψᾷ, πότιζε αὐτόν». Ἐὰν δὲ τοῦτο μὲν μὴ ποιῇς, ἐπιβουλεύῃς δὲ μόνον, κατὰ σεαυτοῦ τὸ ξίφος ὠθεῖς. Διόπερ ἂν κακῶς ἐκεῖνος λέγῃ, ἐγκωμίοις αὐτὸν ἀμείβου καὶ ἐπαίνοις· οὕτω γὰρ κἀκεῖνον ἀμύνασθαι δυνήσῃ, καὶ σαυτὸν ἀπαλλάξεις πονηρᾶς ὑποψίας. Ὁ μὲν γὰρ ἐπὶ τῷ κακῶς ἀκούειν ἀλγῶν, ἀπὸ συνειδότος δοκεῖ τοῦτο πάσχειν πονηροῦ· ὁ δὲ καταγελῶν τῶν λεγομένων, μέγιστον ἐκφέρει τεκμήριον τοῦ μηδὲν ἑαυτῷ συνειδέναι πονηρόν.

Ἐπεὶ οὖν οὔτε τὸν ἀκούοντα, οὔτε ἑαυτόν, οὔτε τὸν διαβαλλόμενον ὠφελεῖς, καὶ κατὰ σαυτοῦ τὸ ξίφος ὠθεῖς, κἂν ἐντεῦθεν γενοῦ σωφρονέστερος. Ἐχρῆν μὲν γὰρ ἀπὸ τῆς βασιλείας τῶν οὐρανῶν καὶ τῶν τῷ Θεῷ δοκούντων πείθεσθαι· ἐπειδὴ δὲ παχύτερον διάκεισαι, καὶ ὥσπερ θηρίον δάκνεις, κἂν ἐντεῦθεν παιδεύθητι, ἵνα τοῖς λόγοις τούτοις σωφρονισθείς, δυνηθῇς ἀπὸ τῶν τῷ Θεῷ δοκούντων μόνων ῥυθμίζεσθαι, καὶ γενόμενος παντὸς πάθους ἀνώτερος ἐπιτύχῃς τῶν οὐρανίων ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ σὺν τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

10. Ρωμ. 12, 20.

θυμότερος εἰς τὴν κακίαν. Καὶ αὐτὸς πάλιν ποὺ κακολογεῖ καὶ ἀπὸ αὐτὸν ποὺ ἀκούει θὰ λάβῃ κακὴν φήμην, καὶ τὸν Θεὸν θὰ ἐξοργίσῃ περισσότερον ἐναντίον του.

Δι᾽ αὐτό, παρακαλῶ, ἀφοῦ ἀποβάλωμεν κάθε βρωμερὸν λόγον, ἐὰν ὑπάρχῃ κάτι καλὸν ποὺ οἰκοδομεῖ, αὐτὸ ἄς λέγωμεν. Ἀλλ᾽ ἐπιθυμεῖς νὰ ἐκδικηθῇς ἐκεῖνον; Διατί λοιπὸν κάμνεις κακὸν εἰς τὸν ἑαυτόν σου, ἀντὶ ἐκείνου; Διότι αὐτὸς ποὺ θέλει νὰ ἐκδικῆται ὅσους τὸν ἐλύπησαν, ἄς τοὺς ἐκδικῆται ἔτσι ὅπως παρήγγειλεν ὁ Παῦλος· «Ἐὰν πεινᾷ ὁ ἐχθρός σου, δῶσε του ψωμί, ἐὰν διψᾷ πότιζέ τον»[10]. Ἐὰν ὅμως αὐτὸ μὲν δὲν τὸ κάμνῃς, ἀλλὰ μόνον μελετᾷς τὴν ἐκδίκησιν, τότε ὠθεῖς τὸ ξίφος ἐναντίον τοῦ ἑαυτοῦ σου. Δι᾽ αὐτὸ ἀκριβῶς ἐὰν ἐκεῖνος κακολογῇ, νὰ τὸν ἀνταμείβῃς μὲ ἐγκώμια καὶ ἐπαίνους· διότι ἔτσι καὶ ἐκεῖνον θὰ ἠμπορέσῃς νὰ ἐκδικηθῇς, καὶ τὸν ἑαυτόν σου θὰ ἀπαλλάξῃς ἀπὸ πονηρὰν ὑποψίαν. Καθ᾽ ὅσον αὐτὸς μὲν ποὺ στενοχωρεῖται ποὺ ἀκούει νὰ τὸν κακολογοῦν, φαίνεται ὅτι πάσχει αὐτὸ ἀπὸ ἔνοχον συνείδησιν, ἐνῷ αὐτὸς ποὺ καταγελᾷ τὰ λεγόμενα, παρουσιάζει μεγίστην ἀπόδειξιν ὅτι ἡ συνείδησίς του δὲν τὸν ἐλέγχει διὰ τίποτε κακόν.

Ἀφοῦ λοιπὸν οὔτε αὐτὸν ποὺ σὲ ἀκούει, οὔτε τὸν ἑαυτόν σου, οὔτε αὐτὸν ποὺ διαβάλλεις ὠφελεῖς, καὶ ὠθεῖς τὸ ξίφος ἐναντίον τοῦ ἰδίου τοῦ ἑαυτοῦ σου, τοὐλάχιστον ἀπὸ αὐτὸ γίνε συνετώτερος. Βέβαια ἔπρεπε μὲν ἀπὸ τὴν βασιλείαν τῶν οὐρανῶν καὶ ἀπὸ αὐτὰ ποὺ ἀρέσουν εἰς τὸν Θεὸν νὰ πείθεσαι, ἀλλ᾽ ἐπειδὴ αἱ διαθέσεις καὶ τὸ φρόνημά σου εἶναι χονδροειδῆ καὶ δαγκώνεις ὡσὰν θηρίον, τοὐλάχιστον ἀπὸ αὐτὸ διδάξου καὶ διορθώσου, ὥστε, ἀφοῦ συνετισθῇς ἀπὸ αὐτοὺς τοὺς λόγους, νὰ ἠμπορέσῃς νὰ ρυθμίζῃς τὸν τρόπον τῆς ζωῆς σου συμφώνως πρὸς ὅσα ἀρέσουν εἰς τὸν Θεὸν καί, ἀφοῦ γίνῃς ἀνώτερος ἀπὸ κάθε πάθος, νὰ ἐπιτύχῃς τὰ οὐράνια ἀγαθά, τὰ ὁποῖα εἴθε νὰ ἐπιτύχωμεν ὅλοι μας, μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖον εἰς τὸν Πατέρα καὶ εἰς τὸ ἅγιον Πνεῦμα ἀνήκει δόξα, δύναμις, τιμή, τώρα καὶ πάντοτε καὶ αἰωνίως. Ἀμήν.

ΕΥΡΕΤΗΡΙΑ

1. Εὑρετήριον χωρίων τῆς Γραφῆς*

* Οἱ ἀριθμοὶ παραπέμπουν κατὰ σειρὰν εἰς κεφάλαιον, στίχον καὶ σελίδα

2. Εὑρετήριον ὀνομάτων καὶ πραγμάτων

Α

Ε

Ζ

Η

Θ

Ι

K

Λ

Μ

Ν

Ο

Π

Ρ

Σ

Τ

Χ

Ψ

Ω

ΠΙΝΑΞ ΠΕΡΙΕΧΟΜΕΝΩΝ